ρευταῖς παρέχοντας. ὑποθέσεις μὲν γὰρ τῆς παλαιᾶς κωμῳδίας ἦσαν αὗται· τὸ στρατηγοῖς ἐπιτιμᾶν καὶ δικασταῖς οὐκ ὀρθῶς δικάζουσι καὶ χρήματα συλλέγουσιν ἐξ ἀδικίας τισὶ καὶ μοχθηρὸν ἐπανηρημένοις βίον. ἡ δὲ μέση κωμῳδία ἀφῆκε τὰς τοιαύτας ὑποθέσεις, ἐπὶ δὲ τὸ σκώπτειν ἱστορίας ῥηθείσας ποιηταῖς ἦλθεν. ἀνεύθυνον γὰρ τὸ τοιοῦτον, οἷον διασύρειν Ὅμηρον εἰπόντα τι, ἢ τὸν δεῖνα τῆς τραγῳδίας ποιητήν. τοιαῦτα δὲ δράματα καὶ ἐν τῇ παλαιᾷ κωμῳδίᾳ ἔστιν εὑρεῖν, ἅπερ τελευταῖον ἐδιδάχθη λοιπὸν τῆς ὀλιγαρχίας κρατυνθείσης. οἱ γοῦν Ὀδυσσεῖς Κρατίνου οὐδενὸς ἐπιτίμησιν ἔχουσι, διασυρμὸν δὲ τῆς Ὀδυσσείας τοῦ Ὁμήρου. τοιαῦται γὰρ αἱ κατὰ τὴν μέσην κωμῳδίαν ὑποθέσεις εἰσίν. μύθους γάρ τινας τιθέντες ἐν ταῖς κωμῳδίαις τοῖς παλαιοτέροις εἰρημένους διέσυρον ὡς κακῶς ῥηθέντας· καὶ τὰς παραβάσεις παρῃτήσαντο, διὰ τὸ τοὺς χοροὺς ἐπιλεῖψαι, χορηγῶν οὐκ ὄντων. οὐ μὴν οὐδὲ τὰ προσωπεῖα ὁμοιοτρόπως τοῖς ἐν τῇ παλαιᾷ κωμῳδίᾳ κατεσκευασμένοις εἰσῆγον. ἐν μὲν γὰρ τῇ παλαιᾷ εἴκαζον τὰ προσωπεῖα τοῖς κωμῳδουμένοις, ἵνα, πρίν τι καὶ τοὺς ὑποκριτὰς εἰπεῖν, ὁ κωμῳδούμενος ἐκ τῆς ὁμοιότητος τῆς ὄψεως κατάδηλος ᾖ· ἐν δὲ τῇ μέσῃ καὶ νέᾳ κωμῳδίᾳ ἐπίτηδες τὰ προσωπεῖα πρὸς τὸ γελοιότερον ἐδημιούργησαν, δεδοικότες τοὺς Μακεδόνας καὶ τοὺς ἐπηρτημένους ἐξ ἐκείνων φόβους, ἵνα μηδὲ ἐκ τύχης τινὸς ὁμοιότης προσώπου συμπέσῃ τινὶ Μακεδόνων ἄρχοντι καὶ δόξας ὁ ποιητὴς ἐκ προαιρέσεως κωμῳδεῖν δίκας ὑπόσχῃ. ὁρῶμεν γοῦν τὰ προσωπεῖα τῆς Μενάνδρου κωμῳδίας τὰς ὀρρῦς ὁποίας ἔχει καὶ ὅπως ἐξεστραμμένον τὸ στόμα καὶ οὐδὲ κατ' ἀνθρώπων φύσιν.

II.

ΤΟΥ ΑΥΤΟΥ

ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΧΑΡΑΚΤΗΡΩΝ.

Κρατῖνος ὁ τῆς παλαιᾶς κωμῳδίας ποιητής, ἅτε δὴ καὶ τὰ τοῦ Ἀρχιλόχου ζηλώσας, αὐστηρὸς μὲν ταῖς λοιδορίαις ἐστίν. οὐ γὰρ ὥσπερ ὁ Ἀριστοφάνης ἐπιτρέχειν τὴν χάριν τοῖς σκώμμασι ποιεῖ, τὸ φορτικὸν τῆς ἐπιτιμήσεως διὰ ταύτης ἀναιρῶν, ἀλλ' ἁπλῶς καὶ κατὰ τὴν παροιμίαν γυμνῇ τῇ κεφαλῇ τίθησι τὰς βλασφημίας κατὰ τῶν ἁμαρτανόντων. πολὺς δὲ καὶ ταῖς τροπαῖς τυγχάνει. εὔστοχος δὲ ὢν ἐν ταῖς ἐπιβολαῖς τῶν δραμάτων καὶ διασκευαῖς, εἶτα προϊὼν καὶ διασπῶν τὰς ὑποθέσεις οὐκ ἀκολούθως πληροῖ τὰ δράματα. Εὔπολις δὲ εὐφάνταστος μὲν εἰς ὑπερβολήν ἐστι κατὰ τὰς ὑποθέσεις. τὰς γὰρ εἰσηγήσεις μεγάλας τῶν δραμάτων ποιεῖται, καὶ ἥνπερ ἐν τῇ παραβάσει φαντασίαν κινοῦσιν οἱ λοιποί, ταύτην ἐκεῖνος ἐν τοῖς δράμασιν, ἀναγαγεῖν ἱκανὸς ὢν ἐξ Ἅιδου νομοθετῶν πρόσωπα, καὶ δι' αὐτῶν εἰσηγούμενος ἢ περὶ θέσεως νόμων ἢ καταλύσεως. ὥσπερ δέ ἐστιν ὑψηλός, οὕτω καὶ ἐπίχαρις καὶ περὶ τὰ σκώμματα λίαν εὔστοχος. ὁ δὲ Ἀριστοφάνης τὸν μέσον ἐλήλακε τῶν ἀνδρῶν χαρακτῆρα. οὔτε γὰρ πικρὸς λίαν ἐστὶν ὥσπερ ὁ Κρατῖνος, οὔτε χαρίεις ὥσπερ ὁ Εὔπολις, ἀλλ' ἔχει καὶ πρὸς τοὺς ἁμαρτάνοντας τὸ σφοδρὸν τοῦ Κρατίνου καὶ τὸ τῆς ἐπιτρεχούσης χάριτος Εὐπολιδος.

III.

ΠΕΡΙ ΚΩΜΩΔΙΑΣ.

Τὴν κωμῳδίαν ῥηθῆναί φασιν ὑπὸ Σουσαρίωνος· τὴν δὲ ὀνομασίαν ἔχειν οἱ μὲν ὅτι ἐπὶ τὰς κώμας περιιόντες ᾖδον καὶ ἐπεδείκνυντο, μήπω πόλεων οὐσῶν, ἀλλ' ἐν κώμαις οἰκούντων τῶν ἀνθρώπων, οἱ δὲ ἀντιλέγοντές φασι μὴ κώμας καλεῖσθαι παρὰ Ἀθηναίοις, ἀλλὰ δήμους, καὶ κωμῳδίαν αὐτὴν καλοῦσιν, ἐπεὶ ἐν ταῖς ὁδοῖς ἐκώμαζον. τὴν αὐτὴν δὲ καὶ τρυγῳδίαν φασὶ διὰ τὸ τοῖς εὐδοκιμοῦσιν ἐπὶ τῷ Ληναίῳ γλεῦκος δίδοσθαι, ὅπερ ἐκάλουν τρύγα, ἢ ὅτι μήπω προσωπείων ῥηρημένων τρυγὶ διαχρίοντες τὰ πρόσωπα ὑπεκρίνοντο. γεγόνασι δὲ μεταβολαὶ κωμῳδίας τρεῖς· καὶ ἡ μὲν ἀρχαία, ἡ δὲ νέα, ἡ δὲ μέση. οἱ μὲν οὖν τῆς ἀρχαίας κωμῳδίας ποιηταὶ οὐχ ὑποθέσεως ἀληθοῦς, ἀλλὰ παιδείας εὐτραπέλου γινόμενοι ζηλωταὶ τοὺς ἀγῶνας ἐποίουν. καὶ φέρεται αὐτῶν πάντα τὰ δράματα τξε' σὺν τοῖς ψευδεπιγράφοις. τούτων δέ εἰσιν ἀξιολογώτατοι Ἐπίχαρμος, Μάγνης, Κρατῖνος, Κράτης, Φερεκράτης, Φρύνιχος, Εὔπολις, Ἀριστοφάνης.

Ἐπίχαρμος. οὗτος πρῶτος τὴν κωμῳδίαν διερριμμένην ἀνεκτήσατο πολλὰ προσφιλοτεχνήσας. χρόνοις δὲ γέγονε κατὰ τὴν ογ' Ὀλυμπιάδα, τῇ δὲ ποιήσει γνωμικὸς καὶ εὐρετικὸς καὶ φιλότεχνος. σώζεται δὲ αὐτοῦ δράματα μ', ὧν ἀντιλέγονται ὄ'.

Μάγνης δὲ Ἀθηναῖος ἀγωνισάμενος Ἀθήνησι νίκας ἔσχεν ια'. τῶν δὲ δραμάτων αὐτοῦ οὐδὲν σώζεται. τὰ δὲ ἐπιφερόμενά ἐστιν ἐννέα.

Κρατῖνος Ἀθηναῖος νικᾷ μετὰ τὴν πε' Ὀλυμπιάδα,

---

editio. ἦλθον G. Ald. — 69 κωμῳδίᾳ om. G. — 73 τοῦ om. Brunckii editio. — 77 χοροὺς—χορηγῶν G. Vulgo χορηγοὺς—χορῶν. — 78 τοῖς om. G. — 82 ἐκ τινὸς ὁμοιότητος G. — 86 μηδὲ G. δὲ μὴ Ald.— 89, 90 γοῦν τὰς ὀρρῦς ἐν τοῖς προσώποις τῆς Μενάνδρου κωμῳδίας ὁποίας G. Ald. Correctum in ed. Brunckii.

1 κωμῳδίας om. G. — 2 καὶ τὰ τοῦ Ἀρχιλόχου ζηλώσας. Legebatur κατὰ τὰς Ἀρχιλόχου (ἀρχιλόχους cod. Laur. 31, 4) ζητήσεις. Correxit Hemsterhus. apud Geel. Bibl. crit. novae vol. 4, p. 8. Vide Cobeti Observv. critt. in Platon. com. p. 4. — 8 ταῖς τροπαῖς G. τῆς τροπῆς Ald. — 14 ἐκεῖνος. Addendum videtur κινεῖ. DIND. — 17 ἢ περὶ καταλύσεως Laur. 31, 4. — 18 σκώμματα Meinek. Hist. Com. p. 108. Legebatur σκέμματα.

III.

Sectiones III et IV om. V. et G. — 19 Ἐπίχαρμος addidit Dindorfius. — 27 κατὰ τὴν πα' Ὀλ. conj. Meinekius

τελευτᾷ δὲ Λακεδαιμονίων εἰς τὴν Ἀττικὴν εἰσβαλόντων τὸ πρῶτον, ὥς φησιν Ἀριστοφάνης [Pac. 702]·

ὡρακιάσας· οὐ γὰρ ἔξηνέσχετο
ἰδεῖν πίθον καταγνύμενον οἴνου πλέων.

γέγονε δὲ ποιητικώτατος, κατασκευάζων εἰς τὸν Αἰσχύλου χαρακτῆρα. φέρεται δὲ δράματα αὐτοῦ κα'.

Κράτης Ἀθηναῖος. τοῦτον ὑποκριτὴν φασι γεγονέναι τὸ πρῶτον, ὃς ἐπιβέβληκε Κρατίνῳ, πάνυ γελοῖος καὶ ἱλαρὸς γινόμενος, καὶ πρῶτος μεθύοντας ἐν κωμῳδίᾳ προήγαγε. τούτου δράματά ἐστιν ἑπτά.

Φερεκράτης Ἀθηναῖος νικᾷ ἐπὶ θεάτρου, γενόμενος δὲ ὑπόπικρος ἐζήλωκε Κράτητα, καὶ αὖ τοῦ μὲν λοιδορεῖν ἀπέστη, πράγματα δὲ εἰσηγούμενος καινὰ ἠδοκίμει, γενόμενος εὑρετικὸς μύθων.

Φρύνιχος ***φράδμονος ἔθανεν ἐν Σικελίᾳ.

Εὔπολις Ἀθηναῖος ἐδίδαξεν ἐπὶ ἄρχοντος Ἀπολλοδώρου, ἐφ' οὗ καὶ Φρύνιχος, γεγονὼς δυνατὸς τῇ λέξει καὶ ζηλῶν Κρατῖνον, πολύ γε λοίδορον καὶ σκαιὸν ἐπιφαίνει. Γέγραπται δὲ αὐτῷ δράματα ιδ'.

Ἀριστοφάνης Φιλίππου, Ἀθηναῖος, μακρῷ λογιώτατος Ἀθηναίων, καὶ εὐφυΐᾳ πάντας ὑπεραίρων, ζηλῶν δὲ Εὐρίπιδην, τοῖς δὲ μέλεσι λεπτότερος. ἐδίδαξε δὲ πρῶτος ἐπὶ ἄρχοντος Διοτίμου διὰ Καλλιστράτου. τὰς μὲν γὰρ πολιτικὰς τούτῳ φασὶν αὐτὸν διδόναι, τὰ δὲ κατ' Εὐριπίδου καὶ Σωκράτους Φιλωνίδῃ. διὰ δὲ τοῦτο νομισθεὶς ἀγαθὸς ποιητὴς τοὺς λοιποὺς ἐπιγραφόμενος ἐνίκα. ἔπειτα τῷ υἱῷ ἐδίδου τὰ δράματα, ὄντα τὸν ἀριθμὸν νδ'· ὧν νόθα ὀ'.

Τῆς δὲ μέσης κωμῳδίας οἱ ποιηταὶ πλάσματος μὲν οὐχ ἥψαντο ποιητικοῦ, διὰ δὲ τῆς συνήθους ἰόντες λαλιᾶς λογικὰς ἔχουσι τὰς ἀρετάς, ὥστε σπάνιον ποιητικὸν εἶναι χαρακτῆρα παρ' αὐτοῖς. κατασχολοῦνται δὲ πάντες περὶ τὰς ὑποθέσεις. τῆς μὲν οὖν μέσης κωμῳδίας εἰσὶ ποιηταὶ νζ', καὶ τούτων δράματα χιζ'. τούτων δέ εἰσιν ἀξιολογώτατοι Ἀντιφάνης καὶ Στέφανος. Ἀντιφάνης μὲν οὖν Στεφάνου Ἀθηναῖος, καὶ ἤρξατο διδάσκειν μετὰ τὴν ζη' Ὀλυμπιάδα. καί φασιν αὐτὸν γενέσθαι μὲν τῶν ἀπὸ Θεσσαλίας ἐκ Λαρίσσης, παρεγγραφῆναι δὲ εἰς τὴν Ἀθηναίων πολιτείαν ὑπὸ Δημοσθένους. γενέσθαι δὲ λέγουσιν αὐτὸν εὐφυέστατον εἰς τὸ γράφειν καὶ δραματοποιεῖν. ἐτελεύτησε δὲ ἐν Χίῳ καὶ τὰ ὀστᾶ αὐτοῦ εἰς τὰς Ἀθήνας μετηνέχθη. τῶν δὲ κωμῳδιῶν αὐτοῦ τινὰς καὶ ὁ Στέφανος ἐδίδαξεν. ἔστι δὲ αὐτοῦ δράματα σξ'.

Τῆς δὲ νέας κωμῳδίας γεγόνασι μὲν ποιηταὶ ξδ', ἀξιολογώτατοι δὲ τούτων Φιλήμων, Μένανδρος, Δίφιλος, Φιλιππίδης, Ποσείδιππος, Ἀπολλόδωρος. Φιλήμων μὲν οὖν Δάμωνος Συρακούσιος, μετέσχε δὲ τῆς τῶν Ἀθηναίων πολιτείας, ἐδίδαξε δὲ πρὸ τῆς ριγ' Ὀλυμπιάδος. σώζεται δὲ αὐτοῦ δράματα ἑπτὰ πρὸς τοῖς ἐνενήκοντα. Μένανδρος δὲ Διοπείθους υἱός, Ἀθηναῖος, λαμπρὸς καὶ βίῳ καὶ γένει, συνδιατρίψας δὲ τὰ πολλὰ Ἀλέξιδι, ὑπὸ τούτου δοκεῖ παιδευθῆναι. ἐδίδαξε δὲ πρῶτος ἔφηβος ὢν ἐπὶ Φιλοκλέους ἄρχοντος. γέγονε δ' εὐφυέστατος πάνυ. γέγραφε δὲ πάντα δράματα ρη'. τελευτᾷ δὲ ἐν Ἀθήναις ἐτῶν ὑπάρχων νθ'. Δίφιλος Σινωπεὺς κατὰ τὸν αὐτὸν χρόνον ἐδίδαξε Μενάνδρῳ. τελευτᾷ δὲ ἐν Σμύρνῃ. δράματα δὲ αὐτοῦ ρ'.

IV.

ΑΛΛΩΣ ΠΕΡΙ ΚΩΜΩΔΙΑΣ.

Τὸ παλαιὸν οἱ ἐν ταῖς κώμαις ἀδικούμενοι ὑπὸ τῶν

Hist. Com. p. 45. Qui numerum olympiadis corruptum esse recte animadvertit: sed μετὰ corruptum ex κατὰ esse demonstrari nequit, quum hic scriptor infra Antiphanis et Philemonis ætatem similiter designaverit. DIND. — 37 παρήγαγε Meinekius Hist. Com. p. 530. — 38 ἐπὶ Θεοδώρου (i. e. olymp. 85, 3) Dobræus, probantibus Dindorfio et Meinekio Hist. Com. p. 66. Sequentia egregie correxit Dindorfius comparato Aristot. Poet. c. 5, 5: τῶν δὲ Ἀθήνησι Κράτης πρῶτος ἦρξεν, ἀφέμενος τῆς ἰαμβικῆς ἰδέας, καθόλου λόγους ἢ μύθους ποιεῖν. Legebatur γινόμενος, ὁ δὲ ὑποκριτὴς ἐξ. — 42 Hæc spectant ad Phrynichum tragicum, de quo obiter hoc loco egerat scriptor. De Phrynicho comico quæ idem attulerat, exciderunt omnia. MEINEK. Hist. Com. p. 530. Postrema verba fortasse fuerunt, ὁ δ' ὁμώνυμος αὐτῷ τραγικὸς Φρύνιχος Πολυφράδμονος ἔθανεν ἐν Σ. DIND. — 45 scrib. videtur πλήν γε. Deinde Gœlius Bibl. crit. nov. vol. 4, p. 13, καὶ αἰσχρόν. Addendum fortasse αὐτόν. DIND. — 46 ἀποφαίνει Dobræus. — 47 μακρῷ λογιώτατος Bentleius. Legebatur μακρολογώτατος. — 48 legebatur ζήλῳ. — 50 πρῶτος dixit pro πρῶτον, more recentiorum scriptorum. Infra l. 81: ἐδίδαξε δὲ πρῶτος ἔφηβος ὢν ἐπὶ Διοκλέους ἄρχοντος. Schol. Aristoph. Eq. 534: ὃς πρῶτος ὑπεκρίνατο τὰ Κρατίνου καὶ αὐτὸς ποιητὴς ὕστερον ἐγένετο. Georg. Syncell. vol. 1, p. 483, 12 (et Chron. Pasch. p. 303, 10): Σοφοκλῆς τραγῳδοποιὸς πρῶτος ἐδιδάξατο· p. 502, 4: πρῶτος Θράκης καὶ Ἑλλάδος κρατήσας· p. 538: πρῶτος—ἐβασίλευσεν, εἶτα—ἐξεβλήθη. Chron. Pasch. p. 476, 6: ὁ ἐν Ῥόδῳ κολοσσὸς πρῶτος ἐκινήθη. ubi L. Dindorfius Pausaniæ locum contulit 1, 22, 3: καὶ Φαίδρα πρώτη ἐνταῦθα εἶδεν Ἱππόλυτον. DIND. Ib. Διοτίμου Scaliger ad Euseb. p. 128. Vulgo Φιλοτίμου. Fuit ille archon eponymus olymp. 88, 1. — 51 τούτῳ Petitus Miscell. p. 2. τοῦτον vulgo. — 53 scribendum τοῦ λοιποῦ: nisi ἀγῶνας intellexit. DIND. — 55 imo μδ'. DIND. — 56 οἱ ποιηταὶ Meinekius Quæst. scen. 2, p. 4. Vulgo δύο ποιηταί. — 62 ωιζ' Meinekius Hist. Com. p. 271. — 63 Στέφανος. Persuasum habeo excidisse quædam et pro *Stephano* reponendum *Alexin*. Quod magnopere confirmatur ex mentione Demosthenis, qui Diopithi, Alexidis fratri, favebat, ut notum est. DOBRÆUS. Conf. Meinek. Hist. Com. p. 304. — 69 ἐν Κίῳ Suidas s. v. Ἀντιφάνης, quod volebat Meinek. l. c. — 71 post σξ' exciderunt quæ de Alexide scripserat auctor. MEINEK. — 78 ἐννενήκοντα Ald. — 81 Φιλοκλέους Clinton. Fast. Hell. vol. 2, p. 165. Legebatur Διοκλέους. Eusebius olymp. 114, 4: *Menander primam fabulam cognomento Orgen docens superat.* — 83 νϛ' Bekkerus. Vulgo νζ'. — 85. Hic quoque exciderunt ea quæ de Philippide, Posidippo et Apollodoro auctor commentatus erat. MEINEK.

IV.

Comparanda cum his sect. IX.

πολιτῶν νυκτὸς ἀπήρχοντο παρὰ τὸν δῆμον ἐκεῖνον ἔνθα ὁ ἀδικήσας ἦν, καὶ ἔλεγον ὅτι ἔστι τις ἐνταῦθα ποιῶν εἰς τοὺς γεωργοὺς τάδε. καὶ τοῦτο ποιοῦντες ὑπεχώρουν λέγοντες καὶ τοὔνομα. μεθ' ἡμέραν δὲ ὁ δράσας ἐζητάζετο, καὶ οὕτως αἰσχυνάμενος ἀνεστέλλετο τοῦ ἀδικεῖν. ὁρῶντες οὖν οἱ πολῖται τοῦτο χρήσιμον τῇ πόλει καὶ ἀδικίας ἀποτρεπτικὸν, ἐκέλευσαν τοὺς ἀδικουμένους ἐπὶ μέσης ἀγορᾶς τοὺς ἀδικήσαντας κωμῳδεῖν. οἱ δὲ δεδιότες αὖ τοὺς τότε πλουσίους, πηλῷ χρίοντες καὶ τρυγίᾳ, ἐπὶ μέσης ἀγορᾶς τοὺς ἀδικοῦντας ἐκωμῴδουν. ἐπεὶ δὲ μέγαλα ἡ πόλις ὠφελεῖτο ἐκ τούτου, ποιητὰς ἔταξαν ἐπὶ τούτῳ κωμῳδεῖν ὃν ἂν βούλωνται ἀκωλύτως. ἐπεὶ δὲ ἡ κακία προέκοπτεν, οἱ πλούσιοι καὶ οἱ ἄρχοντες μὴ βουλόμενοι κωμῳδεῖσθαι, τοῦ μὲν φανερῶς κωμῳδεῖν ἐκώλυσαν, ἐκέλευσαν δὲ κρύφα, οἷον αἰνιγματωδῶς. εἶτα δὴ καὶ τοῦτο ἐκώλυσαν, καὶ πτωχοὺς ἔσκωπτον, εἰς δὲ πλουσίους καὶ ἐνδόξους οὐκέτι. γέγονε δὲ τῆς μὲν πρώτης κωμῳδίας ἄριστος τεχνίτης οὗτος ὁ Ἀριστοφάνης καὶ Εὔπολις, τῆς δὲ δευτέρας Πλάτων, τῆς δὲ τρίτης Μένανδρος. κωμῳδία οὖν, ἢ ὅτι οἱ ἀπὸ κωμῶν συναγόμενοι ᾖδον ταῦτα· ἢ ὅτι ἐν καιρῷ κώματος ᾖδον· ἔστι δὲ ταύτην εἰπεῖν καὶ τραγῳδίαν, οἱονεὶ τρυγῳδίαν τινὰ οὖσαν, ὅτι τρυγίᾳ χριόμενοι ἐκωμῴδουν. καὶ τῆς μὲν τραγῳδίας τὸ εἰς ἔλεον κινῆσαι τοὺς ἀκροατὰς ἴδιον, τῆς δὲ κωμῳδίας τὸ εἰς γέλωτα. διό φασιν ἡ μὲν τραγῳδία λύει τὸν βίον, ἡ δὲ κωμῳδία συνίστησιν.

V.

ΑΛΛΩΣ ΠΕΡΙ ΚΩΜΩΔΙΑΣ.

Τῆς κωμῳδίας τὸ μέν ἐστιν ἀρχαῖον, τὸ δὲ νέον, τὸ δὲ μέσον. τῆς δὲ νέας διαφέρει ἡ παλαιὰ κωμῳδία χρόνῳ, διαλέκτῳ, ὕλῃ, μέτρῳ, διασκευῇ. χρόνῳ μὲν καθὸ ἡ μὲν νέα ἐπὶ Ἀλεξάνδρου, ἡ δὲ παλαιὰ ἐπὶ τῶν Πελοποννησιακῶν εἶχε τὴν ἀκμήν. διαλέκτῳ δὲ καθὸ ἡ μὲν νέα τὸ σαφέστερον ἔχει, τῇ νέᾳ κεχρημένη Ἀτθίδι, ἡ δὲ παλαιὰ τὸ δεινὸν καὶ ὑψηλὸν τοῦ λόγου, ἐνίοτε δὲ ἐπιτηδεύει καὶ λέξεις τινάς. ὕλῃ δὲ καθὸ ἡ μὲν * * * * μέτρῳ δὲ καθὸ ἡ μὲν νέα κατὰ τὸ πλεῖστον στρέφεται περὶ τὸ ἰαμβικὸν, σπανίως δὲ μέτρον ἕτερον, ἐν δὲ τῇ παλαιᾷ πολυμετρία τὸ σπουδαζόμενον. διασκευῇ δὲ, ὅτι ἐν μὲν τῇ νέᾳ χοροῦ οὐκ ἔδει, ἐν ἐκείνῃ δὲ δεῖ. καὶ αὐτὴ δὲ ἡ παλαιὰ ἑαυτῆς διαφέρει. καὶ γὰρ οἱ ἐν Ἀττικῇ πρῶτον συστησάμενοι τὸ ἐπιτήδευμα τῆς κωμῳδίας (ἦσαν δὲ οἱ περὶ Σουσαρίωνα) καὶ τὰ πρόσωπα εἰσῆγον ἀτάκτως, καὶ μόνος ἦν γέλως τὸ κατασκευαζόμενον. ἐπιγενόμενος δὲ ὁ Κρατῖνος κατέστησε μὲν πρῶτον τὰ ἐν τῇ κωμῳδίᾳ πρόσωπα μέχρι τριῶν, συστήσας τὴν ἀταξίαν καὶ τῷ χαρίεντι τῆς κωμῳδίας τὸ ὠφέλιμον προσέθηκε, τοὺς κακῶς πράττοντας διαβάλλων καὶ ὥσπερ δημοσίᾳ μάστιγι τῇ κωμῳδίᾳ κολάζων. ἀλλ' ἔτι μὲν καὶ οὗτος τῆς ἀρχαιότητος μετεῖχε καὶ ῥήμα πως τῆς ἀταξίας. ὁ μέντοι γε Ἀριστοφάνης μεθοδεύσας τεχνικώτερον τῆς μεθ' ἑαυτοῦ τὴν κωμῳδίαν ἐνέλαμψεν ἐν ἅπασιν ἐπίσημος ὀφθεὶς οὕτω, καὶ οὕτω πᾶσαν κωμῳδίαν ἐμελέτησε. καὶ γὰρ τὸ τούτου δρᾶμα ὁ Πλοῦτος νεωτερίζει κατὰ τὸ πλάσμα· τήν τε γὰρ ὑπόθεσιν οὐκ ἀληθῆ ἔχει καὶ χορῶν ἐστέρηται, ὅπερ τῆς νεωτέρας ὑπῆρχε κωμῳδίας.

VI.

ΑΛΛΩΣ ΠΕΡΙ ΚΩΜΩΔΙΑΣ.

Ὅτι ὁ γέλως τῆς κωμῳδίας ἔκ τε λέξεων καὶ πραγμάτων ἔχει τὴν σύστασιν. ἐκ μὲν τῆς λέξεως κατὰ τρόπους ἑπτά. πρῶτον καθ' ὁμωνυμίαν, ὡς τὸ διαφορούμενος οἷον τὸ μέτρον. δεύτερον κατὰ συνωνυμίαν, ὡς τὸ [Ran. 1157] ἥκω καὶ κατέρχομαι· ταυτὸν γάρ ἐστιν. τρίτον κατὰ ἀδολεσχίαν, ὡς ὅταν τις τῷ αὐτῷ ὀνόματι χρήσηται. τέταρτον κατὰ παρωνυμίαν, ὅταν τῷ κυρίῳ ἔξωθέν τις ἅπτηται, ὡς τὸ, Μώμαξ καλοῦμαι Μίδας. πέμπτον κατὰ ὑποκορισμὸν, ὡς τὸ [Nub. 223] Σωκρατίδιον, Εὐριπίδιον [Ach. 475]. ἕκτον κατὰ ἐναλλαγὴν, ὡς τὸ, ὦ Βδεῦ δέσποτα, ἀντὶ τοῦ ὦ

---

10 δὲ addidit Kust. Ib. legebatur αὐτοὺς. —19 οὐκέτι Dindorfius. Legebatur τι. οὔ Kusterus.—22 sqq. Tzetz. Proleg. in Lycophr. p. 255 ed. Müller.: διαφέρει δὲ καὶ κατὰ τοῦτο τραγῳδία καὶ κωμῳδία, ὅτι ἡ μὲν τραγῳδία λύει τὸν βίον, ἡ δὲ κωμῳδία συνίστησι. κωμῳδία δὲ ἐκλήθη ἢ ὅτι κατὰ τὸν καιρὸν τοῦ κώματος ἤτοι τοῦ ὕπνου εὑρέθη, ἢ ὅτι ἐν ταῖς κώμαις, τοῦτ' ἔστιν ἐν ταῖς στενωπαῖς, ἢ ὅτι ἐν τοῖς κώμοις καὶ πότοις τοῦ Διονύσου εὑρέθη. — κωμῳδοὶ πραττόμενοι, Κρατῖνος, Πλάτων, Εὔπολις, Φερεκράτης, Ἀριστοφάνης καὶ ἕτεροι, καὶ νέοι Μένανδρος, Φιλήμων, Φιλιστίων (Φιλιππίδης Meinek.) καὶ πλῆθος πολύ. — 26 legebatur ἀκροατάς. δία (sic) τῆς. Vulgo editum ἀκροατὰς, τῆς.

V.

Comparanda sect. IX. — 2 verba τὸ δὲ μέσον delenda videntur. Apertum est ex sequentibus, qui hæc commentatus est ex eorum fuisse numero grammaticorum, qui in duas ætates Atticæ comœdiæ historiam dispescerent. Meinek. Hist. Com. p. 539. — 7 λόγου V. λέγειν vulgo. — 8 ἐπιτηδεύουσι λέξεις V. — 8-10 legebatur ὕλῃ δὲ καθὸ ἡ μὲν νέα κατὰ τὸ πλεῖστον. Indicavi lacunam, ad didique μέτρῳ δὲ καθὸ ἡ μέν. Lacunam probabiliter explet Meinekius l. c. his verbis, νέα οὐκ ἀληθεῖς ἔχει τὰς ὑποθέσεις, ἡ δὲ παλαιὰ ἀληθεῖς. Dind. — 16 Σουσαρίωνα Meinekius Hist. Com. p. 25. Legebatur Σαννυρίωνα. — 19 στήσας (non συστ.), 21 προσέθεικε, 23 καὶ οὕτως, 29 ὑπόθεσιν ὡς ἀληθῆ καὶ χοροῖς εἰσέρηκεν V. — 30 νεωτέρας V. νέας vulgo.

VI.

Comparanda sect. IX. — 4 διαφορούμενος (διαφερουμένοις V.) οἷον τὸ μέτρον. Corrupta hæc vix expediri poterunt nisi invento loco Comici ex quo excerpta sunt. Non satisfacit Dobræi conjectura ὥστε διάφορα εἶναι τὰ νοούμενα, οἷον τὸ μέτρον, ut ad Nub. 641 respiciatur. Dind. Ib. δεύτερον κατὰ V. δεύτερον δὲ κατὰ vulgo. δεύτερον δὲ ὡς ὅταν τίς τῷ αὐτῷ ὀνόματι χρήσηται· τέταρτον κατὰ παρωνυμίαν, ὅταν—Laur. 31, 4. — 7 περιωνυμίαν ed. Juntina a. 1525. — 8 Μώμαξ fort. pro βώμαξ scriptum. Dind. μὼξ Laur. 31, 4.—9 Μειδίας Meinekius Hist. Com. p. 540, recte, ut videtur. Sunt fortasse Aristophanis verba. Dind. Ib. κατὰ ὑπο ἀποκορισμὸν V. — 11 ἐναλλαγὴν V. ἐξαλλαγὴν vulgo. De

Ζεῦ. ἕβδομον κατὰ σχῆμα λέξεως τούτῳ γίνεται ἡ φωνὴ, ἢ τοῖς ὁμογενέσιν. ἐκ δὲ τῶν πραγμάτων κατὰ τρόπους δύο. πρῶτον κατὰ ἀπάτην, ὡς [Nub. 145] Στρεψιάδης πεισθεὶς ἀληθεῖς εἶναι τοὺς περὶ ψύλλης λόγους. δεύτερον κατὰ ὁμοίωσιν. ἡ δὲ ὁμοίωσις εἰς δύο τέμνεται, ἢ εἰς τὸ βέλτιον, ὡς [Ranis] ὁ Ξανθίας εἰς Ἡρακλέα, ἢ εἰς τὸ χεῖρον, ὡς ὁ Διόνυσος εἰς Ξανθίαν.

VII.

Ὁ χορὸς ὁ κωμικὸς εἰσήγετο ἐν τῇ ὀρχήστρᾳ, τῷ νῦν λεγομένῳ λογείῳ. καὶ ὅτε μὲν πρὸς τοὺς ὑποκριτὰς διελέγετο, πρὸς τὴν σκηνὴν ἀφεώρα, ὅτε δὲ ἀπελθόντων τῶν ὑποκριτῶν τοὺς ἀναπαίστους διεξῄει, πρὸς τὸν δῆμον ἀπεστρέφετο, καὶ τοῦτο ἐκαλεῖτο στροφή. ἦν δὲ τὰ ἰαμβεῖα τετράμετρα. εἶτα τὴν ἀντίστροφον ἀποδόντες πάλιν τετράμετρα ἐπέλεγον ἴσων στίχων. ἦν δὲ ἐπὶ τὸ πλεῖστον ις'. ἐκαλεῖτο δὲ ταῦτα ἐπιρρήματα. ἡ δὲ ὅλη πάροδος τοῦ χοροῦ ἐκαλεῖτο παράβασις. Ἀριστοφάνης ἐν Ἱππεῦσιν [507] « Εἰ μέν τις « ἀνὴρ τῶν ἀρχαίων κωμῳδοδιδάσκαλος ἡμᾶς ἠνάγκαζεν λέξοντας ἔπη πρὸς τὸ θέατρον παραβῆναι. »

VIII.

ΤΩΝ ΤΗΣ ΑΡΧΑΙΑΣ ΚΩΜΩΔΙΑΣ ΠΟΙΗΤΩΝ ΟΝΟΜΑΤΑ ΚΑΙ ΔΡΑΜΑΤΑ.

Θεοπόμπου δράματα ιζ'.
Στράττιδος δράματα ις'.
Φερεκράτους δράματα ιη'.
Κράτητος δράματα η'.
Πλάτωνος δράματα κη'.
Τηλεκλείδου δράματα ς'.
Φρυνίχου δράματα ι'.

IX a.

ΠΕΡΙ ΚΩΜΩΔΙΑΣ.

(*Ex codice Parisino edidit Cramerus, Anecdot. Parisin. vol.* 1, *p.* 3 *seqq.*)

Κωμῳδίαι λέγονται τὰ τῶν κωμικῶν ποιήματα, ὡς τὰ τοῦ Ἀριστοφάνους, Κρατίνου, Μενάνδρου καὶ τῶν ὁμοίων. εὕρηται δὲ ἡ κωμῳδία, ὡς φασίν, ἐξ αἰτίας τοιαύτης. Τὸ παλαιὸν ἐν ταῖς κώμαις ἀδικούμενοί τινες ὑπὸ τῶν Ἀθήνησι πολιτῶν, καὶ θέλοντες ἐλέγχειν αὐτοὺς, κατῆσαν εἰς τὴν πόλιν· καὶ νυκτὸς καθευδόντων πάντων, παριόντες παρὰ τὰς ἀγυιὰς ἔλεγον ἀνωνύμως τὰς βλαβὰς ἃς ὑπέσχον ὑπ' αὐτῶν, τοιαῦτα λέγοντες· « ἐνταῦθα μένει τις τάδε καὶ τάδε ποιῶν τισὶ τῶν γεωργῶν, καὶ οὐ μετρίας βλαβὰς ἐπιφέρει αὐτοῖς· » ὥστε τοὺς γειτνιῶντας ἀκούοντας ἡμέρας γιγνομένης πρὸς ἀλλήλους λέγειν ἃ νύκτωρ παρὰ τῶν γεωργῶν ἤκουσαν. ἐπονείδιστον δὲ ἦν τοῦτο τῷ ἀδικοῦντι· ὥστε καὶ πολλάκις τῶν ἀδικούντων τὸ τοιοῦτο διορθώσεως γέγονεν αἴτιον αἰσχυνομένους τὴν ὕβριν· ὅθεν τοῖς τῆς πόλεως ἔδοξεν ἐπ' ἀγαθῷ γεγονέναι τὸ ἐγχείρημα τῶν ἀγροίκων· καὶ ἀναζητήσαντες αὐτοὺς ἠνάγκασαν καὶ ἐπὶ θεάτρου ταῦτα ποιεῖν. οἱ δὲ δειλιῶντες τοῦτο ποιεῖν ἐπιφανῶς τρύγα (τρυγίᾳ?) περιχρίοντες τὰς ἑαυτῶν ὄψεις, οὕτως εἰσῄεσαν· ὅθεν κἀκ τούτου μᾶλλον τῶν ἀδικούντων ἐλεγχομένων ἐπὶ θεάτρου, συστολὴ τῶν ἀδικιῶν ἐγένετο. ἐπειδὴ δὲ ἡ πόλις ἐκ τούτου μεγάλας ἀπήλαυσεν ὠφελείας, ποιητὰς ἔταξαν ἐπὶ τούτῳ κωμῳδεῖν οὓς ἂν βούλωνται ἀκωλύτως. Πρῶτον οὖν Σουσαρίων τις τῆς ἐμμέτρου κωμῳδίας γέγονεν ἀρχηγός· οὗ τὰ μὲν ποιήματα λήθῃ κατενεμήθη, δύο δὲ ἢ τρεῖς ἰαμβοι ἐπὶ μνήμῃ φέρονται τούτου· εἰσὶ δὲ οὗτοι·

Ἀκούετε λεὼς, Σουσαρίων λέγει τάδε,

Βδεῦ δέσποτα vide Dindorf. ad Lysistr. v. 940. — 12 τοῦτο V. — 16 legebatur ψυχῆς, ex Nubium loco correctum.

VII.

Hæc in Argumento Nubium repetunt codex Venetus et Ald.: unde excerptam lectionis diversitatem codicis Veneti litera *m*, editionis Aldinæ litera *n*, designando. Dind. Præterea in *n* intellige consensum membr. Brunckii s. codicis Regii 2712. — 1 εἰσέρχετο n, sed εἰσήγετο m. — 2 λογίῳ libri. — 3 εἰς τὴν σκ. ἑώρα n. — 4 καὶ τοὺς ἀν. δ. καὶ πρὸς n. καὶ τὰ πρὸς m. et Reg. — 7 ἀποδόντες n. προσάδοντες V. Ald. Ib. τετράμετρον n. Ib. ἴσων στίχων n. εἰς ὧν στίχος V. Ald. — 8 περὶ τὸ πλ. n. — 10 ἐν Εἰρήνῃ V. Ib. Ἦν μὲν n., sed εἰ μὲν m. et Reg. κωμῳδιδάσκαλος V. ὃς ἡμᾶς n., sed ὃς om. m. et Reg. Deinde ἠνάγκαζε λέξοντας ἔπη πρὸς (κατὰ m.)—n. ἠνάγκασεν ἐπὶ V. Ald. θέατρον V. n. μέτρον Ald. παραβάντας V.

VIII.

Hæc om. V. In fine sequuntur in editione Aldina hæc, loco inserta plane alieno: Ὅτι κατὰ τρόπους δέκα διαφέρει τὸ ἑλληνίζειν τοῦ ἀττικίζειν. κατὰ ἀναλογίαν. παρὰ τὴν ἐτυμολογίαν. παρὰ τὰ σχήματα. παρὰ τὸν σχηματισμὸν τῶν ὀνομάτων. παρὰ τὴν ἀλληγορίαν. παρὰ τοὺς ἀριθμούς. παρὰ τὰ γένη. παρὰ τὰ πνεύματα. παρὰ τοὺς χρόνους. παρὰ τοὺς τόνους. παρὰ μὲν τὴν ἀναλογίαν καὶ ἐτυμολογίαν, ὅτι οἱ μὲν ἑλληνίζοντες τούτοις μάλιστα χρῶνται, οἱ δὲ ἀττικίζοντες οὐδ' ὅλως. παρὰ τὰ σχήματα, ἐπεὶ πάλιν ἔθος τοῖς Ἀττικοῖς χρῆσθαι σχήμασι, τοῖς δὲ ἑλληνίζουσιν οὐκ ἔτι. παρὰ δὲ τὸν σχηματισμὸν, ἐπειδὴ κατὰ πολλοὺς χρόνους ἐκ τῆς Ἑλληνικῆς συνηθείας μετασχηματίζεται τὰ ὀνόματα. παρὰ δὲ τοὺς χρόνους, ὅτι συστελλόντων τινὰ τῶν ἑλληνιζόντων, αὐτοὶ ἐκτείνουσι μᾶλλον ἢ συστέλλουσι. παρὰ δὲ τὰ πνεύματα, ἐπεὶ δασύνουσιν ἔνια ψιλούντων, ἢ ψιλοῦσι δασυνόντων. παρὰ δὲ τὰ γένη, ἐπειδὴ θηλυκῶς τινα λεγόντων, ἢ οὐδετέρως, αὐτοὶ προφέρονται, ἢ ἀνάπαλιν ἀρσενικῶς ἢ οὐδετέρως ἐκφέρουσι. παρὰ τοὺς ἀριθμοὺς, ἐπειδὴ ἑνικῶς τινα λεγόντων, πληθυντικῶς λέγουσιν, ἢ καὶ ἀνάπαλιν.

IX. a.

Codex est chartaceus, recens, Regiæ bibliothecæ 2677. Priora l. 1—99 et 1—13 comparanda sunt cum sectionibus IV, V, VI et IX b, quæ continent eadem minus integra. Iidem versus 112 exstant etiam in Regio codice 2821, cujus a Dübnero collati varietatem annotamus. — 2 Μενάνδρου, Ἀρ., Κρατίνου, 3 εὑρέθη, 5 ἐν Ἀθήνησι, 6 ἐν τῇ πόλει, 8 ἃς ἔπασχον, 11 ἐπιφέρων, 14 πολλοῖς τῶν, 15 αἰσχυνομένοις, 18 τοῦτο ποιεῖν, 22 ἐγίνετο, 29 Ἀκούετε

υἱὸς Φιλίνου, Μεγαρόθεν, Τριποδίσκιος·
κακὸν γυναῖκες· ἀλλ' ὅμως, ὦ δημόται,
οὐκ ἔστιν οἰκεῖν οἰκίαν ἄνευ κακοῦ.

ἀρχὴν οὖν λαβόντος τοῦ πράγματος, πολλοὶ γεγόνασι κωμικοὶ ἐλέγχοντες τοὺς κακῶς βιοῦντας καὶ ἀδικίαις χαίροντας. καὶ ἐντεῦθεν ὠφέλουν κοινῇ τὴν πολιτείαν τῶν Ἀθηναίων. ἐπεὶ δὲ τὸ μὲν παράνομον ἐπικρατὲς, ὅτι ἀεὶ τὰ χείρονα νικᾷ, τὰ δ' ἀγαθὰ ταχέως ἀφίπταται, οὐ μετὰ πολὺν χρόνον οἱ πλούσιοι καὶ οἱ ἄρχοντες οὐ βουλόμενοι κωμῳδεῖσθαι, ἤρξαντο κωλύειν τοὺς κωμικοὺς τοῦ φανερῶς καὶ ὀνομαστὶ ἐλέγχειν τοὺς ἀδικοῦντας, ἵν' ἐντεῦθεν ἀδικοῦντες μὴ ἐλέγχωνται ὑπ' αὐτῶν· ὅθεν ὥσπερ αἰνιγματωδῶς καὶ οὐ φανερῶς ἠλέγχοντο ὑπὸ τῶν κωμικῶν, ἀλλὰ καὶ ἔτι ἐπὶ πλέον προϊούσης τῆς κακίας ἐκωλύθησαν καὶ τοῦ αἰνιγματωδῶς κωμῳδεῖν. διὸ εἰς ξένους καὶ πτωχοὺς ἔσκωπτον, εἰς δὲ πλουσίους καὶ ἐνδόξους οὐκέτι. διὸ καὶ τρεῖς διαφορὰς ἔδοξεν ἔχειν ἡ κωμῳδία· ἡ μὲν γὰρ καλεῖται παλαιὰ, ἡ ἐξ ἀρχῆς φανερῶς ἐλέγχουσα· ἡ δὲ μέση, ἡ αἰνιγματωδῶς· ἡ δὲ νέα, ἡ ἐπὶ ξένων καὶ πτωχῶν, ὡς εἴρηται. γέγονε δὲ τῆς μὲν πρώτης κωμῳδίας ἄριστος τεχνίτης οὗτός τε ὁ Ἀριστοφάνης καὶ Εὔπολις καὶ Κρατῖνος· τῆς δὲ δευτέρας Πλάτων, οὐχ ὁ φιλόσοφος· τῆς δὲ νέας Μένανδρος.

Κωμῳδοὶ οὖν ἐκλήθησαν, ἢ ὅτι οἱ ἀπὸ τῶν κωμῶν συναγόμενοι ταῦτα ᾖδον, ὡς εἴρηται, ἢ ὅτι ἐν τῷ καιρῷ τοῦ κώματος ἢ τοῦ ὕπνου (λέγεται γὰρ κῶμα ὁ ὕπνος) ᾖδον. Ἔστι δὲ τὴν κωμῳδίαν καὶ τραγῳδίαν εἰπεῖν, οἱονεὶ τρυγῳδίαν τινὰ οὖσαν, ὅτι τρύγα χριόμενοι ἐκωμῴδουν. Ἔστι δὲ [καὶ] ἡ κωμῳδία μίμησις πράξεως καθαρωτέρας παθημάτων, συστατικὴ τοῦ βίου, διὰ γέλωτος καὶ ἡδονῆς τυπουμένη. διαφέρει δὲ τραγῳδία κωμῳδίας, ὅτι ἡ μὲν τραγῳδία ἱστορίαν ἔχει καὶ ἐπαγγελίαν πράξεων γενομένων, κἂν ὡς ἤδη γινομένας σχηματίζῃ αὐτάς· ἡ δὲ κωμῳδία πλάσματα περιέχει βιωτικῶν πραγμάτων· καὶ ὅτι τῆς μὲν τραγῳδίας σκοπὸς τὸ εἰς θρῆνον κινῆσαι τοὺς ἀκροατὰς, τῆς δὲ κωμῳδίας εἰς γέλωτα. Καὶ πάλιν καθ' ἑτέραν διαίρεσιν, τῆς κωμῳδίας τὸ μέν ἐστιν ἀρχαῖον, τὸ δὲ νέον, τὸ δὲ μέσον. διαφέρει οὖν τῆς νέας ἡ παλαιὰ κωμῳδία χρόνῳ, διαλέκτῳ, ὕλῃ, μέτρῳ, διασκευῇ. χρόνῳ μὲν, καθὰ ἡ μὲν νέα ἐπὶ Ἀλεξάνδρου ἦν, ἡ δὲ παλαιὰ ἐπὶ τῶν Πελοποννησιακῶν εἶχε τὴν ἀκμήν. διαλέκτῳ δὲ, καθὸ ἡ μὲν νέα τὸ σαφέστερον ἔσχε, τῇ νέᾳ κεχρημένη Ἀτθίδι, ἡ δὲ παλαιὰ τὸ δεινὸν καὶ ὑψηλὸν τοῦ λόγου, ἐνίοτε δὲ καὶ ἐπιτηδεύουσα λέξεις τινάς. ὕλῃ δὲ, καθὸ ἡ μὲν νέα τῷ ἰαμβικῷ μέτρῳ ἐπὶ πλεῖστον χρῆται, σπανίως δὲ καὶ ἑτέροις μέτροις, τῇ δὲ παλαιᾷ πολυμετρία τὸ σπουδαζόμενον. διασκευῇ δὲ, ὅτι ἐν μὲν τῇ νέᾳ χορῶν οὐκ ἔδει, ἐν ἐκείνῃ δὲ καὶ μάλιστα. Καὶ αὐτὴ δὲ ἡ παλαιὰ ἑαυτῆς διαφέρει· καὶ γὰρ οἱ ἐν τῇ Ἀττικῇ πρῶτον συστησάμενοι τὸ ἐπιτήδευμα τῆς κωμῳδίας — ἦσαν δὲ οἱ περὶ Σουσαρίωνα — τὰ πρόσωπα ἀτάκτως εἰσῆγον, καὶ γέλως ἦν μόνως τὸ κατασκευαζόμενον. ἐπιγενόμενος δὲ Κρατῖνος κατέστησε μὲν πρῶτον τὰ ἐν τῇ κωμῳδίᾳ πρόσωπα μέχρι τριῶν, στήσας τὴν ἀταξίαν, καὶ τῷ χαρίεντι τῆς κωμῳδίας τὸ ὠφέλιμον προσέθηκε, τοὺς κακῶς πράσσοντας διαβάλλων, καὶ ὥσπερ δημοσίᾳ μάστιγι τῇ κωμῳδίᾳ κολάζων. ἀλλ' ἔτι μὲν καὶ οὗτος τῆς ἀρχαιότητος μετεῖχε καὶ ῥήμα πως τῆς ἀταξίας. ὁ μέντοι γε Ἀριστοφάνης μεθοδεύσας τεχνικώτερον τὴν κωμῳδίαν, ἐν ταύτῃ διέλαμψεν ἐν ἅπασιν ἐπίσημος φανείς.

Ὁ δὲ γέλως τῆς κωμῳδίας ἔκ τε λέξεων καὶ πραγμάτων ἔχει τὴν σύστασιν· ἐκ μὲν τῶν λέξεων κατὰ τρόπους ἑπτά. πρῶτον καθ' ὁμωνυμίαν, ὡς τὸ διαφορούμενον· σημαίνει γὰρ τό τε διαφόροις οὖσι καὶ τὸ ἐπικερδέσι. δεύτερον κατὰ συνωνυμίαν, ὡς τὸ Ἥκω τε καὶ κατέρχομαι· ταὐτὸν γάρ ἐστι. τρίτον κατὰ ἀδολεσχίαν, ὡς ὅταν τις τῷ αὐτῷ ὀνόματι πολλάκις χρήσαιτο. τέταρτον κατὰ παρωνυμίαν, ὡς ὅταν τῷ κυρίῳ ἐξωθέν τι κατάθηται, ὡς τὸ μίμαξ καλοῦμαι Μίδας. πέμπτον καθ' ὑποκορισμὸν, ὡς τὸ Σωκρατίδιον, Εὐριπίδιον. ἕκτον κατ' ἀναλλαγὴν, ὡς τὸ ὦ Βδεῦ δέσποτα, ἀντὶ τοῦ ὦ Ζεῦ. ἕβδομον κατὰ σχῆμα λέξεως· τοῦτο δὲ ἡ φωνὴ γίνεται ἢ τοῖς ὁμογενέσιν. ἐκ δὲ τῶν πραγμάτων κατὰ τρόπους δύο, πρῶτον κατὰ ἀπάτην, ὡς Στρεψιάδης πεισθεὶς ἀληθεῖς εἶναι τοὺς περὶ ψυχῆς λόγους· δεύτερον καθ' ὁμοίωσιν· ἡ δὲ ὁμοίωσις εἰς δύο τέμνεται, ἢ εἰς τὸ βέλτιον, ὡς ὁ Ξανθίας εἰς Ἡρακλῆ, ἢ εἰς τὸ χεῖρον, ὡς ὁ Διόνυσος εἰς Ξανθίαν.

λέξιν, Σ. λέγει τάδε Reg., qui om. v. 30. Codex Crameri τάδε λέγει. — 32 οἰκίαν Reg. οἰκίας cod. Crameri. — 37 ἀεὶ addidimus ex Regio. — 40 φανερῶς οὕτω καὶ Reg., qui 53 τρ° male omittit οὐχ. — 59 καὶ ἡ om. Reg. — 60 καθαρι Reg. — 64 γινομένας Reg. Apud Cramerum male γενομένων, calami, ut videtur, aut typothetarum errore. — 66 τῆς μὲν τραγῳδίας Reg. τῇ μὲν τραγῳδίᾳ Cram. — 76 ἐπιτηδεύουσι Reg. Ibidem in neutro codice lacuna. Vide ad sect. V, 9. — 80 δὲ καὶ μάλιστα Reg. Sine καὶ ap. Cramerum. — 81 τῇ om. Reg. — 83 τὰ πρόσωπα ἀτάκτως Reg. Codex Crameri πρόσωπα εὐτάκτως. — 84 μόνος, 85 ὁ Κρ., 93 ἀνέλαμψεν Reg. — 98 καὶ τὸ ἐπικερδέσι Reg. Crameri codex καὶ ἐπικαρδέσι. « Ex his apparet supra sect. VI, 4 Veneti codicis scripturam διαφορουμένοις veram esse. Hoc enim dicit, διαφορούμενα significare et διάφορα ὄντα, *quæ diversa sunt* vel *hostilia*, et ἐπικερδῆ, *utilia*, quo sensu alias διαφέροντα usurpari constat. Præterea editus ille addit οἷον τὸ μέτρον, quæ etsi corrupta sunt, hoc tamen intelligitur, non grammatici esse, sed poetæ ex quo διαφορουμένοις allatum est. » Meinek. — 99 τε om. Reg., ex quo ἐστι. In Crameri cod. parva lacuna esse videtur — 1 πολλάκις om. Reg. — 3 κυρίως codex Crameri. καθηται a pr. m. Reg. « Recte editus ἔξωθέν τις ἅπτηται, modo pro τις scribatur τι. Deinde verum fortasse est μῖμαξ. » Meinek. Regius hic quoque μώμαξ — 4 κατὰ ὑπ. et 11 κατὰ ὁμ. Reg. — 7 φωνῇ Reg. φωνὴ codex Crameri. — 12 Ἡρακλῆν Reg. — 13 Ξανθίαν Reg. Ἡρακλῆ codex Cra-

Ἰστέον ὅτι Ἀλέξανδρος ὁ Αἰτωλὸς καὶ Αυκόφρων ὁ Χαλκιδεὺς ὑπὸ Πτολεμαίου τοῦ Φιλαδέλφου προτραπέντες τὰς σκηνικὰς διώρθωσαν βίβλους, Αυκόφρων μὲν τὰς τῆς κωμῳδίας, Ἀλέξανδρος δὲ τὰς τῆς τραγῳδίας, ἀλλὰ δὴ καὶ τὰς σατυρικάς. ὁ γὰρ Πτολεμαῖος φιλολογώτατος ὢν διὰ Δημητρίου τοῦ Φαληρέως καὶ ἑτέρων ἑλλογίμων ἀνδρῶν ἀπαναις βασιλικαῖς ἀπαντα-χόθεν τὰς βίβλους εἰς Ἀλεξάνδρειαν συνήθροισεν, καὶ δυσὶ βιβλιοθήκαις ταύτας ἐπέθετο, ὧν τῆς ἐκτὸς μὲν ἀριθμὸς τετρακισμύριαι δισχίλιαι ὀκτακόσιαι, τῆς δὲ τῶν ἀνακτόρων ἐντὸς συμμιγῶν μὲν βίβλων ἀριθμὸς τεσσαράκοντα μυριάδες, ἀμιγῶν δὲ καὶ ἁπλῶν μυριάδες ἐννέα· ὧν τοὺς πίνακας ὕστερον Καλλίμαχος ἐπεγράψατο. Ἐρατοσθένει δὲ ἡλικιώτῃ Καλλιμάχου παρὰ τοῦ βασιλέως τὸ τοιοῦτον ἐνεπιστεύθη βιβλιοφυλάκιον. τὰ δὲ συνηθροισμένα βιβλία οὐχ Ἑλλήνων μόνον, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων ἐθνῶν· ἦσαν δὲ καὶ τῶν Ἑβραίων αὐτῶν. τὰς δὴ οὖν τῶν ἄλλων ἐθνῶν σοφοῖς ἀνδράσι τήν τε οἰκείαν φωνὴν τήν τε τῶν Ἑλλήνων καλῶς εἰδόσι τὰς ἐξ ἑκάστου ἐγχειρίσας, οὕτως ἑρμηνευθῆναι αὐτὰς πεποίηκεν εἰς τὴν Ἑλλάδα φωνήν. τὰς δὲ σκηνικὰς Ἀλέξανδρός τε, ὡς ἔφθην εἰπών, καὶ Αυκόφρων διωρθώσαντο. Καίτοι τὰς Ὁμηρικὰς ἑβδομήκοντα δύο γραμματικοὶ ἐπὶ Πεισιστράτου τοῦ Ἀθηναίων τυράννου διέθηκαν οὕτωσὶ σποράδην οὔσας τὸ πρίν. ἐπεκρίθησαν δὲ κατ' αὐτὸν ἐκεῖνον τὸν καιρὸν ὑπ' Ἀριστάρχου καὶ Ζηνοδότου, ἄλλων ὄντων τούτων τῶν ἐπὶ Πτολεμαίου διορθωσάντων. οἱ δὲ τέσσαρσί τισι τῶν ἐπὶ Πεισιστράτου διόρθωσιν ἀναφέρουσιν, Ὀρφεῖ Κροτωνιάτῃ, Ζωπύρῳ Ἡρακλεώτῃ, Ὀνομακρίτῳ Ἀθηναίῳ καὶ ἐπὶ κογκυλω. ὕστερον δὲ ταύτας ἁπάσας σκηνικάς τε καὶ ποιητικὰς πλεῖστον ἐξηγήσαντο Δίδυμος, Τρύφων, Ἀπολλώνιος, Ἡρωδιανὸς, Πτολεμαῖος Ἀσκαλωνίτης, καὶ οἱ φιλόσοφοι, Πορφύριος, Πλούταρχος καὶ Πρόκλος, ὡς καὶ πρὸ αὐτῶν πάντων Ἀριστοτέλης.

Ἔτι ἰστέον ὅτι καὶ πρώτη κωμῳδία, ἧς τὰ σκώμματα φανερὰ κατὰ πάντων ἦσαν πολιτῶν, μετ' Εὐπόλιδος διήρκεσεν. ἐπειδὴ δὲ αὐτὸς εἰς Ἀλκιβιάδην ὕβρισεν ὄντα τότε στρατηγὸν καὶ διελοιδορήσατο αὐτῷ, ὧν τότε Ἀλκιβιάδης ἐμπαράσκευος πρὸς πόλεμον ὡς ναυμαχίας προσδοκωμένης, κελεύει τοῖς στρατιώταις συλλαβεῖν αὐτόν· οἱ δὲ συλλαμβάνοντες αὐτὸν, ὡς μέν τινες φασὶν, παντελῶς ἀπέπνιξαν αὐτὸν εἰς τὴν θάλασσαν, ὡς δὲ ἄλλοι, δεδεμένον αὐτὸν σχοίνῳ ἀνῆγόν τε καὶ κατῆγον εἰς τὴν θάλασσαν, οὐ μέντοι καὶ ἀπέπνιξαν παντελῶς, τοῦ Ἀλκιβιάδου λέγοντος βάπτε με σὺ θυμέλαις, ἐγὼ δέ σε ἅλμυροῖς ὕδασι κατακλύσω. καὶ οὕτω δὴ ἡ διαφθαρέντος τοῖς κύμασι παντελῶς ἢ καὶ περισωθέντος, ψήφισμα ἔθετο Ἀλκιβιάδης μηκέτι φανερῶς, ἀλλὰ συμβολικῶς κωμῳδεῖν. τότε δὴ αὐτός τε Εὔπολις καὶ Κρατῖνος καὶ Φερεκράτης καὶ Πλάτων καὶ Ἀριστοφάνης αὐτὸς τὰ συμβολικῶς μετεχειρίσατο σκώμματα, ἡ δὴ δευτέρα κωμῳδία ἐλέγετο, μέχρις οὗ μηδὲ συμβολικῶς ἐθελόντων τῶν πολιτῶν σκώπτεσθαι, εἰς δούλους μόνους καὶ ξένους ἔσκωπτον, ἡ δὴ τρίτη ἦν κωμῳδία, αὐξηθεῖσα ἐπὶ Μενάνδρου καὶ Φιλήμονος.

Ἴδιον δὲ κωμῳδίας μὲν τὸ μεμιγμένον ἔχειν τοῖς σκώμμασι γέλωτα, τραγῳδίας δὲ πένθη καὶ συμφορὰς· σατυρικῆς δὲ οὐ τὸ ἀπὸ πένθους εἰς χαρὰς ἀπαντᾶν, ὡς ὁ Εὐριπίδου Ὀρέστης καὶ Ἄλκηστις καὶ ἡ Σοφοκλέους Ἠλέκτρα, ἐκ μέρους, ὥσπερ τινὲς φασὶν, ἀλλ' ἀμιγῆ καὶ χαρίεντα καὶ θυμελικὸν ἔχει γέλωτα· οἷον « Ἡρακλῆς πραθεὶς τῷ Συλεῖ ὡς γεωργὸς δοῦλος ἔσταλται « εἰς τὸν ἀγρὸν τὸν ἀμπελῶνα ἐργάσασθαι, ἀνεσπακὼς « δὲ δικέλλῃ προρρίζους τὰς ἀμπέλους νωτοφορήσας τε « αὐτὰς εἰς τὸ οἴκημα γεωργοῦ τοῦ ἀγροῦ, ἄρτους τε « μεγάλους ἐποίησε, καὶ τὸν κρείττω τῶν βοῶν θύσας « καὶ τὸν πιθεῶνα διαρρήξας, καὶ τὸν κάλλιστον πίθον « ἀποπωμάσας, τὰς θύρας τε ὡς τράπεζαν θεὶς, ἤσθιέ « τε καὶ ἔπινεν ἄδων, καὶ τῷ προεστῶτι δὲ τοῦ ἀγροῦ « δριμὺ ἐνορῶν φέρειν ἐκέλευεν ὡραῖά τε καὶ πλακοῦν- « τας, καὶ τέλος ὅλον ποταμὸν πρὸς τὴν ἔπαυλιν τρέ- « ψας τὰ πάντα κατέκλυσεν. » ἔστι δὲ τὸ τοιοῦτον Εὐριπίδου δρᾶμα· τοιαῦτα δέ εἰσι τὰ σατυρικὰ δράματα. τέλος δὲ τραγῳδίας μὲν λύειν τὸν βίον, κωμῳδίας δὲ συνιστᾶν αὐτὸν, σατυρικῆς δὲ τοιούτοις θυμελικοῖς χαριεντισμοῖς καθηδύνειν αὐτόν. λυρικοὶ δέ, οἱ καὶ κυκλικοὶ καὶ διθύραμβοι, ἢ ἀθλητὰς ἀγῶσι νικῶντας ἐπῄνουν, ἢ τὸν Διόνυσον ὕμνουν, ἢ ἑτέρους θεούς.

Ἔτι ἰστέον ὅτι κατὰ Διονύσιον καὶ Κράτητα καὶ Εὐκλείδην μέρη κωμῳδίας εἰσὶ τέσσαρα, πρόλογος,

---

meri. — 44, 45 *Concyli Onomacriti Atheniensis* scholion Plautinum infra sect. X, a. Acutissimus Hasius in literis ad Cramerum datis : *Les mots en question, dans le* cod. Reg. 2667, *me semblent figurés ainsi :* ὀνομακρίτῳ αθηναίῳ και κατ ἐπὶ κογκυλω. *L'accent sur* καὶ, *l'iota souscrit et l'esprit doux d'*Αθηναίῳ *manquent, et bien que j'aie presque détaché le feuillet, je vois que les initiales de chacune des trois lignes de la scholie marginale sont détruites. Je crois néanmoins, sauf meilleur avis, qu'il faut lire* Ἀθη]νοδώρῳ ἐπίκ]λην Κορ- δυ]λίωνι. *L'anachronisme est sans doute énorme : Athénodore surnommé Cordylion, contemporain de Caton d'Utique, n'a pu être chargé par Pisistrate de la rédaction définitive des chants d'Homère. Mais la personne qui a transcrit l'opuscule dont il s'agit, me paraît avoir été un Grec de la fin du XV^e^ siècle : or vous savez, Monsieur, que ces Byzantins, même lettrés, n'étaient pas forts en histoire littéraire. Notre copiste voulant corriger un passage, altéré sans doute depuis longtemps, puisqu'il l'était déjà à l'époque où vécut le scholiaste de Plaute, aura pensé à Athénodore parce que le Byzantin en question avait quelque notion confuse du stoïcien bibliothécaire de Pergame, sans connaître au juste le temps où celui-ci avait vécu.* — 51 μέχρι Εὐπόλιδος Meinekius. — 98 Εὐ-

μέλος χοροῦ, ἐπεισόδιον καὶ ἔξοδος. καὶ πρόλογος μέν ἐστι τὸ μέχρι τοῦ χοροῦ λεγομένη ῥῆσις. μέλος καλεῖται χοροῦ. ἐπεισόδιον δέ ἐστι μέρος μεταξὺ μελῶν καὶ ῥήσεων δύο χοροῦ. ἔξοδος δέ ἐστιν ἡ πρὸς τῷ τέλει τοῦ χοροῦ ῥῆσις. Μέρη δὲ παραβάσεως ἑπτά· ἑπτάκις γὰρ ὁ χορὸς ὠρχεῖτο, ἐπειδὰν εἰς τὴν ὀρχήστραν εἰσήρχετο, ἣν δὴ καὶ λογεῖον καλοῦσιν. ἡ μὲν οὖν πρώτη ὄρχησις κομμάτιον ἐλέγετο, ἡ δὲ δευτέρα παράβασις ὁμωνύμως τῷ γένει ἐκαλεῖτο· καὶ γὰρ τὸ ὅλον τοῦτο ἑπτάστροφον σχῆμα παράβασις ἐκαλεῖτο· ἡ δὲ τρίτη μακρόν· ἡ δὲ τετάρτη ᾠδὴ καὶ στροφή· ἡ δὲ πέμπτη ἐπίρρημα· ἡ δὲ ἕκτη ἀντῳδὴ καὶ ἀντίστροφος· ἡ δὲ ἑβδόμη ἀντεπίρρημα. εἰσελθὼν οὖν ὁ χορὸς εἰς τὴν ὀρχήστραν μέτροις τισὶ διελέγετο τοῖς ὑποκριταῖς καὶ πρὸς τὴν σκηνὴν ἑώρα τῆς κωμῳδίας. ἂν οὖν ὡς ἐκ πόλεως ἐβάδιζε πρὸς τὸ θέατρον, διὰ τῆς ἀριστερᾶς ἀψῖδος ἔβαινεν, ἂν δ' ὡς ἀπ' ἀγροῦ, διὰ τῆς δεξιᾶς, τετραγωνιζόμενός τι ὁ χορὸς πρὸς μόνους τοὺς ὑποκριτάς· ἀπελθόντων δὲ τῶν ὑποκριτῶν, πρὸς ἀμφότερα τὰ μέρη τοῦ δήμου ὁρῶν ἐκ τετραμέτρου δεκαεξ στίχους ἀναπαίστους ἐφθέγγετο, καὶ τοῦτο ἐκαλεῖτο στροφή· εἶτα ἑτέρους τοιούτους ἐφθέγγετο, καὶ ἐκαλεῖτο ἀντίστροφος, ἅπερ ἀμφότερα οἱ παλαιοὶ ἐπίρρημα ἔλεγον· ὅλη δὲ ἡ πρόσοδος τοῦ χοροῦ ἐκαλεῖτο παράβασις. συμβαίνει δὲ τὸ ἐπίρρημα πέντε σημαίνειν, αὐτό τε τὸ οἰκεῖον σημαινόμενον, καὶ τὴν στροφὴν καὶ ἀντίστροφον καὶ ᾠδὴν καὶ ἀντῳδήν, ἐπεὶ [δὲ] ἡ μὲν στροφὴ τὴν ᾠδὴν σημαίνει, ἡ δὲ ἀντίστροφος τὴν ἀντῳδήν. γένοιτο δ' ἂν σαφέστερα ἡ τῶν τοιούτων διδασκαλία ὧδέ πως. ἐν ἐαρινῷ καιρῷ πολυτελέσι δαπάναις κατεσκευάζετο ἡ σκηνὴ τριωρόφοις οἰκοδομήμασι, πεποικιλμένη παραπετάσμασι καὶ ὀθόναις λευκαῖς καὶ μελαίναις, βύρσαις τε παταγούσαις καὶ χειροτινάκτῳ πυρὶ, ὀρύγμασί τε καταγείοις καὶ ὑπογαίοις, καὶ ὑδάτων δεξαμεναῖς εἰς τύπον θαλάσσης, ταρτάρου, ᾅδου, κεραυνῶν καὶ βροντῶν, γῆς καὶ νυκτός, οὐρανοῦ, ἡμέρας καὶ ἀνακτόρων, καὶ πάντων ἁπλῶς· αὐλάς τε οὐ μικρὰς εἶχεν ἐξειργασμένας καὶ ἀψῖδας εἰς τύπον ὁρῶν. διὰ μὲν οὖν ἀριστερᾶς ἀψῖδος ἐχώρουν, εἰ ὡς ἐκ πόλεως ἦσαν ὁδεύοντες ὡς πρὸς ἀγροὺς ἢ θέατρα, ἂν δὲ πρὸς πόλιν ὡς ἐκ θεάτρου ἢ ἀπ' ἀγροῦ, διὰ δεξιᾶς. τοιαύτη μὲν ἡ τῆς σκηνῆς ἐργασία.

Τὰ σκηνικὰ δ' ἀπ' αὐτῆς καλούμενα δράματα καὶ πρακτικῶς ἐτελεῖτο καὶ λογικῶς· σύστασις δὲ τούτων ὑπῆρχε τὰ τῶν ὑποκριτῶν πρόσωπα. ταῦτα δὲ τοῖς μὲν τραγικοῖς καὶ σατυρικοῖς ἀνὰ δεκαεξ ἦσαν· ὁ κωμικὸς δὲ εἶχεν εἴκοσι τέσσαρα· ἃ δὴ πρόσωπα ὑποκριτικὰ τῶν τριῶν σκηνικῶν ποιημάτων, τὰ οἰκεῖα τῷ καθ' ἑνὶ αὐτῶν καὶ οἰκείῳ ἠθροισμένα ὁρῶντα, ὁ χορὸς ἐκαλεῖτο. διαιρεθεὶς δὲ ὁ χορὸς εἰς τμήματα δύο, ἡμιχόρια ὠνομάζετο, παραχρηστικῶς δὲ καὶ χορός· εἰ δὲ καθ' ἕνα ἐτέμνετο, ὑποκριταὶ ἐκαλοῦντο κοινῷ ὀνόματι, διὰ τὸ μὴ δύνασθαι μιᾷ κλήσει περιειλῆφθαι, ὡς ὁ χορὸς καὶ τὰ ἡμιχόρια. διαιροῦνται γὰρ τὰ μερικὰ ταῦτα εἰς πολλὰ, εἰς προλογίζοντας, εἰς ἀγγέλους, εἰς ἐξαγγέλους, εἰς κατασκόπους, εἰς φύλακας, εἰς ἥρωας, εἰς θεοὺς, καὶ εἰς ἄλλα μύρια.

Τούτων οὖν προσώπων τὸ ὅλον ἄθροισμα, ὃ καὶ χορὸς ἐκαλεῖτο, εἰσελθὸν εἰς τὴν ὀρχήστραν, ἣν ἔφασαν καὶ λογεῖον (ἐκαλεῖτο δὲ ἡ εἰσέλευσις εἴσοδος, καὶ ἐπήλυσις, καὶ ἐπίβασις, καὶ πάροδος, καὶ παράβασις), εἰσελθὸν οὖν καὶ παραβὰν εἰς τὴν ὀρχήστραν πρὸς τοὺς ὑποκριτὰς τὸν λόγον ποιούμενον, τὸ πρόσωπον βλέπον εἶχε πρὸς τὴν σκηνήν· ἐξελθόντων δὲ τῶν ὑποκριτῶν, πρὸς τὸ τοῦ δήμου μέρος ἐστρέφετο ἢ τὸ δεξιὸν ἢ τὸ ἀριστερόν· καὶ πάλιν ἀντεστρέφετο πρὸς τὸ ἕτερον καὶ ἔλεγέ τι ἑκατέροις τοῖς μέρεσι· εἶτα ἐξήρχετο, καὶ τέλος τὸ δρᾶμα ἐλάμβανεν. ταῦτα μὲν οὖν ἦσαν πρακτικὰ τέσσαρα μέρη τοῦ δράματος, παράβασις, στροφὴ, ἀντίστροφος καὶ ἔξοδος. καὶ λογικὰ δὲ μέρη αὐτῆς τέσσαρα, ἀντὶ παραβάσεως ἤγουν πρώτης βάσεως πρόλογος, ἀντὶ δὲ στροφῆς καὶ ἀντιστρόφου ᾠδὴ καὶ ἀντῳδὴ, ἐπίρρημα καὶ ἀντεπίρρημα, ἀντὶ δὲ ἐξόδου ᾠδὴ καὶ ῥῆμα ἐξιτήριον. ταῦτα μὲν τὰ τέσσαρα μέρη πρακτικὰ καὶ λογικὰ τῶν δραματικῶν ποιημάτων ὑπῆρχε. τῶν δὲ λυρικῶν συγγραμμάτων τρία ἦσαν τὰ μέρη, στροφὴ, ἀντίστροφος, καὶ ἔξοδος ἢ ἐξέλευσις, πρακτικά· λογικὰ δὲ, ᾠδὴ, ἀντῳδὴ καὶ ἐπῳδός. ἡ οὖν ἀντῳδὴ τῇ ᾠδῇ ἰσαρίθμους ἔχει στίχους, καὶ τοῖς αὐτοῖς μέτροις ἑκατέρα χρῆται· ὁ δὲ ἐπῳδὸς διάφορα ἐκείνων ἔχει καὶ τῷ ἀριθμῷ καὶ τῇ ποιότητι οὐδαμοῦ. ἐφθέγγοντο δὲ καὶ οἱ λυρικοὶ πρὸς ἑκάτερα μέρη τοῦ δήμου ὁρῶντες, πρῶτον μὲν τὴν ᾠδὴν, εἶτα τὴν ἀντῳδὴν, ἐπὶ δὲ τῷ τέλει τοῦ ἐπῳδοῦ ἤγουν ὑστερῳδήν τε καὶ ἐπίλογον, εἰς εὐχὰς τὸ πλεῖστον αὐτῶν περικλείοντες. προοίμιον δὲ τούτοις οὐκ ἦν ὡς ἐκείνοις, ὅτι ἅμα τῷ εἰσελθεῖν εἰς τὸ θέατρον πρὸς τὸν δῆμον στραφέντες ἅμα τὸ αὐτὸ ἔλεγον καὶ στροφὴν καὶ προοίμιον.

IX b.

ΠΕΡΙ ΚΩΜΩΔΙΑΣ.

(*Ex scholiis ad Dionys. Thrac. grammat. in Bekkeri Anecd. p.* 747, 748, *ad verba Dionysii* p. 629, 18: ἵνα τὴν μὲν τραγῳδίαν ἡρωϊκῶς ἀναγνῶμεν, τὴν δὲ κωμῳδίαν βιωτικῶς.)

Κωμῳδία ἐστὶν ἡ ἐν μέσῳ λαοῦ κατηγορία ἤγουν δημοσίευσις· εἴρηται δὲ παρὰ τὸ κώμη καὶ τὸ ᾠδή· ἔστι δὲ εἶδος ποιήματος ἐν κώμαις κατὰ τὸν βίον

κλείδην. In margine codicis ἴσως Εὐβουλίδην. Male. — 1 μέρος Meinekius. Codex μέλος. — 4 codex ἐπειδὰν δὲ, quam voculam delevit Meinekius. — 9 codex τρίτη μικρόν. — 26 δὲ uncis inclusit Meinek. — 81 οὐδαμοῦ vocab. corruptum, nisi forte scripsit, τὰ αὐτὰ δὲ vel ἴσα δὲ οὐδαμοῦ.

ᾀδόμενον. διὰ τοῦτο καὶ « βιωτικῶς » λέγεται, τουτέστιν ἱλαρῶς, ὡς ἂν εὔξαιτό τις βιῶναι, ἀντὶ τοῦ ἐν ἡδονῇ καὶ γέλωτι. δεῖ οὖν τῷ τὴν κωμῳδίαν ὑποκειμένῳ μετὰ γέλωτος καὶ πολλῆς ἀστειότητος καὶ ἱλαροῦ τοῦ προσώπου προσφέρεσθαι. ἢ « βιωτικῶς » κατὰ μίμησιν τοῦ βίου, ἵνα, ἂν μὲν ὑπόκειται γέρων, μιμησώμεθα τὴν φωνὴν τοῦ γέροντος· εἰ δὲ γυνή, μιμησώμεθα τὴν φωνὴν τῆς γυναικός. διαφέρει δὲ κωμῳδία τραγῳδίας, ὅτι ἡ τραγῳδία ἱστορίαν ἔχει καὶ ἐπαγγελίαν πράξεων γενομένων, ἡ δὲ κωμῳδία πλάσματα περιέχει βιωτικῶν πραγμάτων. — Κωμῳδία λέγεται τὰ τῶν κωμικῶν ποιήματα, ὡς τὰ Μενάνδρου καὶ Ἀριστοφάνους καὶ Κρατίνου καὶ τῶν ὁμοίων. ἐφευρέθη δὲ ἡ κωμῳδία, ὥς φασιν, ἔκ τινος τοιαύτης αἰτίας. βλαπτόμενοί τινες γεωργοὶ παρὰ τῶν πολιτῶν τῶν ἐν Ἀθήνῃσι, καὶ θέλοντες ἐλέγχειν αὐτοὺς, κατήεσαν ἐν τῇ πόλει, καὶ περὶ τὸν καιρὸν τοῦ καθεύδειν περιιόντες περὶ τὰς ἀγυιὰς ἔλεγον ἀνωνυμεὶ τὰς βλάβας, ἃς ἔπασχον ὑπ' αὐτῶν. ἵνα δὲ σαφέστερον εἴπωμεν, τοιαῦτά τινα ἐβόων, « ἐνταῦθα μένει τις τάδε « καὶ τάδε τισὶ ποιῶν τῶν γεωργῶν, καὶ οὐ μετρίας « βλάβας ἐπιφέρων αὐτοῖς. » ὥστε τοὺς γειτνιῶντας ἀκούοντας ἡμέρας γενομένης πρὸς ἀλλήλους λέγειν ἅτινα νύκτωρ παρὰ τῶν γεωργῶν ἤκουσαν. ἐπονείδιστον δὲ ἦν τῷ ἀδικοῦντι. τὸν δὲ ἐμφανιζόμενον τοῖς τῆς πόλεως, αἰδεῖσθαι καὶ παύεσθαι τῆς τοιαύτης ἀδικίας. τούτοις πολλάκις παρακολουθήσαντες ἄλλοι πολλοὺς τῶν ἀδικούντων ἀνέστειλαν. ὅθεν τοῖς τῆς πόλεως ἔδοξεν ἐπ' ἀγαθῷ γεγονέναι τὸ ἐγχείρημα τῶν κωμικῶν, καὶ ἀναζητήσαντες αὐτοὺς ἠνάγκασαν καὶ ἐπὶ θεάτρου τοῦτο ποιεῖν. οἱ δὲ αἰδούμενοι, μᾶλλον δὲ φοβούμενοι, τρυγίᾳ περιχρίοντες αὐτῶν τὰς ὄψεις, οὕτως εἰσῄεσαν. καὶ ἔτι μᾶλλον ἐλεγχομένων τῶν ἀδικούντων ἐπὶ θεάτρῳ, ἀνοχὴ τῶν ἀδικιῶν ἐγένετο, τῆς αἰδοῦς ἔτι συνοικούσης τοῖς ἀνδράσιν. ἔδοξεν οὖν τοῖς τῆς πόλεως τὸ ἐγχείρημα καλὸν ὑπάρχειν, καὶ λογίους ἄνδρας αὐτὸ μετιέναι. πρῶτον οὖν Σουσαρίων τις τῆς ἐμμέτρου κωμῳδίας ἀρχηγὸς ἐγένετο. οὗ τὰ μὲν δράματα λήθῃ κατενεμήθη, δύο δὲ ἢ τρεῖς ἴαμβοι τοῦ πρώτου δράματος ἐπὶ μνήμῃ φέρονται. εἰσὶ δὲ οὗτοι·

ἀκούετε λεὼς, Σουσαρίων λέγει τάδε,
υἱὸς Φιλίνου, Μεγαρόθεν Τριποδίσκιος·
κακὸν γυναῖκες· ἀλλ' ὅμως, ὦ δημόται,
οὐκ ἔστιν οἰκεῖν οἰκίαν ἄνευ κακοῦ.

ἀρχὴν οὖν δεξαμένου τοῦ πράγματος πολλοὶ γεγόνασι κωμῳδοὶ, ἐλέγχοντες τοὺς κακῶς βιοῦντας, καὶ τοὺς ταῖς ἀδικίαις χαίροντας, ἀναστέλλοντες τὰς ἀκαίρους καὶ ἀδίκους αὐτῶν πράξεις, καὶ ὠφελοῦντες κοινῇ τὴν πολιτείαν τῶν Ἀθηναίων. ἐπειδὴ δὲ τὸ μὲν παράνομον ἐπὶ τὰ χερείονα νικᾷ, τὸ δὲ καλὸν ταχέως ἀφίπταται τῆς τῶν ἀνθρώπων πολιτείας, οὐ μετὰ πολὺν χρόνον οἱ ἄρχοντες Ἀθήνῃσιν ἤρξαντο κωλύειν τοὺς κωμικοὺς τοῦ μὴ φανερῶς οὕτω καὶ ὀνομαστὶ ἐλέγχειν τοὺς ἀδικοῦντας. αὐτοὶ γὰρ θέλοντες ἀδικεῖν καὶ μὴ ἐλέγχεσθαι, τούτου χάριν ἐπετίμων αὐτοῖς. ὅθεν ὥσπερ αἰνιγματωδῶς καὶ οὐ φανερῶς ἠλέγχοντο ὑπὸ τῶν κωμικῶν. ἔτι δὲ ἐπὶ τὸ πλεῖον προϊούσης καὶ ἐπικρατούσης τῆς κακίας, ἐκωλύθησαν τοῦ καὶ αἰνιγματωδῶς ἐλέγχειν καὶ ὑβρίζειν τοὺς κρατοῦντας καὶ ἄρχοντας τῆς πόλεως. διὸ καὶ τρεῖς διαφορὰς ἔδοξεν ἔχειν ἡ κωμῳδία. καὶ ἡ μὲν καλεῖται παλαιὰ, ἡ ἐξ ἀρχῆς φανερῶς ἐλέγχουσα, ἡ δὲ μέση τις καὶ αἰνιγματώδης, ἡ δὲ νέα μηδ' ὅλως τοῦτο ποιοῦσα πλὴν ἐπὶ δούλων ἢ ξένων. καὶ τῆς μὲν παλαιᾶς πολλοὶ γεγόνασι, ἐπίσημος δὲ Κρατῖνος, ὁ καὶ πραττόμενος· μετέσχον δέ τινος χρόνου τῆς παλαιᾶς κωμῳδίας Εὔπολίς τε καὶ Ἀριστοφάνης. τῆς δὲ μέσης καὶ αὐτῆς μὲν πολλοὶ γεγόνασιν, ἐπίσημος δὲ Πλάτων τις, οὐχ ὁ φιλόσοφος, ἀλλ' ἕτερός τις. ὁμοίως κἀκείνου τὰ δράματα οὐ φαίνεται. τῆς δὲ νέας ὁμοίως πολλοὶ γε-

IX b.

14 Κωμῳδία λέγεται. Hæc et sequentia ex codice Barocciano 116, fol. 29 b, edidit Gaisfordus ad Hephæst. p. 409—411. Comparanda cum his sectio IV, IX, a, et quæ sectioni XV subjuncta sunt.—15 τῶν om. cod. Vat. Bekkeri. Ἀθήναις Vat. — 20 περὶ Barocc. παρὰ exemplar Bekkeri. — 21 περὶ om. Vat. Idem mox ἀγυιὰς ἔνθα ἔμενον οἱ βλάπτοντες αὐτοὺς ἔλεγον. Ib. ἀνωνύμως Barocc., qui 22 ἃς ἔπασχον ὑπ' om. — 24 ποιῶν τισὶ Barocc. — 26 γενομένης Barocc. γινομένης Bekk. Ib. ἃ νύκτωρ Barocc. — 28 ἐπονείδιστον ποιεῖν τὸν ἀδικοῦντα Vat. Ib. ἀδικοῦντι. τὸν δὲ ἐμφανιζόμενον Barocc. ἀδικοῦντι τόδε, ἐμφανιζόμενον Bekk. p. 748, 6. τὸν δὲ ἐμφανῆ γενόμενον Vat. — 29 τοῖς ἐπὶ τῆς, 30 sq. πολλοὶ, omisso ἄλλοι, 35 τρυγὶ, 36 εἰσίεσαν, 38 αὐτοῖς ἀνδρ., 39 καλῶς Barocc. — 40 Σουδαρίων Bekk. hic et infra. — 42 κατανεμήθησαν Barocc., qui 43 πρώτου om. — 45 sqq. Sunt, fateor, quinque versus iambici, qui Susarioni adscribantur, et forte revera sunt ejus: ἀκούετε λεώς· Σουσαρίων λέγει τάδε, | υἱὸς Φιλίνου Μεγαρόθεν Τριποδίσκιος· | κακὸν γυναῖκες, ἀλλ' ὅμως, ὦ δημόται, | οὐκ ἔστιν οἰκεῖν οἰκίαν ἄνευ κακοῦ. | καὶ γὰρ τὸ γῆμαι, καὶ τὸ μὴ γῆμαι κακόν. Exstant quattuor versus antecedentes in commentario Diomedis Scholastici in Dionysium Thracem MS., qui nunc est in bibl. Regia; ultimus, cum tribus aliis apud Stobæum tit. 67 [69, 2], primus, tertius, et quartus, apud Diomedem 3, p. 486, ac tertius et quartus apud [schol. Lysistr. 1037, et] Suidam v. Οὔτε σύν. Secundum v. emendavit Pearsonus Vind. Ignat. 2, p. 11: nam valde corruptus est in MS. Sed in primo versu, ut edidit ille, Ἀκούετε λέξεως, Σουσαρίων τάδε λέγει, duo vitia sunt contra numerum versus iambici. Quod mendum ut clueretur, pro λέξεως in Diomede repositum est λέξιν. Sed verum est, Ἀκούετε λεώς, ut est apud Stobæum, i. e. *Audite, populus, etc. etc.* Bentleius Dissert. Phalarid. p. 109. — 45 τάδε λέγει Barocc. — 46 Φιλήνης μεγὰρ ὄθεν Vat. γεγαρόθου (pro Μεγαρόθεν) Barocc. et cod. Venet. ap. Bekker. τριποδίσκος Barocc. et Venet. τρίποδος κίων Vat. — 52 ὠφέλουν, 53 πόλιν τῶν Barocc. — 54 pro ἐπὶ legendum ἀεὶ ex Regio supra IX, a, l. 37. Verba Homeri sunt Il. A, 576. — 57 τοὺς φανερῶς οὕτως, 60 ἠλέγχοντο Barocc. ἐλέγχονται Bekk. — 62 καὶ κρατούσης Barocc. Alterum καὶ om. Bekk. — 63 sq. κρατοῦντας καὶ om. Barocc., qui 65 ἔχειν ἔδοξεν. — 66 τις om. Bar — 69 de πραττόμενος v Meinek. Hist. Com. p. 560. — 70 τῆς δὲ παλαιᾶς, 71 καὶ αὐτοὶ, 72 τις Πλάτων Barocc., qui 78 κῶμα γὰρ ὁ ὕπνος omittit.

γόνασιν, ἐπίσημος δὲ ὁ Μένανδρος, ὃς ἄστρον ἐστὶ τῆς νέας κωμῳδίας, ὡς μεμαθήκαμεν. Εἴρηται δὲ κωμῳδία οἱονεὶ ἐπὶ τῷ κώματι ᾠδή, καὶ γὰρ περὶ τὸν καιρὸν τοῦ ὕπνου ἐφευρέθη· κῶμα γὰρ ὁ ὕπνος· ἢ ἡ τῶν κωμητῶν ᾠδή· κῶμαι γὰρ λέγονται οἱ μείζονες ἀγροί.

X.

ΑΝΔΡΟΝΙΚΟΥ ΠΕΡΙ ΤΑΞΕΩΣ ΠΟΙΗΤΩΝ.

(*Ex codice Paris.* 2929 *in Bekkeri Anecd.* p. 1461.)

Κωμικῶν δὲ ὁ γέλως μετὰ τοῦ καὶ χορευτὰς εἰσάγειν καὶ πρόσωπα τοιαῦτα, οἷός ἐστιν Ἀριστοφάνης, Εὔπολις, Φερεκράτης. ἀλλ' ἡ μὲν κωμῳδία τρεῖς ἔχει τὰς διαφορὰς, καὶ ἡ μὲν καλεῖται ἀρχαία ἐξ ἀρχῆς φανερῶς ἐλέγχουσα, ἧς ἐπίσημοι Ἀριστοφάνης, Κρατῖνος, Εὔπολις· ἡ δὲ μέση τις καὶ αἰνιγματώδης, ἧς ἐπίσημος Πλάτων ὁ τὸν χαρακτῆρα λαμπρότατος, οὐχ ὁ φιλόσοφος, ἀλλ' ἕτερός τις καὶ αὐτὸς Ἀθηναῖος, οὗτινος τὰ δράματα τάδε λέγονται, Γρῦπες Κλεοφῶν Πρέσβεις Παιδίον Σοφισταὶ Συμμαχία Σκευαὶ Ἄδωνις Ἀφιέρων (Ἀφ' ἱερῶν) Δαίδαλος Ἑλλὰς Ἑορταὶ Εὐρώπη Ζεὺς κακούμενος Ἰὼ Λαΐος Λάκωνες Μύρμηκες Μέτοικοι Μενέλεως Μαμμάκουθος Ξάντριαι Νῖκαι Νὺξ μακρὰ Πείσανδρος Περιαλγὴς Ποιητὴς Σύρφαξ Ὑπέρβολος. ἡ δὲ νέα μηδ' ὅλως αἰνιγματώδης, πλὴν ἐπὶ δούλων καὶ ξένων, ἧς ἐπίσημος Μένανδρος καὶ παρὰ Ῥωμαίοις Τερέντιος καὶ Πλαῦτος. χρῆται δὲ προτάσει καὶ ἐπιτάσει καὶ ἀναστροφῇ ὁ Τερέντιος καὶ εἰς πέντε σκηνὰς διαιρεῖ τὸ δρᾶμα. Πλαῦτος περιοχὴν ποιεῖ τῆς αὐτοῦ κωμῳδίας, Τερέντιος δ' οὔ.

X a.

SCHOLION PLAUTINUM.

(*Edidit ex codice Plauti Romano Fr. Ritschelius in libro de bibliothecis Alexandrinis. Vratisl.* 1838, *p.* 3.)

EX CÆCIO IN COMMENTO COMŒDIARUM ARISTOPHANIS IN PLUTO, QUAM POSSUMUS OPULENTIAM NUNCUPARE.

Alexander Ætolus et Lycophron Chalcidensis et Zenodotus Ephesius impulsu regis Ptolemæi Philadelphi cognomento, qui mirum in modum favebat ingeniis et famæ doctorum hominum, Græcæ artis poeticos libros in unum collegerunt et in ordinem redegerunt, Alexander tragœdias, Lycophron comœdias, Zenodotus vero Homeri poemata et reliquorum illustrium poetarum. Nam rex ille philosophis affectissimus et cæteris omnibus autoribus claris, disquisitis impensa regiæ munificentiæ ubique terrarum quantum valuit voluminibus opera Demetrii Phaleri et LXX ††) senum duas bibliothecas fecit, alteram extra Regiam, alteram autem in Regia. In exteriore autem fuerunt millia voluminum quadraginta duo et octingenta. In Regiæ autem bibliotheca voluminum quidem commixtorum volumina quadraginta milia, simplicium autem et digestorum milia nonaginta, sicuti refert Callimacus aulicus Regius bibliothecarius, qui etiam singulis voluminibus titulos inscripsit. Fuit præterea qui idem asseveret Eratosthenes non ita multo post ejusdem custos bibliothecæ. Hæc autem fuerunt omnium gentium ac linguarum quæ habere potuit docta volumina, quæ summa diligentia Rex ille in suam linguam fecit ab optimis interpretibus converti. Ceterum Pisistratus sparsam prius Homeri poesim ante Ptolemæum Philadelphum annis ducentis et eo etiam amplius sollerti cura in ea quæ nunc extant redegit volumina, usus ad hoc opus divinum industria celeberrimorum et eruditissimorum hominum, videlicet Concyli, Onomacriti Atheniensis, Zopyri Heracleotæ et Orphei Crotoniatæ. Nam carptim prius Homerus et non nisi difficillime legebatur. Quin etiam post Pisistrati curam et Ptolemæi diligentiam Aristarchus adhuc exactius in Homeri elimandam collectionem vigilavit. Heliodorus multa aliter nugatur, quæ longo convicio Cecius reprehendit. Nam ab LXXII doctis viris a Pisistrato huic negotio præpositis dicit Homerum ita fuisse compositum, qui quidem Zenodoti et Aristarchi industriam omnibus prælatam comprobarint, quod constat fuisse falsissimum, quippe quum inter Pisistratum et Zenodotum fuerint anni supra ducentos, Aristarchus autem CXL annis minor fuerit ipso et Zenodoto atque Ptolemæo.

X.

12 καλαύμενος, 13 ξάνται, 14 περίαλγος codex.

X a.

1 CÆCIO, h. e. Tzetza, ut primus monuit G. Dindorfius. Frustra, ut mihi quidem videtur, repugnat Cramerus. Nec tamen ideo totum illum, ex quo hæc latine conversa sunt, de comœdia tractatum eidem auctori adscripserim, quamquam negari non potest multa in eo inesse Tzetzæ stupore diguissima. MEINEK. — 5 codex *Ephestius*. — 12 *affectissimus* Dindorfius. Codex *affertissimus*. — 16 *et LXX* Bernhardyus in Annal. crit. Berol. 1838, vol. 2, p. 828. Codex obscuris literarum ductibus *phzka*. — 36 *Concyli* ex corrupto græco supra IX, a, p. XIX, 45. « Bernhardyus p. 835 *Eucli* (v. Lobeck. Aglaoph. p. 300), de quo non videtur cogitari posse. DIND. — 42 *Heliodorus*. De hoc nomine jure dubitat Bernhard. p. 833. DIND. Bernh. *alia nugatur*. In græcis fuisse videtur ἄλλως φλυαρεῖ. MEINEK. — 44 *ab LXXII doctis* Bernhardyus p. 831, quod nunc confirmatur græcis editis. Codex *ol' LXXII duobus*. — 48 *falsissimum*. Quam opinionem graviter hoc loco reprehendit Tzetza, eam ipse sequitur in Exegesi in Iliadem, prius, ut videtur, scripta, p. 45, 46 et 125, quos locos indicavit Bernh. p. 833. DIND. — 50 *CXL* Bernhardyus p. 832. Codex *quattuor*

X b.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ

ΣΤΙΧΟΙ ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΠΟΙΗΤΩΝ.

Ποιητικῶν μέλλουσιν ἄρχεσθαι λόγων
χρεὼν διδάσκειν πρῶτα τὰς διαιρέσεις·
οὕτω γὰρ εὐσύνοπτον ἔσται τοῖς νέοις
καὶ δὴ τὸ λοιπὸν ἐγκαταρκτέον λέγειν.
ποιητικὸν γίνωσκε σὺ γένος, νέε,
πολλὰς τομὰς φέρον τε καὶ διαιρέσεις·
τὸ μὲν γὰρ αὐτῶν λυρικὴν κλῆσιν φέρει,
ἄλλο τραγικὴν, κωμικὴν, μονῳδίαν,
καὶ σατυρικὸν καὶ διθύραμβον πάλιν·
ἰαμβογραφία τε τούτοις συντρέχει,
ποιητικόν τε πᾶν ἀνώνυμον γένος.
καὶ δὴ τὸ πᾶν γνώρισμα σαφηνιστέον.
τῶν λυρικῶν γνώρισμα πρῶτον ἡ λύρα·
πρὸς γὰρ λύραν ἔμελπον αὐτοὶ τὰ μέλη·
εἶχον δὲ πεντήκοντα τοὺς χοροστάτας,
καὶ βοῦς τὸ δῶρον κυκλικῶς ἑστηκότων·
ὅθενπερ αὐτούς τις καλεῖ ταυροσφάγους.
τοῦ λυρικοῦ κύκλου δὲ σύστημα τόδε·
Κόρινναν, Σαπφὼ, Πίνδαρος, Βακχυλίδης,
Ἀνακρέων, Ἴβυκος, Ἀλκμὰν, Ἀλκαῖος,
Στησίχορός τε καὶ Σιμωνίδης ἅμα,
δεκὰς ἀρίστη παντελὴς πληρεστάτη.
τὴν τραγικὴν μάνθανε καὶ κωμῳδίαν.
ἄμφω πρὸς ὠφέλειαν εὑρηνται βίου·
τὴν δ' εὕρεσιν μάνθανε πῶς ἐφευρέθη.
πένητες ἄνδρες Ἀττικοὶ γῆς ἐργάται,
ἀδικίας πάσχοντες ἐν γεωργίαις
ἐξ Ἀττικῶν μὲν εὐγενῶν δὲ τῷ γένει,
ἀντιλέγειν δὲ μὴ σθένοντες μηδόλως,
συνεργὸν ἐξεύραντο τὸν νυκτὸς χρόνον·
κώμαις γὰρ αὐτοὶ ταῖς στενωπαῖς τριόδοις
κῶμα κατ' αὐτὸ καὶ γλυκὺν ὕπνου χρόνον
περιτρέχοντες καὶ λέγοντες τὰς βλάβας
θόρυβον εἰργάσαντο τοῖς πέριξ μέγαν,
ὡς ἡλίου τρέχοντος ἡμέρας δρόμον
ζητεῖν, ἐρευνᾶν πανταχοῦ τοὺς αἰτίους,
καὶ τοὺς γεωργοὺς τοὺς παθόντας τὰς βλάβας.
ἐπεὶ δ' ἐφευρέθησαν οἱ γῆς ἐργάται,
ἤτησεν αὐτοὺς Ἀττικὴ γερουσία
κώμοις παρ' αὐτοῖς καὶ πότοις Διονύσου
τελουμένοις κώμαις τε καὶ τοῖς χωρίοις
βλάβας κατειπεῖν ἃς ἔλεξαν ἐννύχως·
οἱ δ' αὖ θέλοντες ἅμα καὶ δεδοικότες
τρυγὶ καταχρίσαντες αὐτῶν τὰς θέας
ἀγνωστοφανεῖς εἶπον ὡς πρὶν τὰς βλάβας.
ἐπεὶ δ' ἐσωφρόνισε τὸ πρᾶγμα πόσους,
ἔδοξε πᾶσι τοῖς σοφοῖς βουληφόροις
πρὸς σωφρονισμὸν τοῦτο παντὸς τοῦ βίου
ἀεὶ τελεῖσθαι τοῖς ἐτησίοις κύκλοις,
ἐαρινῷ μάλιστα καιρῷ δὲ πλέον.
καὶ πρῶτον αὐτά πως μετῆλθον ἀγρόται,
κωμῳδίαν δή φημι καὶ τραγῳδίαν
καὶ σατυρικὴν τῶνδε τὴν μεσαιτάτην.
ἄνδρας μετ' αὐτοὺς ἀξιοῦσι πανσόφους
ἅπαντα πράττειν εὐγενῶς καὶ κοσμίως,
οὕσπερ τὸ λοιπὸν καὶ διδασκάλους ἔφαν.
κλῆσις δὲ τοῖς σύμπασιν ἦν τρυγῳδία·
χρόνῳ διῃρέθη δὲ κλῆσις εἰς τρία,
κωμῳδίαν ἅμα τε καὶ τραγῳδίαν
καὶ σατυρικὴν τῶνδε τὴν μεσαιτάτην.
ὅσον μὲν οὖν ἔσχηκε τὴν θρηνῳδίαν,
τραγῳδίαν ἔφασαν οἱ κριταὶ τότε·
ὅσον δὲ τοῦ γέλωτος ἦν καὶ σκωμμάτων,
κωμῳδίαν ἔθεντο τὴν κλῆσιν φέρειν·
ἄμφω δὲ πρὸς σύστασιν ἦσαν τοῦ βίου·
ὁ γὰρ τραγικὸς τῶν πάλαι πάθη λέγων,
Ῥήσους, Ὀρέστας, Φοινίκας (sic), Παλαμήδεις,
τοὺς ζῶντας ἐξήλαυνεν ἀγερωχίας.
ὁ κωμικὸς δὲ πῶς γελῶν κωμῳδίαις
ἅρπαγα τινὰ καὶ κακοῦργον καὶ φθόρον
τὸ λοιπὸν ἡδραίωσεν εἰς εὐκοσμίαν.
οὕτω λύει μὲν ἡ τραγῳδία βίον,
βαθροῖ δὲ καὶ πήγνυσιν ἡ κωμῳδία,
ὁμοῦ σκυθρωποῖς τῇ χαρᾷ μεμιγμένη.
διαφορὰν ἔφημεν αὐτῶν ἀρτίως,
τοὺς εὑρετὰς δὲ τοιγαροῦν νῦν λεκτέον.
Τριττὴν νόει δὲ πρῶτον τὴν κωμῳδίαν·
πρώτην, μέσην, ἔπειτα καὶ τὴν ὑστέραν.
πρώτης μὲν ἦν ἴδιον ἐμφανὴς ψόγος·
ἧς ἦν κατάρξας εὑρετὴς Σουσαρίων.

X b et c.

Ediderunt hæc Dübnerus in Museo Rhenano 1835, p. 393 seqq. (adde 1836, p. 154 sq.) et Cramerus in Anecd. Oxon. vol. III, p. 334 sqq. Usus est Dübnerus codice *Parisino* Regio 2644, Cramerus recentioribus duobus, *Barocciano* et *Meermanniano*. Titulo addunt λογιζέσθωσαν δὲ μὴ ὡς στίχοι, ἀλλ' ὥσπερ συντάγματα καταλογάδην γραφόμενα. — 5 ποιητικὴν Par. — 6 φέρων Par. Bar. — 11 πανανώνυμον codices. — 17 τις. Schol. Par. Κρατῖνος ὁ κωμικός. Ταυροσφάγους Tzetzes videri potest commentus esse, ac fortssae Meinekius rectam formam invito largitur. — 23 τὴν φαλλικὴν Par. — 28 ἐξαττικῶν Par. Probabiliter Meinekius ἐξ ἀστικῶν. — 40 καὶ πρὸ τοῖς apud Cramerum. — 45 ἀγνωστοφανῶς Cram. — 46 πόσους Bar. ποσις Meerm. πό .. Par., σον in litura. a sec. m. — 51 αὐτὰ πῶς codices. — 69 ὁ addidit Dübnerus. — 71 codices ἡδραίωσεν. — 73 βαθροῖ Barocc. — 74 μεμιγμένη Cramer. — 76 μοι λεκτέον Par. supra scripto νῦν. — 80 schol. : Ὁ (om. Par.) Σουσαρίων οὗτος ὁ κωμικὸς, φαύλης τῆς γυναικὸς τούτου φανείσης καὶ τοῦτον ἀπολειπούσης, εἰσελθὼν ἐν τῷ θεάτρῳ ἀνεφθέγξατο (Par. ἐφθέγξατο) ταδί·

Ἀκούετε λεὼ, Σουσαρίων λέγει τάδε,
υἱὸς Φιλίνου Μεγαρόθεν Τριποδίσκιος
κακὸν (κακῶν Meerm.) γυναῖκες, ἀλλ' ὁμῶς, ὦ δημόται,
οὐκ ἔστιν εὑρεῖν οἰκίαν ἄνευ κακοῦ.

ἰστέον δὲ ὡς τῶν Σουσαρίωνος τούτου ποιημάτων μόνα ταῦτα

τῆς δευτέρας ἦν ὁ ψόγος κεκρυμμένος,
ἧς ἦν Κρατῖνος, Εὔπολις, Φερεκράτης,
Ἀριστοφάνης, Ἑρμιππός τε καὶ Πλάτων·
καὶ τῆς τρίτης ἦν ὁ ψόγος κεκρυμμένος,
πλὴν κατὰ δούλων καὶ ξένων καὶ βαρβάρων,
ἧς ἦν Μένανδρος ἐργάτης καὶ Φιλήμων.
Τραγῳδίας μάνθανε τοὺς διδασκάλους·
Θέσπιν, Φρύνιχον, Αἰσχύλον, Σοφοκλέα·
ὕστατος αὐτὸς Εὐριπίδης Μνησάργου,
κἄνπερ κατεῖδε τὸν σοφὸν Σοφοκλέα.
σατυρικὸν δὲ Πρατίναν οἶδα μόνον·
ἄλλους δ' ἐφευρὼν εἰ θέλεις, τέκνον, γράφε.
Εἰ δ' ἀκριβῶς ἅπαντα μανθάνειν θέλεις,
Ὅμηρος ἐστὶ καὶ πατὴρ κωμῳδίας,
καὶ σατυρικῆς ἅμα καὶ τραγῳδίας,
ἄλλης τε πάσης ἐν λόγοις εὐτεχνίας.
τούτοις δὲ κοινὸν, τοῖς τρισὶ χοροστάταις,
ἐν τετραγώνῳ τῇ στάσει καθεστάναι,
τράγον τε πρὸς δώρημα τῆς νίκης φέρειν,
καὶ δημοσίαν τὴν τροφὴν ἐσχηκέναι,
μιμητικῶς τε πάντα δρᾶν τῇ θυμέλῃ.
ὅθενπερ ἐσχήκασι κλῆσιν δραμάτων·
μίμους γὰρ ἐκτρέφοντες ἄνδρας θυμέλῃ
μιμητικοῖς ἔπραττον ἅπαντα τρόποις,
ἀνδρῶν, γυναικῶν ἐκμιμούμενοι θέας.
ταῦτα τὰ κοινὰ τῶνδε καὶ μεμιγμένα.
διαφορὰν μάνθανε τῆς κωμῳδίας,
ἧς εἰκοσιτέσσαρες οἱ χορεργάται,
ἑκκαίδεκα δὲ σατύρων, τραγῳδίας.
Κωμῳδίας ἔφημεν εἶναι τὸν γέλων,
τραγῳδίας πάλιν δὲ τὴν θρηνῳδίαν,
τῶν σατύρων γέλων δὲ καὶ θρηνῳδίαν.
κλῆσιν δὲ νῦν μάνθανε τῆς κωμῳδίας·
κώμαις στενωποῖς κώματος πρὶν ἐν χρόνῳ
ἐφευρέθη μὲν, ὡς ἔφην ἀνωτέρω,
ἀγρῶν δὲ κώμαις ἐκτελουμένη τότε,
κώμοις παρ' αὐτοῖς καὶ πότοις Διονύσου,
κωμῳδίας ἔσχηκε κλῆσιν εὐλόγως.
τραγῳδία δὲ παρὰ τὴν οἴνου τρύγα,
ἐν ᾗπερ ἐξέχρισαν τὰς αὐτῶν θέας,
ἢ παρὰ τὴν τρύγα δὲ τὴν δωρουμένην,
ἤτοι τὸν οἶνον Ἀττικῷ πάντως λόγῳ,
ἢ τὸν τράγον δὲ καὶ τετράγωνον στάσιν,
ἢ τὴν τραχῳδίαν τε καὶ θρηνῳδίαν.
τὸ σατυρικὸν ἐκ σατύρων εὑρέθη·
τοὺς ἀγρότας δὲ πρὶν ἐκάλουν σατύρους·
ἐκ τῶνδε γοῦν εὕρηκε τὴν κλῆσιν τόδε·
ἔσχηκε καὶ κλῆσιν δὲ ταῦτα δραμάτων,
οὐ μὴν δὲ λοιπὸν ὡς τὰ λοιπὰ γραμμάτων·
ἐδρῶντο καὶ γὰρ ἐν μίμοις πρὶν ἀνδράσιν
εἰς Τηλέφου μίμημα καὶ Φιλοκτήτου,
οὐδ' ἐν μόνοις γράμμασιν εἶχε τὴν στάσιν.
Μονῳδίαν μάνθανε σὺν αὐτοῖς, τέκνον·
γίνωσκε κυρίως δὲ τὴν μονῳδίαν,
ὅταν μόνος λέγῃ τις ἐν θρηνῳδίαις,
κατὰ δὲ παράχρησιν, ἂν λέγῃ μόνος,
ὥσπερ Λυκόφρων εἰς Ἀλεξάνδραν γράφει
ἄλλοις γὰρ ἐστὶ τραγικὸς χορεργάτης
πολλὰς γεγραφὼς καὶ σοφὰς τραγῳδίας.
ἔφην τὸ λοιπὸν καὶ μονῳδούς σοι, τέκνον·
τοὺς διθυράμβους τοιγαροῦν μοι λεκτέον.
οὗτοι λυρικὸν καὶ χορὸν καὶ τὴν στάσιν
καὶ δῶρον εἶχον. τὰ δὲ λοιπά μοι μάθε·
οἱ πρὸς τὸν Διόνυσον γράφοντες λόγους
παμπλειστοσυστρόβητον ἔγραφον μέλος,
οἷόνπερ αὐτὸς στίχον ἀρτίως ἔφην,
ἀσματοκαμπῶν πλειστοποικίλῳ τρόπῳ
Ταῦτα δ' ἐποίουν ἐκμιμούμενοι τρόπους
τοὺς βακχικούς τε καὶ στροφὰς πολυστρόφους·
κλῆσιν δὲ διθύραμβον ἔσχον, ὦ τέκνον,
ἐκ Διονύσου βακχικοῦ χοροστάτου,
ὅστις περ ἐξέδραμε θύρας τὰς δύο,
μηρὸν Διός τε καὶ Σεμέλης γαστέρα.
Φιλόξενον δὲ τὸν Κυθήριον λέγε
τῶν διθυράμβων εὑρετὴν συγγραμμάτων.
ἰαμβογράφους γλωττοτοξότας νόει
Πάριον Ἀρχίλοχον, αἰσχρὸν ἐν λόγοις,
καὶ δεινὸν Ἱππώνακτα πικρίας πλέων,
οὗπερ παρεισέγραψέ τις τύμβῳ τάδε·
« Οὐ βότρυν, ἀλλ' ἄχερδον ἐν τάφῳ φέρει,
« στύφοντα, πικραίνοντα πικρίᾳ λόγων·
« ἀλλά τις Ἱππώνακτος ἐλθὼν εἰς τάφον
« τὸν ἄνδρα κνώσσειν εὐμενῶς εὔχου κάτω. »
ἰὸν δέ πως βάζοντες ἐμπίκροις λόγοις
κλῆσιν κατεπλούτησαν ἰαμβογράφων.
Ποιητικὸν δὲ πᾶν ἀνωνύμως λέγε

κατελείφθη τὰ τέσσαρα ἰαμβεῖα· ἡ δὲ λέξις ἡ λέγουσα Τριποδίσκιος (—ισκίου ap. Cram.), τοῦ, φησὶν, ἀπὸ πόλεως Τριποδίσκου, μιᾶς τῶν Μεγαρικῶν πόλεων. — 88 Φρυνιχον sine acc. Par. Φρυνίχον Cramer. — 91 Πραττίναν Cram. — 92 schol. : τοῦτο εἶπον ἠπατημένος τοῖς ἐξηγουμένοις Εὐριπίδην καὶ Σοφοκλέα, γράψασιν οὕτω· τὸ δρᾶμα τὸ τῆς Ἀλκήστιδος Εὐριπίδου καὶ ὁ Ὀρέστης καὶ ἡ Σοφοκλέους Ἠλέκτρα καὶ ὅσα τοιαῦτα σατυρικὰ ἐστὶ (εἰσι Crameri codd.) καὶ οὐ τραγικά· ἀπὸ συμφορῶν γὰρ καὶ δακρύων εἰς χαρὰν καταντῶσιν. οὕτω μὲν οὖν ἔγραψα περὶ τῶν σατύρων τούτοις ἠπατημένος· ἐντυχὼν δὲ σατυρικοῖς δράμασιν Εὐριπίδου, αὐτὸς μόνος ἐπέγνων ἐκ τούτων σατυρικῆς ποιήσεως καὶ κωμῳδίας διαφοράν· ἡ μὲν οὖν κωμῳδία δριμέως τινῶν καθαπτομένη διαβολαῖς, ἐπιλοιδορίαις κινεῖ γέλωτα· ἡ δὲ σατυρικὴ ποίησις ἄκρατον καὶ ἀμιγῆ λοιδορίας (λοιδορὰς Bar.) ἔχει τὸν γέλωτα πάνυ ἡδύτατον, οἷον τὸν ἐν θυμέλαις. — 95 ὅμου καὶ male ap. Cramer. — 102 ὅθεν παρεσχήκασι ap. Cramer. — 109 ἐκκέδεκα Meerm. Barocc. omittit versus 109—113. — 117 κώμας παρ' αὐτὰς Par. librarii errore. — 120 αὐτῶν libri. — 124 τραγωδίαν Par. supra scripto χω, et addita glossa ἔστι δὲ καὶ ζῶον. — 130 versus in codice Par. rasura deletus est. — 132 γράμμᾶς Meerm. — 134 κυρίαν Par. — 135 ὃ πανμόνος λέγῃ Par. λέγει ap. Cram. — 138 fortasse ἄλλος scribendum. 1ta Alexandræ auctorem a Chalcidensi distingueret. MEINEK. — 154 φιλόξενος δὲ τὸν κιθύριον Meerm. — 164 ἐμπικρῶς ap. Cramer. — 173 τις Par. dia-

ὅπουπερ εὑρήσειας αὐτός μοι, τέκνον,
ἡρωικὸν μέτρον τε καὶ μύθους ἅμα,
λέξιν τε ποιὰν ἱστορικήν τε φράσιν.
πεντὰς δὲ τούτων ἐστὶν ἐξηρημένη,
Ὅμηρος, Ἡσίοδος, Πάνυσις τρίτος,
Πείσανδρος, Ἀντίμαχος, οἱ δ' ἄλλοι νέοι,
ὧνπερ τὸν ἐσμὸν τίς διαγράψοι λόγος;
οὕτω τὰ πάντα σὺ μαθὼν κατ' ἀξίαν
γίνωσκε καλῶς καὶ διακρίνων βίβλους.
[ὡς τεχνικῶς βαδίζε (sic) πρὸς λόγων τρίβους.]

X c.

ΤΟΥ ΑΥΤΟΥ ΙΑΜΒΟΙ ΤΕΧΝΙΚΟΙ ΠΕΡΙ ΚΩΜΩΔΙΑΣ.

Ἐπείπερ ἡμῶν τοῖς ἀτέχνοις πρὶν στίχοις
τριπλῆν τελεῖν εἴρηκα τὴν κωμῳδίαν,
πρώτην ὁμοῦ μέσην τε καὶ τὴν ὑστέραν,
ἔφην δὲ καὶ γνώρισμα τῶν τριῶν τότε,
οὐκ ἀκριβῶς ἔφην δὲ πᾶν μέχρι τέλους·
τὰ νῦν φέρε γράψωμεν ἠκριβωμένως,
πόσα μέρη τε τυγχάνει κωμῳδίας,
καὶ τῆς παραβάσεως ὁπόσα τὰ μέρη,
τίνα δὲ ταῦτα, τεχνικῶς τε πῶς πρέπει
κωμῳδίας γράφειν τε καὶ τραγῳδίας.
μέρη μέν εἰσι τέσσαρα κωμῳδίας·
πρῶτον πρόλογος, τὸ μέχρι χοροῦ τῆς εἰσόδου·
τὸ τοῦ χοροῦ μέλος δὲ δεύτερον λέγω·
ἐπείσοδος τρίτον δέ· τί δὲ τυγχάνει;
λόγος μεταξὺ πλὴν μελῶν χορῶν δύο·
τέταρτον ἐστὶν ἔξοδος· ταύτης μέρος
λόγος χοροῦ τις τῷ τέλει λελεγμένος.
τόσα μέρη μὲν εἰσὶ τῆς κωμῳδίας.
ἑπτὰ δὲ παραβάσεως εἰσὶ μέρη,
ἃ νῦν σαφῶς ἄκουε λεπτῷ τῷ λόγῳ.
ὁ κωμικὸς χορὸς μὲν ὀρχήστρας τόποις,
τὴν ἣν λογεῖον νῦν καλοῦμεν, ἠγμένος,
ὑποκριταῖς μὲν προσλαλῶν ἄλλοις μέτροις
σκηνὴν πρὸς αὐτὴν ἣν ὁρῶν κωμῳδίας,
αὐτῶν ἀπελθόντων δὲ πρὸς δῆμον βλέπων,
ὃ καὶ στροφὴν ἔσχηκε τὴν κλῆσιν φέρον·
ἐκ τετραμέτρων ἕξ τε καὶ δέκα στίχους,
ἀναπαιστικοὺς δὲ τοῖς μέτροις, ἐφθέγγετο,
ἀντιστροφὴν δ' ἔφασκεν, εἶτα δευτέρως
τοιῷδε μέτρῳ καὶ ποσῷ τόσων στίχων·
τοὺς δ' αὖ στροφῆς λόγους τε σὺν ἀντιστρόφῳ
ἅπας παλαιός πως ἐπίρρημα λέγει.
ἡ πάροδος ὅλη χοροῦ δὲ παράβασις.
ἂν οὖν ἐπὶ θέατρον ἐκ πολισμάτων
ἐδείκνυ δῆθε τὴν ὁδὸν ποιούμενος,
ἀριστερᾶς ἔβαινεν ἀψῖδος τόπων·
εἰ δ' ὡς ἀπ' ἀγροῦ, δεξιᾶς διὰ τόπων,
ἐν τετραγωνίζοντι τοῦ χοροῦ τύπῳ,
ὑποκριταῖς τὸ βλέμμα δεικνύων μόνοις·
ὧν ἐκβαμόντων ἑπτάκις ἐστραμμένος
χορὸς καθώρα πρὸς διπλῆν δήμου στάσιν·
τὸ δ' ἑπτασυστρόβητον ὄρχημα τόδε
παράβασιν ἔσχε τῷ γένει (τὴν) κλῆσιν φέρειν·
ὄρχησις ἡ πρώτη τε τὴν κλῆσιν γένους,
μακρὸν δὲ δὴ πνῖγός τε τὸ τρίτον πάλιν,
τέταρτον ᾠδὴ καὶ στροφὴ κλῆσιν φέρει·
τὸ πέμπτον αὖτέ τις ἐπίρρημα λέγει,
τὸ δ' ἕκτον ἔσχε κλῆσιν ἀντῳδῆς φέρειν,
ἀντιστροφῆς ἅμα τε σὺν αὐτῇ λέγω.
τὸ δ' ἕβδομόν τις ἀντεπίρρημα λέγει·
Τζέτζη δ' ἀρεστὸν οὐδαμῶς ἐστι τόδε,
οὐδ' αὖ τὸ πέμπτον, ἀλλά σοι ταῦτα λέγει
τὰς πρακτικὰς μὲν συστροφὰς χοροῦ δύο
σκηνὴν πρὸς αὐτὴν πρός τε τὸν δῆμον νόει
στροφὰς καλεῖσθαι, σὺν δὲ μὴν ἀντιστρόφους,
τοὺς τετραμέτρους οὓς ἔφη δὲ τῶν στίχων
τρανῶς ἐπιρρήματι τοὺς πρώτους λέγει·
τοὺς δευτέρους αὖ ἀντεπίρρημα πάλιν·
Τζέτζης μὲν αὐτὰ τῶν μερῶν τῆς ἑπτάδος
παρεξελών τε καὶ διώξας μακρόθεν
ᾠδὴν διαιρεῖ καὶ στροφὴν ὡς πρὸς δύο
ἀντιστροφὴν αὐτήν τε κἀντῳδὴν ἅμα·
οὕτω τε πλήροι σοι πάλιν τὴν ἑπτάδα,
ᾠδὴν καλεῖ δὲ πρὸς θεοὺς τινὰς λόγους,
στροφὴν πάλιν δὲ τοὺς πρὸς ἄνθρωπον λόγους.
τὴν δ' ἀντῳδὴν εἰς θεοὺς πάλιν λέγει
ἀντιστροφὴν δὲ πρὸς γονὰς ἐτησίους.

γράφει Meinek. — 176 om. Par. Est variatio versus 175, quales ludere solebat Tzetzes.

X c

4 γνωρισμάτων τρ. ap. Cramer. — 5 πέλους Par. — 8 ὁπόσα δὲ τὰ libri omnes. Probabiliter etiam τῆς delet Meinekius. — 21 ὁ om. Cramer. — 22 ἠγμένος Barocc. ἠμεγμ Meerm. ..γμένος Par. Primæ literæ, macula tectæ, fuisse videntur με vel μα, præmissum ab altera, ut videtur, manu ἡ. — 23 Schol. in cod. Par.: Δέκα ἑτέροις μέτροις ἐχρῶντο, ἃ περὶ τὸ τέλος τοῦδε εὑρῆς, καὶ τῷ τετραμέτρῳ τῶν ἀναπαίστων. — 26 φέρον a sec. m. Par. A pr., ut Cram., φέρων. — 29 ἀντίστροφος ἔφασκεν ap. Cramerum. — 30 πόσῳ Cram. — 31 συναντιστρόφῳ Par. — 32 παλαιὸς πῶς libri. — 33 ἡ in Par. a sec. m. In eodem inter δὲ et παράβασις superne pictum ω, a sec. m. in ο vel οι mutatum. Meerm. δὲ ὦ παραβ. Fortasse ἡ πάροδος δ' ὅλη χοροῦ παράβασις. — 34 Par. *N* ἂν οὖν, fortasse Η ex superiore versu male huc delatum. ἐπιθέατρον ap. Cram. — 36 ἀψίδος libri. — 41 καθόρα ap. Cram — 43 dele τὴν. MEINEK. — 49 ἀντιστροφὴν Par. — 55 Schol. in Par.: Κατὰ τὸν Τζέτζη τὰ ἑπτὰ εἴδη τῆς παραβάσεως ἡ μέρη· ἐκβάλλει μὲν τὸ ἐπίρρημα ἐκ τοῦ πέμπτου τόπου· καὶ τὸ ἀντεπίρρημα ἐκ τοῦ ἑβδόμου. παράβασιν δὲ καλεῖ τὸ γένος, καὶ τὸ πρῶτον ὄρχημα· τρίτον μακρὸν καὶ πνῖγος· τέταρτον ᾠδὴν τὴν καὶ ἐπίρρημα· πέμπτον ἀντῳδὴν τὴν (sic Meinek. Codex πέμπτην· ἀντῳδὴ δὲ τὴν) καὶ ἀντεπίρρημα· ἕκτον στροφήν· ἕβδομον ἀντιστροφήν. — 56 τοῦ τετραμετροῦς Cramer., ex Meerm. annotans τετραμετροὶς. — 61 libri διαιρεῖν. — 64 προσθετοὺς Bar. —

ταῦτα μὲν οὕτω· καὶ ταδὶ δέ μοι μάθε,
ὡς ἡ παλαιὰ συγγραφὴ κωμῳδίας
ἦρτο πρὸς ὄγκον Ἀττικῆς γλώττης λόγοις,
ἐχρῆτο καὶ μέτροις δὲ ποικίλοις στίχων,
χορῶν τε χρείαν εἶχεν· ἡ νέα δέ γε
γλώττης σαφοῦς πρῶτα μὲν ἥρμοστο λόγοις,
πλείστῳ δὲ χρῆται τῶν ἰάμβων τῷ μέτρῳ·
καὶ δὴ σὺν αὐτοῖς καὶ χορῶν ἀποτρέχει,
τὸ τοῦ σκοποῦ δὲ πλάσμα καὶ λέξις ἅμα.
παρεισφοροῦσιν ἡδονὴν κωμῳδίαις
καὶ τὸν γέλωτα τοῖς ὁμωνύμοις πλέον
ἐσχηματισμένα τε καὶ παρῳδίαι,
καὶ κλήσεων πλάσεις δὲ καὶ μεταπλάσεις·
σὺν οἷς κορισμοὶ καὶ καταχρήσεις ἅμα.
Σκαμβῶν μετ' αὐτὰ νῦν μελῶν κλῆσιν μάθε.
λέγοντες ἦσαν ταῦτα καιροῖς τῶν πότων·
σκαμβὰ δ' ἔφασκον ὡς ἁπλᾶ μᾶλλον τάδε·
ἄλλοι δὲ φασίν, ὡς ἀναγκαῖον πότοις
ᾄδειν ὑπῆρχε πρὸς ψαλάγματα λύρας·
ὅσοις ἐνῆν δὲ μηδαμῶς λύρας τέχνη,
δάφνης λαβόντες εἴτε μυρσίνης κλάδους,
ἧδον καλοῦντες σκαμβὰ τὰ λύρας μέλη·
ἄλλοι δὲ τοὺς ᾄδοντας εἶπον τὴν λύραν,
οὐχὶ κατ' εὐθύ, συστροφαῖς δὲ λαμβάνειν·
οὕτω τὸ λοιπὸν κλῆσιν ἔσχε τὰ μέλη.

X d.

EX CODICE COISLINIANO APUD CRAMERUM ANECD. PARIS. VOL. I, 403.



ἡ τραγῳδία ὑφαιρεῖ τὰ φοβερὰ παθήματα τῆς ψυχῆς δι' οἴκτου, καὶ ὅτι συμμετρίαν θέλει ἔχειν τοῦ φόβου· ἔχει δὲ μητέρα τὴν λύπην.

Κωμῳδία ἐστὶ μίμησις πράξεως γελοίου καὶ ἀμοίρου μεγέθους τελείου, χωρὶς ἑκάστου τῶν μορίων ἐν τοῖς εἴδεσι δρῶντος, καὶ δι' ἀπαγγελίας, δι' ἡδονῆς καὶ γέλωτος περαίνουσα τὴν τῶν τοιούτων παθημάτων κάθαρσιν· ἔχει δὲ μητέρα τὸν γέλωτα. γίνεται δὲ ὁ γέλως.



---

65 ἀνθρώπων Par. Meerm. — 77 κωμῳδίας Barocc. In Par. gl. καθηδύνουσι τὴν κωμῳδίαν. — 88 μυρσίνους Par. — 89 σκαμβαιὰ Par. a sec. m. — 91 συστροφῶν ap. Cramerum.

X d.

Codex est antiquissimus, n. 120, membranaceus form. in fol. et seculo decimo pulcherrima manu scriptus. Præter alia insunt varia logica schemata, quibus interposita sunt medio fol. 248 verso inter τέλος τοῦ α σχήματος et πρῶτος τόπος ἐν β σχήματι, quæ de Comœdia exscripsi. Verba credo sunt alicujus commentatoris in Aristotelis tractatum de Poetica, quæ eapropter notabiliora sunt, quod scriptor pleniorem eum quam qui ad nos pervenit, præsertim ἐν τοῖς περὶ γελοίου (v. Aristot. Rhet. 3, 18), habuisse videtur. CRAMER. — (*) Hæc φωνῇ et τοῖς ὁμογενέσι potius ad σχῆμα λέξεως trahenda sunt. MEINEK. — (†) Ad πίστις additur nota: ὅρκοι, συνθῆκαι, μαρτυρίαι, βάσανοι, νόμοι.

Διαφέρει ἡ κωμῳδία τῆς λοιδορίας, ἐπεὶ ἡ μὲν λοιδορία ἀπαρακαλύπτως τὰ προσόντα κακὰ διέξεισιν, ἡ δὲ δεῖται τῆς καλουμένης ἐμφάσεως.

Ὁ σκώπτων ἐλέγχειν θέλει ἁμαρτήματα τῆς ψυχῆς καὶ τοῦ σώματος.

Σύμμετρα τοῦ φόβου θέλει εἶναι ἐν ταῖς τραγῳδίαις, καὶ τοῦ γελοίου ἐν ταῖς κωμῳδίαις.

Κωμῳδίας ὕλη, μῦθος, ἦθος, διάνοια, λέξις, μέλος, ὄψις. Μῦθος κωμικός ἐστιν ὁ περὶ γελοίας πράξεις ἔχων τὴν σύστασιν. Ἦθη κωμῳδίας τά τε βωμολόχα καὶ τὰ εἰρωνικὰ καὶ τὰ τῶν ἀλαζόνων. Διανοίας μέρη δύο, γνώμη καὶ πίστις. (†) Κωμικὴ ἐστι λέξις κοινὴ καὶ δημώδης. δεῖ τὸν κωμῳδοποιὸν τὴν πάτριον αὐτοῦ γλῶσσαν τοῖς προσώποις περιτιθέναι, τὴν δὲ ἐπιχώριον αὐτῷ ἐκείνῳ. Μέλος τῆς μουσικῆς ἔστιν ἴδιον· ὅθεν ἀπ' ἐκείνης τὰς αὐτοτελεῖς ἁφορμὰς δεήσῃ λαμβάνειν. Ἡ ὄψις μεγάλην χρείαν τοῖς δράμασι τὴν συμφωνίαν παρέχει. Ὁ μῦθος καὶ λέξις καὶ τὸ μέλος ἐν πάσαις κωμῳδίαις θεωροῦνται, διάνοιαι δὲ καὶ ἦθος καὶ ὄψις ἐν ὀλίγαις.

Μέρη τῆς κωμῳδίας τέσσαρα· πρόλογος, χορικόν, ἐπεισόδιον, ἔξοδος. Πρόλογός ἐστι μόριον κωμῳδίας τὸ μέχρι τῆς εἰσόδου τοῦ χοροῦ. Χορικόν ἐστι τὸ ὑπὸ τοῦ χοροῦ μέλος ᾀδόμενον, ὅταν ἔχῃ μέγεθος ἱκανόν. Ἐπεισόδιόν ἐστι τὸ μεταξὺ δύο χορικῶν μελῶν. Ἔξοδός ἐστι τὸ ἐπὶ τέλει λεγόμενον τοῦ χοροῦ.

XI.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΒΙΟΣ.

Ἀριστοφάνης ὁ κωμῳδοποιὸς πατρὸς μὲν ἦν Φιλίππου, τὸ δὲ γένος Ἀθηναῖος, τῶν δήμων Κυδαθηναιεύς, Πανδιονίδος φυλῆς· ὃς πρῶτος δοκεῖ τὴν κωμῳδίαν ἔτι πλανωμένην τῇ ἀρχαίᾳ ἀγωγῇ ἐπὶ τὸ χρησιμώτερον καὶ σεμνότερον μεταγαγεῖν, πικρότερον καὶ αἰσχρότερον Κρατίνου καὶ Εὐπόλιδος βλασφημούντων ἢ ἔδει. πρῶτος δὲ καὶ τῆς νέας κωμῳδίας τὸν τρόπον ἐπέδειξεν ἐν τῷ Κωκάλῳ, ἐξ οὗ τὴν ἀρχὴν λαβόμενοι Μένανδρός τε καὶ Φιλήμων ἐδραματούργησαν. εὐλαβὴς δὲ σφόδρα γενόμενος τὴν ἀρχὴν ἄλλως τε καὶ εὐφυὴς τὰ μὲν πρῶτα διὰ Καλλιστράτου καὶ Φιλωνίδου καθίει δράματα. διὸ καὶ ἔσκωπτον αὐτὸν Ἀριστώνυμός τε καὶ Ἀμειψίας, τετράδι λέγοντες γεγονέναι, κατὰ τὴν παροιμίαν, ἄλλοις πονοῦντα. Ὕστερον δὲ καὶ αὐτὸς ἠγωνίσατο. διεχθρεύσας δὲ μάλιστα Κλέωνι τῷ δημαγωγῷ καὶ γράψας κατ' αὐτοῦ τοὺς Ἱππέας, ἐν οἷς διελέγχει αὐτοῦ τὰς κλοπὰς καὶ τὸ τυραννικόν, οὐδενὸς δὲ τῶν σκευοποιῶν τολμήσαντος τὸ πρόσωπον αὐτοῦ σκευάσαι δι' ὑπερβολὴν φόβου, ἅτε δὴ τυραννικοῦ ὄντος, μηδὲ μὴν ὑποκρίνασθαί τινος τολμῶντος, δι' ἑαυτοῦ ὁ Ἀριστοφάνης ὑπεκρίνατο, αὐτοῦ τὸ πρόσωπον μίλτῳ χρίσας, καὶ αἴτιος αὐτῷ γέγονε ζημίας πέντε ταλάντων, ἃ ὑπὸ τῶν Ἱππέων κατεδικάσθη, ὡς φησιν ἐν Ἀχαρνεῦσιν [5]

ἐγὼδ' ἐφ' ᾧ γε τὸ κέαρ ηὐφράνθην ἰδών,
τοῖς πέντε ταλάντοις οἷς Κλέων ἐξήμεσεν.

διήχθρευσε δὲ αὐτῷ ὁ Ἀριστοφάνης, ἐπειδὴ ξενίας κατ' αὐτοῦ γραφὴν ἔθετο, καὶ ὅτι ἐν δράματι αὐτοῦ Βαβυλωνίοις διέβαλε τῶν Ἀθηναίων τὰς κληρωτὰς ἀρχὰς, παρόντων ξένων. ὡς ξένον δὲ αὐτὸν ἔλεγε παρόσον οἱ μὲν αὐτόν φασιν εἶναι Ῥόδιον ἀπὸ Λίνδου, οἱ δὲ Αἰγινήτην, στοχαζόμενοι ἐκ τοῦ πλεῖστον χρόνον τὰς διατριβὰς ποιεῖσθαι αὐτόθι, ἢ καὶ ὅτι ἐκέκτητο ἐκεῖσε. κατὰ τινὰς δέ, ὡς ὅτι ὁ πατὴρ αὐτοῦ Φίλιππος Αἰγινήτης. ἀπολυθῆναι δὲ αὐτὸν εἰπόντα ἀστείως ἐκ τοῦ Ὁμήρου [Od. A, 215] ταῦτα

μήτηρ μέν τ' ἐμέ φησι τοῦ ἔμμεναι, αὐτὰρ ἔγωγε
οὐκ οἶδ'· οὐ γάρ πώ τις ἑὸν γόνον αὐτὸς ἀνέγνω.

δεύτερον δὲ καὶ τρίτον συκοφαντηθεὶς ἀπέφυγε, καὶ οὕτω φανερὸς κατασταθεὶς πολίτης κατεκράτησε τοῦ Κλέωνος. ὅθεν φησὶν [Ach. 377] « αὐτὸς δ' ἐμαυτὸν ὑπὸ Κλέωνος ἄτ' ἔπαθον ἐπίσταμαι δή » καὶ τὰ ἑξῆς. φασὶ δὲ αὐτὸν εὐδοκιμῆσαι συκοφάντας καταλύσαντα· οὓς ὠνόμασεν ἠπιάλους ἐν Σφηξὶν [1039] ἐν οἷς φησιν « οἳ τοὺς « πατέρας αὐτῶν ἦγχον νύκτωρ καὶ τοὺς πάππους « ἀπέπνιγον. » μάλιστα δὲ ἐπῃνέθη καὶ ἠγαπήθη ὑπὸ τῶν πολιτῶν σφόδρα, ἐπειδὴ διὰ τῶν αὐτοῦ δραμάτων ἐσπούδασε δεῖξαι τὴν πολιτείαν Ἀθηναίων ὡς ἐλευθέρα τέ ἐστι καὶ ὑπ' οὐδενὸς τυράννου δουλαγωγουμένη, ἀλλ' οὐδὲ ὅτι δημοκρατία ἐστὶ, καὶ ἐλεύθερος ὢν ὁ δῆμος ἄρχει ἑαυτοῦ. τούτου οὖν χάριν ἐπῃνέθη καὶ ἐστεφανώθη θαλλῷ τῆς ἱερᾶς ἐλαίας, ὃς νενόμισται ἰσότιμος χρυσῷ στεφάνῳ, εἰπὼν ἐκεῖνα τὰ ἐν τοῖς Βατράχοις [686] περὶ τῶν ἀτίμων « τὸν ἱερὸν χορὸν δίκαιον « πολλὰ χρηστὰ τῇ πόλει συμπαραινεῖν. » ὠνομάσθη δὲ ἀπ' αὐτοῦ, ἐπεὶ ἔνδοξον, τὸ μέτρον τὸ Ἀριστοφάνειον. οὕτω δὲ γέγονεν ἡ φήμη τοῦ ποιητοῦ ὡς καὶ παρὰ Πέρσαις διήκειν καὶ τὸν βασιλέα Περσῶν πυνθάνεσθαι παρ' ὁποτέροις εἴη ὁ κωμῳδοποιός. φασὶ δὲ καὶ Πλάτωνα Διονυσίῳ τῷ τυράννῳ βουληθέντι μαθεῖν τὴν Ἀθηναίων πολιτείαν πέμψαι τὴν Ἀριστοφάνους ποίησιν καὶ συμβουλεῦσαι τὰ δράματα αὐτοῦ ἀσκη-

---

XI.

1 κωμῳδιοποιὸς Ald. et V., ut videtur. — 2 τῶν δήμων Dindorfius. τὸν δῆμον vulgo. τῷ δήμῳ V. Κυδαθηναιεὺς Kusterus. Κυδαθηνεὺς Ald. Κυδαθήναιος V. — 11 καὶ delevit Gelenius. — 12 ἐξεδίδου τὰ ἑαυτοῦ δράματα Reg. — 13 λέγοντες αὐτὸν et 14 ὡς ἄλλοις Reg., ut volebat Gelenius. — 21 ὁ additum ex V. — 22 χρήσας V. — 25 ἐγὼ δ' V. et Ald. γε om. V. εὐφράνθην Ald. — 28 γραφὴν κατ' αὐτοῦ vulgo. — 29 βαβυλλωνίοις V. — 31 φασι Ῥόδιον vulgo. — 33 αὐτόθι ποιεῖσθαι vulgo. — 42 ἄτ' ὢν ἔπ. V. — 47 σφόδρα additum ex V. Ib. ἐπειδὴ Dindorf. ἐπειδὴ δὲ vulgo. Ib. αὐτοῦ V. ἑαυτοῦ vulgo. — 48 τὴν τῶν Ἀθηναίων πολιτείαν vulgo. — 49 διαγωγουμένη V., ex quo 51 οὖν, 53 τὰ addita. — 56 ἐπειδὴ vulgo. — 57 sq., vide Acharn. v. 646. — 62 post ποίησιν addebatur τὴν κατὰ Σωκράτους ἐν Νεφέλαις κατηγορίαν, quæ manifestum est ab recentiore grammatico

θέντα μαθεῖν αὐτῶν τὴν πολιτείαν. ἐγένετο δὲ καὶ αἴτιος ζήλου τοῖς νέοις κωμικοῖς, λέγω δὴ Φιλήμονι καὶ Μενάνδρῳ. ψηφίσματος γὰρ γενομένου χορηγικοῦ, ὥστε μὴ ὀνομαστὶ κωμῳδεῖν τινα, καὶ τῶν χορηγῶν οὐκ ἀντεχόντων πρὸς τὸ χορηγεῖν, καὶ παντάπασιν ἐκλελοιπυίας τῆς ὕλης τῶν κωμῳδιῶν διὰ τούτων αὐτῶν, αἴτιον γὰρ κωμῳδίας τὸ σκώπτειν τινὰς, ἔγραψε Κώκαλον, ἐν ᾧ εἰσάγει φθορὰν καὶ ἀναγνωρισμὸν καὶ τἆλλα πάντα ἃ ἐζήλωσε Μένανδρος. πάλιν δὲ ἐκλελοιπότος καὶ τοῦ χορηγεῖν τὸν Πλοῦτον γράψας εἰς τὸ διαναπαύεσθαι τὰ σκηνικὰ πρόσωπα καὶ μετεσκευάσθαι, ἐπιγράφει χοροῦ, φθεγγόμενος ἐν ἐκείνοις ἃ καὶ ὁρῶμεν τοὺς νέους οὕτως ἐπιγράφοντας ζήλῳ Ἀριστοφάνους. ἐν τούτῳ δὲ τῷ δράματι συνέστησε τῷ πλήθει τὸν υἱὸν Ἀραρότα, καὶ οὕτω μετήλλαξε τὸν βίον, παῖδας καταλιπὼν τρεῖς, Φίλιππον ὁμώνυμον τῷ πάππῳ, καὶ Νικόστρατον καὶ Ἀραρότα, δι' οὗ καὶ ἐδίδαξε τὸν Πλοῦτον. τινὲς δὲ δύο φασὶ, Φίλιππον καὶ Ἀραρότα, ὧν καὶ αὐτὸς ἐμνήσθη,

τὴν γυναῖκα δὲ
αἰσχύνομαι τώ τ' οὐ φρονοῦντε παιδίω

ἴσως αὐτοὺς λέγων.

Ἔγραψε δὲ δράματα μδ', ὧν ἀντιλέγεται τέσσαρα ὡς οὐκ ὄντα αὐτοῦ. ἔστι δὲ ταῦτα, Ποίησις, Ναυαγὸς, Νῆσοι, Νιόβος, ἃ τινὲς ἔφασαν εἶναι τοῦ Ἀρχίππου.

XII.

ΑΛΛΩΣ.

(*Ex codice Veneto* 474.)

Ἀριστοφάνης ὁ κωμῳδοποιὸς Φιλίππου μὲν ἦν παῖς Ἀθηναῖος, Κυδαθηναιεὺς τῶν δήμων· ὃς πρῶτος δοκεῖ τὴν κωμῳδίαν ἔτι πλανωμένην τῇ ἀρχαίᾳ ἀγωγῇ ἐπὶ τὸ χρησιμώτερον καὶ σεμνότερον καταστήσασθαι, πρότερον Κρατίνου καὶ Εὐπόλιδος βλασφημούντων. πρῶτος δὲ καὶ τῆς νέας κωμῳδίας τὸν τρόπον ἐπέδειξε τῷ Κωκάλῳ, ἃ Μένανδρός τε καὶ Φιλήμων δράματα συνεστήσαντο. εὐλαβὴς δὲ σφόδρα γενόμενος ἄλλως τε καὶ εὐφυὴς, τὰ μὲν πρῶτα διὰ Καλλιστράτου καὶ Φιλωνίδου καθίει δράματα. διὸ καὶ ἔσκωπτον αὐτὸν Ἀριστώνυμός τε καὶ Ἀμειψίας, τετράδι αὐτὸν γεγονέναι λέγοντες, κατὰ τὴν παροιμίαν, ἄλλοις πονοῦντα. ὕστερον δὲ καὶ αὐτὸς διηγωνίσατο. διεχθρεύσας δὲ μάλιστα Κλέωνι τῷ στρατηγῷ καὶ γράψας κατ' αὐτοῦ τοὺς Ἱππέας αὐτὸς ὑπεκρίνατο. ὁ δὲ ξενίας αὐτὸς κατ' αὐτοῦ ἔγκλημα ἔθετο. καὶ γὰρ δή φασί τινες αὐτὸν Ῥόδιον γεγονέναι. ἀπελύθη δὲ τὸ μὲν πρῶτον εἰπὼν

μήτηρ μέν τέ μέ φησι τοῦ ἔμμεναι, αὐτὰρ ἔγωγε
οὐκ οἶδ'· οὐ γάρ πώ τις ἐὸν γόνον αὐτὸς ἀνέγνω.

δεύτερον δὲ καὶ τρίτον συκοφαντηθεὶς ἀπέφυγεν. ὅθεν φησὶν « αὐτὸς δ' ἐμαυτὸν ὑπὸ Κλέωνος ἄπαθον ἐπι-« σταμαι διὰ τὴν πέρυσι κωμῳδίαν· εἰσελκύσας γάρ « μ' εἰς τὸ βουλευτήριον διέβαλλε. » φασὶ δὲ αὐτὸν εὐδοκιμῆσαι καταλύσαντα, οὓς ὠνόμασεν ἠπιάλους ἐν Σφηξὶν, ἐν οἷς φησιν « οἳ τοὺς πατέρας ἦγχον νύκτωρ « καὶ τοὺς πάππους ἀπέπνιγον. » μάλιστα δὲ ἐπηνέθη καὶ ἐστεφανώθη θαλλῷ τῆς ἱερᾶς ἐλαίας, ὃς νενόμισται ἰσότιμος χρυσῷ στεφάνῳ, εἰπὼν ἐκεῖνα ἐν τοῖς Βατράχοις περὶ τῶν ἀτίμων « τὸν ἱερὸν χορὸν δίκαιόν « ἐστι χρηστὰ τῇ πόλει συμπαραινεῖν. » τὴν δὲ ποίησιν αὐτοῦ οὕτως ἔνδοξον γενέσθαι, ὡς τὸν μὲν Περσῶν βασιλέα πυνθάνεσθαι παρ' ὁποτέροις εἴη ὁ κωμῳδοποιός, Πλάτωνα δὲ Διονυσίῳ τῷ τυράννῳ βουληθέντι μαθεῖν τὴν Ἀθηναίων πολιτείαν, πέμψαι τὴν Ἀριστοφάνους ποίησιν, τὴν κατὰ Σωκράτους ἐν Νεφέλαις κατηγορίαν. τελευταῖον δὲ διδάξας τὸν Πλοῦτον συν-

temere esse inserta. DIND. — 65 χορηγικοῦ Meinekius Quæst. scen. 1, p. 35. Legebatur χορηγοῦ. — 69 post ἔγραψε addebatur κωμῳδίας τινάς. De quo dixi ad fragm. p. 567 ed. Oxon., 465 ed. Paris. DIND. — 74 ἐπιγράφη V. — 75 ἐπιγράφοντας οὕτω vulgo. — 82 δ' libri. — 87 Νιόβις vulgo. νίορος V. Post Ἀρχίππου in V. et Ald. hæc sequuntur : Ὁ κωμικὸς χορὸς συνέστηκεν ἐξ ἀνδρῶν κδ'. καὶ εἰ μὲν ὡς ἀπὸ τῆς πόλεως ἤρχετο ἐπὶ τὸ θέατρον, διὰ τῆς ἀριστερᾶς ἀψῖδος εἰσήει, εἰ δὲ ὡς ἀπὸ ἀγροῦ, διὰ τῆς δεξιᾶς, ἐν τετραγώνῳ σχήματι, ἀφορῶν εἰς τοὺς ὑποκριτάς. ἀναχωρούντων δὲ τῶν ὑποκριτῶν ἑπτάκις ἐστρέφετο ὁ χορὸς, προσέχων ἐφ' ἑκάτερα μέρη τοῦ θεάτρου. ἐκαλεῖτο δὲ τῷ γένει τὸ τοιοῦτον ὄνομα (ὄρχημα V. Corrigendum videtur σχῆμα. DIND.) τῆς ὀρχήσεως παράβασις, ὁμωνύμως τῷ γένει. τὸ τρίτον μακρὸν, τὸ καὶ πνῖγος. τὸ (τὸ om. Ald.) τέταρτον στροφὴ ἢ ᾠδή. τὸ πέμπτον ἐπίρρημα. τὸ ἕκτον ἀντίστροφος ἢ ἀντῳδή. τὸ ἕβδομον ἀντεπίρρημα. (Addit V. : σκολιὰ λέγεται τὰ πάροινα μέλη τὰ ἐν τοῖς συμποσίοις ᾀδόμενα. καὶ ὡς μὲν ἔνιοί φασιν ἐκ τοῦ ἐναντίου προσηγορεύθησαν· ἁπλᾶ γὰρ αὐτὰ ἐχρῆν εἶναι καὶ εὔκολα ὡς παρὰ πότον ᾀδόμενα. οὐκ εὖ δὲ τοῦτο· τὰ γὰρ δύσφημα ἐπὶ τὸ εὐθυμότερον μεταλαμβάνεται, οὐ τὸ ἔμπαλιν. τί οὖν ἐπάναγκες ἦν τὸ ἐν συμποσίοις ἅπασιν ᾄδειν μετὰ λύρας; ὅσοι δὲ οὐκ ἠπίσταντο λύρᾳ χρῆσθαι, δάφνης ἢ μυρρίνης (μυρίνης V.) κλῶνας λαμβάνοντες ᾖδον. ἐπὶ τοῖς οὖν οὐκ ἐπισταμένοις μέλη πρὸς λύραν ᾄδειν σκολιὰ ἐδόκει· ὅθεν καὶ σκολιὰ ὠνομάσθησαν. τινὲς δὲ οὕτως οὐ κατὰ τὸ ἑξῆς φασι δίδοσθαι τὴν λύραν, ἀλλ' ἐναλλάξ. διὰ τὴν σκολίαν οὖν καὶ μὴ ἐπ' εὐθείας τῆς λύρας περιφέρειαν σκολιὰ ἐλέγετο.) — Ὑποκριταὶ Ἀριστοφάνους Καλλίστρατος καὶ Φιλωνίδης, δι' ὧν ἐδίδασκε τὰ δράματα ἑαυτοῦ, διὰ μὲν Φιλωνίδου τὰ δημοτικὰ, διὰ δὲ Καλλιστράτου τὰ ἰδιωτικά.—Πόσα μέρη κωμῳδίας; α'. πρόλογος τὸ μέχρι τῆς εἰσόδου τοῦ χοροῦ μέρος. β'. χορικὸν τὸ τοῦ (τοῦ om. V.) χοροῦ διδόμενον (fort. ᾀδόμενον, μέλος γ'. ἐπεισόδιον τὸ μεταξὺ δύο χορικῶν μελῶν. δ'. ἔξοδον τὸ ἐπὶ τέλει λεγόμενον τοῦ χοροῦ. εἴρηται δὲ καὶ πόσα μέρη παραβάσεως. ἡ δὲ παράβασις (hæc tria verba om. Ald.) τοῦ χορικοῦ.

XII.

Est etiam in Regio. — 1 sq. γένει μὲν ἦν Ἀθηναῖος, πατρὸς δὲ Φιλίππου, τὸν δῆμον Κυδαθηνεύς, Πανδιονίδος φυλῆς. ὃς Reg. Κυδαθηναῖος V. — 4 χρησ. καὶ om. Reg. « Præstat μεταστήσασθαι. » DIND. — 7 sq. τῷ Κωκ. — συνεστήσ. om. Reg. — 8 σφόδρα om. Reg. — 10 ἐξεδίδου τὰ ἑαυτοῦ δρ., 12 γεγονέναι (hoc repetit) ὡς ἄλλοις Reg. — 13 αὐτοῦ V.— 15 ξενιτείας κατ' Reg. recte.— 16 δὴ φάσκει V. γὰρ ἔφησαν αὐτόν τινες, 17 γεγ., ἕτεροι δὲ Αἰνδιον, οὖσης καὶ τῆς Αἰνδου ὑποτελοῦς τῇ Ῥοδίων. ἀπελ. Reg. — 21 ἀ'παθον Reg. ἃ πάθον V. — 23 με—διέβαλε, 24 συκοφάντας τινὰς καταλ. Reg., qui 30 συμπαραινεῖν habet ante δίκαιόν. — 33 Πλάτων V. Reg. — 36 δὲ τὸ τοῦ Πλούτου δρᾶμα

ἑστησε τῷ πλήθει τὸν υἱὸν Ἀραρότα, καὶ οὕτω μετήλλαξε τὸν βίον, παῖδας καταλιπὼν δύο, Ἀραρότα καὶ Φίλιππον, ὡς αὐτὸς ἐπεμνήσθη

τὴν γυναῖκα δὲ
αἰσχύνομαι τώτ' οὐ φρονοῦντε παιδίω,

Ἀραρότα ἴσως καὶ Φίλιππον λέγων. ἀναγράφει δὲ καὶ τρίτον Νικόστρατον. κατέστρεψε δὲ τὸν βίον διαφερόντως τιμηθεὶς καὶ πολλὰ στεφανωθείς. κατέλειψε δὲ δράματα μγ'. ἐν τούτοις τὰ ἀντιλεγόμενα δ'. ἀποθανόντι δὲ αὐτῷ ἐπὶ τῷ μνήματι παρὰ Πλάτωνος ἐπίγραμμα τοιοῦτον γέγραπται·

Αἱ Χάριτες τέμενός τι λαβεῖν ὅπερ οὐχὶ πεσεῖται
ζητοῦσαι ψυχὴν εὗρον Ἀριστοφάνους.

XIII.

ΑΛΛΩΣ.

(*Ex scholiasta Clarkiano Platonis Apolog. p.* 19, *C*, *in Porsoni Miscellan. p.* 268 *ed. Kidd.*)

Ἀριστοφάνης ὁ κωμῳδιοποιὸς φαλακρὸς ἦν, ὡς καὶ αὐτός φησιν Εἰρήνῃ [771]. ἐκωμῴδεῖτο δ' ἐπὶ τῷ σκώπτειν μὲν Εὐριπίδην, μιμεῖσθαι δ' αὐτόν. Κρατῖνος,

Χρῶμαι γὰρ αὐτοῦ (φησὶ) τοῦ στόματος τῷ στρογγύλῳ,
τοὺς νοῦς δ' ἀγοραίους ἧττον ἢ 'κεῖνος ποιῶ.

καὶ αὐτὸς δ' ἐξομολογεῖται Σκηνὰς καταλαμβανούσαις

Τίς δὲ σύ; κομψὸς. . . . τις ἔροιτο θεατής·
ὑπολεπτόλογος, γνωμιδιώκτης, εὐριπιδαριστοφανίζων.

Ἀριστώνυμος δ' ἐν Ἠλίῳ ῥιγοῦντι καὶ Σαννυρίων ἐν Γέλωτι τετράδι φασὶν αὐτὸν γενέσθαι, διότι τὸν βίον κατέτριψεν ἑτέροις πονῶν· οἱ γὰρ τετράδι γεννώμενοι πονοῦντες ἄλλοις καρποῦσθαι παρέχουσιν, ὡς καὶ Φιλόχορος ἐν τῇ πρώτῃ περὶ ἡμερῶν ἱστορεῖ. ταύτῃ δὲ καὶ Ἡρακλῇ φασὶ γεννηθῆναι. τρεῖς δὲ εἶχεν υἱούς, Φίλιππον τὸν τοῖς Εὐβούλου δράμασιν ἀγωνισάμενον, καὶ Ἀραρότα ἰδίοις τε καὶ τοῦ πατρὸς δράμασι διηγωνισμένων, καὶ τρίτον ὃν Ἀπολλόδωρος μὲν Νικόστρατον καλεῖ, οἱ δὲ περὶ Δικαίαρχον Φιλέταιρον. κατεκλήρωσε δὲ καὶ τὴν Αἴγιναν, ὡς Θεογένης φησὶν ἐν τῷ περὶ Αἰγίνης. κωμῳδεῖται δὲ ὅτι καὶ τὸ τῆς Εἰρήνης κολοσσικὸν ἐξῆρεν ἄγαλμα· Εὔπολις Αὐτολύκῳ, Πλάτων Νίκαις.

XIV.

ΑΛΛΩΣ.

(*Ex Suida.*)

Ἀριστοφάνης, Ῥόδιος, ἤτοι Λίνδιος· οἱ δὲ Αἰγύπτιον ἔφασαν· οἱ δὲ Καμειρέα· θέσει δὲ Ἀθηναῖος· ἐπολιτογραφήθη γὰρ παρ' αὐτοῖς· κωμικὸς, υἱὸς Φιλίππου, γεγονὼς ἐν τοῖς ἀγῶσι κατὰ τὴν ριδ' Ὀλυμπιάδα, εὑρετὴς τοῦ τετραμέτρου καὶ ὀκταμέτρου· παῖδας σχὼν Ἀραρότα, Φίλιππον, Φιλέταιρον, κωμικούς. τινὲς δὲ αὐτὸν καὶ ἀπόδουλον ἱστορήκασι. δράματα δὲ αὐτοῦ μδ'. Ἅπερ δὲ πεπράχαμεν Ἀριστοφάνους δράματα, ταῦτα· Ἀχαρνεῖς Βάτραχοι Εἰρήνη Ἐκκλησιάζουσαι Θεσμοφοριάζουσαι Ἱππεῖς Λυσιστράτη Νεφέλαι Ὄρνιθες Πλοῦτος Σφῆκες.

XV.

ΘΩΜΑ ΤΟΥ ΜΑΓΙΣΤΡΟΥ.

Ἀριστοφάνης ὁ κωμῳδοποιὸς γένει μὲν ἦν Ἀθηναῖος, πατρὸς δὲ Φιλίππου, μητρὸς δὲ Ζηνοδώρας, τὸν δὲ δῆμον Κυδαθηναῖος, Πανδιονίδος φυλῆς. πάνυ δὲ ὢν εὐφυὴς καὶ ἀγχίνους ἐπὶ τοσοῦτον ἐν νέᾳ κομιδῇ τῇ ἡλικίᾳ ηὐδοκίμησεν ἐν κωμῳδίαις ὡς οὐ μόνον τοὺς κατ' αὐτὸν, ἀλλὰ καὶ τοὺς πρὸ αὐτοῦ ὑπεραῖραι· μᾶλλον δὲ οὐδὲ τοῖς ἐπιγιγνομένοις παρῆκεν ὑπερβολὴν, ἀλλὰ καὶ τούτους μετὰ πολλοῦ τοῦ περιόντος παρῆλθεν. οὕκουν ἀνεφάνη τις ὕστερον Ἀριστοφάνει παραπλήσιος. διὰ τοῦτο καὶ παρὰ τοῖς βασκάνοις αὐτοῖς ἀξιοῦται θαύματος. δράματα δὲ τέσσαρα πρὸς τοῖς πεντήκοντα γέγραφεν, ἅπαντα εὐμουσίας καὶ χάριτος Ἀττικῆς μεστὰ, καὶ πείθοντα τοὺς ἀκούοντας θαυμάζειν τε καὶ κροτεῖν. οὕτω δὲ τοῦ τῆς πολιτείας συμφέροντος ἐποιεῖτο λόγον, ὡς μηδένα τῶν ἐπὶ τῆς λαμπρᾶς τύχης οὐδέποτε ἀποσχέσθαι τοῦ σκώπτειν, εἰ ἀδικοῦντος ἤσθετο. ὅθεν καὶ τὴν παρρησίαν αὐτοῦ δεδιότες οἱ τοιοῦτοι μετρίους σφᾶς αὐτοὺς παρεῖχον ἀεὶ καὶ τῷ δήμῳ λυσιτελοῦντας. ἔσχε δὲ τρεῖς υἱοὺς, Φίλιππον, Νικόστρατον καὶ Ἀραρότα. ἀποθανόντα δὲ οὕτω Πλάτων ἐτίμησεν ἐν ἐπιγράμματι ἡρωελεγείῳ

Αἱ Χάριτες τέμενός τι λαβεῖν ὅπερ οὐχὶ πεσεῖται
ζητοῦσαι ψυχὴν εὗρον Ἀριστοφάνους.

ἐκδοὺς, 37 Ἀραρότα καὶ Φίλιππον, 38 sq. καταλιπὼν τούτους δὴ τοὺς παῖδας, ὡς καὶ αὐτὸς, 40 δὲ om., 41 τοῦ τ' οὐ φρονέοντε Reg., 42 ἴσως omittens. — 44 sq. κατέλιπε δὲ δράματα νδ', ὧν ἀμφιβαλλόμενα εἰσὶ δ' Reg. reliquis omissis.

XIII.

7 Indicavi lacunam. πᾶς ἄν inserit Porsonus. DIND. — 10 legebatur διό.

XIV.

4 ριδ'. Error manifestus. Prima enim Aristophanis fabula, Dætalenses, archonte edita est Diotimo, i. e. olymp. 88, 1. — 8 νδ' editio Mediol., correctum ex tribus codicibus optimis. Ib. « πεπράχαμεν, verte, *quæ autem tractavimus Aristophanis dramata hæc sunt.* » HEMST.

XV.

Τοῦ σοφωτάτου καὶ λογιωτάτου κυροῦ θωμᾶ codex Laurentianus plutei 31, 4. Ἄλλως περὶ αὐτοῦ Reg. — 1 κωμῳδιοποιὸς Ald. — 2 μητρὸς δὲ Ζηνοδώρας addidi ex Laurent. plutei 31, 13, et Monacensi. Mirum unde Thomas Magister hoc nomen sumpserit, quod alienum videtur ab ætate Aristophanis. Non habet Laurent. 31, 4. DIND. — 5 εὐδοκ., 9 οὐ γὰρ ἀνεφ. Reg. — 12 δύο, non τέσσαρα, Reg. — 16 μηδέποτε, 17 ἀδικοῦντος ἢ ἄλλως ἤσθετο κακουργοῦντος Reg. ὅθεν καὶ Laur. 31, 13. Aberat καί. — 18 δεδοικότες idem Laur. — 20 Νικόμαχον margo ejusdem

Ἰστέον ὅτι κωμῳδία ἐκλήθη ἀπὸ τοῦ ἐν κώμαις ᾄδεσθαι τὰς κωμῳδίας (κώμας δὲ ἐκάλουν οἱ παλαιοὶ τοὺς στενωποὺς) ἢ ἀπὸ τοῦ ἐν ταῖς κωμάσεσι τοῦ Διονύσου πρῶτον ἐπινοηθῆναι ταυτασὶ, ἢ παρὰ τὸ κῶμα, ὁ ὕπνος. φασὶ γὰρ ὡς πρὸ τοῦ εὑρεθῆναι τοὺς κωμικοὺς ποιητὰς ἀδικούμενοί τινες ὑπό τινων ἀφανῶς ἤρχοντο ἐν νυκτὶ ἐπὶ τοὺς τῶν ἀδικούντων στενωποὺς, βοῶντες, ὁ δεῖνα ἀδικίᾳ χαίρει καὶ τὰ καὶ τὰ πράττει, θεῶν ὄντων καὶ νόμων· καὶ τούτων λεγομένων οἱ συνειδότες ἑαυτοῖς ταῦτα σώφρονες ἐγίνοντο τοῦ λοιποῦ. ἐπεὶ οὖν ἄριστα τοῦτο ἔχον ἐδόκει καὶ τῇ πολιτείᾳ συνοῖσον, ἅτε τῆς μὲν ἀδικίας ἐντεῦθεν παντάπασιν ἀναιρουμένης, δικαιοσύνης δὲ ἀντεσαγομένης καὶ τρόπων χρηστῶν, ἐτάχθησαν ἐπὶ τοῦτο οἱ κωμικοὶ ποιηταὶ, ἐν μέρει παιδιᾶς σκώμματά τε τῶν ἀδικούντων καὶ διδαχὴν ὧν προσῆκεν ἐργαζόμενοι. ἥδοντο δὲ αἱ κωμῳδίαι ἐν τοῖς Διονυσιακοῖς, ἔαρος ὥρᾳ.

XVI.

ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ ΕΙΣ ΑΡΙΣΤΟΦΑΝΗΝ.

(*In Anthologia Palat.* IX, 186.)

Βίβλοι Ἀριστοφάνευς, θεῖος πόνος, αἳσιν Ἀχαρνεὺς
κισσὸς ἐπὶ χλοερὴν πουλὺς ἔσεισε κόμην.
ἠνίδ' ὅσον Διόνυσον ἔχει σελὶς, οἷα δὲ μῦθοι
ἠχεῦσιν, φοβερῶν πληθόμενοι χαρίτων.
ὦ καὶ θυμὸν ἄριστε, καὶ ἤθεσιν Ἑλλάδος ἶσα
κωμικὲ, καὶ στύξας ἄξια καὶ γελάσας.

ΔΙΟΔΩΡΟΥ

ΕΠΙΤΥΜΒΙΟΝ

(*In V. et Anthologia Palat.* VII, 38.)

Θεῖος Ἀριστοφάνευς ὑπ' ἐμοὶ νέκυς, εἴ τινα πεύθῃ
κωμικὸν, ἀρχαίης μνᾶμα χοροστασίης.

XVII.

ΔΗΜΗΤΡΙΟΥ ΤΟΥ ΤΡΙΚΑΙΝΙΟΥ.

Ἴστεον ὅτι πάντα τὰ μέτρα, πλὴν τοῦ δακτυλικοῦ, κατὰ διποδίαν μετρεῖται καὶ ἀνέρχεται μέχρι τοῦ πενταμέτρου. ἔστι δὴ μονόμετρον τὸ ἔχον πόδας β', δίμετρον τὸ ἔχον πόδας ὅ', τρίμετρον τὸ ἔχον ς', τετράμετρον τὸ ἔχον η', πεντάμετρον τὸ ἔχον ι'· καὶ περαιτέρω οὐ προείσι. παντὸς δὲ μέτρου, πλὴν τοῦ δακτυλικοῦ, ἀποθέσεις εἰσὶ ἤτοι καταλήξεις εἰσὶ τέσσαρες· βραχυκατάληκτον, καταληκτικὸν, ἀκατάληκτον καὶ ὑπερκατάληκτον. καὶ βραχυκατάληκτον μέν ἐστιν, ὡς ἐν παραδείγματι ἐπὶ τοῦ μονομέτρου εἰπεῖν, ὅπερ ποδὸς ὅλου δεῖται πρὸς ἀπαρτισμόν· οἷον τὸ φεῦ φεῦ· ἢ τὸ ἰὼ, ἢ τὸ ἔα. ταῦτα γὰρ μονόμετρά ἐστι βραχυκατάληκτα, διὰ τὸ ἔχειν μὲν τὸν ἕνα πόδα, τοῦ ἑτέρου δὲ λείπεσθαι. καταληκτικὸν δὲ τὸ δεόμενον μιᾶς συλλαβῆς πρὸς ἀπαρτισμόν· οἷον τὸ ἰώ μοι, ἢ τὸ ὤμοιμοι. ταῦτα γὰρ μονόμετρά ἐστι καταληκτικὰ, διὰ τὸ ἔχειν ὅλον πόδα καὶ μίαν συλλαβὴν, ἤτοι ἥμισυ ποδὸς, λείπεσθαι δὲ μιᾶς συλλαβῆς πρὸς ἀπαρτισμόν. ἀκατάληκτον δὲ ὅπερ ἀπηρτισμένους ἔχει τοὺς πόδας, οἷον τὸ ἰοὺ ἰού, ἢ τὸ ἰὼ ἰώ, ἢ τὸ φεῦ φεῦ ἰώ. ταῦτα γὰρ μονόμετρά ἐστιν ἀκατάληκτα, διὰ τὸ ἀπηρτισμένους ἔχειν τοὺς πόδας καὶ μὴ ἐλλιπεῖς, ὡς τὰ εἰρημένα. ὑπερκατάληκτον δὲ τὸ ἔχον ἀπηρτισμένους τοὺς πόδας, ἔχον δὲ καὶ συλλαβὴν μίαν πλείονα. εἴρηται δὲ πλὴν τοῦ δακτυλικοῦ, ὅτι τοῦτο μόνον κατὰ μονοποδίαν μετρεῖται, διὰ τὸ εἶναι τοὺς πόδας τρισυλλάβους. ὅτε μὲν οὖν ἀπηρτισμένους ἔχει τοὺς πόδας, λέγεται ἀκατάληκτον· ὅτε δὲ πλείονα συλλαβὴν ἔχει, λέγεται καταληκτικὸν εἰς συλλαβήν· ὅτε δὲ δύο, καταληκτικὸν εἰς δισύλλαβον. οὐκ ἔχει γὰρ ἐν τούτῳ χώραν τὸ βραχυκατάληκτον ἢ τὸ ὑπερκατάληκτον, ὡς οἱ μετρικοί φασι. ταῦτα καὶ ἐπὶ διμέτρου καὶ τριμέτρου καὶ τῶν λοιπῶν συμβαίνει τὰ πάθη.

Τοῦ αὐτοῦ περὶ σημείων τῆς κοινῆς συλλαβῆς τῶν ἐντὸς κειμένων τῆς βίβλου.

Ἐπειδήπερ οἱ πάλαι τὰ περὶ γραμματικῆς συνταξάμενοι σημεῖά τινα σοφῶς ἐπινοήσαντες παραδεδώκασιν, ἐξ ὧν τήν τε δύναμιν καὶ τὴν, ὡς ἂν εἴποι τις, ποιότητα τῶν συλλαβῶν καὶ τὴν προφορὰν διαγινώσκειν ἔχοιμεν (συλλαβῶν δέ μοι καὶ οὐ στοιχείων εἴρηται, ἐπειδὴ τὰ μὲν στοιχεῖα καθ' αὑτὰ κείμενα οὐδεμιᾶς τινος μετέχει δυνάμεως, συλληφθέντα δὲ καὶ οἷον ἑνωθέντα πρὸς ἄλληλα καὶ τὰς συλλαβὰς ἀποτελέσαντα δυνάμεις τέ τινας καὶ ποιότητας ἔχει· ἐπενόησαν δὲ ἄλλα τε σημεῖα, τόνους φημὶ καὶ πνεύματα καὶ τὰ λοιπὰ, ἃ δὴ καὶ προσῳδίας ὠνόμασαν, ὡς πρὸς τὴν ᾠδὴν καὶ τὴν ἐκφώνησιν τῶν συλλαβῶν συντελούσας· πρὸς τούτοις δὲ καὶ μακρᾶς μὲν σημεῖον τοδὶ —, τῆς δὲ βραχείας τουτὶ ◡, τῆς δὲ κοινῆς οὐδαμῶς· ἐκείνων γὰρ καὶ ὅρους ἔθεντο, ταύτης δὲ οὔ. καὶ τὰς αἰτίας αὐτοὶ λέγουσιν), ἐπενοήθη ἔμοιγε τῆς κοινῆς σημεῖον διὰ τὴν τῶν πολλῶν πλάνην· καὶ οἶμαι καλὸν ἂν δόξαι τοῖς εὖ φρονοῦσιν. ἐπενοήθη δὲ διπλοῦν τὸ

codicis. — 25 et seqq. non cohærent cum antecedentibus nec fortasse scripta sunt a Thoma M. Omittit Laur. 31, 13: habet 31, 4. DIND. Omittit etiam Reg.

XVI.

7 Ἐπίγραμμα ἐπιτύμβιον εἰς τὸν Ἀριστοφάνην V., Diodori nomen omittens. Nihil inscriptum in Reg. — 1 Ἀριστοφάνης et κεύθει Reg. ἐμοῦ V. — 2 ἀρχαῖον (a pr. m ἀρχαίων) μνῆμα χοροστασίας Reg.

XVII.

Præcedunt in Ald. excerpta quædam de metris ex Hephæstione, quæ ut inutilia omisi: repetii vero Triclniana, quæ tanquam prolegomena sunt scholiorum metricorum, de quibus in præfatione dixi. Eadem omnia exstant in codice Laurentiano plutei 31, 4, nulla cum memorabili scripturæ diversitate. DIND.

σημεῖον, διὰ τὸ διπλῆν τινα καὶ ταύτην ἔχειν τὴν δύναμιν. ὅτε μὲν οὖν ἀντὶ βραχείας ὀφείλει λαμβάνεσθαι, σημεῖον ἐπενοήθη τοδὶ L, μακρὰ δηλονότι καταρχὰς ἄνω βλέπον τὸ τοῦ ἰῶτα στοιχείου σημεῖον ἔχουσα, ὅτε δ' ἀντὶ μακρᾶς, τοῦτο ἀντεστραμμένον οὑτωσὶ Ⅎ, μακρὰ δηλονότι ἐν τῷ τέλει κάτω νεῦον τὸ τοῦ ἰῶτα σημεῖον ἔχουσα. βέλτιον γὰρ ταῦτα τιθέναι καὶ διαγινώσκειν, ποία ἐστὶν ἡ κοινὴ, ἢ πλανωμένους τινὰς τὸ ποιεῖν γράφειν ποεῖν ἀμαθῶς· καὶ φύσει βραχὺ φωνῆεν, ἔχον δὲ ἐπαγόμενα δύο σύμφωνα, ὧν τὸ δεύτερον ἀμετάβολον ἀεὶ ἀντὶ μακροῦ λαμβάνειν, ἢ καὶ τὸ φύσει βραχὺ φωνῆεν, ὅταν εἰς μέρος λόγου καταλήγῃ, τὴν μακρὰν ἐπιτιθέντας ἀντὶ μακροῦ λαμβάνειν. ἄτοπον γὰρ οἶμαι τοῦτό γε. ταῦτά μοι πρὸς τοὺς συνετοὺς εἴρηται καὶ τῶν μέτρων ἔχοντας πεῖραν. εἰ δέ τινες εἶεν ὑπ' ἀμαθείας μεμφόμενοι, βραχὺς τούτων λόγος. οὐδὲ γὰρ οὐδ' οἱ πάλαι τὰ κάλλιστ' ἐπινενοηκότες ταῦτα τοῖς τοιούτοις ἐκδεδώκασιν, ἀλλὰ τοῖς συνετοῖς, βραχὺν λόγον τῶν μὴ συνετῶν ἔχοντες· ὡς καί που τις ἔφη

Ἀείδω ξυνετοῖσι· θύρας δ' ἐπιθέσθε βέβηλοι.

ἐγὼ δὲ καὶ ἀδικεῖν ἂν φαίην τοὺς συνετοὺς ὃς ἂν ἐπινοήσας σοφόν τι τοῦτο λήθης βυθοῖς κατακρύψειε, δεδιὼς ἴσως τὴν ἐκ τῶν ἀσυνέτων μέμψιν. ἵν' οὖν μὴ καὶ αὐτὸς ἀδικεῖν δόξω τοὺς συνετοὺς, τὸ ἐπελθόν μοι κατὰ νοῦν τούτοις προὔθηκα, οὗτοι δ' ἂν εἰδεῖεν, εἰ καλῶς ἔχει ἢ μή· ἐπεὶ καὶ ἅ μοι περὶ τῶν χορικῶν μελῶν καὶ τῶν ἄλλων τῶν ἐν τοῖς δράμασι φερομένων εἰδῶν ἐπινενόηται θείᾳ τινὶ καὶ ἀπορρήτῳ ἐμπνεύσει, πλεῖστα πονησαμένῳ περί τε τούτων καὶ τῶν ἐν αὐτοῖς μέτρων, καὶ ταῦτ' ἐν τοῖς δράμασιν ἐξετέθη, ὡς ἂν οἱ ἐντυγχάνοντες ἔχοιεν διαγινώσκειν τάς τε στροφὰς καὶ ἀντιστροφὰς τῶν μελῶν καὶ τὰς ἐπῳδοὺς, καὶ τίνος ἐστὶν εἴδους καὶ μέτρου τῶν μελῶν ἕκαστον, καὶ μὴ μάτην τὰ τῶν χορῶν ὁρᾶν μέλη τοῖς ὀφθαλμοῖς, μηδὲν δὲ τούτων εἰδέναι, ὥσπερ τινὲς μὴ γραμμάτων ἔχοντες πεῖραν καὶ βιβλίον ἀνὰ χεῖρας ἀράμενοι βλέπουσι μὲν τύπους γραμμάτων, οὐδὲν δὲ τῶν ἐγκειμένων ἴσασιν.

J. Gelzer, Gnomon 1961, 26 n. ad

W.J.W. Koster, Autour d'une manuscrit d'Aristophane établi par Demetrius Triclinius, Groningen 1957

C. Strecker, De Lycophrone, Euphronio, Cratete Mallota comicorum interpretibus, Diss. Greifswald 1884

P. Boudreaux, Le texte d'A et ses commentateurs Paris 1919

W. Kraus, Testimonia Aristophanea cum scholiis lectionibus Denkschr. Ak. Wien 70, 2, 1931

G. Zuntz, Die A.-Scholien auf Papyri, Byzantion 13, 1938, 631
14, 1939, 595

C. Zacher Die Handschriften u. Classen der A.-Scholien
Hb. f. Class. Philol. Suppl. Bd. 16, 1888

Scholia in Aristophanem Pars I. Prolegomena de Re Metrica, Groningen 1975

J. RE Aristophanes Kaibel
Gelzer (Suppl XIII 1971)
Scholien 2, 1A (1921) 672-80 (Gudeman)

ΑΧΑΡΝΗΣ.

ΥΠΟΘΕΣΕΙΣ.

I.

Ἐκκλησία ὑφέστηκεν Ἀθήνησιν ἐν τῷ φανερῷ, καθ' ἣν πολεμοποιοῦντας τοὺς ῥήτορας καὶ προφανῶς τὸν δῆμον ἐξαπατῶντας Δικαιόπολίς τις τῶν αὐτουργῶν ἐξελέγχων παρεισάγεται. τούτου δὲ διά τινος, Ἀμφιθέου καλουμένου, σπεισαμένου κατ' ἰδίαν τοῖς Λάκωσιν, Ἀχαρνικοὶ γέροντες πεπυσμένοι τὸ πρᾶγμα προσέρχονται διώκοντες ἐν χοροῦ σχήματι· καὶ μετὰ ταῦτα θύοντα τὸν Δικαιόπολιν ὁρῶντες, ὡς ἐσπεισμένον τοῖς πολεμιωτάτοις καταλεύσειν ὁρμῶσιν. ὁ δὲ ὑποσχόμενος ὑπὲρ ἐπιξήνου τὴν κεφαλὴν ἔχων ἀπολογήσεσθαι, ἐφ' ᾧτε, ἂν μὴ πείσῃ τὰ δίκαια λέγων, τὸν τράχηλον ἀποκοπήσεσθαι, ἐλθὼν ὡς Εὐριπίδην αἰτεῖ πτωχικὴν στολήν. καὶ στολισθεὶς τοῖς Τηλέφου ῥακώμασι παρῳδεῖ τὸν ἐκείνου λόγον, οὐκ ἀχαρίτως καθαπτόμενος Περικλέους περὶ τοῦ Μεγαρικοῦ ψηφίσματος. παροξυνθέντων δέ τινων ἐξ αὐτῶν ἐπὶ τῷ δοκεῖν συνηγορεῖν τοῖς πολεμίοις, εἶτα ἐπιφερομένων, ἐνισταμένων δὲ ἑτέρων ὡς τὰ δίκαια αὐτοῦ εἰρηκότος, ἐπιφανεὶς Λάμαχος θορυβεῖν πειρᾶται. εἶτα γενομένου διελκυσμοῦ κατενεχθεὶς ὁ χορὸς ἀπολύει τὸν Δικαιόπολιν καὶ πρὸς τοὺς δικαστὰς διαλέγεται περὶ τῆς τοῦ ποιητοῦ ἀρετῆς καὶ ἄλλων τινῶν. τοῦ δὲ Δικαιοπόλιδος ἀγῶντος καθ' ἑαυτὸν εἰρήνην τὸ μὲν πρῶτον Μεγαρικός τις παιδία ἑαυτοῦ διεσκευασμένα εἰς χοιρίδια φέρων ἐν σάκκῳ πράσιμα παραγίνεται· μετὰ τοῦτον ἐκ Βοιωτῶν ἕτερος ἐγχέλεις τε καὶ παντοδαπῶν ὀρνίθων γόνον ἀνατιθέμενος εἰς τὴν ἀγοράν. οἷς ἐπιφανέντων τινῶν συκοφαντῶν συλλαβόμενός τινα ἐξ αὐτῶν ὁ Δικαιόπολις καὶ βαλὼν εἰς σάκκον, τοῦτον τῷ Βοιωτῷ ἀντίφορτον ἐξάγειν ἐκ τῶν Ἀθηνῶν παραδίδωσι, καὶ προσαγόντων αὐτῷ πλειόνων καὶ δεομένων μεταδοῦναι τῶν σπονδῶν, καθυπερηφανεῖ. παροικοῦντος δὲ αὐτῷ Λαμάχου, καὶ ἐνεστηκυίας τῆς τῶν Χοῶν ἑορτῆς, τοῦτον μὲν ἄγγελος παρὰ τῶν στρατηγῶν ἥκων κελεύει ἐξελθόντα μετὰ τῶν ὅπλων τὰς εἰσβολὰς τηρεῖν· τὸν δὲ Δικαιόπολιν παρὰ τοῦ Διονύσου τοῦ ἱερέως τις καλῶν ἐπὶ δεῖπνον ἔρχεται. καὶ μετ' ὀλίγον ὁ μὲν τραυματίας καὶ κακῶς ἀπαλλάττων ἐπανήκει, ὁ δὲ Δικαιόπολις δεδειπνηκὼς καὶ μεθ' ἑταίρας ἀναλύων. Τὸ δὲ δρᾶμα τῶν εὖ σφόδρα πεποιημένων, καὶ ἐκ παντὸς τρόπου τὴν εἰρήνην προκαλούμενον. ἐδιδάχθη ἐπὶ Εὐθυδήμου [I. Εὐθύνου] ἄρχοντος ἐν Ληναίοις διὰ Καλλιστράτου· καὶ πρῶτος ἦν· δεύτερος Κρατῖνος Χειμαζομένοις. οὐ σώζονται. τρίτος Εὔπολις Νουμηνίαις.

II.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΓΡΑΜΜΑΤΙΚΟΥ.

Ἐκκλησίας οὔσης παραγίνονταί τινες
πρέσβεις παρὰ Περσῶν καὶ παρὰ Σιτάλκους πάλιν,
οἱ μὲν στρατιὰν ἄγοντες, οἱ δὲ χρυσίον·
παρὰ τῶν Λακεδαιμονίων δὲ μετὰ τούτους τινὲς
σπονδὰς φέροντες, οὓς Ἀχαρνεῖς οὐδαμῶς
εἴασαν, ἀλλ' ἐξέβαλον, ὧν καθάπτεται
σκληρῶς ὁ ποιητής. (αὐτὸ τὸ ψήφισμά τε
Μεγαρικὸν ἱκανῶς φησι, καὶ τὸν Περικλέα
οὐκ τῶν Λακώνων τῶνδε πάντων αἴτιον,
σπονδὰς λύσιν τε τῶν ἐφεστώτων κακῶν.)

SCHOLIA IN ACHARNENSES.

(Ἡ εἴσθεσις τοῦ δράματος ἄρχεται ἐκ συστηματικῆς περιόδου καὶ ἑξῆς ἐκ προσώπων ἀμοιβαίων. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι σα', ὧν τελευταῖος, Ἐγὼ δὲ φεύξομαί γε τοὺς Ἀχαρνέας. ὁ μέντοι μγ' κομμάτιον ἀπ' ἐλάσσονος καὶ ρκα' πενθημιμερής. ὁ δὲ ξ' ἑφθημιμερής. ἐξαιρείσθωσαν καὶ αἱ παρεπιγραφαί. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει τῶν στίχων κορωνίς.)

1. Ὅσα δὴ δέδηγμαι: Θαυμαστικὸν τὸ ὅσα, ἀντὶ τοῦ πολλά. ὁ δὲ δή συμπαραπληρωματικὸς αὔξησιν δηλοῖ. (ἐχρήσατο δὲ αὐτῷ καὶ Θουκυδίδης ἐν τῷ προοιμίῳ [I, 1] « κίνησις γὰρ αὕτη δὴ μεγίστη. ») δύναται δὲ λείπειν ἡ κατά πρόθεσις, ἵν' ᾖ, κατὰ τὴν ἐμαυτοῦ καρδίαν· ὃ καὶ βέλτιον. μεταφέρει δὲ ἀπὸ τοῦ βίου ἐπὶ τὴν καρδίαν. ἀντὶ γὰρ τοῦ εἰπεῖν κατὰ τὴν ἐμαυτοῦ ζωήν, κατὰ τὴν ἐμαυτοῦ καρδίαν φησί. δέδηγμαι δὲ ἀντὶ τοῦ ἠνίαμαι, λελύπημαι. καὶ Ὅμηρος [Il. E, 533] « δάκε δὲ φρένας Ἕκτορι μῦθος. » καὶ θυμοδακὴς μῦθος. Ἄλλως. καλῶς ἔφη, δέδηγμαι τὴν καρδίαν, παρόσον περὶ τὴν καρδίαν συνίσταται τὰ

τοῦ θυμοῦ καὶ τὰ τῆς ἡδονῆς· ὡς καὶ παρ' Ὁμήρῳ Ὀδυσσεὺς θυμούμενος κατὰ τῶν μνηστήρων [Od. Υ, 17]

στῆθος δὲ πλήξας, κραδίην ἠνίπαπε μύθῳ·
τέτλαθι δὴ κραδίη,

φάσκων. — δέδηγμαι τὴν : Κατὰ τήν. *Vict.*

3. (ψαμμακοσιογάργαρα : Οἷον πολλὰ καὶ ἀναρίθμητα. τὸ γὰρ ψαμμακόσια καθ' ἑαυτὸ ἐπὶ πλήθους ἐτίθετο. παρὰ μὲν Εὐπόλιδι ἐν Χρυσῷ γένει οὕτως « ἀριθμεῖν θεατὰς ψαμμακοσίους. » παρὰ τὸ ἑξακοσίους ἢ ἑπτακοσίους, ἀπὸ τῆς ψάμμου ἀριθμητικῶς γεγενημένον. καὶ τὰ γάργαρα δὲ ἐπὶ πλήθους ἐτίθετο· ὡς ἐν Λημνίαις

ἀνδρῶν ἑπακτῶν πᾶσ' ἐγάργαιρ' ἑστία.

καὶ παρὰ Ἀριστομένει ἐν Βοηθοῖς « ἔνδον γὰρ ἡμῖν γάργαρα. » καὶ παρὰ Σώφρονι « ἃ δὲ οἰκία τῶν ἀργυρωμάτων γάργαιρε. » καὶ ἐν τῇ τραγῳδίᾳ « χρημάτων τε γάργαρα. » θέλουσι δέ τινες καὶ τὸ παρὰ τῷ ποιητῇ [Il. Υ, 157] « κάρκαιρε δὲ γαῖα πόδεσσι » τὴν πολλὴν κίνησιν τῶν ποδῶν σημαίνειν, οἷον γάργαιρε, καὶ τὸν καρκίνον δὲ οὕτως ὀνομάζεσθαι διὰ τὸ πλῆθος τῶν ποδῶν. Ἄλλως.) ἀπὸ δύο λέξεων τὸ σύνθετον ἐγένετο δηλουσῶν πολλά. σύγκειται γὰρ ἀπὸ τοῦ τῆς ψάμμου τὸν ἀριθμὸν εἰδέναι. ὁ γὰρ Πύθιος [ἡ Πυθίη, Herodot. I, 47] νεανιεύσεται τῆς ψάμμου τὸν ἀριθμὸν εἰδέναι αὐτῶν ἐν οἷς λέγει

οἶδα δ' ἐγὼ ψάμμου τ' ἀριθμὸν καὶ μέτρα θαλάσσης.

(καὶ Εὔπολις ἐπεσημήνατο τὴν λέξιν εἰπὼν « ἀριθμεῖν θεατὰς ψαμμακοσίους. ») δύναται δὲ ἐγκεῖσθαι τῇ λέξει τὰ κόσια, ἥτις ἐστὶ καταληξις τῶν μετὰ τὸν ἑκατὸν ἀριθμῶν μέχρι τῶν χιλίων· ὃς πλήθους ἐστὶ πολλοῦ σημαντικὸς, οἷον διακόσια, τριακόσια, καὶ τὰ ἑξῆς. τὸ δὲ γάργαρα καὶ αὐτὸ ἐπὶ πλήθους λαμβάνεται διὰ τὴν συγγένειαν τοῦ γ τὴν πρὸς τὸ κ. (εἴρηται δὲ ἀντὶ τοῦ ἄφατα καὶ ἀναρίθμητα. τὸ δὲ κάρκαιρε παρὰ τῷ ποιητῇ ἐστὶ « κάρκαιρε δὲ γαῖα πόδεσσι. » μέμνηται δὲ καὶ Κρατῖνος

ἀνδρῶν ἀρίστων πᾶσα γαργαίρει πόλις.

οἷον πλήθει.)

4. ἄξιον χαιρηδόνος : Ἀντὶ τοῦ χαρᾶς. (τῷ τόνῳ δὲ ὡς ἀλγηδόνος.) ὡς γὰρ ἀπὸ τοῦ ἀλγήσω μέλλοντος ἀλγηδών ἀλγηδόνος, οὕτω καὶ ἀπὸ τοῦ χαιρήσω χαιρηδών χαιρηδόνος.

5. (τὸ κέαρ ηὐφράνθην : Σαφῶς Ἀριστοφάνης τὴν καρδίαν εἶπε κέαρ. ἄνω γὰρ εἰπὼν

ὅσα δὴ δέδηγμαι τὴν ἐμαυτοῦ καρδίαν·

νῦν φησιν « ἐφ' ᾧ τὸ κέαρ εὐφράνθην. »)

6. τοῖς πέντε ταλάντοις : Ἁπλήστως ἀλλότρια καταφαγών, ἐξήμεσεν αὐτά. (ἀντὶ τοῦ κλέψας καὶ καταπιὼν ἀπέδωκεν.) ἐζημιώθη γὰρ ὁ Κλέων πέντε τάλαντα διὰ τὸ ὑβρίζειν τοὺς ἱππέας. Παρὰ τῶν νησιωτῶν ἔλαβε πέντε τάλαντα ὁ Κλέων, ἵνα πείσῃ τοὺς Ἀθηναίους κουφίσαι αὐτοὺς τῆς εἰσφορᾶς. αἰσθόμενοι δὲ οἱ ἱππεῖς ἀντέλεγον καὶ ἀπήτησαν αὐτόν. μέμνηται Θεόπομπος.

7. ταῦθ' ὡς ἐγανώθην : Ἀντὶ τοῦ ἐχάρην, ἐφαιδρύνθην. ἀπὸ τοῦ γάνυμαι. Ὅμηρος [Il. Ν, 493] « γάνυται δέ τε φρένα ποιμήν. » ἀπὸ μεταφορᾶς τῶν λαμπρυνομένων χαλκωμάτων.

8. (ἄξιον γὰρ Ἑλλάδι : Τοῦτο παρῳδία καλεῖται, ὅτ' ἂν ἐκ τραγῳδίας μετενεχθῇ. ἔστι δὲ τὸ ἡμιστίχιον ἐκ Τηλέφου Εὐριπίδου, ἔχον οὕτως,

κακῶς ὅλοιτ' ἂν· ἄξιον γὰρ Ἑλλάδι.

εἰς τὸ δρᾶμα οὖν τῶν ἱππέων ἀποτείνεται. διὰ τούτου γὰρ φαίνεται καταδικασθεὶς ὁ Κλέων τάλαντα ε'.) ἄξιον οὖν φησιν Ἑλλάδος τὸ καταδικασθῆναι τὸν Κλέωνα.

9. τραγῳδικόν : (Ἀντὶ τοῦ ἐμπαθές.) ἐπείπερ καὶ ἡ τραγῳδία ἐμπαθῶν πραγμάτων ἀπαγγελτική. (ἢ ἐπεὶ περὶ τραγῳδιῶν μέλλει λέγειν.)

10. ὅτε δὴ κεχήνη : Ἡ συναίρεσις τοῦ κεχήνη Ἀττική. τὸ γὰρ ε καὶ α εἰς η συναιροῦσιν. Εἰς τὸ αὐτό. συναλοιφὴ, ἀντὶ τοῦ κεχήνεα. ἔστι δὲ τὸ κεχήνη Ἰακόν. οἱ γὰρ Ἴωνες ἀπὸ τοῦ αὐτοῦ συμφώνου ἄρχονται. οἱ δὲ σφόδρα προσέχοντές τινι κεχήνασι. δύναται δὲ εἶναι κατὰ μεταφορὰν τῶν ὀρνίθων τῶν ἔτι νεοττῶν τὴν τροφὴν προσδεχομένων καὶ κεχηνότων. (οἷον τροφή μοι ἦν τῶν Αἰσχύλου τραγῳδιῶν ἀκοῦσαι.)

προσδοκῶν τὸν Αἰσχύλον : Ἀντὶ τοῦ Αἰσχύλου τραγῳδίας, ὥσπερ καὶ ἡμεῖς ἔχοντες τὰ Αἰσχύλου Αἰσχύλον λέγομεν ἔχειν. (οὐ γὰρ ἔζη κατ' ἐκεῖνον τὸν χρόνον. ἐτελεύτησε γὰρ ἐπὶ ἄρχοντος Καλλίου τοῦ μετὰ Μνησίθεον τούτων πρότερον ἐνιαυτῷ λ'.) τιμῆς δὲ μεγίστης ἔτυχε παρὰ Ἀθηναίοις ὁ Αἰσχύλος, καὶ μόνου αὐτοῦ τὰ δράματα ψηφίσματι κοινῷ καὶ μετὰ θάνατον ἐδιδάσκετο.

11. ὁ δ' ἀνεῖπ' εἴσαγε : Ἀνηγόρευσεν. ὁ κῆρυξ δὲ δηλονότι. Θέογνις δὲ οὗτος τραγῳδίας ποιητὴς πάνυ ψυχρὸς, ἐκ τῶν τριάκοντα, ὃς καὶ Χιὼν ἐλέγετο.

12. πῶς τοῦτ' ἔσεισέ μου : εὔσειστον οὖσαν τῇ φύσει, μᾶλλον ἐπέσεισε. (κέχρηται δὲ τῇ ὑπερβολῇ τῇ ἐπὶ τῆς καρδίας καὶ Θουκυδίδης τὸ ὄνομα φράζων.)

13. ἡνίκ' ἐπὶ Μόσχῳ ποτέ : Ἀντὶ τοῦ μετὰ τὸν Μόσχον. ἦν δὲ οὗτος φαῦλος κιθαρῳδὸς, πολλὰ ἀπνευστὶ ᾄδων. (Εἰς τὸ αὐτό. ὁ Μόσχος κιθαρῳδὸς Ἀκραγαντῖνος. τινὲς οὕτως, ὅτι ὁ νικήσας ἆθλον ἐλάμβανε μόσχον. τὸ δὲ Βοιώτιον μέλος οὕτω καλούμενον, ὅπερ εὗρε Τέρπανδρος, ὥσπερ καὶ τὸ Φρύγιον.) ὁ δὲ Δεξίθεος ἄριστος κιθαρῳδὸς καὶ Πυθιονίκης. οἱ δὲ ψυχρὸν αὐτὸν εἶναί φασιν.

15. τῆτες δ' ἀπέθανον : Ἐπὶ ἔτος, ὅπερ οἱ Δωριεῖς τᾶτες λέγουσιν. Εἰς τὸ αὐτό. ἀντὶ τοῦ ἐπ' ἔτος. οἱ Δωριεῖς δὲ διὰ τοῦ δ λέγουσι τῆδες.

16. ὅτε δὴ παρέκυψε Χαῖρις : (Καλῶς τὸ παρέκυψεν.) ὁ δὲ Χαῖρις οὗτος κιθαρῳδὸς καὶ αὐλῳδὸς φαῦλος. ὁ δὲ ὄρθιος αὐλητικὸς νόμος, οὕτω καλούμενος διὰ τὸ εἶναι εὔτονος καὶ ἀνάτασιν ἔχειν, ὡς δηλοῖ καὶ Ὅμηρος [Il. Δ, 10]

ἔνθα στᾶσ' ἧῦσε θεὰ μέγα τε δεινόν τε
ὄρθι'· Ἀχαιοῖσι δὲ μέγα σθένος ἔμβαλ' ἑκάστῳ.

17. ἐξότου γὼ ῥύπτομαι : Ἀντὶ τοῦ σμήχομαι, τουτέστι ζῶ, μεταφορικῶς. τῷ γὰρ ζῶντι ἔπεται τὸ ῥύπτεσθαι. (ῥύμματα γὰρ τὰ σμήγματα. καὶ Ὅμηρος [Il. Ξ, 171] « ῥύμματα πάντα κάθηρεν. » ῥύπτεσθαι οὖν τὸ σμᾶσθαι, παρεμπτώσει τοῦ τ, τὸ ῥύπον ἀφαιρεῖσθαι. ὁ δὲ ῥύπος κατὰ ἀφαίρεσιν τοῦ χ, χρύπος, ὁ τῷ χρωτὶ ὑπὼν σπίλος.)

18. ὑπὸ κονίας : Παρ' ὑπόνοιαν. δέον γὰρ εἰπεῖν, (ὑπὸ λύπης τὴν καρδίαν, ὡς καὶ ἐν ἀρχῇ ἔφη, ὑπὸ κονίας τὰς ὀφρῦς εἶπεν,) ὅτι καὶ οἱ κονίαν (ἤτοι ἄσβεστον) σμώμενοι δάκνονται τὴν ὀφρῦν. (Ἄλλως. ὑπερβατόν.

ἀλλ' οὐδεπώποτ' ἐξότου γὼ ῥύπτομαι,
οὕτως ἐδήχθην ὑπὸ κονίας τὰς ὀφρῦς.)

19. κυρίας ἐκκλησίας : Ἐν ᾗ ἐκύρουν τὰ ψηφίσματα. εἰσὶ δὲ νόμιμοι ἐκκλησίαι αἱ λεγόμεναι κύριαι τρεῖς τοῦ μηνὸς Ἀθήνησιν, ἡ πρώτη καὶ ἡ δεκάτη καὶ ἡ τριακάς. εἰσὶ δὲ καὶ πρόσκλητοι συναγόμεναι κατά τινα ἐπείγοντα πράγματα. αἱ μὲν οὖν νόμιμοι καὶ ὡρισμέναι ἐκκλησίαι κύριαι λέγονται, ὡς ἔφαμεν, αἱ δὲ πρὸς τὸ κατεπεῖγον συναγόμεναι σύγκλητοι.

20. ἡ πνὺξ αὐτή : Ἡ ἐκκλησία· παρὰ τὴν τῶν λίθων πυκνότητα. (ἢ ἀπὸ τοῦ πυκνοῦσθαι τοὺς ἄνδρας ἐν τῇ ἐκκλησίᾳ, ὡς αὐτὸς ἐν Σφηξὶν [31] « ἔδοξέ μοι παραποιῶν τὴν ὥραν ἐν τῇ πυκνί. »)

21. οἱ δ' ἐν ἀγορᾷ λαλοῦσι : Διάφορα δηλοῖ ἡ λέξις. νῦν δὲ τὴν ἐκκλησίαν, ὅθεν ὁ Νέστωρ ἀγορητής· καὶ τὸν τόπον ἔνθα πιπράσκεται τὰ ὤνια, καὶ αὐτὰ τὰ ὤνια σημαίνει.

22. τὸ σχοινίον φεύγουσιν : (Ὑπὲρ τοῦ ἐξ ἀνάγκης αὐτοὺς εἰς τὰς ἐκκλησίας συνιέναι τοῦτο ἐμηχανῶντο καὶ πολλὰ ἄλλα. ἀνεπετάννυσαν γὰρ τὰ γέρρα καὶ ἀπέκλειον τὰς ὁδοὺς τὰς μὴ φερούσας εἰς τὴν ἐκκλησίαν καὶ τὰ ὤνια ἀνῄρουν ἐν ταῖς ἀγοραῖς, ὅπως μὴ περὶ ταῦτα διατρίβοιεν· ἔτι μὴν καὶ) μεμιλτωμένῳ σχοινίῳ περιβάλλοντες αὐτοὺς συνήλαυνον εἰς τὴν ἐκκλησίαν. τοῦτο δὲ ἐποίουν ὑπὲρ τοῦ μὴ βραδῦναι. ὅσοι γὰρ ἐχρίοντο ζημίαν ἐξέτινον. (Ἄλλως. ἐπεὶ ὀκνηρῶς εἶχον οἱ Ἀθηναῖοι πρὸς τὰς συνόδους, εἰώθασιν ὑπηρέται δύο μεμιλτωμένον [τουτέστι μίλτῳ ἤτοι βάμματι κοκκίνῳ] σχοινίον ἐκτείνοντες διὰ τῆς ἀγορᾶς διώκειν τὸν ὄχλον εἰς τὴν ἐκκλησίαν, ὥς φησι Πλάτων ὁ κωμικός. ὅσοι δὲ ἐχρίοντο ἐξέτινον ζημίαν.)

23. ἀλλ' ἀωρίαν ἥκοντες : (Ἀντὶ τοῦ) ἀωρίᾳ (καὶ μεθ' ἡμέραν καὶ ἐπὶ τοιούτῳ. ὁ δὲ νοῦς,) ἀκαίρως καὶ παρὰ τὸν (δέοντα) καιρόν. ἄωρα γὰρ τὰ παρὰ καιρὸν τρυγώμενα.

24. ὠστιοῦνται : Διωθήσονται. ἀπὸ ἐνεστῶτος τοῦ ὠστίζω. ὁ δὲ λόγος ὡς πρός τινα ἐστὶ λεγόμενος, ὡς καὶ Ὅμηρος [Il. Ο, 697] « φαίης κ' ἀκμῆτας καὶ ἀτειρέας. » (καὶ [Il. Δ, 223] « ἔνθ' οὐκ ἂν βρίζοντα ἴδοις. »)

25. ἐλθόντες ἀλλήλοισι περὶ πρώτου : Περὶ τῆς προεδρίας. ὡς ξυλίνων οὐσῶν τῶν καθεδρῶν. (ὅτι δὲ ἐκ λίθων, πανταχόθεν δῆλον, ὅταν λέγῃ [Eq. 754, 783], ἐπὶ τῆς πέτρας κάθηνται.)

26. ἄθροοι καταρρέοντες : (Ἀντὶ τοῦ ὁμοῦ. προπαροξύνειν δὲ δεῖ τὸ ὄνομα καὶ δασύνειν τὴν πρώτην συλλαβὴν Ἀττικῶς. καταρρέοντες δὲ) ἀντὶ τοῦ ἀθρόως ἐπερχόμενοι. ἡ μεταφορὰ ἀπὸ τῶν ποταμίων ῥευμάτων. καὶ Ὅμηρος [Il. Λ, 724] « τὰ δ' ἐπέρρεεν ἔθνεα πεζῶν. »

29. (νοστῶν κάθημαι : Ἁπλῶς ἐπὶ τοῦ ἐρχόμενος καὶ ἐπανερχόμενος.)

30. στένω, κέχηνα : (Πάλιν τὸ κέχνηα ἐν ἴσῳ τῷ προσδέχομαι, ἢ δέομαι τῆς εἰρήνης· ὥσπερ οἱ νεοσσοὶ κεχήνασι δεόμενοι τῆς τροφῆς. τὸ δὲ σκορδινῶμαι ἀντὶ τοῦ κλῶμαι καὶ σπασμῷ συνέχομαι. οἱ γὰρ ἀπὸ πληθώρας σκορόδων ἐμοῦντες διὰ τὴν δριμύτητα μᾶλλον σπῶνται. τὸ δὲ ἐμεῖν καὶ τὸ ὀπωσοῦν κενοῦσθαι. σκορδινᾶσθαί φασι) κυρίως ἐπὶ τῶν κυνῶν τῶν ἐξ ὕπνου ἀνισταμένων, ὅταν τὰ μέλη καὶ ὅλους αὐτοὺς διατείνωσι. σκορδινᾶσθαι οὖν ἐστι τὸ ἀνακλᾶσθαι μετὰ χάσμης. γίνεται δὲ ἀπὸ ἀλογίας τὸ τοιοῦτον.

31. γράφω, παρατίλλομαι : (Γράφω μὲν, καταγράφω, ἢ) ζωγραφῶ ἐπὶ τῆς γῆς, ξύων τῷ δακτύλῳ (ἤ τινι τοιούτῳ παιδιάς τινας.) παρατίλλομαι δὲ, τὰς ἐκ τῶν μυκτήρων τίλλω τρίχας, ἢ τῶν μασχαλῶν. ταῦτα δὲ ποιοῦσιν οἱ προσδεχόμενοι μέν τι καὶ τὸν χρόνον δαπανῶντες ὑπὸ ἀδημονίας (Ald. εἰς ἀπορίαν καὶ ἀμηχανίαν, μὴ τυγχάνοντες τοῦ προσδοκωμένου λογισμοῦ. ὅτε γὰρ αὐτοὶ ἐφ' ἑαυτῶν διατίθενται, ἀλύοντες ἐπὶ γῆς διαγράφουσιν).

32. ἀποβλέπων εἰς τὸν ἀγρόν : Οἱ γὰρ (πολιορκούμενοι καὶ) πολεμούμενοι ἀεὶ εἰς τὸν ἀγρὸν ἀποβλέπουσιν (ἐπιθυμοῦντες ἐν αὐτῷ εἶναι).

33. (στυγῶν μὲν ἄστυ : Ὁ στίχος ἐκ τραγῳδίας.)

34. ἄνθρακας πρίω : Τοῦτο Ἀχαρνέων ἴδιον. οὗτοι δὲ πολυάνθρακες καὶ οὐ δεόμενοι παρ' ἄλλων πρίασθαι.

35. οὐδ' ᾔδει πρίω : Οὐδὲ ἐγίνωσκε τὸ πρίω ῥῆμα. οὐ γὰρ ἐδεῖτο ἀγοράσαι ἔχων οἶκοι.

36. χὠ πρίων ἀπῆν : τοῦτο παιδιὰ καλεῖται. ἀπὸ γὰρ τοῦ πρίω ῥήματος ὄνομα τὸ πρίων. R.

37. ἀτεχνῶς : ἀφελῶς. R.

38. ὑποκρούειν : Βοᾶν, ἀντιφθέγγεσθαι, ἀντιλέγειν ἁπλῶς καὶ ὡς ἔτυχε. τὸ δὲ ὑποκρούειν ἐπὶ τῶν θορυβούντων λέγεται, (ὅπερ ἡμεῖς φαμὲν ἐκκρούειν καὶ κωλύειν. τὸ δὲ λοιδορεῖν, ἄμφω ῥητέον, καὶ λοιδορεῖν καὶ λοιδορεῖσθαι.)

40. οὗτοί : Δεικτικῶς. (μεσημβρινοὶ δὲ,) οὐκ ὀρθρίσαντες.

42. ὠστίζεται : συνωθεῖ, συνθλίβεται. R. θλίβεται. *Vict.*

44. ὡς ἂν ἐντὸς ἦτε : Εἰώθασιν οἱ Ἀθηναῖοι θύειν δέλφακα καὶ ῥαίνειν τὰς καθέδρας τῷ αἵματι αὐτοῦ εἰς τιμὴν τῆς Δήμητρος, ἐπειδὴ τοὺς καρποὺς αὐτῆς βλά-

πτει. Ἄλλως. ὅτι καθαίρονται οἱ ἐν τῇ ἐκκλησίᾳ χοίρου σφαζομένου καὶ ὁ ῥήτωρ μαρτυρεῖ [Æschin. p. 4, 10] « (ἐπειδὰν τὸ καθάρσιον περιενεχθῇ, καὶ ὁ κῆρυξ « τὰς πατρίους εὐχὰς εὔξηται, τότε δὴ κελεύει δημηγο- « ρεῖν. ») τὸ δὲ θυόμενον χοιρίδιον ἐπὶ καθάρσει τῶν τόπων κάθαρμα ἐκαλεῖτο, ὁ δὲ περικαθαίρων καθαρτής. (Καὶ παρὰ μὲν τοῖς κωμικοῖς κάθαρμα καλεῖται. Αἰσχίνης δὲ ἐν τῷ κατὰ Τιμάρχου [I. c.] καθάρσιον καλεῖ.)

47. ὁ γὰρ Ἀμφίθεος Δήμητρος ἦν : Ἱερεὺς Δήμητρος καὶ Τριπτολέμου ὁ Ἀμφίθεος. πέπαικται κωμικῶς ταῦτα. Κελεοῦ γὰρ Τριπτόλεμος. ταῦτα δὲ λέγει ἐν παιδιᾷ, σκώπτων τὸν Εὐριπίδην, ἀεὶ ἡδέως ἀπαγγέλλοντα τὰ γένη [ἐν ἄλλοις τε καὶ καταρχὰς τῆς ἐν Ταύροις Ἰφιγενείας·

Πέλοψ ὁ Ταντάλειος εἰς Πῖσαν μολὼν
θοαῖσιν ἵπποις Οἰνομάου γαμεῖ κόρην·
ἐξ ἧς Ἀτρεὺς ἔβλαστεν· Ἀτρέως δὲ παῖς
Μενέλαος Ἀγαμέμνων τε. τοῦ δ' ἔφυν ἐγώ.]

τοῦ δὲ Κελεοῦ μέμνηται Βακχυλίδης διὰ τῶν Ὑμνων. Ἄλλως.) τὸν πρόπαππον ἑαυτοῦ λέγει, ὃς Ἀμφίθεος ὁμωνύμως ἐκαλεῖτο.

49. τήθην ἐμήν : Τήθας ἐκάλουν τὰς μάμμας, (καὶ τηθελὰς τὰς μαμμοθρέπτους).

52. σπονδὰς ποιεῖσθαι : Οὗτος γὰρ ὁ σκοπὸς τοῦ δράματος, ὥστε σπονδὰς ποιῆσαι πρὸς Λακεδαιμονίους.

53. ἐφόδι' οὐκ ἔχω : Ὅτι ἐκ τοῦ πολέμου πένης εἰμὶ (καὶ ἐφόδια οὐκ ἔχω).

διὸ εἰρήνης ἐπιθυμῶ. R. *Vict.*

54. οἱ τοξόται : Τοῦτό φησιν εἷς τῶν πρυτάνεων, κελεύων ἐκβαλεῖν τὸν Ἀμφίθεον ὡς ὑβριστήν. (Ἄλλως. τοῦτο ἐκ τῶν πρυτάνεων τίς φησι, κελεύων ἀπελαύνειν τὸν Ἀμφίθεον. εἰσὶ δὲ οἱ τοξόται δημόσιοι ὑπηρέται, φύλακες τοῦ ἄστεος, τὸν ἀριθμὸν χίλιοι, οἵτινες πρότερον μὲν ᾤκουν τὴν ἀγορὰν μέσην σκηνοποιησάμενοι, ὕστερον δὲ μετέβησαν εἰς Ἄρειον πάγον. ἐκαλοῦντο οὗτοι καὶ Σκύθαι καὶ Πευσίνιοι, Πευσῖνος τινὸς τῶν πάλαι πολιτευομένων συντάξαντος τὰ περὶ αὐτούς.)

55. ὦ Τριπτόλεμε : Τοὺς ἑαυτοῦ προγόνους ἐπικούρους ὥσπερ καὶ συμμάχους ἐπικαλεῖται. Ἀπάγοντες δὲ, ἀπωθοῦντες, ἀπελαύνοντες.

58. καὶ κρεμάσαι : Ἐν γὰρ τῇ εἰρήνῃ κρέμανται αἱ ἀσπίδες.

60. ἢν μὴ περὶ εἰρήνης πρυτανεύσητε : (Ἀντὶ τοῦ χρηματίσητε,) σκέψησθε, πράξητε. πάντα γὰρ ἀπὸ τῶν πρυτάνεων διεπράττετο. (ἐχρήσατο δὲ τῇ λέξει καὶ Δημοσθένης [p. 191, 15].)

61. οἱ παρὰ βασιλέως : οὕτως ὁ Περσῶν βασιλεὺς κατ' ἐξοχήν. τοὺς δὲ ἄλλους ἔλεγον, προστιθέντες τῶν ἀρχομένων τὰ ὀνόματα, οἷον βασιλεὺς Λακεδαιμονίων, βασιλεὺς Μακεδόνων. (διαφορὰ δέ ἐστι βασιλέως καὶ τυράννου. βασιλεὺς μὲν γὰρ ἐκ προγόνων κατὰ διαδοχὴν ἔχει τὴν ἀρχὴν ἐπὶ ῥητοῖς λαβὼν γέρασι. τύραννος δὲ τὸ ἄρχειν βιαίως σφετερίζεται. χρῶνται δὲ ἀδιαφόρως ἔνιοι τοῖς ὀνόμασι. Ἱέρωνα μὲν βασιλέα Πίνδαρος [Ol. 1, 34] καλεῖ, τὸν Συρακουσίων τύραννον. Εὔπολις δὲ ἐν Δήμοις εἰσάγει τὸν Πεισίστρατον βασιλέα. ἀλλὰ καὶ τοὺς βασιλεῖς πολλάκις τυράννους λέγουσι. πρέσβεις δὲ οὗτοι εἰσὶν οἱ περὶ τὸν Μόρυχον ἐμπλησθέντες τρυφῆς.)

63. καὶ τοῖς ταῶσι : Τοῖς κόλποις τοῖς πεποικιλμένοις· ἐπεὶ ὁ ταὼς ποικίλος. (ἢ ὅτι πορφύρας ἔχουσι καὶ τιάρας, ὡς αὐτός φησι. τιάραι δέ εἰσι περικεφαλαῖαι Περσικαὶ ταῶνος πτερὰ ἔχουσαι.) ἢ ὅτι ἥκοντες ἀπὸ Περσίδος ταὼς ἔχοντες ἐληλύθασιν.

64. ὦ Ἐκβάτανα : Ἐξίασι γὰρ οἱ πρέσβεις κεκαλλωπισμένοι (ὡς ἀπὸ Ἐκβατάνων), ἥτις ἐστὶ Περσικὴ πόλις.

66. ἐπέμψαθ' ἡμᾶς : Διὰ τούτων παρίστησι τὴν τῶν Ἀθηναίων μαλακίαν, ἄλλως ἀναλισκόντων τοὺς χρόνους ἕνεκα κέρδους. Πρὸ δώδεκα ἐτῶν ἦρχεν ὁ Εὐθυμένης Ἀθήνησι. καθάπτεται γὰρ τῶν πρεσβευτῶν ὡς ἐπίτηδες χρονοτριβούντων ἐν ταῖς πρεσβείαις, ὑπὲρ τοῦ πλείονα μισθὸν λαμβάνειν.

67. ἐπ' Εὐθυμένους ἄρχοντος : Οὗτος ὁ ἄρχων, ἐφ' οὗ κατελύθη τὸ ψήφισμα τὸ περὶ τοῦ μὴ κωμῳδεῖν, γραφὲν ἐπὶ Μορυχίδου. ἴσχυσε δὲ (ἐκεῖνόν τε τὸν ἐνιαυτὸν καὶ δύο τοὺς ἑξῆς) ἐπὶ Γλαυκίνου τε καὶ Θεοδώρου, μεθ' οὓς ἐπ' Εὐθυμένους κατελύθη.

68. διὰ τῶν Καϋστρίων : Καΰστριος ποταμὸς τῆς Λυδίας περὶ Μίλητον, πλησίον Λυδίας, παρ' ᾧ καὶ ὁ Ἄσιος λειμών. ἔνθα καὶ χῆνες εἰσὶ πολλοὶ διαιτώμενοι. καὶ Ὅμηρος [Il. B, 460]

χηνῶν, ἢ γεράνων, (ἢ κύκνων δουλιχοδείρων,
Ἀσίῳ ἐν λειμῶνι, Καϋστρίου ἀμφὶ ῥέεθρα.

γενικὴ δέ ἐστι τὸ Ἀσίω.)

69. ἐσκηνημένοι : Κέκλιται τὸ ῥῆμα ἀπὸ τῆς πρώτης τῶν περισπωμένων. εἰ γὰρ ἦν ἀπὸ τῆς τρίτης, ἦν ἂν διὰ τοῦ ω, ὡς κεχρυσωμένοι.

71. σφόδρα γὰρ ἐσωζόμην : Ἐκ τοῦ ἐναντίου ἀπήντησεν ἀγανακτῶν. εἰ γὰρ ὑμεῖς ἀπόλλυσθε οὕτω διάγοντες, ἐσωζόμην ἄρα ἐγὼ πολιορκούμενος ὑπὸ Λακεδαιμονίων, κατακείμενος καὶ καθεύδων ἐν τῷ τείχει ἐπὶ φρυγάνων καὶ καλάμης καὶ συρφετῶν. τὸ οὖν ἐσωζόμην ἐν εἰρωνείᾳ λέγει.

72. ἔπαλξιν : Προμαχῶνα τῶν τειχῶν. φορυτῷ : Φορυτὸς, φρύγανα ἄχυρα, καὶ ἀπὸ γῆς αἰρόμενος ὑπὸ ἀνέμου χόρτος. *Vict.* φορυτὸς ψιαθῶδές τι πλέγμα, ἐν ᾧ τοὺς στάχυας ἐμβάλλουσιν. ἢ φορυτῷ τῇ ἐκ φρυγάνων στρωμνῇ. (74) χρυσίδων, χρυσῶν φιαλῶν. R.

73. (ξενιζόμενοι δέ : Προτρεπόμενοι εἰς τὰ ξένα βρώματα τοῦ βασιλέως τῶν Περσῶν.)

75. ὦ Κραναὰ πόλις : (Τοῦτο τέτριπται ὑπὸ τῶν παλαιῶν. καὶ Αἰσχύλος γὰρ καὶ Σοφοκλῆς ἐχρήσαντο τῇ λέξει.) λέγει δὲ Κραναὰς τὰς Ἀθήνας, ἤτοι τὰς τραχείας·

(λεπτόγεως γὰρ ἡ Ἀττική·) ἢ ἀπὸ Κραναοῦ τινὸς, (ὃς ἦν τῶν αὐτοχθόνων εἷς).

77. οἱ βάρβαροι γὰρ ἄνδρας : Ἄνδρας νῦν ἀντὶ τοῦ ἀνδρείους καὶ γεννάδας.

78. (καταφαγεῖν : Ἐμφαντικῶς ἡ κατά ὥσπερ καὶ τὸ ἐμφαγεῖν. (79) λαικαστὰς δὲ τοὺς πόρνους. καὶ ἀλλαχοῦ [Thesm. 52]

κάμπτει δὲ νέας ἀψῖδας ἐπῶν,
γογγυλίζει καὶ λαικάζει.

καὶ λαικάστρια ἡ πόρνη.)

81. ἀλλ' εἰς ἀπόπατον : Ἀπόπατος λέγεται τῆς ἐκδεδιητημένης τροφῆς ἡ ἄφοδος, παρὰ τὸ παρεκτρέπεσθαι τῆς ὁδοῦ· πάτος γὰρ ἡ κοινὴ ὁδός. Καὶ Ὅμηρος [Il. Z, 202] « πάτον ἀνθρώπων ἀλεείνων. » ἀντὶ δὲ τοῦ εἰπεῖν, ἐπὶ πόλεμον ᾤχετο, ἔφη, εἰς ἀπόπατον ᾤχετο.

82. ἐπὶ χρυσῶν ὄρων : Παρόσον ἱστόρηται ὁ Περσῶν βασιλεὺς ὑπὸ χρυσῆν πλάτανον καθεζόμενος, ἔπαιξεν εἰπὼν, ἐπὶ χρυσῶν ὄρων. ὄρος δὲ ἡ ἀμίς. ἢ διὰ τὰ ἐν Περσίδι χρυσοῦ μέταλλα. (Ἄλλως. δύο ταῦτα ἐδήλωσε διὰ τοῦ εἰπεῖν ἐπὶ χρυσῶν ὄρων, τά τε οὐροδόχα ἀγγεῖα, ἃ φασὶν ἀμίδας, καὶ τὰ τῆς Περσίδος ὄρια, ἐν οἷς φασι γίγνεσθαι τὸν χρυσόν. ὅθεν ἱστοροῦσι τὸν Ξέρξην ὑπὸ χρυσῆν πλάτανον καθεύδειν, ὅτε κατὰ τῶν Ἀθηναίων ἐστράτευσεν. ἀντὶ δὲ τοῦ εἰπεῖν, πόσου χρόνου συνήγαγε τὸν στρατὸν, τὸν πρωκτὸν εἶπε.)

83. ξυνήγαγεν : Συνήρμοσεν. R. *Vict.*

84. τῇ πανσελήνῳ : Οἱ γὰρ Ἕλληνες πάντα ἔπραττον πρὸς τὴν σελήνην ἀποβλέποντες, καὶ μάλιστα οἱ Λακεδαιμόνιοι. Δάτιδος γοῦν καὶ Ἀρταφέρνους τῶν στρατηγῶν τοῦ Περσῶν βασιλέως εἰς Μαραθῶνα ἐμβεβληκότων, περιέμενον τὴν πανσέληνον ἐπὶ τῷ τότε ἐξελθεῖν ἐπὶ τὸν πόλεμον. πρὶν οὖν ἐκείνους παραγενέσθαι, κατώρθωσαν οἱ Ἀθηναῖοι τὸν πόλεμον. παίζει οὖν πρὸς τὸ τοιοῦτον ἔθος.

86. ἐκ κριβάνου : Οὐδετέρως λέγεται τὸ κρίβανον, (ὡς μαρτυρεῖ Φερεκράτης « τουτὶ τί ἐστιν; ὡς ἀνεκὰς τὸ κρίβανον. » οὕτω δὲ λέγεται) οἱονεὶ κριβαυνον, ἐν ᾧ αἱ κριθαὶ ὀπτῶνται. βαύνους δὲ ἔλεγον τὰς καμίνους. (Ἀρριανὸς « οἱ δὲ ξένια ἔφερον θύννους ἐν κριβάνοισιν ὀπτούς. » καὶ κριβανίτης ἄρτος ὁ ἐν κριβάνῳ ὠπτημένος. τὴν δὲ τῶν ἄρτων ἐν κριβάνῳ ὄπτησιν Ἄννος Αἰγύπτιος ἐπενόησεν. ὅθεν καὶ παροιμία, Ἄννος κρίβανον, ἐπὶ τῶν καινόν τι ἐφευρηκότων.)

καὶ τίς εἶδε πώποτε : Λείπει τὸ οὐδείς. ὡς καὶ παρὰ τῷ Ὁμήρῳ [Od. M, 88] « τίς ἂν τάδε γηθήσειεν ἰδών, » προσυπακούεται τὸ οὐδείς.

88. τριπλάσιον Κλεωνύμου : Ὅτι ὡς μέγα ἔχων σῶμα καὶ δειλὸς διεβάλλετο ὁ Κλεώνυμος. ἑτέρωθι δὲ καὶ ἀδηφάγος εἴρηται. νῦν δὲ καὶ φενακιστὴν αὐτὸν κωμῳδεῖ χαριεντιζόμενος.

90. (ταῦτ' ἄρ' : Ἀντὶ τοῦ, διὰ ταῦτα. φέρων δὲ, τουτέστι) λαμβάνων, κομιζόμενος.

91. Ψευδαρτάβαν : (Γελοίως ἔπαιξε.) παίζει δὲ ὡς τοιούτων ὄντων ὀνομάτων παρὰ Πέρσαις, Ἀρταβάζου καὶ Ἀρταξέρξου. καὶ τὸ Ψευδαρτάβαν ἐποίησε παρὰ τὴν ἀρτάβην, τὸ μέτρον. Περσικὸν δὲ καὶ Αἰγύπτιον τὸ ὄνομα.

92. τὸν βασιλέως ὀφθαλμόν : Ἀντὶ τοῦ μέγα δυνάμενον παρὰ βασιλεῖ. οὕτω δὲ ἐκάλουν τοὺς σατράπας, δι' ὧν πάντα ὁ βασιλεὺς ἐπισκοπεῖ· ὡς βασιλέως ὦτα, οἱ ὠτακουσταὶ, δι' ὧν ἀκούει τὰ πραττόμενα ἑκάστῳ πανταχοῦ.

93. τοῦ πρέσβεως : Προπαροξυτόνως, ὡς μάντεως. ἀπὸ εὐθείας τῆς ὁ πρέσβις. οἱ δὲ παροξυτόνως ὡς χαλκέως, ἀπὸ εὐθείας τῆς ὁ πρεσβεύς· οἵτινες ἁμαρτάνουσιν. Οὐ γάρ ἐστιν ὁ πρεσβεύς.

94. ὁ βασιλέως : Οὕτως ἐκάλουν οἱ κήρυκες ἐξ ὀνόματος.

95. πρὸς τῶν θεῶν : (Ἐξεπίτηδες μέγαν ὀφθαλμὸν ἐσκεύασται ἔχων ὁ πρεσβευτής.) ναύφρακτον δὲ, ἤτοι ναύσταθμον, ὡς περιβλέποντος ἐν κύκλῳ τοῦ πρεσβευτοῦ καὶ ἀξιωματικῶς εἰσιόντος. τινὲς δὲ ναύφρακτον, τὴν ἐν ναυσὶ στρατιάν. οἷον οὖν στρατιὰν βλέπεις ὅλην· (ἐπειδὴ μεγάλοι ταῖς τριήρεσιν ὀφθαλμοὶ γίνονται, δι' ὧν τὰς κώπας ἐμβάλλοντες ἐκωπηλάτουν. ἐφράττοντο δὲ καὶ δερματίνοις τροποῖς πρὸς τὸ μὴ τρίβεσθαι τὰ σανιδώματα. Ἄλλως. ὁ ναυτικὸς στρατὸς ναύφρακτος καλεῖται. σκώπτων οὖν αὐτὸν διὰ τὸ σοβαρῶς καὶ μόλις προσιέναι ταῦτά φησι, πότερον ἐν ὀφθαλμοῖς τὸ ναυτικὸν ἔχων οὕτω βαδίζεις,) ἢ ναῦν ἀκρωτήριον κάμπτουσαν; ἐπειδὴ δεδοικότες οἱ ἐμπλέοντες, ὅταν ὦσι πλησίον τῆς γῆς, ἠρέμα καὶ ἐπιστημόνως ἰθύνουσι, μὴ προσπταίσωσι τῇ γῇ. (ἐσκευασμένος δὲ ἦν ὁ Πέρσης, δέρμα ἔχων καθειμένον εἰς τόπον τοῦ τε πώγωνος καὶ τοῦ στόματος, ὡς ἂν προσωπεῖον. Ἄλλως.) ἔξεισι τερατώδης τις γελοίως ἐσκευασμένος καὶ ὀφθαλμὸν ἔχων ἕνα ἐπὶ παντὸς τοῦ προσώπου.

96. (ἢ περὶ ἄκραν κάμπτων : Γηνικαῦτα γὰρ μάλιστα εἰώθασι προορᾶν καὶ φυλάττειν τὴν ναῦν, ὁπόταν ἄκραν τινὰ κάμπτωσι. νεώριον οὖν, φησὶ, περιβλέπεις, ἐν ᾧ νεωλκήσεις. οἶκον δὲ νεὼς, ὃ καλοῦσιν ἀγκῶνα. ἢ μᾶλλον ὑποκρύφους τόπους διὰ τὸν ἄνεμον, ἔνθα ὑπὸ σκέπην εἰσίν.)

97. ἄσκωμ' ἔχεις : Ὡς (τοῦ) δέρματος ἐξηρτημένου τοῦ μύστακος αὐτοῦ καὶ τῆς ῥινὸς, καὶ οὕτως ἐσκευασμένου γέλωτος χάριν. ἄσκωμα δὲ ὁ ἰμὰς ὁ συνέχων τὴν κώπην πρὸς τῷ σκαλμῷ. (Ἄλλως. ὁ τῆς κώπης ὀφθαλμὸς ἔχει τὸ ἄσκωμα.) κώπης δὲ ὀφθαλμὸς τὸ τρῆμά ἐστιν.

100. Ἀπισσονασάτρα : Παίζει ὡς τῇ Περσικῇ διαλέκτῳ χρώμενος.

101. ξυνήκαθ' : Ἐνοήσατε. *Vict.*

102. πέμψειν βασιλέα : Τοῦτό φησιν ὁ κῆρυξ, ἢ οἱ πρέσβεις.

104. χρυσοχαυνόπρωκτοι : (Ἀντὶ τοῦ ἔκλυτοι.) Ἰοναῦν δὲ ἀντὶ τοῦ Ἀθηναῖοι. Ἴωνες γὰρ οἱ Ἀθηναῖοι

ἀπὸ Ἴωνος τοῦ Ξούθου. (ὡς βάρβαρος δὲ τὸ αὖ ἔφη, Δωρικὸν ἀντὶ ἑλληνιζομένου.)

106. ὅτι χαυνοπρώκτους : Ὅτι πάντας τοὺς Ἕλληνας Ἰάονας ἐκάλουν οἱ βάρβαροι προείρηται. (καὶ Ὅμηρος [Il. N, 685] « Ἰάονας ἑλκεχίτωνας. » τὸ δὲ αὖ ἀντὶ τοῦ οὐ βαρβαρίζων ἔφη.)

108. Οὐκ, ἀλλ' ἀχάνας : Ἀχάνη μέτρον ἐστὶ Περσικόν, ὥσπερ ἡ ἀρτάβη παρ' Αἰγυπτίοις. ἐχώρει δὲ μεδίμνους Ἀττικοὺς μέ', ὡς μαρτυρεῖ Ἀριστοτέλης. ἄλλοι δέ φασιν ὅτι κίστις ἐστὶν, εἰς ἣν κατετίθεντο τοὺς ἐπισιτισμοὺς οἱ ἐπὶ τὰς θεωρίας στελλόμενοι.

111. ἄγε δὴ σὺ φράσον : Ἀντὶ τοῦ πρὸς ἐμαυτόν. Ἀττικὸν δὲ τὸ τοιοῦτο σχῆμα. ὡς μὴ συνιέντος δὲ αὐτοῦ δείκνυσι τῷ δακτύλῳ, ἐμοὶ λέγων καὶ τουτονί.

112. βάμμα Σαρδιανικόν : Ἵνα μή σε ἐρυθρὸν ποιήσω τῷ βάμματι μαστίξας, οἱονεὶ ἵνα μή σε φοινίξω. νῆσος γάρ ἐστι μεγίστη ἡ Σαρδὼ περὶ Ἰταλίαν. γίνονται δὲ ἐν αὐτῇ πορφύραι διάφοροι καὶ ὀξύταται. βούλεται οὖν δηλοῦν, ἵνα μή σοι πληγὰς ἐντρίψω. R. (ἀντὶ τοῦ ἐρυθρὸν, φοινικοῦν. Σαρδὼ γὰρ νῆσός ἐστι τῶν ἑπτὰ, σταδίους ἑξήκοντα Κύρνου διέχουσα. ἐν ταύτῃ δὲ γίγνονται πορφύραι διάφοροι καὶ ὀξύταται. ἢ ὅτι εἰς τὴν Σαρδὼ τῆς Λυδίας πυρρὰ βάμματα γίνεται. βούλεται οὖν δηλοῦν ὅτι εἰ μὴ εἴποις ταληθὲς, μαστίζων σε ἐρυθρὸν ποιήσω τοῖς αἵμασι.) τὸ δὲ ἀνανεύει καὶ ἐπινεύει παρεπιγραφὴ, ὑπὲρ τοῦ σαφὲς γενέσθαι ὅτι ἀρνούμενος μὲν ἀνένευσεν, ὁμολογῶν δὲ κατένευσεν.

114. ἄλλως ἄρ' ἐξηπατώμεθα : Ἠλιθίως καὶ ματαίως, ὡς καὶ Ὅμηρος [Il. Ψ, 144]

Σπερχεί', ἄλλως σοί γε πατὴρ ἠρήσατο Πηλεύς.

οἱ δὲ Ἀττικοὶ εἰώθασι προστιθέναι τὴν την, λέγοντες τηνάλλω.

115. Ἑλληνικόν γ' ἐπένευσαν : Τοῦτο εἶπεν, ὡς διαφέροντος καὶ τοῦ νεύματος τοῦ Ἑλληνικοῦ. ἐπένευσε δὲ μετὰ τὸ περιάγειν τὴν κεφαλήν. χρὴ μέντοι εἰδέναι ὅτι ἕνα καλέσας μικρῷ πρότερον, νῦν ὡς περὶ δύο τὸν λόγον ποιεῖται. δῆλον οὖν ὅτι δι' ἑνὸς τοῦ ἐνδοξοτέρου τοὺς δύο καλεῖ. (116) αὐτόθεν δὲ, ἀπὸ τῆς Ἀττικῆς, ἐντεῦθεν.

118. ἐγ' ᾧδ' ὅς ἐστι : Τὸ ἐγ' ᾧδα ἀντὶ τοῦ ἐγὼ οἶδα. οὗτος δὲ ὁ Κλεισθένης ἀεὶ τὸ γένειον ἐξυρᾶτο πρὸς τὸ ἀεὶ φαίνεσθαι νέος. διὸ εὐνούχῳ αὐτὸν εἰκάζει.

119. ὦ θερμόβουλον : Παρῳδία χρῆται. ἔστι γὰρ ἐν τῇ Μηδείᾳ [?] Εὐριπίδου « ὦ θερμόβουλον σπλάγχνον. » οὗτος οὖν σκώπτων Εὐριπίδην προσέθηκε πρωκτὸν παρὰ προσδοκίαν.

120. (τοιόνδ' ὦ πίθηκε : Καὶ τοῦτο παρῴδηκεν ἐκ τῶν Ἀρχιλόχου ἐπῶν

τοιήνδε δ', ὦ πίθηκε, τὴν πυγὴν ἔχων.)

122. οὐ δή που Στράτων : Καὶ οὗτος κωμῳδεῖται ὡς λωβώμενος τὸ γένειον καὶ λειαίνων τὸ σῶμα, ὡς Κλεισθένης· ὥς φησιν αὐτὸς Ἀριστοφάνης ἐν ταῖς Ὀλκάσι « παῖδες ἀγένειοι Στράτων. »

125. εἰς τὸ πρυτανεῖον : Ὥστε ἐκεῖ εἶναι τοὺς πρέσβεις παρὰ Ἀθηναίοις.

ταῦτα δῆτ' οὐκ ἀγχόνη : Ἡ διαφορὰ τοῦ ὀνόματος ἐν τῷ τόνῳ. ὀξυτόνως μὲν γὰρ τὸ εἶδος τοῦ πάθους, βαρυτόνως δὲ τὸ σχοινίον καὶ ὁ βρόχος.

127. τούσδε ξενίζειν : Παροιμία ἐπὶ τῶν πολλοὺς ξένους ἀποδεχομένων, (οὐδέποτ' ἴσχει ἡ θύρα. μέμνηται καὶ Εὔπολις ἐν Φίλοις

νὴ τὸν Ποσειδῶ, οὐδέποτ' ἴσχει ἡ θύρα.

καὶ Καλλίμαχος ἐν Ἑκάλῃ [fr. 41]

τῖον δέ ἑ πάντες ὀδῖται
ἤρα φιλοξενίης· ἔχε γὰρ τέγος ἀκλήϊστον.

καὶ Πίνδαρος [Nem. 9, 4]

ἔνθ' ἄρα πεπταμέναιν ξείνων ἕνεκεν ταῖν θύραιν.

λέγει δὲ περὶ τῶν πρυτάνεων, διότι αὐτὸν μὲν ὑπὲρ τῆς πόλεως στρατευόμενον καὶ πονοῦντα οὐ δέχονται, τοὺς δὲ πρέσβεις ξένους ὄντας καὶ ξενίζουσιν ἐν αὐτῷ. ἴσχει δὲ ἀντὶ τοῦ κωλύει, ἢ ἀποκλείει. Ἄλλως. οὐδέποτε ἐκώλυσεν ἢ ἀπέκλεισεν. ὁ δὲ λόγος ἐπὶ τῶν πρυτάνεων, καθὸ ἐπὶ ξενίαν καλοῦσι τοὺς ἀφικνουμένους.)

132. καὶ τῇ πλάτιδι : Τῇ γυναικί· παρὰ τὸ πελάζειν τῷ ἀνδρὶ κατὰ τὴν κοίτην.

133. (πρεσβεύεσθε : Ἀντὶ τοῦ πρέσβεις πέμπετε. τὸ δὲ κεχήνατε,) ἐξαπατᾶσθε καὶ ἀνοοί ἐστε.

134. προσίτω Θέωρος : (Οὗτος ἐπὶ κολακείᾳ κωμῳδεῖται.) ὁ κῆρυξ καλεῖ ἄλλον πρεσβευτὴν ἐλθόντα παρὰ Σιτάλκους τοῦ Θρᾳκῶν βασιλέως, πρὸς ὃν ἦσαν ἀποστείλαντες αὐτὸν Ἀθηναῖοι. οὗτος δὲ ἐκαλεῖτο Θέωρος. μέμνηται δὲ αὐτοῦ ποτὲ μὲν ὡς ἐπιόρκου, ὡς ἐν Νεφέλαις [309]· (φησὶ γὰρ

εἴπερ βάλλει τοὺς ἐπιόρκους, πῶς δῆτ' οὐχὶ Σίμων' ἐνέπρησεν οὐδὲ Κλεώνυμον, οὐδὲ Θέωρον, καίτοι σφόδρα γ' εἰσ' ἐπίορκοι;)

ποτὲ δὲ ὡς κόλακος, ὡς ἐν τοῖς Σφηξίν [20]. (εἰσκηρύττεται δὲ ἀντὶ τοῦ καλεῖται ὑπὸ τοῦ κήρυκος.)

137. οὐκ ἄν γ' εἰ μισθόν γε μὴ ᾤφερες : Τοῦτο διὰ μέσου ὁ Δικαιόπολις. οὐκ ἂν ἔτριψας τὸν χρόνον, εἰ μὴ πολὺν μισθὸν ἐλάμβανες. τὸ γὰρ ἔφερες ἀντὶ τοῦ ἐλάμβανες, ἐβάσταζες.

140. ὅτ' ἐνθαδὶ Θέογνις : Οὗτος ὁ Θέογνις τραγῳδίας ποιητὴς ψυχρός. κωμῳδῶν οὖν αὐτὸν (παρίστησιν ἡμῖν τὴν πολλὴν χιόνα, διὰ τὴν τούτου περὶ τὰ ποιήματα ψυχρότητα.) τὸν ψυχρὸν οὖν τῷ ψυχρῷ παρέβαλεν. πάνυ δὲ χαριέντως ἔσκωψε.

142. (καὶ δῆτα φιλαθήναιος : Τὸ φιλαθήναιος προπαροξύνειν δεῖ, ἐπεὶ τὰ εἰς ος λήγοντα προπερισπῶμενα ἁπλᾶ ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον, οἷον δῆμος Ἀριστόδημος, πῶλος ἐχέπωλος· καὶ Ὅμηρος [Il. Δ, 458] « Θαλυσιάδην ἐχέπωλον· » κνεφαῖος ἀκροκνέφαιος, ὀμφαῖος πανόμφαιος, ἀρχαῖος φιλάρχαιος. οὕτω καὶ φιλαθήναιος.)

144. ἐν τοῖς τοίχοις : Ἴδιον ἐραστῶν ἦν τὰ τῶν ἐρω-

μένων ὀνόματα γράφειν ἐν τοῖς τοίχοις ἢ δένδροις ἢ φύλλοις, (οὕτως· ὁ δεῖνα καλός. καὶ παρὰ Καλλιμάχῳ [fr. 101]

ἀλλ' ἔνι δὴ φύλλοισι κεκομμένα τόσσα φέροιτε
γράμματα, Κυδίππην ὅσσ' ἐρέουσι καλήν.

καὶ ἐν τοῖς Σφηξὶν [99] « ἰὼν παρέγραψε κημὸς καλός. » καὶ Λιβάνιος « φιλοῦσι γὰρ οἱ σφόδρα περί τι « ἐρωτικῶς ἔχοντες ἡδέως συνεῖναι καὶ τοῖς ὀνόμασι. »)

145. ὁ δ' υἱὸς ὢν Ἀθηναῖον : Τοῦτον πολίτην ἐποίησαν Ἀθηναῖοι, (τοῦ πατρὸς στρατιὰν αὐτοῖς παραπέμποντος. ἐλέγετο δὲ οὗτος Τήρης. ἔνιοι δέ φασιν ὅτι ὁμώνυμος ἦν τῷ πατρὶ Σιτάλκει, σύμμαχος Ἀθηναίοις. μέμνηται Θουκυδίδης [2, 19 coll. 67], προστίθησι δὲ καὶ τὸ ὄνομα λέγων οὕτως « καὶ Σάδοκον τὸν « υἱὸν αὐτοῦ Ἀθηναῖον. »)

146. (ἦρα φαγεῖν : Χαριέντως, ὡς ἐξαπατωμένων τῶν Ἀθηναίων. λέγει δὲ νῦν περὶ Ἀπατουρίων, ἑορτῆς ἐπισήμου δημοτελοῦς, ἀγομένης παρὰ τοῖς Ἀθηναίοις κατὰ τὸν Πυανεψιῶνα μῆνα ἐπὶ τρεῖς ἡμέρας. καλοῦσι δὲ τὴν μὲν πρώτην δόρπειαν, ἐπειδὴ φράτορες ὀψίας συνελθόντες εὐωχοῦντο· τὴν δὲ δευτέραν ἀνάρρυσιν, ἀπὸ τοῦ ἀναρρύειν, τοῦ θύειν· ἔθυον δὲ Διὶ φρατρίῳ καὶ Ἀθηνᾷ· τὴν δὲ τρίτην κουρεῶτιν, ἀπὸ τοῦ τοὺς κούρους καὶ τὰς κόρας ἐγγράφειν εἰς τὰς φρατρίας· ἐν ᾗ ἐγράφη ἐν τῇ πολιτείᾳ ὁ υἱὸς Σιτάλκους. ἡ δὲ αἰτία, πόλεμος ἦν Ἀθηναίοις πρὸς Βοιωτοὺς περὶ Κελαινῶν, ὃ ἦν χωρίον ἐν μεθορίοις. Ξάνθος δὲ Βοιωτὸς προεκαλέσατο τὸν Ἀθηναίων βασιλέα Θυμοίτην. οὐ δεξαμένου δέ, Μέλανθος ἐπιδημῶν, Μεσσήνιος τὸ γένος ἀπὸ Περικλυμένου τοῦ Νηλέως, ὑπέστη ἐπὶ τῇ βασιλείᾳ. μονομαχούντων δέ, ἐφάνη τῷ Μελάνθῳ τις ὄπισθεν τοῦ Ξάνθου, τραγῆν, τουτέστιν αἰγίδα μέλαιναν, ἐνημμένος. ἔφη οὖν ἀδικεῖν αὐτὸν δεύτερον ἥκοντα. ὁ δὲ ἐπεστράφη. ὁ δὲ παίσας ἀποκτείνει αὐτόν. ἐκ δὲ τούτου ἥ τε ἑορτὴ Ἀπατούρια καὶ Διονύσου μελαναίγιδος βωμὸν ἐδωμήσαντο. οἱ δέ φασιν ὅτι τῶν πατέρων ὁμοῦ συνερχομένων διὰ τὰς τῶν παίδων ἐγγραφὰς οἷον ὁμοπατόρια λέγεσθαι τὴν ἑορτήν. ὁποίῳ τρόπῳ λέγομεν ἄλοχον τὴν ὁμόλεκτρον, καὶ ἄκοιτιν τὴν ὁμόκοιτον, οὕτω καὶ Ὁμοπατόρια Ἀπατόρια.)

150. ὅσον τὸ χρῆμα : Ὡς πολλῶν ὄντων παρνόπων ἐν τῇ Ἀττικῇ. βούλεται δὲ πολὺ πλῆθος σημαῖναι. εἶδος δὲ ἀκρίδων οἱ πάρνοπες. (εἰσὶ δὲ οὗτοι ἀττέλαβοι Ἀττικοὶ πάρνοπες.)

154. τοῦτο μέν γ' ἤδη σαφές : Τοῦτο ψεύδεται, ὡς ἀσθενῶν ἢ ὀλίγων ὄντων.

156. Ὀδομάντων : Ὀδόμαντες ἔθνος Θρακικόν. φασὶ δὲ αὐτοὺς Ἰουδαίους εἶναι.

158. ἀποτέθρακεν : Ἀπέτιλε. κυρίως δὲ ἀπεφύλισε συκᾶς. θρῖα γὰρ τὰ φύλλα τῆς συκῆς. ἐλειαίνοντο δὲ καὶ ἀπετίλλοντο οἱ Θρᾷκες τὰ αἰδοῖα καὶ ἀποσεσυρμένα εἶχον αὐτά.

160. καταπελτάσονται : Κατακοντίσουσι, καταπολεμήσουσι. πέλτη γὰρ εἶδος μηχανῆς, ἀφ' ἧς ἀκόντια καὶ ἄλλα τινὰ ἀφιᾶσιν. ἢ καταδραμοῦνται. πέλτη γὰρ ἀσπὶς μικρὰ (μὴ ἔχουσα ἱμάντα. ἐχθροὶ δὲ ἦσαν καὶ οἱ Βοιωτοὶ τοῖς Ἀθηναίοις.)

162. ὁ θρανίτης λεώς : Ἀντὶ τοῦ ὁ ναυτικός. ἐκ μέρους δὲ τὸ πᾶν εἶπε. τῶν γὰρ ἐρεττόντων οἱ μὲν ἄνω ἐρέττοντες θρανῖται λέγονται, οἱ δὲ μέσοι ζυγῖται, οἱ δὲ κάτω θαλάμιοι. ὁ δὲ λόγος, εἰ οἱ Ὀδόμαντες τοσαῦτα λαμβάνουσι, πᾶν τὸ παρ' ἡμῖν ναυτικὸν πλῆθος ἀγανακτήσει, πολλὰ μὲν ἐν ταῖς τριήρεσι κάμνοντες, ὀλίγα δὲ λαμβάνοντες.

163. οἶμοι τάλας : Δεῖ νοεῖν ὅτι ἐκ τῶν ἀγρῶν ἔρχεται ὁ Δικαιόπολις ἔχων φορτίον σκορόδων, καὶ ἐπηρεάζεται ὑπὸ τῶν ξένων, ὡς ἐκείνων λιμωττόντων καὶ ἁρπαζόντων τὰ σκόροδα. (τοῦτο δὲ εἶπε πορθούμενος, παρόσον καὶ οἱ πορθούμενοι ἀπόλλυνται.) ἀρέσκονται δὲ τοῖς σκορόδοις οἱ Θρᾷκες οὐκ ἀπεικότως. θερμὰ γὰρ τὰ σκόροδα φυσικῶς, οἱ δὲ Θρᾷκες ψυχρὰν χώραν νέμονται.

165. οὐ καταβαλεῖτε : Ὁ Θέωρος δὲ ἐπιπλήττει τοῖς βαρβάροις ἁρπάζουσι τὰ σκόροδα. (166) καὶ τῷ Δικαιοπολιδι ὁμοίως ἐπιπλήττει ἐρεθίζοντι αὐτούς. Εἰς τὸ αὐτό. ἀντὶ τοῦ σφοδροῖς οὖσι καὶ πικροῖς γενομένοις, μετειληφόσι τῶν σκορόδων. ἀπὸ μεταφορᾶς τῶν ἀλεκτρυόνων. τούτοις γὰρ ὅτε μέλλουσι μάχεσθαι, σκόροδα δίδοται ἐσθίειν, ἵνα θερμανθέντες ὀξύτεροι γένωνται, ὡς καὶ ἐν Ἱππεῦσί φησιν [494]

ἵν' ἄμεινον, ὦ τᾶν, ἐσκοροδισμένος μάχῃ.

171. διοσημί' ἐστί : Παρεφυλάττοντο γὰρ οἱ Ἀθηναῖοι τὰς τοῦ Διὸς ἡμέρας, καὶ διέλυον τὰς ἐκκλησίας διοσημίας γενομένης, ἢ ἄλλο τι μέλλοντες ἀνύειν. διοσημία δέ ἐστιν ὁ παρὰ καιρὸν χειμών.

ῥανίς : Σταλαγμὸς, σταγών. *Vict.*

172. παρεῖναι δ' εἰς ἔνην : Οἷον εἰς τρίτην. [Hesiod. Op. 408] « μὴ δ' ἀναβάλλεσθαι ἐς τ' αὔριον ἐς τ' ἔνηφι. » τινὲς δὲ εἰς τριακάδα. διαλυθείσης δὲ τῆς ἐκκλησίας συνήγοντο πάλιν βουλευόμενοι περὶ τῶν αὐτῶν. Ἀττικοὶ δὲ καλοῦσιν ἔνην καὶ τὴν παλαιάν. καὶ Δημοσθένης ἐν τῷ κατὰ Ἀριστογείτονος [p. 775, 25] « τὰς ἕνας ἀρχὰς ταῖς νέαις ὑπεξιέναι. »

174. μυττωτόν : Ἀντὶ τοῦ σκόροδα, ἐξ ὧν ὁ μυττωτὸς γίνεται. κατασκευάζεται δὲ ἀπὸ τυροῦ καὶ σκορόδου καὶ ᾠοῦ. ἀπὸ τοῦ παντὸς οὖν κατασκευάσματος τὸ μέρος ἐδήλωσε, τουτέστι τὰ σκόροδα.

176. μήπωγε : Γελοίου χάριν εἶπε πρὸς τὸ χαίρειν τὸ μήπω.

179. (ὤσφροντο : Ἀντὶ τοῦ ἥσθοντο εἶπε τὸ ὤσφροντο, ὅτι δι' οἴνου εἰσὶν αἱ σπονδαί· ὡς ἐκ τῶν μετὰ ταῦτα δῆλον. δι' ὀσφρήσεως δὲ ἡ αἴσθησις τῆς ἀναφορᾶς τοῦ οἴνου.)

180. στιπτοὶ γέροντες : Ἀντὶ τοῦ πυκνοί. εἴρηται δὲ ἀπὸ τῶν ἐσθήτων, αἵτινες ὑφανθεῖσαι εἰς πυκνότητα

συνάπτονται. (ἢ ἀντὶ τοῦ στερεοὶ καὶ πεπιλημένοι ἀπὸ τοῦ στείβειν, ὅ ἐστι πατεῖν.)

πρίνινοι : Στερεοὶ καὶ σκληροί. (ἰσχυρὸν γὰρ τὸ τῆς πρίνου ξύλον. καὶ) Ἡσίοδος [Op. 434] « πρίνου δὲ γύην. » καὶ πάλιν [427]

πρίνινον, ὃς γὰρ βουσὶν ἀροῦν ὀχυρώτατός ἐστιν.

ἀτεράμονες δὲ, λίαν σκληροὶ, μὴ τειρόμενοι, ἀνένδοτοι. κυρίως δὲ τὰ μὴ ἑψόμενα τῶν ὀσπρίων ἀτεράμονα λέγεται, (οἷον οὐχ ἁπαλά).

181. σφενδάμνινοι : Ἰσχυροί. τοιοῦτον γὰρ τὸ τῆς σφενδάμνου ξύλον. ἀντὶ τοῦ σφενδονῆται. (Ἄλλως. τὸ σφενδάμνινοι ταυτόν ἐστι τῷ πρίνινοι. σφένδαμνος γὰρ εἶδος ἰσχυροῦ ξύλου. ἔστι δὲ καὶ εἶδος καννάβεως ἡ σφένδαμνος. ἡ γὰρ σφενδόνη ἀπὸ καννάβεως γίνεται.)

ἀτεράμονες : Ἀκαμπεῖς. *Vict.*

183. (τῶν ἀμπέλων τετμημένων : Οἱ γὰρ Πελοποννήσιοι εἰσβάλλοντες εἰς τὴν Ἀττικὴν ἔτεμνον τὴν γῆν τῶν Ἀχαρνέων.

184. κἀς τοὺς τρίβωνας : Ἀττικὸν τὸ σχῆμα. ἀντὶ τοῦ ἐς τοὺς τρίβωνας ξυνελέγοντο τοὺς λίθους.

187. τρία γε ταυτί : Ἔπαιξε παρὰ τὰς σπονδὰς, ἐπεὶ οἶνῳ γίνονται αἱ δι' ὅρκων συνθῆκαι. ἀντὶ δὲ τοῦ εἰπεῖν ἀνάγνωθι, εἶπεν γεῦσαι.)

190. ὄζουσι πίττης : Κοινὸν ἐπὶ οἴνου καὶ νεὼς τὸ πίσσης ὄζειν. (ἔστι γὰρ πισσίζων οἶνος.) ὁ δὲ λόγος, ὄζουσιν αἱ σπονδαὶ αὗται κατασκευῆς τριήρων, διὰ τὸ ὀλιγοχρόνιον αὐτῶν. (192) (εἰς τὰς πόλεις δὲ τὰς τῶν συμμάχων.)

193. ὀξύτατον, ὥσπερ διατριβῆς : Ἀντὶ τοῦ ἀπωλείας καὶ συντριβῆς. (ἢ ἀντὶ τοῦ μόναι πρεσβεῖαι ἔσονται περὶ τῶν συμμάχων, ὥστε μένειν αὐτοὺς καὶ μὴ μεθίστασθαι, ἀλλὰ συμμαχεῖν τῇ πόλει. Ἄλλως. ἀπὸ μεταφορᾶς τοῦ τραπέντος οἴνου εἰς ὄξος. καὶ τῶν οἴνων τὸ ὀξύτατον.)

195. ὦ Διονύσια : Θαυμάζων ταῦτα λέγει, προσδοκῶν εἰρήνης οὔσης τὴν τῶν Διονυσίων πανήγυριν ἔσεσθαι. (εἴρηται δὲ ἐπὶ τῶν ἀποδοχῆς ἀξίων. ἀντὶ τοῦ ἥδισται, ἄξιαι τῶν Διονυσίων. Διονύσια δὲ ἑορτὴ Διονύσου, ἣν ἦγον Ναυπάκτιοι.)

197. (καὶ μὴ ἐπιτηρεῖν : Εἴ ποτε γὰρ ἔξοδος ἐπὶ στρατὸν ἐγένετο, εἰώθεσαν οἱ στρατηγοὶ προλέγειν τοῖς στρατιώταις, ὥστε τριῶν ἡμερῶν παρασκευάζεσθαι σιτία. σκώπτει οὖν τοῦτο τὸ στρατηγικὸν παράγγελμα, ὡς ἀηδὲς καὶ βαρὺ τοῖς εἰρήνης ἐπιθυμοῦσι.)

198. κἀν τῷ στόματι : Ὡς γυναῖκας εἰδωλοποιεῖ τὰς σπονδάς. στόμα γοῦν αὐταῖς προστίθησιν. (ἢ ἐν τῷ ἡμετέρῳ στόματι, γευσαμένων ἡμῶν, μονονουχὶ φωνὴν ἀφιᾶσιν. Ἄλλως. λέγουσι, φησὶν, αἱ σπονδαὶ, ἄπιθι ὅπου θέλεις. εἰκότως. ἐν γὰρ πολέμῳ διὰ τὰς ἐπιδρομὰς τῶν πολεμίων καὶ τῆς πολιορκίας οὐκ ἔστιν ἀπελθεῖν ὅπου τις βούλεται.)

200. (χαίρειν κελεύων : Κατ' εὐφημισμὸν τὸ χαίρειν κελεύων τὸν Ἀμφίθεον οἴονταί τινες· ἵνα γραφῇ τὸ κελεύω χωρὶς τοῦ ν. τὸ δὲ ἑξῆς, ἐγὼ δὲ πολέμου, τὸν Δικαιόπολιν.

202. ἄξω κατ' ἀγρούς : Τὰ Λήναια λεγόμενα. ἔνθεν τὰ Λήναια καὶ ὁ ἐπιλήναιος ἀγὼν τελεῖται τῷ Διονύσῳ. Λήναιον γάρ ἐστιν ἐν ἀγροῖς ἱερὸν τοῦ Διονύσου, διὰ τὸ πλεκτοὺς ἐνταῦθα γεγονέναι. ἢ διὰ τὸ πρῶτον ἐν τούτῳ τῷ τόπῳ λήναιον τεθῆναι. Μένανδρος « τραγῳδὸς ἦν ἀγὼν, Διονύσια. »)

204. τῇδε πᾶς ἕπου : (Ἐντεῦθεν ἡ πάροδος γίνεται τοῦ χοροῦ, ὃν συμπληροῦσιν οἱ Ἀχαρνεῖς. παράγονται δὲ συντόνως μετὰ σπουδῆς διώκοντες τὸν Ἀμφίθεον, σπονδὰς ποιησάμενον πρὸς τοὺς Λακεδαιμονίους. γέγραπται δὲ τὸ μέτρον τροχαϊκὸν, πρόσφορον τῇ τῶν διωκόντων γερόντων σπουδῇ. ταῦτα δὲ ποιεῖν εἰώθασιν οἱ τῶν δραμάτων ποιηταὶ κωμικοὶ καὶ τραγικοὶ, ἐπειδὰν ὁρμαίως εἰσάγωσι τοὺς χορούς, ἵνα ὁ λόγος συντρέχῃ τῷ δράματι.) τὸ δὲ τῇδε τοπικόν ἐστιν ἐπίρρημα καὶ κεῖται ἐν ἴσῳ τῷ ἐνταῦθα. (καὶ ἔχει παρὰ τοῦ ποιητοῦ [Il. O, 46]

τῇ ἴμεν ἦ κεν δὴ σὺ κελαινεφὲς ἡγεμονεύεις.

σημαίνει δέ ποτε καὶ ῥῆμα προστακτικόν [Od. I, 347] « Κύκλωψ, τῇ πίε οἶνον. » ἐχρήσατο δὲ τῷ πληθυντικῷ ὁ Σώφρων εἰπὼν « τῆτέ τοι κορῶναί εἰσιν. » Ἄλλως. κορωνίς. εἰσέρχεται γὰρ ὁ χορὸς διώκων τὸν Ἀμφίθεον, καὶ ἔστι μεταβολικὸν μέλος ἐκ δύο μονάδων μονοστροφικῶν, ὧν ἡ μὲν πρώτη ιδ' κώλων ἔχει τὰς περισσοὺς· ὧν δ' μὲν ἐν εἰσθέσει εἰσὶ τροχαϊκαὶ καὶ καταληκτικαὶ τετράμετροι. εἶτα ἐν ἐκθέσει κῶλα παιωνικὰ ἕνδεκα κρητικοῖς ἐπιμεμιγμένα, καὶ τὸ ς' καὶ τὸ ὄγδοον καὶ δέκατον δίρρυθμα, τὰ δ' ἄλλα τρίρρυθμα.)

(καὶ τὸν ἄνδρα πυνθάνου : Ἀντὶ τοῦ περὶ τοῦ ἀνδρός. ὅμοιον γάρ ἐστι τῷ « ἄνδρα μοι ἔννεπε Μοῦσα. »

206. ξυλλαβεῖν τὸν ἄνδρα : Διττή ἐστιν ἡ χρῆσις τοῦ συλλαβεῖν παρὰ τοῖς ἀρχαίοις. πρὸς γὰρ διάφορον κλίσιν διάφορος καὶ ἡ διάνοια. ἐὰν μὲν γὰρ πρὸς αἰτιατικὴν ἡ σύνταξις ᾖ, ἔχθραν καὶ δυσμένειαν παρίστησι τοῦ συλλαμβάνοντος, κακουργίαν δὲ τοῦ συλλαμβανομένου, ὥσπερ καὶ νῦν. καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου [?] « οὐχὶ συλλήψομεθα. » ἐὰν δὲ πρὸς δοτικὴν, σημαίνει φιλίαν καὶ συμμαχίαν, ὡς Ἰσοκράτης ἐν ταῖς παραινέσεσιν [p. 2, C] « ὁρῶ δὲ καὶ τὴν τύχην ἡμῖν συλλαμβάνουσαν, » ἴσον τῷ συναγωνιζομένην. ἐπάγει γοῦν « καὶ τὸν παρόντα καιρὸν συναγωνιζόμενον. » καὶ Δημοσθένης ἐν πρώτῳ Φιλιππικῶν.)

207. εἴ τις οἶδ' ὅποι τέτραπται : Ἀστεία καὶ καθαρὰ εἰς ὑπερβολὴν ἡ σύνταξις τὸ λέγειν οὐκ εἰς ποίαν γῆν πέφευγεν, ἀλλὰ ποῦ γῆς. δόξαν γὰρ πεπαιδευμένου καρπώσαιτο ἄν τις οὕτως εἰπών.

210. τῶν ἐτῶν τῶν ἐμῶν : Οὐκ ἀπόβλητον οὐδὲ τοῦτό μοι δοκεῖ. σφόδρα γὰρ Ἀττικὴ ἡ φράσις. λείπει γὰρ τὸ ἕνεκα. τὸ κατ' ἔλλειψιν οὖν ῥηθὲν κοινὸν αὐτῷ πεποίηκε. λέγοις ἂν καὶ σὺ παραπλησίως· οἶμοι τῆς τύχης, μακάριος τῆς ἐμῆς παιδείας.

211. οὐκ ἂν ἐπ' ἐμῆς νεότητος : Ὁ μὲν χορὸς συνέστηκεν ἐξ οὗ ἀνδρῶν. ἔστι δὲ νῦν γεροντικός. πάνυ δὲ ἐμμελῶς καὶ μετὰ πάσης ἀρετῆς ὁ ποιητὴς ἐμιμήσατο γερόντων τρόπους καὶ λόγους· τρόπους μὲν ἐκ τῆς ἀκροχολίας, λόγους δὲ ἐκ τῆς τῶν παλαιῶν ἔργων ὑπολήψεως. τοιοῦτος ἡμῖν καὶ ὁ Νέστωρ δοκεῖ λέγων [Il. H, 133] « ἤβῳμ', ὡς ὅτ' ἐπ' ὠκυρόῳ. » καὶ πάλιν [157] « εἴθ' ὣς ἡβώοιμι· τῷ κε τάχ' ἀντήσειε « μάχης κορυθαίολος Ἕκτωρ. » ὁ μὲν οὖν Ὅμηρος ἡρωϊκὸς ὢν ἡρωϊκῶν πράξεων μέμνηται, Ἀριστοφάνης δὲ ὡς μετρίοις ἀνδράσι καὶ βαναύσοις περιέθηκεν ἄνθρακας καὶ φορτία βασταζόμενα.

214. Φαύλλῳ : Ὁ Φάυλλος δρομεὺς ἄριστος (ὀλυμπιονίκης, ὁπλιτοδρόμος περιώνυμος, ὃν ἐκάλουν δδόμετρον. ἦν δὲ καὶ πένταθλος.) ἐφ' οὗ καὶ ἐπίγραμμα τοιόνδε,

πέντ' ἐπὶ πεντήκοντα πόδας πήδησε Φάϋλλος,
δίσκευσεν δ' ἑκατὸν πέντ' ἀπολειπομένων.

(ἐγένετο δὲ καὶ ἕτερος ἀθλητὴς ὀγδόην ὀλυμπιάδα νικήσας, καὶ τρίτος λωποδύτης.)

215. ὧδε φαύλως ἄν : Ἀντὶ τοῦ εὐχερῶς καὶ μετὰ ῥαστώνης. (δηλοῦται δὲ ἐκ τῆς λέξεως καὶ τὸ ἁπλοῦν καὶ τὸ κακόν. τὸ δὲ ἑξῆς, οὐκ ἂν ὧδε φαύλως.)

217. (ἀπεπλίξατο : Ἀπεσείσατο, ἀπέφυγεν. πλίξ γὰρ τὸ βῆμα, καὶ πλίγματα τὰ πηδήματα. ἔνθεν καὶ τὸ περιβάδην, ἀμφιπλίξ παρὰ Σοφοκλεῖ ἐν Τριπτολέμῳ. καὶ Ὅμηρος [Od. Z, 318]

αἶδ' εὖ μὲν τρώχων, αἶδ' ἐπλίσσοντο πόδεσσιν.

ἔλεγον δὲ πλίξ καὶ τὸ ἀπὸ τοῦ ἀντίχειρος εἰς τὸν λιχανὸν δάκτυλον διάστημα, καὶ τὸ μεταξὺ τῶν μηρῶν ὀστοῦν.)

219. νῦν δ' ἐπειδὴ στερρόν : (Σκληρόν.) ἀντὶ τοῦ γεγηρακὸς καὶ αὖον. (ὥσπερ κατὰ ἀντίθεσιν ἐπὶ τῶν ἀκμαζόντων χλωρόν. Θεόκριτος [14, 70 corrupte] » ποιη« ταὶ δὲ λόγων χλωρῶν » ἀντὶ τοῦ ἀκμαίων, νέων. ἀπὸ μεταφορᾶς τῶν καλάμων, οἱ ὄντες μὲν χλωροὶ ἁπαλοί εἰσι, ξηραινόμενοι δὲ ξηροὶ καὶ σκληροὶ γίνονται. εὐφήμως οὖν εἶπε στερρὸν ἀντὶ τοῦ ξηρόν.)

220. Λακρατίδῃ : Λακρατίδης ἀρχαῖος ἄρχων Ἀθήνησιν, ὡς καὶ Φιλόχορος. ἦρξε δὲ ἐπὶ τῶν χρόνων Δαρείου, ἐφ' οὗ πλείστη χιὼν ἐγένετο καὶ ἀπέπηξε πάντα, ὡς μὴ δύνασθαί τινα προϊέναι. διόπερ τὰ ψυχρὰ πάντα Λακρατίδου ἐκάλουν. (δηλοῦνται δὲ καὶ νῦν τῷ ψυχρῷ καὶ γεροντικῷ. λέγει οὖν ὅτι διὰ τὸ γῆρας οὐχ οἷός τέ εἰμι θᾶττον βαδίζειν.)

228. (τῶν ἐμῶν χωρίων : Κἀνταῦθα λείπει τὸ ἕνεκα.)

229. πρὶν ἂν σχοῖνος : Εἶδος φυτοῦ κατὰ τὸ ἄκρον ὀξέος καὶ πληκτικοῦ, προσοικότος βελόνῃ. παρατηρεῖν δὲ δεῖ ὅτι ἀρσενικῶς λέγουσι τὸν σχοῖνον. ὁ δὲ λόγος, πρὶν αὐτοὺς τρώσω, ὡς σχοῖνος ὀξὺς καὶ ὀδυνηρός.

230. ἐπίκωπος : Ἀντὶ τοῦ, διὰ νεὼς καὶ ναυτικὸς ὢν ἐπίω αὐτοῖς, ναυτικοὶ δὲ οἱ Ἀθηναῖοι (καὶ προσέχοντες τῷ ναυτικῷ. ἡ δὲ ὁμώνυμος λέξις ἐστὶ καὶ παρ' Ὁμήρῳ [Od. Δ, 559] « οὐ γάρ μοι νέες εἰσὶν ἐπήρετμοι. » ἐπίκωπος οὖν ἤτοι ὅπερ ἔφην ναυτικὸς ἢ ξιφήρης. κώπη γὰρ τοῦ ξίφους ἡ λαβή, ἡ κόπτειν δυναμένη, ἤγουν κωπήεις.)

232. (ἵνα μήποτε πατῶσιν : Εἰώθασι γὰρ σκόλοπάς τινας ἐγκρύπτειν ἐν ταῖς ἀμπέλοις, ἵνα μηδεὶς ἐξ ἐπιδρομῆς καὶ εὐχερῶς κακουργῇ. ἐπειδὴ οὖν προεῖπε, σκόλοψ καὶ σχοῖνος αὐτοῖς ἅτ' ἐμπαγῶ, εἰκότως ἐπήνεγκε τοῦτο, ἵνα μηκέτι πατῶσι τὰς ἐμὰς ἀμπέλους.)

234. Παλλήναδε : Οἱ Παλληνεῖς δῆμός ἐστι τῆς Ἀττικῆς, ἔνθα Πεισιστράτῳ βουλομένῳ τυραννεῖν καὶ Ἀθηναίοις ἀμυνομένοις αὐτὸν συνέστη πόλεμος. (συγκέκοπται δὲ ἡ λέξις. τὸ γὰρ ὁλόκληρόν ἐστι Παλληναίαδε. ὑπήλλακται δὲ ἡ κυριότης τῆς διανοίας.) δέον γὰρ εἰπεῖν ζητεῖν τὸν ἄνδρα καὶ βλέπειν Παλληνικὸν, τουτέστι γενναῖον, εἶπε Παλλήναδε. ὃ δὲ εἰπεῖν βούλεται, τοῦτό ἐστιν· ὡμῶς διακεῖσθαι καὶ τραχέως ἔχειν πρὸς τὸν σπεισάμενον Λακεδαιμονίοις, ὡς πάλαι πρὸς Πεισίστρατον τὸν τύραννον, ἡνίκα συνεστήσαμεν ἐν Παλλήνῃ τὴν μάχην. (μέμνηται δὲ τούτου καὶ Ἀνδροτίων καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. Ἄλλως. Παλλήνη δῆμος τῆς Ἀττικῆς. νῦν δὲ διὰ τοῦ β γραπτέον κατὰ συγγένειαν τοῦ β εἰς τὸ π. εἴρηται δὲ ἀπὸ τοῦ βάλλειν λίθοις. θέλει γὰρ εἰπεῖν ὅτι δεῖ ζητεῖν τὸν ἄνδρα καὶ λιθολευστεῖν αὐτόν.)

236. ἐμπλείμην λίθοις : Κορεσθείην. εὐκτικῆς ἐγκλίσεως τετύχηκε τὸ ἐμπλείμην. (ἔστι γὰρ ἐμπιπλῶ, ὃ κατὰ ἀναδιπλασιασμὸν κέκλιται, ἀφ' οὗ παράγωγον τὸ ἐμπίπλημι. ἀπὸ τούτου γίνεται τὸ [Il. Φ, 23] « πιμ« πλᾶσι μυχοὺς λιμένος εὐόρμου. » τὸ δὲ ἑτέρᾳ παραγωγῇ, ἀφ' οὗ τὸ πλήθω, ὡς ἀπὸ τοῦ νῶ νήθω. ἀπὸ δὴ τοῦ) πλῶ πλείμην, ὡς ἀπὸ τοῦ βλῶ βλείμην, (οὗ τὸ δεύτερον [Il. N, 288] « εἴπερ γάρ κε βλεῖο. »)

237. εὐφημεῖτε : Τοῦτο ὁ Δικαιόπολις μέλλων ποιεῖν θυσίαν φησί. τοῦτο γὰρ ἦν ἔθος.

238. (σίγα πᾶς : Ἐπ' αὐτῷ τούτῳ δυσχεραίνουσι καὶ διάκεινται χαλεπῶς, ὅτι οὐ μόνον εἰρήνην ἐποίησεν, ἀλλὰ καὶ θυσίας ἐπιτελεῖ.)

239. (οὗτος αὐτός ἐστιν ὃν ζητοῦμεν : Τὸ δὶς τὸν αὐτὸν λόγον ἐπιφθέγξασθαι παρίστησιν ἐκ μετατροπῆς ἀληθειαν βεβαιούμενος.)

ἀλλὰ δεῦρο πᾶς : Πρὸς ὀλίγον χρόνον ὑποστείλασθαι βούλονται, ἵνα μὴ προϊδόμενος ὁ σπονδοφόρος φύγῃ, (ἀλλὰ δυνηθῶσιν αὐτὸν χειρώσασθαι. τοιαῦται ἦσαν καὶ αἱ Ὀδυσσέως πρὸς Διομήδη παρακελεύσεις [Il. K, 344]

ἀλλ' ἐῶμέν μιν πρῶτα παρεξελθεῖν πεδίοιο
τυτθόν· ἔπειτα δέ κ' αὐτὸν ἐπαΐξαντες ἕλοιμεν.)

242. πρόϊθ' ὡς τὸ πρόσθεν : Κατὰ τὴν τῶν Διονυσίων ἑορτὴν παρὰ τοῖς Ἀθηναίοις αἱ εὐγενεῖς παρθένοι ἐκανηφόρουν. ἦν δὲ ἐκ χρυσοῦ πεποιημένα τὰ κανᾶ, ἐφ' ὧν τὰς ἀπαρχὰς ἁπάντων ἐτίθεσαν. (διπλῆ δὲ μετὰ κορωνίδος, ὅτι εἰσίασιν οἱ ὑποκριταὶ, καὶ εἰσὶν ἰαμβεῖα.)

243. ὁ Ξανθίας τὸν φαλλόν : Φαλλὸς ξύλον ἐπήμηκες, ἔχον ἐν τῷ ἄκρῳ σκύτινον αἰδοῖον ἐξηρτημένον. ἵστατο δὲ ὁ φαλλὸς τῷ Διονύσῳ, κατά τι μυστήριον. περὶ δὲ αὐτοῦ τοῦ φαλλοῦ τοιαῦτα λέγεται. Πήγασος ἐκ τῶν Ἐλευθερῶν, αἱ δὲ Ἐλευθεραὶ πόλις εἰσὶ Βοιωτίας, λαβὼν τοῦ Διονύσου τὸ ἄγαλμα ἦκεν εἰς τὴν Ἀττικήν. οἱ δὲ Ἀθηναῖοι οὐκ ἐδέξαντο μετὰ τιμῆς τὸν θεόν. ἀλλ' οὐκ ἀμισθί γε αὐτοῖς ταῦτα βουλευσαμένοις ἀπέβη. μηνίσαντος γὰρ τοῦ θεοῦ νόσος κατέσκηψεν εἰς τὰ αἰδοῖα τῶν ἀνδρῶν, καὶ τὸ δεινὸν ἀνήκεστον ἦν. ὡς δὲ ἀπεῖπον πρὸς τὴν νόσον κρείττω γενομένην πάσης ἀνθρωπείας μαγγανείας καὶ τέχνης, ἀπεστάλησαν θεωροὶ μετὰ σπουδῆς· οἱ δὴ ἐπανελθόντες ἔφασαν ἴασιν ταύτην εἶναι μόνην, εἰ διὰ τιμῆς ἁπάσης ἄγοιεν τὸν θεόν. πεισθέντες οὖν τοῖς ἠγγελμένοις οἱ Ἀθηναῖοι φαλλοὺς ἰδίᾳ τε καὶ δημοσίᾳ κατεσκεύασαν, καὶ τούτοις ἐγέραιρον τὸν θεὸν, ὑπόμνημα ποιούμενοι τοῦ πάθους. ἴσως δὲ καὶ ὅτι παίδων γενέσεως αἴτιος ὁ θεός. ἡδονὴν γὰρ καὶ ἀφροδίσια μέθη ἐξανίστησι. τοιγαροῦν καὶ ὁ Λάϊος ἐκδοὺς ἑαυτὸν μέθῃ [Eurip. Phœn. 21] « εἰς τε βακχεῖον πεσὼν » ἐφύτευσε (παῖδα. φαλλὸς δὲ τὸ πέος. παίζει δὲ πρὸς τὸν οἰκέτην. Ξανθίας γὰρ οἰκετικὸν ὄνομα. κέχρηται δὲ αὐτῷ καὶ ἐν Βατράχοις [271] « ὁ Ξανθίας, ποῦ Ξανθίας; » εἰσὶ δὲ καὶ ἐν τῇ κωμῳδίᾳ οἰκέται Ξανθίας, Τίβιος, Σωσίας, Δᾶος, Γέτας.)

245. (τὴν ἐτνήρυσιν : Τὴν ζωμάρυστρον, ἐν ᾗ τὸ ἔτνος ἀρύονται. καθάριον δὲ εἰς ὑπερβολὴν τὸ ὄνομα. ἔστι δὲ καὶ τοῦτο ἀστεῖον καὶ πεπαιδευμένῳ ἁρμόζον, μηδὲ τῶν κατὰ τὴν οἰκίαν σκευῶν τῆς καθημερινῆς χρείας ἀγνοεῖν τὰ ὀνόματα. ἐτνήρυσιν οὖν ἐκάλεσε παρὰ τὸ ἐν αὐτῇ ἀρύεσθαι τὸ ἔτνος. λέγομεν δὲ ἐτνήρυσιν πᾶν τὸ ταράσσον. ἔτνος δὲ ἔλεγον τὴν ἀθάραν καὶ τὸ πίσινον ἀφέψημα, ὡς καὶ ἐν Βατράχοις [62] « ἦδη πότ' ἐπεθύμησας ἔτνους. »)

246. τοῦ ἰατῆρος : Ἐλατήρ ἐστι πλακουντῶδες πέμμα πλατύ. (ἔνθεν καὶ ἡ ἐπωνυμία, παρὰ τὸ ταῖς χερσὶν ἐλαύνεσθαι εἰς πλάτος. ἐλατῆρος οὖν τοῦ πέμματος. ἔστι δὲ ἄρτος πλατὺς, ἐν ᾧ τὸ ἔτνος ἐτίθεσαν καὶ προσῆγον τῷ βωμῷ. ἐλατὴρ δὲ πᾶν τὸ πλατύ. εἰσὶ δὲ καὶ λαγαρώδεις παρὰ τὸ λαγαρόν. καὶ πέλανοι παρ' Εὐριπίδῃ.)

254. θυμβροφάγον : Ἤτοι ἀγροικικὸν καὶ ἐλευθέριον. παρόσον οἱ ἐν ἀγρῷ διατρίβοντες ἀφελέστεροι καὶ ἐπιεικέστεροι. τὸ δὲ θύμβρον ἐν ἀγρῷ γίνεται. ἔστι δὲ καὶ τοῦτο ἄγριον φυτόν. ἢ πικρὸν καὶ δριμὺ κατὰ τῶν ἐχθρῶν. (δριμὺ γὰρ τὸ φυτόν. οἱ δὲ ἀντὶ τοῦ δριμὺ καὶ ἁλαρόν. τινὲς δὲ τῷ θύμῳ παραπλήσιον. ἢ ἁπαλὸν, ἡδύ. κωμικῶς δὲ ἔπαιξεν.)

255. γαλᾶς : Ἀντὶ τοῦ παῖδας δριμυτάτους. τοῦτο δὲ τὸ σχῆμα καλεῖται παρὰ προσδοκίαν. ἔδει γὰρ ἐκφάναι, ἐκποιήσεται παῖδας νεανίας.

ὀπύσει : Γαμήσει. *Vict.*

256. ἐπειδὰν ὄρθρος ᾖ : Παρόσον ἐν τῷ ὄρθρῳ δοκοῦσιν οἱ ἄνθρωποι συνεχῶς βδέειν, διὰ τὸ τὰς πέψεις τότε γίνεσθαι.

257. πρόβαινε : Ὡς ἐπὶ ὄχλου πομπευόντων αὐτῶν (λέγει. φυλάττεσθαι δὲ ἀντὶ τοῦ παρατηρεῖν, φυλάττειν.)

259. (ὀρθὸς ἑκτέος : Ὑμῖν δ' ἐστὶν ὁ φαλλὸς κατασχετέος, βαστακτέος ἑπομένοις τῇ κανηφόρῳ. ἅμα δὲ καὶ πρὸς τὸ κακέμφατόν ἐστιν ὁ φαλλὸς, τὸ πρὸς μίμησιν τοῦ αἰδοίου. καὶ τοῦτο δὲ παίζει κωμικῶς λέγων, τὸν φαλλὸν ὀρθὸν κατέχειν ὄπισθεν τῆς παρθένου.)

261. ἄσομαι τὸ φαλλικόν : Ἄσματα λέγεται φαλλικὰ τὰ ἐπὶ τῷ φαλλῷ ᾀδόμενα μέλη. ἔστι δὲ εἰς Διόνυσον (ἢ εἰς ἄλλον καρπόν).

263. (Φαλῆς ἑταῖρε : Διπλῆ καὶ μέλος, οὗ ἡγεῖται περίοδος. ἡ περικοπὴ κώλων ιζ' τοῦ ὑποκριτοῦ, ἧς πρῶτα μέν εἰσιν η'. ἐν εἰσθέσει ἰαμβικὰ δίμετρα ἀκατάληκτα μὲν β', τὸ δὲ γ' καταληκτικόν. τὰ δὲ ἄλλα ε' καταληκτικά. περισπωμένως δὲ τὸ Φαλῆς ἀναγνωστέον, ὡς Ἑρμῆς. οὕτως δὲ Ἀττικοί· παρὰ Δωριεῦσι δὲ βαρυτόνως. « ὁ δ' αὖ Φάλης κατακυπτάζει. » οὕτω Σώφρων ἐχρήσατο. ὥσπερ δὲ Ὅμηρος ἥρμοσε κατάπληξιν τῇ φυγῇ καὶ ἑταίραν αὐτῆς ἔφησεν εἶναι [Il. I, 2] » θεσπεσίη ἔχε φύζα » εἰπὼν « φόβου κρυόεντος ἑταίρη, » οὕτω καὶ ὁ κωμικὸς ἐκεῖθεν λαβὼν τὰς ἀφορμὰς, Διονύσῳ τὸν φαλλὸν ἑταῖρον εἶναι φησίν. ἀκόλουθα γὰρ Διονυσιακῷ ποτῷ τὰ ἀφροδίσια. μαρτυρεῖ δὲ ἡμῖν καὶ Εὐριπίδης [Phœn. 21]

ὁ δ' ἡδονῇ δοὺς εἴς τε βακχεῖον πεσών.

264. νυκτοπεριπλάνητε : Οἰκείας ἐντίθησι φωνὰς ψυχῇ ἀνειμένῃ καὶ ἥδῃ μεθυούσῃ. ἡδίστην δὲ τὴν σύνθεσιν τὴν τοῦ νυκτοπεριπλάνητε ἡ περί πρόθεσις εἰργάσατο.)

265. μοιχέ : Διὰ τὸ τοὺς μεθύοντας γίνεσθαι περὶ τὰ ἀφροδίσια. δεῖ δὲ νοεῖν, ὅτι ταῦτα οὐχ ὡς ἐν βλασφημίᾳ λέγεται τὸ μοιχέ καὶ τὸ παιδεραστά, ἀλλὰ πρὸς διάχυσιν καὶ ἱλαρότητα τοῦ φαλλοῦ. (ὡς καὶ παρ' Ὁμήρῳ [Il. E, 31] πρὸς διάθεσιν ψυχῆς « Ἄρες Ἄρες βροτολοιγέ. »)

266. ἕκτῳ σ' ἔτει προσεῖπον : Ἕκτον γὰρ ἦν λοιπὸν ἔτος, ἀφ' οὗ ὁ πόλεμος Ἀθηναίοις πρὸς Πελοποννησίους συνέστη. δῆμον δὲ ἔφη τὴν κώμην, οὐχ ὡς παρ' Ὁμήρῳ [Il. B, 547] « δῆμον Ἐρεχθῆος. »

270. καὶ Λαμάχων : Ὁ Λάμαχος οὗτος Ἀθηναίων στρατηγὸς, υἱὸς Ξενοφάνους, ὃν, ὅτε εἰς Σικελίαν ἔπλεον οἱ Ἀθηναῖοι, ἐχειροτόνησαν. ἦν δὲ μετὰ Ἀλκιβιάδου καὶ Νικίου, ὡς ἱστορεῖ Θουκυδίδης διὰ τῆς ς' [c. 8]. ἦν δὲ φιλοπόλεμος οὗτος.

272. ὡρικὴν ὑληφόρον : Ἀντὶ τοῦ ὡραίαν (καὶ ἀκμαίαν. ὥρα γὰρ ἡ ἀκμή. καὶ ὡραῖόν φασιν οἱ τραγικοὶ τὸ ἀκμαῖον. κοινὰ δὲ τὰ τοιαῦτα ὀνόματα. ὡρικὸν δὲ μειράκιον καὶ ὡρικῶς ἐν Δαιταλεῦσιν αὐτός. ἡ δὲ λέξις ἀπόδεκτος.)

273. τὴν Στρυμοδώρου Θρᾷτταν : Ἤτοι κοινῶς δούλην, ἢ οὕτως καλουμένην, τὴν ἐκ Θράκης· ὡς τὴν ἀπὸ Φρυγίας καὶ Παφλαγονίας. φελλεῖς δὲ ἔλεγον οἱ

Ἀττικοὶ τοὺς πετρώδεις τόπους, (οἵτινες κάτωθεν μέν εἰσι πετρώδεις, ἐπιπολῆς δὲ ὀλίγην ἔχουσι γῆν.) οἱ δὲ, ὅτι ὄρος Φελλεὺς οὕτω καλούμενον, ὡς καὶ ἐν Νεφέλαις [71].

274. (μέσην λαβόντ' ἄραντα : Ἐν εἰσθέσει κῶλα τρία ἰσάριθμα, ὧν τὰ δύο ἰαμβικὰ δίμετρα, τὸ δὲ ἓν μονόμετρον.)

275. καταγιγαρτίσαι : Ἀντὶ τοῦ κατὰ τῶν γεωργικῶν γιγάρτων βαλεῖν καὶ διαμηρίσαι. γεωργικῶς δὲ παίζει. (ἢ ὅτι τὸ ῥῆμα πρόσκαιρον, ἵνα ἀπὸ τῶν γιγάρτων τὸ μόριον ᾖ πεπλασμένον.) οὐ γὰρ διὰ παντὸς συνουσιάσαι δηλοῖ τὸ καταγιγαρτίσαι. (γίγαρτα δὲ τὰ ἐντὸς τῆς σταφυλῆς ὀστώδη. ἢ ἀντὶ τοῦ συνουσιάσαι. γίγαρτον γὰρ τὸ αἰδοῖον. ἢ καταθλῖψαι, ἀπὸ μεταφορᾶς τῶν γιγάρτων.)

277. (ἐκ κραιπάλης : Ἡ ἐξ ἑωθινοῦ μέθη κραιπάλη καλεῖται. ἢ ἀπὸ χθιζῆς οἰνοποσίας.)

279. ἐν τῷ φεψάλῳ : Ἐν τῷ καπνείῳ. φέψαλοι γάρ εἰσιν οἱ σπινθῆρες, ὡς καὶ ἀλλαχοῦ [Lysistr. 107] δηλοῖ

ἀλλ' οὐδὲ μοιχοῦ καταλέλειπται φεψάλυξ.

(καὶ παρὰ Ἀρχιλόχῳ δὲ κεῖται « πυρὸς δὲ ἦν αὐτῷ φεψάλυξ. » διὰ δὲ τὸ μὴ δεῖσθαι ἀσπίδος εἰρήνης γενομένης, ἔφη ἐν φεψάλῳ κρεμήσεται ἡ ἀσπὶς, παρὰ τὸ) Ἡσιόδειον [Op. 45]

αἰψά κε πηδάλιον μὲν ὑπὲρ καπνοῦ καταθεῖο.

(καὶ τί δεῖ περὶ ἀσπίδος καὶ πηδαλίου λέγειν, ὅπου γε καὶ περὶ ἀχρήστων βουλευμάτων ταύτην ἐξήνεγκε τὴν γνώμην ὁ ποιητὴς εἰπὼν [Il. B, 340]

ἐν πυρὶ δὲ βουλαί τε γενοίατο μήδεά τ' ἀνδρῶν.

περὶ δὲ ὅπλων ἐπιμελείας ἀξιουμένων τοὐναντίον ἔθηκεν [Od. Π, 288]

ἐκ καπνοῦ κατέθηκ', ἐπεὶ οὐκέτι τοῖσιν ἐώκει.)

284. Ἡράκλεις : Βαλλόμενος λίθοις ὁ Δικαιόπολις ὑπὸ τοῦ χοροῦ φησιν Ἡράκλεις. ὡς ἀλεξίκακον τὸν Ἡρακλέα καλεῖ. πάνυ δὲ κινεῖ γέλωτα, τῆς μὲν κεφαλῆς αὐτοῦ ἀφροντιστῶν, τῆς δὲ χύτρας προνοούμενος, ἐν ᾗ τὸ ἔντος ἦν. (τῷ δὲ συντρίβειν καὶ Μένανδρος κέχρηται ἐν Λευκαδίᾳ καὶ ἐν Ἀσπίδι· « ἔχων τὴν ἀσπίδα ἔκειτο συντετριμμένην. » σχετλιαστικὴ δὲ καὶ ἡ τοῦ Ἡράκλεις φωνή. οὗτος γὰρ ὁ θεὸς εἰς ἐπικουρίαν ἐκαλεῖτο ὡς ἀλεξίκακος τοῖς δεινὰ πάσχουσιν.

Ἡράκλεις : Διπλῆ, εἶτα ἔπεται δυὰς μονοστροφικὴ ἀμοιβαία τὰς περιόδους ἔχουσα δεκακώλους ἐκ στίχων δύο τροχαϊκῶν τετραμέτρων καταληκτικῶν, καὶ κώλων ἡ', ὧν τοὺς μὲν στίχους ὁ ὑποκριτὴς λέγει, τὰ δὲ κῶλα ὁ χορός. πρῶτος τοίνυν ἐστὶν ἐν ἐκθέσει κατὰ τὸ ἴσον τοῖς χορικοῖς, ἃ ποιεῖ δοχμὸν συζυγίαν καὶ παίωνας τρεῖς καὶ διαίρεσιν. τῷ δὲ δικώλῳ τούτῳ τὸ μὲν πρῶτόν ἐστιν

ἀπολεῖς ἄρα τὸν ἥλικα τόνδε φιλανθρακέα.

τὸ δὲ τῆς δευτέρας « οὗτοί σοι χαμαί. » ἔπεται δὲ τοῖς δυσὶ κώλοις στίχος τροχαῖος ὅδε « ἀντὶ ποίας αἰτίας. » καὶ ἐν εἰσθέσει τὰ λοιπὰ κῶλα ς' παιωνικὰ δίρρυθμα.)

285. ὦ μιαρὰ κεφαλή : Ἐκ τοῦ ἡγεμονικοῦ μέρους τοῦ σώματος δηλοῖ τὸν ἄνδρα, παραπλησίως Ὁμήρῳ [Il. Θ, 281] « Τεῦκρε, φίλη κεφαλή. » καὶ [Od. A, 343] « τοίην γὰρ κεφαλήν. » καὶ παρὰ Δημοσθένει [p. 552] « καὶ τοῦτ' ἔλεγες, ὦ μιαρὰ κεφαλή. »

290. ἡμῶν μόνος : χωρὶς ἡμῶν τῶν Ἀθηναίων· ἢ μόνος ἐξ ἡμῶν. R.

295. χώσομεν τοῖς λίθοις : Τοιοῦτο καὶ τὸ Ὁμηρικὸν [Il. Γ, 57] « λάϊνον ἕσσο χιτῶνα. » ἐν ἤθει γὰρ αὐτὸ μετεποίησεν. Ἀλέξανδρος μὲν γὰρ ἄξιος τῶν λίθων, Λακεδαιμονίας ἐρασθεὶς γυναικὸς ἐπὶ συμφορᾷ τῆς πατρίδος. οὗτος δὲ εἰρήνης ἐρᾷ ἐπ' ἀγαθῷ τῆς πατρίδος.

296. μηδαμῶς, πρίν γ' ἀκούσητε : Μεγαλοφρόνως καὶ γενναίως οὐ παραιτεῖται τὸν θάνατον, ἀλλὰ πρῶτον εἰπεῖν ἀξιοῖ, καὶ τότε ἀποθανεῖν, ἐὰν ᾖ δίκαιον.

297. οὐκ ἀνασχήσομαι : Ὅτι τινὲς τὸ ἀνασχήσομαι ὡς ἔκφυλον νομίζουσιν· ἐχρήσατο δὲ αὐτῷ καὶ Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους (Suid. Ἀριστοκράτους). οὐ δεῖ οὖν μόνον λέγειν ἀνέξομαι.

298. Κλέωνος : Ἐμισεῖτο γὰρ ὁ Κλέων ὡς συνταράττων τὰ κοινά. R.

300. ὃν ἐγὼ κατατεμῶ : (Ἐνταῦθα πάλιν περιττεύει τὸ ποτέ διὰ τὴν μετροποιίαν, καὶ ἔτι πρὸς τὴν ἐξήγησιν, οὗ ποτὲ τέμνει τὸν Κλέωνα Ἀριστοφάνης, ἀλλ' ἀεί. ὡς οὖν ἄνω τὸ νῦν περιττεύει, οὕτως ἐνταῦθα τὸ ποτέ. ἔστι γὰρ τοῦ αὐτοῦ μέτρου τὸ κῶλον. καττύματα δὲ ἐστὶ δέρματά τινα ἰσχυρὰ καὶ σκληρὰ, ἅπερ τοῖς σανδαλίοις καὶ τοῖς ἄλλοις ὑποδήμασιν ὑποβάλλεται.) οἰκεία δὲ ἡ ἀπειλὴ κατὰ τοῦ Κλέωνος. βυρσοδέψης γὰρ οὗτος. ὅτι δὲ τοῖς ἱππεῦσιν ἦν τις ἔχθρα πρὸς Κλέωνα, καὶ διὰ τῆς ἀρχῆς δεδήλωκε (7) « καὶ φιλῶ τοὺς ἱππέας διὰ τοῦτο τοὔργον. »

303. σοῦ δ' ἐγὼ λόγους λέγοντος : (Ἔπεται τῇ δύαδι δίστιχον, ὃ τοῖς μέλεσιν ἐξ ἔθους ὑπάγουσιν, ὅπερ ἐστὶ τετράμετρον τροχαϊκὸν καταληκτικόν.) οὐ λέγει ὅτι τοὺς μὲν μακροὺς οὐ προήσομαι, ἀκούσομαι δὲ τοὺς διὰ συντομίας λεγομένους, ἀλλ' ὅτι πάντες οἱ λόγοι μακροὶ πεφύκασι κρινόμενοι πρὸς πρᾶξιν, εἰ πέπρακται.

306. τῶν δ' ἐμῶν σπονδῶν : Λείπει ἡ περί. οὐ βούλεται δὲ αὐτοὺς τῶν Λακεδαιμονίων μνημονεύειν, διὰ τὸ ἐνθυμουμένους τὰ ὑπ' αὐτῶν γεγενημένα ὀργίλως καθίστασθαι.

308. οὔτε πίστις, οὔθ' ὅρκος : (Ἐπὶ ἀπιστίᾳ γὰρ διεβάλλοντο οἱ Λακεδαιμόνιοι. καὶ Εὐριπίδης ἐν Ἀνδρομάχῃ [445]

Σπάρτης ἔνοικοι, δόλια βουλευτήρια.

τρία δὲ ἐγκλήματα παραβάσιας προσέθηκεν αὐτοῖς.) αἱ γὰρ συνθῆκαι διὰ τριῶν τελοῦνται, λόγων, ἔργων, χειρῶν. λόγων μέν, οἷον δι' ὅρκου. ἔργων δὲ, διὰ τῶν ἐν βωμοῖς θυσιῶν. χειρῶν δὲ, ἐπειδὴ αἱ πίστεις διὰ τῶν δεξιῶν γίνονται. καὶ Ὅμηρος [Il. B, 341] « καὶ δεξιαὶ, ἧς ἐπέπιθμεν. »

309. οἶδ' ἐγὼ καὶ τοὺς Λάκωνας : Πάνυ δεινῶς καὶ τεθαρρηκότως ἐχρήσατο τῇ ἐπαναλήψει, καὶ οὐ κατέπτηξεν οὐδὲ ἠλαβήθη ἐν τοσούτοις ὑπὲρ τῶν ἐχθρῶν εἰπὼν, ὅτι οὐ μόνον οὐκ ἠδίκησαν κατὰ πάντα, ἀλλ' ὅτι καὶ ἐν τοῖς ἀδικηθεῖσι ταχθεῖεν ἄν.

315. ταραξικάρδιον : Αὐξήσει κέχρηται εἰπὼν ταραξικάρδιον. ἔστι γάρ τι δεινὸν, ὃ μὴ οὕτως ἐστὶ δεινὸν, ὡς δάκνειν (καὶ ταράττειν τὴν καρδίαν. ὅπερ δὲ τῇ καρδίᾳ ταραχὴν ἐμποιήσειεν ἄν, τοῦτο ἀναμφιβόλως δεινότατον νομίζοιτο ἄν).

317. (κἄν γε μὴ λέγω δίκαια : Τοῦτο δεινὸν καὶ προσκρουστικὸν, ἐπειδὴ οἱ στρατηγοῦντες καὶ δημαγωγοῦντες κωλυταὶ τῆς εἰρήνης ἐγίνοντο.)

318. ὑπὲρ ἐπιξήνου : Ἐπίξηνος καλεῖται ὁ μαγειρικὸς κορμὸς, ἐφ' οὗ τὰ κρέα συγκόπτουσιν.

320. μὴ οὐ καταξαίνειν : Μὴ οὐχὶ λίθοις αὐτὸν αἱμάσσειν, ὥστε φοινικοῦν αὐτῷ ποιῆσαι τὸ σῶμα. τὸ δὲ καταξαίνειν ὡς ἐπὶ ἐρίων ἔθηκε. διὸ καὶ φοινικίδα εἶπεν ὡς ἐπὶ ἱματίου. (Ἀριστοτέλης δέ φησιν ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ, χρῆσθαι Λακεδαιμονίους φοινικίδι πρὸς τοὺς πολέμους, τοῦτο μὲν ὅτι τὸ τῆς χρόας ἀνδρικὸν, τοῦτο δὲ ὅτι τὸ τοῦ χρώματος αἱματῶδες τῆς τοῦ αἵματος ῥύσεως ἐθίζει καταφρονεῖν. τὸ οὖν ἐν φοινικίδι ἀντὶ τοῦ ἐν τάξει πολεμίων, ἀπὸ τοῦ φορήματος δηλώσειεν ἂν εἰκότως, ἐπεὶ τὸ φοινιχθῆναι αἱμαχθῆναι, δίκην φοινικοβαφοῦς ἐνδύματος. καὶ τὸ ξαίνω ῥῆμα καὶ παρὰ Δημοσθένει κεῖται ἐν τῷ κατ' Αἰσχίνου περὶ τῆς παραπρεσβείας [p. 403, 3] « εἰπούσης τι καὶ δακρυσάσης ἐκείνης, περιρρήξας τὸν χιτῶνα ὁ οἰκέτης, ξαίνει κατὰ τοῦ νώτου πολλάς. »)

καταξαίνειν : Ξαίνει, διαξέει, νήθει, σωρεύει, ἐργάζεται ἔρια, καὶ δέρρειν ἱμάντι. *Vict.*

321. θυμάλωψ : Ὁ διακεκαυμένος ἀναβάτης. (ὁ ἀπολελειμμένος τῆς θύψεως ἄνθραξ, ὁ ἡμίκαυτος. ξύλον καὶν, σπινθὴρ, ἢ διακεκαυμένος ἄνθραξ.) χαριέντως δὲ εἶπεν, ἐπεὶ ἀνθρακεῖς εἰσιν οἱ Ἀχαρνεῖς. ἀντὶ γὰρ τοῦ εἰπεῖν, οἷως ἐξεκαύθητε, θυμάλωψ ἐπέζεσεν.

322. Ἀχαρνηίδαι : Τὴν Ὁμηρικὴν παράφρασιν πολιτικῶς μιμεῖται « υἷες Ἀχαιῶν· » ἐν μιᾷ λέξει προεισενεγκάμενος τὸ ὄνομα ὅλον, ὦ Ἀχαρνέων παῖδες.

326. ἀνταποκτενῶ : Ταῦτα λέγει τινὸς τῶν Ἀχαρνέων ἁρπάσας κόφινον γερόντων, ἐν ᾧ τοὺς ἄνθρακας φέρουσιν, ὃν βούλεται ξίφει διαχρήσασθαι. σκώπτει δὲ τοὺς Ἀχαρνέας ὡς ἀνθρακοκαύστας.

327. ὁμήρους : Ὁμήρους ἐκάλουν καὶ ὅμηρα τὰ ἐπὶ συνθήκαις διδόμενα (ἐνέχυρα).

330. ἔνδον εἶρξας : Ἀποκλείσας. δασέως δὲ τοῦτο Ἀττικοί. (τὸ μέντοι παρ' Ὁμήρῳ [Il. Φ, 282] « ἐρχθέντ' ἐν μεγάλῳ ποταμῷ » ψιλῶς. τὸ δὲ ἕρξας δασέως ἀναγινώσκομεν, ὅταν τὸ πράξας δηλοῖ [Od. Σ, 197]

ἡ μὲν ἄρ' ὣς ἕρξασ' ἀπεβήσατο δῖα θεάων.

τὸ δὲ ἐπὶ τῆς εἰρκτῆς δασέως Ἀττικοί.)

332. εἴσομαι δ' ὑμῶν : Ψίαθον ἀνθράκων προσενήνοχεν, ὃν φησι παῖδα εἶναι τῶν Ἀχαρνέων πάνυ κωμικώτατα. (τὰ δὲ μεγάλα πάθη ὑποπαίζει τῆς τραγῳδίας, ἐπεὶ καὶ ὁ Τήλεφος κατὰ τὸν τραγῳδοποιὸν Αἰσχύλον, ἵνα τύχῃ παρὰ τοῖς Ἕλλησι σωτηρίας, τὸν Ὀρέστην εἶχε συλλαβών. παραπλήσιον δέ τι καὶ ἐν ταῖς Θεσμοφοριαζούσαις ἐποίησεν. ὁ γὰρ Εὐριπίδου κηδεστὴς Μνησίλοχος ἐπιβουλευόμενος παρὰ τῶν γυναικῶν, ἀσκὸν ἁρπάσας παρά τινος γυναικὸς ὡς ἂν παιδίον ἀποκτεῖναι βούλεται. τὸ δὲ εἴσομαι ἀντὶ τοῦ γνώσομαι· ὡς καὶ παρ' Ὁμήρῳ [Il. Θ, 532]

εἴσομαι, αἴκε μ' ὁ Τυδείδης κρατερὸς Διομήδης.)

333. ὁ λάρκος δημότης : Πλέγμα τι κοφινῶδες ἢ ψιαθῶδες, ἐν ᾧ φέρουσι τοὺς ἄνθρακας.

334. μηδαμῶς ὦ μηδαμῶς : Τοῦτο ἀποσιώπησις καλεῖται. ἔχεις καὶ παρὰ Δημοσθένει [p. 232, 20] τὸ ὅμοιον « ἀλλ' ὦ τί ἄν σε τις εἰπὼν ὀρθῶς προσείποι; »

336. ἀπολεῖς ἄρα τὸν ἥλικα : Ἤτοι τὸν λάρκον, ἢ ἐμὲ τὸν σοῦ αὐτοῦ ἥλικα, διὰ τῆς τοῦ λάρκου σφαγῆς. (διπλαῖ δὲ δύο. ἢ ὅτι ἡ ἑτέρα ἕπεται δυὰς, ἡ ἀντιστρέφουσα τῇ ἀποδεδομένῃ, ἧς ἡ ἀρχὴ « ὡς ἀποκτενῶ κέκραχθε. » τέλος δὲ τῆς πρώτης « οὐ προδώσω ποτέ. » τῆς δὲ δευτέρας « τῇ στροφῇ γίνεται. »)

338. ἀλλὰ νῦν λέγ', εἴ σοι : Ἐπιτρέπουσιν αὐτῷ λέγειν, ἵνα μόνον ἀφῇ τὸν λάρκον.

339. ὅτι τῷ τρόπῳ σοῦ ἐστιν : Ἀντὶ τοῦ εἰπὲ καὶ ὅτῳ τρόπῳ ὁ Λακεδαιμόνιός ἐστί σοι φίλος. ἢ οὕτως· εἰπὲ, τί σου τῷ τρόπῳ φίλον ἐστὶ περὶ Λακεδαιμονίων. (τὸ δὲ ἑνικὸν ἀντὶ τοῦ πληθυντικοῦ προηνέγκατο, ἀντὶ τοῦ περὶ Λακεδαιμονίων. τὸ ὅμοιον καὶ παρὰ τῷ ῥήτορι ἐν τῷ πρώτῳ τῶν Φιλιππικῶν [p. 13, 4 ?] « ἀλλὰ μὴν τόν γε Παίονα καὶ Ἰλλυριόν. »)

341. ἐξεράσατε : Ἀντὶ τοῦ ἐκκενώσατε, ἐκβάλετε, ἀπορρίψατε. πεποίηται δὲ ἡ λέξις ἀπὸ τῆς ἔρας, τουτέστι τῆς γῆς.

342. οὗτοί σοι χαμαί : Κωμῳδεῖ καὶ διασύρει τοὺς Ἀθηναίους ὡς καὶ ταχέως θυμουμένους καὶ ταχέως παυομένους.

345. ἀλλὰ κατάθου τὸ βέλος : Σημειωτέον ὅτι ἐπὶ ξίφους τὸ βέλος τέθεικε. (καὶ Ὅμηρος πᾶν τὸ βαλλόμενον.)

343. ἐγκάθηνταί που λίθοι : Ἐγκεκρυμμένοι εἰσίν· οἱ γὰρ κρυπτόμενοι ὑποκάθηνται.

344. ἐκσέσεισται : Ἢ ὁ κόλπος, ἢ ὁ τρίβων.

346. ὡς ὅδε γε σειστός : (Χορεύουσιν ἅμα καὶ κόρδακα ἐνδείκνυνται. τὸ λεγόμενον οὕτως ἐπὶ τῆς κωμικῆς ὀρχήσεως.) ἀναστρεφόμενοι δὲ ἀποτινάσσουσι τοὺς χιτῶνας, ἀποδεικνύντες ὡς μηδένα τῶν λίθων ἀποκεκρυμμένον ἔχουσι. (λέγεται δὲ στροφὴ τῶν κώλων τὸ σύστημα. γράφεται καὶ στρόφιγγι.)

347. ἐμέλλετ' ἄρα : Ἠθικώτατα καὶ ἥδιστα πρὸς τοὺς ἐν τῷ λάρκῳ ἄνθρακας διαλέγεται, (λέγων ὅτι ἐμέλλετε μετὰ βοῆς ἀνασείειν, ὡς τῆς τοῦ λάρκου ῥήξεως μετὰ βοῆς μελλούσης γίνεσθαι. — ἐμέλλετ' ἄρα πάντες, ὑφ' ὃ διπλῆ, καὶ ἐν εἰσθέσει στίχοι ἰαμβικοὶ ια'.)

348. ἄνθρακες Παρνάσσιοι : Ἀντὶ τοῦ μεγάλοι, ἀπὸ Πάρνηθος τοῦ ὄρους τῆς Ἀττικῆς. (Πάρνης γὰρ ὄρος τῆς Ἀττικῆς χορηγίαν ἔχον πολλῶν ξύλων. ἔπαιξεν οὖν Παρνασσίους εἰπών, ὡς ἀπὸ τόπου Παρνασσοῦ τὴν λέξιν παραγαγών, ἵνα ὑποδηλώσῃ τοὺς ἱερούς. ὁ γὰρ Παρνασσὸς ὄρος Φωκίας ἐστὶ ἱερὸν Ἀπόλλωνος καὶ Διονύσου. — Παρνάσσιοι ἀντὶ τοῦ μεγάλοι. τὸν γὰρ Παρνασσὸν ἐπὶ τοῦ μεγάλου ἐτίθεσαν. οἱ δὲ τοὺς ἀπὸ Πάρνηθος τοῦ ὄρους τῆς Ἀττικῆς ἄνθρακας.)

350. ὑπὸ τοῦ δέους τῆς μαρίλης : Ἡ ἐξ ἀνθράκων τέφρα μαρίλη λέγεται. μαρίλης οὖν ἀντὶ τοῦ τῆς ἀπὸ τῶν ἀνθράκων σποδιᾶς ἐπαφῆκεν ὁ λάρκος ὑπὸ ἀγωνίας, ὥσπερ ἡ σηπία τὸ μέλαν. (θηρώμεναι γὰρ αἱ σηπίαι ἐπαφιᾶσιν ἐκ τοῦ προσόντος αὐταῖς μέλανος, ταράττειν βουλόμεναι τὸν παρ' αὐταῖς τόπον, ἵνα μὴ καταφανεῖς ὦσι τοῖς θηρῶσιν.)

352. ὀμφακίαν : Ἀντὶ τοῦ ὠμὸν καὶ σκληρόν. μεταφορικῶς ἀπὸ τῶν ὀμφάκων. (οὕτως δὲ αἱ σταφυλαὶ δριμεῖαι οὖσαι καὶ οὔπω πέπειροι καλοῦνται. ἐκ γὰρ τοῦ ἐναντίου πέπανον τὸ ἥμερον καὶ ἡδύ. θηλυκῶς δὲ καὶ τὰς ὄμφακας λέγει. ἔχεις παρὰ Πλάτωνι κωμικῷ ἐν δράματι Ἑορταῖς

καὶ τὰς ὀφρῦς σχάσασθε καὶ τὰς ὄμφακας.)

354. μηδὲν ἴσον ἴσῳ : Ἀντὶ τοῦ δίκαιον καὶ ἐξ ἴσου. ἀπὸ μεταφορᾶς τοῦ κιρναμένου οἴνου πρὸς τὸ ὕδωρ ἴσον. λέγει δὲ κατ' ἴσον εἰπεῖν τε καὶ ἀκοῦσαι.

355. ἐμοῦ θέλοντος : Τὸ ἑξῆς οὕτως· λέγειν ἐμοῦ θέλοντος ὑπὲρ ἐπιξήνου πάντα, ὅσ' ἂν λέγω ὑπὲρ Λακεδαιμονίων.

358. (τί οὖν λέγεις : Διπλῆ καὶ εἴσθεσις εἰς περίοδον τοῦ χορικοῦ πεντάκωλον δοχμίαν· ὧν διπλῶν μὲν τῶν δύο πρῶτον, ἁπλῶν δὲ τριῶν τὸ λοιπόν. Ἄλλως. εἴσθεσις χοροῦ προῳδικὴ στροφῆς λόγον ἔχουσα. ἔχει γὰρ καὶ ἀντίστροφον τὴν « τί ταῦτα στρέφεις. » καὶ ἔστιν ἐκ κώλων παιωνικῶν ἓξ, ἐπιμεμιγμένων κρητικοῖς καὶ βακχείοις· ὧν τὸ πρῶτον τρίμετρον καταληκτικὸν ἐκ βακχείων. τὸ δεύτερον δίμετρον ἀκατάληκτον ἐκ κρητικῶν. τὸ τρίτον δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές. τὸ τέταρτον ἡμιόλιον ἤτοι δίμετρον βραχυκατάληκτον. τὸ πέμπτον δίμετρον καταληκτικὸν ἐκ βακχείου. τὸ ἕκτον ἡμιόλιον ὅμοιον τῷ τετάρτῳ. ἐν ἐκθέσει δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι β' ὅμοιοι τοῖς ἑξῆς ιθ'. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλῆ ἕσω νενευκυῖα.)

362. λείπει τὸ μαθεῖν, ἵνα ᾖ πάνυ γὰρ πόθος με ἔχει μαθεῖν ὅ τι φρονεῖς καὶ δικαιολογίζῃ. R.

364. ἀλλ' ἤπερ : Τὸ ἤπερ ἀντὶ τοῦ ὥσπερ, καθάπερ.

366. ἰδοὺ θεᾶσθε : Ἐφ' ἑαυτοῦ ταῦτα ὁ Δικαιόπολις λέγει. διὰ δὲ τῶν λελεγμένων ὁ κωμικὸς ἡμᾶς παιδεύει ὡς χρὴ τοὺς λέγοντας οὐκ ἀπὸ τοῦ μεγέθους τῶν σχημάτων σκοπεῖν, ἀλλ' ἐπ' ἐκεῖνα ἀφ' ὧν λέξειν ἔμελλον. τὸ δὲ τυννουτοσί δεικνὺς τὸν δάκτυλον τὸν μικρὸν λέγει.

368. οὐκ ἐνασπιδώσομαι : Ἀντὶ τοῦ οὐ καθοπλίσομαι, οὐκ ἀσπίδι περιβαλοῦμαι σεμνυνόμενος, (ἢ σκευασθήσομαι, ἐπειδὴ βραχύς εἰμι. βούλεται δὲ εἰπεῖν ὅτι οὐ παρασκευάσομαι ἐπιπολύ.)

373. ἀνὴρ ἀλαζών : Διαβάλλει τοὺς ῥήτορας.

374. ἀπεμπολώμενοι : Πιπρασκόμενοι διὰ τῆς κολακείας. τοῦτο δέ φησι διὰ τὸ εὐχερῶς πείθεσθαι τοῖς ῥήτορσι τοὺς Ἀθηναίους ἀπατῶσιν αὐτούς.

375. τῶν τ' αὖ γερόντων οἶδα : Τῆς τῶν γερόντων φιλοδικίας καὶ τῆς περὶ τὸ καταγινώσκειν ἑτοιμότητος ὅλον.

376. ψήφῳ δακεῖν : Οἷον καταδικάζειν. πανταχοῦ ὡς φιλοδίκους καὶ πρὸς τὸ καταδικάζειν ἑτοίμους τοὺς Ἀθηναίους κωμῳδεῖ.

377. αὐτός τ' ἐμαυτόν : Ὡς ἀπὸ τοῦ προσώπου τοῦ ποιητοῦ ὁ λόγος.

378. διὰ τὴν πέρυσι κωμῳδίαν : Τοὺς Βαβυλωνίους λέγει. τούτους γὰρ πρὸ τῶν Ἀχαρνέων Ἀριστοφάνης ἐδίδαξεν, ἐν οἷς πολλοὺς κακῶς εἶπεν. ἐκωμῴδησε γὰρ τάς τε κληρωτὰς καὶ χειροτονητὰς ἀρχάς, καὶ Κλέωνα, παρόντων τῶν ξένων. (εἶπε γὰρ δρᾶμα τοὺς Βαβυλωνίους τῇ τῶν Διονυσίων ἑορτῇ, ἥτις ἐν τῷ ἔαρι ἐπιτελεῖται, ἐν ᾧ ἔφερον τοὺς φόρους οἱ σύμμαχοι.) καὶ διὰ τοῦτο ὀργισθεὶς ὁ Κλέων ἐγράψατο αὐτὸν ἀδικίας εἰς τοὺς πολίτας, ὡς εἰς ὕβριν τοῦ δήμου καὶ τῆς βουλῆς ταῦτα πεποιηκότα. καὶ ξενίας δὲ αὐτὸν ἐγράψατο καὶ εἰς ἀγῶνα ἐνέβαλεν. (τὰ δὲ Λήναια ἐν τῷ μετοπώρῳ ἤγετο, ἐν οἷς οὐ παρῆσαν οἱ ξένοι, ὅτε τὸ δρᾶμα τοῦτο οἱ Ἀχαρνεῖς ἐδιδάσκετο.)

381. κἀκυκλοβόρει : Ἐνταῦθα κατέμιξε τὴν κωμῳδιακὴν χάριν καὶ τὰ δικαστικὰ ῥήματα. τὸ μὲν γὰρ διαβάλλειν καὶ λέγειν ψευδῆ καὶ πλύνειν εἴποι τις ἂν τῶν περὶ τὰ δικαστήρια ταῦτα λέγειν δεινῶν. τὸ δὲ κυκλοβορεῖν καὶ καταγλωττίζειν χαριεντίσματά ἐστι κωμῳδίας. Κυκλόβορος δὲ ποταμὸς ἐν Ἀθήναις χείμαρρος ἄγαν ἠχῶν, ὡς ἐν τοῖς εἰς τοὺς Ἱππεῖς [137] εἴρηται.

384. ἐνσκευάσασθαί με : Ἀντὶ τοῦ πτωχικὴν ἀναλαβεῖν ἐσθῆτα, ὡς ἀπὸ τοῦ σχήματος ἐλεεινότατόν με καὶ ἀθλιώτατον εἶναι δοκεῖν. τὰ γὰρ σεμνὰ τῶν σχημάτων καὶ φθόνον ἐπάγει.

385. (τί ταῦτα στρέφει : Ἀντὶ τοῦ τεχνάζῃ, μεταβάλλῃ, καὶ μετὰ τέχνης καὶ ποικιλίας προσέρχῃ.)

388. παρ' Ἱερωνύμου : Οὗτος ὁ Ἱερώνυμος μελῶν ἐστι ποιητὴς καὶ τραγῳδοποιὸς ἀνώμαλος (καὶ ἀνοικονόμητος, διὰ τὸ ἄγαν ἐμπαθεῖς γράφειν ὑποθέσεις, καὶ φοβεροῖς προσωπείοις χρῆσθαι· ἐδόκει δὲ κροτεῖσθαι. ἐκωμῳδεῖτο δὲ ὡς πάνυ κομῶν. διόπερ Ἄϊδος κυνῆν ἔφη αὐτὸν, παίζας κωμῳδικῶς ὡς κουριῶντα.)

391. τὰς Σισύφου : Δριμύν τινα καὶ πανοῦργον παραδεδώκασιν οἱ ποιηταὶ τὸν Σίσυφον, διὰ μιᾶς λέξεως παρ' Ὁμήρου [Il. Z, 153] δεδιδαγμένοι

ἔνθα δὲ Σίσυφος ἔσκεν, ὃ κέρδιστος γένετ' ἀνδρῶν.

392. σκῆψιν : Ἤγουν πρόφασιν. *Vict.*

394. Καί μοι βαδιστέ' ἐστίν : Μεταβολὴ γέγονε τόπου ὡς ἐπὶ τὴν οἰκίαν Εὐριπίδου. βαδιστέα δὲ ἀντὶ τοῦ

βαδιστέον. (τὰ δὲ τοιαῦτα σχηματίζουσι καὶ πληθυντικῶς λεγόμενα. καὶ ἐν Πλούτῳ [1086]

συνεκποτέ' ἐστί σοι καὶ τὴν τρύγα.

ἀντὶ τοῦ συνεκποτέον. καὶ Θουκυδίδης [1,79] « πολεμητέα τοῖς Ἀθηναίοις εἶναι. »)

395. τίς οὗτος : Τοῦ Δικαιοπόλιδος κρούσαντος τὴν θύραν Κηφισοφῶν ὑπακούει.

396. οὐκ ἔνδον : Οἰκείως ἐξομοιοῖ τὸν οἰκέτην τῷ δεσπότῃ. τὸ δὲ, εἰ γνώμην ἔχεις, ἀντὶ τοῦ, εἰ φρόνιμος εἶ καὶ συνετός.

398. ὁ νοῦς μὲν ἔξω συλλέγων : (Σκώπτει πάλιν τὸν Εὐριπίδην διὰ τὸ ἐν τοῖς λόγοις εἶναι συλλογιστικὸν, καὶ οὗ ἂν λέγῃ τὸ ἐναντίον πάλιν κατασκευάζοντα, οἷον [Hippol. 612]

ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος.)

οἷον, αὐτὸς μὲν ἔσω ἐστὶν, ὁ δὲ νοῦς αὐτοῦ συλλογίζεται τῶν ἔξω τι καὶ μετεωρίζεται. (παρατηρητέον δὲ ὅτι ὁ Εὐριπίδης ἐνταῦθα νοεῖται τὸ αὐτός. ἐπύλλια δὲ ἰαμβεῖα. Ἄλλως. Ὁμηρικῶς. ὁ γὰρ ποιητὴς διώρισε τὰς ψυχὰς πρὸς τὰ σώματα, εἰπών·

πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν
ἡρώων, αὐτοὺς δ' ἐλώρια τεῦχε κύνεσσιν.

οὕτω καὶ ὁ Ἀριστοφάνης. εἶπε γὰρ, ὁ νοῦς μὲν ἔξω, αὐτὸς δὲ ἔνδον. τὸ δὲ) ἀναβάδην, ἄνω τοὺς πόδας ἔχων ἐπὶ ὑψηλοῦ τόπου καθήμενος. (κακοσχόλως δὲ εἶπε. τρυγῳδίαν δὲ εἶπεν ἀντὶ τοῦ κωμῳδίαν, διὰ τὸ τοῖς νικῶσι κωμικοῖς τρύγα δίδοσθαι, τουτέστι νέον οἶνον.)

400. ὦ τρισμακάριε : Θαυμάζων τὸν Κηφισοφῶντα ὁ Δικαιόπολις ἐφ' οἷς εἶπε τοῦτό φησι. καὶ Ὅμηρος « τρισμάκαρες [Od. Z, 155] Δαναοί. »

401. ὅθ' ὁ δοῦλος οὑτοσί : Διὰ τοῦ δοκοῦντος ἐπαίνου διαβάλλει τὸν Εὐριπίδην, (ὅτι δεινοὺς εἰσάγει τοὺς δούλους ἐν ταῖς τραγῳδίαις.)

404. (Εὐριπίδιον : Ἐρωτικὰς μιμεῖται φωνάς. οἱ γὰρ ἐρῶντες εἰώθασι τοὺς ἐρωμένους ἐρωτικῶς δι' ὑποκοριστικῶν καλεῖν.)

405. εἴπερ : ὑπήκουσας δηλονότι. R.

406. Χολλίδης ἐγώ : Δῆμος τῆς Αἰγηίδος φυλῆς. ἢ παίζει διὰ τὸ χωλοὺς εἰσάγειν.

407. (οὐ σχολή : Ἐν ἐκθέσει μονόμετρον ἰαμβικὸν, μεθ' ὃ ἐκθέσεις εἰς στίχους ἰαμβικοὺς ἀκαταλήκτους τριμέτρους.)

408. ἀλλ' ἐκκυκλήθητι : Εἰ μὴ σχολὴν ἔχεις κατελθεῖν, ἀλλ' ἐκκυκλήθητι, τουτέστι συστράφηθι. ἐκκύκλημα δὲ λέγεται μηχάνημα ξύλινον τροχοὺς ἔχον, ὅπερ περιστρεφόμενον τὰ δοκοῦντα ἔνδον ὡς ἐν οἰκίᾳ πράττεσθαι καὶ τοῖς ἔξω ἐδείκνυε, λέγω δὴ τοῖς θεαταῖς. βούλεται οὖν εἰπεῖν ὅτι κἂν φανερὸς γενοῦ. διὸ ἐπήνεγκεν

ἀλλ' ἐκκυκλήσομαι, καταβαίνειν δ' οὐ σχολή.

410. ἀναβάδην ποιεῖς : Φαίνεται γὰρ ἐπὶ τῆς σκηνῆς μετέωρος. (τὸ δὲ ἀναβάδην ἀντὶ τοῦ ἄνω τοὺς πόδας ἔχων.)

τί λέλακας : Ἀντὶ τοῦ κέκραγας. (λακεῖν γάρ ἐστι τὸ πονεῖν. καὶ ὁ ποιητὴς [Il. Υ, 277] « λάκε δ' ἀσπὶς ὑπ' αὐτῆς· » [Il. Ν, 616] « λάκε δ' ὀστέα. » καὶ [Od. Μ. 86] « δεινὸν λελακυῖα. » τραγικὴ δ' ἡ λέξις.)

411. ἐξόν : Δυνατοῦ ὄντος. *Vict.*

412. τὰ ῥάκια : Οὕτως αὐτὸν ἐσκευοποίησεν ἐν ῥακίοις καθεζόμενον καὶ ποιοῦντα τὰς τραγῳδίας. κωμῳδεῖ οὖν αὐτὸν ὡς πτωχοὺς καὶ ταπεινοὺς εἰσάγοντα τοὺς ἥρωας.

415. παλαιοῦ δράματος : Τοῦ Τηλέφου. (ἀμφίβολον δὲ τὸ παλαιὸν πῶς ἔφη. δηλοῖ γὰρ καὶ τὸ πρὸ πολλοῦ χρόνου παρ' Ὁμήρῳ [Il. Z, 215]

ἦ ῥα νύ μοι ξεῖνος πατρώϊος ἐσσὶ παλαιός.

παλαιὸν δὲ καὶ τὸ διερρυηκὸς, ὡς τὸ [Od. A, 395]

πολλαὶ ἐν ἀμφιάλῳ Ἰθάκῃ ἠμὲν νέαι ἠδὲ παλαιαί.)

416. βῆσιν μακράν : Τὸ μακρὸν οὐκ ἀργῶς αὐτῷ λέλεκται, ἀλλ' ἐπειδὴ καὶ τοὺς ἀγγέλους καὶ τοὺς προλόγους μακρολογοῦντας εἰσάγει Εὐριπίδης, πρὸς αὐτὸν ὁ λόγος ἀποτείνεται.)

418. τὰ ποῖα τρύχη : Γέγραπται τῷ Εὐριπίδῃ δρᾶμα Οἰνεύς. μετὰ δὲ τὸν θάνατον Τυδέως καὶ ἐπιστράτευσιν Διομήδους κατὰ Θηβαίων ἀφῃρέθη τὴν βασιλείαν Οἰνεὺς διὰ τὸ γῆρας ὑπὸ τῶν Ἀγρίου παίδων, καὶ περιήει ταπεινὸς, ἄχρις οὗ ἐπανελθὼν ὁ Διομήδης Ἄγριον μὲν ἀνεῖλε, τὴν βασιλείαν δὲ Οἰνεῖ παρέδωκε. (τρύχη δὲ τὰ ῥάκη τραγικῶς.) ὡς προκειμένου τοῦ προσώπου Οἰνέως. R.

421. τὰ τοῦ τυφλοῦ Φοίνικος : (Φοίνικα λέγει τὸν Ἀμύντορος.) λακίδας δὲ, τὰ διερρωγότα ἱμάτια.

423. λακίδας : Λακὶς, ῥαχὰς, ἐμβολὴν, ῥαφὴ, τραῦμα, σχίσμα. *Vict.*

424. Φιλοκτήτου : Εἰσήγαγε γὰρ τὸν Φιλοκτήτην ἐν τῇ Λήμνῳ πενόμενον.

425. (πτωχιστέρου : Συνήθως αὐτὸ παρεσχημάτισεν. ὡς γὰρ λαλίστερον, καὶ ψευδίστερον, οὕτω καὶ πτωχίστερον.)

426. τὰ δυσπινῆ : Τὰ ἐρρυπωμένα, τὰ ῥυπαρά. πίνος γὰρ ὁ ῥύπος. εἰσήγαγε γὰρ καὶ τοῦτον καταβληθέντα ἐκ τοῦ Πηγάσου καὶ ἐρρυπωμένα ἱμάτια ἔχοντα. οὑτοσὶ δ' εἶπεν· ἔκειτο γὰρ καὶ πλησίον τοῦ Βελλεροφόντου. (ἐπίτηδες δὲ ταῦτα ἐποίησεν, ἵνα διέλθῃ πάντας ὅσους ἐποίησε πτωχοὺς ῥάκια ἐνδεδυμένους.)

429. προσαιτῶν : Οὐκ εἶπεν αἰτῶν, ἀλλὰ προσαιτῶν. οὕτως γὰρ λέγεται.

432. ῥακώματα : Τὰ ἱμάτια. κυρίως δὲ τὰ ῥάκη ὡς ἐπὶ βιβλίων τινῶν ἢ ῥακῶν. R.

433. (τῶν Θυεστείων ῥακῶν : Ἤτοι τὰ τῶν Κρησσῶν, ἢ αὐτοῦ τοῦ Θυέστου.)

434. ἐξήγαγεν ὁ θεράπων τὰ ῥάκη. R.

435. ὦ Ζεῦ διόπτα : Ταῦτά φησιν, ἐπεὶ πολύτρητα ἦν τὰ ῥάκια, δι' ὧν ἦν πάντα ἐπισκοπῆσαι. — καὶ ὁ Ζεὺς δὲ παντεπόπτης λέγεται. R.

436. ἐνσκευάσασθαί με : (Λείπει τὸ ποίησον.) διασύρει δὲ ὅτι οὐκ ἐχρῆν ταῦτα ἐπὶ σκηνῆς ἄγειν.

439. τὸ πιλίδιον : (Πρὸς τοὺς νῦν ὑποκριτάς, ὅτι χωρὶς πίλου εἰσάγουσι τὸν Τήλεφον. τὸ δὲ τοῦ Τηλέφου) πιλίδιον τὸ νῦν καλούμενον καμελαύκιον.

440. (δεῖ γάρ με δόξαι : Οἱ δύο στίχοι οὗτοι ἐκ Τηλέφου Εὐριπίδου.)

441. φαίνεσθαι δὲ μή : Τουτέστι μὴ ἀλλάξαι τὴν φύσιν, ἀλλὰ τὴν μορφήν.

442. (τοὺς μὲν θεατάς : Ἵν' εἴπῃ τῶν μὲν θεατῶν τὸ εὐπαίδευτον, τῶν δὲ χορευτῶν τὴν ἀμουσίαν.

443. τοὺς δ' αὖ χορευτάς : Καὶ διὰ τούτων τὸν Εὐριπίδην διασύρει. οὗτος γὰρ εἰσάγει τοὺς χοροὺς οὔτε τὰ ἀκόλουθα φθεγγομένους τῇ ὑποθέσει, ἀλλ' ἱστορίας τινὰς ἀπαγγέλλοντας, ὡς ἐν ταῖς Φοινίσσαις, οὔτε ἐμπαθῶς ἀντιλαμβανομένους τῶν ἀδικηθέντων, ἀλλὰ μεταξὺ ἀντιπίπτοντας.)

444. σκιμαλίσω : Ἐξουθενίσω. ἢ χλευάσω. τῷ μικρῷ δακτύλῳ (ὡς τῶν γυναικείων πυγῶν ἅψομαι. εἴρηται δὲ ἡ λέξις καὶ ἐν Εἰρήνῃ [549]. ἐλέγετο δὲ σκιμαλίζειν τὸ τῷ μικρῷ δακτύλῳ τῶν ὀρνίθων ἀποπειρᾶσθαι εἰ ὠοτοκοῦσιν.)

446. (εὐδαιμονοίης : Παρὰ τὰ ἐκ Τηλέφου Εὐριπίδου

καλῶς ἔχοιμι, Τηλέφῳ δ' ἀγὼ φρονῶ.)

452. γλίσχρος : Ἀντὶ τοῦ ταπεινὸς κόλαξ. προσαιτῶν δὲ ἀντὶ τοῦ πολλὰ αἰτῶν. (τοῦ δὲ λιπαρεῖν τὸ ι ἐκτείνεται. ἔστι γὰρ τὸ λίαν παρεῖναί τισι.)

λιπαρῶν : Παρακαλῶν. *Vict.*

453. διακεκαυμένον λύχνῳ : Ὅτι οἱ πρεσβῦται διὰ τὸ μόλις βαδίζειν ἐν σπυρίδι κρύπτουσι τὸν λύχνον ὥστε σώζειν τὸ πῦρ.

454. πλέκους χρέος : Τοῦ σπυριδίου. τοῦ πλέγματος. (καὶ τοῦτο δὲ παρὰ τὰ ἐκ Τηλέφου Εὐριπίδου

τί δ' ὦ τάλας σὺ τῷδε πείθεσθαι μέλλεις.)

455. βούλομαι δ' ὅμως λαβεῖν : Μιμεῖται τὸν Εὐριπίδου χαρακτῆρα τῷ λόγῳ.

457. εὐδαιμονοίης : Σκώπτει αὐτὸν ὡς λαχανόπωλιν ἔχοντα μητέρα τὴν Κλειτώ. κυλίσκιον δὲ ποτήριον. (γράφεται δὲ κυλίκειον.) ἀποκεκρουσμένον δὲ ἀποκεκλασμένον.

461. (οὔπω μὰ Δί' : Οἷον οὐκ οἶδα ὅπως βαρὺς εἶ ἐν τοῖς δράμασι καὶ ἀποκναίεις τοὺς θεατάς.

οἳ αὐτὸς ἐργάζει κακά : Ἐργάσῃ κακῶς αὐτὸς σαυτὸν, χαριζόμενός μοι ταῦτα, δι' ὧν σε κακῶς λέγω.) ἢ λείπει τὸ μὴ δούς.

463. δός μοι χυτρίδιον : (Ἢ ὅτι χύτραν φέρουσιν, ἐν ᾗ σπόγγος πεπληρωμένος μέλιτος, καὶ ἐντιθέασι τῷ στόματι τῶν παιδίων, ὅπως σιωπήσωσι ζητοῦντες τροφὴν, ἢ ὅτι πένητες τὰ τρήματα τῆς χύτρας σφηνοῦσι τοῖς σπόγγοις.) ἢ τετρημένον ἁπανταχοῦ ὥσπερ οἱ σπόγγοι. (καὶ τοῦτο δὲ ὑπερβολὴ πενίας, τὸ κεχρῆσθαι τοῖς τετρημένοις. μιμεῖται δὲ Τήλεφον. βεβυσμένον δὲ κεκλεισμένον.)

βεβυσμένον : Βυπτεῖν, βαπτίζειν· βυννεῖν, τὸ ἐν στόματι κατέχειν τι. *Vict.*

464. τὴν τραγῳδίαν : Οἷον τὰ σκεύη τῆς τραγῳδίας.

465. ταυτηνὶ τὴν χύτραν δηλονότι.

469. ἰσχνά μοι φυλλεῖα : Τὰ ἀπολεπίσματα τῶν λαχάνων. ἰσχνὰ δὲ οἷον μεμαραμμένα καὶ εὐτελῆ τῶν λαχάνων (φύλλα. τοιαῦτα γὰρ οἱ πτωχοὶ ἐσθίουσι. καὶ ἐν Πλούτῳ (554) « ἀντὶ δὲ μάζης φυλλεῖ' ἰσχνῶν ῥαφανί- « δων. » καλεῖται δὲ φυλλεῖα καὶ τὰ τῆς θριδακίνης φύλλα. σκώπτει δὲ αὐτὸν ὡς λαχανοπώλιδος υἱόν.)

472. (ὀχληρὸς, οὐ δοκῶν μὲν κοιράνους : Τοῦτο πεπαρῴδηται ἀσήμως ἐξ Οἰνέως Εὐριπίδου. ὁ δὲ Σύμμαχος καὶ ἐκ Τηλέφου φησὶν αὐτό.)

478. (σκάνδικά μοι δός : Καὶ ἐν τοῖς Ἱππεῦσι δεδήλωται ὅτι ἡ μήτηρ Εὐριπίδου πωλεῖν ἐλέγετο σκάνδικας.) θηλυκῶς δὲ ἡ σκάνδιξ ἐλέγετο. ἔστι δὲ λάχανον ἄγριον εὐτελές.

479. πηκτὰ δωμάτων : Τὰς θύρας. (Ὅμηρος [Il. I, 475] « θύρας πυκινῶς ἀραρυίας. » Ἄλλως. πρὸς τὰς ἔμπροσθεν τῶν θυρῶν ἱσταμένας κιγκλίδας, πηκτὰς τὰς θύρας εἶπε, διὰ τὸ δι' ὅλου ἀσφαλίζειν καὶ ἀποκλείειν τὰς ὄψεις, καὶ μὴ ὁρᾶν τινα δύνασθαι τἄνδον, ὥσπερ ἀπὸ τῶν κιγκλίδων.)

483. γραμμὴ δ' αὕτη : Ἀρχὴ, ἀφετηρία, ἡ λεγομένη βαλβίς. ἐκ μεταφορᾶς οὖν τῶν δρομέων.

484. ἕστηκας : Ἀντὶ τοῦ ἐπὶ συννοίᾳ μένεις, καὶ οὐκ εἶ, ὥσπερ Εὐριπίδην ὅλον μετασχηματισάμενος καὶ ἀναλαβὼν ἐν σεαυτῷ. (ἐκεῖ δὲ εἰς τὸ ἐπίξηνον.)

487. εἰποῦσ' ἄττ' ἂν αὐτῇ σοι : Εἴ τι δοκεῖ σοι αὐτῇ ὦ καρδία εἰπὲ, παρασχοῦσα τὴν κεφαλὴν εἰς τὸ ἐπίξηνον.

489. (τί δράσεις : Διπλῆ καὶ τριὰς μεσῳδική· ἧς αἱ μὲν ἑκατέρωθέν εἰσι δίκωλοι διπλῶν δοχμίων· ἡ δὲ μέση δίστιχος ἰαμβικὴ δίμετρος ἀκατάληκτος.)

491. σιδηροῦς ἀνήρ : Στερρὸς ἀνὴρ καὶ ἀτέραμνος.

493. εἷς λέγειν τὰ ἐναντία : Λείπει τὸ ὤν, ἵν' ᾖ εἷς ὤν.

494. αἱρεῖ ἀντὶ τοῦ βούλει. R.

497. (μή μοι φθονήσῃς' ἄνδρες : Ἐκ Τηλέφου Εὐριπίδου

μή μοι φθονήσῃτ' ἄνδρες Ἑλλήνων ἄκροι,
εἰ πτωχὸς ὢν τέτληκ' ἐν ἐσθλοῖσιν λέγειν.)

499. τρυγῳδίαν ποιῶν : Κωμῳδίαν· ἤτοι διὰ τὸ τρύγα ἔπαθλον λαμβάνειν, τουτέστι νέον οἶνον, (ἢ διὰ τὸ μὴ ὄντων προσωπείων τὴν ἀρχὴν τρυγὶ χρίεσθαι τὰς ὄψεις).

502. (οὐ γάρ με καὶ νῦν : Ὡς ἐκ τοῦ ποιητοῦ τοῦτο. προείρηται δὲ τὰ περὶ τούτου.)

503. (ξένων παρόντων : Διὰ τὸ ἐν τοῖς Βαβυλωνίοις πολλῶν παρόντων ξένων εἰρηκέναι κατὰ πολλῶν τὸν Ἀριστοφάνην. διὸ καὶ κατηγορήθη ὑπὸ τοῦ Κλέωνος.)

504. αὐτοὶ γὰρ ἐσμέν : Οἷον μόνοι οἱ Ἀθηναῖοι χω-

ρις τῶν συμμάχων καὶ ξένων. (χειμῶνος γὰρ λοιπὸν ὄντος εἰς τὰ Λήναια καθῆκε τὸ δρᾶμα. εἰς δὲ τὰ Διονύσια ἐτέτακτο Ἀθήναζε κομίζειν τὰς πόλεις τοὺς φόρους, ὡς Εὔπολίς φησιν ἐν Πόλεσιν.)

οὔπι Ληναίῳ τ' ἀγών : Ὁ τῶν Διονυσίων ἀγὼν ἐτελεῖτο διὰ τοῦ ἔτους, τὸ μὲν πρῶτον ἔαρος ἐν ἄστει, ὅτε καὶ οἱ φόροι Ἀθήνησιν ἐφέροντο, τὸ δὲ δεύτερον ἐν ἀγροῖς, ὁ ἐπὶ Ληναίῳ λεγόμενος, ὅτε ξένοι οὐ παρῆσαν Ἀθήνησι. χειμὼν γὰρ λοιπὸν ἦν.

507. περιεπτισμένοι : Οἷον ξένων ἀπηλλαγμένοι καὶ καθαροὶ ἀστοί. κυρίως πτίσσειν ἐστὶ τὸ κριθὰς ἢ ἄλλο τι λεπίζειν καὶ καθαροποιεῖν. ἔνθεν καὶ πτισάνη.

508. μέρος γάρ ἐστι τῶν πολιτῶν οἱ μέτοικοι εὐτελὲς ὡς τὰ ἄχυρα τῶν κριθῶν. R.

510. οὐπὶ Ταινάρῳ θεός : (Ὁ αὐτῶν τῶν Λακεδαιμονίων.) Ταίναρον γάρ ἐστι τῆς Λακωνικῆς ἀκρωτήριον, ἐν ᾧ στόμιον ἦν κατάγον εἰς Ἅιδου. ἐνταῦθα δὲ ἦν καὶ Ποσειδῶνος ἱερὸν Ἀσφαλείου. τοῦτο δὲ εἶπεν, ἐπειδὴ τοὺς εἵλωτας οἰκέτας καθεσθέντας ἐν τῷ ἱερῷ τοῦ Ποσειδῶνος τοῦ Ταιναρίου οὐδὲν δείσαντες ἀνεῖλον Λακεδαιμόνιοι, καὶ διὰ τοῦτο ἐδόκουν ἐναγεῖς εἶναι.

512. ὡς καὶ αὐτὸς τοῖς Ἀχαρνεῦσι. R.

517. παρακεκομμένα : (Μηδὲν ἐντελὲς ἔχοντα.) ἀπὸ μεταφορᾶς τῶν ἀδοκίμων νομισμάτων, ἅπερ παράτυπα λέγεται καὶ παρακεκομμένα. καὶ νῦν δὲ εἰώθασι λέγειν παραχαράκτας τοὺς παρακόπτοντας. ὅθεν παρ' Ἀθηναίοις καὶ παράσημος ῥήτωρ.

519. Μεγαρέων τὰ χλανίσκια : (Οἱονεὶ ἐξετίνασσον αὐτοὺς παραγενόμενοι. ἢ τοιοῦτό τι λέγει. ἐσυκοφάντουν οὐ μόνον Μεγαρέας, ἀλλὰ καὶ τὰ χλανίσκια αὐτῶν,) ἀντὶ τοῦ, τὴν ὕπαρξιν, τὴν οὐσίαν. (ἢ περιφραστικῶς τοὺς Μεγαρέας.)

520. σίκυον. : Ἀπὸ εὐθείας τῆς ὁ σίκυος.

521. (ἢ χόνδρους ἅλας : Οὕτως οἱ Ἀττικοί. πολλοὶ δὲ ἦσαν παρὰ Μεγαρεῦσιν ἅλες.)

522. ταῦτ' ἦν Μεγαρικά : Ταῦτα λέγοντες εἶναι Μεγαρικὰ πάντα διήρπαζον ὑπὸ τῶν συκοφαντούντων καὶ τοῦ μικρολόγου.

524. πόρνην δὲ Σιμαίθαν : Οἱ ἀπὸ τῶν Ἀθηναίων Μεγαρικὴν γυναῖκα ἥρπασαν Σιμαίθαν. (Δωρικώτερον δὲ εἶπε Σιμαίθαν. ταύτης δὲ καὶ Ἀλκιβιάδης ἠράσθη, ὃς καὶ δοκεῖ ἀναπεπεικέναι τινὰς ἁρπακέναι τὴν πόρνην.)

525. (μεθυσοκότταβοι : Λάταξ, χαλκῆ φιάλη, ἣν μεταξὺ τοῦ δείπνου ἐτίθεσαν οἴνου πεπληρωμένην· εἶτα εἰς σμικρὰ ποτήρια ἐμβαλόντες ταύτην ἔρριπτον εἰς τὸ ψόφον ἐκτελέσαι, ὃς ἐκαλεῖτο κότταβος. ἐπῃνεῖτο δὲ ὁ μείζονα ψόφον ποιῶν.)

526. πεφυσιγγωμένοι : (Φῦσιγξ λέγεται τὸ ἐκτὸς λέπισμα τῶν σκορόδων, ἡ φυσίγγη. ἔπαιζεν οὖν τοῦτο εἰς Μεγαρέας, ὅτι πολλὰ σκόροδα ἔχουσιν. ἢ πεπλησμένοι,) ἀπὸ μεταφορᾶς τῶν τὸν ἄνεμον δεχομένων ἀσκῶν ἢ φυσῶν. ἢ ἐκκεκαυμένοι, οἰδοῦντες.

527. Ἀσπασίας πόρνα δύο : Τῇ μιᾷ τούτων ἐκέχρητο ὁ Περικλῆς· δι' ἣν ὀργισθεὶς ἔγραψε τὸ κατὰ Μεγαρέων ψήφισμα, ἀπαγορεῦον δέχεσθαι αὐτοὺς εἰς τὰς Ἀθήνας. ὅθεν ἐκεῖνοι εἰργόμενοι τῶν Ἀθηνῶν προσέφυγον τοῖς Λακεδαιμονίοις. ἡ δὲ Ἀσπασία Περικλέους ἦν σοφίστρια καὶ διδάσκαλος λόγων ῥητορικῶν· ὕστερον δὲ καὶ γαμετὴ γέγονε.

528. κἀντεῦθεν ἀρχὴ τοῦ πολέμου : Ἐνταῦθα εἰς τὸν Περικλέα βούλεται ἀγαγεῖν τὴν αἰτίαν τοῦ πολέμου, οὐκ εὐπρεπῆ αὐτῷ προσάπτων πρόφασιν.

529. λαικαστριῶν : Πορνῶν. *Vict.*

530. (Περικλέης οὐλύμπιος : Πρῶτος Ὀλύμπιος. ὅτι ὁ Ζεὺς Ὀλύμπιος καλεῖται, ἐπήγαγε τὸ ἤστραπτεν, ἐβρόντα. Εὔπολις Δήμοις·

κράτιστος οὗτος ἐγένετ' ἀνθρώπων λέγειν.
ὁπότε παρέλθοι δ', ὥσπερ ἀγαθοὶ δρομῆς,
ἐκ δέκα ποδῶν ἥρει λέγων τοὺς ῥήτορας·
ταχὺς λέγειν μέν, πρὸς δέ γ' αὐτοῦ τῷ τάχει
πειθώ τις ἐπεκάθιζεν ἐπὶ τοῖς χείλεσιν.
οὕτως ἐκήλει, καὶ μόνος τῶν ῥητόρων
τὸ κέντρον ἐγκατέλιπε τοῖς ἀκροωμένοις.)

532. ἐτίθει νόμους : (Μιμούμενος τὸν τῶν σκολιῶν ποιητήν.) Τιμοκρέων δὲ ὁ Ῥόδιος μελοποιὸς τοιοῦτον ἔγραψε σκολιὸν κατὰ τοῦ πλούτου, οὗ ἡ ἀρχὴ « ὤφελες, « ὦ τυφλὲ Πλοῦτε, | μήτε γῇ μήτ' ἐν θαλάττῃ | μήτ' ἐν ἠπείρῳ φανῆναι, | ἀλλὰ Τάρταρόν τε ναίειν « | κἀχέροντα. διὰ σὲ γὰρ | πάντ' ἐν ἀνθρώποις « κακά. » τούτοις ἔοικε καὶ τὰ ὑπὸ Περικλέους εἰσηγηθέντα, ἐπεὶ ὁ Περικλῆς γράφων τὸ ψήφισμα εἶπε Μεγαρέας μήτε ἀγορᾶς μήτε θαλάττης μήτ' ἠπείρου μετέχειν. ἐπεὶ οὖν ὅμοια τοῖς Τιμοκρέοντος ἔγραψε, διὰ τοῦτο εἶπεν ὅτι ἐτίθει νόμους ὥσπερ σκολιὰ γεγραμμένους. (ἐνεκάλεσε δὲ ὁ Περικλῆς τοῖς Μεγαρεῦσιν ὅτι τὴν ἱερὰν γῆν τὴν ὀργάδα ἐγεώργησαν.)

535. ὅτε δὴ 'πείνων : Ἀντὶ τοῦ ἐλίμωττον, ὑπὸ λιμοῦ διεφθείροντο. (βάδην δὲ ἀντὶ τοῦ κατὰ βραχὺ αὐξανομένου τοῦ λιμοῦ καὶ ἐπίδοσιν λαμβάνοντος.)

540. (ἐρεῖ τις, οὐ χρῆν : Καὶ τοῦτο ἀπὸ Τηλέφου Εὐριπίδου. ἐρεῖ τις ὅτι οὐκ ἐχρῆν πόλεμον κινῆσαι τοὺς Λακεδαιμονίους. τί οὖν ἐχρῆν αὐτοὺς ποιεῖν, εἴπατε.)

541. φέρ' εἰ καὶ Λακεδαιμονίων : Ὡς γυμνάζων τὸ πρᾶγμά φησιν, εἴ τις τῶν Λακεδαιμονίων πλεύσας εἰς Σέριφον, καὶ τὸ τυχὸν αὐτοὺς ἀδικήσας, καὶ λαβὼν παρ' αὐτῶν τοῦτο ἀπέδοτο, εἶτα ἐκεῖνοι κατέφυγον πρὸς ὑμᾶς δεόμενοι βοηθείας, ἤγετε ἄρα ἡσυχίαν; λέγει ὅτι οὐδαμῶς, ἀλλὰ κατὰ τάχος ἐβοηθεῖτε ἄν. ταὐτὸ καὶ Λακεδαιμόνιοι ἐποίησαν, ἀδικούντων ἡμῶν Μεγαρέας. (πικρῶς δὲ οὐκ εἶπεν, εἴ τις συκοφαντήσας ἀπέδοτο ἀπὸ τῶν Ἀθηναίων λαβών, τοῦτο γὰρ οὐδὲν μέγα αὐτῶν τινα καὶ εἰς τὸ ἐλάχιστον ἀδικούμενον ἀμύνασθαι, ἀλλά φησιν) ὅτι τῆς Σερίφου, τῆς εὐτελεστάτης νήσου τῶν Ἀθηναίων· καὶ οὐχί, εἰ ἔλαβέν τι ἄξιον λόγου κτῆμα, ἀλλὰ κυνίδιον, ἠνέσχεσθε ἄν.

542. (φήνας : Συκοφαντήσας, φενακίσας. ἡ δὲ Σέριφος νῆσός ἐστιν εὐτελεστάτη πρὸς τῇ Θράκῃ.)

543. (ἢ πολλοῦ γε δεῖ : Ἀντὶ τοῦ οὐδὲ ὅλως. καὶ τοῦτο ἐκ Τηλέφου.)

546. θορύβου στρατιωτῶν : Θορύβου βοώντων περὶ τοῦ δεῖν τριηράρχους εἶναι.

547. μισθοῦ διδομένου : (Μισθοῦ μὲν τοῦ διδομένου τοῖς ἐμβαίνουσιν εἰς τὰς ναῦς. παλλάδια δὲ) ἐν ταῖς πρῴραις τῶν τριήρων ἦν ἀγάλματά τινα ξύλινα τῆς Ἀθηνᾶς καθιδρυμένα, ὧν ἐπεμελοῦντο μέλλοντες πλεῖν.

548. (στοᾶς στεναχούσης : Τῆς λεγομένης ἀλφιτοπώλιδος, ἣν ᾠκοδόμησε Περικλῆς· ὅπου καὶ σῖτος ἀπέκειτο τῆς πόλεως. ἦν δὲ περὶ τὸν Πειραιᾶ. στεναχούσης δὲ διὰ τὸ πλῆθος τῶν συναγομένων ἐπισιτισμῶν.)

549. τροπωτήρων : Τῶν ἱμάντων τῶν συνδεόντων πρὸς τὸν πάτταλον, λέγω δὴ τὸν σκαλμὸν, τὴν κώπην. Ὅμηρος [Od. Δ, 782] « τροποῖς ἐν δερματίνοισι », τουτέστι τοῖς τροπωτῆρσιν.

550. σκορόδων, ἐλαῶν : Οἱ γὰρ ἐπὶ πόλεμον ἐξιόντες ταῦτα ὠνοῦντο (καὶ ἐν λίνοις ἔβαλλον).

551. στεφάνων, τριχίδων : (Ταῦτα μὲν πάντα) ὡς εὐωχουμένων τῶν μελλόντων ἐμβαίνειν εἰς τὰς ναῦς. τριχίδες δὲ εἶδος ἰχθύων (καὶ ἴσως οὓς ἡμεῖς καλοῦμεν θρίσσας, ἐπεὶ θριξὶν ὅμοια ἔχουσιν ὀστᾶ).

ὑπωπίων : Τῶν τύλων τῶν γινομένων ἐν ταῖς χερσὶν ἀπὸ τῆς τοῦ σιδήρου ἐργασίας. λέγεται δὲ ὑπώπια καὶ τὰ ἀφ' οἱασδηποτοῦν πληγῆς τραύματα.

552. (κωπέων πλατουμένων : Τῶν εἰς κώπην ξύλων ἐπιτηδείων καὶ κώπας ἁρμοζόντων, ἵνα ἴδωσιν εἰ ἐντρέχουσι τοῖς τρήμασι.

553. τύλων : Τῶν ξυλίνων ἥλων. ἔστι δὲ τύλος νενεκρωμένη σὰρξ, ἀποσκίρωμα τῶν γονάτων. θαλαμίων δὲ τῶν ναυτῶν.)

554. κελευστῶν : Κελευστὴς, τριήραρχος, πρωρεύς. *Vict.* — νιγλάρων : Ὁ νίγλαρος κροῦμά ἐστι καὶ μέλος μουσικὸν παρακελευστικόν.

555. τὸν δὲ Τήλεφον : Καὶ ταῦτα ἐκ Τηλέφου Εὐριπίδου.

557. ἆληθες ὦ 'πίτριπτε : Ἐνταῦθα διαιρεῖται ὁ χορὸς εἰς δύο μέρη, καὶ τὸ μὲν ὀργίζεται ἐφ' οἷς λέγει ὁ Δικαιόπολις, τὸ δὲ καὶ ἀποδέχεται. (ἐν εἰσθέσει δὲ ἰαμβικὴν τὴν « ἆληθες ὦ 'πίτριπτε. »)

559. καὶ συκοφάντης : Καὶ εἰ ἐτύγχανέ τις ἡμῶν συκοφάντης ὤν, τοῦτον ἔσκωψας καὶ οὐκ ἀπεκρύψω. (τοῦτο οὖν μετὰ ἠθικῆς ἐρωτήσεως. οἷον καὶ τὸ Ὁμηρικὸν [Il. A, 231]

ἐπεὶ οὐτιδανοῖσιν ἀνάσσεις·
ἦ γὰρ ἂν Ἀτρείδη νῦν ὕστατα λωβήσαιο.)

562. εἶτ' εἰ δίκαια : (Κατ' ἐρώτησιν ὁ λόγος· εἰ καὶ) δίκαια ἦν, φησὶν, ἐχρῆν τοῦτον αὐτὰ εἰπεῖν;

564. τὸ ἡμιχόριον τὸ συναγωνιζόμενον αὐτῷ λέγει ὅτι μὴ ἀναχωρήσῃς, ἀλλ' ἄντειπε· βελτίων γὰρ ἔσῃ. R. θενεῖς : ἀντὶ τοῦ τύψεις. *R. Vict.*

565. ἀρθήσει : καταβληθήσῃ. *R.* καταληφθήσῃ. Ald.

566. ἰὼ Λάμαχ' ἰώ : (Ὑφ' ὃ διπλῆ καὶ εἴσθεσις εἰς περίοδον ὀκτάκωλον, ἧς τὰ μὲν ἄλλα ἐστὶ δόχμια, ἁπλοῦν δὲ τὸ τέταρτον, διπλοῦν δὲ τὸ ἕκτον. τὸ δὲ πέμπτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. γοργολόφα δὲ,) ὦ φοβερώτατε.

571. ἔχομαι μέσος : Ἀντὶ τοῦ ἥττημαι, ἀπὸ μεταφορᾶς τῶν ἀθλητῶν τῶν τὰ μέσα ληφθέντων (καὶ μὴ ἐχόντων εὐκόλως ἐκφυγεῖν τοὺς ἀντιπαλαίοντας).

574. τίς Γοργόν' ἐξήγειρεν : Ὡς τοῦ Λαμάχου ἔχοντος ἐντετυπωμένην τῇ ἀσπίδι Γοργόνα.

(ἐκ τοῦ σάγματος : Ἐκ τῆς θήκης τοῦ ὅπλου, ὃ καλεῖται σάγμα. σάγη γὰρ τὸ ὅπλον· καὶ πανσαγία, ἡ πανοπλία. ἀντὶ οὖν τὴν ἀσπίδα. ἐν δὲ τῇ ἀσπίδι ἐτετύπωτο ἡ Γοργών.)

577. κακορροθεῖ : Κακῶς ἀγορεύει. *R. Vict.* καὶ τοῦτο ἐκ Τηλέφου. R.

579. κἀστωμυλάμην : Ἐφλυάρησα, περισσόν τι τοῦ δέοντος ἐλάλησα. ἢ πανούργως ἐφθεγξάμην.

581. ἰλιγγιῶ : Σκοτοδινιῶ, ὑπὸ τῆς γαστρὸς συνέχομαι. τοῦτο δὲ καὶ Συρακόσιοι εἰλεὸν λέγουσιν. (ὅταν δὲ περὶ τὴν καρδίαν στρόφος γένηται, ἐπακολουθεῖ σκότος. καὶ τοῦτο τὸ πάθος καλοῦσιν ἴλιγγον. φασὶ δ' ὅτι τὸ μὲν ῥῆμα διφθογγογραφεῖται, τὸ δ' ὄνομα διὰ τοῦ ἰῶτα ἴλιγγος.)

582. τὴν Μορμόνα : Ἀντὶ τοῦ τὰ φοβερά. (φοβερὰ γὰρ ὑπῆρχεν ἡ Μορμώ. ἐνταῦθα δὲ Μορμόνος, ὡς τρυγόνος. ἀλλαχοῦ δὲ Μορμὼ Μορμοῦς, ὡς Σαπφὼ Σαπφοῦς.)

584. τὸ πτερόν : Πτερὸν αἰτεῖ, ἵνα ἐξεμέσῃ. εἰώθασι γὰρ οἱ δυσεμεῖς πτερῷ χρῆσθαι.

586. βδελύττομαι : Ἀλληγορικῶς ἀπὸ τῶν ἐξεμούντων διὰ τὰς χολάς. οὗτος δέ φησι διὰ τοὺς λόφους.

589. ἆρα κομπολακύθου : Ματαιοκόμπου καὶ κομπώδους ἐν τῷ καυχᾶσθαι. παρεποίησε δὲ καὶ παρέπλασεν ὀνόματα ὄρνιθος, διὰ τὸ κομπαστὴν εἶναι τὸν Λάμαχον. Ἄλλως. ἀπὸ τοῦ λακεῖν ἐν παραγώγῳ γέγονε τὸ ληκύθιον. ληκυθίζειν γὰρ τὸ μεῖζον βοᾶν καὶ ψοφεῖν. ἦχον γὰρ ἀποτελεῖ καὶ ἡ λήκυθος, ἐπεὶ καὶ αὐτὴ πεφύσηται. πάντα δὲ τὰ πεφυσημένα κόμπον ποιεῖ. ἀπὸ οὖν τοῦ κόμπου καὶ τῆς ληκύθου ὄνομα συνέθηκεν.

590. οἰμ' ὡς τεθνήσει : Τὸ τέλειον ἐστὶν οἴμαι. Ἀττικοὶ δὲ διὰ τοῦ σ φασὶ τεθνήσει.

595. οὐ σπουδαρχίδης : Οὐ σπουδάζων περὶ ἀρχῆς. Αἰολέων δὲ ἴδιον τὰ ἐπίθετα πατρωνυμικῷ τύπῳ φράζειν.

596. στρατωνίδης : Ἀντὶ τοῦ στρατευόμενος, στρατιώτης.

597. (μισθαρχίδης : Μισθὸν λαμβάνων. ἢ ὅτι τοὺς τῶν στρατιωτῶν μισθοὺς ἤσθιεν.)

598. κόκκυγες : Ἀντὶ τοῦ ἄτακτοι καὶ ἀπαίδευτοι. καὶ γὰρ ὁ κόκκυξ τὸ ζῷον ἄμουσόν τι φθέγγεται.

600. τάξεσιν : Τοῖς τοῦ πολέμου καταλόγοις. R.

603. Τισαμενοφαινίππους : Ὁ Τισαμενὸς ὡς ξένος καὶ μαστιγίας κωμῳδεῖται. ὁ δὲ Φαίνιππος ὡς δώδης καὶ ἡταιρηκώς. ὁ δὲ Χάρης ἐπὶ ἀμαθίᾳ διεβάλλετο.

πανουργιππαρχίδας : Τούτους κωμῳδεῖ ὡς πανούρ-

γους, τόν τε Τισαμενὸν καὶ τὸν Φαίνιππον καὶ Ἱππαρχίδην καὶ Γέρητα τὸν φαλακρὸν καὶ Θεόδωρον, τὸν Διομειᾶ τῶν δήμων ὄντα, ὃς ὠνόμασται οὕτως ἀπό τινος Διόμου.

604. τοὺς δ' ἐν Χαόσι : Χαόνες μὲν ἔθνος ἠπειρωτικόν. πέπαικται δὲ παρὰ τὸ ἐν Ἱππεῦσιν [78]

ὁ πρωκτός ἐστιν αὐτόχρημ' ἐν Χαόσιν.

ἐπειδὴ καὶ εἰς μαλακίαν διεβάλλετο Γέρης καὶ Θεόδωρος, καὶ ὅτι ἐκ δούλων.

606. κἀν Γέλᾳ : Καμαρίνα καὶ Γέλα πόλεις Σικελίας. ἐποίησε δὲ τὸ Καταγέλα ἀπὸ τοῦ καταγελᾶν αὐτῶν τοὺς στρατηγούς.

608. (ἀμηγέπου : Ἁπανταχοῦ, ὅπως ἂν τύχῃ, καθ' οἱονδήποτε τρόπον.)

609. ὦ Μαριλάδη : Παρεποίησε τὸ ὄνομα ἀπὸ τῆς μαρίλης, (ὅτι τὸ ἀμαυρὸν πῦρ δηλοῖ). τουτέστιν ὦ γέρον Ἀχαρνικέ.

610. (ἤδη πεπρέσβευκας σὺ πολιὸς ὤν : Οὕτως ἐν τοῖς ἀκριβεστάτοις ἔνη, ἵνα λέγῃ ἐκ πολλοῦ. Ἀττικοὶ δὲ τὸ ἔνη περιττὸν ἐτίθεσαν, ὡς τὸ ἔχων, « ληρεῖς ἔχων. » οἱ δὲ λείπειν φασὶ τὸ δύο, ἵνα ἐρωτῶν λέγῃ ἓν ἢ δύο.)

612. (Πρινίδης : Ἀπὸ τοῦ πρίνου ἔπλασεν ὄνομα, ἐπειδὴ οἱ Ἀχαρνεῖς ἀνθρακεῖς, ἡ δὲ πρῖνος ἐπιτήδειον ξύλον εἰς ἄνθρακας.)

614. ὁ Κοισύρας : (Ὁ Μεγακλῆς.) Κοισύρα δὲ ἐγένετο Ἀθήνησιν εὐγενὴς γυνὴ καὶ πλουσία, μήτηρ τοῦ Μεγακλέους, ὃς καταβεβρωκὼς τὴν οὐσίαν καὶ ὕστερον πεπλουτηκὼς ἐκ τοῦ τὰ κοινὰ πράσσειν λέγεται.

615. οἷς ὑπὲρ ἐράνου : Ἔθος εἶχον τέλεσμά τι εἰς τὸ κοινὸν διδόναι, ὅπερ οἱ μὴ διδόντες καὶ ἄτιμοι ἐνομίζοντο καὶ μετὰ βίας ἀπητοῦντο. παρὰ προσδοκίαν δὲ ἐπήγαγε τὸ χρεῶν.

616. ἀπόνιπτρον : Ἀπόνιμμα. *Vict.*

617. ἅπαντες ἐξίστων : Εἰώθεσαν, εἴ ποτε ἐκχέοιτο ἀπόνιπτρον ἀπὸ τῶν θυρίδων, ἵνα μή τις βραχῇ τῶν παριόντων ἐξίστω λέγειν. παίζει οὖν πρὸς τὸ ἐξίστω ὄνομα, ὁμώνυμον ὂν τῷ ἐκχώρησον. Τοῦτο δὲ λέγει διασύρων Μεγακλέα καὶ Λάμαχον, ὡς πρότερον μὲν πένητας ὄντας, εἶτα ἐξαίφνης πλουτήσαντας ἀπὸ τῆς πόλεως, (ὅτι αὐτοῖς οἱ φίλοι χθὲς καὶ πρώην συνεβούλευον καταχρέοις οὖσιν ὑπό τε ἐράνων καὶ ὀφλημάτων ἐξίστασθαι τῆς οὐσίας, ὡς μὴ δυναμένοις ἀποδοῦναι). ἢ τοῖς δανείζουσι παρῄνουν οἱ φίλοι ἐξίστασθαι τοῦ δανείζειν τοῖς τοιούτοις ὀφείλουσιν ἐράνους καὶ χρέα. οὐ νῦν οὖν αὐτοὺς διαβάλλει ὡς πένητας, ἀλλ' ὡς ποτὲ πένητας.

601. πανταχῇ : Ἀντὶ τοῦ ἰσχυρῶς. R.

625. ἀγοράζειν : Τὸ ἀγοράζειν οὐκ ἴσον τοῦ ὠνεῖσθαι τέθεικεν, ὡς ἡμεῖς, ἀλλ' ἐπὶ τοῦ ἐν ἀγορᾷ διατρίβειν. λείπει δὲ τὸ ὄντας.

626. (ἀνὴρ νικᾷ : Ἐξιόντων τῶν ὑποκριτῶν ὁ χορὸς λέγει τὴν τελείαν παράβασιν. τῆς δὲ παραβάσεως τὸ μὲν κομμάτιόν ἐστι στίχων δύο ἀναπαίστων τετραμέτρων καταληκτικῶν. αὕτη δὲ ἡ παράβασις ἐξ ὁμοίων στίχων λϐ'.)

627. ἀλλ' ἀποδύντες : Ἀπὸ μεταφορᾶς τῶν ἀποδυομένων ἀθλητῶν, οἳ ἀποδύονται τὴν ἔξωθεν στολὴν, ἵνα εὐτόνως χορεύωσι (καὶ εὐστροφώτεροι ὦσι πρὸς τὰ παλαίσματα).

629. οὔπω παρέϐη : Ἀντὶ τοῦ, ἐν τῇ παραβάσει οὔπω εἶπε.

630. ταχυδούλοις : Ἀντὶ τοῦ ταχέως μεταβαλλομένοις, (προπετέστιν, ἀπερισκέπτοις. κωμῳδοῦνται δὲ οἱ Ἀθηναῖοι ὡς τοιοῦτοι, καὶ ὅτι ταχέως μετανοοῦσιν ἐν οἷς βουλεύονται.)

634. ξενικοῖσι λόγοις : Ἀντὶ τοῦ ἀλλοτρίοις καὶ μὴ προσήκουσιν. (ὅτι ἀνοίκειον Ἕλλησι τὸ ἐξαπατᾶσθαι. ἢ ξενικοῖς, τοῖς ἀπὸ τῶν ξένων πρέσϐεων λεγομένοις.)

635. χαυνοπολίτας : Κεχαυνωμένους περὶ τὴν πολιτείαν ἢ τὴν πόλιν.

637. ἰοστεφάνους : Παρὰ τὰ ἐκ τῶν Πινδάρου διθυράμϐων [fr. 46] « αἱ λιπαραὶ καὶ ἰοστέφανοι Ἀθῆναι. » διασύρει δὲ ὅτι οἱ προδόται τούτοις χρῶνται τοῖς λόγοις.

638. ἐπ' ἄκρων τῶν πυγιδίων : Παρὰ τὴν παροιμίαν, ἐπ' ἄκρων τῶν ὀνύχων. (οἱ γὰρ ἡδέως τι ἀκούοντες δοκοῦσιν ἐπάνω τῶν πυγῶν καθέζεσθαι. Ἄλλως. παρὰ τὴν παροιμίαν, ἐπ' ἄκρων τῶν ὀνύχων, ἔπαιξεν οὗτος ἐπ' ἄκρων τῶν πυγιδίων εἰπών. καὶ Σοφοκλῆς [Aj. 1229]

ἢ που τραφεὶς ἂν μητρὸς εὐγενοῦς ἄπο,
ὑψηλ' ἐκόμπεις, κἀπ' ἄκρων ᾠδοιπόρεις.

εἰώθασι γὰρ οἱ ἀλαζόνες ἐπ' ἄκρων ὀνύχων βαδίζειν καὶ οἱ ἐπαίνων εἰς ἑαυτοὺς γινομένων ἀκούοντες τὴν πυγὴν τῆς καθέδρας ἐξαίρειν.)

639. (ὑποθωπεύσας : Κολακεύσας. παρὰ τὸ λιπαρὰς Ἀθήνας, τὸ λιπαρὰς ἀφύας.)

640. εὗρε τὸ πᾶν ἄν : Ἀντὶ τοῦ πᾶν πρᾶγμα κατορθοῖ. (ἀφύων τιμήν : Καὶ ἑνικῶς λέγεται, ὡς ἐν Ταγηνισταῖς·

ἅλις ἀφύης μοι, παρατέταμαι γὰρ ἐσθίων.)

642. καὶ τοὺς δήμους ἐν ταῖς πόλεσιν : Ἀντὶ τοῦ, τὴν ἡμῶν αὐτῶν πολιτείαν ἐπιδείξας ταῖς συμμάχοις πόλεσι. τουτέστι διδάξας τοὺς συμμάχους ὡς χρὴ δημοκρατεῖσθαι, εὔνους ὑμῖν αὐτοὺς ἐποίησεν. Ἄλλως. ἐν ταῖς ἄλλαις πόλεσι τοὺς ἡμετέρους δείξας δήμους ὅτι δημοκρατοῦνται, καὶ ἄνευ τυραννίδος ἀλλήλοις πειθόμενοι.

644. τὸν Ἀριστοφάνην. R.

647. βασιλεὺς : Ἀντὶ τοῦ ὁ μέγας ὁ Περσῶν.

βασανίζων : Ἀκριβῶς ἐξετάζων.

648. πότεροι ταῖς ναυσί : Ποῖοι αὐτοὶ τῶν Ἀθηναίων ἐν τῇ ναυμαχίᾳ κρατοῦσιν. ἔθος δὲ τοῖς βασιλεῦσι τὰ τοιαῦτα περιεργάζεσθαι.

649. ποτέρους εἴποι πολλά : Ἀντὶ τοῦ, περὶ τούτου τοῦ ποιητοῦ ἠρώτα, τίνας διαβάλλει καὶ κωμῳδεῖ. ἔφασκε γὰρ (ὁ τῶν πρέσϐεων βασιλεὺς) ὅτι οὓς ἂν οὗτος ὁ ποιητὴς, τουτέστιν ὁ Ἀριστοφάνης, σκώψῃ, τούτους σωφρονίζεσθαι καὶ γίνεσθαι βελτίους. (τοῦτο δὲ χαριεντιζόμενος ψευδῶς λέγει.)

630. (τούτους γὰρ ἔφη : Τοὺς Ἀθηναίους δηλονότι ἐρωτῶν ὁ βασιλεύς. ταῦτα δὲ λέγει περὶ αὐτοῦ.)

652. διὰ τοῦθ' ὑμᾶς Λακεδαιμονίους : Διὰ τὸ ἔχειν ὑμᾶς τὸν Ἀριστοφάνην ποιητὴν ἄριστον.

653. καὶ τῆς νήσου μὲν ἐκείνης : Τῆς νήσου, ἐν ᾗ τὰ χωρία Ἀριστοφάνους, λέγω δὴ τῆς Αἰγίνης.

654. ἀλλ' ἵνα τοῦτον τὸν ποιητήν : Ἔγγυς αὐτῶν λάβωσιν. (ἐντεῦθεν τινὲς νομίζουσιν ἐν Αἰγίνῃ τὰς κωμῳδίας ποιεῖν τὸν Ἀριστοφάνην, διὰ τὸ ἐπενηνοχέναι αὐτόν· ἀλλ' ἵνα τοῦτον τὸν ποιητὴν ἀφέλωνται τὴν Αἴγιναν, οὐχ ὑμᾶς. ταῖς ἀληθείαις εἷς ἦν τῶν ἐν τῇ νήσῳ κληρουχησάντων. οὐδὲν δὲ ἐκώλυε καὶ ἑτέρωθι συγγράφειν, εἰ ὑπὸ Λακεδαιμονίους ἡ νῆσος ἐγεγόνει. Ἄλλως. οὐδεὶς ἱστόρηκεν ὡς ἐν Αἰγίνῃ κέκτηταί τι Ἀριστοφάνης, ἀλλ' ἔοικε ταῦτα περὶ Καλλιστράτου λέγεσθαι, ὃς κεκληρούχηκεν ἐν Αἰγίνῃ μετὰ τὴν ἀνάστασιν Αἰγινητῶν ὑπὸ Ἀθηναίων.)

657. (οὐ θωπεύων : Οὐ κολακεύων, οὐκ ἀπατῶν.) οὔθ' ὑποτίνων : (Φαίνων·) οὐδέ τισι μισθὸν διδοὺς, ἵν' αὐτὸν ἐπαινέσωσιν.

658. οὔτε κατάρδων : (Καταχέων ὑποσχέσεις. Ἄλλως. οὐ) καταβρέχων ὑμᾶς τοῖς ἐπαίνοις ὡς φυτά.

659. (πρὸς ταῦτα Κλέων : Διπλῆ καὶ εἴσθεσις εἰς τὸ καλούμενον πνῖγος καὶ τὸ μακρὸν, καὶ αὐτὸ ἀναπαιστικὸν, ὥσπερ καὶ ἡ κατακλεὶς, ἐκ διμέτρου μὲν ἑνὸς τοῦ τελευταίου καταληκτικοῦ, ἀκαταλήκτων δὲ ἕξ. ἐπὶ τῷ τέλει τῆς παραβάσεως παράγραφος. ὁμοίως δὲ καὶ τῷ τοῦ πνίγους.)

665. (δεῦρο Μοῦσα : Διπλῆ καὶ ἐπιρρηματικὴ συζυγία, ἧς αἱ μὲν μελικαί εἰσι κώλων ια' παιωνικῶν, ὧν τὰ μὲν πρῶτα γ' τρίρρυθμα, τὸ δὲ δ' δίρρυθμον. εἶτα ἐν εἰσθέσει τετράρρυθμα δύο. καὶ ἐν ἐκθέσει τρία μὲν δίρρυθμα, ἓν δὲ τρίρρυθμον.

φλεγυρά : Λαμπρὰ, φλέγουσα, λάμπουσα, ἢ θερμὴ διὰ τοὺς ἄνθρακας. — Ἔντονος : Ἀντὶ τοῦ ἰσχυρά. R.

667. πρινίνων : Ἀντὶ τοῦ ἀγροίκων, στερεῶν. ἡ γὰρ πρῖνος ξύλον στερεόν.

668. φέψαλος : Σπινθήρ. R. φέψαλος καὶ φεψάλυξ σπινθὴρ ὁ ἀναφερόμενος ἐκ τῶν καιομένων ξύλων. *Vict.*

669. οὐρίᾳ ῥιπίδι : Τῇ τοῦ ἀνέμου φορᾷ. (λέγει δὲ) τὸ πρὸς κίνησιν πνεύματος ἐπιτήδειον, ὃ ἡμεῖς ῥιπίδιον καλοῦμεν.

670. ἐπανθρακίδες : Λεπτοὶ ἰχθύες ὀπτοί. πάντα δὲ τὰ ἐπὶ ἀνθράκων ὀπτώμενα ἀνθρακίδας ἐκάλουν.

671. οἱ δὲ Θασίαν ἀνακυκλῶσιν : Οἱ μέν φασι λείπειν τὸ λάγηνον, ἐπεὶ καταχρίονται πίσσῃ τὸ στόμα· οὐ πιθανῶς. οὐδέπω γὰρ τότε Θάσιος οἶνος ηὐδοκίμει παρὰ Ἀθηναίοις. οἱ δὲ, ὅτι Θάσιαι τινὲς ῥαφανῖδες λέγονται. λέγει δὲ τὴν ἠρτυμένην καὶ βρασσομένην. οἱ δὲ Θάσιόν φασι βάμμα λέγεσθαι ἐκ τῶν ἀπὸ πυρὸς ἰχθύων. ἰδίως Θασίαν ἐκάλουν. Κρατῖνος « εἶδες τὴν Θασίαν ἅλμην. » οἱ δὲ τὴν λεγομένην θερμοπότιδα, ἣ Θασίαν ζωμάλμην. εἰς ἣν ἀπέβαπτον τὰ ἠνθρακωμένα τῶν ἰχθύων.

λιπαράμπυκα : Φιάλην Θασίου οἴνου πεπληρωμένην. (ἄμπυξ δὲ λέγεται τὸ περιέχον. νῦν οὖν τὸ πῶμα τοῦ ἀγγείου λέγει. καὶ λιπαρὸν μὲν διὰ τὸ ἡδὺ τοῦ οἴνου, ἄμπυκα δὲ παρὰ τὸ σκεπάζειν καὶ καλύπτειν τὸν οἶνον καταχρηστικῶς.)

674. (ἀγροικότονον : Πρόθυμοι γὰρ οἱ ἄγροικοι εἰς πᾶσαν πρᾶξιν καὶ εὔτονοι.)

676. ἐπίρρημα. R.

678. ἐν τῷ γήρᾳ πάσχομεν. R.

679. τὸ οἵτινες οἱ νεώτεροι ἢ ὑμεῖς οἱ Ἀθηναῖοι. R.

ἐς γραφὰς : Ἀντὶ τοῦ εἰς δικαστήρια καὶ κατηγορίας. R.

680. ὑπὸ νέων ῥητόρων ἐᾶτε ἀπατᾶσθαι καὶ βλάπτεσθαι. R.

681. κωφούς : Οἷον ἀφώνους. Ὅμηρος [Il. Ξ, 16] « κύματι κωφῷ »

παρεξηυλημένους : Ἐκ μεταφορᾶς τῶν παλαιῶν αὐλῶν καὶ ἀχρείων. κυρίως γὰρ παρεξηυλῆσθαι λέγονται αὐλοὶ οἱ τὰς γλωσσίδας διερρηγμένοι.

682. ἀσφάλειός ἐστιν : Ἀσφάλειος Ποσειδῶν παρὰ Ἀθηναίοις τιμᾶται. παρὰ τὸ καὶ αὐτὸν τῇ τριαίνῃ χρῆσθαι καὶ τοὺς γέροντας τῇ βακτηρίᾳ τοῦτο ἔφη. παρὰ δὲ τὸ πατεῖν ποσὶ τὸ Ποσειδῶν πεποίηκε. τιμᾶται δὲ Ποσειδῶν ἀσφάλειος παρ' αὐτοῖς, ἵνα ἀσφαλῶς πλέωσι.

683. τονθορύζοντες : Λάθρα φθεγγόμενοι, ἢ ὑπότρομοι, τὰ χείλη κινοῦντες. λίθῳ δὲ τῷ βήματι, (τῷ ἐν τῇ πνυκὶ δικαστηρίῳ).

τῷ λίθῳ : Τῇ πνυκί. *Vict.*

684. τῆς δίκης τὴν ἠλύγην : (Οἱ γέροντες ἡμεῖς δηλονότι οὐδὲν ὁρῶντες ἐν τῷ δικαστηρίῳ, εἰ μὴ) τὴν σκιὰν τῆς δίκης. ἠλύγη γὰρ τὸ σκότος. καὶ ἠλυγισμένον, τὸ ἐσκοτισμένον. βαρύνεται δέ. παρὰ γὰρ τὴν λύγην. πλεονάζει τὸ η. παρὰ προσδοκίαν δὲ εἶπε τῆς δίκης, δέον ἀνθρώπων εἰπεῖν.

685. (σπουδάσας : Εἰς τὸ βλάψαι τὸν γέροντα.)

686. (ἐς τάχος παίει : Παίειν λέγουσι τὸ πᾶν ὁτιοῦν συντόνως ποιεῖν. στρογγύλοις δὲ, πιθανοῖς καὶ πανούργοις. τὸ δὲ ἐς τάχος ἀπὸ μεταφορᾶς τῶν ἐν τοῖς διδασκαλείοις παίδων, ἐφ' ὧν οὕτως ἐλέγετο, ἐς τάχος γράφει, ἐς κάλλος.)

687. σκανδάληθρ' ἱστάς : (Διχῶς ἀναγινώσκεται· ὑφ' ἓν, ἵν' ᾖ σκανδαληθριστάς. ἢ ἀπόστροφος ἐν τῷ ρ, ἵν' ᾖ σκανδάληθρα ἱστάς. καὶ ἡ μὲν λέξις πεποίηται παρὰ τὰ πέτευρα τῶν παγίδων· ἀπὸ τοῦ σκάζοντα συμπίπτειν καὶ κρατεῖν τὸ ἐμπεσόν. ὁ δὲ νοῦς, ἀνελκύσας ἀπὸ τοῦ βήματος συνηγόρους ἑαυτῷ καὶ θηρευτὰς τῶν λόγων, ἐρωτᾷ ἡμᾶς. Ἄλλως.) σκανδάληθρα λέγεται τὰ ἐν ταῖς παγίσιν ἐπικαμπῆ ξύλα, (εἰς ἃ ἐρείδει ὅπερ Ἀρχίλοχος λέγει ῥόπτρον.) ἐνταῦθα οὖν λέγει ἐρείσματα λόγων καὶ βάρη. (τὸ δὲ ὑπερβατὸν οὕτως, κἄτ' ἀνελκύσας σκανδαληθριστὰς ἐρωτᾷ ἡμᾶς.)

688. ἄνδρα Τιθωνόν : Ὑπεράγαν γεγηρακότα, (ἀπὸ Τιθωνοῦ τοῦ πάνυ γηράσαντος καὶ μεταβληθέντος εἰς τέττιγα).

689. μασταρύζει : Συνέλκει καὶ συνάγει τὰ χείλη. ἀπὸ μεταφορᾶς τῶν ὑποτιτθίων παίδων, ἃ τὸν μαστὸν ἕλκοντα τῷ στόματι συνάγει τὰ χείλη.

690. λύζει : Ἐὰν μὲν διὰ τοῦ ζ, ὀλολύζει. ἐὰν δὲ χωρὶς τοῦ ζ, ἀλύει· τουτέστιν ἀδημονεῖ. (λύζει, ποιὰν φωνὴν τραχεῖαν ἀφίησιν, ἢ λυγμῷ συνέχεται.)

691. ὄφλων : χρεωστῶν. *R. Vict.* ἀπέρχομαι : Ἐπὶ γερόντων ἐν δίκαις ἀναστρεφομένων. *Vict.*

693. κλεψύδραν : Ἀντὶ τοῦ ἐν τῷ δικαστηρίῳ. ἡ γὰρ κλεψύδρα ἀγγεῖόν ἐστιν ἔχον μικροτάτην ὀπὴν περὶ τὸν πυθμένα, ὅπερ ἐν τῷ δικαστηρίῳ μεστὸν ὕδατος ἐτίθετο, πρὸς ὃ ἔλεγον οἱ ῥήτορες.

694. ὑπομείναντες. R.

695. ἀπομορξάμενον : Ἀποπαυσάμενον. *Vict.*

697. (Μαραθῶνι : Λείπει ἡ ἐν, οἷον ἐν Μαραθῶνι.)

698. Μαραθῶνι μὲν ὅτ' ἦμεν : Περιεγένοντο γὰρ οἱ Ἀθηναῖοι Περσῶν, ὅτ' ἐμαχέσαντο πρὸς αὐτοὺς ἐν Μαραθῶνι.

699. ὑπ' ἀνδρῶν : Τῶν νέων ῥητόρων. διωκόμεθα δὲ ἀντὶ τοῦ κατηγορούμεθα.

701. (κᾆτα προσαλισκόμεθα : Ἀντὶ τοῦ, πρὸς τούτοις καταδικαζόμεθα καὶ ζημιούμεθα.)

702. (Μαρψίας : Οὗτος ὁ Μαρψίας φιλόνεικος καὶ φλύαρος καὶ θορυβώδης ῥήτωρ κωμῳδεῖται.)

703. τῷ γὰρ εἰκὸς : Τῷ τρόπῳ, πῶς δίκαιόν ἐστιν ἄνδρα γεγηρακότα, (ἀντιπολιτευσάμενον Περικλεῖ,) ἀπολείπεσθαι συμπλακέντα ἀγριότητι; τοῦτο γὰρ δηλοῖ ἡ Σκυθῶν ἐρημία. λέγει δὲ ἀγριότητι, Κηφισοδήμῳ τῷ λάλῳ ῥήτορι. οὗτος δὲ ὁ Θουκυδίδης Μελησίου παῖς ἦν. γεγόνασι δὲ δ', (ὁ ἱστορικὸς, ὁ Γαργήττιος, ὁ Θετταλὸς, ὁ Μελησίου υἱός).

κυφὸν : Κεκυρτωμένον. *Vict.*

705. (Κηφισοδήμῳ : Οὗτος θρασὺς καὶ δεινὸς πρὸς τὰς δίκας. Ἀθηναῖος δὲ καὶ οὗτος.)

704. (Σκυθῶν ἐρημία : Ἐπεὶ θηριώδεις αἱ ἐρημίαι τῶν Σκυθῶν. ἀντὶ τοῦ, ὀλέθρῳ καὶ κακοῖς συμπλακέντα. τοῦτο δὲ λέγει, ὅτι οἱ Σκύθαι ἄοικοι ὄντες καὶ ἐπὶ τῶν ἁμαξῶν φερόμενοι αἴτιοι ἑαυτοῖς ὀλέθρου γίνονται. ἔστι δὲ παροιμία ἡ Σκυθῶν ἐρημία, τουτέστιν ἔρημον ὄντα.)

ἐρημίᾳ : Ἀγρότητι. *Vict.*

706. κἀπεμορξάμην : Ἐκλαυσα R. ἐκ τοῦ παρακολουθοῦντος. (παρέπεται γὰρ τοῦτο τοῖς δακρύουσιν.)

707. ἐπ' ἀνδρὸς τοξότου : Ἀντὶ τοῦ ὑπηρέτου δημοσίου, ἐπόπτου καλουμένου.

708. ὃς μὰ τὴν Δήμητρα : Ὅστις πρεσβύτης ὑπὸ τοῦ τοξότου βλαπτόμενος οὐδὲ τῆς Δήμητρος ἠνέσχετο, ἡνίκα ἦν νέος. Ἀχαιὰν δὲ τὴν αὐτὴν (ἐκάλουν) ἀπὸ τοῦ κτύπου τῶν κυμβάλων καὶ τυμπάνων τοῦ γενομένου κατὰ ζήτησιν τῆς Κόρης. (ἢ ἀπὸ τοῦ ἤχου, ὃν παρεῖχε τοῖς περὶ τὴν Γέφυραν εἰς Ἀθήνας ἀπιοῦσιν. ἢ ἀπὸ τοῦ περὶ τὴν θυγατέρα ἄχους. ὁ δὲ νοῦς, ἡνίκα ἦν Θουκυδίδης, οὐχ ὅπως τοξότην ἠνέσχετο ἂν καταβοᾶν αὐτοῦ, ἀλλ' οὐδὲ τὴν Ἀχαιὰν αὐτήν.)

710. κατεπάλαισε, κατηγωνίσατο, κατεπολέμησεν. R. Εὐάθλους δέκα : Οὗτος ὁ Εὔαθλος ῥήτωρ πονηρός. (Ἀριστοφάνης ἐν Ὀλκάσιν « ἔστι τις πονηρὸς ἡμῖν τοξότης συνήγορος ὥσπερ Εὔαθλος παρ' ὑμῖν τοῖς νέοις. » ἦν δὲ καὶ εὐρύπρωκτος καὶ λάλος. εἴη δ' ἂν καὶ ἀγενής. διὸ καὶ τοξότην αὐτὸν καλεῖ, οἷον ὑπηρέτην. διεβάλλετο γὰρ ἡ τοξεία ὡς εὐτελής. καὶ Σοφοκλῆς [Aj. 1120 sq.]

ὁ τοξότης ἔοικεν οὐ σμικρὰ φρονεῖν.

ἀλλ' ἔνδοξον ταύτην δεῖξαι βουλόμενός φησιν

« οὐ γὰρ βάναυσον τὴν τέχνην ἐκτησάμην. »

αὐτοῦ δὲ τοῦ πατρὸς) τοῦ Εὐάθλου.

714. τὰς γραφὰς : Τὰς δίκας. R. ὅπως ἂν ᾖ τῷ γέροντι : Ἵνα παντελῶς οἱ νέοι τῶν γερόντων κεχωρισμένοι ὦσιν. (νωδὸς δὲ ὁ μὴ ἔχων ὀδόντας ὑπὸ γήρως.)

716. χὠ Κλεινίου : Ἀλκιβιάδην τὸν Κλεινίου ὡς καταπύγονα κωμῳδοῦσιν.

717. κἀξελαύνειν χρή : Κἂν ἐξελαύνειν χρῇ, κἂν φυγῇ ζημιοῦν, ὑπὸ γέροντος τοῦτο πάσχειν τὸν γέροντα.

719. (ὅροι μὲν ἀγορᾶς : Κορωνὶς, ὅτι ἐπεισίασι· καὶ εἰσὶ στίχοι ἰαμβικοὶ ἀκατάληκτοι ις'·)

720. ἀγοράζειν : Ἐν ἀγορᾷ διατρίβειν ἐν ἐξουσίᾳ καὶ παρρησίᾳ ἐστὶν, (Ἀττικῶς. ὅθεν καὶ ἡ Κόριννα, ἔτι δὲ ὁ Πίνδαρος ἀττικίζει, ἐπεὶ καὶ ἐν τῷ πρώτῳ τῶν Παρθενίων ἐχρήσατο τῇ λέξει.

723. ἀγορανόμους δέ : Οὓς νῦν λογιστὰς καλοῦμεν.

724. τοὺς δ' ἱμάντας ἐκ λεπρῶν : Οἱ μὲν ἀπὸ τοῦ λέπειν, ὅ ἐστι τύπτειν, οἱ δὲ ἀπὸ Λεπρέου πολίσματος τῆς Πελοποννήσου, (ἧς μέμνηται καὶ Καλλίμαχος ἐν ὕμνοις [in Jov. 39],

Καυκώνων πτολίεθρον, ὃ Λέπρειον περάτισται.)

οἱ δὲ ἐκ λεπρῶν βοῶν. φασὶ γὰρ τὰ τῶν λεπρῶν βοῶν δέρματα ἰσχυρὰ εἶναι. οἱ δὲ, ὅτι οἱ Μεγαρεῖς λεπροὶ τὸ σῶμα, πρὸς οὓς σπένδεται. ἄμεινον δὲ λέγειν ὅτι τόπος ἔξω τοῦ ἄστεος Λεπρὸς καλούμενος, ἔνθα τὰ βυρσεῖα ἦν· οὗ καὶ ἐν Ὄρνισι [149] μέμνηται,

τί δ' οὐ τὸν Ἠλεῖον Λεπρὸν οἰκίζετε;

(ἱμάντας δὲ λώρους, φραγγέλια. τὸ γὰρ παλαιὸν φραγγέλαις ἔτυπτον οἱ λογισταὶ τοὺς τῆς ἀγορᾶς.)

726. φασιανός : Ἀντὶ τοῦ συκοφάντης. παρὰ τὴν φάσιν, ὅ ἐστι φαίνειν. ἔστι δὲ καὶ πόλις τῆς Σκυθίας Φᾶσις, ὁμώνυμος τῷ ποταμῷ.

729. ἀγορὰ 'ν Ἀθάναις : Ἔρχεται Μεγαρεύς τις. οἰκεία δὲ πάνυ ἡ ἔννοια καὶ οἰκτου μεστή. πεινῶν γὰρ ἥκει καὶ τὰς θυγατέρας πωλεῖ διὰ τὸν λιμὸν, εἰς χοίρους αὐτὰς μετασχηματίσας.

730. ἐπόθουν τυ ναὶ τὸν φίλιον : Νὴ τὸν φίλιον Δία, ἐπόθουν σε ὥσπερ μητέρα.

732. ἀμβᾶτε : Ἀνάβητε. (ἐμφαντικῶς διὰ τὸν λιμὸν

ἐδήλωσεν εἰπών, ἐμβᾶτε πρὸς τὴν μᾶζαν.) οἱ Μεγαρεῖς δὲ τρέπουσι τὸ ζ εἰς δύο δδ.

733. ἀκούετον δή ποτ' : Παρὰ προσδοκίαν. δέον γὰρ εἰπεῖν προσέχετε ἡμῖν τὸν νοῦν, ἔφη τὴν γαστέρα, ἐπειδὴ ἐπείνων. (ταῦτα δὲ λέγει ὁ Μεγαρεὺς πρὸς τὰς ἑαυτοῦ θυγατέρας, ἃς ἤγαγεν ἐπὶ τὸ πωλῆσαι διὰ τὸν λιμόν. μικρὰ δὲ ἡ ἔννοια τῷ ποιητῇ.)

736. ἐγώνγα καὐτός φαμι : Καὶ ἐγὼ αὐτὸς τοῦτο σύμφημι.

737. φανερὰν ζαμίαν : Ἐπεὶ κόραι ἦσαν, καὶ οὐ χοῖροι. ἡ τούτων δὲ φροντὶς καὶ δαπάνη πολλή ἐστιν.

738. Μεγαρικά τις μηχανά : Ἀντὶ τοῦ πονηρά, πανοῦργος μηχανή. διεβάλλοντο γὰρ ἐπὶ πονηρίᾳ οἱ Μεγαρεῖς, ἄλλα μὲν λέγοντες, ἄλλα δὲ ποιοῦντες.

739. (χοίρους γὰρ ὑμὲ σκευάσας : Τοὺς παρ' ἡμῖν νῦν λεγομένους δέλφακας, λέγω δὴ τοὺς μικροὺς σῦς, οὓς οἱ ἀρχαῖοι χοίρους ἐκάλουν. Ὅμηρος [Od. Ξ, 80]

ἔσθιε νῦν, ὦ ξεῖνε, τά τε δμώεσσι πάρεστι,
χοίρεϊ· ἀτὰρ σιάλους γε σύας μνηστῆρες ἔδουσιν.

ἐκάλουν δὲ τοὺς μεγάλους χοίρους δέλφακας. ἐν γοῦν τοῖς ἑξῆς [786] φησι

νεαρὰ γάρ ἐστιν· ἀλλὰ δελφακουμένα
ἕξει μεγάλα.)

740. (τὰς ὁπλὰς τῶν χοιρίων : Οὐ μόνον Ἀριστοφάνης ἐπὶ τῶν χοίρων τὰς ὁπλὰς εἴρηκεν, ἀλλὰ καὶ Σιμωνίδης ὁμοίως ἐπὶ χοίρου

ὁπλὰς ἐκίνει τῶν ὀπισθίων ποδῶν.

καὶ Ἡσίοδος [Op. 487] ἐπὶ βοῶν

μήτ' ἄρ' ὑπερβάλλων βοὸς ὁπλήν.

καὶ τὸ ἐναντίον ἐπὶ τοῦ ἵππου [Scut. 62] « νύσσοντες χηλῆσιν. »)

741. ἐξ ἀγαθᾶς ὑός : Ἦν ἐπὶ θηλείας, σῦν δὲ ἐπὶ ἄρρενος. κέχρηνται δὲ καὶ ἀδιαφόρως.

742. εἴπερ ἴξετ' οἴκαδε : Ἐκ δευτέρου εἰς τὸν οἶκον εἰ ἀφίξεσθε, τῆς πρώτης πειραθήσεσθε λιμοῦ. Δωριεῖς δὲ θῆλυ λέγουσι τὴν λιμόν.

743. τὰ πρῶτα, ἀντὶ τοῦ ἄκρας λιμοῦ πειραθήσεσθε. R.

744. ῥυγχία : Τὰ ῥυγχία κυρίως ἔφη. ἐπὶ γὰρ χοίρου λέγεται ῥύγχος. (ἄμεινον δὲ ἀντὶ τοῦ γράφειν ταδί, τὰ δή. δωρίζει γάρ. γρυλλιζεῖτε δὲ, δίκην χοίρων βοήσετε. οἱ δὲ, ποιὰ τῶν δελφακίων φωνή.

747. χῃσεῖτε : Ἀντὶ τοῦ ἀφήσετε φωνήν. R.)

χοιρίων μυστηρικῶν : Ὅτι ἐν τοῖς μυστηρίοις τῆς Δήμητρος χοῖρος θύεται. (ἀνάκειται δὲ τὸ ζῷον τῇ θεῷ.) ἕκαστος δὲ τῶν μυουμένων ὑπὲρ ἑαυτοῦ ἔθυεν. ταῦτα δὲ καλεῖται μυστηρικά.

748. καρυξῶ : Ἥγουν κηρύσσω. *Vict.*

749. ἆρα θέλεις. R.

750. ἀγοράσοντες ἥκομες : Ἐν ἀγορᾷ διατρίψοντες ἤλθομεν, ἢ ὠνησόμενοί τι, ἢ πωλήσοντες.

751. (διαπεινᾶμες : Πίνομεν ὤφειλεν εἰπεῖν, πρὸς τὸ πῦρ καθήμενοι· χειμῶνος γὰρ οἱ πότοι πρὸς τὸ πῦρ γίνονται· ὁ δὲ πεινῶμεν εἶπε διὰ τὸν λιμόν. ἢ ἐσχάτως πεινῶμεν, ὥστε καὶ τὰ ἱμάτια ἀποδόμενοι καθεζόμεθα πρὸς τῷ πυρὶ διὰ τὸ ψῦχος. ἢ διαπύρως καὶ ἐκτόπως πεινῶμεν, ὃ καὶ βέλτιον.)

752. ἀλλ' ἡδύ τοι νὴ τὸν Δί', ἦν αὐλὸς παρῇ : Ὡς ἐπὶ πινόντων καὶ ἀκουόντων αὐλῶν. ὅτι τὸ πῦρ εὐωχίας σημαντικόν. ὥστε ἡδὺ ἦν καθῆσθαι μετὰ αὐλῶν.

753. οἷα δὴ ἀντὶ τοῦ τοιαῦτα δή. R.

754. ὠδοιπόρουν. ἐκεῖθεν ἦλθον. R.

755. Πρόβουλοι : Οἱ στρατηγοί. R.

756. ὅπως τάχιστα : Καὶ τοῦτο παρ' ὑπόνοιαν πικρῶς ἐπήγαγε τὸ ἀπολοίμεθα. ἔδει γὰρ εἰπεῖν ὅτι πῶς σωθῶμεν.

757. (αὐτίκ' ἄρ' ἀπαλλάξεσθε : Πρὸς τὸ ῥηθὲν παρὰ τοῦ Μεγαρέως ἀπήντησεν ὁ Δικαιόπολις ἀστείως. εἰ γὰρ ἀπώλλυσθέ, φησι, ἀπηλλάττεσθε ἂν πραγμάτων.) σαμὰν δὲ ἀντὶ τοῦ τί μήν. τί γὰρ ἄλλο καταλείπεται ἢ τοῦτο.

758. ἀντὶ τοῦ εἰς τὰ Μέγαρα. R.

759. ἅπερ τοὶ θεοί : Ἀντὶ τοῦ ὥσπερ οἱ θεοὶ πολυτίμητοί εἰσι καὶ τίμιοι, οὕτω καὶ ὁ σῖτος πολλῆς τιμῆς ἐστι. παίζει οὖν.

760. (ἅλας οὖν φέρεις : Ἐν Νισαίᾳ τῆς Μεγαρίδος ἅλες πήγνυνται. ἦν δὲ ὁ τόπος ὑπήκοος τῶν Ἀθηναίων.) ὑμὲς αὐτῶν ἄρχετε : Διὰ τὸ θαλασσοκρατεῖν τοὺς Ἀθηναίους ἔφη, ὑμεῖς αὐτῶν ἄρχετε.

762. ὄκκ' ἐσβαλεῖτε : Εἰσβαλεῖν ἐστι τὸ τινὰς ἐν ἀγρῷ εἰσελθόντας ἐκκόψαι πάντα τὰ ἐν αὐτῷ. λέγει οὖν ὁ Μεγαρικὸς ὅτι ποῖα σκόροδα; ἅτινα ὑμεῖς ἐπελθόντες τοῖς χωρίοις τῆς Μεγαρίδος, καθάπερ εἰ γήϊνοι μύες ἐκκόπτετε. ἀπὸ δὲ τῶν σκορόδων ἐσήμανε καὶ τὰ ἄλλα πάντα. τούτων δὲ ἐμνήσθη ὡς μηδὲ τῶν οὕτως εὐτελῶν φειδομένων τῶν Ἀθηναίων.

763. (πάσσακι : Ὑποκοριστικῶς τῷ πασσάλῳ.) ἄγλιθας δὲ τὰς κεφαλὰς τῶν σκορόδων. φησὶν οὖν ὅτι ὥσπερ ἀρουραῖοι μύες ὀρύσσετε πασσάλῳ τὰς ἄγλιθας.

764. χοίρους ἐγώγα μυστικάς : Διὰ τὸ ἐν τοῖς μυστηρίοις τῆς Δήμητρος χοίρους θύεσθαι.

766. ἄντεινον, αἶ λῆς : Ἀνάτεινον, εἰ βούλει, καὶ κρεμάσας ἐπίσκεψαι, πόσου βάρους εἰσίν. (εἰώθασι δ' οἱ τὰς ὄρνεις ὠνούμενοι ἀνατείνειν ταύτας καὶ τὸ βάρος αὐτῶν σκοπεῖν, καὶ οὕτω καταλαμβάνειν εἶναι παχείας. ἀπὸ τούτων οὖν καὶ ἐπὶ τῶν χοίρων τοῦτο ποιῆσαι παρακελεύεται.)

767. τουτὶ τί ἦν τὸ πρᾶγμα ; Ὁ Ἀττικὸς κρεμάσας τὴν παῖδα ὁρᾷ τὸ αἰδοῖον αὐτῆς, καὶ ἐρωτᾷ περὶ αὐτοῦ, ὅ τι ποτέ ἐστιν. οὐ γὰρ ἦν ὅμοιον τῷ αἰδοίῳ τοῦ χοίρου.

769. ἢ οὐ χοῖρος ἔσθ' ἅδε : Τὸ αἰδοῖον δείκνυσι τῆς παιδός.

770. θᾶσθε τοῦδε τὰς ἀπιστίας : Ὁ Μεγαρεὺς πρὸς τοὺς θεατὰς, θεᾶσθε, φησὶ, τοῦ Δικαιοπόλιδος τὰς ἀπιστίας.

771. οὔ φατι : Οὐ λέγει. R. (ἀλλὰ μὰν, αἱ λῇς : Ἀλλὰ μὴν, ἐὰν θέλῃς. τὸ δὲ περιδοῦ μοι Ὅμηρος [Il. Ψ, 485] « δεῦρό γε νῦν τρίποδος περιδώμεθα. »)

772. περὶ θυμιτιδᾶν ἁλῶν : Εἰ βούλει, φησὶ, ποιησώμεθα συνθήκας περὶ θυμητιδῶν ἁλῶν, οἷον μετὰ θύμου τετριμμένων. καὶ ἑτέρωθι [1009]

Θλας θυμίτας δοὺς ἐμοὶ καὶ κρόμμυα.

773. αἳ μὴ 'στιν οὗτος χοῖρος : Χοῖρον δὲ τὸ αἰδοῖον τῆς γυναικός. R. τοῦτό φησιν, ἐπεὶ καὶ τὸ γυναικεῖον αἰδοῖον χοῖρον ἐκάλουν (οἱ Ἕλληνες. διὰ τοῦτο γοῦν ὁ Ἀττικὸς ἐπιφέρει, « ἀλλ' ἔστιν ἀνθρώπου. »)

774. καὶ τὸν Διοκλέα : Διοκλῆς τις ἥρως ἐτιμᾶτο παρὰ Μεγαρεῦσιν, ᾧ καὶ ἀγῶνα τελοῦσι τὰ Διόκλεια. οὗ καὶ Θεόκριτος [12, 27] μέμνηται

(Νισαῖοι Μεγαρῆες ἀριστεύοντες ἐρετμοῖς,
ὄλβιοι, οἰκείητε τὸν Ἀττικὸν, ὡς περίαλλα
ξεῖναν τιμήσασθε Διοκλέα τὸν φιλόπαιδα.

ὃν δὲ ἐπὶ τῷ Διοκλεῖ ἔθηκεν ἀγῶνα Ἀλκάθους ὁ Πέλοπος, ἐπιτελοῦσιν οἱ Μεγαρεῖς.)

776. ἢ θέλεις ἀκοῦσαι λαλουσῶν; R.

778. οὐ χρῆσθα σιγᾶς : Λεληθότως πρὸς τὰ χοιρίδια λέγει τὸ οὐ χρῆσθα σιγᾶν. — τουτέστι φθέγξαι. R.

779. πάλιν τύ γ' ἀποισῶ : Ἐὰν σιωπήσητε, ἀποφέρω πάλιν ὑμᾶς οἴκαδε λιμώξοντας.

780. κοὶ κοί : Αἱ παῖδες μιμοῦνται τὴν τῶν χοίρων φωνὴν, κοὶ κοὶ λέγουσαι.

781. νῦν γε χοῖρος φαίνεται : Νῦν σαφῶς σημαίνει ὅτι χοῖρος τὸ γυναικεῖον αἰδοῖον λέγεται. (ἔτι δὲ καὶ κύσθος.) ποττὰν μητέρα δὲ πρὸς τὸ τῆς μητρὸς αἰδοῖον.

784. θύσιμος : Διὰ τὸ εἶναι αὐτὴν γυναῖκα τοῦτο ἔφη.

786. κέρκον οὐκ ἔχει : Τὰ γὰρ κόλουρα ἐν ταῖς ἱερουργίαις οὐ θύεται, καὶ καθόλου, ὅπερ ἂν μὴ ᾖ τέλειον καὶ ὑγιὲς, οὐ θύεται τοῖς θεοῖς.

786. νέα γάρ ἐστι : Τὸ νέα, ἀντὶ τοῦ ἡβῶσα καὶ αὐξομένη, ἕξει παχεῖαν καὶ μεγάλην οὐράν. (τοὺς γὰρ μείζονας λοιπὸν χοίρους δέλφακας ἐκάλουν. ἅμα δὲ καὶ ὡς ἐπὶ κόρης παίζει, ὅτι ἕξει μεγάλην οὐρὰν, τὴν τοῦ ἀνδρὸς πόσθην. αἰνίττεται δὲ εἰς τὸ κακέμφατον.)

789. ὡς ξυγγενὴς ὁ κύσθος : Τῇ ἑτέρᾳ κόρῃ, φησὶν, ὅμοιός ἐστι· διὰ τὸ ἀδελφὰς αὐτὰς εἶναι.

790. ἐκ τοῦ αὐτοῦ. R.

791. κἀναχνοανθῇ : Ἀντὶ τοῦ δασυνθῇ. γνοῦς γὰρ ἡ πρώτη θριξ καὶ λεπτή. τουτέστιν, ἐὰν ἀκμάσῃ καὶ ἡβήσῃ.

792. (κάλλιστός ἐστι χοῖρος : Κοινὴ ἡ ἔννοια ἐπί τε τοῦ ζῴου τοῦ χοίρου καὶ ἐπὶ τοῦ αἰδοίου τῆς κόρης. πάνυ δὲ μετὰ χάριτος ἔφη, ἅμα μὲν πρὸς θυσίαν, ἅμα δὲ καὶ πρὸς τὴν συνουσίαν.) τυθῆναι δὲ λέγει αὐτὴν τῇ Ἀφροδίτῃ, τὸ φθαρῆναι αὐτήν.

793. (ἀλλ' οὐχὶ χοῖρος : Πολλοὶ τῶν Ἑλλήνων οὐ θύουσι χοίρους τῇ Ἀφροδίτῃ, ὡς βδελυττομένῃ διὰ τὸν Ἄδωνιν αὐτόν.)

794. μόνα γε δαιμόνων : Αὐτῇ μόνῃ μάλιστα ὁ χοῖρος θύεται, ὡς πρὸς τὸ αἰδοῖον.

796. τὸν ὀβελὸν ἐμπεπαρμένον : Βοιωτοὶ τὸν ὀβελὸν ὀδελὸν λέγουσι.

798. τὸν Ποτείδαν : Ἀντὶ τοῦ τὸν Ποσειδῶ. *Vict.*

799. πάνθ' ἃ δίδως : Ἄτινα ἂν παραβάλῃς αὐταῖς ἐσθίουσιν.

800. τὸ ἐρώτη ἀντὶ τοῦ ἐρώτησον. R.

801. τρώγοις ἐρεβίνθους : Ἐπαιξε πρὸς τὸ αἰδοῖον τοῦ ἀνδρὸς, ἐπεὶ καὶ ἐρέβινθον αὐτὸ καλοῦσι.

802. τί δαὶ φιβάλεως : γένος συκῆς ἡ φίβαλις. R. (τόπος Μεγαρίδος, ἄλλοι Ἀττικῆς. ἀμφιβάλλεται γάρ. γένος δὲ συκῆς ἡ φίβαλις ἐπιτήδειον εἰς ξηρασίαν ἰσχάδων, ἐπεὶ δὲ ἀπὸ τοῦ ἰσχναίνεσθαι ἰσχὰς καλεῖται, καὶ τοὺς ἰσχνοὺς τῶν ἀνθρώπων φιβάλεις καλοῦσιν. ὁ δὲ τόνος φιβάλεως προπαροξυτόνως, ὡς κορώνεως, πελέκεως.)

807. οἷον ῥοθιάζουσ' : Ἀθρόως καὶ μετὰ κτύπου φωνῆς ὁρμῶσι καὶ ἐσθίουσι. θαυμαστικῶς δὲ τὸ οἷον. (μετὰ ῥόθου καὶ ψόφου ἐσθίουσιν.) ἀντὶ τοῦ τρώγουσι. R.

808. τραγασαῖα : Ἀπὸ τοῦ τρώγειν ἔπαιξεν. ἅμα δὲ καὶ ὡς ἀπὸ πόλεως.

810. τὰν δὲ μίαν ἀνειλόμην : Τῶν ἰσχάδων δηλονότι μίαν ἔλαβον.

811. ἀστείω γε τὼ βοσκήματε : Ἀνθηρὰ καὶ καλὰ τὰ βοσκήματα. (ἐπὶ χοίρων δὲ καλεῖται τὸ βόσκημα. Ξενοφῶν δὲ ἐν ἑβδόμῳ τῆς Παιδείας [8, 1, 9?] καὶ ἐπὶ ἵππων τέθεικε τὴν λέξιν.)

813. σκορόδων τροπαλλίδος : Διαβάλλει τοὺς Μεγαρέας ὅτι εἰς τοσοῦτον ἦλθον πενίας ὡς τὰ τέκνα πωλεῖν δεσμοῦ σκορόδων καὶ χοίνικος ἁλῶν. τροπαλλὶς δὲ ἡ δέσμη τῶν σκορόδων. ἀστείως δὲ ὁ Μεγαρεὺς ἅμα καὶ περιπαθῶς ταῦτα παρὰ τοῦ Δικαιαπόλιδος ζητεῖ, ἃ πρότερον οἱ Μεγαρεῖς ἄλλοις παρεῖχον.

815. τὸ σοί παρέλκεται. *R. Vict.*

816. Ἔρι' ἐμπολαῖε : Τὸ πλῆρες Ἐρμᾶ. λείπει δὲ τὸ γένοιτο. ἐμπολαῖε δὲ ἐμπορικὲ, πραγματευτικέ. (ὁ Μεγαρικὸς δὲ πάνυ καλῶς ἐμφαίνει τὸν πολὺν λιμόν. ὡς εὐτυχῶς γὰρ πωλήσας τὴν θυγατέρα αὐτοῦ καὶ καλῶς, εὔχεται πάλιν οὕτως ἀποδόσθαι καὶ τὴν μητέρα. ἐμφαίνει δὲ τὸν μέγαν λιμόν.)

818. συκοφάντης πρὸς τὸν Μεγαρέα. R.

819. ἐγὼ φανῶ : Ἀποδείξω. ἔστι δὲ καὶ φάσις ὄνομα δίκης οὕτω καλουμένης.

821. ὅθενπερ ἀρχά : Ἐκ τοῦ συκοφαντεῖν δηλονότι.

822. κλᾷον μεγαρεῖς : (Ἐπειδὴ τῇ Μεγαρέων ἐχρῆτο φωνῇ.) ἀντὶ τοῦ λιμώξεις, ἢ εἰς Μέγαρα ἀπελεύσῃ, (ἢ τὰ Μεγαρέων φρονήσεις, ἢ τῇ Μεγαρέων διαλέκτῳ χρήσῃ).

οὐκ ἀφήσεις τὸν σάκον : Σάκος νῦν δι' ἑνὸς κ· ἀνωτέρω δὲ διὰ δύο.

823. φανταζομαι : Ἀντὶ τοῦ συκοφαντοῦμαι. καλεῖ δὲ τὸν Δικαιόπολιν πρὸς τὸ συμμαχῆσαι αὐτῷ.

826. φαίνεις ἄνευ : Πρὸς τὴν ὁμωνυμίαν τοῦ φαίνεις παίζει, ὅτι καὶ ἐπὶ λύχνου τὸ φαίνειν καὶ ἐπὶ τοῦ κατηγορεῖν λέγεται.

827. τοὺς πολεμίους : Τούτους τοὺς παρὰ τὸν Μεγαρικόν. *R. Vict.*

828. εἰ μὴ 'τέρωσε : Εἰ μὴ ἀλλαχοῦ ἀπελθὼν ἑτέρους συκοφαντήσεις.

829. οἷον τὸ κακόν : Τὸ τῶν συκοφαντῶν. διαβάλλει οὖν τοὺς Ἀθηναίους ὡς πολλοὺς συκοφάντας ἔχοντας.

832. ἀλλὰ μὴν οὐκ ἐπιχώριον : Τὸ χαίρειν διὰ τὰ κατέχοντα ἡμᾶς κακά.

833. πολυπραγμοσύνησιν : (Ὅτι προπετῶς ἐφθεγξάμην τὸ χαίρειν, εἰς κεφαλήν μου τραπείη.) λείπει δὲ τὸ ἕνεκα, ἵνα ᾖ ἕνεκα τῆς πολυπραγμοσύνης. ὁ δὲ λόγος, ἀλλὰ τὸ χαίρειν ἔλθοι εἰς τὴν κεφαλήν μου, ὅτι πολυπραγμονῶ εἰπών σοι χαίρειν. (οὕτως δὲ ἔλεγον οἱ Ἀττικοί, εἰ κατηγόρουν τινός, εἰς κεφαλὴν τρέποιτο. τοῦτο δὲ ἐπὶ κακῶν λέγοντες. ἐπειδὴ δὲ ὁ Μεγαρεὺς λέγει οὐκ εἶναι αὐτοῖς ἐπιχώριον τὸ χαίρειν, φησὶν ὁ Ἀττικὸς, διὰ τὴν πολυπραγμοσύνην εἰς τὴν ἐμὴν κεφαλὴν τρέποιτο τὸ χαίρειν, ἀντὶ τοῦ, ὅτι πολυπράγμων εἰμὶ, εἰπών σοι μὴ βουλομένῳ τὸ χαίρειν, γένοιτο τοῦτο εἰς τὴν ἐμὴν κεφαλὴν τραπῆναι. ἀστεῖως δὲ πάνυ. κἄνις δὲ ἀντὶ τοῦ καὶ χωρίς.)

835. (παίειν ἐφ' ἁλὶ τὰν μάζαν : Ἐσθίειν μετὰ τῶν ἁλῶν τὸν ἄρτον διὰ τὸ ἀπορεῖν προσφαγίου.)

836. (εὐδαιμονεῖ γ' ἄνθρωπος : Ἐξελθόντων τῶν ὑποκριτῶν καὶ μένοντος τοῦ χοροῦ μετάβασις εἰς σύστημα μονοστροφικὸν περιόδων ἑξακώλων δ'. ὧν ἡγοῦνται στίχοι ἰαμβικοὶ τετράμετροι καταληκτικοὶ δύο, μεθ' οὓς κῶλα δίμετρα ἀκατάληκτα· τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν ἑξῆς τριῶν περιόδων. καὶ αἱ μὲν πρῶται παραγράφῳ, ἡ δὲ τελευταία κορωνίδι σημειοῦται.)

838. (ἐν τῇ 'γορᾷ καθήμενος : Ἔν τισιν εὑρέθη, ἐν τἀγορᾷ καθήμενος, μόνους τοὺς καρποὺς ἐξοίσεται.)

839. Κτησίας : Οὗτος ὁ Κτησίας ὡς συκοφάντης διαβάλλεται.

841. καθεδεῖται : Κάθεται. *Vict.*

842. ὑποψωνῶν σε : Παρακλέπτων. ἐπὶ ὀψωνίᾳ κακουργῶν βλάψει, (διότι αὐτὸς μόνος συναλλάττει τὰς ἀγοράς. Ἄλλως. προστιθεὶς τῇ ὀψωνίᾳ. εἰσὶ γὰρ πολλοὶ διὰ μικρᾶς προσθήκης ὠνούμενοι. πημανεῖται δὲ βλάψει, λυπήσει ὦ Δικαιόπολι.)

843. ἐξομόρξεται : (Ἐναποψήσεται, ἐναπομάξει.) ὡς καταπύγων δὲ κωμῳδεῖται ὁ Πρέπις. ἀντὶ τοῦ οὐκ ἀνέξῃ τῆς κιναιδίας Πρέπιδος. — μαλακίαν. R.

844. οὐδ' ὡστιεῖ Κλεωνύμῳ : Ὠθήσεις, φιλονεικήσεις. ἀντὶ τοῦ οὐδὲ πιεσθήσῃ ὑπὸ Κλεωνύμου, ἀναγκάζοντός σε κινεῖν. οὗτος δὲ ὁ Κλεώνυμος ὡς ἀδηφάγος κωμῳδεῖται καὶ ῥίψασπις.

845. φαεινήν, λαμπράν. τὸ δίει διελεύσῃ.

846. Ὑπέρβολος : Τοῦτον ὡς φιλόδικον διαβάλλει συνεχῶς Ἀριστοφάνης. ἦν δὲ στρατηγὸς Ἀθηναίων.

849. Κρατῖνος : Οὗτος μελῶν ποιητής. κωμῳδεῖται δὲ ἐπὶ μοιχείᾳ καὶ ὡς ἀσέμνως κειρόμενος. μοιχὸς δὲ εἶδος καὶ ὄνομα κουρᾶς ἀπρεποῦς κιναιδώδους. — μιᾷ δὲ μαχαίρᾳ εἶπεν ὃ καλοῦμεν ἡμεῖς ξυράφιον. R.

850. (οὐδ' ὁ περιπόνηρος : Ὥσει ἔλεγεν ὁ περιφόρητος Ἀρτέμων, ἀπὸ τῆς παροιμίας, ἧς μέμνηται καὶ Ἀνακρέων, ταχθείσης ἐπὶ καλοῦ καὶ ἁρπαζομένου πρὸς πάντων παιδός. παρ' ὑπόνοιαν δὲ ἔφη τὸ Ἀρτέμων. οὐ γὰρ τοῦτον, ἀλλὰ τὸν Κρατῖνον βούλεται δηλῶσαι.) συνεχρόνισε δὲ τῷ δικαίῳ Ἀριστείδῃ οὗτος ὁ Ἀρτέμων, ὃς ἦν ἄριστος μηχανητής. (διὰ δὲ τὸ χωλὸν αὐτὸν εἶναι, ὅπου ἂν κατειλήφει πόλεμος καὶ χρεία μηχανῆς ἦν ἐπὶ τὸ τεῖχος καταβληθῆναι, ἢ τὸ τοιοῦτον, μετεπέμποντο αὐτὸν φερόμενον. ἀπὸ τούτου οὖν ἡ παροιμία. καὶ πάντες οἱ σοφοὶ περιφόρητοι καλοῦνται.)

851. ὁ ταχὺς ἄγαν τὴν μουσικήν : Ὡς ἐπὶ τροχοῦ ποιοῦντος αὐτοῦ ποιήματα. ἦν δὲ καὶ μελοποιός.

852. (ὄζων : Ὡς δυσώδη διαβάλλει αὐτόν. τραγαίου δὲ) διὰ τὴν τῶν τράγων δυσωδίαν εἶπε.

854. οὗτος ὁ Παύσων ζωγράφος πένης σκωπτολόγος. R.

855. Λυσίστρατος : Ἐπὶ μαλακίᾳ διεβάλλετο. ἐν ἐνίοις δὲ καὶ πένης ὁ αὐτὸς καὶ κυβευτής. ἐκαλεῖτο δὲ καὶ χηναλώπηξ.

Χολαργέων : Δῆμος τῆς Ἀττικῆς οἱ Χολαργεῖς τῆς Ἀκαμαντίδος φυλῆς.

856. ὁ περιαλουργός· Ὁ κακοῖς βεβαμμένος, ἢ ὁ βαθὺς τοῖς κακοῖς. ἀπὸ τῆς βαφῆς τῆς πορφύρας, ἣ καλεῖται ἁλουργίς. (μετενήνεκται δὲ ἡ λέξις ἀπὸ τῆς βαφῆς τῆς πορφύρας τῆς θαλασσίας· ὅτι ἐκ βάθους τὸ ὄστρακον εὑρίσκεται. ἁλουργὴς ἐσθὴς ἡ πορφυρᾶ.)

858. πλεῖν ἢ τριάκονθ' ἡμέρας : Ἀντὶ τοῦ τριάκοντα ἡμέρας. ὁ γὰρ μὴν τριάκοντα ἡμέραις πληροῦται.

860. ἔκαμόν γα τὰν τύλαν : (Κορωνίς. εἰσίασι γὰρ οἱ ὑποκριταὶ, καὶ εἰσὶν ἴαμβοι ξε'. Ἄλλως.) ἔρχεταί τις ἀνὴρ Θηβαῖος καμὼν τὸν ὦμον ἐν τῷ βαστάζειν τὸ φορτίον ὃ ἔφερε, καὶ φησίν· ἴττω Ἡρακλῆς, ἀντὶ τοῦ ἴστω Ἡρακλῆς, ἔκαμον τὸν ὦμον κακῶς βαστάζων. τύλον δὲ ἀρσενικῶς καὶ τύλαν θηλυκῶς ἔλεγον τοῦ ὤμου τὸ τετυλωμένον (καὶ πεπιλημένον καὶ τετριμμένον ἐκ τῆς σαρκὸς, ὁποῖον πολλάκις ἐπὶ τοῦ ὤμου γίνεται τοῖς ἀχθοφόροις ἐκ τοῦ βαστάζειν τι συνεχῶς. καὶ Τηλεκλείδης « τραχήλου τύλαν » εἶπεν).

861. (γλάχωνα : Τὴν ὀρίγανον. κλίνεται καὶ γληχώ, ὡς Σαπφώ, καὶ βληχώ.)

862. αὐλητὰ πάρα : Ἀντὶ τοῦ πάρεστε. ἐσπούδαζον γὰρ οἱ Ἀθηναῖοι περὶ τὸν αὐλόν.

863. τοῖς ὀστίνοις φυσῆτε : Λείπει τὸ αὐλοῖς. (ὀστίνοις δὲ ἔφη,) ἐπεὶ τὸ παλαιὸν ἀπὸ τῶν ἐλαφείων ὀστῶν κατεσκεύαζον τοὺς αὐλούς. τὸ δὲ πρωκτὸν κυνός (κομμάτιόν ἐστιν) ἀπὸ παροιμίας, ἣν τοῖς ὀφθαλμιῶσιν ἔλε-

γον, ἐς πρωκτὸν κυνὸς βλέπε. (μέμνηται ἐν Ἐκκλησιαζούσαις [255]

τούτῳ μὲν εἶπον, ἐς πρωκτὸν κυνὸς βλέπε.)

864. οἱ σφῆκες : Ἀπὸ τοῦ ἠχεῖν τοὺς αὐλητὰς ὡς οἱ σφῆκες. μετὰ τοῦ Θηβαίου δὲ πολλοὶ αὐληταὶ ἦλθον εἰς τὰς θύρας τοῦ Δικαιοπόλιδος.

866. Χαιριδεῖς βομβαύλιοι : (Τὰ τοῦ Χαίριδος πεπαιδευμένοι ἢ μελετῶντες. Χαῖρις δὲ αὐλητὴς Θηβαῖος ἄμουσος, οὗ μέμνηται ἐν ἀρχῇ τοῦ δράματος

ὅτε δὴ παρέκυψε Χαῖρις ἐπὶ τὸν ὀρθιον.

Ἀττικὴ δὲ ἡ συνήθεια τὸ οὕτω λέγειν ἀπὸ τοῦ Χαίριδος Χαιριδεῖς, καὶ ἀπὸ τῆς περιστερᾶς περιστεριδεῖς.)

(βομβαύλιοι : Αὐληταί. τὸ δὲ βομβύλιος ἐν προσθέσει τοῦ α ἔφη βομβαύλιος, παίζων παρὰ τὸν αὐλόν. βομβύλιος δὲ εἶδος μελίσσης, καὶ εἴρηται παρὰ τὸ βομβεῖν.)

867. νὴ τὸν Ἰόλαον : Ἰόλαος ἥρως οὕτω τιμώμενος παρὰ Θηβαίοις. τὸ δὲ ὄπισθέν μου φησὶ, φυσῶντες τῷ πνεύματι αὐτῶν, τὰ ἄνθη τῆς γλήχωνος ἀπέβαλον. ἐβάσταζε γὰρ φορτίον γλήχωνος. τὸ δὲ ἐπιχαρίτως ἀντὶ τοῦ κεχαριτωμένως (καὶ κεχαρισμένως ἡμῖν ἀπόλοιντ' ἄν).

871. τετραπτερυλλίδων : Τῶν ἀκρίδων, παρὰ τὸ δ' ἔχειν πτερά. (ὀρταλίχων δὲ τῶν ἀλεκτρυόνων κατὰ τὴν τῶν Βοιωτῶν διάλεκτον).

872. κολλικοφάγε : Κόλλιξ εἶδος ἄρτου περιφεροῦς.

874. (ὀρίγανον δὲ θηλυκῶς Ἀττικοί.

γλαχώ : Ἡ γλαχὼ τῆς γληχοῦς. Ἀττικοὶ δὲ βληχὼ φασιν.)

ψιάθως : Ψίαθος ἡ χαμεύνη, καὶ τὸ φυτὸν ἐξ οὗ πλέκεται ψίαθος. *Vict.*

875. (φαλαρίδας : Οἱ μὲν γένος ὀρνίθων, οἱ δὲ τὰς ἐν τῇ Φαληρίδι γενομένας ἀφύας.)

877. ὀρνιθίας : Οὕτως ὁ σφοδρὸς χειμών, ἐν ᾧ καὶ τὰ ὄρνεα διαφθείρεται. οὕτω δὲ καὶ ἄνεμος ὀρνιθίας ὁ ἐπὶ τὴν γῆν τὰ ὄρνεα στορεννὺς (ὑπὸ τῆς τοῦ ψύχους πνοῆς). ὁ δὲ Σύμμαχος χειμῶνα ὀρνιθίαν ἀποδίδωσι διὰ τὸ χειμῶνος τὰ ὄρνεα ταῦτα ἐπιφαίνεσθαι, ὡς παρὰ Ἀράτῳ [1077].

879. σκάλοπας : Μύας τινὰς, οὓς φαμὲν σπάλακας.

880. (ἐνύδρεις : Εἶδος ζῴου ἡ ἔνυδρις. ἔστι δὲ ἰχθυοφάγον ὡς οἱ κάστορες.)

Κωπαΐδας : Κωπαῒς λίμνη ἐν Βοιωτίᾳ, ἐν ᾗ ἐγχέλεις πλεῖσται. (ἔστι δὲ καὶ πόλις ὁμώνυμος.)

882. δός μοι προσειπεῖν : Ὁ Δικαιόπολις ἀκούσας τὰ περὶ τῆς ἐγχέλεως, πρὸς τὸν Μεγαρέα λέγει ἄσμενος (ὅτι ὦ τερπνὸν καὶ καλὸν ἡμῖν τέμαχος κομίσας τὴν ἔγχελυν), δός μοι αὐτὴν προσειπεῖν.

883. πρέσβειραν : Ὁ στίχος ἀπὸ δράματος Αἰσχύλου (Ὅπλων κρίσεως οὕτως ἐπιγεγραμμένου, ἐν ᾧ ἐπικαλεῖται τὰς Νηρεΐδας τις ἐξελθούσας κρῖναι) πρὸς τὴν Θέτιν λέγων,

δέσποινα πεντήκοντα Νηρήδων κορῶν.

884. (κηπιχάριττα : Ἀντὶ τοῦ ἐπιχαρίτως ἔκθηι τῷ ξένῳ.)

885. ὦ φιλτάτη : Ὁ Δικαιόπολις εἰληφὼς τὴν ἔγχελυν, λέγει ἀσμένως αὐτὴν ὁρᾶν.

886. ἐσιτοῦντο γὰρ οἱ χορευταὶ δημοσίᾳ. R.

887. Μορύχῳ : Ὁ Μόρυχος ἐπὶ ὀψοφαγίᾳ ἐκωμῳδεῖτο. (ἦν δὲ καὶ τῶν ἡδέως βιούντων. τραγῳδίας δὲ ποιητὴς οὗτος.)

888. τὴν ἐσχάραν μοι : Ἐσχάραν τὴν νῦν καλουμένην ἀρουλλαν. ῥιπίδα δὲ τὸν φυσητῆρα.

889. (τὴν ἀρίστην ἐγχέλυν : Ἀττικῶς ἔγχελυν, Βοιωτοὶ ἔγχελιν. σκέψασθε δὲ ἀντὶ τοῦ θεάσασθε, προσέχετε.)

892. τῆς ξένης χάριν : Διὰ τὸ ἐπιξενίζεσθαι· (παίζων δὲ ἔφη).

894. ἐντετευτλανωμένης : Ἀντὶ τοῦ μετὰ τεύτλων ἑψηθείσης. μετὰ τεύτλων γὰρ ἥσθιον τὰς ἐγχέλεις. (λέγονται γὰρ τεύτλοις συνεψόμεναι ἡδίσται εἶναι. καὶ ἀλλαχοῦ [Pac. 1014] φησὶ « τᾶς ἐν τεύτλοις λοχευομένας. »)

895. ἐμοὶ δὲ τιμά : Ἐμοὶ δὲ τὸ τίμημα αὐτῆς ποῖ ἔσται.

896. ἀγορᾶς τέλος : Ἔθος ἦν τὸ παλαιὸν, ὡς καὶ μέχρι τοῦ νῦν, τοὺς ἐν τῇ ἀγορᾷ τέλος διδόναι τοῖς λογισταῖς. λέγει οὖν ὁ Δικαιόπολις ὅτι τέλος λαμβάνω ταύτην ὑπὲρ ὧν ἐπώλησας.

898. (ἰῶγα : Ἀντὶ τοῦ ἐγὼ ταῦτα πάντα.)

899. (κεἶσ' ἄξεις ἰών : Γράφεται καὶ ἰώ ἀντὶ τοῦ ἐγὼ, καὶ δύο στιγμαὶ ἐν τῷ ἄξεις, εἶτα τὸ ἰώ.)

900. ὅτι γ' ἔστ' Ἀθάνας : Ταῦτα, φησὶν, ὠνήσομαι παρὰ τῶν Ἀθηναίων, ἅπερ Βοιωτοὶ οὐκ ἔχουσι.

902. ἀφύας ἢ κέραμον : Καὶ ἀφύαι καὶ κέραμοί εἰσιν ἐν Βοιωτίᾳ. — ἐντί γὰρ ἀντὶ τοῦ εἰσί. R.

903. τᾆδε : Ἐνταῦθα. R.

904. (συκοφάντην ἔξαγε : Διαβάλλει πάλιν τοὺς Ἀθηναίους ὡς πολλοὺς ἔχοντας συκοφάντας.)

905. τὼ σιώ : Τοὺς θεούς. *Vict.*

906. λάθοιμι μέν τ' ἂν κέρδος : Εἰληφὼς τὸν συκοφάντην πεπληρωμένον ἁμαρτίας καὶ πωλήσας ἅτε πίθηκον εὑρήσω πολὺ κέρδος. ταῦτα δὲ εἰρωνευόμενος λέγει.

907. (ἅπερ πίθακον : Ὥσπερ πίθηκον, ἁμαρτίας καὶ ἀδικίας πεπληρωμένον.)

908. Νίκαρχος : Ὁ Νίκαρχος κωμῳδεῖται ὡς συκοφάντης. φανῶν δὲ ἀντὶ τοῦ κατηγορήσων.

911. Θείβαθεν, ἴττω Δεύς : Ἐκ τῆς Θήβης, ἴστω ὁ Ζεύς. — τῶδ' ἐμά δεικτικῶς ἀντὶ τοῦ τοῦδ' ἐμά. R.

912. τί δαὶ παθών : τί ἠδικημένος; R. κακὸν παθών : Ἠδικημένος. *Vict.*

913. ὀρναπετίοισιν : Ἀντὶ τοῦ ὀρνέοις. ὡς ἐπὶ ἐθνῶν δὲ λέγει. διὰ τί ὀρνέοις πόλεμον ποιεῖς, ὡσεὶ ἔλεγε Βοιωτοῖς, ἤ τισιν ἁπλῶς ἄλλοις.

915. τῶν περιεστώτων χάριν : Οἷον οὐκ εἰς σὴν χά-

ριν, ἀλλὰ τῶν παρόντων, ὡς φιλόπολις. (Εἰς τὸ αὐτό. ἰδίως, φησὶ, φράσω διὰ τοὺς παρεστῶτας.)

916. θρυαλλίδας : Διὰ τὰ ἐλλύχνια. ὡς ἀπορρήτου δὲ ὄντος καὶ δεινοῦ, εἰσφέρειν θρυαλλίδας εἰς τὰς Ἀθήνας.

920. ἐνθεὶς ἂν ἐς τίφην : Τίφην οἱ Ἀθηναῖοι καλοῦσι τὴν καλουμένην σίλφην. ἔστι δὲ ζῷον κανθαρῶδες. λέγει δὲ ὅτι ἐκ ταύτης δήσας τις τὴν θρυαλλίδα ἡμμένην εἰσπέμπει εἰς τὰ νεώρια, ἐπιτηρήσας πνέοντα βορέαν, καὶ οὕτω καύσει τὰς ναῦς. νεώριον δὲ καλεῖται ὁ τόπος ὁ περιέχων τὰ πλοῖα, ἡνίκα ἂν ἑλκυσθῶσιν. (Εἰς τὸ αὐτό. ἐμβαλὼν, ἐνδήσας τὴν θρυαλλίδα εἰς τὴν σίλφην.)

922. δι' ὑδρορρόας : (Διὰ στενοῦ τόπου.) ὑδρορρόα καλεῖται τὸ μέρος τῆς στεφανίδος, δι' οὗ τὸ ἀπὸ τοῦ ὄμβρου ὕδωρ συναγόμενον κατέρχεται.

923. (κεἴπερ λάβοιτο : Ἐὰν ἅψηται, φησὶ, μόνον, εὐθὺς καίονται.)

924. (σελαγοῖντ' ἄν : Αἱ ναῦς δηλονότι. ταῦτα δὲ λέγει ἐκπληττόμενος ὁ Δικαιόπολις τὸν συκοφάντην. ταῦτα δὲ εἰπὼν τύπτει εὐθὺς τὸν Νίκαρχον.) ἀντὶ τοῦ καίοιντο. R.

926. μαρτύρομαι : Ὁ Νίκαρχος τυπτόμενος ὑπὸ τοῦ Δικαιοπόλιδος λέγει μαρτύρομαι.

927. φορυτόν : Φρύγανον, σχοινίον, δέσμην χόρτου συρφετώδους. (ἢ φρυγανώδη ἀκαθαρσίαν.ὡς τὸ [Callimachi in schol. Vesp. 832]

σὺν δ' ἀμυδὶς φορυτόν τε καὶ ἱπνια λύμαθ' ἁείρας.

διὰ τοῦ ο μικροῦ. ἢ ψιαθῶδες πλέγμα, ἐν ᾧ τοὺς στάχυας ἐμβάλλουσιν. ἢ τὴν ἐκ φρυγάνων στρωμνήν.)

928. ὥσπερ κέραμον : Οἱ γὰρ καλῶς δεσμούμενοι κέραμοι δυσχερῶς (καὶ μόλις) χλῶνται.

929. (ἔνδησον ὦ λῶστε : Διπλῆ καὶ μετάβασις εἰς μονοστροφικὴν δυάδα, διστιχεῖς ἔχουσαν τὰς περιόδους.)

930. τὴν ἐμπολήν : Ἐμπολὴ λέγεται τὸ ἀπὸ τῆς πραγματείας κέρδος.

933. πυρορραγές : Πυρορραγῆ κεράμια καλεῖται ὅσα ἐν τῷ πυρὶ ῥήγνυνται εἰς τὸ ὀπτᾶσθαι. ὁ δὲ κέραμος πυρορραγὴς γενόμενος σαθρὸν ἠχεῖ.

936. (τριπτὴρ δικῶν : Δέον εἰπεῖν ἐλαῶν, ὁ δὲ εἶπε δικῶν, διὰ τὸ ἐπιτρίβειν αὐτὸν τὰ πάντα δικάζοντα καὶ συκοφαντοῦντα.)

937. φαίνειν ὑπευθύνους : Διὰ τὸ φαίνειν ἔπαιξε λυχνοῦχον εἰπών. R. τὸ φαίνειν καὶ ἐπὶ τοῦ συκοφαντεῖν νοεῖται καὶ ἐπὶ τοῦ ποιεῖν φῶς. (διὰ τοῦτο καὶ λυχνοῦχον ἐπήγαγεν, ὃν λέγομεν φανὸν, ἢ λαμπτῆρα.)

940. πῶς δ' ἂν πεποιθοίη : (Διὰ τὸ κράζειν καὶ βοᾶν τὸν συκοφάντην λέγει ὁ χορὸς ὅτι πῶς ἂν θαρροίη τοιούτῳ ἀγγείῳ ἄνθρωπός τίς ποτε, τοιοῦτον ἦχον ποιοῦντι; παρόσον καὶ οἱ ἄνθρωποι παραιτοῦνται ἐπὶ τοιούτων κεράμων ἀναγκαῖόν τι βαλεῖν, φοβούμενοι τὸ σαθρὸν αὐτῶν. Ἄλλως.) τῷ συκοφάντῃ λέγει (πῶς ἂν θαρροίη τις,) διὰ τὸ καὶ αὐτὸν κράζοντα μέγαν ἦχον ποιεῖν.

945. κατωκάρα : Κατὰ κεφαλήν. οὕτως δὲ ὑφ' ἓν οἱ Ἀττικοὶ λέγουσι.

946. ἤδη καλῶς ἔχει σοι : Ἤδη καλῶς ἐδεσμεύθη. (διπλῆ καὶ ἔπεται ὁμοία ἐκ τῶν ἑφθημιμερῶν τῇ πρώτῃ.) τὸ δῆσαι τὸν συκοφάντην. R.

947. μέλλω γέ τοι θερίδδειν : Καταβάλλειν. ἀπὸ μεταφορᾶς τῶν θεριζόντων, ὅτι τὰ δράγματα τιθέασιν. ἢ διότι πολλοῦ ἐθέριζον διὰ τὸν πόλεμον. — ὡς γεωργός φησι, μέλλω θερίζειν καὶ μέλλω κερδαίνειν πολλὰ καὶ καρποῦσθαι. R. (τινὲς δέ φασι τὸν Δικαιόπολιν εἰρηκέναι, μέλλοντα λαβεῖν τὰ τοῦ Βοιωτοῦ φορτία.)

948.(ἀλλ' ὦ ξένων βέλτιστε : Διπλῆ καὶ ἄλλη περίοδος τοῦ χοροῦ, ἰαμβικὴ καὶ αὕτη, ἐκ τριῶν μὲν διμέτρων ἀκαταλήκτων καὶ τετάρτου καταληκτικοῦ. πρὸς πάντα δὲ συκοφάντην ἀντὶ τοῦ εἰπεῖν σωρόν.)

952. μόλις γ' ἐνέδησα : Ὁ Δικαιόπολις λέγει τὸν συκοφάντην. (διπλῆ δὲ καὶ εἴσθεσις εἰς ἰάμβους δύο.)

954. (τὰν τύλαν : Τὸν τύλον τὸν ἀπὸ τοῦ ἀχθοφορεῖν ἐν τῷ τραχήλῳ γινομένην τοῦ τραχήλου σκληρότητα, ἐκ μεταφορᾶς τῶν ἀχθοφόρων ζῴων.) ὃν δὲ εἶπεν ἄνω Ἰσμηνίαν, νῦν Ἰσμήνιχον ὁ Θηβαῖος καλεῖ.

955. χὤπως κατοίσεις αὐτόν : Ἐπεὶ οἱ βαστάζοντες κεράμους εὐλαβῶς πάνυ καὶ προσεχόντως βαστάζουσι.

956. διαπαίζει τὸν συκοφάντην ὡς οὐδὲν ὀρθὸν ἦν, ἵνα μὴ οὕτω κούφως ἀπέρχῃ. R.

958. εἰς τὸ κατὰ συκοφάντας μέρος. R.

959. Δικαιόπολι : Ἔρχεται Λαμάχου ἄγγελος, λέγων τῷ Δικαιοπολιδι ὅτι ἔπεμψε Λάμαχος σὺν τρισὶ δραχμαῖς καὶ ἑτέρᾳ μιᾷ, ὅπως εἰς τὴν ἑορτὴν τῶν Χοῶν δῷς μοι τῆς μὲν μιᾶς δραχμῆς κίχλας, τῶν δὲ τριῶν ἔγχελυν.

961. εἰς τοὺς Χόας : Εἰς τὴν ἑορτὴν τῶν Χοῶν. ἐπετελεῖτο δὲ Πυανεψιῶνος (ὀγδόῃ. οἱ δὲ Ἀνθεστηριῶνος δεκάτῃ. φησὶ δὲ Ἀπολλόδωρος Ἀνθεστήρια καλεῖσθαι κοινῶς τὴν ὅλην ἑορτὴν Διονύσῳ ἀγομένην· κατὰ μέρος δὲ Πιθοιγίαν, Χόας, Χύτραν. καὶ αὖθις, ὅτι Ὀρέστης μετὰ τὸν φόνον εἰς Ἀθήνας ἀφικόμενος, ἦν δὲ ἑορτὴ Διονύσου Ληναίου, ὡς μὴ γένοιτο σφίσιν ὁμόσπονδος ἀπεκτονὼς τὴν μητέρα, ἐμηχανήσατο τοιόνδε τι Πανδίων. χοᾶ οἴνου τῶν δαιτυμόνων ἑκάστῳ παραστήσας, ἐξ αὐτοῦ πίνειν ἐκέλευσε μηδὲν ὑπομιγνύντας ἀλλήλοις, ὡς μήτε ἀπὸ τοῦ αὐτοῦ κρατῆρος πίοι Ὀρέστης μήτε ἐκεῖνος ἄχθοιτο καθ' αὑτὸν πίνων μόνος. καὶ ἀπ' ἐκείνου Ἀθηναίοις ἑορτὴ ἐνομίσθη οἱ Χόες. τοῦτο δ' ἡμῖν καὶ ἐν τοῖς πρόσθεν [ad Eq. 95] εἴρηται.) τὸ δὲ χοᾶς ὅτε ἐπὶ τῶν μέτρων τίθεται, περισπᾶται, (ὡς τὸ [Nub. 1238] « ἓξ χοᾶς χωρήσεται. » καὶ αὖθις [Eccl. 45]

τὴν ὑστάτην ἥκουσαν οἴνου τρεῖς χοᾶς
ἡμῖν ἀποτίσειν, κἀρεβίνθων χοίνικα.

μέτρον δέ ἐστιν Ἀττικὸν, χωροῦν κοτύλας ὀκτώ. καὶ ἀλλαχοῦ [infra 1085] Ἀριστοφάνης

ἐπὶ δεῖπνον ταχὺ βάδιζε τὴν κίστιν λαβών.

οἱ γὰρ καλοῦντες ἐπὶ δεῖπνον στεφάνους καὶ μύρα καὶ τραγήματα καὶ ἄλλα τινὰ τοιαῦτα παρετίθεσαν, οἱ δὲ καλούμενοι ἔφερον ἐψήματα καὶ κίστιν καὶ χοᾶ. Ὅμηρος Od. Z, 76] περὶ τῆς κίστεώς φησι·

μήτηρ δ' ἐν κίστει ἐτίθει μενοεικέα δαῖτα,
ὄφρα τε οἱ ἔδουσι διοτρεφέες βασιλῆες.

χοὰς δὲ ὡς τιμὰς, ἐκχύσεις, ἐναγίσματα ἐπὶ νεκροῖς, ἢ σπονδάς. ἐκπίπτει δὲ χρησμὸς, δεῖν χοὰς τοῖς τεθνεῶσιν ἐπάγειν ἀνὰ πᾶν ἔτος καὶ ἑορτὴν χοὰς ἄγειν. λέγονται καὶ θυσίαι νεκρῶν. Σοφοκλῆς [Œd. Col. 469]

πρῶτον μὲν ἱερᾶς ἐξ ἀειρύτου χοὰς
κρήνης ἐνέγκοι δι' ὁσίων χειρῶν θιγών·
ὅταν δὲ χεῦμα ταῦτ' ἀκήρατον λάβῃς,
κρατῆρές εἰσιν ἀνδρὸς εὐχειρος τέχνη.)

963. ὁ ποῖος οὗτος : Διασύρει ὡς ἄσημον τὸν Λάμαχον. (ταλαύρινος δὲ ὑπομονητικὸς, καρτερικὸς ἐν τῇ μάχῃ.)

965. κατασκίοις λόφοις : Δυναμένοις σκιάν τινι ποιῆσαι. ἀντὶ τοῦ ἐπιμήκεις, μεγάλους. — κραδαίνων δὲ σείων, παρὰ τὴν κράδην, ὃ τῆς συκῆς φύλλον δηλοῖ. ὅθεν τὸ κραδᾶν καὶ κραδαίνειν, κυρίως τὸ τὰ τῆς συκῆς φύλλα σείειν, καὶ πάλλειν. Junt.

966. οὐκ ἂν μὰ Δί' οὐ δοίην : Ὅτι ἐπὶ ὀψαρίων μόνον λέγεται τὸ τέμαχος, ἐπὶ δὲ τῶν ἄλλων τόμος, οἷον τυροῦ.

967. ἀλλ' ἐπὶ ταρίχη : Ταρίχη ἐσθίων ὁπλιζέσθω. τοῦτο γὰρ ἐν τοῖς πολέμοις ἤσθιον. (δέον δὲ εἰπεῖν ἐπὶ ταρίχη ἀνιστάτω, ἔφη, ἐπὶ ταρίχη τοὺς λόφους κραδαινέτω, διαπαίζων αὐτόν.)

968. ἂν δ' ἀπολιγαίνῃ : Ἐὰν δὲ θορυβῇ, ἢ ὀξέως βοᾷ, παρὰ τὸ λιγὺ, καλέσω κατ' αὐτοῦ τοὺς ἀγορανόμους. λέγει δὲ τοὺς ἱμάντας, οὓς ἀγορανόμους ἤδη κατέστησεν ἄνω [724].

970. εἶσειμ' ὑπαὶ πτερύγων : Ἀντὶ τοῦ μετὰ (πτερύγων καὶ κιχλῶν καὶ κοψίχων. ὁ δὲ τρόπος ποιητικός. μιμεῖται δὲ τὸ μέλος.)

971. (εἶδες ὦ : Ὑφ' ὁ κορωνὶς, ὑποχωρησάντων τῶν ὑποκριτῶν. καὶ ἔστι συζυγία κατὰ περικοπὴν ἀνομοιομερὴς, φαντασίαν παρέχουσα ἐπιρρήματος, ὅτι τὰς στιχικὰς περιόδους οὐκ ἔχει ἐκ τοῦ αὐτοῦ στίχου. ἀλλ' οὐδ' εἰσὶ παρεισβατικαὶ πρὸς τὸ θέατρον, αἱ μὲν προηγητικαὶ, καὶ αὐτοῖς περίοδοί εἰσιν ἑπτὰ, κῶλα παιωνικὰ ἐκ μονομέτρου καὶ τετραμέτρου δὶς κὰκ τριῶν μέτρων. διεμπολᾶν δὲ τὸ πρὸς πραγματείαν ἐπιτήδεια ἀγοράζειν.)

974. ὧν τὰ μὲν ἐν οἰκίᾳ : Τῶν ὀρνέων τὰ μὲν χρήσιμα καὶ ἀνθηρὰ κατὰ τοὺς οἴκους ἀνατρέφομεν, τὰ δὲ μὴ ἀνθηρὰ ἐσθίομεν. (Ἄλλως. ἀντὶ τοῦ τῶν ὀρνέων τὰ μὲν ἐάσει νέμεσθαι ἐν τῇ οἰκίᾳ, τὰ δὲ νέμεται.) ἔπαιζε δὲ εἰπὼν παρὰ προσδοκίαν τὰ χλιαρά.

975. χλιαρά : Ἔνθερμα. *Vict.*

976. τῷδε : Τῷ Δικαιοπόλιδι. R.

977. (οὐδέποτ' ἐγὼ πόλεμον : Ἐσωματοποίησε τὸν πόλεμον. διὸ ἔφη, οὐχ ὑποδέξομαι αὐτὸν, ὡσανεὶ ἄνθρωπόν τινα. αἱ δὲ ἀκολουθητικαὶ περίοδοι εἰσὶ δεκάκωλοι ἐξ ἐννέα παιωνικῶν τετραμέτρων, καὶ ἑνὸς τετραμέτρου τροχαϊκοῦ καταληκτικοῦ.)

980. τὸν Ἁρμόδιον ἄσεται : Ἐν ταῖς τῶν πότων συνόδοις ᾖδόν τι μέλος Ἁρμοδίου καλούμενον, οὗ ἡ ἀρχὴ « φίλταθ' Ἁρμόδι', οὔ τί που τέθνηκας. » ᾖδον δὲ αὐτὸ εἰς Ἁρμόδιον καὶ Ἀριστογείτονα, ὡς καθηρηκότας τὴν τῶν Πεισιστρατιδῶν τυραννίδα. (ἦν δὲ καὶ ἕτερα μέλη, τὸ μὲν Ἀδμήτου λεγόμενον, τὸ δὲ Τελαμῶνος. ὁ δὲ λόγος, οὐδέποτε παρ' ἐμοὶ ἑστιαθήσεται ὁ πόλεμος. παροίνιος δὲ μέθυσος καὶ ὑβριστὴς, δηλονότι ὁ πόλεμος.)

982. ἐπὶ πάντ' ἀγάθ' ἔχοντας : Ἐφ' ἡμᾶς τοὺς γεωργοὺς (ἐπικωμάσας. ἀντὶ τοῦ μετὰ φθορᾶς εἰσπεσών).

984. προσέτι πολλά : Ἐν τῷ πίνειν (πολλὰ ἐμοῦ προκαλουμένου αὐτὸν καὶ) λέγοντος, πῖνε κἀνάκεισο ἥσυχος, οὐκ ἠνέσχετο, ἀλλὰ καὶ μᾶλλον τὰ πράγματα συνέτριψε καὶ ἠφάνιζε τὰς χάρακας καὶ τὸν οἶνον ἐκ τῶν ἀμπέλων. φιλοτησίαν δὲ ἔλεγον τὴν φιάλην τὴν διδομένην ἐν τοῖς συμποσίοις.

986. (χάρακας : Τοὺς πεπηγότας καλάμους ἐν τοῖς ἀμπέλοις ἔκαιεν, ἤγουν τὰς ἀμπέλους ἀπὸ μέρους.)

987. (ἐξέχει θ' ὑμῶν βίᾳ : Ὡς ἐπὶ πολέμου. ἔδει δὲ ἐκ τῶν πίθων εἰπεῖν, οὐκ ἐκ τῶν ἀμπέλων.)

988. τὰ δ' ἐπὶ τὸ δεῖπνον : Ἐπείγει, σπεύδει. R. πρὸς τὸ ἄνω ἀπέδωκε περὶ τοῦ Δικαιοπόλιδος. τὰ γὰρ διὰ μέσου περὶ τοῦ πολέμου εἴρηται. ὁ δὲ λόγος, Δικαιόπολις σπουδάζει περὶ τὸ δεῖπνον.

989. δεῖγμα : Οἷον τῆς παρ' αὐτῷ ἔνδον τρυφῆς σημεῖον καὶ ἀπόδειξις πρόκειται τῶν θυρῶν αὐτοῦ τὰ τῶν ὀρνίθων πτερὰ, ἃ τιλθέντων καὶ τυθέντων πρὸς εὐωχίαν προέβαλεν.

989. ὦ Κύπριδι : Ἀντὶ τοῦ ὦ εἰρήνη. καλῶς δὲ ἡ εἰρήνη τῇ Ἀφροδίτῃ καὶ ταῖς Χάρισι φίλη, ὅτι οἱ γάμοι καὶ αἱ ἑορταὶ ἐν καιρῷ τῆς εἰρήνης ἄγονται, καὶ ὅτι ἡδίστη καὶ ἐπιχαρής ἐστιν.

990. (ὡς καλὸν ἔχουσα : Σωματοποιεῖ τὴν εἰρήνην, καὶ κάλλος αὐτῇ περιτίθησι, καὶ ἔρωτα αὐτῆς ἔχειν βούλεται.

ἐλάνθανες : Ἐμὲ δηλονότι ὦ εἰρήνη.)

992. ὥσπερ ὁ γεγραμμένος : Ζεῦξις ὁ ζωγράφος ἐν τῷ ναῷ τῆς Ἀφροδίτης ἐν ταῖς Ἀθήναις ἔγραψεν Ἔρωτα ὡραιότατον, ἐστεμμένον ῥόδοις. ὁ οὖν νοῦς δι' ὑπερβατοῦ· ἐλάνθανές με οὕτως εὐειδὴς οὖσα, ὡς ὁ γεγραμμένος Ἔρως. ἀνθέμων ἀντὶ τοῦ ῥόδων.

993. ἢ πάνυ γερόντιον : Εἰ καὶ γέροντά με δοκεῖς ὁρᾶν, ὅμως λαβών σε, ἰσχύσω συγγενέσθαι σοι τρὶς (καὶ πολλάκις. παίζει δὲ ἐξῆς).

995. ἀμπελίδος ὄρχον : Ἀντὶ τοῦ εἰπεῖν σχῆμα συνουσίας τοῦτο ἔφη ὡς γεωργός. παρὰ δὲ τὸν ὄρχατον φυτεῦσαι μοσχεύματα σύκων. οὕτως δὲ καλοῦνται αἱ νέαι συκαῖ. μοσχίδια δὲ τὰ νέα βλαστήματα, καὶ ἡ ἁπαλὴ καὶ νέα λύγος μόσχος. Ὅμηρος [Il. Δ, 105] « δίδη « μόσχοισι λύγοισιν. » (ὄρχον δὲ οἷον ὄρχατον. κωμικῶς,

ὡς φιλογέωργος ἀλληγορεῖ ὡς ἐπὶ συνουσίας. ἐμφαντικῶς κατὰ γεωργίαν τὸ μακρόν. ὄρχος δὲ καὶ ὄρχατος στίχος ἀμπέλων, ἢ ἑτέρων φυτῶν· παρὰ τὸ ἔρχεσθαι δι' αὐτῶν τὰς τάξεις τῶν φυτῶν.)

997. (ἡμερίδος κλάδου : Ἡμερὶς ἡ ἄμπελος, ὥς φησιν Ὅμηρος [Od. E, 69] « ἡμερὶς ἡβώωσα. » εἴρηται δὲ διὰ τὸ ἡμερῶσαι τὸ τῶν ἀνθρώπων φῦλον.)

1000. εἰσίασιν οἱ ὑποκριταί. R.

1002. ἀσκὸν Κτησιφῶντος : Ὡς παχὺς καὶ προγάστωρ ὁ Κτησιφῶν σκώπτεται. — ἐν ταῖς Χοαῖς ἀγὼν ἦν περὶ τοῦ ἐκπιεῖν τινὰ πρῶτον χοᾶ, καὶ ὁ πιὼν ἐστέφετο φυλλίνῳ στεφάνῳ καὶ ἀσκὸν οἴνου ἐλάμβανεν. πρὸς σάλπιγγος δ' ἔπινον. R. (ἐτίθετο δὲ ἀσκὸς πεφυσημένος ἐν τῇ τῶν Χοῶν ἑορτῇ, ἐφ' οὗ τοὺς πίνοντας πρὸς ἀγῶνα ἑστάναι, τὸν πρῶτον πιόντα δὲ ὡς νικήσαντα λαμβάνειν ἀσκόν. ἔπινον δὲ μέτρον τι οἷον χοᾶ.)

1004. (τοῦ κήρυκος οὐκ ἀκούετε : Καλοῦντος εἰς τὴν τῶν Χοῶν ἑορτὴν πάντας. ἐκάλουν δὲ οἱ κήρυκες σάλπιγγας βαστάζοντες καὶ ἐσήμαινον.)

1005. ἀναβράττετε : Ἀναστρέψατε τὰ ὀπτώμενα κρέα καὶ τὰ ὀπτηθέντα ἐξέλκετε.

1007. ἀναπείρω : Πήξω, κεντήσω. *Vict.*

1008. ζηλῶ σε τῆς εὐβουλίας : Θαυμάζω τὴν σὴν εὐβουλίαν, ὦ Δικαιόπολι. (διπλῆ δὲ καὶ περίοδος ἑπτάκωλος ἀμοιβαία. ἧς τὸ πρῶτον ἐν εἰσθέσει ἰαμβικὰ δίμετρα καταληκτικὰ δύο, καὶ ἐν εἰσθέσει κῶλα δ'. καὶ ἐν εἰσθέσει κῶλον ἓν ὅμοιον τῷ πρώτῳ καὶ πέντε ἐν παρεκθέσει ἰαμβικὰ ἐφθημιμερῆ. ἐξ ὧν ἀμφοτέρων γίνονται στίχοι ὅμοιοι τοῖς δύο ἑξ. ἐν εἰσθέσει δὲ κῶλον ὅμοιον τῷ πρώτῳ. ἑπτὰ στίχοι ὁμοίως ἰαμβικοὶ τετράμετροι καταληκτικοί.)

1014. ὑποσκάλευε : Ἀναφύσα, ζωπύρει. R. ἀνάστρεφε, κίνει. *Vict.*

1018. οἴμοι τάλας : Ἔρχεται ἀνὴρ Ἀθηναῖος, γεωργός, ἀπολέσας αὐτοῦ τὰς βόας, ληφθείσας ὑπὸ τῶν Βοιωτῶν, δεόμενος τοῦ Δικαιοπόλιδος λαβεῖν τῆς εἰρήνης πρὸς πέντε ἔτη.

τὰ πρόσωπα Δερκέτης γεωργὸς Φυλάσιος. R.

1019. κατὰ σεαυτὸν νῦν τρέπου : Ἀντὶ τοῦ, ἐν σεαυτῷ ἔχε τὴν κακοδαιμονίαν, μὴ ἐπιμίγνυσο ἡμῖν κακοδαιμονῶν.

1020. σπονδαὶ γὰρ εἰσί μοι μόνῳ : Ἐπεὶ αὐτὸς ἐσπείσατο πρὸς Λακεδαιμονίους.

1021. (κἂν πέντ' ἔτη : Ἀντὶ τοῦ εἰς πέντε ἔτη. τὸ δὲ) μέτρησον ἀντὶ τοῦ δάνεισον. καὶ Ἡσίοδος [Op. 347]

εὖ μὲν μετρεῖσθαι παρὰ γείτονος, εὖ δ' ἀποδοῦναι.

καὶ Θεόπομπος Καπήλισιν

ἢ μετάδος, ἢ μέτρησον, ἢ τιμὴν λάβε.

1022. συνετρίβην, ἀπωλόμην. R.

1023. ἀπὸ Φυλῆς : Ὄνομα δήμου. καὶ Μένανδρος Δυσκόλῳ

« τῆς Ἀττικῆς νομίζετ' εἶναι τὸν τόπον Φυλήν. »

1024. λευκὸν ἀμπέχῃ : Ἀντὶ τοῦ λευχειμονεῖς. οἱ γὰρ Φυλάσιοι λευκὰ ἐφόρουν. (καὶ ταῦτα μέντοι) καὶ οὗτοι, φησίν, ἦσαν, οἵπερ με ἔτρεφον καὶ ἐποίουν τρυφᾶν βόες.

1026. βολίτοις : Βόλιτον οἱ Ἀττικοὶ οὕτως ἔλεγον χωρὶς τοῦ β, ὅπερ ἡμεῖς βόλβιτον. λέγει δὲ ἀντὶ τοῦ ἐν πάσῃ τρυφῇ, ἐν πᾶσιν ἀγαθοῖς. βολίτοις δὲ, ὅτι περὶ βοῶν ὁ λόγος (αὐτῷ. Ἄλλως. δέον εἰπεῖν ἐν πᾶσιν ἀγαθοῖς, βολίτοις εἶπε παρ' ὑπόνοιαν παίζων. ἢ ἐπειδὴ διὰ τῆς κόπρου τὰ σπέρματα θάλλειν ποιοῦσιν οἱ γεωργοὶ καὶ καρπὸν πλεῖστον ποιεῖν, ἐξ οὗ τρέφονται, τοῦτο εἴρηκε.)

1027. ἀπόλωλα τὼ 'φθαλμώ : Ἀπώλεσά μου τοὺς ὀφθαλμοὺς, κλαίων καὶ ὀδυρόμενος τοὺς βόας.

1029. ὑπάλειψον : Ἀντὶ τοῦ ἔγχρισον τοὺς ὀφθαλμούς μου ταχέως.

1030. οὐ δημοσιεύων τυγχάνω : Οἱ δημοσίᾳ χειροτονούμενοι ἰατροὶ καὶ δημόσιοι προῖκα ἐθεράπευον. (φησὶν οὖν καὶ οὗτος ὅτι οὐ τῶν δημοσιευθέντων ἰατρῶν τυγχάνω.) οἷον οὖν οὐ κοινῇ ἐσπεισάμην, τουτέστι σὺν τῇ πόλει· ἰδίᾳ δὲ καὶ ἐμαυτῷ μόνῳ.

1031. τὼ' ἀντιβολῶ : Ἱκετεύω· δός μοι τῆς εἰρήνης, ὅπως ἀπολάβω τοὺς βόας.

1032. πρὸς Πιττάλου : Ὁ Πίτταλος οὗτος ἰατρὸς παρὰ Ἀθηναίοις. λείπει δὲ τὸ μαθητάς. τοῦτο δὲ ἔφη, ἐπειδὴ ἐκεῖνος εἶπεν ὑπάλειψον τοὺς ὀφθαλμούς. ὡσεὶ ἔλεγεν, ἄπελθε, ἐγχρίου παρὰ Πιττάλου.

1034. εἰς τὸν καλαμίσκον : Τὸν χαλκοῦν ἢ ἀργυροῦν, οἷους ἔχουσιν οἱ ἰατροί.

1035. στριβιλικίγξ : Ἀντὶ τοῦ οὐδὲ ῥανίδα. στρίβος δὲ καλεῖται ἡ λεπτὴ καὶ ὀξεῖα βοή. λίκιγξ δὲ ἡ ἐλαχίστη βοὴ τοῦ ὀρνέου. ἡ μὲν λέξις ἐκ τούτων γεγένηται. λέγει δὲ ὅτι οὐδὲ ἐλάχιστόν σοι μέρος μεταδίδωμι. — τοῖν γεωργοῖν δὲ, τοῖν τὴν γῆν ἐργαζομένοιν.

1037. (ἀνὴρ ἀνεύρηκε : Διπλαῖ. αὕτη γάρ ἐστιν ἡ περίοδος ὁμοίως τῇ ἀνωτέρᾳ ἑπτάκωλος ἀντιστρέφουσα.)

1039. μεταδώσειν : Τῶν σπονδῶν δηλονότι. στάθευε δὲ ὄπτα.

1040. χορδὴ καλεῖται τὸ παχὺ ἔντερον τοῦ προβάτου. R.

1042. ὀρθιασμάτων : Ἀνατάσεως ῥημάτων, τῶν μετὰ βοῆς κόμπων, ἢ τῶν μελῶν, παρόσον ὄρθιος νόμος κιθαρῳδικός.

1043. τὰ 'γχέλεια : Ἢ λείπει τὰ κρέα, ἵν' ᾖ τὰ ἐγχέλεια κρέα, ἢ λέγει τὰς ἐγχέλεις. (1046) λάσκων δὲ, φωνῶν, βοῶν. — (1045) παρόσον ἡ κνῖσα τῶν ὀπτωμένων τοῖς γείτοσι * * R.

1047. ξανθίζετε : Οἷον τῷ μέλιτι χροΐζετε. ἢ πυρρὰ τῇ ὀπτήσει ποιεῖτε. ἡ δὲ καλῶς ἔχουσα ὄπτησις τῶν κρεῶν ἐστὶν, ὅταν πυρρὰ ᾖ.

1048. Δικαιόπολι : Ἔρχεται ἀνήρ τις παράνυμφος βαστάζων κρέα τῷ Δικαιοπόλιδι παρά τινος νυμφίου, καὶ αἰτεῖ αὐτὸν λαβεῖν ἐν βησίῳ μικρὸν τῆς εἰρήνης,

ὅπως μὴ ἐξέρχοιτο εἰς πόλεμον ὁ νυμφίος, ἀλλὰ μένοι τερπόμενος σὺν τῇ γυναικὶ αὐτοῦ.

1051. ἐγχέαι : Ἐπιχεῖν, ἐπιβαλεῖν· (τῶν κρεῶν δὲ ὧν ἔπεμψέ σοι.) ἐς τὸν ἀλάβαστρον δὲ, εἰς τὴν μυροθήκην. ἔστι δὲ λήκυθος ἡ ὦτα μὴ ἔχουσα, ἧς οὐκ ἔστι λαβέσθαι.

1053. εἰρήνης ἕνα : Ὡσεὶ ἔλεγε κοχλιάριον ἕν.

1055. ὡς οὐκ ἂν ἐγχέαιμι : Παραιτεῖται ὁ Δικαιόπολις μεταδοῦναι τῆς εἰρήνης. – χιλιῶν περισπῶσιν Ἀττικοί. γρ. καὶ χιλίων. R.

1056. ἡ νυμφεύτρια : Ἔρχεται νυμφεύτρια δεομένη Δικαιοπόλιδος, καὶ λέγουσα ὅτι ἔπεμψέ μέ τις νύμφη δεηθῆναί σου πρὸς τὸ λαβεῖν τῆς εἰρήνης, ὅπως ἀλείψῃ τὸ αἰδοῖον τοῦ ἀνδρὸς αὐτῆς, καὶ μὴ ἐξέρχοιτο εἰς πόλεμον. κωφὸν δὲ εἰσάγεται τὸ πρόσωπον τῆς νυμφευτρίας.

1058. (φέρε δὴ τί σὺ λέγεις : Παραθεὶς τὸ οὗς ἤκουσεν ὁ Δικαιόπολις τῆς νυμφευτρίας.)

ὡς γελοῖον : Τοῦτό φησιν ὡς ἀκούσας πρὸς τὸ οὗς. R. (κράζων καὶ ἀστειευόμενος ὁ Δικαιόπολις ἐφ' οἷς ἤκουσε παρὰ τῆς νυμφευτρίας λέγει τὸ, ὡς γελοῖον ὦ θεοὶ τὸ δέημα τῆς νύμφης. τὸ δὲ δέημα αὐτῆς ἦν, μικρὸν τῆς εἰρήνης λαβεῖν, ὅπως ἀλείφοι ταύτῃ τὸ αἰδοῖον τοῦ ἀνδρὸς κατὰ τὰς νύκτας, καὶ μὴ ἐς πόλεμον ἐξέρχοιτο.)

1060. ὅπως ἂν οἰκουρῇ τὸ πέος : Ἀντὶ τοῦ εἰπεῖν τὴν οἰκίαν τὸ πέος ἔφη.

1063. (ὕπεχ' ὧδε δεῦρο : Πρόφερε τὸ ἀλάβαστρον, φησὶν, ἐξ οὗ ἀλείφονται οἱ δειπνοῦντες, τὴν τοῦ μύρου λήκυθον. κατ' ἐρώτησιν δὲ τοῦτο (1064) ἀναγνωστέον. τὸ δὲ ἑξῆς ὡς συμβουλεύοντος καὶ ὑποτιθεμένου πῶς αὐτῷ δεῖ χρήσασθαι.)

1065. καταλέγωσι τουτωί : Τῷ ἀλείμματι. λέγει δὲ τῇ εἰρήνῃ. τὸ δὲ καταλέγωσιν ἀντὶ τοῦ κατατάττωσιν.

1067. οἰνήρυσιν : Τὴν τοῦ οἴνου κοτύλην, ᾗ ἀρύονται.

1069. τὰς ὀφρῦς ἀνεσπακώς : Ἐσκυθρωπακώς.

1071. ἰὼ πόνοι τε : Ἔρχεταί τις καλῶν εἰς πόλεμον τὸν Λάμαχον.

1071. ἀμφιχαλκοφάλαρα : Ἀντὶ τοῦ πολύχαλκα. τραγικωτερον (δὲ) λέγει (διὰ τὸ μεγαλορρῆμον τοῦ Λαμάχου).

1074. (λόχους : Ἔνιοι μὲν τὸ ἐξ ἀνδρῶν ὀκτὼ σύστημα, οἱ δὲ τὸ ἐξ ἀνδρῶν δώδεκα, οἱ δὲ τὸ ἀπὸ ἑκκαίδεκα ἀνδρῶν πλῆθος, ὃ καὶ τέλειόν φασι καὶ σύμμετρον. καὶ λοχαγός, προστάτης, καὶ ἡγεμὼν ὁ αὐτός ἐστι, πρῶτος καὶ ἄριστος τοῦ λόχου. παρὰ δὲ Λακεδαιμονίοις ὑπῆρχον τέσσαρες λόχοι, οἷς ἐκέχρητο ὁ βασιλεὺς, ὡς ἀλλαχοῦ [Lys. 452] Ἀριστοφάνης « γνώσεσθ' ὅτι καὶ παρ' ἡμῖν εἰσι λόχοι τέσσαρες μαχίμων ἀνδρῶν ἔνδον ἐξωπλισμένων ». καὶ καταλοχίσαι τὸ εἰς λόχους καταμερίσαι τὸ πλῆθος τοῦ στρατοῦ. λόφους δὲ περικεφαλαίας. λόφος γὰρ καὶ τὸ περικεφαλαίας ἄκρον, καὶ γῆς ἀνάστημα.)

1075. τὰς εἰσβολάς : Τὰς εἰσόδους τῶν πολεμίων στρατῶν. νιφόμενον δὲ ὡς χειμῶνος ὄντος.

1076. ὑπὸ τοῦ χάους γάρ : Θεόπομπος τοὺς διασωθέντας ἐκ τοῦ κατακλυσμοῦ ἐψῆσαί φησι χύτραν πανσπερμίας· ὅθεν οὕτω κληθῆναι τὴν ἑορτήν· καὶ θύειν τοῖς Χουσὶν Ἑρμῇ χθονίῳ· τῆς δὲ χύτρας οὐδένα γεύσασθαι. τοῦτο δὲ ποιῆσαι τοὺς περισωθέντας, ἱλασκομένους τὸν Ἑρμῆν καὶ περὶ τῶν ἀποθανόντων. (ἤγετο δὲ ἡ ἑορτὴ Ἀνθεστηριῶνος τρίτῃ ἐπὶ δέκα, ὡς Φιλόχορος. Ἄλλως.) ἐν μιᾷ ἡμέρᾳ ἄγονται οἵ τε Χύτροι καὶ οἱ Χόες ἐν Ἀθήναις, ἐν ᾧ πᾶν σπέρμα εἰς χύτραν ἑψήσαντες θύουσι μόνῳ τῷ Διονύσῳ καὶ Ἑρμῇ. οὕτω Δίδυμος.

1077. ἐμβαλεῖν Βοιωτίους : Πολέμιοι γὰρ ἦσαν οἱ Βοιωτοί. (ἐν τοῖς ἄνω οὖν ὁ Δερκέτης ἔφη ὅτι Βοιωτοί τινες ἀφείλοντό μου τὸ ζεῦγος τῶν βοῶν.)

1079. οὐ δεινὰ μὴ ᾽ξεῖναί με : Ὁ Δικαιόπολις, οὐ δεινὸν, φησὶ, μὴ ἐξουσίαν ἔχειν με ἑορτάσαι. (ἴσως διὰ τὸν τῶν στρατιωτῶν θόρυβον.)

1080. (πολεμολαμαχαϊκόν : Ἔμφασιν ἔχει, ὡσεὶ ἔφη, ξενικὸν ἢ Κορινθιακόν.)

1081. καταγελᾷς ἤδη σύ μου : Διὰ τὸ εἰπεῖν πολεμολαμαχαϊκόν.

1082. βούλει μάχεσθαι Γηρυόνῃ : Ἀντὶ τοῦ τετρακεφάλῳ. αἰνίττεται δὲ εἰς τὴν τοῦ Λαμάχου περικεφαλαίαν (τρεῖς λόφους ἔχουσαν) ἀπὸ τῶν περικειμένων αὐτῇ πτίλων. ὃ δὲ θέλει εἰπεῖν, τοῦτό ἐστι. βούλει πρὸς ἀκαταμάχητόν τινα μάχεσθαι. ὁ γὰρ Γηρυόνης, οὗ ἐμνήσθη, τρικέφαλος ἦν, καὶ πολὺν ἀγῶνα παρέσχε τῷ Ἡρακλεῖ. (δείκνυσι δὲ αὐτῷ τι τῶν τετραπτερυλλίδων ἅμα τοῦτο λέγων· ἀντὶ τοῦ εἰπεῖν, Γηρυόνῃ τρισωμάτῳ, τετραπτίλῳ εἶπεν.)

1083. (αἲ αἲ : Τούτων τινὲς τὸ μὲν πρῶτον διὰ τῆς αι διφθόγγου, θρηνητικὸν γάρ· τὸ δὲ δεύτερον ψιλὸν, θαυμαστικὸν γάρ.)

οἵαν ἀγγελίαν : Τὸν πόλεμον δηλονότι.

1084. αἲ αἲ, τίνα δ' αὖ μὴ προστρέχει : Ἔρχεται ἄγγελος καλῶν τὸν Δικαιόπολιν ἐπὶ δεῖπνον.

1086. βάδιζε τὴν κίστιν : Τότε γὰρ οἱ καλοῦντες ἐπὶ δεῖπνον στεφάνους καὶ μύρα καὶ τραγήματα καὶ ἄλλα τοιαῦτα παρετίθεσαν, οἱ δὲ καλούμενοι ἔφερον ἐψήματα. τὴν κίστην λαβὼν, τὴν ὀψοθήκην. Ὅμηρος [Od. Z, 76; Γ, 480]

μήτηρ δ' ἐν κίστῃ (ἐτίθει μενοεικέ' ἐδωδήν.
ὄψα τε οἷα ἔδουσι διοτρεφέες βασιλῆες.)

χοᾶ δὲ ἐπεφέροντο οἱ καλούμενοι, ἵνα μὴ κοινωνῶσιν ἄλλου ποτηρίου, διὰ τὴν ἐπὶ Ὀρέστῃ γενομένην αἰτίαν.

1088. ἐγκόνει : Ἀντὶ τοῦ σπεῦδε. μέλλοντας γὰρ αὐτοὺς δειπνεῖν ἐπέχεις.

1092. (σησαμοῦντες : Ἄλλο σησαμοῦς, καὶ ἄλλο σησάμη. σησαμοῦς μὲν εἶδος πλακοῦντος, σησάμη δὲ ἣν ἡμεῖς καλοῦμεν σησαμίδα. ἰτρία δὲ καπυρώδη πλάσματα.)

1093. ὀρχηστρίδες : Ὑπερβατόν ἐστιν· ὀρχηστρίδες

πάρεισι καλαὶ, καὶ τὰ φίλτατα τοῦ Ἁρμοδίου. τουτέστι, τὰ εἰς Ἁρμόδιον σκολιὰ ᾄσματα. (ὅπερ ἀνωτέρω ἔφη· Ἁρμοδίου μέλος ᾄσεται.)

1095. ἐπεγράφου τὴν Γοργόνα : Ὅτι ἐζωγράφουν ἐν τῇ ἀσπίδι μεγάλην Γοργόνα.

1097. (τὸν γύλιον : Γυλιός, σπυριδῶδες πλέγμα, ἐν ᾧ τὰς τροφὰς ἔχοντες οἱ στρατιῶται ἐβάδιζον ἐπὶ πόλεμον.)

1099. θυμίτας : Ἐκ θύμων κατασκευασθέντας. *Vict.*

1101. θρῖον ταρίχους : (Ἐπεὶ ἐπὶ φύλλων τὰ τεμάχη βαλλόμενα βαστάζονται.) σαπροῦ δὲ ἀντὶ τοῦ παλαιοῦ καὶ μὴ νέου. σκεύασμα δέ τι παρὰ Ἀθηναίοις τὸ θρῖον· ὅπερ λαμβάνει ὕειον στέαρ ἢ ἐρίφειον καὶ σεμίδαλιν καὶ γάλα καὶ τὸ λεκιθῶδες τοῦ ᾠοῦ πρὸς τὸ πήγνυσθαι, καὶ οὕτως εἰς φύλλα συκῆς ἐμβαλλόμενον ἥδιστον ἀποτελεῖ βρῶμα. οὕτω Δίδυμος. ἐκαλεῖτο δὲ καὶ ἄλλη τις σκευασία θρῖον, ἐγκέφαλος μετὰ γάρου καὶ τυροῦ κατασκευαζόμενος, καὶ ἑλιττόμενος ἐν φύλλοις συκῆς καὶ ὀπτώμενος.

1102. λείπει τὸ ἰχθύων. R.

1109. τὸ λοφίον : (Ἐὰν μὲν ὑποκοριστικὸν, δηλοῖ ἐλάττονα τῶν τριῶν λόφων. ἐὰν δὲ διὰ τῆς ει διφθόγγου, προπερισπᾶται καὶ δηλοῖ τὴν θήκην τῶν λόφων.

1110. λεκάνιον : Κρατῆρα πεπληρωμένον τῶν λαγῴων κρεῶν. (λεκάνια δὲ καὶ λεκανίδας τὰ μείζονα τῶν ὀξυβάφων καὶ ἐκπέταλα.)

1111. τριχόβρωτες : Σῆτες. θρῖψ, σκώληξ κατεσθίων τὰς τρίχας. (καὶ προπερισπωμένως δὲ λέγεται τριχοβρῶτες.)

1112. ἀλλ' ἢ πρὸ δείπνου : (Κυρίως μὲν μίμαρκις ἡ λαγῴα χορδὴ ἐκ τῶν ἐντέρων. χρῶνται δὲ καὶ ἐπὶ χοίρου. Ἄλλως.) μίμαρκις σκευασία τις τῆς κοιλίας, ἢ τῶν ἐντέρων. οἱ δὲ τὴν ἐκ τοῦ λαγῴου αἵματος καὶ τῶν ἐντοσθίων σκευαζομένην καρύκην.

1113 ἄνθρωπε βούλει : Κατ' ἐρώτησιν. δηλοῖ δὲ τὸ ἐν ἔχθρᾳ εἶναι.

1115. καὐπιτρέψαι Λαμάχῳ : Ἐπιτρέψαι, ὥστε κρῖναι. (καὶ Μένανδρος ἐν Ἐπιτροπεῖ « ἐπιτρεπτέον τινί ἐστι περὶ τούτων. » ταῦτα δὲ διαλέγεται πρὸς τὸν οἰκέτην διασύρων καὶ παίζων τὸν Λάμαχον.)

1116. πότερον ἀκρίδες : Διασύρει τὸν Λάμαχον (ὡς) ἀκρίδας ἐσθίοντα. ἢ ὅτι πρότερον εὐτελεῖ ἐχρήσατο διαίτῃ.

1118. καθελών μοι τὸ δόρυ : Παρατηρητέον ὅτι ὁ μὲν φιλοπόλεμος ὢν, πάντα τὰ πρὸς τὸν πόλεμον ζητεῖ, ὁ δὲ πρὸς τροφὴν ὡς εἰρήνην ζητῶν.

1119. δεῦρο τὴν χορδήν : Χορδὴ καλεῖται τὸ παχὺ ἔντερον τοῦ προβάτου.

1120. τοὐλυτρον : Κρατεῖ καὶ ἕλκει τοῦ δόρατος τὴν θήκην. (τὸ ἐντελὲς τὸ ἔλυτρον.)

1121. καὶ σὺ παῖ τοῦδ' ἀντέχου : Τοῦ ὀβελίσκου, ὥστε τὰ ἐμπεπαρμένα κρέα ἢ τὴν χορδὴν ἐφελκύσαι.

1122. τοὺς κιλλίβαντας : Τρισκελῆ ἐστί τινα ξύλα, ἐφ' ὧν τιθέασι τὰς ἀσπίδας διαναπαυόμενοι, ἐπειδὰν κάμωσι πολεμοῦντες.

1123. καὶ τῆς ἐμῆς τοὺς κριβανίτας : (Λείπει γαστρός· ἵν' ᾖ, καὶ τῆς ἐμῆς γαστρὸς τὴν ἀνάπαυσιν ἔκφερε τοὺς κριβανίτας ἄρτους.) ἔπαιξε δὲ χαριέντως ὅτι καὶ οὗτοι περιφερεῖς ὡς αἱ ἀσπίδες.

1124. γοργόνωτον : Περιφραστικῶς τὴν ἀσπίδα. γοργόνωτον δὲ τὴν ἔχουσαν Γοργόνα.

1128. κατάχει σὺ παῖ : Εἰς τὸν ὀμφαλὸν τῆς ἀσπίδος, ἵνα γένηται λαμπροτέρα. (ὁ Λάμαχος δέ ἐστι παρακελευόμενος ἐπὶ τὸ μέρος τὸ χαλκοῦν τῆς ἀσπίδος ἔλαιον καταχυθῆναι, ἵνα στίλβῃ.) εἰσὶ γάρ τινες οἳ ἐν ἐλαίῳ ὁρῶντες μαντεύονται. (οὕτως ὁ Σύμμαχος. σημήχει οὖν τὴν ἀσπίδα, καταχέων τὸ ἔλαιον ἐπὶ τῆς χαλκῆς πτυχός· εἶτα ὡς φαιδρυνθείσης αὐτῆς ἐνοπτριζόμενος πρὸς αὐτὸν λέγει, ὁρῶ ἐν αὐτῇ γέροντα ὑπὸ δειλίας φεύγοντα· οἷον μὴ δυνάμενον ὁρᾶν τὴν ἀσπίδα διὰ τὴν ἔλλαμψιν. Ὅμηρος [Il. N, 340] « ὅσσε δ' ἄμερδε. » ταῦτα δὲ ὡς μαντευόμενος λέγει.)

1131. παίζει παρὰ τὴν γοργόνα. R.

1133. ἕξαιρε παῖ θώρακα : Πρὸς τὴν ὁμωνυμίαν ἔπαιξε. θωρήξασθαι γάρ ἐστι τὸ καθοπλισθῆναι, ἀλλὰ καὶ τὸ πίνειν καὶ τὸ μεθυσθῆναι (οὕτω καλοῦσιν, ἐπειδὴ θώραξ καὶ τὸ στῆθος. διὰ τὸ θερμαίνειν οὖν τὸ στῆθος θωρήσσειν λέγουσι τὸ μεθύειν, καὶ ἀκροθώρακας τοὺς ἀκρομεθύσους ἐκάλουν. κέχρηται δὲ τῇ λέξει καὶ Ἀνακρέων. ἔστι δὲ Ἀττική. ἔξελε οὖν, φησὶ, κἀμοὶ τὸν χοᾶ, ὃν καλεῖ θώρακα, ὥστε θωρακισθῆναι, τουτέστι τὸν θώρακα πληρῶσαι.)

1135. οἷον μεθυσθήσομαι. R.

1138. κίστιδος : (Καὶ κίστη καὶ κίστις λέγεται. καὶ διελθὼν τοῦτο τὸ δρᾶμα γνώσῃ.) τὴν ὀψοθήκην. R.

1141. νίφει βαθαιάζ : Ἀντὶ τοῦ ψυχρά. οἱ γὰρ ἐπὶ πόλεμον ἐξιόντες ἐπετηροῦντο τὰς διοσημίας.

1143. (ἴτε δὴ χαίροντες : Κορωνὶς καὶ εἴσθεσις εἰς μέλος τοῦ χοροῦ προῳδικὸν, περιόδων τριῶν. ὧν ἔστι πρώτη ἀναπαιστικὴ τριὰς τρισκαιδεκάμετρος ὀκτάκωλος. τέλος δὲ αὐτῆς, « ἀνατριβομένῳ τε τὸ δεῖνα, » τουτέστι τὸ αἰδοῖον κατ' εὐφημισμόν.)

1144. ὁ μὲν γὰρ ἐπὶ πόλεμον, ὁ δὲ ἐπὶ δεῖπνον. R.

1145. τῷ Δικαιοπόλιδι. λείπει δὲ τὸ πάρεστιν. ριγῶν Ἰωνικῶς ἀντὶ τοῦ ῥιγοῦν. R.

1146. (προφυλάττειν) τὴν ἐμβολήν. R.

1149. τὸ αἰδοῖον λέγει. R.

1150. Ἀντίμαχον : Φασὶ γὰρ αὐτὸν γράψαι ψήφισμα ὥστε τοὺς χορεύοντας μηδὲν ἐκ τῶν χορηγῶν λαμβάνειν. τὸν Ψακάδος ἔφη. οἱ μὲν ὅτι οὕτως ἐπεκαλεῖτο διὰ τὸ συνεχῶς πτύειν, ἢ διὰ τὸ μηδὲν ἀναλῶσαι. R. (τὸν συγγραφέα. Ψακὰς δὲ οὗτος ἐκαλεῖτο, ἐπειδὴ προσέρραινε τοὺς συνομιλοῦντας διαλεγόμενος. ἦν δέ τις καὶ Ὀλυμπιακὸς καλούμενος Ψακὰς διὰ τοῦτο. ἐδόκει δὲ ὁ Ἀντίμαχος οὗτος ψήφισμα πεποιηκέναι, μὴ δεῖν κωμῳδεῖν ἐξ ὀνόματος. καὶ ἐπὶ τούτῳ πολλοὶ τῶν ποιητῶν οὐ προσῆλθον ληψόμενοι τὸν χορὸν, καὶ δῆλον ὅτι πολλοὶ

τῶν χορευτῶν ἐπείνων. ἐχορήγει δὲ ὁ Ἀντίμαχος τότε, ὅτε εἰσήνεγκε τὸ ψήφισμα. οἱ δὲ λέγουσιν ὅτι ποιητὴς ὢν καλὸς χορηγῶν ποτε μικρολόγως τοῖς χορευταῖς ἐχρήσατο.)

1155. ἀπέλυσεν ἄδειπνον : (Ἀπέκλεισε δείπνων.) ἀντὶ τοῦ ἀπεστέρησε τοὺς μισθοὺς, οὐδέν μοι ἐχορήγησε.

1156. τευθίδος : Τευθὶς, πέμμα πλακουντῶδες καὶ εἶδος ἰχθύου θαλασσίου. *Vict.*

1158. σίζουσα : Ἀντὶ τοῦ ζέουσα, (ὡς ἐπὶ τηγανιζομένης), ποιὸν ἦχον ἀποτελοῦσα. καὶ Ὅμηρος [Od. I, 394] « ὡς τοῦ σίζ' ὀφθαλμός. » πάραλος δὲ ἀντὶ τοῦ παραθαλασσία. ἢ ἡ παρὰ τοὺς ἁλας κειμένη. (ἐπεὶ δὲ καὶ ἱερὰ ναῦς τῶν Ἀθηναίων Πάραλος καλεῖται, ἐπήνεγκε τὸ) ὀκέλλοι, ὅ ἐστι προσορμίζοι, ὡς ἐπὶ νεώς.

1164. ἠπιαλῶν γάρ : Ἀντὶ τοῦ ῥιγοπυρέτῳ περιπεσών. (ἠπίαλος γὰρ κυρίως ὁ μετὰ ῥίγους πυρετός. ἠπιαλῶν δὲ εἶπε καὶ βαδίζων ἀντὶ τοῦ ἠπιαλοῦντες καὶ βαδίζοντες.) ἀντὶ τοῦ βαδίζοντα κατὰ τὸ ἀρχαῖον σύνηθες, ὡς τὴν ἐρωμένην ἔχων ἀντὶ τοῦ ἔχοντα. R. Ἱππασίας δὲ ἀντὶ τοῦ ἱππικῆς, ὡς ὄντος αὐτοῦ ἱππέως. καὶ γὰρ ἕως ἑσπέρας διατρίβουσιν ἐν τῇ δοκιμασίᾳ οἱ ἵπποι.

1167. τῆς κεφαλῆς Ὀρέστης : Ἀττικῶς ἀντὶ τοῦ τὴν κεφαλήν. ὁ δὲ Ὀρέστης οὗτος προσποιούμενος μωρίαν τοὺς παριόντας ἀπέδυεν. ἦν γὰρ λωποδύτης. (ἢ πρὸς τὴν ὁμωνυμίαν ἀντὶ τοῦ ὁ μαινόμενος. πελεθόν δὲ βῶλον.)

1173. βάλοι Κρατῖνον : Παρ' ὑπόνοιαν λέγει Κρατῖνον οὐ τὸν ποιητὴν, ἀλλά τινα ἕτερον ἀλαζόνα καὶ θρασὺν (καὶ μαινόμενον) καὶ μέθυσον. (βάλοι οὖν, φησὶ, τοῦτον, ἵνα πλείοσι κακοῖς περιπέσῃ τυπτόμενος ὑπ' αὐτοῦ.)

1174. (ὦ ὁμῶες : Κορωνίς. εἰσέρχεται γὰρ ὁ ὑποκριτής. καὶ ἔστιν ἰαμβεῖα τρίμετρα καταληκτικὰ ις'.)

1174. (ὀθόνια : Τὰ λεγόμενα παρὰ ἰατροῖς λυχνώματα.)

1174. (λαμπάδιον : Οἱ μὲν τὸ λεπτὸν ἐρίδιον, οἱ δὲ ἐπιδέσμου εἶδος, οἱ δὲ τὸν νάρθηκα τῶν ἰατρῶν τὸν ναρθηκίζοντα τὸ σφυρόν. οἱ δὲ τὰ ἔμμοτα. οἰσυπηρὰ δὲ) ῥύπου πεπληρωμένα. οἰσύπη δέ ἐστι τὸ διαχώρημα τῶν προβάτων. R. (λαμπάδιον δὲ καταδέσμου εἶδος. περὶ τὸ σφυρὸν δὲ περὶ τὸ ὀστοῦν τὸ κάτωθεν τοῦ γόνυος. χάραξ δέ ἐστι ξύλον ἐν ᾧ τὰς ἀμπέλους δεσμοῦσιν, ὥστε ἵστασθαι καὶ μὴ πίπτειν εἰς τὴν γῆν.)

1179. παλίνορον ἐξεκόκκισεν : (Ἐκτραπὲν τῆς ἁρμονίας ἦχησεν.) παλινόρμητον. (ἐξεκόκκισεν) ἀντὶ τοῦ ἐξέβαλεν, ἐξέκλασεν. ἡ μεταφορὰ ἀπὸ τῶν κόκκων. θέλει δὲ εἰπεῖν ἔκλασεν τὸν πόδα. R.

1181. καὶ Γοργόν' ἐξήγειρε : (Παρ' ὑπόνοιαν. θέλων γὰρ εἰπεῖν ὅτι ἀπὸ τῆς πληγῆς κονδύλην ἐποίησεν αὐτὸς ὁ Λάμαχος, ἔφη, Γοργόνα ἐξήγειρεν.) ὡσεὶ ἔλεγεν, οἴδημα ἀνέστησεν ἐπὶ τῆς κεφαλῆς.

1182. πτίλον δὲ τὸ μέγα : Ἔπαιξε πλάσας ὄνομα ὄρνιθος· (διὰ τὸ κομπηρὸν τοῦ Λαμάχου. γράφεται δὲ οὕτως· πτίλου δὲ τοῦ μεγάλου πεσόντος ἐς τὰς πέτρας δεινὸν μέλος ἐξηύδα ὁ Λάμαχος. ἢ πεσὼν πρὸς ταῖς πέτραις ἐθρήνει τὸ μέγα πτίλον. Ἄλλως. πτίλον μέγα λέγει τὴν περικεφαλαίαν αὐτοῦ, ἀπὸ τοῦ ἐν αὐτῇ πτεροῦ. οὐ γὰρ τὸ πτερὸν πεσὸν εἰς πέτραν ἤχησεν, ἀλλὰ τὸ κράνος ἐκ χαλκοῦ κατεσκευασμένον. ὑδρορρόαν δὲ ὄφαλον πέτραν, ἢ τὸ μέρος τῆς στεφανίδος, δι' οὗ τὸ ἀπὸ τοῦ ὄμβρου ὕδωρ συναγόμενον κατέρχεται. ἢ ὁ στενὸς τόπος. λέγεται δὲ καὶ ὑδρόρροια, ὡς τὸ « οἱ δὲ εἰς τὰς « ὑδρορρόας συνωθοῦντες αὐτοὺς, διὰ τούτων ἐσώζοντο « εἰς τὰς ναῦς. »)

1188. κατασπέρχων : Σπέρχειν, σπεύδειν, χαλεπαίνειν, θυμοῦσθαι, ἀπειλεῖν, ταράσσεσθαι. *Vict.*

1190. ἀτταπαττᾶ : Θρηνῶν παρατραγῳδεῖ. κατεγχάνοι δὲ καταγελάσοι. (παρατηρητέον δὲ ὅτι ἀντιτίθησιν αὖθις ὁ μὲν τὰ ἐκ τοῦ πολέμου δεινὰ, ἅπερ ἔπαθεν, ὁ δὲ ἅπερ ἔχει ἐν εἰρήνῃ χαρμόσυνα.)

1199. κυδώνια : ὡσεὶ ἔλεγε μῆλα, ὅτι παρὰ τὰ ἄλλα σκληρότερά ἐστιν. R. Victor.

1200. ὦ χρυσίω : Πρὸς τὰς δύο πόρνας λέγει.

1201. τὸ περιπεταστὸν κἀπιμανδαλωτόν : Εἴδη φιλημάτων ἐρωτικῶν, ἐν ᾧ δεῖ τὴν γλῶτταν τῶν καταφιλούντων λείχειν. Ἄλλως. μανδαλωτὸν, εἶδος φιλήματος ποικίλον καὶ ἡδὺ, θηλυδριῶδες, καὶ κατεγλωττισμένον.)

1206. ἱππικὲ Λάμαχε. R.

1208. τί με σὺ κυνεῖς : Ἔνιοι ἐν βούλονται εἶναι, ἵνα ᾖ ὁ Λάμαχος λέγων πρὸς τὸν Δικαιόπολιν τὸ, τί με σὺ κυνεῖς, τί με σὺ δάκνεις· ἵνα ᾖ τὸ κινεῖν ἀντὶ τοῦ σαίνειν. ὡσεὶ ἔλεγε, τί μου καταπαίζεις καὶ λυπεῖς με, ὦ Δικαιόπολι.

1210. (τάλας ἐγώ : Διπλῆ περίοδος δεκάκωλος, ἧς τὸ πρῶτον ὅμοιον τῷ πρὸ αὐτοῦ, δίμετρον ἀκατάληκτον. τὸ τρίτον ἰαμβικὸν ἐν εἰσθέσει. τὸ τέταρτον ἐν εἰσθέσει ἰαμβικὸν ἡμιόλιον. τὸ πέμπτον ἰαμβικὸς στίχος.)

1211. τοῖς Χουσὶ γάρ τις : Ἐπεὶ ὁ Λάμαχος εἶπε, ξυμβολῆς βαρείας, ἐπήνεγκεν ὁ Δικαιόπολις συμβολὰς, παίζων πρὸς τὴν ὁμωνυμίαν (τὸ ἐπὶ τὸ δεῖπνον λεγόμενον. λέγεται γὰρ συμβολὴ καὶ ἐπὶ δείπνου τοῦ ἐκ κοινοῦ ἐπιτελουμένου· οὓς ἐράνους Ὅμηρος [Od. A, 226] φησὶν,

εἰλαπίνη ἠὲ γάμος, ἐπεὶ οὐκ ἔρανος τάδε γ' ἐστίν.)

1213. ἀλλ' οὐχὶ νυνὶ τήμερον : Ἑορτὴ Ἀθήνησι. ἐπεὶ ἐκεῖνος Παιῶνα καλεῖ, ἔπαιξεν ὁ Δικαιόπολις καὶ φησὶν ὅτι οὐκ ἔστι σήμερον τὰ Παιώνια. R. (οὐκ ἔστι σοι σήμερον ἡμέρα παιωνία καὶ ὑγιεινή. ἕκαστον δὲ ὧν ὁ Λάμαχος λέγει, τρέπει οὗτος εἰς παιδιάν. Παιᾶνα, φησὶν, ἐπικαλῇ, ὥσπερ οὐκ εἰδὼς ὅτι σήμερον οὐκ ἔστι Παιώνια. ἔστι δὲ ἑορτὴ Ἀθήνησιν, Ἀπόλλωνι ἴσως ἀνακειμένη. καὶ παιώνιον ἰατρεῖον, θεραπευτήριον, ἢ σωτήριον φάρμακον. καὶ παιωνίοις τισὶ φαρμάκοις, σωτηρίοις, ἰατρευτικοῖς, θεραπευτικοῖς καὶ παρακατιὼν ἐρεῖ, (1223), « παιωνίαισι χερσί. »)

1214. λάβεσθέ μου λάβεσθε : Πρὸς τὰς πόρνας φησί. R. (διπλῆ καὶ δυάδες τρεῖς, δικώλους ἔχουσαι τὰς περιόδους, ἐξ ἰάμβου τριμέτρου ἀκαταλήκτου ἐκκειμέ-

νου. τῆς μὲν οὖν πρώτης δυάδος τὸ πρῶτον παιωνικὸν ὀίρρυθμον, τὸ προσλάβεσθ' ὦ φίλαι.)

1218. (ἰλιγγιῶ : Ὅταν περὶ τὴν καρδίαν στρόφος γένηται, ἐπακολουθεῖ σκότος, καὶ τοῦτο καλοῦσι τὸ πάθος ἴλιγγον.)

1223. παιωνίαισι : Ταῖς ὑγιειναῖς. *Vict.* ταῖς θεραπευτικαῖς. *R. Vict.*

1224. ποῦ ἐστιν ὁ βασιλεύς : Δηλοῖ ὡς ἄρα τὴν ἐπιμέλειαν ὁ βασιλεὺς εἶχε (τῆς ἀμίλλης τοῦ χοὸς,) καὶ τὸ ἆθλον ἐδίδου τῷ νικήσαντι, τὸν ἀσκόν. ὁ δὲ βασιλεὺς ἀρχή τις ἐστιν. ἦν δὲ καὶ τῶν μυστηρίων ἐπιμελητὴς τῶν πομπῶν καὶ τῶν θυσιῶν δὲ ἦρχεν.

1225. ἀπόδοτέ μοι τὸν ἀσκόν : Ὡς νικήσας τὸν ἆθλον αἰτεῖ τὸν ἀσκόν. R. Vict. τὸν ἀσκὸν δείκνυσι. R.

1226. ὀδύρτα : (Κατὰ ἐναλλαγὴν τοῦ σ Ὀδύρσα, τουτέστι) Θρᾳκική. ἢ ἀπὸ τοῦ ὀδύρεσθαι, (τουτέστι θρῆνον ἐμποιοῦσα καὶ ὀδυρμόν).

1228. (ὦ πρέσβυ : Ἑαυτὸν γὰρ ὑπετίθετο πρέσβυν, πρὸς τὴν γυναῖκα διαλεγόμενος ἐν ἀρχῇ τοῦ δράματος)

1229. ἄμυστιν : (Τὴν ἀθρόαν πόσιν οὕτως ἔλεγον. ἔστι δὲ εἶδος ποτηρίου φιαλώδους. Ἄλλως.) οἷον ὁμοῦ καὶ ἀθρόως ἔπινον. (ἢ παρὰ τὸ ἀπνευστὶ ἐκπιεῖν, ἢ παρὰ τὸ μὴ μύειν. ἔστι δὲ καὶ εἶδος ποτηρίου.)

1230. τήνελλα : Μίμημα ἐπιφθέγματος αὐλοῦ τὸ τήνελλα. Ἀρχίλοχος « τήνελλα, ὦ καλλίνικε χαῖρ' ἄναξ Ἡράκλεες, αὐτός τε κἰόλαος, αἰχμητὰ δύο. » — ἐν εἰσθέσει ἴαμβοι δίμετροι ἀκατάληκτοι. *Vict.*

1232. (ἀλλ' ἑψόμεσθα σὴν χάριν : Λείπει ἡ εἰς πρόθεσις, ἵν' ᾖ εἰς σὴν χάριν.)

ΙΠΠΗΣ.

ΥΠΟΘΕΣΕΙΣ.

I.

(Τὸ δρᾶμα τοῦτο ποιεῖται εἰς Κλέωνα, τὸν Ἀθηναίων δημαγωγόν. ὑπόκειται δὲ ὡς Παφλαγὼν νεώνητος, δουλεύων τῷ Δήμῳ, καὶ προαγόμενος παρ' αὐτῷ περιττότερον. ἐπιτιθεμένων δὲ αὐτῷ δυοῖν τοῖν ὁμοδούλοιν, καὶ κατά τινα λόγια πονηρία διάσημον ἀλλαντοπώλην Ἀγοράκριτον ἐπαγόντοιν, ὡς ἐπιτροπεύσῃ τοῦ δήμου τῶν Ἀθηναίων, αὐτοὶ οἱ Ἀθηναίων ἱππεῖς συλλαβόντες ἐν χοροῦ σχήματι παραφαίνονται· ὑφ' ὧν προπηλακιζόμενος ὁ Κλέων ἀγανακτεῖ, καὶ διενεχθεὶς ἱκανῶς περὶ τοῦ ἀνώτερος εἶναι τῶν ἐναντιουμένων, σφᾶς ὡς συνομωμοκότας κατὰ τῆς πόλεως πρὸς τὴν βουλὴν ἴεται· διώξαντος δὲ καὶ τοῦ ἀλλαντοπώλου κατὰ πόδας, οἱ ἱππεῖς περί τε τοῦ ποιητοῦ τινα καὶ τῶν προγόνων, ἔτι δὲ καὶ τῶν συγκινδυνευόντων σφίσιν ἐπὶ ταῖς μάχαις ἵππων, πρὸς τοὺς πολίτας ἀδροτέρως διαλέγονται. ὁ δὲ ἀλλαντοπώλης περιγεγενημένος ἐν βουλῇ μάλα γελοίως τοῦ Κλέωνος, καὶ λοιδορούμενος αὖθις αὐτῷ προσέρχεται· ἐκκαλεσαμένου δὲ τοῦ Κλέωνος τὸν Δῆμον, προσελθὼν οὗτος διαφερομένων ἀκροᾶται. λόγων δὲ πολλῶν γενομένων κατὰ τοῦ Κλέωνος, τοῦ Ἀγορακρίτου μάλ' ἐντέχνως τοῖς ἐπινοήμασι καὶ ταῖς θωπείαις καὶ προσέτι ταῖς ἐκ τῶν λογίων ὑπερβολαῖς κρατοῦντος, κατὰ μικρὸν τοῖς λόγοις ὁ Δῆμος συνεφέλκεται. δείσαντος δὲ τοῦ Κλέωνος καὶ τὸ ψωμίζειν τὸν Δῆμον ὁρμήσαντος, ἀντιψωμίζειν ἄτερος ἐγχειρεῖ. καὶ τέλος τοῦ Δήμου τὴν ἑκατέρου κίστην συνέντος, εἶτα τῆς μὲν κενῆς, τῆς δὲ τοῦ Κλέωνος μεστῆς εὑρεθείσης, ἐλεγχθεὶς αὐτὸς, ὡς περιφανῶς τὰ τοῦ Δήμου κλέπτων, εἴκει θατέρῳ τῆς ἐπιτροπείας. μετὰ ταῦτα δὲ τοῦ ἀλλαντοπώλου τὸν Δῆμον ἀφεψήσαντος, εἶτα νεώτερον ἐξ αὐτῆς εἰς τοὐμφανὲς γεγονότα προαγαγόντος, Κλέων περικείμενος τὴν Ἀγορακρίτου σκευὴν ἐπὶ παραδειγματισμῷ διὰ μέσης πόλεως ἀλλαντοπωλῶν ἀνὰ μέρος, καὶ τῇ τέχνῃ χρησάμενος πέμπεται, καὶ ἡ ἐπιτροπὴ τῷ ἀλλαντοπώλῃ παραδίδοται. τὸ δὲ δρᾶμα τῶν ἄγαν καλῶς πεποιημένων.)

II.

ΑΛΛΩΣ.

(Ὁ σκοπὸς αὐτῷ πρὸς τὸ καθελεῖν Κλέωνα. οὗτος γὰρ βυρσοπώλης ὢν ἐκράτει τῶν Ἀθηναίων ἐκ προφάσεως τοιαύτης. Ἀθηναῖοι πόλιν Πύλον, λεγομένην Σφακτηρίαν, ἐπολιόρκουν διὰ Δημοσθένους στρατηγοῦ καὶ Νικίου· ὧν στρατηγῶν χρονισάντων ἐδυσχέραινον οἱ Ἀθηναῖοι. καὶ εἰς ἐκκλησίαν συνελθόντων αὐτῶν καὶ ἀδημονούντων, Κλέων τις βυρσοπώλης ἀναστὰς ὑπέσχετο δεσμίους φέρειν τοὺς ὑπεναντίους εἴσω εἴκοσιν ἡμερῶν, εἰ στρατηγὸς αἱρεθείη· ὅπερ καὶ γέγονε. κατὰ τὰς ὑποσχέσεις οὖν ἐστρατήγει, κυκῶν τὴν πόλιν. ἐφ' οἷς μὴ ἐνεγκὼν Ἀριστοφάνης καθίησι τὸ τῶν Ἱππέων δρᾶμα δι' αὐτοῦ, ἐπεὶ τῶν σκευοποιῶν οὐδεὶς ἐπλάσατο τὸ τοῦ Κλέωνος πρόσωπον διὰ φόβον. καὶ τὰ μὲν πρῶτα κύπτει φοβούμενος· εἶτα προφανεὶς αὐτὸς ἀνεδίδαξε τὸ δρᾶμα.

Ἔοικεν ὁ προλογίζων εἶναι Δημοσθένης, ὃς ἐκεκμήκει περὶ τὴν Πύλου πολιορκίαν, ἀφῃρέθη δὲ τὴν στρατηγίαν ὑπὸ Κλέωνος, ὑποσχομένου τότε τοῖς Ἀθηναίοις παραστήσεσθαι τὴν Πύλον εἴσω εἴκοσιν ἡμερῶν· ὃ καὶ κατώρθωσε διὰ τὸ τὰ πλεῖστα τῆς ἁλώσεως προπεπονῆσθαι Δημοσθένει. ἔοικε δὲ ὡς ἐπὶ οἰκίας δεσποτικῆς ποιεῖσθαι τὸν λόγον. εἰ δ' ἂν δεσπότης ὁ Δῆμος, οἰκία ἡ πόλις, θεράποντες οἱ στρατηγοί. οἰκέται δὲ δύο τοῦ Δήμου προλογίζουσι, κακῶς πάσχοντες ὑπὸ Κλέωνος. ὁ δὲ χορὸς ἐκ τῶν ἱππέων ἐστὶν, οἳ καὶ ἐζημίωσαν τὸν Κλέωνα πέντε ταλάντοις ἐπὶ δωροδοκίᾳ ἁλόντα. λέγουσι δὲ τῶν οἰκετῶν τὸν μὲν εἶναι Δημοσθένην, τὸν δὲ Νικίαν, ἵνα ὦσι δημηγόροι οἱ δύο.

Ἰστέον ὅτι εἰς τέτταρα μέρη διῄρητο ὁ δῆμος τῶν Ἀθηναίων, εἰς πεντακοσιομεδίμνους, εἰς ἱππέας, εἰς ζευγίτας καὶ εἰς θῆτας.

Ἐδιδάχθη τὸ δρᾶμα ἐπὶ Στρατοκλέους ἄρχοντος δημοσίᾳ εἰς Λήναια, δι' αὐτοῦ Ἀριστοφάνους. πρῶτος ἐνίκα· δεύτερος Κρατῖνος Σατύροις· τρίτος Ἀριστομένης Ὑλοφόροις.)

III.

(ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΓΡΑΜΜΑΤΙΚΟΥ.

Παράγει τινὰ Κλέωνα, τὸν καλούμενον
Παφλαγόνα, κάτι βυρσοπώλην, πικρότατα
κατεσθίοντά πως τὰ κοινὰ χρήματα,
κἀν παραλογισμοῖς διαφέροντ' ἐρρωμένως
ἀλλαντοπώλην, εὐθέως τε σκατοφάγον,

πεισθέντα τ' ἐπιθέσθαι σὺν ἱππεῦσίν τισι,
ἐν τῷ χορῷ παροῦσι, τῇ τῶν πραγμάτων
ἀρχῇ· Κλέωνός τ' ἐν μέσῳ κατηγορεῖ.
ἐγένετο τοῦτ'· ἐξέπεσεν ὁ Κλέων παγκάκως·
ὁ δὲ σκατοφάγος ἔτυχε προεδρίας καλῆς.)

SCHOLIA IN EQUITES.

(Ἡ εἴσθεσις τοῦ παρόντος δράματος εὐθὺς ἐξ ἀμοιβαίων προσώπων ἄρχεται. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ἑκατὸν ἐνενήκοντα τρεῖς. ὧν τελευταῖος

καὶ ποικίλως πως καὶ σοφῶς ἠνιγμένος.

μεθ' οὓς καθ' ὑποβολὴν ἐπικοί, τουτέστι δακτυλικοὶ ἑξάμετροι πέντε. ἑξῆς δὲ πάλιν ἐν εἰσθέσει ἰαμβικοὶ ὅμοιοι μ'. ἐν ἐκθέσει δὲ τούτων στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ πέντε. ὧν τελευταῖος

ἀλλ' ἀμύνου καὶ δίωκε καὶ τροπὴν αὐτοῦ ποιοῦ.

ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει τοῦ τελευταίου στίχου κορωνίς.)

1. (Ἰατταταιάξ : Σχετλιασμὸν δηλοῖ αὐτό τε τοῦτο καὶ τὸ ἑξῆς. ἔοικε δὲ ὁ προλογίζων εἶναι Δημοσθένης ὁ προκαμὼν ἐν Πύλῳ, διὰ τοῦτο. Ἄλλως. σχετλιαστικὸν τὸ ῥῆμα. παρεπιγραφὴ δὲ λέγεται τὰ τοιαῦτα. ἀλλὰ καὶ γίνεται τοῖς σχήμασιν. ἔστι δὲ εἷς τῶν προειρημένων ὄθεν οἰκετῶν ἀποδυρόμενος τὸν ἕτερον.)

2. Παφλαγόνα : (Τὸν Κλέωνα ὡς δημοτικὸν οἰκέτην. Παφλαγόνα δὲ οὐ τῷ γένει, ἀλλ' ἐπειδὴ ἐπάφλαζεν ἐν τῇ ἐκκλησίᾳ. νεώνητον δὲ, τὸν νεωστὶ καταξιωθέντα τῆς ἀρχῆς.) Παφλαγόνα τὸν Κλέωνα διὰ τὸ τῆς φωνῆς ἀπηχὲς ἀπὸ τοῦ παφλάζειν ὠνόμασεν. ἔφην γὰρ ὅτι ξένος ὢν ἐπολιτεύσατο. ὀνειδίζει οὖν αὐτὸν ὡς ξένον καὶ βάρβαρον.

τὸν νεώνητον : Τὸν νεωστὶ ἠγορασμένον. ἐπεὶ μὴ ἐκ γένους ἦν Ἀθηναῖος, (ἀλλὰ νεωστὶ προσεληλυθὼς τῇ πολιτείᾳ. ἐμφαίνει δὲ διὰ τούτων ὅτι) καὶ τῶν Ἀθηναίων καθάπτεται, ὅτι δέον πιστεύειν αὐτοὺς τοῖς γνησίοις καὶ πολλὰ τὴν πόλιν εὐεργετηκόσιν, οἱ δὲ μᾶλλον ἐτίμων τὸν Κλέωνα. πεφύκαμεν γὰρ καὶ τῶν οἰκετῶν μᾶλλον πιστεύειν τοῖς οἴκοι γεννηθεῖσι (καὶ τραφεῖσιν ἢ οὓς ἂν κτησώμεθα πριάμενοι. Ἄλλως. ὅτι νεωστὶ τῇ δημαγωγίᾳ προσῆλθε. τὸ δὲ ἑξῆς, κακὸν κακῶς ἀπολέσειαν οἱ θεοὶ τὸν Παφλαγόνα τὸν νεώνητον.)

3. (αὐταῖσι βουλαῖς : Ἀττικὸν τὸ σχῆμα καὶ ἡ σύνταξις τοῦ λόγου, ὡς εἰ λέγοιμεν, αὐτοῖς ὅπλοις, αὐτοῖς ἵπποις. λείπει δὲ ἡ σύν πρόθεσις.)

4. εἰσήρρησεν : Ἀντὶ τοῦ εἰσῆλθεν, εἰσεπήδησεν. ὡς βίᾳ καὶ ἀναιδῶς αὐτοῦ τῇ πολιτείᾳ προσελθόντος. (Ἀττικὴ δὲ ἡ λέξις. ἐν ἐνίοις δὲ ἀντιγράφοις εἰσέφρησε γράφεται, δηλούσης τῆς λέξεως τὸ ἐπεπήδησεν, ἔτι δὲ καὶ τὸ μετὰ φθορᾶς εἰσελθεῖν. — Ἄλλως. μετὰ φθορᾶς παρεγένετο. V.)

5. πληγαῖς : ὕβρεις καὶ κακὰ πράγματα. (τὸ δὲ προστρίβεται ἀντὶ τοῦ) κατασκευάζει καὶ μηχανᾶται καὶ προσποιεῖται. R. V.

6. πρῶτος Παφλαγόνων : Ὡς πάντων μὲν ὄντων πονηρῶν, ἐξαιρέτως δὲ τοῦ Κλέωνος.

7. αὐταῖσι διαβολαῖς : (Ὅμοιον καὶ τοῦτο τὸ σχῆμα τῷ αὐταῖσι βουλαῖς. τοῦτο δὲ εἶπεν,) ἐπεὶ διαβάλλων ὁ Κλέων τοὺς ἄλλους στρατηγοὺς καὶ προσκρούων τῷ δήμῳ εἰς ἑαυτὸν βλέπειν τοὺς Ἀθηναίους ἐποίησε.

8. πρόσελθ' : πλησίασον, ἐγγὺς ἐλθέ. R.

9. ξυναυλίαν : (Ξυναυλία καλεῖται ὅταν δύο αὐληταὶ τὸ αὐτὸ λέγωσιν. ὁ δὲ Ὄλυμπος μουσικὸς ἦν, Μαρσύου μαθητής. ἔγραψε δὲ αὐλητικοὺς καὶ θρηνητικοὺς νόμους. Ἄλλως. ξυναυλία λέγεται ὅταν κιθάρα καὶ αὐλὸς συμφωνῇ. νόμοι δὲ καλοῦνται οἱ εἰς θεοὺς ὕμνοι. Ὄλυμπος δὲ μαθητὴς γέγονε Μαρσύου περὶ τὴν αὐλητικὴν ἄριστος, καὶ αὐτὸς δυστυχήσας διὰ μουσικήν. καθάπερ οὖν Ὄλυμπος εὗρε τὸ συναυλεῖν, καὶ ἡμεῖς ὅμοια καὶ ὥσπερ ἀπὸ μιᾶς φωνῆς ὀδυρώμεθα.) μιμησώμεθα οὖν ἐν τῷ θρηνεῖν τὴν συναυλίαν Ὀλύμπου καὶ ὡς ἀπὸ μιᾶς φωνῆς ὀδυρώμεθα. R. κοινωνίαν. τουτέστιν ἀποδυρώμεθα ὁμόσε. V.

10. μὴ μῦ : (Ὁμοφωνοῦσιν ἀμφότεροι μύζοντες. τοῦτο δὲ ὡς θρηνητικόν. ἔστι δὲ ἴαμβος ἔχων τὸ μὲν πρῶτον βραχὺ, τὸ δὲ δεύτερον μακρόν.) ὡς θρηνοῦντες. R.

11. τί κινυρόμεθα : Τί δακρύομεν καὶ ὀδυρόμεθα εἰς κενὸν καὶ ἀνωφελές; — τί κινυρόμεθ' : Δακρύομεν, θρηνοῦμεν, ὀδυρόμεθα. *Vict.* θρηνοῦμεν ματαίως. *V. C.*

οὐκ ἐχρῆν ζητεῖν τινα : (Ἡμεῖς δὲ ἀπαλλαγέντες τῶν δακρύων βουλευσώμεθα τίνα τρόπον ἀπαλλαγησόμεθα τῶν τοῦ Κλέωνος κακῶν.) αὐτὸς γὰρ μέλλει τὴν τοῦ ἀποδρᾶναι γνώμην εἰσηγεῖσθαι. [ζητεῖν δὲ, πολυπραγμονεῖν καὶ σκοπεῖν.]

13. [τίς οὖν γένοιτ' ἂν λέγε σύ : Τίς οὖν ἀφορμὴ γένοιτο λέγε σύ. πρὸς τὴν ἐπερώτησιν τοῦ ἑτέρου ὁ ἕτερος πάλιν ἀπεκρίνατο. ἑκάτερος δὲ εὐλαβῶς ἔχει τοῦ εἰπεῖν, διὰ τὸ φοβεῖσθαι ὄθεν τὸν Κλέωνα, καθ' οὗ συντάττουσι τὴν ἐπιβουλήν. φιλονεικοῦσιν οὖν τίς πρῶτος εἴπῃ.]

σὺ μὲν οὖν λέγε : Ἀντὶ τοῦ σὺ εἰπὲ, ἵνα εἰπόντος σου, μὴ ἀντιλέξω μηδὲ μαχήσωμαί σοι. ἢ (οὕτως· σὺ λέγε,) ἵνα μὴ εἴπω πρῶτος, καὶ φθονῶν ἀντείπῃς, κἀγώ σοι μάχωμαι.

16. ἃ' μὲ χρὴ λέγειν : Ἅτινά με χρὴ, φησὶν, εἰπεῖν, εἴθε (περὶ τούτων) ἤκουσα παρὰ σοῦ λεχθέντων. (τοῦτο δὲ εἶπε διὰ τὸ φοβεῖσθαι λέγειν.) [ἔστι δὲ παρὰ τὸ ἐν Ἱππολύτῳ Εὐριπίδου [345] ὑπὸ τῆς Φαίδρας πρὸς τὴν τροφὸν εἰρημένον οὕτως ἀποκρινομένην,

οὐ μάντις εἰμὶ τἀφανῆ γνῶναι σαφῶς.]

17. ἀλλ' οὐκ ἔνι μοι τὸ θρέττε : Ἀντὶ τοῦ, τὸ θαρραλέον. (οὐδὲ τὸ τυχὸν ἔχω, φησὶ, περὶ τούτων εἰπεῖν. θρέττε δὲ βαρβαριστὶ, ἀντὶ τοῦ θαρρεῖν, παρὰ τὸ θρασὺ καὶ ἀνδρεῖον. οὐκ ἔστιν οὖν εἰπεῖν ὃ σὺ διανοῇ. ἠρνή-

σατο δὲ, ἵνα εἰς ἀνάγκην τὸν ἕτερον καταστήσῃ πρῶτος συνθέσθαι τι καὶ συμβουλεῦσαι. τὸ δὲ, πῶς ἂν οὖν ποτε, ἀντὶ τοῦ, οὐ θαρρῶ, φησὶν, εἰπεῖν οὐδὲ τὸ τυχόν. βαρβαρίζει δὲ ὡς δοῦλος.)-Herodian. περὶ προθέσεων. Τῶν δὲ προθέσεων ἡ ἐν καὶ ἐνί εὕρηται ἐν τοῖς ποιήμασι κατ' ἐπέκτασιν λεγομένη. ἔνι μέντοι μεταθέσει τοῦ τόνου οὐκ ἔτι πρόθεσις, ἀλλ' εἰς ῥηματικὸν μεταβαίνει, ὡς ἡ παρά· πάρα δὲ ἀντὶ τοῦ πάρεστι. Victor.]

18. (κομψευριπιδικῶς : Ἀντὶ τοῦ εὐριπιδικῶς καὶ δεινῶς, οἷον πανούργως. κομψοὶ δὲ παρὰ τοῖς ἀρχαίοις ἐλέγοντο οἱ πανοῦργοι. φησὶν οὖν, πῶς ἄν τις εἴποι περιεσταλμένως καὶ λεληθότως, οἱονεὶ μὴ φανερῶς.)

19. μὴ διασκανδικίσῃς : Διευριπιδίσῃς. (ἡ γὰρ μήτηρ Εὐριπίδου σκάνδικας ἐπίπρασκεν, ὅ ἐστιν ἄγρια λάχανα. Ἄλλως. μὴ ἀποδειλιάσῃς, μὴ μεταμελήσῃς.) σκώπτει δὲ τὸν Εὐριπίδην ὡς λαχανοπώλιδος υἱόν. (σκάνδιξ γὰρ εἶδος λαχάνου.)

20. (ἀπόκινον : Φυγὴν, ἀποχώρησιν. ἔστι δὲ καὶ εἶδος ὀρχήσεως φορτικῆς. οἱ δὲ μέλος. καὶ ὁ βαυκισμός.)

21. λέγε δὴ μόλωμεν : (Τινὲς τὸ μόλωμεν προπερισπῶσι.) προσποιεῖται δὲ ὑποτίθεσθαι φεύγειν αὐτὸν, καὶ λέγειν, αὐτομολήσωμεν πρὸς τοὺς Λακεδαιμονίους, (αὐτὸς παραιτούμενος λέγειν). αὐτομολῆσαι δέ ἐστι τὸ προδοῦναι τοὺς ἰδίους καὶ ἐᾶσαι καὶ ἀπελθεῖν πρὸς τοὺς ἐναντίους ἐπὶ συμμαχίᾳ.

(22). ἐξόπισθέ νυν : Κατόπιν. τουτέστι, πρότασσε τὸ μόλωμεν τοῦ αὐτό, εἶτα πάλιν τοῦ μόλωμεν τὸ αὐτό. βούλεται δὲ λέγειν, αὐτομολήσωμεν πρὸς τοὺς Λακεδαιμονίους. αἰνιγματωδῶς δὲ μετὰ δισταγμοῦ λέγει, ποιῶν ἐκεῖνον συνάπτειν τὰς λοιπὰς αὐτῷ συλλαβάς. [τὸ δὲ φάθι ἀπὸ τοῦ φημὶ φήσω, ἔφην, φὰς, φάντος, φάθι.] ὅπερ ὁ μὲν Ἀπολλώνιος ὀξύνει, ὁ δὲ Ἡρωδιανὸς βαρύνει. [παραλόγως γὰρ ὀξύνεσθαι.]

24. ὥσπερ δεφόμενος : Ἀντὶ τοῦ ἀποδέρων τὸ αἰδοῖον. οἱ γὰρ ἁπτόμενοι τῶν αἰδοίων, οὐχ ὡς ἤρξαντο, ἀλλὰ σπουδαιότερον κινοῦσι [ἐκπυρούμενοι τῇ συνεχείᾳ τῆς κινήσεως] πρὸς τῇ τῆς γονῆς ἐκκρίσει. (τοῦτο οὖν λέγει, ὅτι πρῶτον κατὰ μικρὸν, εἶτα συνεχῶς λέγε.)

26. (αὐτὸ μόλωμεν αὐτομόλωμεν : Ὡς ἐπιλαμβανόμενος αὐτοῦ τοῦτο λέγει. αὐτομολεῖν δὲ τὸ πρὸς τοὺς πολεμίους ἀπελθεῖν.)

(27). ἦν οὐχ ἡδύ : Ἰδοὺ, ἐρωτηματικόν. λέγει δὲ, οὐκ ἔστιν ἡδὺ τὸ αὐτομόλωμεν; ἔθος δὲ ἦν καὶ τοὺς δούλους παρὰ τοὺς πολεμίους φεύγειν, εἰ πάσχοιέν τι κακὸν ὑπὸ τοῦ δεσπότου. τὸ δὲ φεύγειν, αὐτομολεῖν λέγουσιν Ἀθηναῖοι. Ἄλλως. ὁ τὴν γνώμην λέγων ἐφίστησι τῷ λόγῳ αἰσθανόμενος τοῦ ῥήματος, ὡς ἐξηπατημένος καὶ παρακεκρουσμένος εἰπεῖν τὸ αὐτομολήσωμεν. Ἄλλως. μὴ οὐ καλόν. οὐ πρὸς ἡδονὴν ἀποδοκιμάσω σου τὴν συμβουλήν. [τὸν οἰωνὸν δὲ, τὸ σημεῖον.]

29. [ὅτιη τὸ δέρμα : Ὅτι ὥσπερ τῶν δεφομένων τὸ δέρμα ἀπέρχεται, οὕτω καὶ τῶν αὐτομολούντων.]

[τῶν δεφομένων : Τῶν ἀποδερομένων τὸ αἰδοῖον ὑποχωρεῖ ὄπισθεν. μή πως οὖν καὶ ἡμᾶς νοήσαντες οἱ Ἀθηναῖοι φεύγοντας κρατήσωσι καὶ ἀποδέρωσι.] δερομένων. V.

30. βέλτιον. V.

31. πρὸς βρέτας : (Ἄγαλμα θεῶν. προσπεσεῖν δὲ), ἱκέτας καθίσαι. ἢ καταφυγεῖν πρὸς βρέτας, (πρὸς ἱερὸν, πρὸς τέμενος, ἢ πρὸς ἕδος, ἢ πρὸς ἄγαλμα θεῶν. βρέτας δὲ εἴρηται [τὸ ἀνθρωπόμορφον εἴδωλον. M.] ἀπὸ τοῦ βροτῷ ἐοικέναι αὐτό. τὸ δὲ ἑτεόν, ἀληθῶς οὕτω πεπίστευκας, οὕτω καταδέχῃ.)

32. (βρετέττας : Ἐν παρολκῇ, παίζων. οὐ μόνον δὲ τῇ γλώττῃ προσέπαιξε τῇ παρονομασίᾳ τοῦ βρέτας, ἀλλὰ καὶ) φησὶν ὅτι εἰ μὴ ἦσαν θεοὶ, οὐκ ἂν ἤμην θεοῖς ἐχθρός.

(ἑτεὸν ἡγεῖ γὰρ θεούς : Ἀληθῶς οὕτω πεπίστευκας καὶ ὑπολαμβάνεις εἶναι θεούς; τεκμηρίῳ δὲ, παραδείγματι, μαρτυρίῳ.) Εὖ προσβιβάζεις με, πείθεις, παραινεῖς, ἢ στοχάζῃ. — παίζει ὡς δοῦλος. R.

33. ἔγωγε : Herod. ἡ ἐγώ τὸν γέ προσλαβοῦσα σύνδεσμον, ἔγωγε, ὑποβιβασμῷ τοῦ τόνου προφέρεται καὶ οὐ μόνον μείωσίν τινα ταύτῃ διὰ τὸ τοῦ συνδέσμου μειωτικὸν δηλοῖ, ἀλλὰ καὶ κατάφασιν ἐνίοτε, οἷον τὸ ναί. Vict.

(35). ἀλλ' ἑτέρᾳ ποι : Ἀλλ' ἑτέρῳ τρόπῳ δεῖ σκέψασθαι·[γράφεται δὲ καὶ πῇ. ἔστι δὲ περιττόν.] — ἑτέρᾳ, ἀλλαχῇ, ἕτερόν τι. R.

37. (παραιτησώμεθα : Περιττὴ ἡ παρά. ἔστι γὰρ αἰτησώμεθα. παρακαλέσωμεν. πλεονάζουσι γὰρ καὶ ἐλλείπουσι ταῖς προθέσεσιν Ἀττικοί.) — οὐ χεῖρον : βέλτιον. R.]

38. ἐπίδηλον ἡμῖν : Δεικνύειν, φησὶν, ἡμῖν διὰ τῶν προσώπων εἰ χαίρουσι τοῖς λεγομένοις. [ἐκ γὰρ τοῦ προσώπου δηλοῦται ἡ τῆς ψυχῆς διάθεσις.]

39. (ἦν τοῖς ἔπεσι χαίρωσιν : Ἔπεσι τοῖς ποιήμασιν, ἢ τοῖς λεγομένοις. ἢ τοῖς ἰάμβοις. πᾶν γὰρ μέτρον ἔπος καλοῦσι. πράγμασι δὲ, τοῖς ποιήμασι τοῖς λεγομένοις.)

40. [νῷν γάρ ἐστι δεσπότης : Ὥσπερ τινὰ οἰκίαν κατασκευάζει τὴν πολιν. δεσπότην δέ φησι τὸν δῆμον, οἰκέτας δὲ τοὺς προχειριζομένους ὑπ' αὐτοῦ ὑπηρετεῖν αὐτῷ ἐν τῇ τῶν κοινῶν ἐπιμελείᾳ. ὑπηρέται γάρ τινες εἶναι δοκοῦσι τοῦ δήμου οἱ ἄρχοντες οἱ τῶν κοινῶν προϊστάμενοι.]

41. ἄγροικος ὀργὴ : (Δύναται ἡ ὀργὴ νῦν ἑκάτερον δηλοῦν, καὶ κυρίως κεῖσθαι καὶ ἐπὶ τοῦ τρόπου.) τὸν τρόπον ἄγριος καὶ σκληρὸς καὶ ἀνήμερος (καὶ τραχύς. ἢ ἀφελής. ἀκρόχολος δὲ ἤγουν εἰς ὀργὴν πρόχειρος.) ἀκρόχολος εἰς ὀργὴν εὔκολος. R.

κυαμοτρώξ : (Δικαστικὸς, κυάμους ἐσθίων. κυάμοις δὲ ἐχρῶντο οἱ δικασταὶ διὰ τὸ μὴ καθεύδειν. ἢ ἀντὶ ψήφων. ἄλλοι δὲ διὰ τοῦ σ, κυαμοτρώς, ὁ κυάμοις δικάζων, ὁ τιτρώσκων. τούτοις γὰρ ἐχρῶντο ἀντὶ ψήφων. Ἄλλως.) τρεφόμενος ἀπὸ τῶν κυάμων· πρὸ γὰρ τῆς εὑρέσεως τῶν ψήφων κυάμοις ἐχρῶντο ἐν ταῖς χειροτονίαις τῶν ἀρχόντων καὶ ἐν ταῖς ἐκκλησίαις. ὡς οὖν τῶν ψηφι-

ζομένων ἀργύριον λαμβανόντων καὶ χειροτονούντων τοὺς διδόντας πλέον, (οὕτως ὠνόμασε τὸν δῆμον τὸν ἀπὸ τῶν κυάμων τρεφόμενον).

42. (πυκνίτης : Τόπος Ἀθήνησιν ἔνθα ἔστιν ὅτε ἠκλησίαζον οἱ Ἀθηναῖοι. πνὺξ γὰρ τόπος ἐν Ἀθήναις ἔνθα ἡ ἐκκλησία συνεκροτεῖτο. τὸν δῆμον δὲ ὥσπερ πολίτην τῆς πνυκὸς εἶπε. πνὺξ δὲ λέγεται παρὰ τὸ πυκνοῦσθαι ἐκεῖ τοὺς βουλευτὰς, ἢ ἀπὸ τοῦ πεπυκνῶσθαι ταῖς καθέδραις. δύσκολον δὲ δυστράπελον.) — πυκνίτης : πνὺξ τὸ ἐν Ἀθήναις δικαστήριον. γερόντιον : αἰνίττεται, ὅτι πρωτόγονοι οἱ Ἀθηναῖοι. R.

[δύσκολον γερόντιον : Δυστράπελον, πρεσβύτερον. αἰνίττεται δὲ διὰ τούτου ὁ ποιητὴς τὴν ἱστορίαν, ὅτι πρῶτοί τε καὶ αὐτόχθονες οἱ Ἀθηναῖοι.] ὑπόκωφον δὲ, ὅτι οὐ πᾶσιν ἐπείθετο, ἀλλὰ προσεποιεῖτο μὴ ἀκούειν (τῶν λεγομένων).

43. τῇ προτέρᾳ νουμηνίᾳ : Τῇ παρελθούσῃ. (τουτέστι νεωστί. ἵνα δείξῃ τὸν Κλέωνα οὐ πάλαι τῆς πολιτείας τετυχηκότα.) ἐν δὲ ταῖς νουμηνίαις οἱ δοῦλοι ἐπωλοῦντο καὶ οἱ στρατηγοὶ ἐχειροτονοῦντο.

44. (βυρσοδέψην Παφλαγόνα : Βυρσέα. συμβαίνει δὲ τούτους ἐκ τοῦ ἐμβρέχειν τὰ δέρματα, καὶ πλείοσιν ἐᾶν ἡμέραις αὐτὰ εἰς τὸ φάρμακον, ἵνα διαλάβοιεν, ἀπὸ τῆς ὀσμῆς τοῦ τε ὕδατος καὶ τῶν δερμάτων μολυνομένους ἄχαρι ὀδωδέναι. διαβάλλει οὖν ὡς δύσοσμον, ἄλλως τε καὶ τὴν εὐτέλειαν δείκνυσι τοῦ Κλέωνος, ἀφ' οἵας τύχης ὁρμώμενος ἐπρώτευσε τῶν Ἀθηναίων. ἐπειδὴ ὁ πατὴρ αὐτοῦ Κλεώνυμος ἐργαστήριον εἶχε δούλων βυρσοδεψῶν.)

46. (οὗτος καταγνοὺς : Θεωρήσας. περιττὴ ἡ κατά. οἷον καταμαθὼν καὶ αἰσθόμενος. πρὸς ἔμφασιν δὲ πλείονα εἶπε τοῦ μαθών. διενηνοχέναι δέ φασι τὸ καταγνῶναι καὶ ἐπιγνῶναι ταύτῃ, ὅτι τὸ μὲν καταγνῶναι ἰδίως ἐπὶ διαβολῇ καὶ πονηρίᾳ λέγουσιν οἱ παλαιοὶ, τὸ δὲ ἐπιγνῶναι ἐπὶ τοῦ γνωρίσαι. γνῶναι δὲ χωρὶς τῆς κατά προθέσεως, τὸ μαθεῖν. καταγνοὺς οὖν, οἷον καταμαθὼν καὶ αἰσθόμενος.)

47. (ὁ βυρσοπαφλαγὼν : Συνέμιξε τὸ γένος καὶ τὴν τέχνην, ἵνα τὸ πλέον ὀνειδίσῃ, προσθήκης ἑκατέρου γενομένου θατέρου.)

ὑποπεσὼν : ὑποδραμὼν, ὑπελθών. *V. Vict.*

48. (ᾔκαλλεν : Αἰκάλλειν ἐστὶ τὸ τὸν κύνα τοῖς ὠσὶ καὶ τῇ οὐρᾷ σαίνειν τοὺς ἠθάδας· ἢ ἀπὸ μεταφορᾶς τῶν ἀλεκτρυόνων. κάλλαια γὰρ καλεῖται τούτων τὰ γένεια. πολλαὶ δὲ αἱ λέξεις, ἀλλὰ τὸ σημαινόμενον ἕν. ἐκολάκευε γάρ.)

49. (κοσκυλματίοις : Τοῖς περικεκομμένοις καὶ ἀπορριφεῖσι δέρμασι. βούλεται δὲ λέγειν, λογαρίοις αἰμύλοις. τὸ δὲ πᾶν αὐτῷ νόημα, ὅτι λόγοις ἐξηπάτα τὸν δῆμον, δοκοῦσι μὲν ὠφέλειάν τινα ἔχειν, βλάπτουσι δὲ τὰ μέγιστα. Ἄλλως. κοσκύλματα καλοῦνται τὰ περιττὰ, τὰ περιτεμνόμενα ἀπὸ τῶν καττυματίων. καττυματίοις οὖν λέγει, εὐτελέσι ῥήμασιν ἢ πράγμασιν.)

(50). ἐκδικάσας μίαν : Δικάσας. [ὡσεὶ ἔλεγε γυμνασθείς. τοιαῦτα δὲ εἰώθασι τοῖς τρυφῶσιν οἱ κόλακες λέγειν.] τοῦτο, φησὶ, κολακεύων ἔλεγε τὸν δῆμον. λείπει δὲ ἡμέραν, ἵν' ᾖ, μίαν ἡμέραν ἐάσας ἀδίκαστον.

(51). ἔνθου : Ἐπὶ τοῦ ψωμοῦ καὶ τοῦ ἀκόλου οὕτω λεκτέον, καὶ ὅλως τοῦ φαγεῖν.

ἔντραγε : Οὕτω τὸ ἀκρατίζειν. καὶ Μένανδρος « Παλαιὸν ἔντραγεῖν. » ὁ γὰρ οἰκέτης ἐστὶ, βαρύτερον τὴν πρὸς τοὺς δοκοῦντας εἶναι ποιούμενος τρυφὴν, παρονειδίζων ὅτι τοσαῦτα ἀποστέλλεται οὐκ ἐπὶ δεῖπνον, ἀλλ' ἀκρατισμόν. — ἔνθου : Φάγε. ῥόφησον : Πίε. Θ. *Vict.*

ἔχε τριώβολον : Τὸν δικαστικὸν μισθόν. ἐπεὶ τριώβολον ἐλάμβανον. — ὡς τοσούτου ὄντος τοῦ δικαστικοῦ νῦν καὶ τοῦ ἐκκλησιαστικοῦ. οὐχ ὁμοίως δὲ οὐδὲ τὸ αὐτὸ διώριστο, ἀλλὰ κατὰ διαφόρους καιροὺς διάφορος ἦν καὶ ὁ μισθός. R.

55. μάζαν μεμαχότος : Τὰ πεφυρμένα ἄλευρα. ὡς ἐπὶ τροφῆς δὲ τὸ κατόρθωμα εἶπεν. (Ἄλλως. τοῦτο ἀφ' ἱστορίας τέθεικεν, ἧς μέμνηται καὶ Θουκυδίδης [4,28]. ἔχει δὲ οὕτως. Δημοσθένης στρατηγὸς Ἀθηναίων, ἀποσταλεὶς εἰς Σικελίαν διὰ τὸν αὐτόθι πόλεμον, παραπλέων τὴν Πύλον καὶ τὴν Σφακτηρίαν δυνάμει προλαβὼν, τριακοσίους εἵληφεν αἰχμαλώτους, καὶ ἐδήλωσεν Ἀθηναίοις τί βούλονται περὶ τούτων γενέσθαι. ἄλλων δὲ ἄλλα λεγόντων, Κλέων ἀναστὰς ἐπηγγείλατο ἡμερῶν ἀριθμὸν προσθεὶς, εἰσω ἐκείνων ἄξειν αὐτοὺς, ὡς γέλωτα πολὺν κατ' αὐτοῦ γενέσθαι. ἀγαγὼν δὲ αὐτοὺς ὡς ἰδίαν πρᾶξιν κατορθώσας ἐπεσεμνύνετο. Ἄλλως. ἐν τῇ Πύλῳ. τόπος δὲ οὗτος τῆς Λακωνικῆς στενὸς, διείργων καὶ ἀποχωρίζων τὰς ἀπὸ τῆς Θεσσαλίας καὶ Λακεδαιμονίας εἰσβολάς. ἔνθα καὶ Λεωνίδας πρότερον τῶν Μακεδόνων βασιλεὺς, ἅμα καὶ Σπαρτιατῶν, ἀντέστη Ξέρξῃ τῷ τῶν Περσῶν βασιλεῖ, καὶ πολλοὺς τῶν Περσῶν ἀποκτείνας, ἀριστεύων ἐτελεύτησε, κυκλωθεὶς ἐκ προδοσίας, Ἐφιάλτου τινὸς δείξαντος τοῖς Πέρσαις διὰ τῶν ὀρῶν ὁδόν. ἐνταῦθα οὖν ὁ Δημοσθένης ἀπόβασιν ποιησάμενος σὺν ὀλίγοις, ἐξετείχισε τὸ χωρίον, καὶ κατέστησε φρούριον. βοηθησάντων δὲ τῶν Λακεδαιμονίων διὰ τάχους Βρασίδου στρατηγοῦντος, αὐτός τε ὁ Βρασίδας ἀπέβαλε τὴν ἀσπίδα καὶ πολλοὶ τῶν Λακεδαιμονίων ἀπέθανον ἐν τῇ μάχῃ. ἔνιοι δὲ κατέφυγον καταπονούμενοι εἰς τὴν κατ' ἀντικρὺ νησίδα τὴν Σφακτηρίαν. καὶ αὐτὸς ὁ Δημοσθένης μετεπέμψατο ἀπὸ τῶν Ἀθηναίων, ὡς ἂν πλείονι δυνάμει χρησάμενος τοὺς ἄνδρας ἐκπολιορκοίη. ὁ οὖν Κλέων γνοὺς ὅτι ὑπὸ τῆς ἀνάγκης καὶ λιμοῦ καὶ δίψους οὐχ οἷοί τε ἔσονται πλείοσιν ἀντέχειν ἡμέραις, ἐπεὶ καὶ τοῦτο ἤγγελλον οἱ ἀπὸ τοῦ στρατοπέδου ἀφικνούμενοι, παρελθὼν εἰς τὸν δῆμον, εἰ λάβοι δύναμιν, ὡς αἰτεῖ Δημοσθένης, ἐπηγγείλατο ἐντὸς εἴκοσιν ἡμερῶν παραστήσειν τοὺς πολιορκουμένους. καὶ οὕτω διεκπλεύσας καὶ τοὺς Λακεδαίμονας λαβὼν, ἔδοξεν αὐτοῖς κατορθοῦν τὸ τοῦ Δημοσθένους ὁ Κλέων. ἐπειράθη γὰρ ὑφαρπάσαι τὸ τέλος τῶν ἐκείνου πόνων.)

56. πανουργότατα : Λίαν πανοῦργος. περιδραμὼν, ὑφαρπάσας : Ἀπατήσας, περιελθών. *Vict.*

57. μεμαγμένην : Παρεσκευασμένην, καὶ ἐν ἑτοίμῳ γενομένην.

59. ἀλλὰ βυρσίνην ἔχων : (Ῥυτῆρα, ἱμάντα.) ἔπαιξε δὲ παρὰ τὸ βυρσοδέψην εἶναι τὸν Κλέωνα. ἔδει γὰρ εἰπεῖν μυρσίνην. παραγραμματισμῷ οὖν ἐχρήσατο ἀντὶ τοῦ μ τὸ β. ταῖς γὰρ μυρσίναις ἀποσοβοῦσι τὰς μυίας· ὁ δὲ τοὺς ῥήτορας εἶπε. (ἀπὸ τοῦ μυρσίνη. ταύτῃ γὰρ ἐστεφανοῦντο οἱ στρατηγοί. βυρσίνην δὲ, εἶπεν, ἔχων ἀποσοβεῖ τοὺς ῥήτορας, ὡς πρὸς βυρσοδέψην.)

60. ἀποδιώκει. V.

61. εἶθ' ὁ γέρων σιβυλλιᾷ : (Περὶ τὸν χρόνον τοῦτον ταραχώδη ὄντα εἰκὸς πολλὰ τοιαῦτα γίνεσθαι.) γέρων δὲ ὁ δεσπότης, ἤγουν ὁ δῆμος. σιβυλλιᾷ δὲ, χρησμῶν ἐρᾷ καὶ ἐπιθυμεῖ. ἢ παραληρεῖ. (ἐπειδὴ ἡ Σίβυλλα μακρόβιος. ἢ τοῖς χρησμοῖς ἥδεται, ἢ ἀπατᾶται, μαντικῶς ἔχει, χρησμοὺς φαντάζεται. χρησμολόγος γὰρ Ἐρυθραία ἦν ἡ Σίβυλλα.) ἢ μέγα φρονεῖ καὶ ἐπαίρεται.

62. μεμακκοακότα : Τὰ Μακκοῦς φρονοῦντα, ἀνοητοῦντα. (Μακκὼ γὰρ καὶ Λαμὼ ἐγένοντο ἐνεαὶ, τουτέστι βαρέως νοοῦσαι. ἢ παραφρονοῦντα, ληροῦντα. γέγονε παρὰ τὸ μάταια κοεῖν, ὅ ἐστι νοεῖν. ὅθεν θυοσκόος, παρὰ τὸ θύω καὶ τὸ κοῶ, ὃ σημαίνει τὸ νοῶ.)

63. τέχνην : [ἀντὶ τοῦ μηχανὴν, ἢ ἀντὶ τοῦ] εἰς ἔργον αὐτῷ καὶ τέχνην προκεχώρηκεν. V. Θ.

ἄντικρυς : (Προδήλως, ὁμολογουμένως. ηὔξησε δὲ τὴν ἀναίδειαν, διὰ τὸ φανερῶς καταψεύδεσθαι. Ἄλλως. φανερῶς.) δεῖγμα δὲ ὑπερβαλλούσης ἀναισχυντίας τὸ φανερῶς καταψεύδεσθαι.

64. ὡς οἰκέται μαστιγούμεθα. V.

66. δωροδοκεῖ : Δῶρα λαμβάνει καὶ διασείει. (τίθεται δὲ ἡ λέξις καὶ ἐπὶ τοῦ διδόντος. — δῶρα δέχεται. V.)

67. Ὕλαν : ὄνομα οἰκέτου πέπλακεν. *R. V. Vict.*

68. εἰ μή μ' ἀναπείσετε : (Ἀντὶ τοῦ, ἀναπείσετε χρήμασι.) διαβάλλει (δὲ αὐτὸν) ὡς δωροδοκούμενον καὶ προδιδόντα τὴν πόλιν. (Ἄλλως. εἰ μὴ πιστὸν ποιήσετε. τουτέστιν εἰ μὴ μισθόν τινά μοι δῶτε.)

69. πατούμενοι : ὑβριζόμενοι, θλιβόμενοι. V. ὑβριζόμενοι, πιεζόμενοι. *Vict.*

70. [ὀκταπλάσιον χέζομεν : Πολλῷ πλείονα. ἵν' ᾖ τὸ νοούμενον, ὅτι μικροῖς λήμμασιν ἀποδίδονται τῆς πόλεως τὰ πράγματα, ἀφ' ὧν ὠφέλεια μείζων ἠδύνατο γίνεσθαι τῇ πόλει.]

χέζομεν : ἀντὶ τοῦ ζημιούμεθα. *R. V. Vict.*

71. ἀνύσαντες, ἀντὶ τοῦ ἅπαξ εἰς τοῦτο γενόμενοι. R. ἀνύσαντες : ταχύναντες. *V. Vict.*

72. νὴ : Ἡμᾶς. τρεπτέον : Ἄξιον τραπέσθαι, πορευτέον. *Vict.* πορευτέον. *R.*

73. κράτιστ' ἐκείνην : [Ἄμεινον ἐπὶ τὸ αὐτομολήσωμεν. τουτέστι χωρῆσαι πρὸς τοὺς ἐναντίους.] τὸ αὐτομολῆσαι καὶ χωρῆσαι πρὸς τοὺς πολεμίους. R. V.

74. οὐχ οἷον : οὐ δυνατόν. *V. Vict.*

76. πάλιν τῆς Πύλου μέμνηται, ἐπεὶ ὁ Κλέων ἐν αὐτῇ συνεχῶς ἠλαζονεύετο, ὡς ἄλλο μηδ' ὁτιοῦν κατορθώσαντος αὐτοῦ, ἀλλὰ πένητος ὄντος τοῖς κατορθώμασιν. R.

77. ἀντὶ τοῦ διεσχηκότος. R.

78. ἐν Χαόσι : Θράκης ἔθνος οἱ Χαόνες. (παρέλαβε δὲ τὸ ὄνομα, ἵνα τὸ κεχηνέναι δηλώσῃ. Χαόνες δὲ δῆμος τῶν Θεσπρωτῶν. ἢ βάρβαρον ἔθνος. Ἄλλως. οἱ μὲν τῆς Ἠπείρου, οἱ δὲ τῆς Θράκης τοὺς Χαόνας. ἅμα δὲ τοὺς εὐρυπρώκτους διασύρει, διὰ τὸ χαίνειν τὸν πρωκτόν.) — ὡς εὐρύπρωκτον διαβάλλει παρὰ τὸ κεχηνέναι. R.

αὐτόχρημ' ἐν Χαόσι : Σχεδὸν εἰπεῖν, ἢ αὐτὸ τὸ πρᾶγμα, ὁμοῖον παντελῶς. *Vict.*

79. (τὼ χεῖρ' ἐν Αἰτωλοῖς : Ἀπὸ τοῦ ὀνόματος τὸ πρᾶγμα λέγει. οὐκ ἐν Αἰτωλίᾳ, ἀλλ' ἐν τῷ αἰτεῖν. τὸ δ' ἐν Κλωπιδῶν ἐναλλαγὴ πάλιν στοιχείου, τοῦ ρ εἰς τὸ λ. Κρωπίδαι γὰρ δῆμος τῆς Λεοντίδος φυλῆς. ἔπαιξεν οὖν παρὰ τὸ κλέπτειν.)

80. σκέπτου, διανοοῦ. V.

83. αἷμα ταύρειον : Δηλητήριον λέγεται τὸ αἷμα τοῦ ταύρου πινόμενον. R.

84. ὁ Θεμιστοκλέους : Θεμιστοκλῆς (ὁ καταναυμαχήσας ἐν τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ τοὺς βαρβάρους, εἶθ' ὕστερον φυγαδευθεὶς ὑπὸ τῶν Ἀθηναίων) ἐπὶ προδοσίας αἰτίᾳ ψευδεῖ, καταφυγὼν πρὸς Ἀρταξέρξην τὸν Ξέρξου παῖδα, καὶ τιμηθεὶς τὰ μέγιστα παρ' αὐτοῦ, (ὡς καὶ τρεῖς πόλεις εἰς ὄψον καὶ ἄρτον καὶ ποτὸν λαβεῖν, Μαγνησίαν, Μυοῦντα, Λάμψακον,) ἐπηγγείλατο αὐτῷ τὸ καταδουλώσασθαι τὴν Ἑλλάδα, δύναμιν εἰ λάβοι. παραγενόμενος δὲ (ἅμα τῷ στρατεύματι εἰς Μαγνησίαν) καὶ καταγνοὺς ἑαυτοῦ, εἰ δι' αὐτὸν σωθέντες Ἕλληνες δι' αὐτοῦ δουλεύσουσι βαρβάροις, προφάσει χρησάμενος ὡς θυσίαν ἐπιτελέσαι βούλοιτο καὶ ἱερουργῆσαι τῇ Λευκόφρυϊ Ἀρτέμιδι καλουμένῃ, τῷ ταύρῳ ὑποθεὶς τὴν φιάλην, καὶ ὑποδεξάμενος τὸ αἷμα καὶ χανδὸν πιὼν ἐτελεύτησεν εὐθέως. οἱ δέ φασιν ὅτι συνειδὼς ὁ Θεμιστοκλῆς ὅτι οὐχ οἷός τε ἦν διαπράξασθαι τῷ βασιλεῖ ἅπερ ἐπηγγείλατο, οὕτως ἐπὶ τὴν τοῦ θανάτου αἵρεσιν παρεγένετο. (τοῦτον οὖν τὸν τρόπον βέλτιον εἶναί φασι καὶ αὐτοὺς ἀποθανεῖν, κατὰ ζῆλον τοῦ Θεμιστοκλέους. διαβάλλει δὲ τοὺς Ἀθηναίους ὡς κακοὺς περὶ τοὺς εὐεργέτας. Ἄλλως. μετὰ τὴν Ξέρξου φυγὴν Λακεδαιμόνιοι προδοσίας κρίνουσι καὶ φονεύουσι Παυσανίαν τὸν ἴδιον βασιλέα, Κλεομβρότου καὶ Ἀλκαθόας υἱόν. ἐπικότως δὲ διακείμενοι πρὸς Θεμιστοκλέα διὰ τὸν τειχισμὸν τῆς Ἀττικῆς, μεταστέλλονται αὐτὸν εἰς κρίσιν, φάσκοντες Παυσανίαν ὁμολογηκέναι καὶ αὐτὸν κοινωνεῖν ἐν τῇ προδοσίᾳ. Ἀθηναίων δὲ βουλομένων ἀποστέλλειν αὐτὸν, φυγὼν ἦκε πρὸς Ἀρταξέρξην, καὶ Μηδικὴν φωνὴν μαθὼν ἐδίδαξεν αὐτὸν πῶς ἔσωσε τὸν πατέρα Ξέρξην μὴ συγχωρήσας τοῖς Ἕλλησι διαλῦσαι τὰ ἐπὶ Σηστοῦ καὶ Ἀβύδου διαζεύγματα. ἐφ' οἷς εὐχαριστήσας ὁ βασιλεὺς δωρεῖται αὐτῷ τρεῖς πόλεις, Μαγνησίαν εἰς σῖτον, Λάμψακον εἰς οἶνον, Μυοῦντα εἰς ὄψα, ὡς δὲ Νεάνθης, καὶ Περκώτην εἰς στρωμνὴν καὶ Παλαίσκηψιν εἰς

στολήν. στρατὸν δὲ λαβὼν αὐτοῦ ἐπὶ πορθήσει τῆς Ἑλλάδος, περὶ τὴν Ἰωνίαν ἐν Μαγνησίᾳ γενόμενος, θύων, ὡς εἴρηται ἄνω, τελευτᾷ, καὶ μετὰ θάνατον τὸν μισοβάρβαρον ἐνδεικνύμενος τρόπον. λοιμωξάντων δὲ Ἀθηναίων, ὁ θεὸς εἶπε μετάγειν τὰ ὀστᾶ Θεμιστοκλέους. Μαγνήτων δὲ μὴ συγχωρούντων, ἠτήσαντο ἐπὶ λ' ἡμέραις ἐναγίσαι τῷ τάφῳ. καὶ περισκηνώσαντες τὸ χωρίον λάθρα κομίζουσιν ἀνορύξαντες τὰ ὀστᾶ. Σύμμαχος δέ φησι ψεύδεσθαι περὶ Θεμιστοκλέους. οὔτε γὰρ Ἡρόδοτος οὔτε Θουκυδίδης ἱστορεῖ. ἔστι γοῦν ἀπὸ Σοφοκλέους Ἑλένης

ἐμοὶ δὲ λῷστον αἷμα ταύρειον πιεῖν,
καὶ μή τι πλείους τῶνδ' ἔχειν δυσφημίας.

τινὲς δέ φασιν ὅτι Σοφοκλῆς περὶ Θεμιστοκλέους τοῦτό φησι. ψεύδονται δὲ, οὐ γάρ ἐστι πιθανόν.)

85. ἀγαθοῦ δαίμονος : Αἱρομένης τῆς τραπέζης μετὰ τὸ δεῖπνον ἄκρατον περιεφέρετο καὶ ἐκαλεῖτο ἀγαθοῦ δαίμονος. Ἄλλως. τὸ πρῶτον ποτήριον ἀγαθοῦ δαίμονος ἔπινον, τουτέστιν ἀγαθοῦ θεοῦ. (εὐφημεῖ δὲ τὸν Διόνυσον, ὡς πάτριον θεὸν, ἐπειδὴ καὶ ἐν τῇ Διονύσου ἑορτῇ, τουτέστι τοῖς Διονυσίοις, ἠγωνίζοντο οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταί.)

86. χρηστόν : ἀγαθὸν, συμφέρον. *R. Vict.*

87. περὶ ποτοῦ γοῦν ἐστί σοι : οὐκ ἐν τούτῳ, φησὶ, νῦν ἡμῖν τὰ πράγματα. *V. Vict.*

88. ἀγαθὸν, συμφέρον. V.

89. (ἀληθες οὗτος : Προπαροξυτόνως ἀναγνωστέον. αὕτη γὰρ χρῆσις τῶν Ἀττικῶν, ὅτε σημαίνει τὸ ἀληθές. ὅτε δὲ ὀξύνεται, τὸ ὄνομα.)

κρουνοχυτρολήραιον : Ἀντὶ τοῦ, φλύαρος εἶ. κρουνὸς γὰρ τὸ χύδην καὶ ἀκρίτως καὶ ἀθρόως ῥέον. λῆρον δὲ τὸ μάταιον. συνέθηκεν οὖν (ἀπὸ τοῦ κρουνοῦ καὶ τοῦ ληρεῖν, καὶ τῆς χύτρας, ἀναισθήτου οὔσης, ἵνα τὸ ὅλον δηλώσῃ τὸν ἀναίσθητον καὶ ἀνόητον καὶ περιττολόγον).

91. οἴνου γὰρ εὕροις ἄν τι : Πρακτικώτερον, ἐξεργαστικώτερον. Ὁμηρικὸν [Il. Z, 261] τὸ νόημα·

ἀνδρὶ δὲ κεκμηῶτι μένος μέγα οἶνος ἀέξει.

(Ἡρόδοτος δὲ [I, 133] τοὺς Πέρσας τοῦτον τὸν τρόπον βουλεύεσθαί φησιν. εἰ μὲν οὖν εἰσηγήσαιντό τι νήφοντες, βουλεύεσθαι περὶ τούτου ἐν μέθῃ καὶ κυροῦν, νήφοντες δὲ ἐπικυροῦν. Ἄλλως. Ἡρόδοτός φησι μέλλοντας τοὺς Πέρσας βουλεύεσθαι μεθύειν.)

92. (ὁρᾷς ὅταν πίνωσιν : Ὅρα τὸν Ἀριστοφάνην. ἀρχόμενον γὰρ σκέμματος, μεθύσκεσθαι, ἵνα μὴ νήφων δειλιάσῃ κωμῳδεῖν μεγάλους ἄνδρας.)

93. πλουτοῦσι : Μεθύοντες ταῦτα ἐπαγγέλλονται. *Vict.* διαπράττουσι : εὐτυχοῦσι. *V. Vict.*

95. οἴνου χοᾶ : Χοῦς μέτρον Ἀττικὸν χωροῦν κοτύλας ἡ'. ἔστι δὲ καὶ ἑορτὴ Ἀθήνησιν οἱ Χόες. κέκληται δὲ ἀπὸ τοιαύτης αἰτίας. Ὀρέστης μετὰ τὴν τῆς μητρὸς ἀναίρεσιν ἦλθεν εἰς τὰς Ἀθήνας παρὰ τὸν Πανδίονα, συγγενῆ καθεστηκότα, ὃς ἔτυχε τότε βασιλεύων τῶν Ἀθηναίων. κατέλαβε δὲ αὐτὸν εὐωχίαν τινὰ δημοτελῆ ποιοῦντα. ὁ τοίνυν Πανδίων παραπέμψασθαι μὲν τὸν Ὀρέστην αἰδούμενος, κοινωνῆσαι δὲ ποτοῦ καὶ τραπέζης ἀσεβὲς ἡγούμενος, μὴ καθαρθέντος αὐτοῦ τὸν φόνον, ὡς ἂν μὴ ἀπὸ τοῦ αὐτοῦ κρατῆρος πίνοι, ἕνα ἑκάστῳ τῶν κεκλημένων παρέθηκε χοῦν.

97. τῷ σῷ ποτῷ, ἀντὶ τοῦ τίνος ἡμῖν κακοῦ αἴτιος ἔσῃ. R.

99. καταπάσω : Πληρώσω. *V.* γεμίσω. V. *Vict.* καταποικιλῶ. R.

100. καὶ νοῖδίων : Λεπτῶν καὶ μεμεριμνημένων. (οὐ γὰρ ἐν ὑποκορισμῷ εἴρηκεν. Ἄλλως. διανοημάτων.) παρήγαγε δὲ ἀπὸ τοῦ πληθυντικοῦ τοῦ οἱ νοῖ τὸ νοίδιον ὑποκοριστικόν. (τινὲς δὲ, ὀνειδισμῶν καὶ λοιδοριῶν ἀπὸ τοῦ οἴνου καὶ τῆς μέθης, κακῶς.)

103. ἐπίπαστα λείξας : Τὰ ἐπιπασσόμενα μέλιτι ἅλευρα. (ἔτνος δὲ, ἦν ἀθάραν ἔλεγον. καὶ τὸ πίσινον ἔψημα. τὰ δὲ ἅλφιτα δημοσίᾳ πιπράσκεται. ἔθος δὲ εἶχον ποιεῖν πλακοῦντας ἢ ἄρτους καὶ ἐπιπάσσειν τινὰ καρυκεύματα [ἤγουν ἀρτύματα *Vict.*] ἁλμυρά. καὶ διὰ τοῦτο ἔφη τὰ ἐπίπαστα.)

δημιόπραθ' ὁ βάσκανος : Τὰ δημοσίᾳ πιπρασκόμενα, ἐκ δημεύσεως (καὶ τῶν δημευομένων) διὰ Κλέωνα (οὐσιῶν. ἢ δημιόπρατα ἔμιξεν ὡς ἐκ δημοσίου πράγματα αὐτοῦ κλέψαντος. Ἄλλως. τὰ τὸν δῆμον ἐξωνούμενα. τῷ γὰρ λέγειν τῷ δήμῳ κεχαρισμένα ὠνεῖτο τοῖς τοιούτοις λόγοις τὴν παρ' αὐτοῦ εὔνοιαν.)

104. (ῥέγκει : Διὰ τοῦ κ. συμβαίνει δὲ μάλιστα τοῦτο πάσχειν τοὺς μεθύοντας, ἢ τοὺς ὑπτίως ἀνακειμένους, ὥσπερ καὶ αὐτὸς ἐδήλωσεν ἐν ταῖς ἑξῆς λέξεσιν, εἰπὼν, « ἐν ταῖς βύρσαις ὕπτιος. » ῥέγκει οὖν ἀντὶ τοῦ, ποιὸν ἦχον ἀποτελεῖ τῇ ῥινί.)

(105). ἐγκάναξον : Ἔγχεε, ἐκκένωσον. λέγεται δὲ ἐπὶ τῶν ἀθρόως πινόντων. [οἱ δὲ ἐπὶ θορύβου τάττουσι τοῦτο παρὰ τὴν καναχήν. ἤγουν μετὰ ψόφου ἔγχεον.] — προσένεγκε, ἔκχεον. R.

(107). τὴν τοῦ δαίμονος τοῦ Πραμνίου : Τοῦ προσηνοῦς. ἤτοι ἀπὸ τῆς Πραμνίας ἀμπέλου, ἢ ἀπὸ τοῦ πραύνειν τὸ μένος. ἢ διὰ τὸ πολυχρόνιον παραμένειν. ἢ ἐν Πραμνίᾳ πέτρᾳ γινομένου, [ἢ πρὸς τὴν Θρᾴκην ἐστίν. Ἄλλως. δέον εἰπεῖν, τὴν τοῦ δαίμονος τοῦ ἀγαθοῦ, εἶπε Πραμνίου, ἐπειδὴ ὁ Πράμνιος οἶνος πολυτίμητός ἐστιν. ἢ παρὰ τὸ ἐμμένειν καὶ μὴ ἑστάναι τὸν πίνοντα.]

108. ὦ δαῖμον : [Ὡς ἐμπνευσθεὶς καὶ ἠδη πεπωκὼς τοῦτό φησι.] τοῦτο εἶπεν ὡς πιὼν καὶ εὑρών τι. πρὸς γὰρ τὸν οἶνον λέγει. R.

109. τὸ βιβλίον τῶν χρησμῶν. R.

112. δέδοιχ' ὅπως : Δέδοικα, φησὶ, μὴ διὰ τὸν δαίμονα τὸν ἀγαθὸν τύχω κακοῦ δαίμονος.

113. φέρε νῦν ἐγὼ 'μαυτῷ : Μόνος γενόμενος καὶ μηκέτι κωλυόμενος ὑφ' ἑτέρου ἀδεέστερον πίνει, ἕως ἐκεῖνος ἐκφέρει τοὺς χρησμούς.

114. ἄρδω : Ποτίσω. τὴν δὲ τροπὴν ἔλαβεν ἀπὸ τῶν φυτῶν.

115. (πέρδεται : Ὁμοιοκατάληκτον εἶπε τὸ ῥέγκεται. οὐ γάρ ἐστι δόκιμον οὕτω λέγειν.)

116. τὸν ἱερὸν χρησμὸν : (Δύο χρησμῶν δοθέντων τῷ Κλέωνι, ὡς φυλάσσοντος δὲ τοῦτον μάλιστα ὑπὲρ τοῦ μὴ ἔκπυστον αὐτὸν γενέσθαι. τοῦτο οὖν λέγει,) ὡς καὶ ἄλλους αὐτοῦ ἔχοντος. — (117) καὶ τοὺς κλέπτας σοφοὺς ἔλεγον. R. V.

119. ἀνύσας : Διαπραξάμενος, σπουδάσας.

(φέρ' ἴδω : Καταμάθω, κατανοήσω, καὶ ἐπισκέψωμαι, πότε γέγραπται, ἢ τί ποτε ὁ χρησμὸς λέγει.) αὐτόθι δὲ, τουτέστιν ἐν τῷ βιβλίῳ, ἢ ἐν τῷ χρησμῷ.

120. ὦ λόγια : (Μαντεύματα.) θαυμάζει δὲ τὸν χρησμὸν ἀναγνούς. (ἰδοὺ δὲ, ἀντὶ τοῦ λάμβανε, κράτει.)

128. ὦ Βάκι : Βάκις χρησμολόγος Ἀττικὸς καὶ ἕτερος Βοιωτικὸς, ἄλλος Ἀρκάς. R. (τρεῖς Βάκιδες ἐγένοντο. οὗτος μὲν Ἀττικὸς καὶ μάντις, ὁ δὲ Βοιωτὸς, ὁ δὲ Λοκρός.)

124. πολλῷ γ' ὁ Βάκις ἐχρῆτο : Ἀντὶ τοῦ πολλὰ ἔπινεν.

125. ἀντὶ τοῦ διὰ ταῦτα δεδοικὼς ἀπέκρυπτες καὶ ἐτήρεις. R.

126. ὀρρωδῶν : (Φοβούμενος, εὐλαβούμενος. ἀπὸ τοῦ τὸν ὄρρον τῶν δειλῶν ἰδίειν.) φοβούμενος, εὐλαβούμενος. ἐπειδὴ συμβαίνει τοῖς φοβουμένοις τὸν ὄρρον, τουτέστιν τὸν πρωκτὸν, ἱδροῦν. R. (τὸ ἑξῆς, ταῦτ' ὀρρωδῶν, ἐφυλάττου πάλαι τὸν περὶ σεαυτοῦ χρησμόν. ἀντικρυς δὲ,) φανερῶς, διαρρήδην.

129. στυππειοπώλης : Ὁ τὰ στυππεῖα πωλῶν, τουτέστι καννάβινα ἢ λινᾶ. δηλοῖ δὲ τὸν Εὐκράτην καὶ τὴν πολιτείαν αὐτοῦ. (ὃς στύππαξ ἐκαλεῖτο, διὰ τὸ στυππειοπώλης εἶναι, ὡς καὶ ἐν ἑτέροις. ἕξει δὲ, ἀντὶ τοῦ καθέξει, διοικήσει καὶ διαχειρίσει.)

131. πώλης : Παίζει παρὰ τὸ τέλος τοῦ ὀνόματος. — τὸ ἑξῆς τοῦ χρησμοῦ τί ἐπαγγέλλεται. R.

132. (προβατοπώλης : Τὸν Καλλίαν λέγει καὶ τὴν πολιτείαν αὐτοῦ. τινὲς δὲ, ὅτι Λυσικλέα λέγει, ὃς προβατοπώλης ἐλέγετο. — ᾧ ἐγαμήθη Ἀσπασία. Θ.)

133. (δύο τώδε πώλα : Ἔπαιξε τοῖς ὀνόμασι. παρὰ γὰρ τὸ ἀποδίδοσθαι καὶ πωλεῖν τοὺς πολιτευομένους τὰ τῆς πόλεως πράγματα. κρατεῖν δὲ,) ἄρχειν καὶ διέπειν τὰ πολιτικά. [136. δέον δὲ εἰπεῖν στρατηγὸς, Παφλαγών εἶπε.]

134. ἀντὶ τοῦ ἀσελγέστερος. R.

136. ἀντὶ τοῦ βυρσεύς. R.

137. (Κυκλοβόρου φωνὴν ἔχων : Κυκλοβόρος ποταμὸς τῶν Ἀθηναίων, οὐκ ἀεὶ οὐδὲ διὰ παντὸς ῥέων, ἀλλὰ χειμάρρους. φησὶν οὖν, τραχεῖαν φωνὴν ἔχων καθάπερ ὁ ποταμὸς ἐπειδὰν ῥέῃ. ἢ ἀπὸ τοῦ τρεφομένου ἐκ τοῦ κύκλου. ὁ δὲ κύκλος Ἀθήνησίν ἐστι, καθάπερ μάκελλος ἐκ τῆς κατασκευῆς τὴν προσηγορίαν λαβών. ἔνθα δὴ πιπράσκεται χωρὶς κρεῶν τὰ ἄλλα ὤνια, καὶ ἐξαιρέτως δὲ οἱ ἰχθύες. οὕτω τὸν Κλέωνα δυνάμενον μέγα καὶ φοβερὸν ὄντα χρηματίζεσθαι παρὰ τῶν πιπρασκόντων, ἵνα μὴ περιεργάζοιτο αὐτούς. καὶ ἴσως Ὁμηρικώτερον ὠνόμασεν. ὁ μὲν γὰρ Ὅμηρος [Il. A, 231] δημοβόρον φησὶ τὸν Ἀγαμέμνονα. Ἄλλως. ποταμὸς τῆς Ἀττικῆς χειμάρρους ὁ Κυκλοβόρος, ὑπὸ Ἀθηναίων χωσθείς. τὴν κακοφωνίαν οὖν τοῦ Κλέωνος εἴκασε τῷ ἤχῳ τοῦ ποταμοῦ. καὶ ἀλλαχοῦ [fr. 539]

ᾤμην δ' ἐγὼ τὸν Κυκλοβόρον κατιέναι.

ἔνιοι δὲ, τόπος κυκλοτερὴς, ἐν ᾧ τὰ ὤνια ἐπωλοῦντο, ἃ ἐσφετερίζετο ὁ Κλέων.)

138. δέον ἦν καὶ εἱμαρμένον. R. V.

140. πόθεν ἂν οὖν ἔτι γένοιτο : Ἔχων ἐν τῷ τέλει τὸ ὄνομα τὸ πώλης. (διαβάλλει δὲ τοὺς Ἀθηναίους, ὡς ἀγοραίους καὶ βαναύσους καθιστάντας τοὺς δημαγωγούς.)

141. ὑπερφυᾶ : Ὑπερβάλλουσαν, θαυμαστὴν καὶ λαμπράν. ἐξαίρει δὲ νῦν αὐτοῦ τὴν τέχνην, ἵνα μᾶλλον ὀνειδίσῃ φανείσης αὐτοῦ τῆς τέχνης λίαν εὐτελοῦς. (ἐξολῶν δὲ, ἐκβάλλειν μέλλων καὶ ἐξωθεῖν τῆς πολιτείας τὸν Κλέωνα. ἀλλαντοπώλην δὲ τὸν Ἀγοράκριτον λέγει οὕτως αὐτῷ πεπλασμένον κατὰ κωμικὴν παιδιάν.)

142. ἀντιβολῶ : παρακαλῶ, γονυπετῶ. R.

147. ὥσπερ κατὰ θεῖον εἰς ἀγοράν : Ἐπὶ τῶν ἐξαίφνης γινομένων, τουτέστιν εὐκαίρως ἐπιφαινομένων, κατὰ θεῖον ἔλεγον. ἐπεὶ οὖν καὶ ὁ ἀλλαντοπώλης αἰφνίδιον βουλομένοις μὲν, μὴ προσδοκήσασι δὲ ἐπεφάνη, οὕτως εἶπεν. (Ἄλλως. κατὰ θεοῦ πρόνοιαν. τοὺς δὲ ἐξαίφνης φαινομένους οὕτως ἔλεγον κατὰ θεῖον ὤφθαι, ὅ ἐστι κατὰ πρόνοιαν θεοῦ.)

149. ἀνάβαινε σωτὴρ τῇ πόλει : Ἵνα, φησὶν, ἐκ τῆς παρόδου ἐπὶ τὸ λογεῖον ἀναβῇ. (διὰ τί οὖν ἐκ τῆς παρόδου; τοῦτο γὰρ οὐκ ἀναγκαῖον. λεκτέον οὖν ὅτι ἀναβαίνειν ἐλέγετο τὸ ἐπὶ τὸ λογεῖον εἰσιέναι. ὃ καὶ πρόσκειται. λέγεται γὰρ καταβαίνειν) τὸ ἀπαλλάττεσθαι ἐντεῦθεν ἀπὸ τοῦ παλαιοῦ ἔθους. (τοῦτον δὲ οἱ μὲν Κλεώνυμον, οἱ δὲ Ὑπέρβολον, οἱ δέ φασιν Εὔβουλον εἶναι. ὡς ἐν θυμέλῃ δὲ τὸ ἀνάβαινε.)

150. (τί με καλεῖτε : Ὁ Ἀγοράκριτος, τουτέστιν ὁ ἀλλαντοπώλης, ταῦτα λέγει.) εἰσάγεται δὲ εἰς τὸ θέατρον (γελοίου χάριν) ἕντερα καὶ κοιλίας καὶ μαγειρικὴν τράπεζαν ἔχων. — ἀλλαντοπώλην Ἀγοράκριτον εἰσάγει κατὰ παιδιάν. R.

152. τοὐλεὸν : Τὸ τραπέζιον, (ἐν ᾧ ἦσαν οἱ ἀλλᾶντες. ἑλεοὶ γὰρ λέγονται αἱ μαγειρικαὶ τράπεζαι. καὶ Ὅμηρος) [Od. Ξ, 432] « βάλλον δ' εἰν ἑλεοῖσιν. »

154. προσκέψομαι : Περιεργάσομαι, (φησὶν, εἰσελθὼν,) καὶ κατανοήσω τί ποιεῖ ὁ Παφλαγών.

155. τὰ σκεύη : Τὸ ἀγγεῖον ἐν ᾧ ἔφερε τοὺς ἀλλᾶντας. — ἀλλάς εἶδος ἐντέρου κατεσκευασμένου, καὶ ἀλλαντοπώλης ὁ ἐντεροπράτης. *Vict.*

156. προσκύνησον. R.

157. ἰδού : Πεποίηκεν ὃ προσέταξε. (παρεπιγραφὴ δὲ καλεῖται τὰ τοιαῦτα πάντα.) ἀμοιβαῖα δέ ἐστι ταῦτα τοῦ ἀλλαντοπώλου καὶ ἑνὸς τῶν οἰκετῶν.

159. ταγὲ : Ἀρχηγὲ, ἡγεμών. καὶ Ὅμηρος [Iliad. Ψ, 160] « παρὰ δ' οἱ ταγοὶ ἄμμι μενόντων. »

160. [τὰς κοιλίας : Ὅμηρος διὰ παντὸς γαστέρας καλεῖ, οὐ κοιλίας.]

161. (ἀλλὰ καταγελᾷς : Ἀλλὰ χλευάζεις με καὶ γέλωτα τίθεσαι. ὅσον δὲ ἀπιστοῦντα ποιεῖ, τοσοῦτον δείκνυσιν αὐτὸν τῆς πολιτείας ἀνάξιον, οὐ τὸν ἀλλαντοπώλην διαβάλλειν βουλόμενος, ἀλλ' ὁμοῦ καὶ τῶν Ἀθηναίων καθαπτόμενος, οἳ τοιούτων ἀνέχονται πολιτευτῶν, καὶ διαβάλλων τὸν Κλέωνα, ὅτι αὐτός τε ἐκεῖνος ἦν εὐτελὴς καὶ ὑπὸ τοιούτου τῆς πολιτείας ἐκβληθήσεται.)

163. τὰς στίχας ὁρᾷς : Τὸ πλῆθος, τὰς τάξεις. τὸ γὰρ θέατρον αὐτῷ δεικνὺς ταῦτά φησιν.

164. (ἀρχέλας : Ἄρχων τοῦ λαοῦ. ἡγεμών. ἔξαρχος. δημαγωγός. ἔπαιξε δὲ τῷ ὀνόματι. φησὶ γὰρ ἄρξεις τοῦ ἑλεοῦ.)

165. πυκνός : Τῆς ἐκκλησίας. μετάθεσίς ἐστι στοιχείου. εἰ γὰρ πνύξ ἐστι, ἔδει πνυκός. νῦν δὲ πυκνός.

166. βουλὴν πατήσεις : Ὑποτάξεις, διαπαλαίσεις, καταπονήσεις. (ἢ ἀντὶ τοῦ καταφρονήσεις τοῦ βουλευτηρίου.)

(κλαστάσεις : Οἱ μὲν, κλονήσεις καὶ διασείσεις. οἱ δὲ, κραυγάσεις. βέλτιον δὲ, κλάσεις, ἀπὸ μεταφορᾶς τῶν τεμνομένων κλημάτων. Ἄλλως. ἐκ ῥιζῶν ἀνατρέψεις. ἔνθεν κλαστήριον τὸ δρέπανον, ᾧ κλαδεύουσι καὶ ξύλα καὶ κλήματα ἐν ταῖς ἀμπέλοις.)

167. (ἐν πρυτανείῳ : Πρυτανεῖον οἰκίσκος παρὰ τοῖς Ἀθηναίοις, ἔνθα σιτοῦνται δημοσίᾳ οἱ τῆς τοιαύτης τιμῆς παρ' αὐτοῖς τυχόντες. περισπούδαστον δὲ ἦν τῆς τοιαύτης δωρεᾶς τυχεῖν. ἐπὶ γὰρ μεγάλοις κατορθώμασι τὴν τοιαύτην ἀπεδίδουν χάριν.)

λαικάσεις : Δέον εἰπεῖν σιτήσεις. (ἢ ἐν πρυτανείῳ ἀριστήσεις. παρ' ὑπόνοιαν οὖν εἶπεν ὡς ἐν κωμῳδίᾳ), [ἀντὶ τοῦ πορνεύσεις. ὅθεν καὶ λαικάστρια ἡ πόρνη.]

170. ἐν κύκλῳ : Ἀπὸ τοῦ συμβεβηκότος τὰς κυκλάδας νήσους, κύκλῳ κειμένας, ὠνόμασε. (φησὶν οὖν, περίβλεψον. καὶ γὰρ τούτων ἄρξεις. ὁλκάδας δὲ τὰς ναῦς ἀπὸ τοῦ ἕλκειν.)

174. Καρχηδόνα : Παίζει πρὸς τὸ ἐνταῦθα κἀκεῖσε ὅρα. ἡ μὲν γὰρ πρὸς ἕω, ἡ Καρία, ἡ δὲ πρὸς δύσιν ἡ Καρχηδών, (ἡ λεγομένη Καρτάγενα. λέγει δὲ τὴν δύσιν. διαστραφήσομαι δὲ,) εἰ στρεβλωθήσομαι τοὺς ὀφθαλμούς. ἐπεὶ εἶπε στράφηθι. — ἐνταῦθα κἀκεῖσε. R.

175. διαστραφήσομαι : Πρὸς δὲ τὸ μὴ διαστρέφεσθαι τὰ μέλη χρῶνται καὶ νῦν ἔνια τῶν ἐθνῶν ὀργάνοις τισὶ μηχανικοῖς, ἃ τὸ σῶμα ποιεῖ τούτων ἀστραβές. *Victor.*

176. πέρναται : (Πιπράσκεται.) δέον εἰπεῖν διοικεῖται, ὁ δὲ εἶπε πέρναται πικρῶς, τουτέστι πιπράσκεται.

πέρναται : Πιπράσκεται, ἔνθεν καὶ πόρνη ἡ πωλοῦσα τὴν μίξιν. *Victor.*

181. (κἀξ ἀγορᾶς εἶ : Πάλιν διὰ τούτου δεικνύναι βούλεται, ὅτι ὑπὸ τῶν πονηροτάτων διοικεῖται τὰ τῶν Ἀθηναίων πράγματα, καὶ ὅτι μάλιστα εὐδοκιμοῦσιν οἱ τοιοῦτοι παρ' αὐτοῖς ὥσπερ καὶ ὁ Κλέων.)

182. οὐκ ἀξιῶ : Οὐχ ὑπολαμβάνω, οὐκ ἄξιον νομίζω.

187. οἷον πέπονθας ἀγαθὸν : Ὑπάρχεις. οἷον πλεονέκτημα ἔχεις. (γράφεται καὶ ὅσον.)

188. (οὐδὲ μουσικὴν ἐπίσταμαι : Ὅτι μουσικὴν τὴν ἐγκύκλιον παιδείαν φησί. γράμματα δὲ τὰ πρῶτα στοιχεῖα. δεῖ δὲ τοὺς διερχομένους [τοὺς ἀναγινώσκοντας *Vict.*] διὰ γραμμάτων παιδεύεσθαι. ἡ γὰρ παιδεία τοὺς ἀτόπους ἐκτρέπει λογισμούς). τὰ πρῶτα στοιχεῖα. R.

189. (πλὴν γραμμάτων : Οἱ γὰρ ἀξιώματος ἀντιποιούμενοι τὴν ἐγκύκλιον μάλιστα ἐπαιδεύοντο παιδείαν. ἡ δὲ ἐγκύκλιος παιδεία διὰ πάσης ἐχώρει καὶ παιδεύσεως καὶ ῥυθμοῦ παντὸς καὶ κινήματος. (ταύτην παιδευθῆναι τὸν Θηβαῖον Ἐπαμεινώνδαν καὶ ἄλλους δὲ πολλοὺς καὶ ἀγαθοὺς ἄνδρας παρὰ πλείοσιν ἱστορεῖται.)

καὶ ταῦτα μέντοι κακὰ κακῶς : Παροιμιῶδες, ἐπεὶ καὶ κακὰ κακῶς, ὅτι τὸ σύνολον, φησὶν, ἐπίστασαι γράμματα, τοῦτό σοι πρὸς τὴν πολιτείαν ἐστὶν ἀνωφελές. (ἀποτείνεται δὲ πρὸς τοὺς πολιτευομένους πάλιν διὰ τούτων. ἢ ὡς ἀμαθῶν ὄντων καὶ τυχόντων ἀνθρώπων πολιτευομένων, καὶ διὰ τοῦτο ῥᾳδίως χωρούντων ἐπὶ τὴν ἀδικίαν. ὡς τῆς παιδείας ἱκανῶς καθεστώσης ἀποδιῶξαι καὶ ἀπελάσαι τῆς ψυχῆς τοὺς πονηροὺς λογισμούς. διὰ τὴν συγγένειαν δὲ τὸ κακὰ κακῶς οὐ καλῶς, ἀλλὰ κακῶς ἐπίστασθαι.)

190. τουτί σε μόνον ἔβλαψεν : Ἀμείνων ἦσθα, φησὶν, εἰ μηδὲ τὴν ἀρχὴν ἐπειράθης τῶν γραμμάτων.

191. (ἡ δημαγωγία γὰρ : Ἡ τῶν δημαγωγῶν ἀρχὴ, φησὶν, οὐκέτι τοῖς σοφοῖς οὐδὲ τοῖς ἀξιολόγοις ἐγχειρίζεται.)

193. [ἀλλὰ μὴ παρῇς : Μὴ ὑπερίδῃς, μὴ ἀπώσῃ μηδὲ παραπέμψῃ τοιοῦτον καιρὸν παραπεπτωκότα.]

196. ἠνιγμένος : (Μετὰ αἰνίγματος λελεγμένος, οὐκ αὐτόθεν φανερὸν ἔχων τὸν νοῦν. τοῦτο δὲ παρόσον οἱ χρησμοὶ λοξῶς ἐκφέρονται ὑπὸ τοῦ Ἀπόλλωνος. Ἄλλως.) μετὰ αἰνίγματος, οἷον ἄλλα μὲν λέγων, ἄλλα δὲ δηλῶν.

197. (ἀλλ' ὁπόταν μάρψῃ : Αὕτη ἀρχή ἐστι τοῦ χρησμοῦ. ὁρᾷς ὅτι ἐμπεπληγμένος τοῖς λόγοις ἀσάφειαν κατὰ τὴν ἑρμηνείαν ἐργάζεται.)

βυρσαίετος : Τὸν Κλέωνα λέγει. (πολλάκις γὰρ προειρήκαμεν ὅτι διαβάλλει τὸν Κλέωνα.) συνέθηκε δὲ τὴν λέξιν ἀπὸ τῆς βύρσης καὶ τοῦ ἀετοῦ, ἅμα τε ὡς βυρσοδέψην κωμῳδῶν τὸν Κλέωνα (καὶ ὡς κλέπτην καὶ ἅρπαγα τῶν κοινῶν. ἁρπακτικὸν γὰρ τὸ ζῷον ὁ ἀετός. τὸ δὲ) ἀγκυλοχείλης ἐπίθετον τοῦ ἀετοῦ, (ὁ ἐπικαμπεῖς τὰς χηλὰς ἔχων.) ἐπὶ δὲ Κλέωνος, ἀγκύλας τὰς χεῖρας ἔχων πρὸς τὸ κλέπτειν καὶ ἁρπάζειν. (διὰ τοῦτο ἀετῷ αὐτὸν ἀπείκασε.)

198. (γαμφηλῆσι : Σιαγόσι. δράκοντα, τὸν ἀλλᾶντα. κοάλεμον, τὸν κολούοντα καὶ παύοντα τὰ κακά. ὅτι καὶ αὐτὸς ἤμελλε παύσειν τὸν Κλέωνα.)

κοάλεμον : (Τὸν Ἀγοράκριτον οὕτως εἶπεν.) ἔγκειται δὲ τῇ λέξει τό τε ἠλεὸν καὶ τὸ κοεῖν, ὅ ἐστι νοεῖν. (τὸν οὖν ἀνόητα καὶ μάτην κοοῦντα κοάλεμον εἶπεν.)

αἱματοπώτην : Καὶ τοῦτο οἰκείως ἐπὶ τοῦ δράκοντος· αἱματοποτεῖ γὰρ τὸ ζῷον· καὶ ἐπὶ τοῦ ἀλλαντοπώλου. τὰ γὰρ ἕντερα καὶ τοὺς ἀλλᾶντας μετὰ αἵματος (καὶ πιμελῆς καὶ ἁλφίτων φυρῶντες) πληροῦσιν. (αἱματοπώτην οὖν τὸν αἷμα καταναλίσκοντα καὶ ὥσπερ ἐκροφοῦντα.)

199. σκοροδάλμη : (Ἡ πικρία τοῦ σκορόδου καὶ τῆς ἅλμης,) τὸ μετὰ τῆς ἅλμης τρίμμα τῶν σκορόδων. οἷον ἡ ὁριμύτης. εἶπε δὲ Παφλαγόνων, διὰ τὸν Κλέωνα, ἐπειδὴ Παφλαγὼν ἦν.

200. ὀπάζει : Δίδωσι, παρέχει. *Vict.*

203. (βυρσαίετος : Ἀμφιβόλως ἐξενήνεκται κατὰ τὴν φράσιν. δύο δὲ αἴτια εἰς ταυτὸ παραλαμβανόμενα ἀμφιβολίαν ἐργάζονται. εἴρηται δὲ παρὰ τὴν βύρσαν καὶ τὸ ἁρπάζειν.)

208. εἶθ' αἱματοπώτης : Παρόσον εἰώθασι τοὺς ἀλλᾶντας μετὰ αἵματος φυρᾶν.

210. αἶκε μὴ θαλφθῇ : Καταθαλφθῇ, καταπλαγῇ ταῖς λοιδορίαις, τουτέστιν ἐὰν μὴ εἴξῃ μηδὲ παραχωρήσῃ λοιδορούμενος. Ἄλλως. ἀπάτῃ ἀπατηθῇ καταπτήξας τὰς λοιδορίας Κλέωνος. αἰκάλλει δὲ, θωπεύει με. γράφεται δὲ καὶ καλεῖ με, ἀντὶ τοῦ κινεῖ, προτρέπεται. ἐπιτροπεύειν δὲ, ἄρχειν, διοικεῖν. φαυλότατον δὲ, εὐτελὲς, βραχὺ, ἁπλοῦν.

213. φαυλότατον : Ῥᾴδιον. *Vict.* ῥᾴδιον, εὐτελές. *V.*

214. (τάραττε : Παρῳδίας τρόπον. παρῴδησε γὰρ τὸν ἴαμβον ἐξ Ἡρακλειδῶν [?] Εὐριπίδου. μεταφορικῶς δὲ τοῖς ὀνόμασι χρῆται ἐπὶ τῆς πολιτείας, καὶ τῇ τοῦ ἀλλαντοπώλου τέχνῃ. τάραττε, φησὶ, καὶ συμφύρα τὰ πράγματα.)

χόρδευε : Τὰ ἔντερα τῶν τετραπόδων χορδὰς καλοῦσι. καὶ τοῦτο οὖν ἀπὸ τῆς τέχνης τοῦ ἀλλαντοπώλου τὸ ὄνομα εἴρηται. (Hic desinunt scholia Ravenn.) ὥσπερ γάρ, φησὶ, γεμίζεις καὶ πληροῖς τὰ ἔντερα παντὸς τοῦ φυράματος, οὕτωσὶ χόρδευε καὶ τὰ πολιτικά. Ἄλλως. παρὰ τὸ χορδεύειν. χορδὴ γάρ ἐστι τὸ λεπτὸν ἔντερον, ὃ εἰώθασι πλέκειν οἱ μάγειροι. διαβάλλει δὲ πάλιν τοὺς στρατηγοὺς ταράττοντας καὶ χορδεύοντας, τουτέστιν εἰς πλοκὰς ἐμβάλλοντας τὴν πόλιν.

216. ὑπογλυκαίνων : Ἡδύσμασι χρώμενος καὶ ἀρτύμασι καὶ κολακείαις.

219. ἔχεις ἅπαντα : Σύμφωνά σοι ἔχεις, καὶ ἁρμόζεις εἰς ἅπαντα. πάλιν δὲ ἐνταῦθα αὐτῶν καθάπτεται τῶν Ἀθηναίων καὶ τῶν πολιτευομένων, ὡς τοῖς μὲν τοιούτοις ἐγχειριζόντων τὰ δημόσια, τῶν δὲ πολιτευομένων οὕτω πεφυκότων.

220. συμβαίνουσι : συμπράττουσιν. *V. Vict.*

221. Τῷ Κοαλέμῳ : Ἀντὶ τοῦ ἀνοίᾳ. ἀναπλάττει δὲ αὐτὴν ὡς δαίμονα. τοῦτο δὲ παρῴδησεν ἐκ τῆς τραγῳδίας. ἀνέπλασε δέ τινα δαίμονα ἀπὸ τῶν προειρημένων κωμικῶς. τουτέστιν ἀπατητικῷ καὶ ἀνοήτῳ δαίμονι. ἢ τῷ κωλύοντι τὸν ἄνεμον καὶ παύοντι δαίμονι. ἢ τῷ ἀλλαντοπώλῃ.

222. χὤπως : λείπει τὸ σκόπησον. ἀμυνεῖ : καταγωνιεῖ. *V.*

224. βδύλλει : Καταπέπληγε, βδελύττεται, τουτέστι μισεῖ.

225. ἀλλ' εἰσὶν ἱππῆς ἄνδρες ἀγαθοὶ χίλιοι : Οἱ ἱππεῖς ἐπέθοντο αὐτῷ, ἐπεὶ ὅτε ἦν εἷς αὐτῶν, κακῶς αὐτοὺς διέθηκεν. ἱππεῖς οὖν τάγμα ἐστὶν ἐν τῇ Ἀττικῇ, ἀφ' ὧν ὁ χορὸς σύγκειται τῷ δράματι. ὅθεν καὶ τὴν ἐπιγραφὴν πεποίηται.

226. μισοῦντες αὐτὸν : Θεόπομπος ἐν δεκάτῳ Φιλιππικῶν φησὶν ὅτι οἱ ἱππεῖς ἐμίσουν αὐτόν. προπηλακισθεὶς γὰρ ὑπ' αὐτῶν καὶ παροξυνθεὶς ἐπετέθη τῇ πολιτείᾳ, καὶ διετέλεσεν εἰς αὐτοὺς κακὰ μηχανώμενος. κατηγόρησε γὰρ αὐτῶν ὡς λειποστρατούντων. διὰ τοῦτο οὖν ἐμνήσθη αὐτῶν Ἀριστοφάνης.

228. ὅστις ἐστὶ δεξιός : Ἀγαθὸς, εὔνους ἡμῖν, ἀπεχθόμενος πρὸς τὴν τοῦ Κλέωνος πονηρίαν.

229. ξυλλήψεται : Συμμαχήσει. *Vict.*

230. ἐξεικασμένος : Πεπλασμένος πρὸς ὁμοιότητα. ἔθος γὰρ ἦν τοῖς κωμικοῖς ὅμοια τὰ προσωπεῖα ποιεῖν τοῖς κωμῳδουμένοις, ἵνα φανεροὶ ὦσιν ὑπ' αὐτῶν, καὶ περιτιθέναι τοῖς ὑποκριταῖς. Ἄλλως. οὐκ εἶχεν αὐτοῦ προσωπεῖον διὰ τὸ δεδοικέναι τοὺς σκευοποιοὺς καὶ μὴ θέλειν μήτε πλάττειν μήτε σχηματίζειν τὴν ὄψιν τοῦ Κλέωνος. λέγει οὖν ὅτι μηδενὸς ὑποστάντος αὐτὸν ὑποκρίνεσθαι, αὐτὸς ὁ Ἀριστοφάνης μιλτώσας ἑαυτὸν ὑπεκρίνατο, ἢ τῇ τρυγίᾳ χρίσας ἑαυτόν. — ἐξεικασμένος : Ὁμοιωθείς. *Vict.*

235. μὰ τοὺς δώδεκα θεούς : Τοῦτο ὁ Κλέων λέγει ἰδὼν ὁμιλοῦντας, καὶ μὴ εἰδὼς περὶ τοῦ ὁμιλοῦσι, συνωμότας αὐτοὺς καλεῖ. πικρῶς οὖν κατὰ τοῦ Κλέωνος ἐκφέρονται, ὡς τοιαῦτα αὐτοῦ συκοφαντοῦντος ἀπὸ μικρῶν καὶ εὐτελῶν προφάσεων. [χαιρήσετον δὲ, χαίροντες ἀπαλλαχθήσεσθον.]

236. ξυνώμνυτον : Ξυνωμοσίαν ἐποιήσατε, τουτέστιν ὅρκους καὶ πίστεις ἀλλήλοις δεδώκατε, ἵνα ὁμοφωνήσητε κατὰ τοῦ δήμου.

237. τὸ Χαλκιδικὸν ποτήριον : Ἐγνωμὲν ὅτι ὁ θεράπων ἔπινε καὶ εἶχεν ἐπὶ χεῖρας τὸ ποτήριον. ἰδὼν οὖν ὁ Κλέων, προφάσει καὶ τούτῳ κέχρηται τῆς συκοφαντίας, καὶ τὸ ποτήριον εὐθύνει ὡς Χαλκιδικόν. κωμῳδεῖ δὲ αὐτὸν ὡς καὶ ἐπὶ τοῖς τυχοῦσι μεγάλα μεμφόμενον. οἱ δὲ Χαλκιδεῖς εἰσὶ μὲν ἐπὶ τῆς Εὐβοίας ἄποικοι Ἀθηναίων, εἰσὶ δὲ καὶ ἐπὶ Θράκης οἱ Χαλκιδεῖς, ἄποικοι ὄντες ἀπὸ τῆς Εὐβοίας. πολλὰ δὲ ἦν τότε χωρία τῆς Θράκης ὑπακούοντα τοῖς Ἀθηναίοις. περὶ ὧν νῦν λέγει. καὶ γὰρ ἐπὶ Θράκης Χαλκιδεῖς ἦσαν ὑπήκοοι τῶν Ἀθηναίων. φησὶν οὖν ὅτι τὸ ποτήριον τοῦτο Χαλκιδικόν ἐστι. καὶ πόθεν ὑμεῖς αὐτὸ ἔχετε, εἰ μὴ δῶρον ὑμῖν ἐδόθη, ἵνα ἀποστῶσιν; ἔλαβε δὲ τὴν πρόφασιν εὔκαιρον τοῦ ὀνόματος τῶν Χαλκιδέων, διὰ τὸ κατ' ἐκεῖνον τὸν καιρὸν ἀποστῆναι αὐτοὺς τῶν Ἀθηναίων. ἀπέστησαν δὲ ἀπὸ Ἀθηναίων Χαλκιδεῖς ἐπὶ Εὐκλείδου ἄρχοντος.

238. Χαλκιδέας ἀφίστατον : Πόλις Εὐβοίας, ἄποικοι Ἀθηναίων. ἐχρῶντο δὲ τοῖς ὀστρακίνοις εἰς τὰ συμπό-

σια. ὡς ἀεὶ οὖν τοῦ Κλέωνος δι' ἐλάχιστόν τι κατηγοροῦντος. χωρίζετε οὖν, φησὶ, Χαλκιδέας ἀπὸ τῆς τῶν Ἀθηναίων συμμαχίας.

240. ὦ γεννάδα : Τοῦτο ὁ θεράπων πρὸς τὸν Ἀγοράκριτον. ἔν τισι δὲ οἱ δύο στίχοι οὐκ ἔγκεινται.

242. ἄνδρες ἱππεῖς : Ὡς συκοφαντούμενοι ἐπικαλοῦνται εἰς βοήθειαν τοὺς ἱππέας. ἵππαρχοι δὲ ὁ Σίμων καὶ ὁ Παναίτιος.

243. πρὸς τὸ δεξιὸν κέρας : Ὡς ἐπὶ τάξεως φησὶν. ὁ δὲ Παναίτιος ὡς μέγας τῶν ἱππέων κωμῳδεῖται. τινὲς δέ φασι τὸ μὲν « ἄνδρες ἱππεῖς » ἀλλαντοπώλην λέγειν, ἄλλοι δὲ τὸ « ἄνδρες ἐγγύς, » τὸν θεράποντα.

244. κἀπαναστρέφου : Ὡς τοῦ ἀλλαντοπώλου πεφευγότος, εἶπεν ἀναστρέφου.

245. ὡς ὁμοῦ προσκειμένων : Τὸ ὁμοῦ λέγουσιν Ἀττικοὶ ἀντὶ τοῦ ἐγγύς. ὡς καὶ ἐν Εἰρήνῃ [513] « καὶ μὴν ὁμοῦστιν ἤδη. »

247. παῖε παῖε : Ἐντεῦθεν ἡ πάροδος γίνεται τοῦ χοροῦ ἀπὸ τῶν ἱππέων συμπληρουμένου. οἵτινες ἐπικαλουμένου ἀκούσαντες τοῦ θεράποντος, εὐθέως ἀφικνοῦνται βοηθήσοντες αὐτῷ. ταραξιππόστρατον δὲ καλοῦσι τὸν Κλέωνα, τουτέστι τὸν ταράξαντα τὸ πλῆθος τὸ ἱππικόν. τοῦτο δὲ εἶπεν, ἵνα δόξωσιν εἰκότως αὐτῷ χαλεπαίνειν καὶ αὐτοὶ καὶ πολεμεῖν. ἢ ἵνα τὸν Κλέωνα δείξῃ διὰ πάντων λυμαινόμενον τὴν πόλιν, διαφθείροντα μὲν τὸ ἱππικὸν, σφετεριζόμενον δὲ τοὺς φόρους. [εἴσθεσις δὲ τῆς διπλῆς ἀμοιβαίας ἑτέρων εἰσιόντων ὑποκριτῶν. οἱ δὲ στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ λζ'. ὧν τελευταῖος

καὶ τέμαχος οὔ Περικλῆς οὐκ ἠξιώθη πώποτε.

ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει τῶν στίχων διπλῆ ἔξω νενευκυῖα.] κορωνὶς, ὅτι εἰσέρχεται ὁ χορὸς τῶν ἱππέων, καὶ πάλιν στίχοι τροχαϊκοὶ λθ'. V.

248. καὶ τελώνην : Διεβέβλητο τὸ τοῦ τελώνου ὄνομα, ὡς καὶ τοῦ Κλέωνος ὄντος τελώνου, καὶ ὑπὲρ τὸ τέλος τελωνοῦντος. φάραγξ δὲ, τὸ ἀπόσχισμα τῆς γῆς, ὃ τὸ παρεμπῖπτον ὕδωρ πίνει. τοῦτο δὲ καὶ εἰς τὸ κακόφωνον αὐτοῦ. χάρυβδιν δὲ ἁρπαγῆς, ὡς πᾶν ὁτιοῦν ἁρπάζοντα.

φάραγγα : Τὸ τῆς γῆς βάραθρον. ὃ, ἐὰν εἰς αὐτὸ ὕδωρ ἐμπέσῃ, ἀφανὲς ποιεῖ. εἰς ἀΐδηλον γὰρ τὸ ὕδωρ καταναλίσκεται. τοῦτο δὲ διὰ τὸ κακόφωνον τοῦ Κλέωνος καὶ τὸ κράζειν ὡς ἐπὶ τῶν πετρῶν τὰ κύματα.

252. κἀπικείμενος : Ἀντὶ τοῦ τύπτων αὐτόν. διὰ δὲ Κλέωνα τοῦτο πάλιν λέγει, ἐπειδὴ κεκράκτης ἦν.

253. οἵδε τὰς ὁδοὺς : Ἐπίσταται, φησὶ, τὰς καταδύσεις Εὐκράτους τὰς ἐπὶ τὰ κυρήθια. κυρήθια δέ εἰσι τὰ πίτυρα καὶ ἄχυρα τῶν πυρῶν ἢ κριθῶν. μυλῶνας δὲ ἔχων ὁ Εὐκράτης εἰκότως εἶχε καὶ κυρήθια. ἐκωμῴδησεν οὖν εὐκαίρως αὐτὸν ὡς μυλωνάρχην καὶ ὡς πρὸ αὐτοῦ πολιτευσάμενον καὶ πεφευγότα. τινὲς δὲ, ὅτι ἦν μυλωνάρχης.

254. κυρηθίων : Ἔνθα αἱ κάχρυς φρύγονται. κάχρυς δέ εἰσιν αἱ λελεπισμέναι κριθαὶ, ἀφ' ὧν ἡ πτισάνη. σκώπτει δὲ καὶ τὸν Εὐκράτην ὡς τοιαύτην τέχνην ἔχοντα. ἐν ἄλλοις γοῦν [fr. 540] φανερώτερόν φησι « καὶ σὺ κυρηθιοπῶλα Εὔκρατες στύπαξ. » —τῶν μυλώνων. κυρήθια γὰρ τὰ πίτυρα τῶν κριθῶν. V.

255. ὦ γέροντες Ἡλιασταὶ : Τοῦτο ὁ Κλέων λέγει, καὶ αὐτὸς ἐπικαλούμενος τοὺς δικαστὰς εἰς βοήθειαν. Ἡλιαία γὰρ μέγιστον δικαστήριον Ἀθήνησιν. οἱ δὲ δικασταὶ ὑπὸ τῶν δημαγωγῶν ἐτρέφοντο, τριώβολον λαμβάνοντες μισθὸν δικαστικὸν μετὰ τὸ κρῖναι. ὡς δημαγωγὸς οὖν ἐπικαλεῖται οὓς ἔτρεφε [φράτορας ἤγουν συγγενεῖς Vict.]. συγγενεῖς δὲ εἶπε τριωβόλου, οἷον προσῳκειωμένοι καὶ προσπεφυκότες τῷ τριωβόλῳ. καὶ γὰρ τοὺς συγγενεῖς φράτορας καλοῦσιν. εἰσὶ δὲ οἱ τῆς αὐτῆς φατρίας μετέχοντες, οἷον πατρίας τινός. ὁ γοῦν Ὅμηρος [Il. N, 354] τὴν αὐτὴν πάτραν λέγει,

ἣ μὰν ἀμφοτέροισιν ὁμὸν γένος ἠδ' ἴα πάτρη.

καὶ κατὰ ἀναφορὰν πάτρη καλεῖται. μεταπέπτωκε δὲ τὰ στοιχεῖα. καθάπερ ἐπὶ τοῦδε, ὁ φάτριος Ζεὺς καὶ ὁ πάτριος. τὸ δὲ τριώβολον ἡμίδραχμόν ἐστιν. Ἡλιαία δὲ καλεῖται, διὰ τὸ ὑπαίθριον αὐτὸ εἶναι καὶ ὑπὸ τῷ ἡλίῳ καθέζεσθαι τοὺς συνελθόντας δικαστάς.

256. οὓς ἐγὼ βόσκω : Πικρῶς ὡς θρέμμασιν αὐτοῖς κέχρηται ἀλόγοις. βόσκειν γὰρ ἐπὶ τῶν ἀλόγων ζῴων τίθεται. τὸ δὲ δίκαια κἄδικα, οἷον ἐκ δικαίου [καὶ ἀδικου].

257. ξυνωμοτῶν : Ξυνωμοσίαν πεποιημένων, τουτέστι πίστεις δι' ὅρκων διδόντων αὐτοῖς καὶ συνθήκας κατ' ἐμοῦ πεποιηκότων. Ἄλλως. προδοτῶν τοῦ δήμου. τῶν συνομνύντων ἐπὶ τῇ καθαιρέσει τοῦ δήμου.

258. πρὶν λαχεῖν : Πρὶν χειροτονηθῆναι, πρὶν κληρωθῆναι. πρὸ διανομῆς, φησὶν, ἁρπάζεις. ἡ μεταφορὰ ἀπὸ τῶν ἐν τοῖς δείπνοις ἁρπαζόντων πρὸ διανομῆς.

259. κἀποσυκάζεις : Συκοφαντεῖς. ἐχρήσατο δὲ τῷ ὀνόματι, ἀφ' οὗ καὶ συκοφάντης ἐκέκλητο. τὸ γὰρ παλαιὸν τίμια παρὰ τοῖς Ἀθηναίοις τὰ σῦκα ἦν, καὶ εἴ τις διαβληθείη κλέπτων, ἐκολάζετο. φαίνειν δὲ ἔλεγον τὸ κατηγορεῖν. Ἄλλως. συκάζειν τὸ ἀποθλίβειν τὰ σῦκα, εἰ ὠμὰ ἢ πέπειρα. καλῶς οὖν ἐπήνεγκε τὸ ἀποπιέζων, ἐπεὶ ἀποθλίβει τοὺς συκοφαντουμένους καὶ πιέζει δωροδοκῶν.

τοὺς ὑπευθύνους σκοπῶν : Διαλογιζόμενος, καὶ ὁρῶν, καὶ πολυπραγμονῶν. [ὠμός δὲ, σκληρὸς, δυσκαταμάχητος. ἀντὶ δὲ τοῦ εἰπεῖν πένης, ἢ πλούσιος, ἐπέμεινε τῇ μεταφορᾷ ὡς ἐπὶ σύκων.] τὸ δὲ πέπων ἢ μὴ πέπων ἀντὶ τοῦ ἁπαλὸς, ῥᾳδίως διασεισθῆναι δυνάμενος. μεταφορικῶς δὲ ἀπὸ τοῦ συκάζειν τούτοις τοῖς ὀνόμασι κέχρηται. ὠμὰ γὰρ τὰ μηδέπω ὡριμακότα. ὥσπερ οὖν ἐπὶ τῶν καρπῶν ἐκ μὲν τῶν πεπανθέντων ἔστι δρέψασθαι καὶ φαγεῖν, ἐκ δὲ τῶν ἀώρων καὶ ὠμῶν οὐκέτι, οὕτως, φησὶ, καὶ ἐπὶ τῶν ἀνθρώπων ὁ Κλέων διελογίζετο, καὶ διέκρινε τίς ἐπιτήδειος διασεισθῆναι καὶ τίς σκληρὸς καὶ δυσκαταμάχητος. ὑπευθύνους δὲ,

τοὺς μηδέπω λογισμὸν παρεχομένους, μηδὲ εὐθύνας τῆς ἀρχῆς ἧς ἐπιστεύθησαν.

261. [ἀπράγμονα : Ἐπιεικῆ καὶ μέτριον τοὺς τρόπους. οὐ φιλοπράγμονα.]

262. ἐκ Χερρονήσου : Χερρόνησος τῆς Θράκης χωρίον καὶ πόλις, ὑποτελὴς τῶν Ἀθηναίων, εὔφορος εἰς πυροῦ γεωργίαν· ὅθεν καὶ ἐσιταγώγουν οἱ Ἀθηναῖοι. ὡς ἰδιοπραγμόνων δὲ καὶ ἰδιωτῶν ὄντων τῶν Χερρονησιωτῶν καὶ διασείεσθαι δυναμένων ῥᾳδίως, μάλιστα δὲ τοῦ Κλέωνος ἐπηρεάζοντος αὐτοὺς, τούτων ἐμνήσθη. ὅθεν ὡς ἐπὶ ἀγροίκων καὶ τῷ καταγαγόν ἐχρήσατο, σημαντικῶς, ὥσπερ ἀπ' ἀγροῦ τινος μετακαλουμένων καὶ κατιόντων εἰς πόλιν. Ἄλλως. ὡς καταγαγόντος αὐτοὺς συμμάχους εἰς Ἀθήνας καὶ συκοφαντοῦντος καὶ ἀργυριζομένου.

κατάξας, μετακαλεσάμενος.

ἀγκυρίσας : Ὑποσκελίσας, οἷον τῇ ἀγκύλῃ καταβαλών, [ὅπερ ἐστὶν ἀκοντίου εἶδος, ἢ καταπαλαίσας]. παλαιστρικὰ γάρ εἰσι ταῦτα, καὶ τὸ διαβαλών καὶ τὸ ἀγκυρίσας. [καὶ ἀγκύρισμα εἶδος παλαίσματος, καὶ σκεῦος ἀγρευτικὸν σύκων.]

263. ἐνεκολάβησας : Ἄκολος, ψωμὸς, ὅθεν τὸ ἐνεκολάβησας ἀντὶ τοῦ καταπέπωκας. τὸ δὲ ὅλον, καταπαλαίσας αὐτὸν ἐκπεριελθὼν καὶ διασείσας ἀργυρίζεται. τὴν βίαν δὲ ᾗ ἐκέχρητο κατὰ τῶν ἀνθρώπων διὰ τῆς πάλης ἐδήλωσε.

264. καὶ σκοπεῖς γε τῶν πολιτῶν : Διακρίνεις καὶ ἀναζητεῖς. ὁ δὲ νοῦς αὐτῷ πᾶς τοῦτο λέγειν βούλεται, ὅτι οὐ τῷ προειρημένῳ ἐπηρεάζει τρόπῳ, ἀλλ' εἴ τις καὶ τοιοῦτό τι ποιεῖ, ἀναζητεῖ καὶ διακρίνει τίς ἐστι τῶν πολιτῶν ἀμνοκῶν, οἷον προδατώδης, τουτέστι μωρὸς καὶ εὐήθης. τὰ γὰρ πρόδατα ἐπὶ εὐηθείᾳ διαβάλλεται.

265. καὶ τρέμων τὰ πράγματα : Εὐλαβούμενος καταστῆναι εἰς πράγματα. πολλοὶ γὰρ οὐ διὰ δειλίαν, ἀλλ' ἦθος καὶ τρόπων ἐπιείκειαν αἱροῦνται ζημιωθῆναι μᾶλλον ἢ χωρῆσαι διὰ δίκης. καὶ τοὺς τοιούτους ἐπιλεγόμενος, φησὶν, ὁ Κλέων καταστήσας εἰς φόβον τοῦ παρέξειν πράγματα ἐπηρεάζει ῥᾳδίως.

269. ὡς δ' ἀλαζὼν : Ἀλαζών, ὁ μείζονα τῆς ἑαυτοῦ ἀξίας κομπάζων καὶ φρονῶν. μάσθλης δὲ κυρίως ἱμὰς μεμαλαγμένος καὶ ἁπαλὸς καὶ τρυφερός. καλῶς οὖν ἐπὶ τοῦ Κλέωνος τῷ ὀνόματι κέχρηται, ὁμοῦ καὶ τὸ τοῦ τρόπου ὕπουλον καὶ τὸ λαγαρὸν αὐτοῦ δεικνὺς, καὶ σκώπτων ὡς βυρσέα. ἀφ' ὧν οἱ ἱμάντες γίγνονται κατεργασθέντες τοιοῦτοι. [μάσθλης οὖν ὁ μεμαλαγμένος ἐν πονηρίᾳ.]

εἶδες οἵ ὑπέρχεται : Ὡς ὑπάγεται τὸν δῆμον ὑποτρέχων καὶ κολακεύει καὶ καταπραΰνει ἁπάγων τὴν ὀργὴν ἅπασαν τὴν πρὸς αὐτόν.

270. ὥσπερεὶ γέροντας : Ὥσπερ, φησὶ, τοὺς γέροντας δικαστὰς ἐκπανουργῆσαι, οὕτω καὶ ἡμᾶς ἐπιχειρεῖ ἀπατᾶν. κόβαλα γὰρ καλοῦσι τὰ πανουργήματα.

ἐκκοβαλικεύεται : Ἀπατᾷ, παραλογίζεται, ληστεύει. κόβαλοι γὰρ οἱ μετὰ ξύλου λῃσταί. τοὺς αὐτοὺς καὶ κορυνηφόρους καλοῦσιν. [κορύνη ῥόπαλόν ἐστιν. *Vict.*] οἱ δὲ, κόβαλον τὴν μετὰ ἀπάτης παιδιάν.

271. ἀλλ' ἐὰν ταύτῃ γε νικᾷ : Τῇ πανουργίᾳ λέγει. ὅτε ἐν τῇ πανουργίᾳ νικήσει, αὐτῇ τῇ πανουργίᾳ πεισθήσεται. Ἄλλως. τὰς χεῖρας δείκνυσιν. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν παλαιόντων. διὸ, φασὶ, καὶ τὸ κυρηβάσει.

272. κυρηβάσει : Κυρηβασία λέγεται ἡ διὰ τῶν κεράτων μάχη, ἥπερ ἐν τοῖς ἀλόγοις ζῴοις γίνεται. τοῦτο οὖν δηλοῖ, ὅτι ἡ μάχεται ἢ πλήξει. κυρηβάσεις γὰρ λέγονται αἱ πλήξεις τῶν τράγων. καὶ γὰρ ἐκεῖνοι ταῖς κεφαλαῖς διαμάχονται. Ἄλλως. πρὸς τὸ σκέλος μάχεται, ἢ διαπεσεῖται. [γαστρίζομαι δὲ εἶπεν, ὡς πληγεὶς τῷ σκέλει. εἰς τὴν γαστέρα τύπτομαι. παρεπιγραφὴ δέ. συγκέκυφε γὰρ καὶ ὑπὸ τῶν διωκόντων τύπτεται. καταστρέφεις δὲ, δουλοῖς. τρέψομαι δὲ, εἰς φυγὴν τρέψω, πλεῖόν σου βοῶν νικήσω, ὑπερβαλοῦμαι.]

276. τήνελλος εἶ : Τήνελλος ἁρμονία λύρας. ἐὰν τοίνυν ὑπεράκοντίσῃς αὐτὸν, μουσικώτατος εἶ. Ἄλλως. νικηφόρος. τήνελλος δὲ κρουμάτιον ἐπινίκιον.

277. ἦν δ' ἀναιδείᾳ : Κἂν ἡττηθῇς, φησὶν, ὑπ' αὐτοῦ τῇ βοῇ, περιγένῃ δὲ ἐν ἀναιδείᾳ, οὐδὲν ἧττον ἡμετέρα ἡ νίκη. πυραμοῦς δὲ, εἶδος πλακοῦντος ἐκ μέλιτος ἑφθοῦ καὶ πυρῶν πεφρυγμένων, ὡς καὶ σησαμοῦς τὸ διὰ σησάμων. ταῦτα δὲ ἐτίθεσαν ἆθλα τοῖς διαγρυπνηταῖς. εἰώθασι γὰρ ἐν τοῖς συμποσίοις ἁμιλλᾶσθαι περὶ ἀγρυπνίας, καὶ ὁ διαγρυπνήσας μέχρι τῆς ἕω ἐλάμβανε τὸν πυραμοῦντα.

278. ἐγὼ ἐνδείκνυμι : Ἐνδείκνυμι καὶ φαίνω. ἐνδεικνύναι δὲ ἔλεγον τὸ καταγγέλλειν τινὰ κακουργοῦντα περὶ τὰ κοινά.

279. ζωμεύματα : Τὰ τῶν νεῶν χρειώδη. λέγεται δὲ ξύλα καὶ κηρὸς καὶ πίσσα. Ἄλλως. τὰ λεγόμενα ὑποζώματα. εἰσὶ δὲ ξύλα τῶν νεῶν. ἀντὶ τοῦ εἰπεῖν ὑποζώματα, εἶπεν ὡς πρὸς μάγειρον παίζων ζωμεύματα, ὡς ἀρτύσεων ἔμπειρον καὶ ζωμευμάτων. ἀπείρητο δὲ ἀπὸ Ἀθηνῶν ἐξάγειν ξύλα καὶ πίσσαν. εἶχον δὲ καὶ οἱ Λακεδαιμόνιοι τριήρεις.

281. ἐκθεῖ πλέᾳ : Ἔξεισιν, ἐκπορεύεται μεστῇ καὶ γεμούσῃ, τουτέστιν ἔξεισιν ἐκ τῆς πολιτείας γενόμενος πλούσιος. εἰσδραμών δὲ ἀντὶ τοῦ προσελθὼν τῇ πολιτείᾳ. ἐμφαντικῶς δὲ λέξει κέχρηται, ἵνα δείξῃ αὐτὸν ἐμπεπηδηκότα βιαίως καὶ ἀναισχύντως τῇ πολιτείᾳ. πρυτανεῖον δὲ τόπος Ἀθήνησιν οὗ τὰς δημοσίας σιτήσεις ἐποιοῦντο. τιμὴ δὲ οὐκ ἐλαχίστη τοῖς δημοσίᾳ σιτουμένοις ἦν. [ταῦτα δ' εἶπεν ὅτι πένης ὢν ἐκ τῶν κοινῶν πεπλούτηκε, καὶ ὅτι ἀναξίως ἔχει τῆς ἐν πρυτανείῳ σιτήσεως.]

282. νὴ Δία ἐξαγαγών γε τἀπόρρητα : Ἐπειδὴ ὁ Κλέων εἶπεν ἀπόρρητα, καὶ αὐτὸς εἶπε κρέας καὶ ἄρτον. λέγει οὖν, ὅτι ἀναξίως ἔτυχεν ὁ Κλέων, οὗ Περικλῆς οὐκ ἔτυχε τῶν Ἀθηναίων μὴ παρασχόντων, ἤτοι ὑπὸ μεγαλοφροσύνης τοῦ ἀνδρὸς παραιτησαμένου, ἢ ὅτι ἐξοστρακισθεὶς οὐκ ἔτυχε τῆς ἐν πρυτανείῳ σιτήσεως, ἢ ὅτι διὰ τοῦτο εἶπε κρέας καὶ ἄρτον, ἐπεὶ οὐκ

ἐξῆν τὰ θυόμενα Δημήτερι καὶ Περσεφόνῃ ἔξω ἀφιεῖν. ὡς γοῦν αὐτὰ ἐκφέροντος κατηγορεῖ.

283. καὶ τέμαχος : Ἰχθῦς. ἰδίως δὲ τεμαχίτας ἰχθῦς, τοὺς μεγάλους καὶ κατακοπτομένους. — ἠξιώθη : Διὰ τὸ ἄγος. Vict.]

284. ἀποθανεῖσθον : Διπλῆ καὶ εἴσθεσις περιοδικὴ κώλων ιθ'. ὧν τὰ μὲν ιε' ἀμοιβαῖα τῶν ὑποκριτῶν δίμετρα. τὰ δὲ τέσσαρα ἐναλλὰξ ἀκατάληκτα. καὶ μήποτε εἰσὶ δίστιχα τετράμετρα καταληκτικά. αὐτίκα μάλα : Εὐθύς, παραχρῆμα. Ἀττικὴ δὲ ἡ σύνταξις. κεκράξομαι δὲ, τῷ κεκραγμῷ σου περιέσομαι, ἀντὶ τοῦ νικήσω.

289. κυνοκοπήσω σου : Τυπτήσω σε, καθάπερ κύνα. τοῦτο δὲ ὡς μάγειρος λέγει. ἔστι γὰρ κύων ἰχθὺς ποιός. ἅμα δὲ καὶ κυνείῳ σε δέρματι παίσω. ἔστι γὰρ τραχύτατον. — ὡς κύνα σε τύψω. οὐδέτερον δὲ τὸ νῶτον. V.

290. περιελῶ σ' ἀλαζονείας : Οἷον, ἀποδύσω σε καὶ παύσω τῶν ἀλαζονευμάτων. ἡ μεταφορὰ ἀπὸ τῶν ἐρεσσόντων. παύσω καὶ περικόψω τῆς ἀλαζονείας. περιελάσω, νικήσω.

291. ὑποτεμοῦμαι τὰς ὁδούς σου : Οὐκ ἐῶ σε λέγειν, προλήψομαι, νικήσω. τοῦτο ὡς πρὸς βυρσοδέψην. ὑποτέμνεται γὰρ τὰ δέρματα, ἵνα παχέα φαίνηται. διαφέρει γὰρ τὸ τέμνειν τοῦ ὑποτέμνειν. ὅταν γὰρ ὑποτέμνῃ, παχύτερον φαίνεται, ἀσθενέστερον δέ ἐστι. τέμνειν δὲ, τὸ ὀρθὴν ποιεῖσθαι τὴν τομήν. τὸ γὰρ ἀνώμαλον τῆς τομῆς παχύτητος δόξαν ἐργάζεται.

292. ἀσκαρδάμυκτος : Μὴ μύσας τοὺς ὀφθαλμούς. σκαρδαμυκτεῖν γὰρ, τὸ σκαίρειν καὶ μύειν τοὺς ὀφθαλμούς, τὸ πυκνῶς βλεφαρίζειν, ὃ καὶ ἰλλωπεῖν λέγεται [ἢ ἰλλωπίζειν]. ἀσκαρδαμυκτεῖν δὲ, προστεθέντος τοῦ α, τὸ ἀτενὲς βλέπειν τὸν ἥλιον. φησὶν οὖν ὅτι ἀτενὲς εἰς ἐμὲ βλέψον, ὡς ἐν τούτῳ καταπληξόμενος τὸν ἀλαντοπώλην.

294. διαφορήσω σ' εἶτι γρύξεις : Ἐπαιξε παρὰ τὸ διαφορεῖν. καλῶς δὲ ὡς ἐπὶ μαγείρου καὶ ἀλλαντοποιοῦ κέχρηται. Ἄλλως. διασπάσω, διολέσω, [σχίσω]. ἄλλωστε οὐκ ἀχρήστως τῇ λέξει ἐπὶ μαγείρου καὶ ἀλλαντοπώλου. οὗτοι γὰρ τὰ ἔγκατα πλύνοντες ἐξ ἀνάγκης τῆς ἀπ' αὐτῶν πληροῦνται κόπρου. παρατηρητέον δὲ, ὅτι ἐν πᾶσιν ἀμείβεσθαι τοῖς ἴσοις πειρᾶται τὸν Κλέωνα.

295. κοπροφορήσω : Κόπρου σε πληρώσω. ἔπαιξε δὲ παρὰ τὸ διαφορήσω σε. οἱ μάγειροι γὰρ τὰ ἔγκατα πλύνοντες ἀναγκαίως πληροῦνται κόπρου. Ἄλλως. τὴν κόπρον ἐκφορήσω τύπτων σε. ἢ ὡς βυρσοδέψην, ὅτι κόπρῳ τὰς βύρσας ἐθεράπευεν.

296. ὁμολογῶ κλέπτειν : Τοῦτο ἐν ὑπονοίᾳ λέγει. ὡς ἂν εἰ ἔλεγε, σώφρων εἰμὶ καὶ πεπαιδευμένος. ὁ δὲ αὐχεῖ ἐπὶ τῷ κλέπτειν· ἃ κλέπτω, ὁμνύω μὴ κεκλοφέναι. ὅ ἐστιν ὑπερβολὴ ἐπιορκίας.

297. νὴ τὸν Ἑρμῆν τὸν ἀγοραῖον : Περισπωμένως ἐπὶ τοῦ θεοῦ. ἐν μέσῃ γὰρ τῇ ἀγορᾷ ἵδρυται Ἑρμοῦ ἀγοραίου ἄγαλμα. πλεονεκτεῖν δὲ αὐτὸν πειρᾶται μὴ μόνον κλέπτων, ἀλλὰ καὶ διαρρήδην ἐπιορκῶν. οἷον, ἐμά ἐστι ταῦτα τὰ ἐπιχειρήματα. ἀμφότεροι δὲ ἁμιλλῶνται τίς ἐστιν αὐτῶν χείρων.

298. κἀπιορκῶ γε βλεπόντων : Οἷον, ὁρώντων ὅτι κλέπτων ὀμνύω ὅτι οὐκ ἔκλεψα. τοῦτο δὲ προστέθεικεν ὁ Ἀγοράκριτος, ὅτι πλεονεκτεῖ ἐκεῖνον καὶ μᾶλλον πονηρὸς εἶναι δοκεῖ, εἰ οὐ κλέπτει μόνον, ἀλλὰ καὶ φανερῶς ἐπιορκεῖ.

299. σοφίζει : Τεχνάζει. σοφίας γὰρ ἔλεγον τὰς τέχνας. τὰ ἀλλότρια λέγεις, φησίν. ἐμά ἐστι ταῦτα τὰ ἐπιχειρήματα. ὡς εἰ ἔλεγε, τὰ ἐμὰ τοίνυν κλέπτεις. [φανῶ δὲ, φανίσω, κατηγορήσω.]

301. ἀδεκατεύτους τῶν θεῶν : Μὴ δεδωκότα ἀπ' αὐτῶν τὴν δεκάτην μοῖραν τοῖς θεοῖς. ἔθος γὰρ εἶχον τὰς δεκάτας τῶν θυομένων τοῖς πρυτάνεσιν οἱ μάγειροι δι- δόναι. δέον δὲ εἰπεῖν, ἀδεκάτευτον ἔχοντα οὐσίαν, ὁ δὲ ἀντὶ οὐσίας, κοιλίας ἐπήνεγκεν ὡς ἀλλαντοπώλης.

303. διπλῆ περίοδος καὶ εἴσθεσις κώλων θ', ἧς τὸ πρῶτον παιωνικὸν δίρυθμον, τὸ δεύτερον ἐκ κρητικοῦ καὶ δοχμίου, τὰ δὲ λοιπὰ ἑπτὰ παιωνικὰ δίρυθμα. V. Θ. [ὦ μιαρὲ καὶ βδελυρὲ : Κορωνὶς καὶ εἴσθεσις χοροῦ ἐπῳδικὴ, διὰ τὸ τίθεσθαι μετὰ τὴν διπλῆν, ἐκ κώλων παιωνικῶν ἐπιμεμιγμένων κρητικοῖς καὶ βακχείοις ἐννέα. ὧν τὸ πρῶτον δίμετρον ἀκατάληκτον, ὃ καλεῖται δίρρυθμον. τὸ δεύτερον τρίμετρον βραχυκατάληκτον, τοῦ πρώτου ποδὸς κρητικοῦ, τοῦ δὲ δευτέρου βακχείου. τὰ ἑξῆς τέσσαρα ὅμοια τῷ πρώτῳ ἐκ κρητικῶν. τὰ δὲ τούτων ἑξῆς τρία ὅμοια, τοῦ δευτέρου ποδὸς κρητικοῦ. ἐν ἐκθέσει δὲ στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοί. ἐπὶ τῷ τέλει κορωνίς. ἑξῆς δὲ ἐν εἰσθέσει σύστημα κατὰ περικοπὴν ἀμοιβαῖον ἐκ στίχων ὁμοίων. ἐπὶ τῷ τέλει παράγραφος.]

307. καὶ τέλη καὶ γραφαὶ : Τὰ τελώνια καὶ ἀρχαί. τελώνης γὰρ ἦν, καὶ ἐμίσθου τὰ τέλη, τουτέστι τὰ τάγματα.

309. ὦ βορβοροτάραξι : Ταραχωδέστατε. ταράττων ἡμῶν τὴν πόλιν ὡς βόρβορον. θορύβου πληρώσας τὴν πόλιν καὶ βορβόρου.

311. ἀνατετυρβακώς : Ἀναταράξας. τυρβάσαι δὲ κυρίως λέγεται τὸ τὸν πηλὸν ταράξαι.

312. ἐκκεκώφηκας : Βοῆς ἐπλήρωσας τὰς ἀκοάς.

313. κἀπὸ τῶν πετρῶν ἄνωθεν : Ἐπειδὴ οἱ θυννοσκόποι ἐπὶ ὕψους ἱστάμενοι τὴν κατασκοπὴν τῶν εἰσιόντων θύννων εἰς τὰ δίκτυα ποιοῦνται, φησὶν ὅτι καθάπερ τοὺς θυννοσκόπους εἰσιόντες εἰς τὸ δίκτυον οὐ λανθάνουσιν οἱ θύννοι, οὕτως οὐ λανθάνουσι τὸν Κλέωνα τῆς πόλεως ἐπιβαίνοντες οἱ τοὺς φόρους φέροντες. προαρπάζει οὖν, δέον τὴν πόλιν τὰ ἑαυτῆς λαμβάνειν. ἀνειδίζει οὖν αὐτῷ, ὅτι τὰ δημόσια νοσφίζεται χρήματα, ἅμα δὲ καὶ εἰς ὀψοφαγίαν διαβάλλει. ἀπὸ μεταφορᾶς δὲ τοῦτο εἶπε τῶν ἁλιέων τῶν ἀγρευόντων τοὺς θύννους.

314. καττύεται : Συντίθεται καὶ συρράπτεται κατ' ἐμοῦ. ἀστείως δὲ τῇ λέξει κέχρηται ὡς βυρσοδέψης ἀπὸ τῶν ὑποδημάτων.

315. χορδεύματα : Ἐξῆς καὶ οὗτος ὡς μάγειρος ἀποκρίνεται. χορδεύματα γὰρ καὶ χορδαὶ καλοῦνται τὰ ἔντερα.

316. μοχθηροῦ βοὸς : Θανασίμου ἢ ἀσθενοῦς. ἰσχνοῦ καὶ λεπτοδύρσου. καὶ τοῦτο δὲ ὡς βυρσέα σκώπτει.

317. τοῖς ἀγροίκοισι πανοῦργος : Εἰς ὑποδήματα τοῖς αὐτοῖς καὶ ὡς τὰς βύρσας τέμνων. καττύματα δὲ τὰ ἄκρα δέρματα καὶ εἰς μικρὰ τετμημένα, ἃ προστίθεται τοῖς σανδαλίοις. τοῦτο δὲ εἶπεν ὡς πρὸς σκυτέα.

318. δυοῖν δοχμαῖν : Παίζων καὶ αὐτὸς παλαιστὰς ἐξετείνετο. δοχμὴ γὰρ ἡ παλαιστή. Ἄλλως. δύο παλαιστάς. ἐκτεινόμενα γὰρ τὰ ἰσχνὰ τῶν δερμάτων εἰς πλάτος αὔξεται.

319. κἀμὲ τοῦτ' ἔδρασε : Τὸν αὐτὸν τρόπον καὶ ἡμᾶς ἐξηπάτηκεν, ὥστε καταγελάστους γενέσθαι.

320. τοῖς δημόταισι : Διαβολὴ τῶν Ἀθηναίων, εἰ καὶ δοῦλος παρ' αὐτοῖς ὁ δῆμος ἀπαγγέλλεται.

321. Περγασῆσιν : Ὄνομα δήμου.

ἔνεον ἐν ταῖς ἐμβάσιν : Ἐκολύμβων, ἐνηχόμην ἐν τοῖς ὑποδήμασιν. ἐμβάδες δὲ ἐρρήθησαν ἀπὸ τοῦ ἐμβαίνειν αὐταῖς. ἐκτεινομένων γὰρ καὶ πλατυνομένων εὐχερῶς τῶν δερμάτων, ἐκολύμβων ἐν αὐτοῖς, ἐκ τοῦ μηκέτι ἡρμοσμένα τοῖς ποσὶ τῶν φορούντων αὐτὰ εἶναι.

322. ἆρα δῆτ' οὐκ ἀπ' ἀρχῆς : Ὁ λόγος πρὸς τὸν ἀλλαντοπώλην. [κορωνὶς δὲ καὶ εἴσθεσις χοροῦ προῳδικὴ, διὰ τὸ ἀεὶ προτίθεσθαι τῆς διπλῆς, ἐκ κώλων καὶ στίχων πολυσχηματίστων δώδεκα. ὧν τὰ πρῶτα τρία παιωνικὰ δίμετρα ἀκατάληκτα, ἃ καλεῖται κρητικὰ δίρρυθμα. τὸ δὲ δ' τροχαϊκὸν ἑφθημιμερὲς, ὃ καλεῖται Εὐριπίδειον ἢ ληκύθιον. τὰ δὲ ε', ς', ζ', ι' τετράμετρα καταληκτικά. τὰ δὲ ζ', η' δακτυλικὰ τετράμετρα. τὰ δὲ τελευταῖα δύο ἰαμβικὰ τετράμετρα καταληκτικὰ, ὅμοια τοῖς ἑξῆς. ἐπὶ τῷ τέλει κορωνίς.]

325. προστατεῖ : Προηγεῖται, προέστηκε, παρακολουθεῖ. καθάπτεται τῶν ῥητόρων ὡς ἀναιδῶν.

326. [ἦ σὺ : Τοῦτο πρὸς τὸν Κλέωνα. ἀμέλγεις δὲ, λαμβάνεις τὰ αὐτῶν πράγματα. τοῦτο δὲ παρὰ τὴν κοινὴν συνήθειαν εἴρηται.]

τοὺς καρπίμους : Τοὺς εὐπόρους τῶν ξένων διασείεις, τοὺς πλουσίους καὶ εὐποροῦντας. ἀμέλγεις δὲ, ἀποδρέπῃ, ἀπανθίζεις, τρυγᾷς καὶ καρπίζῃ. ἰδίως δὲ ἀμέλγειν λέγεται τὸ παρὰ τὸν προσήκοντα καιρὸν ἀώρους τοὺς κάρπους ἀποσπᾶν, ὅπερ οἱ κλέπται ποιοῦσιν.

327. ὁ δ' Ἱπποδάμου : Οὗτος ἐν Πειραιεῖ κατῴκει καὶ οἰκίαν εἶχεν, ἥπερ ἀνῆκε δημοσίαν εἶναι. καὶ πρῶτος αὐτὸς τὸν Πειραιᾶ κατὰ τὰ Μηδικὰ συνήγαγεν. ἦν δὲ Ἀθηναίοις τίμιος. πικρῶς οὖν λέγει ὅτι σὺ μὲν ἀνάξιος ὢν σφετερίζει, καὶ ἀπὸ πάντων κερδαίνεις, ὁ δὲ εὐνούστατος ὢν τῇ πόλει καταλείβεται τοῖς δάκρυσιν ἀναξίως ὁρῶν σε τὰ τῆς πόλεως καρπούμενον. λυπεῖται, φησὶν, ὁ Ἀρχεπτόλεμος. οὗτος γὰρ πολλὰ ὠφέλησε τὴν πόλιν. καὶ οἱ μὲν αὐτόν φασι Θούριον, οἱ δὲ Σάμιον, οἱ δὲ Μιλήσιον. Κλέωνος δὲ ἐχθρὸς ἦν. Ἄλλως. Ἱππόδαμος μόνος λείβεται καὶ ἡττᾶται. διεβάλλετο γὰρ ἐπὶ πολυφαγίᾳ ὁ Ἱππόδαμος. ὡς οὖν τοῦ Κλέωνος ὄντος γαστριμάργου, παρευδοκιμουμένου δὲ ὑπὸ Ἱππoδάμου, κέχρηται τῇ συγκρίσει χρησιμώτατα. ὁμοῦ γὰρ καὶ τὸν Ἱππόδαμον καὶ τὸν Κλέωνα διαβάλλει. — ὁ Ἱππόδαμος ἢ ὁ Ἀρχεπτόλεμος. V.

328. ἐν ἐπεισθέσει κῶλα β' δακτυλικὰ δίμετρα, ἀκατάληκτον τὸ ά, τὸ δὲ β' καταληκτικόν. V. — ἀνὴρ ἕτερος : Ὁ ἀλλαντοπώλης. — ἐφάνη : εὑρέθη, καταφανὴς ἐγένετο. *V. Vict.*

330. ὅς σε παύσει : Καταπαύσει σε, παρευδοκιμήσει. πάρεστιν ἐγγὺς οὗτος καὶ πλησίον καὶ οὐκ εἰς μακράν. Ἄλλως. ὑπερβαλεῖ σε, παραδραμεῖται, νικήσει σε. καὶ Ὅμηρος [Iliad. A, 132] « ἐπεὶ οὐ παρελεύσεαι οὐδέ με πείσεις. »

331. τῇ κακοτεχνίᾳ καὶ θρασύτητι καὶ ἀναισχυντίᾳ καὶ δολιότητι. καὶ ὁ Κλέων γὰρ πρὸς χάριν καὶ κολακείαν ἐδημηγόρει. V. — κοβαλικεύμασι : Τῷ κολακεύειν καὶ πρὸς χάριν δημηγορεῖν. ἐπεὶ καὶ ὁ Κλέων ἐδόκει παρὰ τοῖς Ἀθηναίοις εὐδοκιμεῖν διὰ τὸ πρὸς ἡδονὴν καὶ χάριν δημηγορεῖν. καὶ ὅλως δι' ὧν φησι τοῦτον παρευδοκιμήσειν, τὸν Παφλαγόνα, διὰ τούτων διαβάλλει τὸν Κλέωνα, δεικνὺς ὅτι τὰ τοιαῦτα πάντα πρόσεστιν αὐτῷ, δι' ὧν ἦρθη μέγας. — πανουργεύμασιν. V.

333. ἀλλ' ὡ τραφεὶς : Τοιαύτης ἀνατροφῆς μετασχὼν, τουτέστι πονηρᾶς καὶ κακῆς. ὅθεν οἱ ἀνατραφέντες ἄνδρες οἱ ἔξαρχοι καὶ πρωτεύοντες, οἱ ἀνδρεῖοι Ὁμηρικῶς.

334. τὸ σωφρόνως τραφῆναι : Τὸ ἐπιεικῶς καὶ εὐγενῶς ἀνατραφῆναι. τὸν ἀλλαντοπώλην δὲ βουλόμενος διαβάλλειν, δείκνυσιν αὐτὸν πονηρῶν ἠθῶν. ἀλλὰ λεληθότως δι' ὧν περὶ τούτου λέγει ὀνειδίζει τοὺς ἄλλους πολίτας ὡς ἀπὸ τῶν τοιούτων ὁρμωμένους ἐπιτηδευμάτων καὶ εὐδοκιμοῦντας. — ὡς οὐδὲν λέγει : Οὐδενός ἐστιν ἄξιον, οὐδὲν πλέον λέγει. *Vict.*

335. [καὶ μὴν ἀκούσαθ' οἷος : Εἴσθεσις διπλῆς ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν τετραμέτρων καταληκτικῶν λϐ'. ὧν τελευταῖος

νὴ τὸν Ποσειδῶ, κἀμὲ γὰρ ἥνπερ γε τοῦτον ἕλκῃς.

ἐπὶ τῷ τέλει διπλῇ ἔξω νενευκυῖα. ἑξῆς δὲ τούτων ἰαμβικὰ δίμετρα ἀκατάληκτα ιε', πλὴν τοῦ παρατελεύτου μονομέτρου ὄντος καὶ τοῦ τελευταίου διμέτρου καταληκτικοῦ. ἐπὶ τῷ τέλει διπλῇ ἔξω νενευκυῖα.]

336. οὐκ αὖ μ' ἐάσεις : Οὐκ ἐπιτρέψεις, οὐ συγχωρήσεις μοι. ὁ δὲ Κλέων ἐστὶν ὁ λέγων πρὸς τὸν ἀλλαντοπώλην. ἐπιστομίζειν γὰρ αὐτὸν ἐκεῖνος βουλόμενος λέγει.

340. οὐ παρήσω : Οὐ παραχωρήσω. πρὸς δὲ τὸ οὐκ ἐάσεις, οὐ παρήσω εἰπεῖν πρῶτον, δηλονότι. ἀμφιβόλως δὲ εἶπε. λέγων γὰρ, οὐκ ἂν πρώτῳ λέγειν ἐπιτρέψαιμί σοι, ἔδοξεν εὐφημότερον ἀποκρίνασθαι πρὸς τὸ ὑπ' ἐκείνου ῥηθὲν διαρραγήσομαι. [διόπερ ἑξῆς ὁ χορὸς ἀπεκρίνατο, πάρες πρὸς τῶν θεῶν διαρραγῆναι.]

341. πάρες : Τοῦ Κλέωνος εἰπόντος διαρραγήσομαι καὶ τοῦ ἀλλαντοπώλου εἰρηκότος οὐ παρήσω, ὁ χορὸς πρὸς τὸ εἰρημένον φησὶν ὅτι πάρες αὐτῷ διαρραγῆναι.

342. [τῷ καὶ πεποιθὼς : Τίνι τεθαρρηκὼς ἀξιοῖς φιλονεικεῖν ἐμοὶ καὶ διαλέγεσθαι ;]

343. ὁτιὴ λέγειν οἷός τ' ἐγὼ : Κἀγὼ δυνατός εἰμι καὶ ἱκανὸς εἰπεῖν.

καρυκοποιεῖν : Κοσμεῖν ποικιλίᾳ τινὶ ῥημάτων τὸν λόγον. πλαγίως δὲ τῇ λέξει ὡς μάγειρος ἐχρήσατο. καρυκεύματα γὰρ καὶ ἡδύσματά εἰσι τὰ ἀρτύματα. καὶ καρύκη, κοιλία, ἣν νῦν μονθυλευτὴν καλοῦσιν.

344. ἰδοὺ λέγειν : Χλευάζει αὐτὸν ὅτι δύναμαι λέγειν λέγοντα. τῇ δὲ τοῦ σχήματος ἐμφάσει τὸν διασυρμὸν ἔδειξεν. φησὶ γὰρ, ἀφόρητόν ἐστιν εἰ καὶ σὺ ῥήτωρ εἶ.

345. ὠμοσπάρακτον : Ἀστείως καὶ οὗτος ὡς πρὸς μάγειρον. ὁ δὲ νοῦς αὐτῷ.τοῦτο βούλεται. εἰ πρᾶγμα, φησὶ, σκολιὸν προσπέσοι, οὐκ ἄν ποτε κατορθώσαις οὐδὲ διανύσαις. ὠμοσπάρακτον δὲ, δυνάμενον σπαράξαι τὸν λέγοντα. Ἄλλως. ἀδιάθετον καταλαβὼν καὶ ὠμόν. ὡς πρὸς μάγειρον δὲ τὸ ὠμοσπάρακτον ἢ τὸ νεοσπάρακτον· χρηστῶς δὲ ἀντὶ τοῦ καλῶς, ὠφελίμως, συμφερόντως. ἐπέμεινε δὲ τῇ τροπῇ καὶ τῷ ἀστεϊσμῷ, ὡς πρὸς μάγειρον. χρηστὸν γὰρ ἔδεσμα λέγομεν τὸ εὖ ἠρτυμένον.

346. ἀλλ' οἶσθ' ὅπερ πέπονθας : Ἀλλὰ γινώσκω ὃ πέπονθας ἢ οἶδα τὸ ἐπᾶράν σε. ἀλλά μοι δοκῶ συνειδέναι τὴν αἰτίαν δι' ἣν εἰς τοσοῦτον θράσος προελήλυθας.

347. εὖ κατὰ ξένου : Οἱ γὰρ κατὰ ξένου λέγοντες εὐκόλως λέγουσιν, ὡς κατὰ ξένων καὶ οὐ πολιτῶν δημηγοροῦντες.

348. τὴν νύκτα θρυλλῶν : Οἱ γὰρ μὴ ἔμπειροι τοῦ συνηγορεῖν, ἐὰν διδαχθῶσιν ἀπὸ πράγματος, μὴ ἔχοντες ἀπὸ φύσεως τὸ λέγειν, ἀσκοῦνται καὶ ἰδίως διάγουσι καὶ γρηγοροῦσι διὰ τῆς νυκτὸς καὶ ὕδωρ πίνουσιν.

349. ὕδωρ τε πίνων : Τουτέστι ταλαιπωρῶν, καὶ μετὰ πολλῶν καμάτων καὶ πόνων συντάσσων τὸν λόγον. δεικνύναι δὲ διὰ τούτων πάντων βούλεται τὴν ἀσθένειαν αὐτοῦ τῶν λόγων καὶ τὴν ἀπορίαν. Ἄλλως. ἀγρυπνῶν καὶ φροντίζων, καὶ τῶν νυκτῶν μελετῶν καὶ σκεπτόμενος τὴν δίκην, τουτέστι ταλαιπωρῶν καὶ μετὰ πολλοῦ καμάτου συντάσσων τὴν δίκην.

κἀπιδεικνὺς : Τουτέστι καταδήλους τοὺς λανθάνοντας ξένους ποιῶν.

τοὺς φίλους τ' ἀνιῶν : Λυπῶν φίλους. πρὸς γὰρ φίλους καὶ γνωρίμους τοὺς δημότας συνέβαινε τὰς τοιαύτας γίνεσθαι δίκας. καὶ τούτῳ δὲ χρῆται δείγματι τῆς ἀσθενείας τῶν λόγων αὐτοῦ, ὅτι τοὺς μὲν φίλους ἱκανός ἐστι βλάπτειν καὶ κακοποιεῖν, πρὸς δὲ τοὺς ἀλλοτρίους καὶ ξένους ἐξασθενεῖ.

350. τῆς ἀνοίας : Τῆς μωρίας, τῆς ἠλιθιότητος. καὶ ἐξηπάτησας, φησὶ, διότι κατὰ μετοίκου ποτὲ ξενίας ἀπηνέγκου γραφὴν, καὶ ἐλπίζεις διὰ τοῦτο δύνασθαι καὶ δημηγορεῖν. μετοίκους δὲ ἐκάλουν τοὺς ἀφ' ἑτέρας πόλεως μεταβαίνοντας εἰς ἑτέραν καὶ οἰκοῦντας.

352. κατεγλωττισμένην : Πλήρη γενομένην τῶν σῶν λόγων, ἀπατωμένην, ταραττομένην, καταλελαλημένην τοῦ σοὶ μόνῳ προσέχειν τὸν νοῦν. σύνηθες δὲ τοῦτο λέγουσι μὴ ἔχειν λόγον καὶ παρὰ ἀρχαίοις καὶ νεωτέροις.

353. [ἀντέθηκας : Ἔστησας ἐξ ἐναντίας καὶ ἀντετάξω.]

355. κασαλβάσω : Λοιδορήσω. ἔστι δὲ κασαλβὰς ὄνομα ἑταίρας. νῦν δὲ εἴρηκεν ἀντὶ τοῦ δι' ἀγορᾶς λοιδορηθείην. πρὸς δὲ τὸ ῥηθὲν ὑπὸ τοῦ ἑτέρου κασαλβάσω ὡς στρατηγὸς ἀντέθηκεν, « καὶ Νικίαν ταράξω. » Νικίας δὲ στρατηγὸς Ἀθηναίων. Ἄλλως. κασαλβάδες ἑταῖραι εἰσὶν, αἱ ἀεὶ ἐπὶ τῶν οἰκημάτων ἑστῶσαι γυναῖκες ἐπὶ μισθῷ παρέχουσαι τοῖς βουλομένοις ἑαυτάς. κασαλβάδες δὲ εἴρηνται ἀφ' οὗ ποιοῦσι. καλοῦσι μὲν γὰρ οὐκ ἔχουσαι τοὺς ἐραστὰς, σοβοῦσι δὲ τοὺς ὄντας, ἵνα ἄλλους καὶ λάβωσιν. ἐπεὶ οὖν ἰταμῶς καὶ ἀναιδῶς καὶ ὁ Κλέων ἀλλοτρίοις ἐπεπήδησεν εἰκῆ καὶ τῆς ἐπὶ τοῖς κατορθώμασι δόξης αὐτοὺς ἀφείλετο, καὶ αἱ ἑταῖραι δὲ ἀναίσχυντοι καὶ ἀναιδεῖς, ἐπεὶ ἐπιπηδῶσι τοῖς ἐρασταῖς, εἰκότως ὁ ποιητὴς τῇ λέξει ταύτῃ κέχρηται.

356. ἐγὼ δέ γ' ἤνυστρον : Τὰ μηρυκίζοντα τῶν ζῴων τρεῖς κοιλίας ἔχει, κεκρύφαλον, ἤνυστρον, ἐχῖνον. μηρυκίζει δὲ, ὅταν μὴ τροφῆς παρακειμένης [ἀναπεμπάζῃ τὴν ἐν τῇ κοιλίᾳ τροφὴν καὶ] κινῆται τὸ στόμα, ὥσπερ αἶξ καὶ πρόβατον καὶ κάμηλος. εἰκότως δὲ ὡς μάγειρος τούτοις ἠμείψατο τὸν Κλέωνα.

357. καταβροχθίσας : Ἐκροφήσας, καταπιών. ἐπὶ δὲ τῶν ἀθρόως ἐκροφουμένων καὶ ἀπλήστως λέγεται.

ἀναπόνιπτος : Μὴ νιψάμενος μηδὲ πλύνας τὰς χεῖρας, ἀλλ' ἀκάθαρτος, ἵνα τὸ ῥυπαρὸν αὐτοῦ μᾶλλον ἐνδείξῃ τῶν τρόπων. παρατηρητέον δὲ ὅτι τοῖς ἴσοις ἀμείβεσθαι φιλονεικεῖ τὸν Κλέωνα, τῷ μὲν θύννῳ ἤνυστρον καὶ κοιλίαν ἀντιτιθεὶς, τῷ δὲ θερμῷ τὸ ἀνάπονιπτος, τῷ δὲ οἴνῳ τὸν ζωμόν.

358. λαρυγγιῶ : Καταβοήσομαι, φησὶ, τῶν ἄλλων ῥητόρων, ἢ τὴν φάρυγγα ἐκτεμῶ, τουτέστι κατασιγάσω τοὺς ῥήτορας. τιμηθείσης γὰρ τῆς φάρυγγος, οὐχ οἷόν τε τὴν φωνὴν προΐεσθαι. παρατηρητέον δὲ ὅτι ὥσπερ ὁ Κλέων ἐπήνεγκε κασαλβάσω τοὺς ἐν Πύλῳ στρατηγοὺς, οὕτω καὶ οὗτος ἐχρήσατο τῷ λαρυγγιῶ τοὺς ῥήτορας.

καὶ Νικίαν ταράξω : Φοβήσω. δυσιώνιστος δὲ ὁ Νικίας. ἐμφαίνει δὲ, ὅτι καὶ αὐτὸς τῶν εὐδοκιμούντων ἦν στρατηγός. καὶ ὁ υἱὸς Στράτιππος. ἐμνημόνευσε δὲ τοῦ Νικίου Δημοσθένης [p. 34]. ἦν δὲ Νικηράτου παῖς.

361. ἀλλ' οὐ λάβρακας : Λάβραξ εἶδος ἰχθύος. ἀφ' οὗ ποιεῖται τὴν προσηγορίαν. κέχηνέ τε γὰρ αὐτοῦ τὸ στόμα καὶ ἀθρόως καὶ λάβρως τὸ δέλεαρ καταπίνει. ὅθεν καὶ εὐχερῶς ἁλίσκεται. ἐπεὶ οὖν ὁ μὲν Κλέων ἔφησε θύννους θερμοὺς καταπιεῖν, ὁ δὲ ἀλλαντοπώλης ἀπὸ τῆς αὐτῆς τέχνης ὁρμώμενος, τὸ ἤνυστρον καὶ τὴν κοιλίαν καὶ τὸν ζωμὸν ἀντέθηκεν, ὁ χορὸς μέμφεται ὡς

οὐ δεόντως ἀμειψαμένου τοῦ ἀλλαντοπώλου τὸν Κλέωνα, λέγων ὡς ἐχρῆν αὐτὸν ἀντιτεθεικέναι τῷ θύννῳ λάβρακα. ἰδιωτέρα γὰρ αὕτη πρὸς τὸν θύννον τοῦ ἡνύστρου καὶ ὧν αὐτὸς εἶπεν ἀπάντησις ἂν ἦν. Ἄλλως. βέλτιόν φησιν εἶναι λάβρακα καταφαγόντα, τοὺς Μιλησίους κλονεῖν, ἀλλὰ μὴ Νικίαν ταράσσειν, ὅπερ ἠπείλησεν ὁ ἀλλαντοπώλης. ἐν Μιλήτῳ δὲ τῆς Ἀσίας μέγιστοι λάβρακες γίνονται καὶ πλεῖστοι διὰ τὴν ἐπεισρέουσαν λίμνην εἰς τὴν θάλασσαν. χαίροντες γὰρ οἱ ἰχθύες τῷ γλυκεῖ ὕδατι εἰς τὴν λίμνην ἐκ τῆς θαλάσσης ἀνατρέχουσι, καὶ οὕτω πληθύνουσι παρὰ τοῖς Μιλησίοις. Μιλησίους δὲ εἶπεν, ὡς τοῦ Κλέωνος τοὺς Μιλησίους ταράσσοντος καὶ ἐπηρεάζοντος.

362. σχελίδας : Βοὸς πλευρά. ἢ ἁπλῶς τὰ πλευρικὰ τῶν βοῶν. ὡς Αἰσχύλος.

ὠνήσομαι μέταλλα : Ὠνήσομαι μέταλλα ἀργυρίου καὶ χρυσίου, ὥστε προσόδους ἔχειν τὴν πόλιν. ἦν δὲ μέταλλα Ἀθήνησιν ἐν Λαυρίῳ.

363. κυκήσω : Συνταράξω ἐπεισπεσών. τὸ βίαιον δὲ αὐτοῦ διὰ τῆς λέξεως ἐδήλωσεν.

364. φύσκης : Φύσκη ἕντερόν ἐστι παχύ, εἰς ὃ ἐμβάλλεται ἅλευρα καὶ κρέα καὶ μάσσουσιν. ἐξ οὗ γίνεται ὁ ἀλλᾶς. ὡς ἀλλαντοπώλης δὲ τῆς φύσκης ἐμνημόνευσε.

365. [κύβδα : Κύπτοντα. διὰ δὲ τοῦ σχήματος τὴν αἰσχύνην δείκνυσιν ἑαυτοῦ.]

366. νὴ τὸν Ποσειδῶ : Καὶ ἐμὲ τὸν θεράποντα ἕλκε, ἐὰν τὸν ἀλλαντοπώλην ἕλκῃς. Ἄλλως. ὁ χορός ἐστιν ὁ λέγων. χρησίμως δὲ κέχρηται τῇ συνδρομῇ. μὴ τοῦτον μόνον, ἀλλὰ καὶ ἡμᾶς τὸν αὐτὸν ἑξάγοις τρόπον.

367. οἷόν σε δήσω : Μόνον, ἵνα ᾖ λέγων, τῶν μὲν ἄλλων σου συνωμοτῶν καίπερ ἀδικούμενος ὑπ' αὐτῶν φείσομαι, σὲ δὲ μόνον δήσω τῷ ξύλῳ. εἶδος δὲ δεσμωτηρίου τὸ ξύλον, ἣν ποδοκάκην λέγουσι καὶ ποδοστράβην. [διώξομαι δὲ, κατηγορήσω σου δειλίας, ἀγῶνα ἐνστήσομαι κατὰ σοῦ.]

369. θρανεύσεται : Ἐκταθήσεται. θράνος γὰρ τὸ ὑποπόδιον, ὅπου τὰ δέρματα ἐκτείνεται. πάλιν δὲ ὡς βυρσοπώλης τοῦτο λέγει. Ἄλλως. ξαίνειν ἔλεγον τὸ τύπτειν, καὶ ξαίνεσθαι τὸ πάσχειν. φησὶν οὖν, ἡ βύρσα σου τυπτομένη διαφθαρήσεται. ἰδίως δὲ ὡς βυρσεὺς τῇ ἀπειλῇ ταύτῃ κέχρηται. καὶ γὰρ τὰς βύρσας ξύλοις τύπτειν εἰώθασιν, ἵνα ἁπαλαὶ ὦσιν. ἔνιοι δὲ, ἵνα διαλάβοιεν εὐχερῶς τοῦ φαρμάκου.

370. δερῶ σε θύλακον : Ἐκδερῶ σε. τὸ γὰρ ἐκδέρειν μᾶλλον τῶν μαγείρων τέχνη. ἐκδερῶ σε, φησὶν, ὥστε ἀπὸ τοῦ σώματός σου θύλακον ποιῆσαι εἰς ὑποδοχὴν κλέμματος.

371. διαπατταλευθήσει : Ἐκταθήσῃ χαμαί. τὰς γὰρ βύρσας ἐκτείνοντες ἐπὶ τῆς γῆς, ἵνα μὴ συνάγοιντο καὶ συστέλλοιντο ἐκ τῆς τοῦ ἡλίου καύσεως, κατὰ τὰ ἄκρα παττάλοις κατακρούοντες ἐκτείνουσιν. Ἄλλως. χαμαὶ ἐπὶ τῶν παττάλων ἐξέδερον τὰ δέρματα.

372. περικόμματ' ἐκ σοῦ : Περικόμματα τὰ ἐκ τῶν μαγείρων περιαιρούμενα τῶν κρεῶν. ὃ δὲ βούλεται λέγειν, τοιοῦτόν ἐστι· τουτέστι κατὰ μέρος σου κόψω τὸ σῶμα. ὡς μάγειρος δὲ λέγει.

373. τὰς βλεφαρίδας : Παρεπιγραφὴ τὸ σχῆμα. ἐπὶ γὰρ τὰς ὄψεις τοῦ ἀλλαντοπώλου ἐπιβαλὼν τὰς χεῖρας τὰ βλέφαρα ἐκτίλλει. τῶν γὰρ βυρσῶν ἐστιν ἔργον τῶν δερμάτων ἀπομαδίζειν τὰς τρίχας. ἢ ὅτι πρὸς τὸ ῥάπτειν τριχῶν δέονται.

374. τὸν πρηγορεῶνα : Τὸν λεγόμενον γαργαρεῶνα. παρατηρητέον δὲ ἐν πᾶσι τοῖς ἀντιθετικοῖς, ὅτι ἀπὸ τῆς αὐτοῦ τέχνης ἑκάτερος αὐτῶν τοῖς ὀνόμασι χρῆται καὶ ταῖς λέξεσιν. ὥσπερ γὰρ τῶν βυρσέων τὸ καθαίρειν καὶ μαδίζειν τῶν δερμάτων τὰς τρίχας, οὕτω καὶ τῶν μαγείρων τὸ τέμνειν καὶ σφάζειν εἰς τὸν λαιμὸν τὰ θρέμματα. κυρίως δὲ ἡ τῶν ὀρνέων φάρυγξ, ἐν ᾗ ἀγείρεται ἡ τροφή.

376. μαγειρικῶς : Εἰώθασι γὰρ οἱ μάγειροι πασσάλοις τὰ τῶν χοίρων ἀνοίγοντες στόματα κατανοεῖν εἰ χαλαζῶσι. χάλαζα δὲ πάθος τῶν χοίρων. Ἄλλως. οἱ μάγειροι μετὰ τὸ ἀποσφάξαι τὰ θρέμματα εἰώθασι κρεμᾶν αὐτὰ ἐκ τοῦ παττάλου καὶ οὕτως ἐκδέρειν. συνάγειν δὲ εἴωθε τὰ θρέμματα τὸ στόμα. κατὰ ταῦτα οὖν φησιν ὅτι χρὴ πάτταλον ἐμβαλεῖν εἰς τὸ στόμα καὶ διανοῖξαι πρὸς τὸ ἐξεῖραι τὴν γλῶτταν. ἐξείραντες δὲ αὐτὴν, ἑλκύσαντες, ἀνασπάσαντες.

379. σκεψόμεσθα : Ἐπιγνωσόμεθα, πολυπραγμονήσομεν. ἀνδρικῶς δὲ, ἀντὶ τοῦ ἀνεπικωλύτως, ἅτε τῆς γλώττης προεξηρημένης καὶ μὴ ἐμποδιζούσης τὴν θέαν.

381. χαλαζᾷ : Ἦτοι εἰ χαλαρός ἐστι, καὶ εἰ χαλαζᾷ ἐκεῖ. νόσημα δὲ τοῦτο τῶν θρεμμάτων, ὅσπερ ζώντων μὲν λανθάνει, ἀποθανόντων δὲ καὶ τεμνομένων φανερὸν γίνεται. ταῖς σαρξὶ δὲ αὐτῶν ἀναμέμικται καὶ ἐμπέφυκεν ἡ χάλαζα.

382. ἦν ἄρα πυρός : Διπλῆ καὶ ἐν ἐπεισθέσει περίοδος τοῦ χοροῦ παιωνικὴ ἑπτάκωλος, ἔχουσα τρίρρυθμα πρῶτον καὶ τρίτον, τὰ δὲ λοιπὰ δίρρυθμα. [Ἄλλως. χορωνὶς καὶ εἴσθεσις χοροῦ προῳδικὴ ἐκ κώλων παιωνικῶν ἐπιμεμιγμένων κρητικοῖς ἑπτά. ὧν τὸ πρῶτον τρίμετρον ἀκατάληκτον καθαρόν. τὸ δεύτερον δίμετρον ἀκατάληκτον ἐκ κρητικῶν ἤτοι ἀμφιμάκρων. τὸ τρίτον ὅμοιον τῷ πρώτῳ ἐκ κρητικῶν. τὸ τέταρτον ὅμοιον. τὸ πέμπτον ὅμοιον τῷ δευτέρῳ ἐκ παιῶνος καὶ κρητικοῦ, ὡς καὶ τὰ ἑξῆς δύο. ἐν ἐκθέσει δὲ στίχοι δύο τροχαϊκοὶ τετράμετροι καταληκτικοί. ἐπὶ τῷ τέλει κορωνίς. ἑξῆς δὲ σύστημα κατὰ περικοπὴν στίχων ὁμοίων ἓξ. τὰ ἑξῆς τρία κῶλα τοῦ χοροῦ τροχαϊκά. ὧν τὰ μὲν δύο δίμετρα ἀκατάληκτα, τὸ μὲν κατὰ τὴν τετάρτην, τὸ δὲ κατὰ τὴν τρίτην ἴαμβον ἔχοντα. τὸ δὲ τρίτον καταληκτικὸν ἐφθημιμερές. οἱ ἑξῆς τούτων δύο στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοί. τῶν δὲ ἑξῆς τοῦ χοροῦ ε' κώλων τὰ μὲν α', β' δακτυλικὰ τετράμετρα, τὰ δὲ γ', ε' τροχαϊκὰ τετράμετρα καταληκτικά. τὸ δὲ τέταρτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ε' ὅμοιον ἐκ διτροχαίου διιάμβου. ἑξῆς δὲ τούτων ἐν ἐκθέσει στίχοι δύο ἰαμβικοὶ τετράμετροι καταληκτικοί. ἐπὶ ταῖς ἀπο-

θέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει κορωνίς.] Ἄλλως. ἀπὸ ἐνδόξου σύγκρισιν ὑπειλήφαμεν σφόδρα. τί γὰρ γένοιτο πυρὸς ἐκπυρώτερον καὶ σφοδρότερον, ὅπου γε καὶ τὴν Κλέωνος ἀναίδειάν τις ἂν ὑπερηκόντισε ναυτικῶν. μὴ διὰ τὴν τοῦ ἡττηθέντος ἐπιείκειαν, ἀλλὰ δι' ὑπερβάλλουσαν ἑαυτοῦ πονηρίαν τὴν νίκην ἀποφέρεσθαι δοκεῖ. ὅσον δὲ τὴν νίκην θαυμάζει τοῦ νενικηκότος, τοσοῦτον τοῦ ἡττηθέντος θαυμάζει τὴν ἀναίδειαν. οὐ γὰρ τὸν ἀλλαντοπώλην τοσοῦτον ὅσον τὸν Κλέωνα πονηρὸν ὄντα βούλεται δεῖξαι. — ἦν : Ἀντὶ τοῦ ἔστιν. *Victor.*

385. οὐκ ἄρ' ἦν φλαῦρον : Οἷον οὐ φαῦλον, οὐκ ἄχρηστον, οὐδὲ πονηρόν ἐστι τὸ πρᾶγμα, οὐδὲ ἀνόητον. εὐφραίνεται γὰρ ἐπεὶ παρευδοκιμούμενον ὁρᾷ τὸν Κλέωνα ὁ χορός.

386. ἀλλ' ἔπιθι : Ἐπίμενε καὶ ἐπίκεισο, καὶ μὴ ἀνῇς. ταῦτα δὲ τῷ ἀλλαντοπώλῃ φησὶν ὁ χορὸς, ἡδόμενος ὅτι πρόσκειται τῷ Κλέωνι ἡττημένῳ.

καὶ στρόβει : Στροβεύς ἐργαλεῖον κναφικόν. φησὶν οὖν, περίαγε αὐτὸν καὶ στρέφε. τοῦτο γὰρ καὶ τοῦ ἐργαλείου τὸ ἔργον.

387. μηδὲν ὀλίγον πόει : Γράφεται, μηδὲν ἔλαττον ποίει. φησὶν οὖν, πάντα μεγάλα κατ' αὐτοῦ ποίει καὶ μηδὲν εὐτελές.

388. νῦν γὰρ ἔχεται μέσος : Νῦν γὰρ τὸ κατ' αὐτοῦ μῖσος αὔξεται. καταπεπάλαισταί φησιν. ἡ μεταφορὰ ἀπὸ τῶν [παλαιόντων τῶν] μεταλαμβανόντων καὶ ἐκ τούτου κρειττόνων γινομένων.

390. ὡς ἂν νυνὶ μαλάξῃς : Ἐὰν ἐν τῇ ἀρχῇ καταγωνίσῃ καὶ ἀσθενῆ ποιήσῃς.

392. ἀλλότριον ἀμῶν θέρος : Τουτέστι τοὺς ἀλλοτρίους καμάτους καὶ πόνους οὗτος γεωργῶν καὶ καρπούμενος. αἰνίττεται δὲ πρὸς τὴν Πύλον, ὅτι μετὰ τοὺς κινδύνους καὶ τὰς πολλὰς ταλαιπωρίας, ἃς ὑπέμεινε Δημοσθένης πολιορκῶν τοὺς ἐν Σφακτηρίᾳ, μηδὲν ὁ Κλέων πονήσας, ἀλλ' ὕστερον ἐφ' ἕτοιμα ἐλθὼν, τὴν νίκην τὴν ἐκείνου παρελόμενος, αὐτὸς ἐπεγράψῃ τῷ κατορθώματι. ὡς εἴ τις ἀγνώμων ἀνὴρ ἐπ' αὐτῷ ἀμητῷ καὶ ταῖς ἅλωσιν ἐκβαλὼν τὸν σπείραντα γεωργὸν καὶ προπεπονηκότα τοὺς καρποὺς ἀξιοῖ πορίζεσθαι.

393. νῦν δὲ τοὺς στάχυς : Ἐξῆς ἀπὸ τοῦ ἀμητοῦ ὠνόμασε τοὺς στάχυς, ἀντὶ τῶν αἰχμαλώτων Λακεδαιμονίων, οὓς ζῶντας ἄξειν κατεπαγγειλάμενος ὁ Κλέων τοῖς Ἀθηναίοις ἐμπροθέσμως ἤγαγεν. φησὶν οὖν, τοὺς ἄνδρας ἐκείνους, οὓς δήσας ἤγαγεν, ἀφεῖναι νῦν καὶ ἀπολῦσαι διανοεῖται.

394. ἀποδόσθαι : Πωλῆσαι, τουτέστι λύτρα παρ' αὐτῶν λαβεῖν.

395. μακκοᾷ : Ἀνοηταίνει, ἠνεόν ἐστιν. ἔφαμεν δὲ [ad v. 62] ὅτι ἡ Μακκὼ ἠνεὰ ἦν.

400. Κρατίνου κώδιον : Κώδιόν ἐστι τὸ ἅμα τοῖς ἐρίοις δέρμα σκευαζόμενον. ὡς ἠνουρηκὴν δὲ καὶ μέθυσον διαβάλλει τὸν Κρατῖνον. ὁ δὲ Κρατῖνος καὶ αὐτὸς ἀρχαίας κωμῳδίας ποιητὴς, πρεσβύτερος Ἀριστοφάνους, τῶν δοκίμων ἄγαν. γενοίμην οὖν, φησιν, εἰς τὴν οἰκίαν Κρατίνου κώδιον, ὥστε μου κατουρεῖν ἐκεῖνον, εἰ μή σε μισῶ. ὅπερ μοι δοκεῖ παροξυνθεὶς ἐκεῖνος, καίτοι τοῦ ἀγωνίζεσθαι ἀποστὰς καὶ συγγράφειν, πάλιν γράφει δρᾶμα τὴν Πυτίνην, εἰς αὐτόν τε καὶ τὴν μέθην. οἰκονομίᾳ δὲ κέχρηται τοιαύτῃ. τὴν κωμῳδίαν ὁ Κρατῖνος ἐπλάσατο αὐτοῦ εἶναι γυναῖκα καὶ ἀφίστασθαι τοῦ συνοικεσίου τοῦ σὺν αὐτῷ θέλειν, καὶ κακώσεως αὐτῷ δίκην λαγχάνειν, φίλους δὲ παρατυχόντας τοῦ Κρατίνου δεῖσθαι μηδὲν προπετὲς ποιῆσαι καὶ τῆς ἔχθρας ἀνερωτᾶν τὴν αἰτίαν, τὴν δὲ μέμψεσθαι αὐτῷ ὅτι μὴ κωμῳδοίη μηκέτι, σχολάζοι δὲ τῇ μέθῃ. οὐδὲν δὲ χεῖρον πολυμαθίας ἕνεκεν αὐτὰ τὰ ἐπιτήδεια τῶν ἰάμβων ἐκλέξαντα θεῖναι ταῦτα «ἀλλ' ἐπανατρέψαι « βούλομαι εἰς τὸν λόγον· πρότερον ἐκεῖνος πρὸς ἑτέραν « γυναῖκ' ἔχων τὸν νοῦν, κακὰς εἴποι πρὸς ἑτέραν, ἀλλ' « ἅμα μὲν τὸ γῆρας, ἅμα δέ μοι δοκεῖ οὐδέποτ' αὐτοῦ « πρότερον, » καὶ τὰ ἑξῆς. Ἄλλως. κωμῳδίας ποιητὴς πολὺν οἶνον πίνων ὡς καὶ ἐνουρεῖν. γενοίμην οὖν, φησὶν, ἐν τοῦ Κρατίνου κώδιον, ἵνα κατασήπωμαι ἐνουροῦντος αὐτοῦ.

401. Μορσίμου : Μόρσιμος, Φιλοκλέους τοῦ ποιητοῦ υἱὸς, τραγῳδίας ποιητὴς ψυχρός. ἔστι δὲ καὶ ἰατρός. ὡς δὲ μοχθηρῶν ὄντων αὐτοῦ τῶν ποιημάτων ἐν ἀρᾷς ἔθηκε μέρει.

402. ὦ περὶ πάντ' ἐπὶ πᾶσιν : Ὦ ἐπὶ πάσῃ προδοσίᾳ ἐξεταζόμενε καὶ κακίᾳ. μεταφορικῶς δὲ εἴληφε τὸ νόημα ἀπὸ τῶν μελισσῶν. ὁ γὰρ λέγει, τοιοῦτόν ἐστιν· ὥσπερ αἱ μέλισσαι, φησὶ, πᾶν ἄνθος δρέπονται, οὕτω καὶ σὲ τῶν τῆς πόλεως πραγμάτων οὐδὲν λανθάνει, ὥστε μὴ οὐκ ἀποδόσθαι αὐτὸ καὶ προδοῦναι.

402. ἴζων : ἐφιπτάμενος ἐπὶ πάσῃ δωροδοκίᾳ. *V. Victor.*

404. εἴθε φαύλως : Εἴθε ἐκ τοῦ ῥᾴστου καὶ οὕτως εὐχερῶς, ἐπεὶ μηδὲ ἐλπίσας εἰς τοῦτο δόξης προελθεῖν ὁ Κλέων ἔδοξεν εὐδοκιμεῖν ἐκ τῶν περὶ Πύλον κατορθωμάτων.

ὥσπερ εὗρες : Ὥσπερ ἐπέτυχες. ἐναργεῖ δὲ τῇ λέξει τῇ εὗρες κέχρηται. τὸ μὲν γὰρ καμάτῳ καὶ πόνῳ περιγενέσθαι τινὸς τῆς τοῦ κάμνοντος γνώμης καὶ προαιρέσεως ἔλεγχον ἔχει, τὸ δὲ εὑρεῖν ἁπλῶς τῆς παρασχούσης τύχης. οὐ τῆς αὐτοῦ τοῦ εὑρόντος γνώμης τὸ ἔργον. ὡς οὐκ ἐκ προνοίας τοῦ Κλέωνος κατορθώσαντος ἃ διεπράξατο, ἀλλ' ἁπλῶς εὑρόντος εὕρημα.

τὴν ἔνθεσιν : Τὴν τροφὴν τὴν ἐν πρυτανείῳ δοθεῖσαν αὐτῷ. [ἔνθεσις γὰρ ὁ ἄκολος, ὁ ψωμός.]

405. ᾄσαιμι : Τότε γὰρ, φησὶν, ἐπᾴσαιμί σοι τὸ Σιμωνίδου μέλος « πῖνε πῖνε ἐν ταῖς συμφοραῖς. » ἐκ τῶν Σιμωνίδου δὲ τοῦτο Τεθρίππων. τὸ δὲ συμφοραῖς ἐπ' ἐσθλοῖς. τῶν μέσων γὰρ ἡ συμφορά.

407. τὸν Ἰουλίου γέροντα : Ὡς παιδεραστὴς οὗτος ὁ πρεσβύτης διεβάλλετο. οὐκ ἀργῶς δὲ τὴν ἡλικίαν ἐνταῦθα προσέθηκεν. διαβολὴν γὰρ ἐπὶ τοῖς νεωτέροις ἔχοντος τοῦ πράγματος, μείζονα τὴν αἰσχύνην ἐποίησεν

ἐπ' αὐτῷ, ᾧπερ γέροντι ὄντι ἀσελγαίνειν καὶ τὰ τοιαῦτα ὑβρίζειν πρόσεστι. παιδοπίπην δὲ τὸν παράγοντα καὶ παρακρουόμενον καὶ ἀναπείθοντα τὰ μειράκια. τοῦτον δὲ ὁ Κρατῖνος πυροπίπην λέγει, τουτέστι τὸν φύλακα τοῦ σίτου, ὡς εἰς τὸ πρυτανεῖον παρέχοντα ἄρτους.

408. Βακχέβακχον ἆσαι : Εὐφημῆσαι τὸν Διόνυσον καὶ ἀνυμνῆσαι. Βάκχον δὲ οὐ τὸν Διόνυσον ἐκάλουν μόνον, ἀλλὰ καὶ πάντας τοὺς τελοῦντας τὰ ὄργια βάκχους ἐκάλουν, οὐ μὴν ἀλλὰ καὶ τοὺς κλάδους οὓς οἱ μύσται φέρουσι. μέμνηται δὲ Ξενοφάνης ἐν Σίλλοις οὕτως « ἑστᾶσιν δ' ἐλάται πυκινὸν περὶ δῶμα. » ἔστι δὲ καὶ στεφάνης εἶδος, ὡς Νίκανδρος ἐν τῷ περὶ τῶν γλωσσῶν ἱστορεῖ. φησὶ γὰρ οὕτως,

βάκχοισιν κεφαλὰς περιανθέσιν ἐστέψαντο.

[τὸ δὲ παιῶνα δὴ γράφεται παιηωνίσαι. ἢ ἡσθέντ' ἰὴ παιὼν ᾆσαι. τοῦτο μέντοι ὁ στίχος οὐκ ἀπαιτεῖ.]

409. οὗτοι μ' ὑπερβαλεῖσθ' ἀναιδείᾳ : Διπλῆ καὶ στίχοι ὅμοιοι τοῖς ἄνω λβ'. ὧν τελευταῖος

ἀνὴρ ἂν ἡδέως λάθοι [τοὺς τερθρίους παρίει.

ἐφ' ᾧ διπλῆ ἕξω νενευκυῖα. ὑπερβαλεῖσθε δὲ, νικήσετε, ἐκ μεταφορᾶς τῶν τρεχόντων.]

410. [ἢ μήποτ' ἀγοραίου : Ἀγοραῖος Ζεὺς ἵδρυται ἐν τῇ ἀγορᾷ καὶ ἐν τῇ ἐκκλησίᾳ.]

411. ἔγωγε νὴ τοὺς κονδύλους : Ὁ ἀλλαντοπώλης ἐστὶν ὁ λέγων. ἀποτείνεται δὲ πρὸς τὸν Κλέωνα καὶ φησὶν ὅτι οὐχ ὥσπερ ἐκεῖνος τὴν δόξαν ῥᾳδίως εὗρε, τὸν αὐτὸν καὶ αὐτὸς εὐδοκίμησε τρόπον, ἀλλὰ πολλὰ ποιήσας καὶ πολλοὺς κινδύνους ὑποστὰς καὶ κατορθώσεις τε πολέμων πλείονας, αἰνιττόμενος τὰ περὶ Ἀκαρνᾶνα καὶ Αἰτωλίαν, καθ' ὧν εὐδοκίμησε, στρατηγῆσαι φθάσας. Ἄλλως. ἀποτείνεται πρὸς τὸν Κλέωνα ὁ ἀλλαντοπώλης, ὅτι ἐκεῖνος μὲν εὐκόλως ἐστρατήγησεν, αὐτὸς δὲ πολλὰ κακοπαθήσας καὶ τυπτηθεὶς ἐν τῷ μαγειρείῳ.

414. ἀπὸ μαγδαλιᾶς : Ἀπὸ εὐτελοῦς τροφῆς ὁρμώμενος. μαγδαλιὰ γὰρ τὰ τῶν ἀλφίτων ἀποβλήματα. Ἄλλως. ἡ τῶν κυνῶν τροφὴ, ἥτις ἦν σταῖς καὶ λίπος. οὕτως καὶ ὁ ποιητὴς εἶπεν [Od. K, 217]

αἰεὶ γάρ τε φέρει μειλίγματα θυμοῦ.

μετὰ γὰρ τὸ δεῖπνον εἰς τὸ σταῖς ἀπεψῶντο τὸ λίπος καὶ τοῖς κυσὶν ἐπέρριπτον. Ἄλλως. τὸ σταῖς, ᾧ ἀπομάττονται οἱ μάγειροι, ὅπερ ἐκάλουν χειρόμακτρον. ὃ μετὰ τὴν ἐργασίαν ἀπερρίπτουν τοῖς κυσίν.

416. κυνοκεφάλῳ : Ἑαυτὸν ὁ Κλέων λέγει κυνοκέφαλον, δεινὸν καὶ ἀναίσχυντον. ὁμοίως ἦν ὁ παρ' Ἡσιόδῳ [Theog. 287] Γηρυονεὺς,

Χρυσάωρ δ' ἔτεκε τρικέφαλον Γηρυονῆα.

Ἄλλως. τῷ κυνὸς κεφαλὴν ἔχοντι, τουτέστιν ἐμοὶ τῷ Κλέωνι. ἀφ' ἧς δὲ προείρηκε τροφῆς, κυνοκέφαλον αὐτὸν εἶπεν, οἷον ἰταμὸν καὶ ἀναιδῆ καὶ ἁρπακτικὸν, ἐπεὶ καὶ τὸ ζῷον τοιοῦτον. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· πῶς οἷόν τε, φησὶν, εἰ κυνὸς τροφὴν ἐσθίων, τῷ ὁμογενεῖ καὶ ὁμοτρόπῳ μάχεσθαι διανοῇ· λέγει δὲ κυνί· οἷον πονηρῷ καὶ βιαίῳ. [κόβαλα δὲ, σοφίσματα, πανουργεύματα, κλέμματα.]

419. νέα χελιδών : Παροιμιῶδες. ὁλόκληρος δέ ἐστι παροιμία τὸ λεγόμενον, ἔστιν ἔαρος ἀρχή. δοκεῖ γάρ πως ἅμα τῷ ἔαρι φαίνεσθαι ἡ χελιδών. — θεάσασθε, καταμάθετε, κατανοήσατε. V.

420. οἱ δ' ἔβλεπον : Ἐώρων. ὑπὸ τῆς περιεργίας ἐξαγόμενα τὰ παιδία τῇ θέᾳ τὸν νοῦν προσεῖχον, πότε χελιδὼν παραπτήσεται, κἀκείνων περὶ τοῦτο ἑπτοημένων, ῥᾷστον αὐτὸς εἶχε τὸ κλέπτειν.

421. ὦ δεξιώτατον κρέας : Ὦ κάλλιστον καὶ σοφώτατον κρέας διὰ τὸ κἀκεῖνον κεκλοφέναι, καὶ ὥσπερ τῇ δεξιᾷ χειρὶ ὑφῃρῆσθαι. ἀντὶ τοῦ ὦ σοφώτατε ἄνθρωπε.

422. ὥσπερ ἀκαλήφας : Βοτάνης εἶδος, αἳ παρὰ τοῖς πολλοῖς κνίδαι καλοῦνται. ἐμνημόνευσε δὲ τῶν ἀκαλήφων διὰ τὴν δριμύτητα τοῦ ἀλλαντοπώλου καὶ τὴν ἀγχίνοιαν, ὅτι κλοπῆς ἐξεῦρε τρόπον. δριμεῖα γὰρ ἡ βοτάνη, καὶ τοὺς θιγόντας κνᾶσθαι ποιεῖ. εἶπε δὲ πρὸ χελιδόνων, ἐπεὶ μετὰ τὴν χελιδόνα ἄδρωτοι αἱ κνίδαι. Ἄλλως. ἀκαλήφη εἶδος μυίας, ὡς Ἀριστοτέλης [Hist. anim. 4, 5]. ἐν τῷ χειμῶνι δὲ ἐδώδιμοι εἰσὶν, ἐν δὲ τῷ θέρει ἀπόλλυνται. Ἄλλως. λάχανόν ἐστιν ἄγριον. καλεῖται δὲ καὶ θαλασσία ἀκαλήφη, ἡ προσελθοῦσα τῷ χρωτὶ κνησμὸν ποιεῖ. ἐοίκασι δὲ τῇ ὥρᾳ τῇ πρὸ τοῦ ἔαρος χρῆσθαι.

424. εἰς τὰ κοχώνα : Κοχώνη τόπος ὑπὸ τὸ αἰδοῖον, τὸ μεταξὺ τῶν μηρῶν καὶ τῆς κοτύλης καὶ τῶν ἰσχίων. μέμνηται δὲ τῆς κοχώνης καὶ ἐν Σκηνᾷς καταλαμβανούσαις « ἀλλὰ συσπάσαι δεῖ τὰς κοχώνας. » [αἱ αὐταὶ δὲ καὶ πύγαια καὶ προχῶναι παρ' Ἀρχίππῳ καλοῦνται.] οὐδετέρως δ' ἔφη τὰ κόχωνα.

426. ἐπιτροπεύσει : Προηγήσεται, προστατήσει. οὐκ ἀργῶς δὲ ἐπὶ ἔνδοξον πρόσωπον τὴν τοιαύτην ἀνήγαγε κρίσιν. οὐ γὰρ ἰδίως φησὶ τινὰ εἰρηκέναι, ἀλλὰ ῥήτορα καὶ προϊδεῖν καὶ συνιέναι πλέον τῶν ἄλλων δυνάμενον. [διὰ δὲ τούτων λεληθότως φησὶν ὅτι καὶ οἱ στρατηγοὶ ἐπίορκοι.]

427. εὖ τε ξυνέβαλεν : Ἀπ' αὐτῶν τῶν πραττομένων φανερὸν ἦν τὸ ἀποβησόμενον.

428. ὁτιὴ 'πιόρκεις : Πάλιν κἀνταῦθα τῶν πολιτευομένων καθάπτεται ὡς ἐξ ἐπιορκίας καὶ κλοπῆς συνεστηκότων καὶ τοιούτων ἐθῶν. διὰ τοῦτο καὶ τὸν ἀλλαντοπώλην διαπρέπειν ἐν τῇ πολιτείᾳ ὁ ῥήτωρ ἔφησεν.

ὁ πρωκτὸς εἶχεν : Ἦτοι τὴν μοχθηρίαν αὐτοῦ καὶ τὴν ῥυπαρίαν κἀν τούτῳ δείκνυσι τῷ τρόπῳ, καὶ ὅτι κατέκρυπτε κλέπτων ἐν τῷ πρωκτῷ κρέα, καὶ ταῦτα πάλιν αὐτὸς ἤσθιεν. ἢ διαβάλλειν εἰς ἀσέλγειαν αὐτὸν θέλει, ὡς δὴ παρὰ τὴν ἡλικίαν τὰ τῶν γυναικῶν παθόντα.

430. καθιεὶς : Παρεσκευασμένος. καθιεῖν δὲ κυρίως

τὸ χαλᾶν τὰ τῶν νεῶν ἱστία. ταῦτα δὲ προσφόρως εἴρηκεν ὁ Κλέων. ἦν γὰρ σφοδρὸς ἐν τοῖς λόγοις. καθιεὶς οὖν ἀντὶ τοῦ καθειμένος [πνέων]. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἀνέμων.

431. καὶ τὴν θάλατταν εἰκῇ : Πάλιν ἐπὶ σοὶ μηχανησάμενος καὶ πάντα κινήσας ἐπιβουλῆς τρόπον. δι' ὧν δὲ ἀπειλεῖ ἀδύνατα καὶ μείζονα, δι' αὐτῶν δηλοῖ τὴν σπουδὴν τῆς ἐπιβουλῆς τῆς κατ' αὐτοῦ. εἰκῇ δὲ ἀντὶ τοῦ ἁπλῶς καὶ ὡς ἔτυχε, μάτην· τουτέστιν ἐπ' οὐδενὶ ἀναγκαίῳ καὶ σπουδαίῳ πράγματι, φανερὰν καὶ ἐν τούτῳ ποιῶν τὴν ἑαυτοῦ ἐξουσίαν, ἣν κατὰ τῆς πόλεως εὐτυχεῖ, εἰ ἐπ' αὐτοῦ καθέστηκε τὸν δῆμον κινεῖν καὶ παροξύνειν καθ' ὧν βούλεται, καὶ ταῦτα ἐπὶ οὐδεμιᾷ προφάσει ἢ λόγῳ.

432. ἐγὼ δὲ συστείλας : Καὶ τοῦτο παρεπιγραφή. ὃ γὰρ εἶπε, καὶ ποιεῖ. τουτέστιν ὃ κατέθετο τῶν ἀλλάντων φθάσας ἐπιὼν, τοῦτο πάλιν ἀναιρόμενος τῆς θυμέλης ἐξάγει.

433. κατὰ κῦμ' ἐμαυτὸν : Ἀπὸ τῶν ἀφιέντων ἑαυτοὺς κατὰ κῦμα φέρεσθαι.

κλάειν σε μακρὰ κελεύων : Τὸ μὲν εἶδος ἀρχαῖον καὶ Ἀττικὸν τῆς συνθέσεως, ὡς μακρὰ χαίρειν σοι λέγω καὶ οἰμώζειν μακρά· τὸ δὲ λεγόμενον πρόδηλον. φησὶ γὰρ, ἧττόν σου φροντίσας τῶν ἀπειλῶν ἀπελεύσομαι ἢ καταλείψω σε ἐνταῦθα κλαίειν, ἵνα δόξῃ καὶ φιλονεικεῖν καὶ διαλοιδορεῖσθαι πρὸς αὐτόν. εἰώθασι γὰρ οἱ βελτίονες καὶ τῶν λοιδοριῶν ὑπερφρονεῖν τῶν ἡττόνων.

434. κἄγωγ' ἄν τι παραχαλᾷ : Ἐξῆς καὶ οὗτος τῆς ἀντλίας ἐμνημόνευσεν, ἵνα καὶ αὐτὸς ἴδιον ἀπὸ τῆς θαλάσσης δοκῇ ἀστείζεσθαι, ὥσπερ καὶ ὁ ἀλλαντοπώλης. ἀντλία δὲ λέγεται τόπος τις τοῦ πλοίου εἰς ὃν τὸ ὕδωρ σωρεύεται εἰς τὴν ναῦν. [καὶ ἀλλαχοῦ (Pac. 17)

οὐ γὰρ ἔθ' οἷός τ' εἰμ' ὑπερέχειν τῆς ἀντλίας.

ἀντὶ τοῦ ἀντέχειν καὶ ὑπεργίνεσθαι τοῦ πράγματος.] λέγει δὲ ὅτι φυλάξω, ἐάν τις τῆς ἀντλίας εἰσδέχηται. ἰστέον δὲ ὅτι ἱστάμενον καὶ χρονίζον τὸ ὕδωρ κάκιστον ὄδωδεν. τί ποτε οὖν βούλεται τῷ ποιητῇ ζητητέον τὸ ἀπειλεῖν τούτῳ παραφυλάξειν τὴν ἀντλίαν, πλὴν εἰ μὴ τοὺς προειπόντας ὡς καὶ αὐτοὺς ψυχρολογήσαντας σκώπτειν θέλει διὰ τὸ ἀδύνατα εἰρηκέναι. οὔτε γὰρ τῷ Κλέωνι δυνατὸν ἦν ἀνθρώπῳ γε ὄντι κινῆσαι τὴν γῆν καὶ τὴν θάλατταν, οὔτε τῷ ἀλλαντοπώλῃ ἀσφαλὲς ῥῖψαι καὶ διασκευάσαι κατὰ κυμάτων ἑαυτόν. καὶ τοῦτο ἀνόητον καὶ περιττὸν, ὁ ἐπὶ τῇ ἀντλίᾳ τῆς φρουρᾶς πόνος. Ἄλλως. περὶ τοῦ ῥηθέντος παρὰ τοῦ Κλέωνος λόγου, ὅτι συνταράξει τὴν θάλασσαν, καὶ οὗτος ἀπήντησεν εἰπών.

435. καταπροΐξῃ : Οὐ προϊκά μου καταφρονήσεις, τουτέστι δωρεάν [μου ἐγχανῇ].

436. καὶ τοῦ ποδὸς παρίει : Μεταφορικῶς ἀπὸ τῶν πλεόντων ἐχρήσατο. ἐπειδὰν γὰρ πλείων ἄνεμος ἐμπέσῃ τοῖς πλέουσι, συστέλλουσι καὶ παραιροῦσι τῶν ἱστίων τὰ πολλὰ, ἢ τὸ μὲν ἓν μέρος τοῦ ἱστίου, τὸ δὲ ἕτερον ἀναστέλλεται οὗ ἂν μὴ χρεία ᾖ ἢ καὶ ὁ καιρὸς ἀπαιτῇ. πόδας δὲ καλοῦσιν οἱ ναῦται τοὺς παρ' ἑκάτερα τὰ μέρη κάλως ἐκδεδεμένους τῆς ὀθόνης. φησὶν οὖν, ἀσφαλέστερον λοιπὸν διαλέγου καὶ πρᾶττε, τουτέστι μὴ πολλῇ χρῶ ἀθυρογλωττίᾳ, ἀλλὰ πεφεισμένως διαλέγου τῷ Κλέωνι. παρωξύνετο γὰρ σφόδρα.

437. κακίας καὶ συκοφαντίας : Ἐπειδὴ ψευδῆ κατηγορεῖν ὁ Κλέων ἐτόλμησεν αὐτοῦ, φήσας αὐτὸν σφετερίσασθαι τῆς πόλεως τάλαντα πολλὰ, καὶ οὐκ ἄν ποτε συγχωρήσειν προῖκα τῷ αὐτῷ, διὰ τοῦτο τοίνυν φησὶν αὐτὸν καὶ συκοφαντίας πνεῖν, ὃ χρὴ στοχάσασθαι τὸν ἀλλαντοπώλην. ἑξῆς δὲ ἀπὸ τῶν ἀνέμων τῷ πνεῖν καὶ συκοφαντίας κέχρηται. Ἄλλως. ὄνομα ἀνέμου ὁ καικίας. τὸν δὲ αὐτὸν καὶ νότον καλοῦσί τινες. ἀκολούθως δὲ εἶπε διὰ τὸ προειρηκέναι τοῦ ποδός. ἅμα δὲ πρὸς τὴν συκοφαντίαν καὶ κακίαν αὐτοῦ τὰ ὀνόματα πλάττει. οὗτος δὲ, ὅτε πνεῖ, τὰ νέφη εἰς ἑαυτὸν ἕλκει, [ὡς τὸ « κακὰ ἐφ' ἑαυτὸν ἕλκων ὡς ὁ καικίας νέφος. »]

438. Ποτιδαίας : Ἔπαιζε τῷ ὀνόματι, ἵνα ἀκολούθως ἀπὸ τῆς θαλάττης καὶ τῶν ἀνέμων ἀποκρίνεσθαι καὶ αὐτὸς δοκῇ. ἡ δὲ Ποτίδαια πόλις ἐστὶ πρὸς τῷ Ἰσθμῷ τῆς Παλλήνης κατῳκισμένη, Κορινθίων μὲν ἄποικος, Ἀθηναίων δὲ σύμμαχος καὶ φόρους ἐτέλει. ἣν ἀποστᾶσαν πολιορκήσαντες οἱ Ἀθηναῖοι πολιορκίᾳ μακρᾷ, ὡς καὶ σφῶν αὐτῶν γενέσθαι καταναγκάσαι, παρέλαβον, καὶ ἐξανδραποδίσαντες τὴν πόλιν. ἀπὸ ταύτης φησὶ τῆς πόλεως κεκλοφέναι δέκα τάλαντα τὸν Κλέωνα, καὶ τούτῳ φιλονεικῶν αὐτὸν ἀμείβεσθαι τοῖς ἴσοις, ἐπεὶ πρότερος ἐκεῖνος ἔφησεν αὐτὸν σφετερίσασθαι τῆς πόλεως τάλαντα πολλά.

δέκα τάλαντα : Χρησίμως μετὰ τὸν τόπον καὶ τὸν ἀριθμὸν εἶπεν, ἵνα ὁ λόγος αὐτῷ πίστεως ἔχεσθαι δοκῇ, καὶ μὴ ἄλλως τῆς τοῦ Κλέωνος διαβολῆς λελέχθαι χάριν. πίστεως γὰρ παράδειγμα τὸν κατηγοροῦντα μὴ ψιλοῖς χρῆσθαι ῥήμασιν, ἀλλὰ καὶ ἀριθμὸν προσβάλλεσθαι καὶ τόπον.

439. βούλει τῶν ταλάντων : Δεῖ νοῆσαι τὸν Κλέωνα ἐπὶ τῇ ἐλπίδι καὶ τῇ ἐπαγγελίᾳ τοῦ ταλάντου πεισθέντα ἐνδοῦναι. πρὸς ὃ φησὶν ὁ ἕτερος, τὸ πνεῦμα ἔλαττον γίνεται.

440. τερθρίους : Οἱ ἔσχατοι κάλοι, οὓς ἐκφόρους καλοῦσιν οἱ ναῦται, οὓς, ὅταν ἐνδιδῷ τὸ πνεῦμα, πρώτους ἐκ πρώρας χαλῶσι. καὶ οὗτος οὖν ἀκολούθως τοῦτο εἶπε, διὰ τὸ προάγον τοῦ ποδὸς παρίει. φησὶν οὖν ὁ Κλέων, πάντων ἂν ὑπερίδοι ἕνεκεν λήμματος. — τοῦ ἱστοῦ τὸν τόνον. V.

441. [τὸ πνεῦμ' ἔλαττον γίνεται : Ἔκθεσις τῆς διπλῆς ἐκ κώλων ἰαμβικῶν διμέτρων ἀκαταλήκτων, πλὴν τοῦ δευτέρου τριμέτρου, καὶ τοῦ παρατελεύτου μονομέτρου, καὶ τοῦ τελευταίου ἐφθημιμεροῦς ὄντος. ἑξῆς δὲ τούτων τετράμετροι τέσσαρες καταληκτικοὶ, ἐν ἐπῳδοῦ τάξει κείμενοι. μεθ' οὓς τρίμετροι ἀκατάληκτοι. ἐπὶ τῷ τέλει τῆς μὲν ἐκθέσεως δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος· τοῦ δὲ συστήμα-

τος κορωνίς.] τὸ πνεῦμ' ἔλαττον γίνεται : ἐπέμεινε τῇ τροπῇ τῶν ὀνομάτων. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὅτι ἐπιεικέστερος ἔσται καὶ πραότερος. λοιπὸν γὰρ ἐπειδὴ φθάσας εἶπεν ἤτοι κακίας καὶ συκοφαντίας αὐτὸν πνεῖν, διὰ τοῦτο πάλιν οἰκείως ἔλαττον ἔφησεν αὐτοῦ γίγνεσθαι τὸ πνεῦμα.

442. φεύξει γραφὰς : Διώκειν καὶ φεύγειν ἔλεγον ἐπὶ τῶν κατηγόρων καὶ τῶν ἀπολογουμένων. ἐδίωκον μὲν γὰρ οἱ κατήγοροι, ἔφευγον δὲ οἱ κατηγορούμενοι. φησὶν οὖν ὅτι κατηγορηθήσῃ δίκας ἑκατονταλάντους.

445. ἐκ τῶν ἀλιτηρίων : Τῶν μετεχόντων τοῦ Κυλωνείου ἄγους, ὅπερ εἰς τὴν Ἀθηνᾶν δοκεῖ γενέσθαι ἀσέβημα, ἐπειδήπερ οἱ συγκατακλεισθέντες τῷ Κύλωνι ἐν τῇ ἀκροπόλει εἰς τὴν κρίσιν κατέβησαν ἐν Ἀρείῳ πάγῳ, ἐκ τοῦ ἕδους τῆς θεοῦ ἐξάψαντες τὴν ἱκετηρίαν. ἧς διαρρυείσης, λίθοις αὐτοὺς ἔβαλλον οἱ Ἀθηναῖοι. ἀλιτηρίων δὲ, ἀντὶ τοῦ ἐναγῶν.

ἀλιτηρίων : Τῶν ἁμαρτησάντων εἰς Ἀθηνᾶν. Κύλων γὰρ Ἀθηναῖος ἀνὴρ, Μεγαρίδα γυναῖκα γήμας Θεαγένους θυγατέρα, θέλων τυραννεῖν, ἔλαβε χρησμὸν τῇ μεγάλῃ ἑορτῇ τοῦ Διὸς ἐπιθέσθαι τῇ πόλει. ἐν Ὀλυμπίᾳ δὲ ἐπιθέμενος, νομίζων ταύτην εἶναι μεγάλην ἑορτὴν, δύναμιν προσλαβὼν παρὰ Θεαγένους, μὴ γνοὺς ὅτι τὰ Διάσια ἦν ἡ μεγάλη ἑορτὴ, ἐπελθὼν τῇ ἀκροπόλει ἐλήστευε καὶ ἁλίσκεται. ἐλήφθη δὲ συλῶν τὸ ἱερὸν τῆς Ἀθηνᾶς. καὶ αὐτὸς μὲν ὁ Κύλων φεύγει, τοὺς δὲ ἄλλους φονεύουσι, τινὰς δὲ καὶ ἱκέτας ἐκ τῶν βωμῶν ἀποσπάσαντες ἀπέκτειναν. τοὺς οὖν ἁμαρτάνοντας εἰς τοὺς ἱκέτας ἀλιτηρίους ἔφασκον. οὓς καὶ ἐξέβαλον τῆς πόλεως, ὅτι ἐκ τῶν ἀρχαίων νόμων παρέβησαν τοὺς ἱκέτας φονεύσαντες. Ἄλλως. Κύλων τὴν ἀκρόπολιν κατέλαβεν ἐπὶ τυραννίδι, καὶ ἑλήφθη ποτὲ συλῶν τὸ ἱερὸν τῆς Ἀθηνᾶς, καὶ ὑπὸ Ἀθηναίων ἐκλείσθη. καὶ οὕτως ἐκεῖνος εὑρὼν καιρὸν, φυγῇ ἐχρήσατο, καὶ οἱ φίλοι ἔφυγον εἰς τοὺς βωμοὺς τῶν θεῶν, οὓς οὗτοι ἀποσπάσαντες ἀπέκτειναν, ὅθεν ἀλιτήριοι ἐκλήθησαν.

448. οἱ περιέποντες καὶ φρουροῦντες τοὺς τυράννους. θέλων γὰρ τυραννεῖν δορυφόρους εἶχεν αὐτούς. Ven.

449. τῶν Βυρσίνης : Ἔπαιξε παρὸ τὸ βυρσοδέψην εἶναι τὸν Κλέωνα, καὶ παρὰ τὸ τυράννου ὄνομα τοῦ Ἱππίου, ᾧπερ τῷ ὀνόματι τοῦ Ἱππίου περιεργότερον ἐχρήσατο. δῆλον μὲν γὰρ καὶ ἐκ τῶν προειρημένων, οὐχ ἥκιστα δὲ καὶ ἀπὸ τούτων, ὅτι μὴ αὐτὸς ὁ Ἱππίας κατέστησε τὴν τυραννίδα, ἀλλὰ παρὰ τοῦ πατρὸς ἅμα τοῖς ἀδελφοῖς παρέλαβε τοῦ Πεισιστράτου. οὗ πάντως ἂν ἐμνημόνευσεν, εἰ μὴ χρησιμώτερον τὸ ὄνομα τοῦ Ἱππίου πρὸς τὸ συνάψαι τῇ Βυρσίνῃ κατεφαίνετο. οὐκ ἀδηλόν ἐστι τοῦ Κλέωνος διαβάλλοντος αὐτὸν ὡς τῶν ἀλιτηρίων γεγονέναι, τῶν ἐπιβουλευσάντων τῇ πόλει καὶ τοῖς τυράννοις συναραμένων. Ἄλλως. Πεισιστράτου γυνὴ γέγονεν ἡ Μυρρίνη, Ἱππίου καὶ Ἱππάρχου μήτηρ. Βυρσίνην οὖν εἶπεν ἀντὶ τοῦ Μυρρίνην, ὡς βυρσοπώλην πάλιν κωμῳδῶν τὸν Κλέωνα. ταύτην ὁ Πεισίστρατος ὁπότε κατήγαγεν εἰς Ἀθήνας ἐφ' ἅρματος, ἔφασκεν Ἀθηναίαν εἶναι βουλόμενος τυραννεῖν.

450. κόβαλος εἶ : Προειρήκαμεν ὅτι τοὺς μετὰ ξύλου λῃστὰς οὕτως ἐκάλουν οἱ παλαιοί.

451. ἰοὺ : Τοῦτο παρεπιγραφή. τυπτόμενον γὰρ ὑποκρίνεται. — σχετλιαστικὸν δὲ τὸ ῥῆμα. V.

452. ξυνωμόται : Οἱ ἀντάρται, οἱ προδόται, οἱ τὰ αὐτὰ κατ' ἐμοῦ συνθέμενοι φρονεῖν.

453. παῖ αὐτὸν : Ἰστέον ὅτι ὁ χορὸς ταῦτα τῷ ἀλλαντοπώλῃ παρακελεύεται. ἀστείως δὲ διὰ τὴν ἐκείνου τέχνην εἰς τε τὰ ἔντερα καὶ τὸν κόλον αὐτὸν τύπτειν κελεύει. μάλιστα γὰρ ἡ τῶν ἀλλαντοπωλῶν ἐκ τούτων συνέστηκε τέχνη.

456. κολᾷ τὸν ἄνδρα : Κολούσεις καὶ παύσεις καὶ ταπεινώσεις. ἀπὸ δὲ τοῦ κόλου καὶ ἐντέρων τὴν λέξιν ἐποίησεν. ἴσως δὲ καὶ αὐτὸν τύπτουσιν.

457. [ὦ γεννικώτατον : Ἰσχυρότατον. παίζων κρέας αὐτὸν λέγει, ἐκ μεταφορᾶς τῶν ἰσχυρῶν κρεῶν, ἃ οὐ κατεργάζεται πυρί.]

459. [ὡς εὖ : Ἐπιτηδείως αὐτὸν καὶ ὑπούλως διὰ τῶν λόγων ἐνίκησας τῶν σῶν.]

462. ἀλλ' ἠπιστάμην : Ὑψηλὸς ὢν καὶ μεγαλόφωνος ὁ Κλέων πολυτρόποις λόγοις κέχρηται.

463. γομφούμενα : Σφηνούμενα. γόμφοι γὰρ οἱ σφῆνες οἱ συνείροντες τὰς σανίδας καὶ συναρμονιῶντες καὶ συνέχοντες.

464. ἐξ ἁμαξουργοῦ : Ἁμαξουργοὺς Ἀττικοὶ τοὺς ἀγριοπηγούς. εἶδος δὲ ἀγριοπηγοῖ τεκτόνων, οἳ τὰς ἁμάξας τεκταίνουσι καὶ πάντων τῶν ἀγρίων ξύλων εἰσὶν ἐργάται. ἐπειδὴ δὲ ὁ Κλέων τεκτονικοῖς ὀνόμασι πᾶσιν ἐχρήσατο, τεκταινόμενα εἰπὼν καὶ γομφούμενα, ὁ δὲ ἀλλαντοπώλης οὐδὲν ἀπὸ τεκτονικῆς ἁπαντᾷ, ὁ χορὸς ὥσπερ δέδιε μὴ ἧττον ἀπενέγκηται τοῦ Κλέωνος, καὶ ἀσχάλλει καὶ δυσφορεῖ, ὅτι οὐδὲν ἀντέθηκε τοιοῦτον ῥῆμα.

465. οὔκουν μ' ἐν Ἄργει : Παρὰ τὸν πόλεμον τὸν Πελοποννησιακὸν, καίτοι πρότερον ἐχθροὶ ὄντες τοῖς Ἀργείοις οἱ Ἀθηναῖοι διὰ τὴν πρὸς Λακεδαιμονίους ἀπέχθειαν, ἔδοξαν αὐτοῖς γενέσθαι φίλοι. φησὶν οὖν ὅτι Κλέων ἐπὶ βλάβῃ τῆς πόλεως τὴν Ἀργείων φιλίαν προξενῶν οὐ λανθάνει με σπείσασθαι πρὸς τοὺς Ἀργείους πείθων τὴν πόλιν, παρρησίαν εἰς τὸ συγγενέσθαι τοῖς Λακεδαιμονίοις ἑαυτῷ περιποιούμενος.

468. καὶ ταῦτ' ἐφ' οἷσιν ἐστὶ συμφυσώμενα : [Κατασκευαζόμενα.] ἐπί τινι συμπνέουσι καὶ ὁμοφρονοῦσιν ὅ τε Κλέων καὶ οἱ Λακεδαιμόνιοι, φησὶν αὐτὸς οὐκ ἀγνοεῖν. ἐπεὶ δὲ ὁ Κλέων τεκτονικοῖς τισιν ὀνόμασιν ἐχρήσατο, πάλιν οὗτος χρῆται χαλκευτικοῖς. φυσώμενα δὲ εἶπε διὰ τὰς φύσας τὰς χαλκευτικάς. τὸ δὲ χαλκεύεται ὡς πρὸς τὰς φύσας εἶπεν. ἔστι δὲ ὅμοιον τῷ

τεκταίνεται. πάντα δὲ, φησὶ, πράττεται τῷ Κλέωνι, ὅπως οἱ ἄνδρες τῶν δεσμῶν ἐκφύγοιεν.

469. τοῖς δεδεμένοις : Τουτέστι τοῖς τριακοσίοις τῶν Λακεδαιμονίων, οὓς ἀπὸ Πύλου καὶ Σφακτηρίας ἤγαγεν. οὓς εἶπεν ἀποδεδόσθαι βούλεσθαι τὸν Κλέωνα.

470. εὖ γ' εὖ γε : Ὑπερεπαινεῖ πάλιν ὁ χορὸς ἐνταῦθα τὸν ἀλλαντοπώλην, ὅτι ἀντὶ τῶν τεκτονικῶν ῥημάτων καὶ αὐτὸς χαλκευτικῶς φθέγγεται.

471. καὶ ξυγκροτοῦσι : Συνέχουσι καὶ συμπράττουσι καὶ οὐδένα καιρὸν παραλείπουσι τοῦ πείθειν τὸν Κλέωνα τοῖς δεδεμένοις δοῦναι σωτηρίας ἀφορμήν. Ἄλλως. ἐπέμεινε τῇ μεταφορᾷ τῇ ἀπὸ τῶν χαλκέων. ἀντὶ τοῦ συμπράττουσιν.

474. οὐκ Ἀθηναίοις φράσω : Ἡ σύνταξις Ἀττική. λέγει δὲ ὅτι εὐθὺς καὶ παραχρῆμα.

476. τὰς ξυνωμοσίας : Τὰς ἐπὶ καθαιρέσει τοῦ δήμου ἐνόρκους συνόδους.

477. τὰς ξυνόδους τὰς νυκτερινὰς : Ὅτι νυκτὸς οὔσης κατὰ τῆς πόλεως ἐβουλεύεσθε. — τὸ δὲ ἐπὶ τῇ πόλει ἀντὶ τοῦ κατὰ τῆς πόλεως. Θ.

478. καὶ βασιλεῖ ξυνόμνυτε : Φθάσας ὁ ἀλλαντοπώλης διέβαλεν αὐτὸν ἐπὶ βλάβῃ τῆς πόλεως Ἀργείοις καὶ Λακεδαιμονίοις ξυνιέναι. διὰ τοῦτο καὶ ὁ Κλέων ὡς τῷ τῶν Περσῶν βασιλεῖ προδιδόντας αὐτοὺς τὰ τῆς πόλεως αἰτιᾶται πράγματα.

ξυνόμνυτε : Συμπράττετε, καὶ κοινολογεῖσθε. καλῶς δὲ τῆς διαβολῆς οὐκ ἀπατᾶται τῆς δι' αὐτῶν, ξυνωμότας αὐτοὺς τῷ Περσῶν βασιλεῖ λέγων γεγονέναι, ἵνα ὥσπερ ἔθος δείξῃ τοῦτο καὶ βεβαιώσῃ ὅτι καὶ κατὰ τούτου ξυνωμοσίαν πεποίηνται.

479. συντυρούμενα : Συμπηγνύμενα. καὶ ὅτι παρὰ Βοιωτοῖς πολὺς τυρός.

480. ὁ τυρὸς ἐν Βοιωτοῖς : Ἔπαιξε πρὸς τὸ συντυρούμενα πρὸς τὴν μεταφοράν. τὸ δ' ὅλον πρὸς τοὺς ῥήτορας ὡς τὸ πλῆθος καταπλησσομένους ταῖς αὐτῶν ἀκυρολογίαις.

481. παραστορῶ : Ἐκτενῶ. ἅμα δὲ καὶ ἀπὸ τῶν βυρσῶν. ἀκολούθως δὲ τοῦ Ἡρακλέους ἐμνήσθη, ἐπειδὴ Θηβαίων ἴδιος ὁ θεὸς οὗτος εἶναι λέγεται, τῆς δὲ Βοιωτίας αἱ Θῆβαι πόλις.

482. ἄγε δὴ σὺ : Τὸ μὲν Κλέωνος τῆς θυμέλης ὑπεξῆλθε πρόσωπον, τὴν βουλὴν δῆθεν κινῆσαι κατ' αὐτῶν. οἱ δὲ περὶ τὸν Νικίαν τῷ ἀλλαντοπώλῃ παρακελεύονται γενναίως ἀντιστῆναι πρὸς αὐτόν. νῦν γὰρ, φησὶν, ἀντιστὰς πρὸς τὸν Κλέωνα, ἔργῳ δείξεις, ἐάν σοι γενναῖον ἢ πανοῦργον ἐν τῷ πρώτῳ πέπρακται βίῳ.

484. τοὺς γλουτούς. πρὸς τὰ παρ' αὐτοῦ εἰρημένα. V. εἰς τοὺς γλουτούς. κοχώνη γὰρ τόπος ὑπὸ τὸν μηρὸν καὶ τὴν κοτύλην καὶ τὸ ἰσχίον. Θ.

485. θεύσει γὰρ ἄξας : Δραμεῖ γὰρ ὁρμήσας, ἐπεισελθών. καὶ Ὅμηρος [Il. Λ, 700] « θεύσεσθαι ἔμελλον. » [ἄξας δὲ ἀντὶ τοῦ ἀΐξας, εἰσελθών.] — παρελθὼν εἰς τὸ βουλευτήριον. V.

487. κραγὸν κεκράξεται : Ἀρίσταρχος ὀξυτόνως ἀντὶ τοῦ κραυγαστικῶς. καὶ Ἡρωδιανὸς ἐν Ἀττικῇ προσῳδίᾳ.

490. ἔχε νυν ἄλειψον : Στέαρ διδοῦσιν αὐτῷ ἀλείφεσθαι, ἵνα εὐχερῶς ὀλισθαίνειν δύνηται καὶ δύσπληπτος ᾖ τῷ ἀνταγωνιστῇ. οὐκ ἀργῶς δὲ τὸ λίπος προσλαμβάνουσι διὰ τὸ ἀλλαντοποιὸν αὐτὸν εἶναι. εἰώθασι γὰρ αὐτοὶ τὰ λίπη κατατέμνοντες βάλλειν εἰς τὸ φύραμα καὶ οὕτω πληροῦν τοὺς βοτούλους.

491. τὰς διαβολάς : Δέον εἰπεῖν [τὰς λαβὰς] ὡς ἐπὶ πάλης, τὰς διαβολὰς εἶπεν, αἷς ἔμελλε διαβάλλειν ὁ Κλέων.

492. παιδοτριβικῶς : Ἐπειδὴ ἀνέτριψεν αὐτὸν τῷ λίπει, παιδοτρίβην καλεῖ. Ἄλλως. ἀντὶ τοῦ ἀλειπτικῶς. παιδοτρίβαι γὰρ καλοῦνται οἱ ἀλεῖπται καὶ κηρωματισταί.

493. ἐπέγκαψον : [Κάψον,] ἐπίφαγε ταδί. καὶ τοῦτο παρεπιγραφή. σκόροδον γὰρ αὐτῷ προσφέρει. ὃ φασὶ δεῖν αὐτὸν ἐπιφαγεῖν.

494. ἐσκοροδισμένος μάχῃ : Μετήνεγκεν ἀπὸ τῶν ἀλεκτρυόνων. ὅταν γὰρ εἰς μάχην συμβάλλωσιν αὐτοὺς, σκόροδα διδόασιν αὐτοῖς, ἵνα δριμύτεροι ὦσιν ἐν τῇ μάχῃ. Ἄλλως. κατάφαγε σκόροδα, ἵνα ὀξύτερος γενόμενος καὶ σκορόδοις τραφεὶς, γένῃ ὡς οἱ ἀλεκτρυόνες. (497) κάλλαια δὲ τοὺς πώγωνας τῶν ἀλεκτρυόνων.

497. ἥξεις πάλιν : Λεληθότως σκώπτει τὸν Κλέωνα δι' ὧν ἐκείνῳ παρακελεύεσθαι δοκεῖ. μάλιστα γὰρ παρὰ τοῖς Ἀθηναίοις εὐδοκίμησεν ἐκεῖνος τοὺς ἄλλους διαβάλλων τῶν δημαγωγῶν, ὡς καὶ ἐν ἀρχῇ τοῦ ποιήματος λέγων περὶ αὐτοῦ ἔφησε

> κάκιστα δῆθ' οὗτός γε πρῶτος Παφλαγόνων
> αὐταῖσι διαβολαῖς.

498. ἀλλ' ἴθι χαίρων : Κορωνίς. εἰσελθόντων γὰρ τῶν ὑποκριτῶν, εἶτα καταλειφθεὶς ὁ χορὸς λέγει περίοδον ἀναπαίστων η'. τὴν μὲν προπεμπτικὴν τοῦ ἑτέρου τῶν ὑποκριτῶν οὖσαν δεκάμετρον πεντάκωλον, ὑφ' ὃ διπλῇ κατὰ τὴν δευτερεύουσαν, κομμάτιον. ἄρχεται γὰρ τῆς καλουμένης τελείας παραβάσεως. ἑπτάμετρα δέ εἰσι. τὸ δὲ κομμάτιον τετράμετρον. [Ἄλλως. τοῦτο διὰ τὸ μετὰ τὴν διπλῆν τίθεσθαι ἔοικεν εἶναι ἔκθεσις τῆς διπλῆς. Διὸ καὶ τὸ παρατέλευτον ἔχει κῶλον, ὅπερ ἔθος ἐν τῇ ἐκθέσει τίθεσθαι. διὰ δὲ τὸ προτίθεσθαι τῆς παραβάσεως, κομμάτιον χοροῦ ὀνομάζεσθαι, ὡς εἴρηται. ἔθος γάρ ἐστι προτίθεσθαι τῆς παραβάσεως. κομμάτιόν ἐστιν ἐκ κώλων ἀναπαιστικῶν θ', πλὴν τοῦ παρατελεύτου, ὅπερ μονόμετρον, καὶ τοῦ ε' καὶ τελευταίου, ἅπερ ἐφθημιμερῆ, διμέτρων. ἐπὶ τῷ τέλει παράγραφος.] παρὰ τὸ Σοφόκλειον ἐξ Οἰκλέους.

500. Ζεὺς ἀγοραῖος : Ὡς Ζεὺς ξένιος ἢ μειλίχιος ἢ φίλιος, οὕτω καὶ ἀγοραῖος. οἰκείως δὲ νῦν διὰ τὸν ἀλλαντοπώλην ἀγοραῖον εἶπεν.

502. κατάπαστος δὲ, κατάμεστος, πλήρης, πεποικιλμένος.

503. ὑμεῖς δ' ἡμῖν : Ἐντεῦθεν παράβασις γίνεται, καὶ ἔστι τοῦτο τὸ καλούμενον κομμάτιον. μεθ' ὃ οἱ ἀνά-

παιστοι, ἔπειτα τὸ μακρὸν, μετὰ ταῦτα δὲ στροφὴ, ἔπειτα τὸ ἐπίρρημα, ἐξῆς δὲ ἡ ἀντίστροφος καὶ ἐπὶ πᾶσι τὸ ἀντεπίρρημα. παντοίας δὲ, παντοδαπῆς, ποικίλης, μεμουσωμένοι ἀκροαταὶ καὶ πάσης παιδεύσεως καὶ μέτρου ἀκροασάμενοι. — ὁ μέντοι ποιητὴς τοῦτο πρῶτον τὸ δρᾶμα δι' ἑαυτοῦ καθῆκε, τὰ δ' ἄλλα δι' ἑτέρων προσώπων. V. Θ.

507. εἰ μέν τις ἀνὴρ : Ἀναπαιστικὴ διπλῆ καὶ εἴσθεσις εἰς αὐτὴν τὴν παράβασιν. ἀναπαιστικοὶ στίχοι καταληκτικοὶ τετράμετροι μα'. [ὧν τελευταῖος

αἱρεσθ' αὐτῷ πολὺ τὸ ῥόθιον, παραπέμψατ' ἐφ' ἕνδεκα κώπαις.

ἐν ἐκθέσει δὲ κῶλα ἀναπαιστικὰ τέτταρα, ὧν τὰ μὲν δύο δίμετρα ἀκατάληκτα, τὸ τρίτον μονόμετρον, ὃ καὶ παρατέλευτον ὀνομάζεται. τὸ δὲ τέταρτον δίμετρον καταληκτικόν. ὑφ' ὃ παράγραφος.] παράβασις. ὁ λόγος ἐκ τοῦ χοροῦ παρὰ τοῦ ποιητοῦ Ἀριστοφάνους τὸν λόγον ποιουμένου.

508. ἔπη λέξοντας : Ὅτι καὶ τὰ ἄλλα μέτρα ἔπη ἔλεγον.

παραβῆναι : Τῇ παραβάσει χρήσασθαι. Λέγεται δὲ παράβασις ἤτοι ἐπειδὴ ἀπῆκται τῆς ἄλλης ὑποθέσεως, ἢ ἐπειδὴ παραβαίνει ὁ χορὸς τὸν τόπον. ἑστᾶσι μὲν γὰρ κατὰ στοῖχον οἱ πρὸς τὴν ὀρχήστραν ἀποβλέποντες· ὅταν δὲ παραβῶσιν, ἐφεξῆς ἑστῶτες καὶ πρὸς τοὺς θεατὰς βλέποντες τὸν λόγον ποιοῦνται.

509. οὐκ ἂν φαύλως : Οὐκ ἂν εὐχερῶς, οὐδὲ ἄνευ καμάτου καὶ πόνου.

ἄξιός ἐσθ' ὁ ποιητὴς : Λέγει ὅτι σπουδῆς ἄξιός ἐστιν ὁ ποιητὴς καὶ τῆς παρὰ τῶν θεωμένων εὐνοίας, ὅτι τὴν πρὸς Κλέωνα ἔχθραν ἐπανείλετο, καὶ τοὺς αὐτοὺς ἐχθροὺς ἡγεῖται οὓς ἡμεῖς οἱ Ἀθηναῖοι.

511. καὶ γενναίως πρὸς τὸν Τυφῶ : Ὁ Τυφὼς Γῆς μέν ἐστιν υἱὸς, ἴσχυσε δὲ τοσοῦτον, ὡς μὴ ἀνθρώποις μόνοις δοκεῖν φοβερὸς εἶναι, ἀλλὰ καὶ τοῖς θεοῖς. καὶ εἰς ἀλόγων ζώων ἰδέας μετέβαλλον τὰς μορφὰς διὰ τὸν ἐκείνου φόβον.

τὴν ἐριώλην : Τυφὼς ἀνέμου συστροφὴ ἢ πυρός. τὸν Κλέωνα δὲ λέγει. ἐριώλη δὲ ἀναθυμιάσεως συστροφὴ, πρὶν ἐμπυρωθῆναι τὸν ἀέρα. καὶ ἡ μεγάλη δὲ πνοὴ οὕτως. ἔμπαλιν δὲ εἰπὼν ηὔξησεν ἂν μᾶλλον καὶ δεξιώτερον εἶπεν. ἡ γὰρ ἐριώλη πνοὴ σφοδρά· ἀλλ' ὅ γε Τυφὼς μεῖζόν τι πνεῦμα καὶ κακοποιόν. ἔδει οὖν πρῶτον εἰπεῖν ἐριώλην, εἶτα Τυφὼ, καὶ εἶχεν ἂν μεῖζω τὴν ἔμφασιν.

513. διατρίβειν : Τὸ ὑπερτίθεσθαι καὶ μέλλειν αὐτόν.

517. πολλῶν γὰρ δὴ πειρασάντων : Μετελθόντων, ἐπιτηδευσάντων. ἀπὸ τοῦ πειρᾶν ἐσχημάτισε. πειρᾶν δὲ, τὸ προσβάλλειν γυναικὶ περὶ ἀφροδίτης. τροπῇ οὖν κέχρηται ὡς ἐπὶ γυναικός. [διὸ καὶ τὸ χαρίσασθαι ἐπήνεγκε.] σημαίνει οὖν σπανίως ἐπιτυχεῖν τινὰς καὶ ὀλίγους κατορθῶσαι παντάπασιν.

518. ἐπετείους : Ἀντὶ τοῦ, ἐκ πολλοῦ καταγινώσκων τὸν ὑμέτερον τρόπον. ἀπὸ τῶν οἰωνῶν δὲ μετήνεγκε τῶν μὴ μονίμων ὄντων, ἀλλὰ φερομένων τῇ πτήσει. τουτέστιν εὐμεταβλήτους, ὀλιγώρους, μὴ διαμένοντας ἐν τοῖς αὐτοῖς, ἀλλ' ἀψικόρους.

519. Καὶ τοὺς προτέρους τῶν ποιητῶν : Οἷον, τοῖς νέοις χαίροντας ἀεὶ τῶν ποιητῶν καὶ μὴ τοῖς ἀρχαίοις καὶ εἰς τὴν θυμέλην παριοῦσι πρῶτον.

[προδιδόντας : Ἐπὶ γήραος οὐδῷ καταλείποντας.] Μάγνης δὲ ἀρχαίας κωμῳδίας ποιητής.

521. τῶν ἀντιπάλων : Κατὰ τῶν ἀνταγωνιστῶν. φησὶ δὲ ὅτι εὐδοκιμῶν ὁ Μάγνης πολλὰς νίκας ἀπηνέγκατο κατὰ τῶν δι' ἐναντίας. [εἰς δὲ, ἀφιεὶς, παρεχόμενος.

522. ψάλλων : Τοὺς Βαρβιτιστὰς ἂν λέγοι. δρᾶμα δέ ἐστι τοῦ Μάγνητος. ἡ δὲ βάρβιτος εἶδος ὀργάνου μουσικοῦ. πτερυγίζων δὲ, ὅτι καὶ Ὄρνιθας ἐποίησε δρᾶμα. ἔγραψε δὲ καὶ Λυδοὺς καὶ Ψῆνας καὶ Βατράχους. [ἔστι δὲ χρώματος εἶδος τὸ βατράχειον.] ἀπὸ τούτου καὶ βατραχὶς ἱμάτιον. ἐχρίοντο δὲ τῷ βατραχείῳ τὰ πρόσωπα, πρὶν ἐπινοηθῆναι τὰ προσωπεῖα. τὸ πτερυγίζειν δὲ εἶπε, ὡς πρὸς τοὺς ψῆνας ἀναφέρων.

524. ἀντὶ τοῦ οὐδὲν ὠφέλησεν. V.

526. ὃς πολλῷ ῥεύσας : Οἱ γὰρ λάβρως ποταμοὶ ῥέοντες καὶ αὐτῆς τῆς γῆς παρασύρουσι μέρος, δι' ἧς ἂν ῥέωσι. Ἄλλως. τουτέστιν εὐδοκιμήσας πολλάκις. καὶ Δημοσθένης ἐν Φιλιππικοῖς [περὶ στεφάνου p. 272, 10] « τότε τοίνυν Πύθωνος πολλοῦ ῥέοντος καθ' ὑμῶν. » δοκεῖ δέ μοι Ἀριστοφάνης ἀφ' ὧν αὐτὸς εἶπε Κρατῖνος περὶ αὐτοῦ μεγαληγορῶν, ἀπὸ τούτων καὶ οὗτος τὴν τροπὴν εἰληφέναι. ὁ γὰρ Κρατῖνος οὕτω πως ἑαυτὸν ἐπῄνεσεν ἐν τῇ Πυτίνῃ

ἄναξ Ἄπολλον τῶν ἐπῶν τῶν ῥευμάτων·
καναχοῦσι πηγαί· δωδεκάκρουνον στόμα·
Ἴλισσὸς ἐν φάρυγγι. τί ἂν εἴποιμ' ἔτι;
εἰ μὴ γὰρ ἐπιβύσει τις αὐτοῦ τὸ στόμα,
ἅπαντα ταῦτα κατακλύσει ποιήμασιν.

ἤτοι οὖν τούτων χάριν καὶ Ἀριστοφάνης περὶ τοῦ Κρατίνου ταῦτα λέγει, ἢ τὸ ῥεύσας εἶπε σκώπτων πρὸς τὸ ἐνουρεῖν τὸν Κρατῖνον.

527. διὰ τῶν ἀφελῶν πεδίων : Ἀντὶ τοῦ, διὰ τῆς φράσεως. ἔνιοι δὲ διὰ τῶν ἀφύων γράφουσι. πρὸς πάντα δὲ αὐτὸς ἐσπούδασεν ἀντιθεῖναι τὰ ὑπὸ τοῦ Κρατίνου εἰρημένα· ἐπεὶ κἀκεῖνος ποταμῷ παρέβαλεν ἑαυτὸν ἀθρόως ῥέοντι, ἠχεῖν τε φήσας τὰς πηγάς. ὅπερ λάβρως ῥέοντος ὕδατός ἐστιν ἔργον, ἦχον ἀποτελεῖν καὶ ψόφον καὶ τὰ λοιπὰ, ὡς εἴπομεν. διὰ τοῦτο καὶ Ἀριστοφάνης ὡς ἐπὶ ποταμοῦ ἐχρήσατο τῇ τροπῇ. Ἄλλως. τὸ ἐπὶ τῆς φράσεως ἄκομψον καὶ ἁπλοῦν τοῦ Κρατίνου ἀλληγορεῖσθαί φασι τὸ ἀφελές. κεῖται δὲ νῦν ἀντὶ τοῦ ὑγιὲς καὶ ὁλόκληρον. ἢ τὸ μέγα καὶ ἀνεπικώλυτον. [στάσεις δὲ τὰ ἀναχώσματα τῶν ποταμῶν.]

καὶ τῆς στάσεως παρασύρων : Ὡς διὰ τὸ γῆρας καὶ τὴν πολυποσίαν σκάζοντος καὶ τρέμοντος τοῦ Κρατίνου τὴν βάσιν. [ἐφόρει δὲ, κατέβαλλε τοὺς ἀνταγωνιζομένους πρὸς αὐτὸν ὑψηλοὺς ὄντας. τοὺς ἐχθροὺς δὲ, τοὺς περὶ τὸν Καλλίαν αἰνίττεται.]

528. προθελύμνους : Προρρίζους. εἰώθασι γὰρ οἱ ποταμοὶ τὰ ἐπὶ ταῖς ὄχθαις ὄντα δένδρα, ἐπειδὰν καταναλώσωσι παρασύροντες καὶ παρατέμνοντες τὴν γῆν, τὰς ῥίζας τέμνειν. ὡς τοῦ Κρατίνου παμψηφεὶ νικῶντος τοὺς ἀνταγωνιστάς.

529. ᾆσαι δ' οὐκ ἦν : Πάλιν ὡς μέθυσον αὐτὸν διαβάλλει τὸν Κρατῖνον. οὐκ ἦν γὰρ ἑτέραν, φησίν, ἐν τοῖς συμποσίοις ᾠδὴν ποιήσασθαί τινα, προκαταλαμβάνοντος αὐτὰ τοῦ Κρατίνου.

Δωροῖ συκοπέδιλε : Κρατίνου μέλους ἀρχή. σκώπτων δέ τινα ἐκεῖνος δωροδόκον καὶ συκοφάντην τοῦτο εἶπεν.

530. τέκτονες εὐπαλάμων : Τέκτονες πάντες οἱ τεχνῖται. καὶ τοῦτο δὲ ἐκ τῶν Εὐνειδῶν Κρατίνου. εὐπαλάμων δὲ, εὖ διακεχειρισμένων ἢ συντεταγμένων.

531. παραληροῦντα : Διαποροῦντα καὶ ἀσχημονοῦντα. ταῦτα ἀκούσας ὁ Κρατῖνος ἔγραψε τὴν Πυτίνην, δεικνὺς ὅτι οὐκ ἐλήρησεν ἐν οἷς κακῶς λέγει τὸν Ἀριστοφάνην ὡς τὰ Εὐπόλιδος λέγοντα.

532. ἐκπιπτουσῶν τῶν ἠλέκτρων : Ἰδίως τὰ ταῖς κλίναις ἐπιβαλλόμενα ἐλεφάντινα οὕτως ἐκάλουν ἠλέκτρα. μεταφορᾷ οὖν κέχρηται ἀπὸ τῶν κλινῶν. αἱ γὰρ ἀρχαῖαι κλῖναι τοὺς πόδας εἶχον ὠφθαλμισμένους ἀνθραξι καὶ ἠλέκτροις, [ὥσπερ νῦν ἀργύρῳ ἢ καττιτέρῳ]. διόπερ βαρυτόνως ἀναγνωστέον ἀπὸ τοῦ αἱ ἤλεκτροι τῶν ἠλέκτρων.

καὶ τοῦ τόνου οὐκ ἔτ' ἐνόντος : Ἀκολούθως μετὰ τὴν κλίνην ἐμνημόνευσε τοῦ τόνου. τόνος γὰρ τὰ τῶν κραββάτων σχοινία. τροπικῶς δὲ δηλοῖ τὴν τῆς φωνῆς τάσιν.

533. τῶν θ' ἁρμονιῶν : Ἁρμονίας λέγει τὰ συμπησόμενα τῶν κραββάτων μέρη. ἐπέμεινε δὲ τῇ τροπῇ. καὶ γὰρ ἁρμονίαν λέγομεν τὴν τῶν ποιημάτων σύνθεσιν.

διαχασκουσῶν : Κεχηνυιῶν, διεσκορπισμένων καὶ μὴ ἐχουσῶν εὐέπειαν.

534. ὥσπερ Κοννᾶς : Ὁ Κοννᾶς αὐλητὴς ἦν [καὶ μέθυσος], ὃς εἰς συμπόσια παρῄει συνεχῶς ἐστεμμένος. οὗτος Ὀλυμπιονίκης γενόμενος καὶ πολλάκις στεφανωθεὶς, πενιχρὸς ἦν μηδὲν ἔχων ἀλλ' ἢ τὸν κότινον. ἐφ' οὗ Κρατῖνος εἶπεν

ἔσθιε καὶ σῇ γαστρὶ δίδου χάριν, ὄφρα σε λιμὸς
ἐχθαίρῃ, Κοννᾶς δὲ πολυστέφανός σε φιλήσῃ.

λέγει δὲ αὐτὸν τοσαῦτα νικήσαντα μηδέποτε τετιμῆσθαι. ἡ δὲ παροιμία, στέφανον μὲν ἔχων, δίψῃ δ' ἀπολωλώς. Καὶ πάλιν

Δελφὸς ἀνὴρ, στέφανον μὲν ἔχων, δίψει δ' ἀπολωλώς.

πρὸς τὸν Κρατῖνον δὲ καὶ τοῦτο, ὅτι μέθυσός ἐστιν.

535. ἐν τῷ πρυτανείῳ : Ἔχεται καὶ τοῦτο τῆς ἐννοίας τῆς προκειμένης. σιτεῖσθαι γὰρ ἔλεγον ἐν τῷ πρυτανείῳ, οὐχὶ πίνειν. [παρὰ τῷ Διονύσῳ δὲ, ἀντὶ τοῦ, ἐν τῷ θεάτρῳ.]

537. οἵας δὲ Κράτης ὀργὰς : Οὗτος κωμῳδίας ἦν ποιητὴς, ὃς πρῶτος ὑπεκρίνατο τὰ Κρατίνου, καὶ αὐτὸς ποιητὴς ὕστερον ἐγένετο, καὶ ἐξωνεῖτο τοὺς θεατὰς καὶ τὴν τούτων εὔνοιαν. Ἄλλως. τραγικὸς ποιητὴς, ὀλιγόστιχα ποιήματα γράψας. [στυφελισμοὺς δὲ, ὀργὰς, λοιδορίας, ὕβρεις, μέμψεις.]

538. ἀπὸ σμικρᾶς δαπάνης : Σμικρὰ ἐποίει καὶ ἕτερπε τοὺς ἀκροατὰς, γράφων ἡδέα. ἀριστίζων δὲ, τρέφων, ἄριστον κατασκευάζων.

539. ἀπὸ κραμβοτάτου : Ἡδυτάτου, ξηροτάτου. ἔπαιξε δὲ ἀπὸ τῆς τοῦ λαχάνου ἐπινοίας. αὐτοσχέδιος γὰρ ἦν περὶ τὰ δράματα. ἢ διὰ τὸ καπυρόν. Ἄλλως. ἀντὶ τοῦ χρηστοτάτου. ἔπαιξε δὲ τῷ κραμβοτάτῳ, ἀπὸ τοῦ λαχάνου κράμβης οὕτω καλουμένης. παρὰ δὲ τοῖς Ἀττικοῖς κοράμβλη διὰ τὸ τὰς κόρας βλάπτειν. φασὶ γὰρ αὐτὴν ἐκ τῶν ὀφθαλμῶν τοῦ Λυκούργου. Γήνικα γὰρ ὁ Διόνυσος τοῦτον εὐλαβηθεὶς εἰς τὴν θάλασσαν ἔδυ, ὑπὸ τῆς ἀμπέλου δεσμευθέντα δάκρυον ἐπαφεικέναι, κἀκ τοῦ δακρύου τὴν κράμβην. καὶ διὰ τοῦτο ἀντιπαθῶς ἔχειν ἀλλήλων τὴν κράμβην καὶ τὴν ἄμπελον.] πιστοῦνται δὲ τὸν μῦθον τοῦτον γεωργῶν παῖδες. εἰ γάρ τις, φασὶ, τὴν ῥίζαν αὐτῆς ἐξάψαι ἐν ἀμπέλῳ, οὐκ ἂν αὕτη καρπὸν ἐνέγκοι. [ὅθεν καὶ πρώτη ἐν συμποσίῳ δίδοται, καὶ οἱ Αἰγύπτιοι πρὸ τῶν ἄλλων ἐδεσμάτων ἑφθὰς κράμβας ἤσθιον διὰ τὸ μὴ μεθύσκεσθαι οἶνῳ. βέλτιον δὲ κράμβη λέγοιτ' ἂν ἡ τῷ κάρῳ ἀντιβαίνουσα.] χαριέντως δὲ ὁ ποιητὴς ἀντὶ τοῦ χρηστοτάτου, κραμβοτάτου ἔφησεν, ἵνα τὸ ἀπὸ μικρᾶς δαπάνης καὶ τὸ ἀριστίζω ἀκόλουθον τῷ ἑξῆς λέγειν δοκῇ. [μάττων δὲ, σκεπτόμενος, κατασκευάζων, ἐφευρίσκων. ἀντήρκει δὲ, ἀντεῖχε.]

540. τοτὲ μὲν πίπτων, τοτὲ δ' οὐχί : Οἷον, ἀνὰ μέρος εὐδοκιμῶν, ἔσθ' ὅτε δὲ ἡττώμενος. τοῦτο δὲ εἶπεν, ὡς οὐκ ἀεὶ εὐδοκιμοῦντος.

542. ἐρέτην χρῆναι : Κωπηλάτην μὴ ἐπιχειρεῖν φησὶ κυβερνᾶν, εἰ μὴ ἐν πείρᾳ γένηται τοιαύτῃ. Ἄλλως. μὴ πρὶν ἐθέλειν κυβερνᾶν. οὐ γὰρ οἷόν τε κυβερνᾶν, μὴ πρότερον ἐν πολλῇ πείρᾳ γενόμενον ἀποδημίας καὶ τῶν ναυτικῶν, καὶ τοὺς ἀνέμους προϊδεῖν τίνες μέλλουσι πνεῖν καὶ προγνῶναι, εἶθ' οὕτως κυβερνᾶν. [ἐντεῦθεν δέ τινι τῶν τῆς παρ' ἡμῖν θρησκείας ἱεροφαντῶν [Gregorio Naz. Orat. 20, p. 335] δαιμονίως μετερρύθμισται τὸ « ἐπαινῶ τὸν νηίτην νόμον, ὃς τὴν κώπην πρότερον ἐγ« χειρήσας τῷ νῦν κυβερνήτῃ καὶ πιστεύσας τὰ ἔμ« προσθεν, αὖθις ἐπὶ τῶν οἰάκων καθίζει μετὰ τὴν « πολλὴν τυφθεῖσαν θάλασσαν καὶ τὴν τῶν ἀνέμων « διάσκεψιν. »]

545. ὅτι σωφρονικῶς : Μετὰ λογισμοῦ καὶ σκέψεως καὶ οὐκ ἀνοήτως, οὐδὲ ἐκ τοῦ προχείρου.

546. αἵρεσθ' αὐτῷ πολὺ τὸ ῥόθιον : Ῥόθιον τὸ κῦμα ἀπὸ τοῦ ταχέως θεῖν ἢ ῥεῖν. ἀπὸ τῶν ἐρεσσόντων μετήνεγκεν, ὅταν συνεχῶς ὑπὸ πολλῶν ἐρετῶν ἐπὶ πλέον προέρχηται ἡ ναῦς εἰς τὸ πρόσθεν. ἀξιοῖ οὖν τὸν νῦν ἔπαινον μέχρι πολλοῦ παραπέμψαι.

ἕνδεκα κώπαις : Κέλευσμα ναυτικὸν λέγεται ἐφ' ἑνδεκα κωπηλασίαις ἐκτεινομένη. ἐπέμεινε δὲ τῇ τροπῇ.

Ἄλλως. ἐπαράτην παραδέχεσθαι ἐφ' ἑνδεκα κώπαις ἑξῆς ἀπὸ τῶν ναυτικῶν. τουτέστιν ἀπὸ τοῦ κυβερνᾶν καὶ τοῦ ῥόθου τὸ ἐφ' ἑνδεκα κώπαις ἐπήγαγεν. ἦ ἐπειδὴ οἱ Ἀθηναῖοι τῶν ναυτικῶν ἐπιστήμονες ἦσαν.

547. ληναΐτην : Ἑορτὴ παρὰ τοῖς Ἀθηναίοις τὰ Λήναια, ἐν ᾗ μέχρι νῦν ἀγωνίζονται ποιηταὶ συγγράφοντές τινα ἄσματα τοῦ γελασθῆναι χάριν. ὅπερ ὁ Δημοσθένης [p. 268, 13] εἶπεν ἐξ ἁμάξης. ἐπὶ ἁμαξῶν γὰρ οἱ ᾄδοντες καθήμενοι λέγουσί τε καὶ ᾄδουσι τὰ ποιήματα.

550. [φαιδρὸς λάμποντι μετώπῳ : Ἱλαρὸς, φαιδρὸς τὸ μέτωπον. ἢ διὰ τὸ φαλακρὸν εἶναι τὸν Ἀριστοφάνην.]

551. ἵππι' ἄναξ Πόσειδον : Οὐκ ἀργῶς τῷ Ποσειδῶνι νῦν τὸ ἐπίθετον ἔθηκε τοῦτο, ἐπεὶ καὶ αὐτὸς ὁ χορὸς συνέστηκεν ἐξ ἱππέων. ἀποσεμνύειν οὖν βουλόμενος τὸ ἐπιτήδευμα τὸ αὐτοῦ, οὕτω τὸν Ποσειδῶνα προσεῖπε, τουτέστιν ἱππικέ. Εἰς τὸ αὐτό. διπλῆ. εἶτα ἐπάγεται ἐπιρρηματικὴ συζυγία. ἧς μέλη καὶ περίοδοι εἰσὶ ιδ' κώλων. ὧν τὰ μὲν ὀκτὼ χοριαμβικὰ ἰαμβικὴν ἔχοντα ἐπιμεμιγμένην ἀκατάληκτον καὶ καταληκτικὴν ὡς ἐν τῷ ε' καὶ η'. τῶν δ' ἑξῆς ἀντισπαστικῶν τὰ μὲν θ' καὶ ι' τρίμετρα καταληκτικά. τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα Γλυκώνεια ἐκ διτροχαίου καὶ ἰάμβου, πλὴν τοῦ τελευταίου ἐφθημιμεροῦς, ὃ καλεῖται φερεκράτειον. [ὑφ' ὃ παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα, δηλοῦσα ἔχειν ἀνταπόδοσιν. τοῖς αὐτοῖς δὲ καὶ ἡ ἀντιστροφὴ σύγκειται. ἐφ' ἧς τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος.]

552. χαλκοκρότων : Χαλκοπόδων, τουτέστι τὰς ὁπλὰς ἰσχυρὰς ἐχόντων. συμβαίνει γὰρ ἠχεῖν τὴν γῆν καὶ κτυπεῖν ἐπικρουομένην τοῖς ποσὶ τῶν ἵππων.

554. κυανέμβολοι : Ἤτοι αἱ τοὺς ἐμβόλους ἔχουσαι κυανῷ βεβαμμένους, ὡς μιλτοπάρῃοι, αἱ μεμιλτωμέναι. ἢ αἱ τέμνουσαι τὴν θάλασσαν. κυανὸν γὰρ τὸ ταύτης ὕδωρ.

555. μισθοφόροι τριήρεις : Αἱ τοὺς ἐπὶ μισθῷ στρατευομένους ἄγουσαι.

556. λαμπρυνομένων : Ἀντὶ τοῦ καυχωμένων, καὶ νικώντων ἐν τοῖς ἅρμασι.

558. βαρυδαιμονούντων : Ὅτι ἄθλιοι ἦσαν οἱ ἱπποτροφοῦντες καταναλίσκοντες αὐτῶν τὴν οὐσίαν.

559. ὦ χρυσοτρίαινα : Περιφραστικῶς. τῆς θαλάττης βασιλεῦ. Σουνιάρατε δὲ, ᾧ ἐν τῷ Σουνίῳ ἀρῶνται καὶ εὔχονται. Σούνιον δὲ ἀκρωτήριον τῆς Ἀττικῆς.

561. Γεραίστιε : Γεραιστὸς ἀκρωτήριον τῆς Εὐβοίας, τῇ μὲν Κρωμνίτην ἔχον, τῇ δὲ Λέχαιον. ἱερὰ δέ εἰσι τοῦ Ποσειδῶνος, ἔνθα ὁ Εὔριπος.

562. Φορμίωνί τε φίλτατε : Προσφιλέστατε τῷ Φορμίωνι. τὸν μῦθον δὲ αἰνίττεται, ὅτι καὶ ὁ Ποσειδῶν τῶν Ἀθηναίων ἀντεποιήσατο καὶ τῇ Ἀθηνᾷ ἤρισε. στρατηγὸς δὲ Ἀθηναίων ναυτικώτατος ὁ Φορμίων, καὶ πολλάκις εὐτυχήσας ἐν ναυμαχίαις καὶ ἐν τῇ πρὸς Λακεδαιμονίους μάχῃ κατορθώσας νζ' ναῦς διέφθειρεν.

563. ἐκ τῶν ἄλλων τε θεῶν : Ἐκ τῶν ἄλλων θεῶν σὺ μόνος δεῦρο ἐλθὲ Ἀθηναίοις πρὸς τὸ παρεστὸς, τουτέστι πρὸς τὰ παρόντα καὶ ἐνεστῶτα πράγματα. ἐπεὶ νεωστὶ Ἀθηναῖοι Φορμίωνος στρατηγοῦντος περὶ ναυμαχίαν ἠνδραγάθησαν.

565. εὐλογῆσαι βουλόμεθα : Τὸ ἐπίρρημα στίχων ἐστὶ ις' τετραμέτρων τροχαϊκῶν ἀκαταλήκτων, ὃ φιλεῖ Ἀριστοφάνης. [ὁμοίως δὲ καὶ τὸ ἀντεπίρρημα. διπλῇ δ' ἄφω περατοῦνται. ἀλλὰ τὸ μὲν τῇ ἔσω διὰ τὴν ἀνταπόδοσιν, τὸ δὲ τῇ ἔξω.] εὐλογῆσαι δὲ ἀντὶ τοῦ ἐπαινέσαι, ὑμνῆσαι, ἐγκωμιάσαι.

566. ἄξιοι καὶ τοῦ πέπλου : Ἰδίᾳ παρὰ τοῖς Ἀθηναίοις πέπλος τὸ ἄρμενον τῆς Παναθηναϊκῆς νεὼς, ἣν οἱ Ἀθηναῖοι κατασκευάζουσι τῇ θεῷ διὰ τετραετηρίδος. ἧς καὶ τὴν πομπὴν ἀπὸ τοῦ Κεραμεικοῦ ποιοῦσι μέχρι τοῦ Ἐλευσινίου. πέπλον δὲ καλοῦσι τὸ ἄρμενον διὰ τὸ ἀραιὸν αὐτὸ εἶναι. Ἄλλως. καὶ τοῦ πέπλου : Οὗ ἐγέγραπτο Ἐγκέλαδος, ὃν ἀνεῖλεν ἡ Ἀθηνᾶ. ἦν δὲ εἷς τῶν Γιγάντων. ἐπεσκευάζετο οὖν ὁ πέπλος καθ' ἕκαστον ἐνιαυτὸν, καὶ ἐπομπεύετο ἐν τοῖς Παναθηναίοις. Ἄλλως. νικήσαντες πέπλον ἐποίησαν τῇ Ἀθηνᾷ καὶ ἐνέθεντο τοὺς ἀρίστους ἐν αὐτῷ.

567. ναυφράκτῳ στρατῷ : Τῷ συμπεφραγμένῳ καὶ συντεταγμένῳ ναυτικῷ.

570. ἠρίθμησεν : Ἀπεδειλίασεν, μεθ' ἡσυχίας ἦγεν.

ἀμυνίας : Ἕτοιμος πρὸς τὸ ἀμῦναι. ὡς ἐπὶ τῶν ἐν πάλῃ ἀγωνιζομένων.

571. εἰ δέ που πέσοιεν : Ἡττηθεῖεν, ἧττον ἔχοντες ἀπέλθοιεν. Ἄλλως. εἶδος παλαίσματος, ὅ τινες ψευδόπτωμα καλοῦσιν. ἐπέμεινε δὲ τῇ τροπῇ. καὶ γὰρ τῶν παλαιόντων οἱ εἰς τὸν ὦμον πεσόντες, ἐξαναστάντες εἰώθασιν ἀποψᾶν τὴν κόνιν, ἵνα μὴ ἴχνος ἔχοιεν μηδὲ ἔλεγχον τοῦ πτώματος. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὅτι οἱ πρόγονοι, εἰ καὶ ἡττηθεῖεν ἐν μάχῃ, πάλιν αὐτοὶ τὴν ἧτταν ἀνεκαλοῦντο ταχέως καὶ τοῖς νενικηκόσιν [ἡττηθεῖσιν] ἐκ δευτέρου πλέον τῆς προτέρας νίκης οὐδὲν ἦν.

572. ἀπεψήσαντ' ἂν : Ἀπεμάξαντο ὡς οἱ παλαίοντες, ἵνα μηδὲν ἴχνος ἔχοιεν πτώματος. [διεπάλαιον δὲ, ἀνεπάλαιον, ἀνεμάχοντο.]

574. τῶν προτοῦ σίτησιν : Σίτησιν λέγει τὴν ἐν πρυτανείῳ τράπεζαν. τουτέστι δημοσίᾳ τρέφεσθαι οὐδεὶς ἂν τῶν παλαιῶν ἠξίωσεν, ὡς τῶν κατ' αὐτὸν στρατηγῶν τοῦτο ποιούντων, καὶ ὡς ἐπὶ μισθῷ ὑφισταμένων κατορθῶσαί τι τῇ πόλει. Ἄλλως. στρατηγῶν Ἀθηναίων τῶν πρότερον οὐδεὶς πρὸ τοῦ πολέμου σίτησιν ᾔτησεν, ἂν μὴ ὁ δῆμος χαρίζηται. νῦν δὲ ἐὰν μὴ τιμῶνται προεδρίᾳ καὶ σιτίοις, ἀγανακτοῦσιν. ἔσκωψε δέ. οὐ γὰρ εἶπε σίτησιν. ἐὰν μὴ γένωνται πρόεδροι καὶ τιμῆς ἀξιωθῶσιν, οὐ μαχέσεσθαί φασι.

Κλεαίνετον : Οὗτος ὁ Κλεαίνετος φαίνεται κατεδηδοκὼς τὴν οὐσίαν καὶ ἡδυπαθήσας. οἱ δὲ, ὅτι οὗτος

ἔγραψε ψήφισμα μὴ δεῖν δοθῆναι τοῖς στρατηγοῖς σίτησιν. σπανίως δὲ μέμνηται τοῦ Κλεαινέτου καὶ σχεδὸν ἐνταῦθα μόνον. στοχάζονται οὖν τινες ὅτι οὗτος ἂν εἴη ὁ τὴν σίτησιν περιποιήσας τῷ Κλέωνι.

575. ἐὰν μὴ προεδρίαν φέρωσι : Τιμῆς καὶ οὗτος τρόπος. ἐξῆν δὲ τοῖς τῆς τιμῆς ταύτης τυχοῦσι καὶ ἐν βουλευτηρίῳ καὶ ἐν ἐκκλησίᾳ καὶ ἐν θεάτροις καὶ ἐν ἄλλῳ παντὶ συλλόγῳ τοὺς προλαμβάνοντας, οἵτινες ἦσαν, ἐξεγείραντας αὐτοὺς εἰς τὸν ἐκείνων τόπον καθίσαι. πεποίηται δὲ τὸ ὄνομα ἀπὸ τοῦ τὴν πρώτην αὐτοὺς ἕδραν ἔχειν. Ἄλλως. ἐὰν μὴ πρότερον, φησί, τοιούτου τύχωσι τινὸς, ἀπειλοῦσι μὴ μάχεσθαι, διὰ τούτων καθαπτόμενος ὁμοῦ τι τῶν Ἀθηναίων καὶ τῶν στρατηγῶν· τῶν μὲν Ἀθηναίων, ὡς ἀναξίοις διαδιδόντων τὰς τιμὰς καὶ τὰς δωρεὰς, εἰ πρίν τι δρᾶσαι τὴν πόλιν ἀγαθὸν, ταῦτα διδόασιν αὐτοῖς· τῶν δὲ στρατηγῶν, ὡς τιμωμένων πρὶν τῶν κατορθωμάτων, καὶ τῶν ἤδη τιμῆς τινος τετυχηκότων τὴν δόξαν ἀφαιρουμένων, εἰ φαίνοιντο τὴν δωρεὰν λαβόντες οὐκ ἐπ' ἀνδραγαθήμασι.

καὶ τὰ σιτία : Ἐπὶ στρατείαν ἐξιόντες χρόνου τινὸς ἐπήγοντο σιτία. οὗτοι δὲ, φησὶν, οἱ νῦν, ἐὰν μὴ προεδρίας τινὸς καὶ τιμῆς ἀξιωθῶσιν, οὐκ ἐξίασιν ἐπὶ πόλεμον. σιτία γοῦν εἶπε τὴν ἐν τῷ πρυτανείῳ σίτησιν.

580. κομῶσι : Τρυφῶσι, πλουτοῦσι. τὸ γὰρ κομᾶν ἐπὶ τοῦ τρυφᾶν λέγεται καὶ γαυροῦσθαι καὶ μέγα φρονεῖν. ἄλλως τε καὶ ταῖς θριξὶ κομᾶν εἰς τιμὴν συγκεχώρηται αὐτοῖς.

ἀπεστλεγγισμένοις : Κεκαρμένοις. Κινέας γὰρ καὶ Φρῖνος εἰσηγήσαντο μεταστῆναι τοὺς νέους, νόμον γράψαντες μηκέτι ἁβροδιαίτους εἶναι, ὃν τρόπον τοπάλαι, μηδὲ κομᾶν. ἢ ἀπεξεσμένοις καὶ ἐπανήκουσιν ἀπὸ ἀλείμματος. Ἀπίων δὲ ἀκούει στλεγγίδας τὰς σταγόνας τοῦ ἐλαίου. ἀπεστλεγγισμένοις, ἀντὶ τοῦ ἐγκεκαθαρμένοις, ματτομένοις. στλεγγὶς γὰρ ἡ ξύστρα, [καὶ στλεγγιζόμενος, ἀποξυόμενος. καὶ ἀλλαχοῦ Γήρᾳ

εἰ παιδαρίοις ἀκολουθεῖν δεῖ σφαῖραν καὶ στλεγγίδ' ἔχοντα.

Δαιταλεῦσιν « οὐδὲ γὰρ αὐτῇ στλεγγὶς οὐδὲ λήκυθος. » καλεῖται στλεγγὶς καὶ χρυσοῦν ἔλασμα τὸ περὶ τῇ κεφαλῇ τῶν γυναικῶν. ἀπεστλεγγισμένοις οὖν, ἀπεξεσμένοις, ἢ ἔλαιον ἀλιλιμμένοις.]

581. ὦ πολιοῦχε Παλλὰς : Ἡ τὴν πόλιν κατειληφυῖα καὶ περιέχουσα. ἐπεὶ καὶ ἦρχε τῆς πόλεως. ἔφορος γὰρ τῆς πόλεως ἡ θεός. καὶ τὴν ἐπὶ τοῖς πολέμοις ἀρετὴν διὰ τούτων ἐδήλωσεν αὐτῆς. ὁ δὲ νοῦς, ὦ τῆς ἁπασῶν ὑπερφερούσης [καὶ ὑπερβαλλούσης] χώρας μεδέουσα [καὶ βασιλεύουσα] ἐν δυνάμει καὶ ποιηταῖς. ἐπικαλεῖται δὲ τὴν θεὸν μετὰ τὴν νίκην εὐμενῆ παραστῆναι τοῖς ποιήμασιν αὐτοῦ. ὁμοῦ δὲ καὶ τὴν ἐπὶ σοφίᾳ δόξαν τῆς πόλεως καὶ τὴν ἐπὶ τοῖς πολέμοις ἀρετὴν διὰ τούτων ἐδήλωσε. [ξυνεργὸν δὲ, συμπράκτορα, σύμμαχον.]

589. ἢ χορικῶν ἐστιν ἑταίρα : Ἡ τοῖς χοροῖς ἐστι προσφιλὴς καὶ συνήθης. οἱ γὰρ τῆς ἀρχαίας κωμῳδίας ποιηταὶ καὶ τραγικοὶ χοροὺς ἵστασαν, οἳ τὰ χορικὰ ὑπεκρίνοντο καὶ ᾖδον μέλη. συνειστήκει δὲ ὁ χορὸς [ὁ μὲν κωμικὸς] ἐξ ἀνδρῶν ᾠδῆ καὶ γυναικῶν, ὁμοῦ δὲ καὶ ἐκ παίδων, [κδ', ὡς καὶ οὗτος ἀπηρίθμησεν ἐν Ὄρνισιν, ἄρρενας μὲν ὄρνις ιβ', θηλείας δὲ τοσαύτας. ὁ δὲ τραγικὸς ιε', ὡς Αἰσχύλος Ἀγαμέμνονι.] ἔστι δ' ὅτε καὶ ἡμιχόρια ἵσταντο ἤτοι ἐξ ἀνδρῶν καὶ γυναικῶν. ἐν δὲ τοῖς τοιούτοις χοροῖς, εἰ μὲν ἐξ ἀνδρῶν εἴη καὶ γυναικῶν ὁ χορὸς, ἐπλεονέκτει τὸ τῶν ἀνδρῶν μέρος καὶ ἦσαν ιγ', αἱ δὲ γυναῖκες ἔνδεκα. εἰ δὲ παίδων εἴη καὶ γυναικῶν, αἱ μὲν γυναῖκες ιγ' ἦσαν, οἱ δὲ παῖδες ια'. εἰ δὲ πρεσβυτῶν καὶ νέων, τοὺς πρεσβύτας πλεονεκτεῖν δεῖν φασίν. Ἄλλως. χορικῶν, τῶν κωμικῶν καὶ τραγικῶν. ἢ γὰρ ἐνίκων ἢ ἡττῶντο οἱ ἀγωνιζόμενοι.

590. τοῖς τ' ἐχθροῖσι : Τοῖς ἀντιπάλοις, τοῖς ἀνταγωνισταῖς. στασιάζει δὲ, ἀντὶ τοῦ, πρὸς φιλονεικίαν διαφέρεται.

595. ἃ ξύνισμεν : Ὅτι καὶ αὐτοὶ παρακολουθήσαντες γινώσκομεν. ἐπεὶ δὲ ἀλλότρια τῆς ἱππέων φύσεως μέλλει περὶ αὐτῶν λέγειν, ἵνα θεραπεύσῃ τῆς ἐπαγγελίας τὸ ἀπίθανον, ἅπερ αὐτοῖς συνέγνω, ταῦτά φησι περὶ αὐτῶν ἐρεῖν.

τοῖσιν ἵπποις : Ἵνα μὴ εἴπῃ τοῖς ἱππεῦσι καὶ δόξῃ χαρίζεσθαι τῷ χορῷ, ἀλλ' ἵνα διὰ τῶν ἵππων ἐπαινέσῃ αὐτούς.

597. ἐσβολάς : Τὰς ἐπὶ τὴν τῶν πολεμίων χώραν ἐφόδους ἐκάλουν εἰσβολάς. [ἱππαγωγοὺς δὲ, τὰς ἵππους καὶ ἄνδρας ἀγούσας ναῦς.]

600. κώθωνας : Εἴδη ποτηρίων ἃ ἐλάμβανον οἱ στρατιῶται. τοὺς ἱππεῖς δὲ ἐπαινεῖν βουλόμενος ταῦτά φησιν. ἄλογον γὰρ καὶ ἀλόγοις ζῴοις λογισμὸν περιτιθέναι. τοὺς δὲ Ἀθηναίους ἐπαινεῖ, ἐπεὶ ἠπειρῶται ὄντες ἀντεποιήσαντο τῆς θαλάττης, καὶ οὐκ ἀπέτυχον τῆς προσδοκίας. διὰ δὲ τοῦ σκορόδου καὶ κρομμύου τὴν εὐτέλειαν δείκνυσι τῶν τε ναυτικῶν καὶ τῶν στρατιωτικῶν σιτίων. ὅτι εὐτελῆ ὡς οἱ στρατιῶται ἔφερον.

602. τίς ἐμβαλεῖ : Ἰδίως τὸ κροῦσαι ναυσὶν ἐμβαλεῖν λέγουσι. φησὶν οὖν, τίς ὁ τολμήσας τοῖς ἱππόταις ἐξ ἐναντίας ἀντιστῆναι; κυρίως οὖν τὸ ἐμβαλεῖν τὸ ταῖς κώπαις κροῦσαι. νῦν δὲ ἀντὶ τοῦ τοῖς ἵπποις συμβαλεῖν. τὸ δὲ ἱππαπαὶ ἔπαιξε παρὰ τὸ ῥυππαπαὶ εἰρηκὼς ὡς ἐπὶ ἵππων. ἔστι δὲ τὸ ῥυππαπαὶ ἐπιφώνημα ναυτικόν. ἢ ψόφου ἐστὶ μίμημα ἀπὸ τῶν κωπῶν ἀποτελουμένου. [ἀνεβρύαξαν δὲ, ἀνεθορύβησαν, ἀνέκραγον.] οὐκ ἐλᾷς δὲ, οὐκ ἐρέττεις, οὐ κωπηλατεῖς.

603. ὦ σαμφόρα : Ἰδίως σαμφόροι καλοῦνται ἵπποι ἐγκεχαραγμένοι τὸ σ σημεῖον. οἱ δὲ Δωριεῖς τὸ σ σὰν λέγουσιν.

604. ἐξεπήδων : Κυρίως τὸ ἐξεπήδων ἐπὶ ἵππων. φησὶ δὲ τὸ ἐξώρμων. ἐναργεῖ δὲ λέξει κέχρηται δεικνὺς αὐτῶν τὴν προθυμίαν. [παγούρους δὲ, τοὺς παρ' ἡμῖν καράβους.]

[605. μετήεσαν : Μετήρχοντο, ἐδίωκον. *Vict.*

606. ἀντὶ πόας Μηδικῆς : Τοῦ παρ' ἡμῖν χόρτου. λέγεται δὲ καὶ πόα τις Μηδικὴ ἀρίστη καὶ καλλίστη

καὶ ἐπιτηδειοτάτη ἵππους. ἡ αὐτὴ δὲ τρίφυλλος λέγεται. ἢ ὅτι Μῆδοι ἐχθροὶ Ἀθηναίων καὶ ἡ τῶν Μήδων χώρα ἔφυδρος οὖσα χόρτον πολὺν ἐκφέρει. Ἄλλως. ἀντὶ λόγου Μηδικοῦ. ἐδόκει γὰρ ἡ Μηδικὴ χώρα πεδιάς τε οὖσα καὶ κάθυγρος εὔφορος εἶναι εἰς τὰς τῶν κτηνῶν τροφάς. ἐπεὶ τοῖς Ἀθηναίοις ἔθος ἦν Μήδων κρατεῖν.

607. εἴ τις ἐξέρποι : Εἴ τις προκύψειε μόνον. ἐπέμεινε δὲ τῇ τροπῇ πλέον τι περὶ τῶν Ἀθηναίων φιλοτιμούμενος. οὐ γὰρ τοὺς προϊόντας, φησὶ, μόνους διέφθειραν συλλαμβάνοντες, ἀλλὰ καὶ τοὺς ἐν αὐτοῖς ὄντας τοῖς βυθοῖς. ταῦτα δὲ πάντα εἶπε πρὸς τὴν ἐμπειρίαν αὐτῶν ἀποτεινόμενος τὴν περὶ τὰ ναυτικά.

608. Θέωρος : Ὁ ποιητὴς Θέωρος ἔφη εἰπεῖν τινὰ Καρκίνον Κορίνθιον ταῦτα. ἀποδέχεται δὲ αὐτοὺς πίνοντας ἕνεκα τοῦ νικῆσαι μόνον. ὁ Θέωρος ἔγραψε Καρκίνον λέγοντα πρὸς τὸν Ποσειδῶνα καὶ ἀποδυσπετοῦντα. προσκρούει εἴς τινα Καρκίνον. διὰ τοῦτο γὰρ καὶ τοὺς ἱππέας καὶ οὐχ ἱππεῖς. ὡς μοιχὸς δὲ κωμῳδεῖται ὁ Θέωρος καὶ ἰχθυοφάγος καὶ πονηρός. περὶ Κόρινθον οὖν διέτριβεν, ἴσως διὰ τὰς ἐκεῖ πόρνας. ἦν δὲ καὶ κόλαξ. ταῦτα οὖν λέγει ἴσως κολακεύων τοὺς ἱππέας. — ἔφθη : Ἔφθασε, προέλαβεν, ἀπὸ τοῦ φθῶ, φθῆμι. *Vict.*

609. δεινά γ' ὦ Πόσειδον : Δοκοῦσι καὶ οἱ Κορίνθιοι μάλιστα σέβεσθαι τὸν Ποσειδῶνα διὰ τὸν Ἰσθμόν. ὅθεν καὶ γυμνικὸν ἀγῶνα τὰ Ἴσθμια ἐπιτελοῦσι τῷ τε Παλαίμονι καὶ τῷ Ποσειδῶνι. Ἄλλως. ὅτι οἱ Ἀθηναῖοι ἐστράτευσαν ἐπὶ Κόρινθον καὶ περὶ Κεγχρέας ἐνίκησαν Νικίου στρατηγοῦντος τοῦ Νικηράτου, σὺν ἱππεῦσι σ' καὶ ὁπλίταις καὶ ναυσί.

610. μήτ' ἐν γῇ μήτ' ἐν θαλάττῃ : Ὡς τῶν Ἀθηναίων οὐ κατὰ θάλατταν μόνον, ἀλλὰ καὶ κατὰ γῆν ἐν τοῖς πολέμοις κρατούντων.

611. ὦ φίλτατ' ἀνδρῶν : Ἔτι τοῦ χοροῦ ἰαμβοι τρίμετροι ἀκατάληκτοι ε', τοῦ ὑποκριτοῦ παρερχομένου. Ἄλλως. ὦ φίλτατε : ὁ χορὸς πρὸς τὸν ἀλλαντοπώλην ἥκοντα ἀπὸ τῆς βουλῆς καὶ καταγωνισάμενον Κλέωνα.

612. φροντίδα : Ἀγωνίαν καὶ μέριμναν καὶ φόβον. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· εἰς δέος κατέστησας ἡμᾶς, μὴ παρευδοκιμηθῇς πρὸς τοῦ Κλέωνος.

615. νικόβουλος : Ἐγὼ, φησὶ, τὴν νίκην ἀπηνεγκάμην. ἀστείως δὲ κέχρηται τῷ συνθέτῳ καὶ τὰ ὀνόματα συνέπλεξεν ἄμφω. ἐν τῇ βουλῇ γὰρ τὴν φιλονεικίαν ἐποιήσαντο προσκαλεσαμένου τοῦ Κλέωνος καὶ οἱ βουλευταὶ τὴν νίκην προέκριναν αὐτῷ.

616. ὦ καλὰ λέγων : Διπλῆ καὶ εἴσθεσις εἰς περίοδον τοῦ χοροῦ [προῳδικὴ στροφῆς λόγον ἔχουσα. ἔχει γὰρ καὶ ἀντιστροφὴν τὸ « πάντα δὴ πέπραγας, » ὁμοίαν καθ' ἕκαστον ἑαυτῇ. ἔστι δὲ] ὀκτάκωλος. ἧς τὸ α' τροχαϊκὸν τρίμετρον ἀκατάληκτον, [μᾶλλον δὲ τετράμετρον βραχυκατάληκτον τοῦ ς' ποδὸς τριβράχεος]. τὸ δεύτερον ἐν εἰσθέσει παιωνικὸν τετράρρυθμον ἢ τετράμετρον καθαρὸν καταληκτικόν. τὰ δὲ λοιπὰ ἐν εἰσθέσει. τὸ γ' παιωνικὸν δίρρυθμον [ἤτοι δίμετρον καταληκτικὸν ἀντὶ παίωνος Ἰωνικὸν ἀπὸ μείζονος ἔχον]. τὸ δ' τροχαϊκὸν ἑφθημιμερές. τὸ πέμπτον παιωνικὸν δίρρυθμον [ἀκατάληκτον ἐκ κρητικῶν]. τὸ ς' τροχαϊκὸν τρίμετρον ἀκατάληκτον. τὸ ζ' ὅμοιον, καὶ τὸ η' τροχαϊκὸν ἑφθημιμερές. [ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος καὶ διπλῆ ἕως νενευκυῖα, τῆς δὲ ἀντιστροφῆς δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος, ἀμφότεραι ἔξω νενευκυῖαι. ἐπολολύξαι δὲ, εὐξασθαι καὶ εὐφημῆσαι.]

619. εἶθ' ἐπέλθοις : Εἴθε ἐθελήσαις μοι διελθεῖν καὶ διηγήσασθαι πάντα τὰ πραχθέντα σοι καὶ γεγενημένα.

621. κἂν μακρὰν ὁδὸν : Καὶ ἀποδημίαν στείλασθαί μοι δοκῶ, ὥστε μαθεῖν τὰ πεπραγμένα. θέλω, φησὶ, καὶ μακρὰν ὁδὸν διελθεῖν, ἵνα μάθω πῶς ἐνίκησας τὸν Κλέωνα.

623. ὡς ἅπαντες ἡδόμεσθά σοι : Ὡς ἐπὶ τῇ σῇ εὐφραινόμεθα νίκῃ καὶ χαίρομεν. λείπει δὲ ἡ ἐπί, ἵν' ᾖ, ἐπὶ σοί. ἢ ἡ σύν, ἵνα ᾖ, συνηδόμεθά σοι.

624. καὶ μὴν : [Ἡ περιοδικὴ αὕτη καὶ μονοστροφικὴ εἴσθεσις τοῦ ὑποκριτοῦ διηγηματική ἐστιν, ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων νθ'. ὧν τελευταῖος,

ὀβολοῦ κοριάννοις ἀναλαβὼν ἐλήλυθα.

ἐπὶ τῷ τέλει παράγραφος. κατόπιν δὲ, ὄπισθεν ἢ μετ' αὐτοῦ ἐπορευόμην. τὸ δὲ ἐλασίβροντα παρὰ τὰ ἐκ τῆς ἀρχῆς Πινδάρου [fr. 108]. ἀναρρηγνὺς δὲ, ἀποσπῶν, μετὰ σφοδρότητος λέγων,] τουτέστι πλάττων καὶ κατασκευάζων καὶ συντιθείς. ἔχεται δὲ καὶ τοῦτο τὸ ῥῆμα ἐμφάσεως μείζονος. Ἄλλως. ὥσπερ ὑπὸ βροντῆς ἐλαυνόμενα, τουτέστι μεγαληγορῶν καὶ ὑπερόγκοις χρώμενος ῥήμασι, γέμουσι ψόφου. ἤτοι δὲ τὴν φωνὴν σκώπτει τοῦ Κλέωνος ὅτι τραχέως ἐφθέγγετο, ἢ ὡς ταχέως. πρὸς τὴν ἀπειλὴν, ἣν ἠπείλησεν ὁ Κλέων εἰπὼν συνταράξειν τήν τε γῆν καὶ τὴν θάλατταν ἐπ' αὐτῷ. τό τε γὰρ τὴν γῆν κινεῖν καὶ σαλεύειν καὶ τοὺς τῆς θαλάττης βυθοὺς, ἔργον τοῦ Διὸς ὡς καὶ τὸ βροντᾶν. προπαροξυτόνως δὲ ἀναγνωστέον ἐλασίβροντα.

625. ὄπισθεν ἢ μετ' αὐτοῦ ἐπηκολούθουν. V.

627. τερατευόμενος : Ψευδόμενος καὶ μηδὲν ἀληθὲς μηδὲ ὑγιὲς λέγων.

ἤρεισε κατὰ τῶν ἱππέων : Ἤρξει καὶ ἔπεμπε κατὰ τῶν ἱππέων. ἔφαμεν δὲ ὅτι συνέστηκεν ὁ χορὸς ἐκ τῶν ἱππέων. εἰς τρία γὰρ μέρη τοπαλαιὸν τῶν Ἀθηναίων διῄρητο ὁ δῆμος, εἴς τε τοὺς πεντακοσιομεδίμνους καλουμένους, οὓς διὰ τὸ γεωργεῖν τοσαῦτα μέτρα οὕτως ὠνόμαζον, καὶ τοὺς ἱππέας καὶ τοὺς θῆτας. οἱ μὲν οὖν πεντακοσιομέδιμνοι ἦσαν εὔποροι. οἱ δὲ ἱππεῖς ἧττον μὲν τῶν πεντακοσιομεδίμνων, μέχρι δὲ τῶν τ' ἐγεώργουν μέτρων. ἱππεῖς δὲ αὐτοὺς ὠνόμαζον διὰ τὸ δύνασθαι, εἴποτε αὐτοῖς χρεία γένοιτο, ἵππον ἕκαστον αὐτῶν τρέφειν. ἦσαν δὲ τὸ μὲν πρῶτον ἑξακόσιοι τὸν ἀριθμόν. οὗτοι δὲ μετὰ ταῦτα τῆς πόλεως πληθυνθείσης ἐγένοντο διακόσιοι πρὸς τοῖς χιλίοις. ὅθεν καὶ τὰς θυσίας, ἃς αὐτοὶ πέμποιεν ἐν ταῖς πομπαῖς, ἐκάλουν

ἱππάδας. ἐξῆν δὲ αὐτοῖς ἐπιτιμᾶν καὶ κομᾶν. ἡ δὲ τρίτη τάξις ἦσαν οἱ θῆτες παρ' αὐτοῖς, οἷς οὐδὲ ἄρχειν ἐφεῖτο, ἢ δικάζειν καὶ ἐκκλησιάζειν μόνον, ἵν' ἔκ τε τοῦ δικαστικοῦ καὶ ἐκκλησιαστικοῦ τρέφοιντο.

628. κρημνοὺς ἐρεῖδων : Ἐπιπέμπων καὶ ἀκοντίζων, τουτέστιν ἐγκλήματα ὑπέρογκα καὶ διαβολὰς χαλεπωτάτας ῥίπτων καὶ λογοποιῶν κατὰ τῶν ἱππέων. ἀπὸ δὲ τοῦ ἐλασίβροντα καὶ τοῦτο εἴληφε τὸ ῥῆμα ἐχόμενον τοῦ ὄγκου τοῦ προειρημένου. κρημνοὶ δέ εἰσι τὰ μέρη τὰ ἀπὸ τῶν ὀρῶν ἀποσπώμενα. [καὶ τὴν ὄχθην δὲ κρημνὸν λέγουσιν, ἐπειδὴ πάντα τὰ ὑψηλὰ κρημνοί.]

629. πιθανώτατα : Ἐγγὺς πίστεως καὶ ἀληθείας ἐχόμενα πλάττει, ἐπιφέρων αὐτοῖς ἐγκλήματα.

630. ψευδατραφάξυος : Πλήρης ψευσμάτων. ἀτράφαξις δὲ εἶδος λαχάνου, ὃ ταχέως εἰς μέγεθος αὔξεται. ἐπεὶ οὖν ὁ Κλέων ψευδῆ κατὰ τῶν ἱππέων κατηγόρησε, καὶ ἡ βουλὴ πείθεσθαι ἐδόκει, ψευδατραφάξυος εἶπε πλέαν τὴν βουλὴν γεγονέναι, διαβάλλων μὲν ὡς ψεύστην τὸν Κλέωνα, τῆς δὲ βουλῆς καθαπτόμενος, ὡς τοῖς ψευδομένοις καὶ διαβάλλουσι πειθομένης εὐχερῶς καὶ ῥᾳδίως, ὥσπερ καὶ τὸ λάχανον αὔξεται.

631. κἄβλεψε νᾶπυ : Καὶ ἀνέβλεψε ὀριμὺ καὶ ὀργίλον. ἀπὸ τῆς ψευδατραφάξυος, ἐξ ἧς εἶπε τὸ νᾶπυ. λαχάνου γὰρ καὶ τοῦτο εἶδος. ἔστι δὲ ὀριμὺ τὴν φύσιν. ἀφ' οὗ σπέρματος τὸ νῦν λεγόμενον σίνηπι γίνεται. νάπυ γὰρ τὸ σίνηπι λέγεται.

καὶ μέτωπ' ἀνέσπασε : Συνέστειλε τὰς ὀφρῦς. καὶ τοῦτο δὲ δεῖγμα ὀργῆς.

633. φενακισμοῖσιν : Ἀπατήμασι. φενάκη γάρ ἐστιν ἡ προσθετὴ κόμη.

634. ἄγε δὴ Σκίταλοι : Ὠνοματοποίησε δαίμονάς τινας ἀναπλάσας ἀναιδεῖς. οὐκ ὄντας γὰρ θεοὺς ἐπὶ χλεύῃ ἀσυνέτως προφέρεται τὰ ὀνόματα λέγων ὡς θεῶν. Ἄλλως. οἷον, προτρεπόμενος καὶ ἐπιθαρσύνων αὐτὸν εἰς ἀναίδειαν καὶ εὐτολμίαν ἀνέπλασε θεοὺς ἐπὶ χλεύῃ, οἷς ηὔξατο ἀρξάμενος τοῦ λέγειν. Σκίταλοι μὲν οὖν οἱ εὐτελεῖς καὶ πονηροί. ἦν γὰρ Σκίτων κναφεύς τις καὶ εὐτελὴς ἐπὶ πονηρίᾳ κωμῳδούμενος. Βερέσχεθοι δὲ οἱ ἀνόητοι. πέπλασται δὲ ἡ λέξις. Κοάλεμοι δὲ οἱ ἀνόητα κοοῦντες καὶ νοοῦντες. Μόθων δὲ, ὁ εὐτελής. μόθωνας γὰρ ἐκάλουν οἱ Λάκωνες τοὺς παρεπομένους τοῖς ἐλευθέροις. ἔστι δὲ καὶ γένος ὀρχήσεως. Ἄλλως. πρὸς τὴν ὁμωνυμίαν οὐκ ὄντας θεοὺς ἐπὶ χλεύῃ προφέρεται. ὥσπερ δὲ παραστάτας ἀνθρώπων πονηρῶν καὶ παρέδρους τούτους ἐπεκαλεῖτο θεούς. οὐδεὶς δὲ αὐτῶν ἡρμήνευσε τὰ ὀνόματα.

ἦν δ' ἐγὼ : Ἔφην δ' ἐγώ. Ἀττικὴ δὲ ἡ λέξις καὶ ἡ σύνταξις. μάλιστα δὲ αὐτῇ συνεχῶς κέχρηται καὶ κατακόρως ὁ Πλάτων. [καὶ ἦ δ' ὃς ἀντὶ τοῦ ἔφη ἐκεῖνος.]

636. ἀγορά τ' ἐν ᾗ παῖς ὢν : Τά τε ἄλλα, φησὶ, παρεκελευόμην καὶ τῆς ἀνατροφῆς ἀνεμιμνησκόμην, ὅτι ἐν τῇ ἀγορᾷ τραφεὶς καὶ τὰ ἐκ παιδὸς ἀνεκαλούμην ἐπιτηδεύματα συλλαβέσθαι μοι εἰς τὸν ἀγῶνα τὸν πρὸς Κλέωνα.

638. φροντίζοντί μοι : Εὐχομένῳ καὶ μεριμνῶντι.

639. ἀπέπαρδεν : Οὕτως Ἀττικοὶ τὸ πορδὴν ἀφεῖναι. παρείληφε δὲ τοῦτο γέλωτος χάριν. καταπύγων δὲ, εὐρύπρωκτος.

640. προσέκυσα : Προσεκύνησα ὥσπερ σημείου τινὸς δοθέντος. ἰστέον μέντοι ὅτι γέλωτος χάριν προσείληφε ταῦτα.

641. τὴν κιγκλίδ' ἐξάραξα : Τὴν θύραν, τὸ κάγκελον τοῦ δικαστηρίου. ἰδίως δὲ τὰς διπλᾶς θύρας οὕτω κλητέον, ἃς τινὲς δικλίδας φασίν. ἡ κιγκλὶς ἰδίως ἡ τρύπη, δι' ἧς ἡ κιγκλὶς πέμπεται. ἐξάραξα δὲ, ἀνέῳξα. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· θαρρήσας, φησὶ, τῷ δοθέντι σημείῳ, διάρας τὸ στόμα καὶ τὴν ἀγωνίαν ἀποβαλών, ὥσπερ τὸ στόμ' ἀνοίξας ἀνέκραγον. [εὐαγγελίσασθαι δὲ, εὐαγγέλια λέγειν, Ἀττικῶς. πόλεμος δὲ, ὁ Πελοποννησιακὸς δηλονότι· κατερράγη δὲ, ἀντὶ τοῦ συνέπεσεν.]

645. ἀφύας : Εἶδος λεπτῶν ἰχθύων ἄγαν. σφόδρα δὲ καὶ μέχρι νῦν παρὰ τοῖς Ἀθηναίοις σπουδάζεται.

ἀξιωτέρας : Τουτέστιν εὐωνοτέρας τῆς ἀξίας τιμῆς, ἄξιον γὰρ παρ' Ἀττικοῖς τὸ εὔωνον.

646. διεγαλήνισεν : Προσηνῆ καὶ πρᾷα καὶ ἥμερα ἐγένοντο, τουτέστιν ἐκ τῆς ὀργῆς μετέβαλε καὶ μετηλλάγη. ἀπὸ δὲ τῶν ἀφύων κυρίως τῷ διεγαλήνισεν ἐχρήσατο, [ὅτι ἐμπείρως οἱ Ἀθηναῖοι εἶχον τῆς ναυτικῆς]. σκώπτει δὲ αὐτοὺς ὡς μικροῖς δελεαζομένους λήμμασιν.

647. ἐστεφάνουν μ' εὐαγγέλια : Τοὺς εὐαγγελιζομένους τι ἀγαθὸν στεφάνοις ἐτίμων.

648. ἀπόρρητον : Τὸ ἐν μυστηρίῳ λεγόμενον. οἷον τὸ κεκρυμμένον καὶ ἄγνωστον αὐτοῖς ὑποθέμενος, ἵν' ἔχοιεν καὶ ποῦ ἀγοράσειεν.

650. τῶν δημιουργῶν : Τῶν σκευοποιῶν, τῶν κεραμέων. δημιουργοὺς δὲ ἐκάλουν καὶ τὰς νῦν λεγομένας ὑπονυμφίδας, τουτέστι τὴν παρεστῶσαν τῇ νύμφῃ γυναῖκα. ὅθεν ἐστὶ καὶ Μενάνδρῳ Δημιουργός. [κοινῶς δὲ ἔλεγον δημιουργοὺς τοὺς τὰ δημόσια ἐργαζομένους. ποτὲ δὲ καὶ τοὺς ἀρχιτέκτονας, ὡς ἐν Εἰρήνῃ [298] καὶ δημιουργικῶς [ib. 428] ἀντὶ τοῦ τεκτονικῶς. τρύβλια δὲ τὰ ὀξύβαφα.]

651. ἀνεκρότησαν : Ἤσθησάν τε καὶ ἐκρότησαν. δείγματα δὲ χαρᾶς. ἐκεχήνεσαν δὲ, ἀντὶ τοῦ ἔβλεπον, ἢ ἐμοὶ προσεῖχον. ὑπονοήσας δὲ, ὑποπτεύσας, ἢ κατανοήσας τότε καὶ προϊδών.

655. ἐπὶ συμφοραῖς ἀγαθαῖς : Ἐπὶ ἀγαθοῖς πράγμασι. μέσον δὲ ὄνομα ἡ συμφορά. δηλοῖ γὰρ καὶ τὸ καλὸν καὶ τὸ κακὸν, ἐκ τῆς προσθήκης τοῦ ἐπιφερομένου. ὥσπερ οὖν καὶ νῦν προσθεὶς ἐπ' ἀγαθαῖσιν, οὐκ ἀφῆκεν ἐπὶ τοῦ πονηροῦ νοεῖσθαι.

658. τοῖς βολίτοις ἡττημένος : Ταῖς τῶν βοῶν ἐπαγγελίαις ὅτε ἔγνων ἡττηθείς. βολίτοις δὲ, τοῖς πελέθοις. βόλιτοι γὰρ οἱ σπέλεθοι τῶν βοῶν. Ἄλλως.

τοῖς βοϊδίοις. ἡ γὰρ τοῦ βοὸς κοιλία βόλιτον ἔχει. λέγει δὲ φαύλοις εἴδεσιν [ἐν αὐτοῖς] ἡττώμενος. [Ἀττικοὶ δὲ οὕτω λέγουσι χωρὶς τοῦ β, ὅπερ ἡμεῖς βόλβιτον λέγομεν. βολίτοις δὲ, ὅτι περὶ βοῶν ὁ λόγος· καὶ παροιμία, βολίτου δίκη, πρὸς τοὺς ἐπὶ μικροῖς δίκας ὑπέχοντας· ὁ γὰρ Σόλωνος νόμος καὶ τοὺς βόλιτον ὑφελομένους κολάζει. ὑπερηκόντισα δὲ, ἐνίκησα, ἐκ μεταφορᾶς τῶν τοῖς ἀκοντίοις νικώντων.]

660. τῇ δ' Ἀγροτέρᾳ : Τῇ Ἀρτέμιδι. ἰδίως γὰρ οἱ Ἀθηναῖοι σέβουσι καὶ τιμῶσι τὴν Ἀγροτέραν Ἄρτεμιν. Ἄλλως. ἐξ ἱστορίας. Καλλίμαχος ὁ πολέμαρχος λέγεται εὔξασθαι τῇ Ἀρτέμιδι τοσαύτας βοῦς θῦσαι, ὅσους ἂν φονεύσῃ βαρβάρους ἐν Μαραθῶνι. ἐπειδὴ δὲ πολλοὶ ἐφονεύθησαν, μὴ δυνάμενος τοσαύτας βοῦς θῦσαι, ἔθυσε χιμαίρας. παρῆνεσα δὲ, συνεβούλευσα, εἰσηγησάμην Ἀθηναίοις. — τὸ δὲ χιλιῶν περισπῶσι. Ven.

662. αἱ τριχίδες : Εἶδος ἰχθύων, ἃς θρίσσας καλοῦμεν. καὶ ἀλλαχοῦ [Eccl. 56] « ἔδηττε τὴν νύχθ' ὅλην τριχίδων πεπλησμένος. »

663. ἐκαραδόκησεν : Ἀντὶ τοῦ ἐπέβλεψεν. ἢ ἐμοὶ προσέθεντο τὴν κεφαλὴν μετεωρίσαντες. παρὰ τὸ Ὁμηρικὸν [Il. Σ, 488] « καί τ' Ὠρίωνα [δοκεύει. » ἐφληνάφα δὲ, ἐφλυάρει, ἐξηυτέλιζε].

665. κᾆθ' εἶλκον αὐτὸν : Εἶτα εἶλκον αὐτὸν καὶ ἐξώθουν τῆς βουλῆς.

οἱ πρυτάνεις : Οἱ προεστῶτες τῆς σιτήσεως καὶ τοῦ δήμου ἄρχοντες ὑπηρέται.

668. ἵν' ἀπ' ὁ κῆρυξ : Ταῦτα εἰς τὴν ἀπάτην τοῦ Κλέωνος τὴν εἰς τὸν δῆμον. ἐξ ἱστορίας δὲ τοῦτο. Λακεδαιμονίους γὰρ περὶ εἰρήνης πρεσβευομένους οὐκ ἐδέξαντο Κλέωνος κωλύσαντος.

670. ἐξ ἑνὸς στόματος : Ὁμοθυμαδὸν καὶ μιᾷ φωνῇ.

671. ὦ μέλε : Πρόσφθεγμα Ἀττικὸν ἀντὶ τοῦ ὦ κάκιστε, ἢ κακοδαιμονέστατε, ἢ οἰκτρότατε. παρέλκει δὲ τὸ ὦ μέλε. [ἀξίας δὲ, εὐώνους.]

672. ἐπυνθάνοντο, ἔμαθον, ἢ ἔγνωσαν. V.

673. ὁ πόλεμος ἑρπέτω : Γράφεται ἐρρέτω, τουτέστι χαιρέτω, ὅ ἐστιν, οὐδεμίαν φροντίδα τοῦ πολέμου ποιοῦμεν.

675. ὑπερεπήδων : Καὶ εὐθὺς ὑπερήλλοντο καὶ ὑπερεπήδων, τουτέστι δρομαῖοι ἠπείγοντο. διὰ δὲ τῆς σπουδῆς τὴν λιχνείαν ἐνδείκνυσιν αὐτῶν.

τοὺς δρυφάκτους : Τὰ νῦν ταβλώματα καλούμενα. τὰ τῶν οἰκοδομημάτων ἐξέχοντα ξύλα· ἢ τὰ κάγκελα, δρυόφακτός τις ὤν. οἱ γὰρ ἀρχαῖοι πᾶν δένδρον δρῦν ἐκάλουν, ὥσπερ καὶ ἀκρόδρυα τὰ ἄκρα τῶν δένδρων. τουτέστιν ὁ ἐκ δρυὸς φραγμός.

677. γήτεια : Εἶδος λαχάνου ἀγρίου, παρεοικὸς τοῖς λευκοῖς πράσοις. καὶ τοῦτο ἥδυσμα ὡς τὸ ἀμπελόπρασον.

678. ἐδίδουν ἡδύσματα : Ἀρτύματα, φησὶν, αὐτοῖς ἐχαριζόμην. οἰκείως δὲ ὡς μάγειρος ἐδίδου τὰ ἀρτύματα.

680. ὑπερεπυππάζοντο : Γράφεται καὶ ὑπερεπλήσσοντό με, οἷον κατεπλήσσοντό με καὶ τὴν φιλοτιμίαν ἐθαύμαζον τὴν ἐμήν. διασύρει δὲ αὐτοὺς ὡς μικροθαυμάστους καὶ ταχέως ἀπατωμένους ὀλίγῳ λήμματι.

ὑπερεπύππαζον : Πύππαξ ἐπεφώνουν, ὃ ἡμεῖς ποππύζειν λέγομεν.

682. ἀναλαβὼν : Συναρπάσας, κουφίσας, μετεωρίσας, τουτέστιν εἰς ἐμαυτὸν τῇ εὐνοίᾳ πείσας ῥέπειν. ἱκανῶς δὲ ἐκωμῴδησε τοὺς Ἀθηναίους. [κορίαννα δὲ εἶδος βοτάνης, τὸν νῦν κολίανδρον.]

683. διπλῆ, ὅτι ἔπεται ἡ ἀντίστροφος τῆς προαποδεδομένης. V. [ὁ πανοῦργος : Ὁ Κλέων τὸν ἀλλαντοπώλην. κεκασμένον δὲ, κεκοσμημένον. ποικίλοις δὲ, πολλοῖς καὶ διαφόροις. αἱμυλίοις δὲ, τοῖς προσηνέσι καὶ ἐπαγωγοῖς ἢ ἀπατητικοῖς.]

685. πολλοῖς καὶ διαφόροις. V.

686. τοῖς προσηνέσι καὶ ἐπαγωγοῖς. ἢ τοῖς ἀπατητικοῖς. V.

691. καὶ μὴν ὁ Παφλαγὼν : Διπλῆ καὶ εἴσθεσις εἰς ἰάμβους τριμέτρους ἀκαταλήκτους ξε'. [ἐπὶ τῷ τέλει κορωνίς.]

692. κολόκυμα : Τὸ κολοβὸν κῦμα, ὅπερ τυφλὸν διὰ τὸ μὴ καχλάζειν λέγουσιν. ἢ τὸ κυλῖον καὶ ἐπιφέρον. ὑψηλὸν κῦμα καὶ μέγα ἀπὸ τοῦ κορυφοῦσθαι κυλιόμενον. τοῦτο δὲ ὡς πρὸς ἄνεμον. Ἄλλως. ὅπερ τινες κωφὸν καλοῦσι, τὸ μὴ ἐπηχοῦν μηδὲ καχλάζον. πρὸς τὴν προειρημένην δὲ ἀπειλὴν ὑπὸ τοῦ Κλέωνος ὅτι τὴν γῆν ταράξει καὶ τὴν θάλατταν ἀποτείνεται διασύρων αὐτὸν, ὅτι μηδὲν ἔπραξεν ὧν προηπείλησεν, ἀλλ' ἧττον ἔχων ἀπῆλθε τοῦ Ἀγορακρίτου.

693. [ὡς δὴ καταπιόμενός με : Ὡς ἐπικαλύψων με τῷ κύματι αἰσχρῶς με μέλλων καταπιεῖν.]

μορμὼ τοῦ θράσους : Τὸ μορμολύκειον, ἣν λέγουσι Λάμιαν. μορμολύκεια δὲ ἔλεγον τὰ φοβερά. λείπει δὲ τὸ ὡς, ὡς μορμώ. ἢ ἐπιρρηματικῶς νῦν ἐξενήνεκται, ὡς εἰ ἔλεγε, φεῦ τοῦ θράσους.

694. εἰ μή σ' ἀπολέσαιμι : Οἷον διαμαρτήσαιμι, φησὶ, τῆς ἐλπίδος, εἴ σε μὴ ἀπολέσαιμι, εἴ τι τῶν ἐμῶν ὑποκρίναιο ψευσμάτων. ἐπειδὴ ψευδόμενος καὶ ἀνθυπισχνούμενος ἔδοξεν αὐτὸν ὁ ἀλλαντοπώλης παρευδοκιμεῖν. Ἄλλως. εἴ τι τῶν ἐνόντων μοι ψευδῶν σώζεται καὶ μὴ ἀπολώλεκα τὸ ψεύδεσθαι. διαμάρτοιμι καὶ διαπέσοιμι πανταχοῦ, εἰ μή σε ἐξ ἀνθρώπων ποιήσαιμι. [διαπέσοιμι, οἷον μηκέτι εἴην συκοφάντης. — πανταχῇ : Ὅλως. C.]

696. ἥσθην ἀπειλαῖς : Εὐφράνθην σου ταῖς ἀπειλαῖς, τουτέστι καταφρονῶ σου τῶν ἀπειλῶν καὶ παρ' οὐδὲν αὐτὰς τίθεμαι.

ψολοκομπίαις : Αἰθαλοκομπίαις, μεγαλοδοξίαις, ψευδολογίαις, μεγαληγορίαις, καπνοῖς. ἀπὸ δὲ τῶν προειρημένων ὀνομάτων ἔπαιζεν ἀπὸ τοῦ βροντᾶν

καὶ ταράττειν τὴν γῆν καὶ τὴν θάλατταν, καὶ χρημνοὺς ἐρείδειν, ἃ μόνου τοῦ Διός εἰσιν ἔργα. ἐκ τῶν τοιούτων οὖν ἡ προσηγορία διὰ τὸ κεραυνῷ χρῆσθαι δοκεῖν. τῶν γὰρ κεραυνῶν οἱ μὲν καταιβάται, οἱ δὲ ψολόεντες, οἱ δὲ ἀργῆτες καλοῦνται, ὡς Ὅμηρος ὠνόμασεν.

697. ἀπεπυδάρισα : Πυδαρίζειν ἐπὶ τοῦ ἄλλεσθαι. ἤτοι ποδαρίζειν καὶ πυδαρίζειν, ὡς ὄνομα καὶ ὄνυμα Αἰολικῶς, ἢ πυγαρίζειν παρὰ τὴν πυγήν, καὶ τροπῇ πυδαρίζειν, ὡς γνόφος καὶ δνόφος. δηλοῖ δὲ τὸ λακτίζειν, ὡς τὸ,

ἀπεπυδάρισα μόθωνα, περιεκόκκυσα

παρὰ τοὺς πόδας.

μόθωνα : Τὸν εἰρωνικὸν καὶ δόλιον, καὶ πανουργίᾳ προσφερόμενον τινί. Ἄλλως. μόθων φορτικὸν ὀρχήσεως εἶδος. ἔλεγον δὲ τοὺς φορτικοὺς μόθωνας.

περιεκόκκυσα : Περιεκορδάκισα. ἔστι δὲ εἶδος ὀρχήσεως. τινὲς δὲ τὸ μὲν ἀπεπυδάρισα, ἀπέπαρδον. ἄλλοι δὲ, ἀπεσκίρτησα καὶ ὠρχησάμην. τὸ δὲ περιεκόκκυσα, περιερόγχασα, καὶ ὑπερεῖδον καὶ κατεφρόνησα.

698. οὗτοι μὰ τὴν Δήμητρα : Πάτριος τῶν Ἀθηναίων ἡ Δημήτηρ, διὰ τὸ ξενισθῆναι παρὰ Κελεῷ, καὶ στῆναι τῆς πλάνης εὑροῦσαν τὴν κόρην ἐκ τῶν ὑποθηκῶν τῶν ἐκείνου, καὶ τῆς φιλοφροσύνης καὶ τῆς φιλοξενίας ἀμοιβὴν ἀποδοῦναι τὰς ἡμέρους αὐτῷ τροφάς. [καὶ ἅρμα δρακόντων, ἐφ' ᾧτε ἐπὶ πᾶσαν διασπεῖραι τὴν οἰκουμένην.]

ἐκφάγω : Ἐὰν μή σε καταναλώσω καὶ ἐκβάλω ἐκ ταύτης τῆς γῆς καὶ διώξω. τὸ δὲ ἐκφάγω εἶπε διὰ τὸν τῆς Δήμητρος ὅρκον.

700. ἐκπίω : Ἐξῆς πρὸς τὸ ὑπ' ἐκείνου ῥηθὲν ἀποκρίνεται, τῷ ἐκφαγεῖν ἀντιθεὶς τὸ ἐκπιεῖν. ὡς γὰρ ἡ Δημήτηρ τὰς τροφὰς, οὕτω καὶ Διόνυσος Ἰκαρίῳ φιλοξενίας ἔδωκε δῶρον, ὅτι φιλοφρόνως αὐτὸν ὑπεδέξατο, τὴν ὕβριν φεύγοντα τοῦ Πενθέως.

601. κἀπεκροφήσας : Πλέον τι προσέθηκεν ὑπερβολῇ τῆς ἀπειλῆς, τῷ ἐκπίω ἐπενεγκὼν τὸ ἐκροφήσας.

703. οἷον ὄψομαί σ' ἐγὼ : Ἀντὶ τοῦ οἷως. Ὅμηρος [Od. A, 410] « οἷον ἀναίξας ἄφαρ οἴχεται. » ἀντὶ τοῦ οἷως. ὁ δὲ νοῦς, οἷον ὄψομαί σε ἀπὸ τῆς τιμῆς ἄτιμον γενόμενον. ἀπειλεῖ δὲ αὐτῷ ὡς ἀφαιρησόμενος αὐτὸν τὴν προεδρίαν. Τοῦτο δὲ, ὡς ἀεὶ τοῦ Κλέωνος θρυλοῦντος τὰ περὶ Πύλον καὶ Σφακτηρίαν καὶ τοὺς αἰχμαλώτους.

707. ἐπὶ τῷ φάγοις ἂν ἥδιστα : Ἀντὶ τοῦ εἰπεῖν ἐπ' ἰχθύσι φάγοις ἄν, οἷον μετὰ ἰχθύων. ἢ ἀντὶ τοῦ εἰπεῖν ἐπὶ τραπεζίῳ, πικρῶς εἶπεν ἐπὶ βαλλαντίῳ, ἵνα διαβάλῃ ὡς κλέπτην καὶ τῶν δημοσίων ἅρπαγα. [ἐν τῷ ξύλῳ δὲ, ἐν τῇ ποδοκάκῃ, ὡς εἴρηται.]

708. ἐξαρπάσομαί σου : Ἐξοίσω. διασπαράξω τοῖς ὄνυξιν. ἀπὸ τοῦ χρησμοῦ δὲ ἔπαιξε. βυρσαίετον γὰρ ἐκεῖ προσεῖπε τὸν Κλέωνα. ὁ δὲ ἀετὸς τοῖς ὄνυξιν ἐστὶν ἅλκιμος. πάλιν ὡς πρὸς τὸ μαγειρεῖον ἀπέσκωψε. διασπαράξας γὰρ, φησὶν, ἐξελῶ σου τὰ ἔντερα.

709. ἀπονυχιῶ σου τὰν πρυτανείῳ σιτία : Ἀφαιρήσομαί σου, φησὶ, τὴν σίτησιν. ἀποφράξω, ἀποκλείσω. ἀπὸ μεταφορᾶς τῶν ὀνυχιζομένων.

710. ἕλξω σε πρὸς τὸν δῆμον : Ἡττήθη γὰρ ἐν τῇ βουλῇ. παρεπιγραφὴ δέ. ποιεῖ γὰρ ὅπερ εἴρηκεν [καὶ ἅμα τῷ λόγῳ εἵλκεν αὐτόν].

711. καὶ διαβαλῶ γε : Ἔφαμεν πολλάκις ὅτι τῷ διαβάλλειν μάλιστα ἴσχυεν ὁ Κλέων. εἰπὼν δὲ ὅτι σοῦ πλείονα διαβαλῶ, τὸ κἀκεῖνον, εἰ καὶ ἧττον, ὅμως γοῦν διαβάλλειν ἐνεδείξατο.

713. καταγελῶ γ' ὅσον θέλω : Πᾶσαν ἔχω τοῦ πείθειν ἐξουσίαν, καὶ ὥσπερ ἐντρυφῶ τῷ δήμῳ.

714. [σεαυτοῦ νενόμικας : Οἰκείως ἔχειν πρὸς σὲ ὑπολαμβάνεις].

715. οἷς ψωμίζεται : Οἷς ἀπατᾶται, οἷς χαίρει. τὸ δὲ ψωμίζεσθαι ἐπὶ τῶν μικρῶν παιδίων λέγεται, ἃ ὑπόκειται τῇ τῶν διδόντων ἐξουσίᾳ.

716. ὥσπερ αἱ τίτθαι : Τίτθας καλοῦμεν τὰς τιτθίοις καὶ τῷ γάλακτι τρεφούσας τὰ παιδία. ἐγγύθεν οὖν ἀπὸ τοῦ ψωμίζειν ἀπεκρίνατο λέγων, ὅτι κατὰ τὰς τίτθας καὶ σὺ τὸν δῆμον κακῶς τρέφεις.

717. μασώμενος γὰρ : Ἐσθίων ἢ διαμασώμενος. ἐπέμεινε δὲ τῇ ὁμοιώσει τὴν ῥαδιουργίαν ἐπεξηγούμενος τῶν τροφῶν ἀπὸ τοῦ συμβεβηκότος. αὗται γὰρ διὰ τὸ μὴ δύνασθαι πάσας τὰς τροφὰς δι' ὁλοκλήρου τὰ παιδία ἐσθίειν, λαμβάνουσαι καὶ διαμασώμεναι, οὕτω μετὰ τὸ κατεργάσασθαι τὰ ἐδέσματα ἐξαιροῦσαι τοῦ ἰδίου στόματος, ἐντιθέασι τοῖς τῶν παιδίων. εἶτα συμβαίνει τὰς ἀγνώμονας ὀλίγα μὲν διδόναι τοῖς παιδίοις, αὐτὰς δὲ κατεσθίειν τὰ πλείονα. κατὰ τὰς τίτθας οὖν, φησὶν, ὁ Κλέων ὀλίγα τῷ δήμῳ χαριζόμενος, αὐτὸς πλείω κερδαίνει καὶ λαμβάνει.

κατέσπακας : Ἰδίως ἐπὶ τῶν θηλαζόντων βρεφῶν κατασπᾶν λέγουσι παρὰ τὸ ἐπισπᾶν καὶ ἐφέλκειν τὸ γάλα. τῷ ὀνόματι οὖν ἀπὸ τῶν προειρημένων ἐχρήσατο. λέγει οὖν ὅτι τὸ πλεῖον κερδαίνεις αὐτὸς καὶ κατεσθίεις. εὐρὺν δὲ καὶ στενὸν, πλούσιον καὶ πένητα.

721. σοφίζεται : Τεχνάζεται, ποιεῖ, τουτέστι ποτὲ μὲν πλατύνεται, ποτὲ δὲ συστέλλεται. ἰστέον δὲ ὅτι γελοίου χάριν παρέλαβε τοῦτο. [ἐπὶ δὲ τῷ καθυβρίσαι τινὲς τιθέασι δύο διπλᾶς.]

723. ἴωμεν εἰς τὸν δῆμον : Εἰς τὸ βουλευτήριον. ἔδοξε γὰρ αὐτὸν παρευδοκιμεῖν ἐν τῇ βουλῇ. οὐ καταφρονήσεις οὖν μου, φησὶν, ἐπὶ τῶν δημοτῶν ὥσπερ ἐν τῷ βουλευτηρίῳ.

724. μηδὲν ἡμᾶς ἰσχέτω : Μηδὲν ἡμᾶς ἐπισχέτω, μηδὲν ἐμπόδιον ἔστω.

725. ὦ δῆμε δεῦρ' ἔξελθε : Ὁ Κλέων ἐστὶν ὁ λέγων. διὰ δὲ τῆς οἰκειότητος τῶν ὀνομάτων τὸν δῆμον κολακεύει καὶ προσεταιρίζεται τὸ πάτερ προσφωνῶν αὐτὸν, ἵνα κἀκεῖνος ὡς περὶ παιδὸς φρονῇ. εἶτα ὁ ἀλλαντοπώλης, ἔξελθε δῆτα ὦ δημίδιον φίλτατον, καὶ αὐτὸς ἀντικολακεύων φησί.

730. τὴν εἰρεσιώνην μου κατεσπαράξατε : Κλάδος

ἐλαίας ἐρίοις περιπεπλεγμένοις ἀναδεδεμένος. ἐξήρτηντο δὲ αὐτοῦ ὡραῖα πάντα ἀκρόδρυα. πρὸ δὲ τῶν θυρῶν ἱστᾶσιν αὐτὴν εἰσέτι καὶ νῦν. ποιοῦσι δὲ τοῦτο κατὰ παλαιόν τι χρηστήριον. οἱ μὲν γάρ φασιν ὅτι λιμοῦ, οἱ δέ, ὅτι καὶ λοιμοῦ τὴν πᾶσαν κατασχόντος οἰκουμένην, χρωμένων τίνα ἂν τρόπον παύσαιτο τὸ δεινὸν, τὴν λύσιν ταύτην ὁ Πύθιος ἐμαντεύσατο, εἰ προηρόσιον ὑπὲρ ἁπάντων Ἀθηναῖοι θύσειαν· θυσάντων οὖν τῶν Ἀθηναίων τὸ δεινὸν ἐπαύσατο. καὶ οὕτως ὥσπερ χαριστήριον οἱ πανταχόθεν τοῖς Ἀθηναίοις ἐξέπεμπον τῶν καρπῶν ἁπάντων τὰς ἀπαρχάς. ὅτε δὴ καὶ Ἄβαριν φασὶ τὸν Ὑπερβόρειον ἐλθόντα θεωρὸν εἰς τὴν Ἑλλάδα, Ἀπόλλωνι θητεῦσαι, καὶ οὕτω συγγράψαι τοὺς χρησμοὺς τοὺς νῦν προσαγορευομένους Ἀβάριδος. ὅθεν εἰσέτι καὶ νῦν, ἐπειδὰν ἀνιστῶσι τὸν κλάδον, λέγουσι ταῦτα,

εἰρεσιώνη σῦκα φέρει καὶ πίονας ἄρτους
καὶ μέλι ἐν κοτύλῃ καὶ ἔλαιον ἀναψήσασθαι,
καὶ κύλικ' εὔζωρον, ὡς ἂν μεθύουσα καθεύδῃ.

Ἄλλως. Πυανεψίοις καὶ Θαργηλίοις Ἡλίῳ καὶ Ὥραις ἑορτάζουσιν Ἀθηναῖοι. φέρουσι δὲ οἱ παῖδες τούς τε θαλλοὺς ἐρίοις περιειλημένους, ὅθεν εἰρεσιῶναι λέγονται καὶ τούτους πρὸ τῶν θυρῶν κρεμῶσιν. ἐξήρτηντο δὲ τῶν θαλλῶν αἱ ὧραι. [τὸ δὲ κατεσπαράξατε εἶπεν ἐπειδὴ ἀλλήλους ὤθουν.]

733. σὺ δ' εἶ τίς : Τῷ ἀλλαντοπώλῃ λέγει.

736. ἀλλ' οὐχ οἷοί τ' ἐσμὲν : Ἀλλ' οὐ δυνάμεθα προσιέναι οὐδ' εὖ ποιεῖν, κωλυόμενοι, φησὶν, ὑπὸ τοῦ Κλέωνος.

739. λυχνοπώλησιν : Δι' Ὑπέρβολον. καὶ αὐτὸς γὰρ δημαγωγὸς ἦν λυχνοποιὸς ὤν. νευρορράφοις δέ φησι διὰ τὸν προβατοπώλην Λυσικλέα.

740. καὶ σκυτοτόμοις : Κλέωνι καὶ Λυσικλεῖ. ὀνειδίζει δὲ πάλιν Κλέωνι, ἀφ' οἵας τέχνης ἄγει καὶ φέρει τὴν πόλιν.

δίδως : Παρέχεις, ἢ πιστεύεις σεαυτόν.

742. ὑποδραμὼν τῶν ἐκ Πύλου : Καταδραμὼν τοὺς ἐν Πύλῳ στρατηγούς. ἅμα δὲ ὅτι καὶ συνεχῶς μέμνηται τοῦ ἐν Πύλῳ κατορθώματος. Ἄλλως. ὑφαρπάσας διὰ τὴν νίκην τὴν ἐν Πύλῳ. ἐν σχήματι δὲ εἶπεν, ἀντὶ τοῦ στρατηγούς. — ὑπεκδραμὼν : Πάνυ δραμών. *C.*

744. ἀπ' ἐργαστηρίου : Ἵνα μηδὲ ἐν τούτοις ἀπολείπεσθαι δοκῇ τοῦ Κλέωνος ὁ ἀλλαντοπώλης, ἔδοξέ πως ὅμοιον ἐξευρηκέναι πρᾶγμα τοῖς ἐκείνῳ πεπραγμένοις. οὐ γὰρ ὁ Κλέων, φησὶ, μόνος ἀλλοτρίαν νίκην μόνος ὑφήρπασεν, ἀλλὰ καὶ οὗτος ἐκ τῆς πόλεως μέσης ἔκ τινος ἐργαστηρίου, φησὶ, χύτραν ὑφειλόμην, ἄλλου κατασκευάσαντος ἑαυτῷ τροφὴν, ὡς κἀκεῖνος τὸ ἀλλότριον κατόρθωμα ἴδιον ἐποιήσατο.

748. διάκρινον : Σύγκρινον ἢ ἀντεξέτασον πότερός σοι μᾶλλον εὔνους.

749. μὴ 'ν τῇ πνυκί : Ὡς ἂν ἐν τῇ συνόδῳ ἀνόητα δρῶντος τοῦ δήμου. ἡ δὲ πνὺξ τόπος ἐστὶν ἐν ᾧ τὸ παλαιὸν ἠκκλησίαζον.

751. ἀλλ' εἰς τὸ πρόσθ' ἐχρῆν παρεῖναι : Εἰς τὴν αὔριον χρὴ παρεῖναι ἅπαντας καὶ συνελθεῖν. [γέροντα δὲ πάλιν εἶπεν ὅτι ἀρχαῖος ὁ τῶν Ἀθηναίων δῆμος. δεξιώτατος δὲ, φιλανθρωπότατος, προσηνέστατος, ἀγαθός. τῆς πέτρας δὲ, τῆς πνυκός. ὀρεινὴ γὰρ ἦν, ὡς ἔοικεν.]

755. ἐμποδίζων ἰσχάδας : Σῦκα. ὥσπερ, φησὶν, οἱ τὰς ἰσχάδας ἐσθίοντες ἀνεμποδίστως καὶ λάβρως αὐτὰς ἐσθίουσι, τὸν αὐτὸν τρόπον καὶ ὁ δῆμος, ἐπειδὰν ἐν τῇ πνυκὶ καθεσθῇ, κατακρίνει καὶ δημεύει. καὶ ὥσπερ οἱ τὰς ἰσχάδας ἐσθίοντες οὐκ ἂν μεταδοῖεν εὐχερῶς τινι, οὕτως οὐδὲ ὁ δῆμος ἐκεῖσε δικάζων οὐκ ἂν φιλανθρωπεύσαιτο ῥᾳδίως. Ἄλλως. ἐπειδὴ εἰώθε τὰ παιδία παίζοντα ἀναβάλλειν τὰς ἰσχάδας, καὶ ἐν τῷ στόματι αὐτῶν δέχεσθαι. Ἀρίσταρχος δὲ τὸ ἐμποδίζων ἀντὶ τοῦ μασώμενος, ἢ ἐμφορούμενος. ἔνιοι δὲ, ἀπὸ τοῦ τὸν σῦκα λαμβάνοντα χάσκειν. οἱ δὲ, παιδιάν τινα. Ἄλλως. Σύμμαχος οὕτως· ἀπὸ τῶν μελισσῶν ἡ μεταφορά. εἰώθασι γὰρ οἱ μελισσουργοὶ ἰσχάδας συγκεκομμένας ῥίπτειν ταῖς μελίσσαις, ἐπὰν διὰ κρύος ἢ χειμῶνα ἐξιέναι κατοκνῶσιν ἐκ τῶν σίμβλων, ἵνα ἔνδοθεν ἐσθίωσι. κεχήνασι δὲ οἱ μασώμενοι. Ἀρίσταρχος δὲ, ὅτι μασώμενοι τὰς ἰσχάδας ταῖς μελίτταις ῥίπτουσιν ἃ τοῖς ποσὶ τρίβουσιν. Ἄλλως. ἐπειδὴ οἱ παῖδες περιτιθέντες ταῖς συκαῖς βρόχον εἰώθασιν ἐσθίειν ἐπιθυμοῦντες τῶν σύκων, εἶτα ὑπὸ τοῦ πάνυ γλίχεσθαι κεχήνασιν. [ἢ οὕτως, ὅτι εἰώθε τὰ παιδία παίζοντα ἄνω ῥίπτειν τὰς ἰσχάδας ἢ τὰς τῶν βοτρύων ῥᾶγας, καὶ τῷ στόματι αὐτὰς κατιούσας δέχεσθαι χαίνοντα. ἢ ὅτι τὰ ἐπὶ ταῖς συκαῖς σῦκα διὰ καλάμων ἀποσπῶντα, κεχηνότα ταῦτα ὑποδέχεται τῷ στόματι.]

756. [νῦν δεῖ σε : Κορωνὶς καὶ εἴσθεσις χοροῦ, ἐπῳδικὴ μὲν διὰ τὸ μετὰ τὴν κορωνίδα κεῖσθαι· μεσῳδικὴ δὲ διὰ τὸ ἐξῆς εἰσάγεσθαι ἑτέραν διπλῆν ἐκ στίχων πέντε. ὧν οἱ μὲν τρεῖς ἀσυνάρτητοι ἐξ ἰαμβικοῦ διμέτρου ἀκαταλήκτου τοῦ καλουμένου Ἀνακρεοντείου καὶ τροχαϊκοῦ ἰθυφαλλικοῦ τοῦ καλουμένου Ἀρχιλοχίου. καλεῖται δὲ ταῦτα ἀσυνάρτητα Εὐριπίδεια. εἰσὶ γὰρ ὅμοια τῷ Εὐριπίδου

ἕως ἡνίχ' ἱππότης ἐξέλαμψεν ἀστήρ.

οἱ δὲ ἑξῆς δύο ἰαμβικοὶ τετράμετροι καταληκτικοί. εἶτα ἐν ἐκθέσει ἐστὶ τὸ ἕθιμον, διπλῆ ἀνάπαιστος τετράμετρος καταληκτική. ὑφ' ὃ παράγραφος διπλῆ, καὶ ἑξῆς στίχοι ὁμοίως ξγ'. ἐφ' ὧν τῷ τέλει κορωνίς.]

κάλων : Παροιμία, πάντα δὴ κάλων κινεῖν. εἴληπται δὲ [ἐπὶ τῶν πάσῃ προθυμίᾳ χρωμένων παρῆκται δὲ] ἀπὸ τῶν πλεόντων καὶ χειμαζομένων [καὶ τὰ σχοινία ῥιπτόντων σὺν ταῖς ἀγκύραις ἐπὶ θάλασσαν, ὥστε τοῦ κλύδωνος ῥύσασθαι τὸ πλοῖον.] φησὶν οὖν, πάντα κίνει πράγματα καὶ πάντα μη-

χανῶ κατὰ τοῦ Κλέωνος, ἵνα αὐτοῦ περιγένῃ. καλῶν δὲ τὸ σχοινίον. τροπικῶς δὲ ὡς ἐπὶ τοῦ ἱστοῦ λέγει. ἁπλοῦν σε δεῖ τὰ ἄρμενα, οἷον πάντα κινεῖν ὑπὲρ τοῦ περιγενέσθαι αὐτοῦ. [θούριον δὲ λῆμα, ὁρμητικόν, ταχύ, πηδητικόν, πολεμικώτατον. καὶ [Soph. Aj. 212] θούριος Αἴας, θούριος Ἄρης. ποικίλος δὲ, ὁ ἐπὶ πολλὰ τὴν γνώμην ἄγων.]

759. κἀκ τῶν ἀμηχάνων : Ἐκ τῶν ἀπόρων εὐπόρους ἀφορμὰς καὶ εὐαφόρμους καὶ εὐσυνέτους, λόγων εὐπορίας. [ταῦτα δὲ παρὰ τὰ ἐν Προμηθεῖ Αἰσχύλου [59]

δεινὸς γὰρ εὑρεῖν κἀξ ἀμηχάνων πόρους.]

760. πρὸς ταῦθ' ὅπως ἔσει : Διὰ ταῦτα φρόντιζε ὅπως ἐπεξελεύσῃ καὶ λαμπρὸς δόξῃς εἶναι, [πλήρης λόγων καὶ φρονήματος.] ἀλλὰ φυλάσσου καὶ ἐπιτήρει.

762. τοὺς δελφῖνας μετεωρίζου : Δελφὶς ὄργανον ναυτικόν. μετεωρίζου δὲ, τουτέστιν εἰς ὕψος αἶρε. ἐπεὶ καὶ τῶν θαλασσίων δελφίνων πηδήματα μέτεωρα. μέμνηται δὲ καὶ Θουκυδίδης [7, 41]. Ἄλλως. δελφὶς ἐξάρτημα τῶν νεῶν. ἀγκυρώματα. Ἄλλως. σιδηροῦν κατασκεύασμα ἢ μολίβδινον εἰς δελφῖνα ἐσχηματισμένον. τοῦτο δὲ ἐκ τῆς κεραίας τοῦ ἱστοῦ αἱ ναυμαχοῦσαι ἠφίεσαν εἰς τὰς τῶν πολεμίων, καὶ κατεδύοντο. δηλοῦται δὲ καὶ ὑπὸ Φερεκράτους ἐν τοῖς Ἀγρίοις, ὅταν λέγῃ « ὁ δὲ δὴ δελφίς ἐστι μολιβδοῦς, δελφινοφόρος τε κεροῦχος, ὃς διακόψει τοὔδαφος αὐτῶν ἐμπίπτων καὶ καταδύων. » καὶ Θουκυδίδης δελφινοφόρον εἴρηκε τὴν ναῦν ἐξηρτῆσθαι.

τὴν ἄκατον παραβάλλου : Ἑτοίμην ποίει, ὡς εἴ τις κίνδυνος ἐκ τοῦ ἀνέμου αὐτὴν ἐμβησόμενος.

765. βέλτιστος ἀνὴρ : Εὔνους καὶ ἄριστος. ἐντεῦθεν δοκεῖ μοι καὶ Δημοσθένης [p. 225] ὠφεληθεὶς τὸ προοίμιον εἰληφέναι ἐν τῷ περὶ τοῦ στεφάνου λόγῳ. φησὶ γὰρ οὕτως « πρῶτον μέν, ὦ Ἀθηναῖοι, τοῖς θεοῖς « εὔχομαι πᾶσι καὶ πάσαις, ὅσην εὔνοιαν ἔχων ἐγὼ « διατελῶ τῇ πόλει. »

μετὰ Λυσικλέα : Λυσικλῆς ὡς προβατοκάπηλος διεβέβλητο. Κύννα δὲ καὶ Σαλαβάκχα τῶν θαυμαζομένων ἑταιρίδων.

766. μηδὲν δράσας : Μηδὲν διαπραξάμενος ἔργον σπουδαῖον καὶ μέγα. φησὶ γὰρ ὅτι ἐπὶ μεγάλοις κατορθώμασι τὴν τιμὴν ταύτην Ἀθηναῖοι παρεῖχον τοῖς ἀγαθόν τι εὐεργετήσασιν αὐτούς. νῦν οὖν σκώπτει τὸν Κλέωνα, δι' ὧν αὐτὸν ὁμολογοῦντα ποιεῖ, ὅτι μηδὲν διαπραξάμενος τοιοῦτον ἔργον, τῆς ἐν πρυτανείῳ σιτήσεως μετέσχεν.

767. ἀντιβεβληκὼς : Ἀντὶ τοῦ, πρὸς βίαν ἀγωνιζόμενος. εἴρηται δὲ ἀπὸ τῶν τοὺς ἵππους ἐλαυνόντων, ἢ τῶν τούτους ἁβήναις ἐλκόντων. Ἄλλως. ἀνθιστάμενος τοῖς ἀδικεῖν σε προαιρουμένοις. διαπρισθείην, εἰς μέρη λωροτομηθείην.

768. λέπαδνα : Οἱ στηθιαῖοι λῶροι [ἢ οἱ μασχαλιστῆρες τῶν ἵππων.] τοῦτο δὲ ὡς βυρσοπώλης εἶπεν. Ἄλλως. λεπτότατα καὶ εἰς πολλὰ μέρη διῃρημένα. ἀπὸ δὲ τοῦ τεμνομένου χείλους τῇ μεταφορᾷ τῶν ὀνομάτων ἐχρήσατο, παίζων ὁμοῦ καὶ εἰς τὴν τέχνην τοῦ Κλέωνος διὰ τὰς κατατεμνομένας βύρσας. λείπει δὲ ἡ εἰς, ἵν' ᾖ, εἰς λέπαδνα.

769. εἰ μή σε φιλῶ : Ἔπαιξε κἀνταῦθα τοιούτοις ὀνόμασι διὰ τὸ μάγειρον αὐτὸν εἶναι. πειρᾶται δὲ εἷς ἕκαστος αὐτῶν μᾶλλον φανῆναι τὸν δῆμον φιλῶν, ἵν' εὔνουν ἑαυτῷ κατασκευάσῃ.

770. ἐψοίμην ἐν περικομματίοις : Τοῖς περιαιρέμασι τῶν κρεῶν. ἐψηθείην οὖν σὺν αὐτοῖς περικόμμασι.

κεἰ μὴ τούτοισιν : Εἰ μὴ τούτοις ἀρχῇ τοῖς ῥήμασιν, καὶ εἰ μὴ πιστεύεις, φησὶ, τούτῳ μου τῷ ὄρκῳ, ὁμοῦμαί σοι καὶ ἕτερον ὅρκον μείζονα. [ἐπὶ ταυτησὶ δὲ εἶπε, τὴν τράπεζαν δεικνὺς τὴν μαγειρικήν.]

771. κατακνησθείην : Καταξεσθείην εἰς ἰσχνὰ μέρη καὶ ἀναλωθείην. καὶ τοῦτο δὲ ἀπὸ τῆς τέχνης παρείληφε τῆς αὐτοῦ. [καὶ Ὅμηρος [Il. Λ, 639] « κνήστι χαλκείῃ. » μυττωτὸν δὲ τὸ τῶν σκορόδων τρίμμα μετὰ τυροῦ καὶ ἐλαίου καὶ μέλιτος καὶ πράσου.] μυττωτῷ δὲ εἶπε παίζων ἴσως πρὸς τὸ Ὁμηρικόν. [ἔστι δὲ ὑπότριμμα διὰ σκορόδου. κατασκευάζεται δὲ ἀπὸ τυροῦ καὶ σκορόδου καὶ ὠοῦ, καὶ ἐλαίου καὶ πράσου.]

772. κρεάγρᾳ : Εἶδος ἐργαλείου μαγειρικοῦ χειρὶ παρεοικὸς, μόνον ἐγκεκαμμένον τοὺς δακτύλους, ἀνιμῶσα τὰ ζεστὰ διὰ τὸ τὰς χεῖρας καίεσθαι. κρεάγρα δὲ εἴρηται ἀπὸ τοῦ τὰ κρέα τὰ ἐπὶ τοῖς λέβησιν ἀγρεύειν καὶ ἀνασπᾶν.

ὀρχιπέδων : Τοῦτο οὐχ ἁπλῶς, ἀλλ' ἀφ' ἱστορίας, ὡς καὶ αὐτὴν τὴν κόλασιν τοῖς πονηροῖς προσαγόντων τῶν Ἀθηναίων.

εἰς Κεραμεικόν : Τόπος Ἀθηναίων οἱ Κεραμεικοί. θεῶν τὰ ἀγάλματα ἐκεῖσε ἱδρυμένα. Ἄλλως. δῆμος τῆς Ἀττικῆς. δύο δὲ Κεραμεικοὶ Ἀθήνησιν· [ὁ μὲν ἔνδον τῆς πόλεως, ὁ δὲ ἔξω. ἔνθα καὶ τοὺς ἐν πολέμῳ τελευτήσαντας ἔθαπτον δημοσίᾳ καὶ τοὺς ἐπιταφίους ἔλεγον. εἰσὶ δὲ ἔνθεν καὶ ἔνθεν στῆλαι ἐπὶ τοῖς δημοσίᾳ τεθαμμένοις ἔχουσαι ἐπιγραφὰς ποῦ ἕκαστος τέθαπται.] ἐν δὲ τῷ ἑτέρῳ ἦσάν τε καὶ προειστήκεσαν αἱ πόρναι.

775. τοὺς δ' ἄγχων : Δηλοῖ διὰ τούτων τῶν ὀνομάτων τὸ βίαιον τῆς ἀπαιτήσεως, εἴ πως δύναιτο πεῖσαι τοὺς Ἀθηναίους μὴ εἶναι περὶ τὰς ἀπαιτήσεις τῶν πολιτικῶν χρημάτων βαρεῖς.

μεταιτῶν : Τοὺς μὴ ὀφείλοντας δηλονότι. λῆρον δὲ ἐποίησε διὰ τῆς ἀνταποδόσεως τὸ νόημα, εἰπὼν ὅτι τοὺς μὲν μετὰ βίας εἰσέπραττον τῶν χρεωστουμένων, τοὺς δὲ μὴ ὀφείλοντας μετῄτουν.

776. οὐ φροντίζων : Τὸ λεγόμενον τοιοῦτόν ἐστιν. ἐν δευτέρῳ τὴν πρὸς τοὺς ἰδιώτας ἀπέχθειαν ἐποιούμην, ἕνεκα τοῦ ἀποθεραπεῦσαι τὴν πόλιν.

778. ἄρτους ἀλλοτρίους : Τοὺς βιαίως ἀφαιρουμένους. σκώπτει δὲ τὸν Κλέωνα, ἀπὸ τῶν ἀλλοτρίων φιλοτι-

μούμενον. ἀπὸ δὲ τῆς αὐτοῦ τέχνης ὁρμώμενος, πάλιν τοῦ ἀλλαντοπώλου μέμνηται.

780. τῆς ἀνθρακιᾶς : Ὅτι τῶν σῶν ἀγαθῶν ἀπολαύει. χρησιμεύει γὰρ ἡ ἀνθρακιὰ τῷ χειμῶνι, καὶ τοὺς ἔχοντας οἱ ἄλλοι περικάθηνται βουλόμενοι εἰσδῦναι.

781. διεξιφίσω : Ἐπολέμησας πρὸς τοὺς Μήδους. τοῖς ξίφεσι κατ' αὐτῶν ἐχρήσω.

ἐν Μαραθῶνι : Τόπος τῆς Ἀττικῆς, εἰς ὃν ἐνώρμησαν Δᾶτις καὶ Ἀρτάβαζος, Μηδικοὶ σατράπαι, πεμφθέντες ὑπὸ Δαρείου βασιλέως καταδουλώσασθαι τὴν Ἑλλάδα. ἔνθα συμβαλόντες αὐτοῖς οἱ Ἀθηναῖοι Μιλτιάδου στρατηγοῦντος, μόνων Πλαταιέων συμμαχησάντων αὐτοῖς χιλίοις ἀνδράσι καὶ οὕτω πληρωθέντος τοῦ ἀριθμοῦ τῆς Ἑλληνικῆς δυνάμεως, τοῖς Ἕλλησι τῆς ἐλευθερίας αἴτιοι κατέστησαν, μόνοι ἐξ ἁπάντων τῶν Ἑλλήνων τὸν πρῶτον τῶν Περσῶν διαφθείραντες.

782. ἐγγλωττοτυπεῖν : Τὴν γλῶσσαν ψοφεῖν τὰ κατορθώματα καὶ σεμνολογεῖν τὰ ἐκείνων καὶ ἀεὶ ἐπὶ γλώττης ἔχειν.

784. ῥαψάμενός σοι τουτὶ φέρω : Παρεπιγραφή. δείκνυσι γὰρ αὐτῷ προσκεφάλαιον, ὅ φησι τῷ δήμῳ παρασκευάσαι, ἵνα μὴ ἐπὶ ψιλοῖς τοῖς βάθροις ἐπικαθέζηται, ἀπ' ἀρχῆς τὴν περὶ τὸν δῆμον εὔνοιαν δεικνύς.

ἀλλ' ἐπαναίρου : Ἐπανίστασο καὶ ἐπεγείρου, ἵνα ὑποθῶ τῷ καθίσματι τὸ προσκεφάλαιον.

785. ἵνα μὴ τρίβῃς : Ἵνα μὴ ἐκτρίψῃς μηδὲ διαφθείρῃς τὴν ἐν Σαλαμῖνι καμοῦσαν πυγὴν ἐν ναυμαχίᾳ. ἀντὶ δὲ Μαραθῶνος, Σαλαμῖνος μέμνηται, ὅπου ναυμαχία Περσῶν ἐγένετο, ἐν Μαραθῶνι δὲ πεζομαχία. κεῖται δὲ ἡ Σαλαμὶς ὀλίγον πρὸ τῆς Ἐλευσῖνος πόλεως, ἱερᾶς Δήμητρος καὶ Κόρης, πλήρης οὖσα κατορθωμάτων Ἑλληνικῶν. καὶ γὰρ ἐνταῦθα πολλὰς τῶν Περσῶν Ἀθηναῖοι κατεναυμάχησαν τριήρεις ὀλίγῳ ἀριθμῷ, Θεμιστοκλέους στρατηγοῦντος. ἔνθα καὶ πέτρα Εἰρεσία οὕτω καλουμένη, ὥσπερ διὰ τοῦ ὀνόματος τρόπαιον οὖσα τῆς Ἀττικῆς. ἔστι δὲ καὶ Ἀγέλαστος πέτρα καλουμένη παρὰ τοῖς Ἀθηναίοις, ὅπου καθίσαι φασὶ Θησέα μέλλοντα καταβαίνειν εἰς Ἅδου· ὅθεν καὶ τοὔνομα τῇ πέτρᾳ. ἢ ὅτι ἐκεῖ ἐκάθισεν ἡ Δημήτηρ κλαίουσα, ὅτ' ἐζήτει τὴν κόρην. [ἐρασθεὶς γὰρ Περσεφόνης ὁ Πλούτων ἥρπασεν αὐτὴν κρύφα. Δημήτηρ δὲ μετὰ λαμπάδων νυκτός τε καὶ ἡμέρας κατὰ πᾶσαν τὴν γῆν ζητοῦσα περιήρχετο. μαθοῦσα δὲ παρὰ Ἑρμιονέων ὅτι Πλούτων αὐτὴν ἥρπασεν, ὀργιζομένη θεοῖς κατέλιπεν οὐρανόν· καὶ εἰκασθεῖσα γυναικὶ ἦκεν εἰς Ἐλευσῖνα, ἔνθα ἐπὶ πέτραν ἐκάθισεν τὴν ἀπ' ἐκείνης κληθεῖσαν Ἀγέλαστον.]

786. μῶν ἔγγονος : Μὴ τὸ γένος, φησὶ, κατάγεις ἀπὸ Ἁρμοδίου καὶ Ἀριστογείτονος; ὁ δὲ δῆμός ἐστιν ὁ θαυμάζων τὸν ἀλλαντοπώλην ἐπὶ τῇ φιλοτιμίᾳ τῶν καθισμάτων. εἰς Ἁρμόδιον δὲ καὶ Ἀριστογείτονα τὸ γένος ἀνήνεγκεν αὐτοῦ, ἐπεὶ καὶ οὗτοι εὐνοίας πολλάκις ἀπηνέγκαντο δόξαν, ἐπιθέμενοι τοῖς τυράννοις, καὶ τὸν Ἱππίαν διαχειρισάμενοι, ὡς φθάσαντες προείπομεν. τοῦτο πρῶτον ἐπιδείκνυσι τὴν εἰς τὴν πόλιν εὔνοιαν.

788. ὡς ἀπὸ σμικρῶν : Ἀπὸ βραχέων καὶ τῶν τυχόντων παντάπασι. δελεάσμασιν, ἀπάταις. ἰδίως δὲ δέλεαρ καλοῦμεν τὴν τοῖς ἰχθύσιν ὑποβαλλομένην τροφὴν εἰς ἀπάτην τοῦ ἀγρευθῆναι. ἀπὸ μεταφορᾶς οὖν ἐκείνων ἔφη. εἶλες δὲ, ἤγρευσας, ὑποχείριον ἐποίησας.

791. περιδόσθαι : Συνθήκην θεῖναι. καὶ Ὅμηρος [Il. Ψ, 485] « δεῦρό γε νῦν τρίποδος περιδώμεθα [περιδώμεθον ἠὲ λέβητος. » ταῖς Νεφέλαις [644] « περιδοῦ νῦν ἐμοὶ, εἰ μὴ τετράμετρόν ἐστιν ἡμιεκταῖον. » Vict.]

792. ἐν ταῖς πιθάκναις : [Ὑποκοριστικῶς, μικροῖς πίθοις,] πιθοκοίταις, ἑτοίμοις τόποις. ὅτι διὰ τὸν πόλεμον οἱ Ἀθηναῖοι ἐκ τῶν ἀγρῶν εἰσερχόμενοι ἐν ταῖς πιθάκναις ἢ ἐν τοῖς σπηλαίοις ᾤκουν τῇ σπάνει τῶν οἰκημάτων. [οἱ δὲ παλαιοὶ φιδάκνην λέγουσι.]

793. γυπαρίοις : Εἶδος ὀρνέου γῦπες. ἔπαιξε δὲ τὸ ὄνομα διὰ τὸ ἐπιφερόμενον. δοκεῖ γάρ πως παρόμοια τὰ ὀνόματα ταῦτα εἶναι, γυπαρίοις καὶ πυργιδίοις. ἢ διὰ τὸ τοὺς ὄρνις τούτους μάλιστα τοῖς πύργοις ἐπικαθῆσθαι καὶ τοῖς τείχεσιν, εἰς οὓς οἱ Ἀθηναῖοι ἐκάθευδον διὰ τὸν πόλεμον φρουροῦντες τὴν πόλιν. Ἄλλως. ἀντὶ τοῦ, ἐν φωλεοῖς καὶ καλιαῖς καὶ στενοῖς χωρίοις. Κράτης δέ φησιν ὅτι πᾶσαν στενὴν κατάδυσιν οὕτως ὠνόμαζον.

[ἔτος ὄγδοον : Τοσαῦτα γὰρ ἔτη εἶχον πολεμοῦντες.]

οὐκ ἐλεαίρεις : Οὐ κατοικτείρεις. δείκνυσι δὲ διὰ τούτων ὅτι ὁ κωλύων παύσασθαι τὸν πόλεμόν ἐστιν ὁ Κλέων. ὅπερ οὖν καὶ Θουκυδίδης [5,16] ἱστορεῖ διὰ τούτων, « ἐπειδὴ καὶ ἡ ἐν Ἀμφιπόλει ἧττα τοῖς Ἀθηναίοις « ἐγένετο, καὶ τεθνήκει Κλέων τε καὶ Βρασίδας, οἵπερ « ἀμφότεροι μάλιστα ἠναντιοῦντο τῇ εἰρήνῃ, ὁ μὲν, « διὰ τὸ εὐτυχεῖν τε καὶ τιμᾶσθαι ἐκ τοῦ πολεμεῖν, ὁ « δὲ γενομένης εὐτυχίας καταφανέστερός τε νομίζων « εἶναι κακουργῶν καὶ ἀξιοπιστότερος διαβάλλων. »

794. βλίττεις : [Ἀμέλγεις.] βλίττειν ἐστὶ τὸ ἀφαιρεῖν τὸ μέλι ἀπὸ τῶν κηρίων καὶ πειράζειν καὶ τὸ ψηλαφᾶν καὶ τὸ ἐκπιέζειν, τὰ κηρία τῶν μελισσῶν θλίβειν.

Ἀρχεπτολέμου δὲ φέροντος : Παρ' ἱστορίαν τοῦ Ἀρχεπτολέμου ἐμνημόνευσεν. ὄγδοον γὰρ ἔτος ἔχοντος τοῦ πολέμου τούτου, ἔτι ζῶντος τοῦ Κλέωνος, ἐνιαύσιον ἐποιήσαντο πρὸς ἀλλήλους ἐκεχειρίαν οἱ Ἀθηναῖοι καὶ οἱ Πελοποννήσιοι, πρεσβείαν πέμψαντες πρὸς ἀλλήλους, οὐ μὴν Ἀρχεπτολέμου πρεσβεύοντός τινος, ἀλλὰ τῶν μὲν Λακεδαιμονίων ἦν πρεσβευτὴς Ταῦρος Ἐχετιμίδα, Ἀθήναιος, Περικλείδα, Αἰνείας, Εὐφαμίδας Ἀριστοδήμου, Σικυωνίων δὲ Δημότιμος Ναυκράτους, Μενεκράτης Ἀμφιδώρου, Ἐπιδαυρίων δὲ Ἀμφίας, Ἀθηναίων δὲ οἱ στρατηγοὶ Νικίας ὁ Νικηράτου, Αὐτοκλῆς Τολμαίου. ἐγένετο δὲ πόλεμος ἐπὶ ὀκτωκαίδεκα ἔτη. καὶ οὕτως ἡ πρεσβεία τοῦ Κλέωνος ζῶντος, ἡ δὲ εἰρήνη μετ' ἐνιαυτὸν ἐγένετο. εἰκὸς οὖν Ἀρχεπτολέμου μνημονεῦσαι χρησάμενον τῷ ὀνόματι, ἵνα μᾶλλον ἔξαρχον ἐπιδείξῃ τοῦ πολέμου τὸν Κλέωνα. καὶ γὰρ, Ἀρχεπτολέμου εἰρήνην διδόντος, οὐκ ἐδέξατο

Κλέων. [ἐξεσκέδασας δὲ ἀντὶ τοῦ διετάραξας. δείκνυσιν οὖν ὅτι οὗτος ἦν αἴτιος τούτου.]

796. ῥαθαπυγίζων : Τῇ πυγῇ ῥόθον ποιῶν, τουτέστι τῇ χειρὶ τὴν πυγὴν παίων ἢ τῷ ποδὶ τύπτων. Ἄλλως. λάθρα τύπτων κατὰ τῆς πυγῆς πλατείᾳ τῇ χειρὶ καὶ πλατεῖ τῷ ποδί. τῇ πυγῇ ῥόθον ποιῶν. γελοίου δὲ χάριν τούτῳ ἐχρήσατο.

προκαλοῦνται : Παρέχουσιν, εὐτρεπίζουσιν. εὐκαίρως δὲ τῷ προκαλοῦνται ἐχρήσατο, ἵνα μᾶλλον τοὺς Λακεδαιμονίους ἐπιδικαζομένους τῆς εἰρήνης δείξῃ καὶ ἐπιθυμοῦντας.

798. ὡς τοῦτον δεῖ ποτ' ἐν Ἀρκαδίᾳ : Νικήσαντα τοὺς Πελοποννησίους δικάσαι μέχρις Ἀρκαδίας, λαμβάνοντα μισθὸν πεντώβολον, ἀλλ' οὐ τριώβολον.

799. [ἢν ἀναμείνῃ : Ἐὰν ὑπομένῃ καὶ πολεμῶν μὴ ὀκνήσῃ.]

800. εὖ καὶ μιαρῶς : Ἀλλήλοις ἐναντία. εἰ γὰρ εὖ, πῶς μιαρῶς; εἰ δὲ μιαρῶς, πῶς εὖ; πλὴν εἰ μὴ τοῦτο λέγει, ὅτι ἀνενδεῶς τὸ τριώβολον αὐτῶν φροντίσω καὶ ποιήσω λαμβάνειν, οὐ περιεργασόμενος οὔτε εἰ ἀπὸ δικαίου οὔτε εἰ ἀπὸ ἀδίκου πορισθήσεται τὰ πράγματα. πιθανῶς δὲ τὰς ὑποσχέσεις τοῦ Κλέωνος, περὶ τῶν ἐνεστηκότων καὶ μελλόντων.

803. ὑπὸ τοῦ πολέμου καὶ τῆς ὁμίχλης : Ὑπὸ τῶν περιεστώτων κακῶν καὶ τῶν τοῦ πολέμου δυσχερῶν συνεχόμενος μὴ ἐλέγχῃ τὰ σὰ κακουργήματα. ὁμίχλη δὲ ἐπὶ τοῦ τεθολωμένου ἀέρος καὶ μὴ διαυγοῦς μηδὲ λαμπροῦ τάσσεται. ὁ δὲ νοῦς ὅλος, ὅτι οὐ τῷ δήμῳ φίλα φρονῶν πείθεις αὐτὸν Ἀρκάσι πολεμεῖν, ἀλλ' ἵνα περὶ τὸν πόλεμον ἀσχολούμενος μὴ περιεργάζηται τὰ σὰ πανουργήματα. [εἰς σὲ κεχήνῃ, εἰς σὲ ἀποβλέπῃ καὶ πειθαρχῇ.]

806. χίδρα : Τινὲς ἄγρια λάχανα, οἱ δὲ τὰ ὄσπρια [ἢ τὰ ἐξ ὀσπρίων ἄλευρα ἢ κρίμνα ἢ στάχυες νεογενεῖς]. κυρίως δὲ τὰ ἀπὸ χλωρᾶς κριθῆς [κρινόμενα ὡς σεμίδαλις ἐρεικτά]. χύδρα δὲ εἴρηται παρὰ τὸ χεῖσθαι. [ἀναθαρρήσῃ δέ, θαρσαλεώτερος γένηται.]

στεμφύλων εἰς λόγον ἔλθῃ : Καὶ προσομιλήσει τοῖς στεμφύλοις, ἢ πλησιάσει. στέμφυλα δὲ ἐκάλουν οἱ παλαιοὶ τὰ τῶν ἐλαιῶν ἀποπιέσματα· περιπτίσματα δὲ τὰ τῶν ἀμπέλων.

807. παρεκόπτου : Παρῄρου, ἐλυμαίνου. ἀπὸ μεταφορᾶς τῶν παρακοπτομένων τὰ πτερὰ ὀρνέων. ἰδίως δὲ τὸν μισθὸν τῶν στρατευομένων οἱ παλαιοὶ μισθοφορὰν ἐκάλουν. φησὶν οὖν ὅτι τοῦ πολέμου ἀπαλλαγέντες ἐπιγνώσονται τὴν βλάβην, ἣν διὰ τῆς μισθοφορᾶς αὐτοὺς ἔβλαπτες, πλείονα αὐτοὺς ἀγαθὰ παραιρούμενος, ὧν ἀπολαύειν ἠδύναντο εἰρήνην ἄγοντες. [ἀγροικος δὲ, ὀργῆς γέμων. τραχὺς δὲ, ψῆφον ἰχνεύων, καταδικάσαι προῃρημένος.]

809. ὀνειροπολεῖς : Παρακρούῃ καὶ παραλογίζῃ καὶ παραπλανᾷς καὶ ὀνειροπολεῖς, ὀνείρους ὁρῶν. [τὸ δὲ « ὦ πόλις Ἄργους » ἀπὸ Τηλέφου Εὐριπίδου. τὸ δὲ « κλύεθ' οἷα λέγει » ἀπὸ Μηδείας [169]. τὸ δὲ σύ δεικτικῶς.]

814. ἐπιχειλῆ : Τουτέστι χείλη μὴ ἔχουσαν. αἰνίττεται δὲ διὰ τούτου τὴν ἱστορίαν Θεμιστοκλέους, ὅτι τὴν πόλιν ἐτείχισεν, καὶ ταῦτα παρὰ γνώμην τῶν Πελοποννησίων ἀπατήσας αὐτούς. φασὶ γὰρ τῶν Λακεδαιμονίων μαθόντων ἐκτειχίζεσθαι τὰς Ἀθήνας καὶ μὴ ἐπιτρεπόντων, καταστρατηγῆσαι τὸν Θεμιστοκλέα ἐπὶ τῷ δεῖξαι τοῖς Λακεδαιμονίοις ὅτι ἐπὶ τῷ κοινῷ τῆς Ἑλλάδος συμφέροντι τειχίζοιεν τὴν πόλιν. χειροτονηθεὶς δὲ πρεσβευτὴς τοῖς μὲν Ἀθηναίοις ἔδωκεν ἐντολὰς τειχίζειν πάσῃ σπουδῇ τὴν πόλιν, μὴ φειδομένους μήτε ἰδίου μήτε δημοσίου τινὸς οἰκοδομήματος, τοῖς δὲ συμπρεσβευταῖς προσέταξε βράδιον ἐλθεῖν εἰς τὴν Λακεδαίμονα. αὐτὸς δὲ ἀφικόμενος ἐκεῖσε καὶ τῶν Λακεδαιμονίων ἀξιούντων αὐτὸν εἰς τὸ κοινὸν παρεῖναι, καὶ λέγειν ὧν χρῄζων ἀφῖκται, τὸ μὲν πρῶτον εἰς τὴν παρουσίαν ὑπερετίθετο τῶν πρέσβεων. μὴ γὰρ ἀσφαλὲς ὑπάρχειν αὐτῷ κοινὰς ἐντολὰς λαβόντι μόνον ἀποπληρῶσαι τὴν πρεσβείαν. καὶ ᾤχαλλεν ὅτι μήπω παρεγένοντο. ὡς δὲ χρόνος ἱκανὸς διεγένετο, καὶ οἱ συμπρέσβεις παρῆσαν, ἤδη δὲ τοῦ τείχους ἱκανῶς προκεχωρηκότος τοῖς Λακεδαιμονίοις ἤγγελτο ὅτι τετειχισμέναι λοιπὸν εἶεν Ἀθῆναι, παρελθὼν ἔπειθεν αὐτοὺς μὴ ταχέως πιστεύειν τοῖς βουλομένοις εἰς ἔχθραν καταστῆσαι τὴν πόλιν, ἀλλ' ἐπιλεξαμένους αὐτῶν ἄνδρας τοὺς εὐνοίᾳ καὶ πίστει διαφέροντας ἐπόπτας ἐκπέμψαι. μέχρι δὲ τῆς ἐκείνων παρουσίας ὅμηρον ἑαυτὸν κατεπηγγέλλετο, κἂν τούτῳ τριβήν τινα χρόνου ἐμποιῶν. πεισθέντων οὖν Λακεδαιμονίων καὶ τοὺς μάλιστα διαφέροντας εὐνοίᾳ καὶ πίστει τῶν πολιτῶν πεμψάντων, λάθρα τοῖς Ἀθηναίοις πέμψας προσέταξε μὴ πρότερον τοὺς Λακεδαιμονίων ἄνδρας ὀπίσω πάλιν ἐλθεῖν ἐᾶσαι, πρὶν αὐτόν τε καὶ τοὺς συμπρέσβεις ἀπολύσωσι Πελοποννήσιοι. ἔστιν οὖν τὸ νόημα ὑπερβατόν. ὃ γὰρ λέγει, τοιοῦτόν ἐστιν· ὅστις ἐποίησε μεστὴν ἡμῶν καὶ ὁλόκληρον εὑρὼν τὴν πόλιν ἀτείχιστον οὖσαν. Ἄλλως. ἐπιχειλῆ : Ἐνδεᾶ. ἐπιχειλὲς γὰρ μέτρον λέγεται τὸ μὴ πλῆρες, ἀλλ' ἀπομεσούμενον. αἰνίττεται δὲ, ὅτι αὐτὸς τὴν πόλιν ἐτείχισε.

815. καὶ πρὸς τούτοις ἀριστώσῃ : Καὶ πρὸς τούτοις ἄριστα τῆς πόλεως ἐχούσης. ἔπαιξε δὲ τὸ ἀριστώσῃ πρὸς τὰ ἐπιφερόμενα.

τὸν Πειραιᾶ : Καὶ τὸν Πειραιᾶ γὰρ ἐτείχισεν. ὃς ἀπεῖχε τῆς πόλεως σταδίους λε', παρὰ θάλατταν ὤν. ἔπαιξε δὲ τὸ ἀριστώσῃ πρὸς τὰ ἐπιφερόμενα. πρὸς ὃ ἐπιφέρει καὶ τὸ, ἰχθῦς προσέθηκεν.

προσέμαξε : Προσέθηκε, προσεκόλλησεν. μάττειν γὰρ λέγεται τὸ ἀναμιγνύναι καὶ φυρᾶν καὶ εἰς ἓν συνάγειν. ἐξῆς οὖν τὸ μάττειν προσήνεγκε, διὰ τὸ προειρηκέναι ἀριστώσῃ. αἰνίττεται δὲ διὰ τούτων τὰ μακρὰ τείχη παρὰ τοῖς Ἀθηναίοις καλούμενα. μακρὰ δὲ ἐλέγοντο, διὰ τὸ ἀπὸ τῆς πόλεως διήκειν μέχρι τοῦ Πειραιῶς. Ἄλλως. ἐμπόριον ὁ Πειραιεὺς τῶν Ἀθηναίων

ἐπὶ τῇ θαλάττῃ κείμενος, ἀπὸ πέντε τῆς πόλεως σημείων.

816. ἰχθῦς καινοὺς : Οἷον, ἐκ τοῦ Πειραιῶς ἐποίησεν αὐτὸν ἰχθύας ἔχειν. τὸν γὰρ Πειραιᾶ Θεμιστοκλῆς προσέβαλε τῇ πόλει. τὸ δὲ παρέθηκε, προσέθηκε, προσεκόλλησε τὰ μακρὰ τείχη.

817. μικροπολίτας : Διὰ τὴν ἐκ τοῦ πολέμου στενοχωρίαν τῶν ἀναλωμάτων καὶ τὴν τῶν ἀνδρῶν σπάνιν συνέστειλαν τὰ τείχη.

818. διασχίζων : Συνάγων καὶ συστέλλων τὰ τείχη. διὰ γὰρ τὸν πόλεμον καὶ τὰ ἐπὶ τοῖς φρουροῖς ἀναλώματα καὶ τὴν τῶν ἀνδρῶν σπάνιν συνέστειλαν τὰ τείχη.

819. κἀκεῖνος μὲν φεύγει : Ἐξωστράκισε γὰρ τὸν Θεμιστοκλέα ὁ δῆμος.

σὺ δ' ἀχιλλείων : Σὺ δὲ τῆς ἐν πρυτανείῳ σιτήσεως μετέχεις. ἐκαλοῦντο γὰρ ἀχίλλειαί τινες κριθαὶ καθαραὶ ὡς εὐγενεῖς αὖται.

821. μὴ σκέρβολλε : Μὴ λοιδόρει. δηλοῖ δὲ τὸ κερτομεῖν. κεῖται δὲ νῦν ἡ λέξις ἀντὶ τοῦ μὴ ποίκιλλε. καὶ Καλλίμαχος [fr. 281] « σκέρβολα μυθήσαντο. »

822. ἐγκρυφιάζων : Ἐμφωλεύων καὶ ἀποκρύπτων. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐλάνθανές με ῥᾳδιουργῶν περὶ τὴν πόλιν. ἀπὸ δὲ τοῦ ἐγκρυφίου ἄρτου μετήνεγκεν. οἷον, λανθάνων καὶ ἐγκρύπτων σεαυτόν.

824. ὁπόταν χασμᾷ : Ὁπότε μετεωροφρονεῖς. οἷον, περὶ ἄλλα τὴν διάνοιαν ἔχεις. διπλῆ δὲ καὶ εἰσθεσις εἰς περίοδον ἀναπαιστικὴν τετράμετρον καὶ εἰκοσίμετρον δωδεκάκωλον, [ὧν τὸ πρῶτον καὶ τελευταῖον τετράμετρα καταληκτικά. τὰ δὲ λοιπὰ δίμετρα. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα].

825. τῶν εὐθυνῶν : Τῶν δικαίων παραλογισμῶν. οἱ γὰρ χειρίσαντές τι τῶν κοινῶν καὶ διοικήσαντες τῶν ἀνηλωμένων χρημάτων εὐθύνας καὶ λογισμοὺς ἐδίδοσαν. — τῶν εὐθυνῶν : Τῶν τιμωριῶν. *Vict.*

ἐκκαυλίζων : Ἀπὸ τῶν τὰ λάχανα ἀποκλώντων τῇ μεταφορᾷ ἐχρήσατο. οἷον, ἀνασπῶν καὶ ἀναιρῶν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· μισθὸν λαμβάνων παρὰ τῶν διοικούντων τὰ κοινὰ ἐκκόπτει αὐτῶν τὰς δίκας, ἵνα μὴ ὁ δῆμος εὐθύνας λαμβάνειν παρ' αὐτῶν δύνηται.

826. καταβροχθίζει : Καταπίνει ἀμφοτέραις ταῖς χερσί. τουτέστιν ἁπλήστως καὶ λάβρως καὶ ἀφειδῶς.

827. μυστιλᾶται : Κατατρώγει. ἰδίως δὲ παρὰ τοῖς Ἀττικοῖς μυστίλην ἐκάλουν τὸν ἄρτον τὸν τοῖς κυσὶ παραβαλλόμενον. [καὶ ἀλλαχοῦ [Pl. 627] μεμυστιλημένας ἀντὶ τοῦ κατειργασμένας ἤδη καὶ ἑτοίμους, τουτέστι μεμασημένας.] Ἄλλως. μυστίλη ὁ κοῖλος ἄρτος, ᾧ δύναταί τις καὶ ζωμὸν ἀρύσασθαι.

829. αἱρήσω : [Φθερῶ,] διελέγξω. ἔλαβε δὲ τοῦτο ἀπὸ τοῦ χαιρήσεις. Ἄλλως. κλοπῆς σε κατηγορήσας, καταδίκης αἴτιός σοι γενήσομαι νικήσας σε.

830. τί θαλαττοκοπεῖς : Ἐθαλαττοκράτουν γὰρ οἱ Ἀθηναῖοι, ὡς τοῦ Κλέωνος συνεχῶς προφερομένου τὴν κατὰ θάλατταν δυναστείαν. πλατυγίζειν δὲ κυρίως τὸ ἐπιτιθέναι τὸ πλαταγώνιον τῇ ἀριστερᾷ χειρὶ καὶ παίειν τῇ δεξιᾷ καὶ ἦχον ἀποτελεῖν. Ἄλλως. τί ταράττῃ καὶ θορυβῇ; ἔλαβε δὲ τὴν χρῆσιν τοῦ ὀνόματος ἀπὸ τῆς θαλάττης. ἐπειδὰν γὰρ ὑπὸ σφοδροτέρων ἀνέμων ταραχθῇ τὰ κύματα, ἀλλήλοις συγκρούουσιν.

πλατυγίζεις : Ἄμφω μεγαλορρημοσύνης ῥήματα, καὶ πλατύνῃ καὶ ἀλαζονεύῃ. ἀπὸ δὲ τοῦ πλατυτέρου μέρους τῆς κώπης, ὃ τῇ θαλάττῃ μᾶλλον προσερείδει καὶ τύπτον τὸ ὕδωρ τῇ εἰρεσίᾳ ἀπεργάζεται κτύπον, ἡ μεταφορά. ἀκολούθως δὲ τῷ θαλαττοκοπεῖς ἐπήγαγε τὸ πλατυγίζεις.

834. δωροδοκήσαντα : Ὄντως ἐδωροδόκησεν ὁ Κλέων ἐκ Μιτυλήνης. οὐ μόνον δὲ τὸ δῶρα διδόναι καὶ ἀναπείθειν, ἀλλὰ καὶ τὸ λαμβάνειν. πόλις δὲ Λέσβου τῆς νήσου Μιτυλήνη, φίλη μὲν Ἀθηναίοις καὶ σύμμαχος, ὕστερον δὲ νεωτερίσασαν καὶ ἀποστᾶσαν κατέστρεψαν μὲν πάλιν οἱ Ἀθηναῖοι Χάρητος στρατηγοῦντος, συμβουλεύσαντος δὲ Κλέωνος ἐψηφίσαντο παῖδας μὲν καὶ γυναῖκας ἡδηδὸν ἀποκτεῖναι Μιτυληναίων, ἐξανδραποδίσασθαι δὲ πᾶσαν πόλιν. καὶ ναῦν ἐξέπεμψαν εὐθὺς ἀγγέλλουσαν τὰ βεβουλευμένα τῷ Χάρητι. τῇ δευτεραίᾳ δὲ μετανοοῦντας αἰσθόμενος ἐπὶ τοῖς προτέροις γνωσθεῖσι Διόδοτος, εἷς καὶ αὐτὸς ὢν τῶν πολιτευομένων τότε, γενομένης δὶς τῆς ἐκκλησίας, καὶ οὐδὲν ἀντιλέγοντος τοῦ Κλέωνος, καὶ παρακελευομένου τοῖς δόξασιν ἅπαξ ἐμμένειν, παρελθὼν μεταγνῶναι τοὺς Ἀθηναίους ἔπεισεν. ἦσαν γὰρ καὶ ἄλλοι τινὲς τὰ Μιτυληναίων φρονοῦντες, οὐ μὴν ἀλλὰ καὶ αὐτῶν ἄνδρες Μιτυληναίων κατά τινα πρεσβείαν ἀφιγμένοι πείθουσι διὰ τάχους ἑτέραν πέμψαι τριήρη, ἀπαγορεύουσαν τῷ Χάρητι μηδὲν διαπράξασθαι τῶν πρότερον ἐπεσταλμένων. τοὺς δὲ ναύτας τῆς δευτέρας τριήρους τῇ τε ἄλλῃ παρακλήσει καὶ δώροις ὑποσχέσει προὐτρέψαντο πάσῃ σπουδῇ περὶ τὸν πλοῦν χρήσασθαι προθύμως ὡς ἂν τὴν προτέραν τριήρη φθάσαιεν. οἱ δέ, ἅτε καὶ ἐπὶ χρηστὸν πλέοντες πρᾶγμα καὶ ταῖς παρακλήσεσιν εἴξαντες, τοσαύτῃ περὶ τὴν εἰρεσίαν ἐχρήσαντο σπουδῇ, ὥστε οὐκ ἔφθη καταπλεύσασα ἡ προτέρα ναῦς, καὶ ὁ Χάρης λαβὼν τὰ γράμματα καὶ ἐκείνην ἐπεισπλεῦσαι ἐκέλευσε. παρὰ τοσοῦτον κινδύνου ἡ Μιτυλήνη ἦλθεν. ἀπὸ ταύτης οὖν φησιν αὐτὸν ἐπιδείξειν τὸ ἀργύριον εἰληφότα, λεληθότως δὲ πάλιν αὐτὸν εἰς ὠμότητα διαβάλλων τῶν τρόπων. οὐ γὰρ φαίνεται λαβὼν πλὴν ἢ μνᾶς μ' παρὰ τῶν Μιτυληναίων ὁ Κλέων μισθόν. πιθανῶς δὲ ἐπλάσατο αὐτὸν εἰληφέναι, ἐπειδὴ πρότερος ἐκεῖνός φησιν αὐτὸν δέκα μυριάδας πόλεως κεκλοφέναι. φιλονεικεῖ δὲ ἐν πᾶσιν αὐτὸν ἀμείβεσθαι τοῖς ἴσοις.

836. πᾶσιν ἀνθρώποις : Διπλῆ καὶ εἴσθεσις οὐ κατ' ἴσον τοῖς ἀναπαίστοις εἰς ἰαμβικὰ τετράμετρα καταληκτικὰ [ἱππωνάκτεια] οε'. [ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ ἄκρῳ τοῦ τελευταίου διπλῆ ἔξω νενευκυῖα. τινὲς δὲ τὰ ἑπτὰ πρῶτα κῶλα ὡς ἀντιστροφὴν εἰλήφασιν.]

837. εἰ γὰρ ὦδ' ἐποίεις : Εἰ γὰρ εἰς τέλος ἐναντιού-

μενος αὐτῷ παραμείνῃς πρὸς τὴν γραφὴν τῆς κατηγορίας. εἰ γὰρ οὕτω τῇ κατηγορίᾳ χρήσῃ.

839. τῶν συμμάχων τ' ἄρξεις : Ἔπαιξε παρὰ τὸ θαλαττοκρατεῖν τοὺς Ἀθηναίους καὶ τοὺς νησιώτας ἔχειν ὑποτελεῖς φόρων.

840. ἐργάσῃ : Συνάξεις. τὸ δὲ σείων, οἷον διασείων καὶ ἀπαιτῶν.

841. λαβὴν : Ἀφορμὴν, λῆμμα ὡς παλαιστής.

842. κατεργάσει γάρ : Νικήσεις, περιέσῃ αὐτοῦ.

πλευρὰς ἔχων : Σῶμα ἔχων ἰσχυρὸν καὶ στερρότητα. τουτέστιν ἑταιρίαν ἔχων τοιαύτην.

843. οὐκ ὦ ᾽γαθοὶ : Οὐ ταῦτα τοῦτον ἕξει τὸν τρόπον, ὡς ὑμεῖς φατὲ καὶ προσδοκᾶτε.

μὰ τὸν Ποσειδῶ : Ὅτι περὶ τριαίνης ἀκούσας εἰπόντων τῶν ἱππέων καὶ σείων καὶ ταράττων, τὸν Ποσειδῶνα ὄμνυσιν.

845. ἐπιστομίζειν : Κατασιγάζειν, ἐπὶ στόμα ἔχειν τῶν κατ' ἐμοῦ, λέγων καὶ διαβάλλων μηδὲ φωνὴν ἐᾶν παριέναι.

846. τῶν ἀσπίδων τῶν ἐκ Πύλου : Πάλιν ὁ Κλέων τὰ περὶ Πύλον θρυλεῖ καὶ Σφακτηρίαν καὶ τὰ τῶν αἰχμαλώτων. ἔθος δὲ ἦν τὰ ἀπὸ τῶν πολεμίων ὅπλα ἐν τοῖς ἱεροῖς ἀνατιθέναι. ἕως οὖν, φησιν, ἀνάκειται τὰ ἀπὸ Πύλου καὶ Σφακτηρίας ὅπλα, ἅπερ ἀνέθηκα τοῖς θεοῖς νικήσας, οὐδεὶς τῶν ἐχθρῶν τολμήσει κατ' ἐμοῦ λέγειν.

847. λαβὴν γὰρ ἐνδέδωκας : Κατὰ σεαυτοῦ. οἷον, ἀφορμὴν κατὰ σοῦ κατηγορίας. ἀπὸ δὲ τῶν ἀσπίδων τὴν λαβὴν εἶπεν.

849. αὐτοῖσι τοῖς πόρπαξι : Σὺν αὐταῖς ταῖς ὀχάναις. πόρπαξ ἐν ᾧ τὴν ἀσπίδα κατέχουσιν, ὃ καλεῖται ὀχάνη. [περιφερὴς δὲ οὖσα ἡ ἀσπὶς ἐκινεῖτο κυκλικῶς διὰ τοῦ πόρπακος.] ἀνετίθεσαν δὲ τὰ ἐκ τῶν πολέμων ὅπλα ἄνευ τῶν ὀχάνων, ἵνα μὴ ἑτοίμως ἔχωσιν αὐτοῖς χρῆσθαι. [μηχάνημα δὲ, στρατήγημα, πανούργημα.]

852. στῖφος : Σύστημα, πλῆθος. τοῦτο δὲ ἔτρεφεν ὁ Κλέων, ἵνα ἔχῃ, φησὶ, συνερχόμενον αὐτῷ πρὸς τὴν πολιτείαν.

854. συγκεκυφὸς : Συνελθόν. ἀντὶ τοῦ, ὁμονοοῦσιν ἑαυτοῖς καὶ συμπνέουσιν. [Ἄλλως. ὁμονοοῦν. ἀντὶ τοῦ συνελθόντες αὐτῷ συμπνέουσι. βριμήσαιο δὲ, ὀργισθείης.]

855. ὀστρακίνδα : Βουληθείης αὐτὸν ἐξοστρακίσαι, τουτέστιν ἐξορίσαι. Θ. ἔστι μὲν ὄνομα παιδιᾶς. θέλει δὲ εἰπεῖν, θελήσειας αὐτὸν ἐξοστρακισθῆναι. ὁ δὲ τρόπος τοιοῦτος τοῦ ἐξοστρακισμοῦ. προεχειροτόνει ὁ δῆμος ὄστρακον εἰσφέρειν, καὶ ὅταν δόξῃ, ἐφράττετο σανίσιν ἡ ἀγορὰ καὶ κατελείποντο εἴσοδοι δέκα. δι' ὧν εἰσιόντες κατὰ φυλὰς ἐτίθεσαν ὄστρακον, ἐντιθέντες τὴν ἐπιγραφήν. ἐπεστάτουν δὲ οἵ τε θ' ἄρχοντες καὶ ἡ βουλή. ἀριθμηθέντων δὲ [ὧν πλεῖστα γένοιτο καὶ μὴ ἐλάττω] ἑξακισχιλίων, τοῦτον ἔδει ἐν δέκα ἡμέραις μεταστῆναι τῆς πόλεως· εἰ δὲ μὴ γένοιτο ἑξακισχίλια, οὐ μεθίστατο. οὐ μόνον δὲ Ἀθηναῖοι ὠστρακοφόρουν, ἀλλὰ καὶ Ἀργεῖοι καὶ Μιλήσιοι καὶ Μεγαρεῖς. σχεδὸν δὲ οἱ χαριέστατοι πάντες ὠστρακίσθησαν, Ἀριστείδης, Κίμων, Θεμιστοκλῆς, Θουκυδίδης, Ἀλκιβιάδης. μέχρι δὲ Ὑπερβόλου ὀστρακισμὸς προελθὼν ἐπ' αὐτοῦ κατελύθη, μὴ ὑπακούσαντος τῷ νόμῳ διὰ τὴν ἀσθένειαν τὴν γεγενημένην τοῖς τῶν Ἀθηναίων πράγμασιν ὕστερον. [παροξῦναι δὲ δεῖ τὸ ὀστρακίνδα καὶ πάντα τὰ τοιαῦτα ἐπὶ παιδιᾶς τασσόμενα.]

857. εἰσβολὰς : Τὰ σιτοφυλάκια, τὰς ἀποθήκας παραλάβοιεν φθάσαντες. ἢ εἰσβολὰς ὡσεὶ ἔλεγε τῆς χώρας. εἰσβολὰς δὲ ἔλεγον τοὺς τόπους δι' ὧν εἰσέβαλλον οἱ πολέμιοι.

858. ἔχουσι γὰρ πόρπακας : Ὡς δέον τὰς ἀνατιθεμένας ἀσπίδας μὴ ἔχειν πόρπακας, ὑπὲρ τοῦ μὴ ἐξεῖναι τοῖς ἐπιχειροῦσι κατὰ τοῦ δήμου ἐξ ἑτοίμου χρήσασθαι ταῖς ἀσπίσι.

859. κρουσιδημῶν : Ἀντὶ τοῦ, κρούων τῇ βοῇ. ἐλυμαίνου τὸν δῆμον ἀπατῶν καὶ παρακρουόμενος τῇ βοῇ. ἔστι γὰρ παράκρουσις μέτρον, ὃ λέγεται ἐπὶ τῶν τοῖς μέτροις παραλογιζομένων, [καὶ παρακρούσασθαι, ἀνατρέψαι. καὶ παράκρουσιν, ἐξαπάτην, ἐμπαιγμόν.]

863. [ἐν τῇ πόλει ξυνιστάμενον : Οὐδὲν τῶν κατὰ τῆς πόλεως λογιζομένων καὶ ὁμοῦ ἱσταμένων.]

865. καταστῇ : Κατάστασιν λάβῃ, ἐν εὐδίᾳ ᾖ. ἐπειδὴ καὶ ἐγχέλεις μὴ δυνάμεναι νήχεσθαι, ἐν τῇ ἰλύϊ εἰσίν. οἱ οὖν θηρεύοντες τὸ ὕδωρ ταράττοντες ἀγρεύουσι τὰς ἐγχέλεις.

872. ζεῦγος πριάμενος : Πλείονα εὔνοιαν ἔδειξεν ὅτι καὶ πριάμενος ἔδωκεν, ὁ δὲ ἔχων προῖκα οὐ δέδωκεν. οὐδ' εἴ τι χρήσιμον ἔχει, τῇ πόλει χαρίζεται.

874. τοῖσι δακτύλοισι : Πρὸς τὸ μὴ πταίειν διὰ τὰς ἐμβάδας. ἅμα δὲ καὶ τοῖς δακτύλοις τῶν χειρῶν, διὰ τὸ μὴ κλέπτειν.

877. τὸν Γρύττον ἐξαλείψας : Οἱ μὲν ἀντὶ τοῦ, τὸ τυχὸν τῆς πορνείας ἐξαλείψας. παρὰ τὸν ἐν τοῖς ὄνυξι ῥύπον, ὃν λέγουσι γρῦ. οἱ δὲ Γρύττον τινὰ ἐπὶ κιναιδίᾳ διαβάλλουσι. τῶν ἐπὶ μαλακίᾳ γὰρ διαβαλλομένων ὁ Γρύττος. Ἄλλως. ὑγρόν τινα καὶ κατωφερῆ, ὃς διὰ τὴν πολλὴν ὑγρότητα ἐν τοῖς ἑταιρείοις διέτριβεν. ὁ δὲ Κλέων δημαγωγῶν θάνατον αὐτῷ ἐπέθηκε τὴν ζημίαν.

878. πρωκτοτηρεῖν : Πρωκτὸν ἐπιτηρεῖν τῶν πορνευομένων.

880. ἵνα μὴ ῥήτορες : Ἀπείρητο γὰρ τοῖς τοιούτοις ἀγορεύειν. διαβάλλει δὲ τοὺς ῥήτορας ὡς τοιούτους.

882. ἀμφιμασχάλου : Χειριδωτοῦ ἱματίου. οἱ δὲ δουλικοῦ. [Ἄλλως. μικροῦ χιτωνίσκου. ἦν δὲ καὶ ἑτερομάσχαλος ὁ τῶν ἐργατῶν, οὗ τὴν μίαν μασχάλην ἔρραπτον.] Ἄλλως. ἑκατέρωθεν ἔχοντος χειρῖδας οὐ μακράς, ἀλλ' ἕως τῶν μασχαλῶν.

883. [ἀλλ' ἐγώ σοι : Παρεπιγραφή. δίδωσι γὰρ αὐτῷ χιτῶνα.]

686. οὐ μεῖζον εἶναι φαίνεται : Ὅτι σοφίας δόξαν ἀπηνέγκατο ὁ Θεμιστοκλῆς, σαφηνίσας Ἀθηναίοις τὸν δοθέντα χρησμὸν

τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεύς.

ἄλλων γὰρ ἄλλα λεγόντων, Θεμιστοκλῆς ἔφη τὰς τριήρεις λέγειν ξύλινον τεῖχος. [καὶ τὸν Πειραιᾶ δὲ τειχίσας, ὡς εἴρηται, καὶ τὰ μακρὰ τείχη ποιήσας τὰ διήκοντα ἀπὸ τῆς πόλεως μέχρι τοῦ Πειραιῶς, ἐπὶ πλέον ἔδοξε σοφός.]

887. πιθηκισμοῖς : Ἀπάταις καὶ κολακεύμασιν. Ἄλλως. μιμήμασιν. ὡς καὶ αὐτοῦ ταῦτα πεποιηκότος.

[περιελαύνεις : Γράφεται παρελαύνεις.]

888. ὅταν χεσείῃ : Οἱ ἀνιστάμενοι ἐκ τῶν συμποσίων πρὸς τὸ ἀποπατῆσαι πολλάκις τοῖς ἀλλοτρίοις ὑποδήμασι χρῶνται ἤτοι σπεύδοντες ἢ ἀγνοοῦντες ὑπὸ τῆς μέθης.

891. προσαμφιῶ τοδί : Πρὸς οἷς ἔχει ἐνδύσω. παρεπιγραφὴ δέ· δίδωσι γὰρ αὐτῷ ὁ Κλέων χιτῶνα.

892. βύρσης κάκιστον : Ἀηδισθεὶς ὁ Δῆμος καὶ μυσαττόμενος τὴν ὀσμὴν τοῦ βυρσοδέψου ταῦτά φησι.

894. τὸν καυλὸν οἶσθ' ἐκεῖνον : Τὴνρίζαν τοῦ σιλφίου. σίλφιον δὲ [ῥίζα κατά τινας ἡδύοσμος ἐν Λιβύῃ γινομένη, ἀρτυτικὴ καὶ θεραπευτική. καλλίστη δὲ ἡ Κυρηναϊκή. ὅτι τῷ ὀπῷ καὶ τῇ ῥίζῃ καὶ τῷ καυλῷ τοῦ σιλφίου ἐχρῶντο. Ἄλλως.] φυτάριόν ἐστι κάκοσμον. Ἀριστταῖος δὲ ὁ Ἀπόλλωνος καὶ Κυρήνης πρῶτος τὴν ἐργασίαν τοῦ σιλφίου ἐξεῦρεν ὥσπερ καὶ τοῦ μέλιτος.

895. τὸν ἄξιον γενόμενον : Ὅτι καὶ νῦν εὔωνον καὶ ὀλίγης τιμῆς πιπρασκόμενον οἶδα μέντοι : Ὅτι καὶ τῷ ὀπῷ καὶ τῇ ῥίζῃ καὶ τῷ καυλῷ τοῦ σιλφίου ἐχρῶντο.

898. οἱ δικασταί : Οἱ ἡλιασταί. τὸ μέγα δὲ δικαστήριον ἐν τῇ Ἀττικῇ Ἡλιαία, καὶ οἱ δικασταὶ ἡλιασταί.

899. κόπριος : Κηπουρὸς, παρὰ τὴν κόπρον. Ἄλλως. νῆσος τῆς Ἀττικῆς. ἢ τὸν κοπρολόγον λέγει.

901. Πυρράνδρου : Ἀπὸ τοῦ Πυρρίου ἔπαιξε τὸ ὄνομα. ἦν δὲ οὗτος ὁ Πύρρανδρος πονηρὸς καὶ συκοφάντης. βωμολογεύμασι δὲ, κακουργήμασι, κολακεύμασιν, ἢ ἀπάταις. βωμολόχοι δέ εἰσιν οἱ περὶ τοὺς βωμοὺς λοχῶντες [καὶ κρυφίως ὑποκαθήμενοι, ἐπὶ τῷ ἁρπάζειν τὰ ἐπιτιθέμενα θύματα. τοῦτο δ' ἡμῖν πλεονάκις ἴσως τοῦ δέοντος εἴρηται. θεὸν δὲ τὴν Ἀθηνᾶν ἀκουστέον].

905. μισθοῦ τρύβλιον : Ὀξύβαφον. ἀντὶ τοῦ εἰπεῖν ὀσπρίου, ἢ ἄλλου τινὸς προσφαγίου, μισθοῦ εἶπε διὰ τὸν δικαστικὸν μισθόν.

906. κυλίχνιον : Ἔκπωμα. ὃ νῦν λέγουσι πυξίδιον. ἔχουσι δὲ οἱ ἰατροὶ τὰ πυξίδια, ἐν οἷς προσβάλλουσι τὰ πάσματα.

909. κέρκον : Τὴν οὐράν. ἁπαλὸν δὲ καὶ τρυφερὸν τὸ ἔριον τοῦ λαγωοῦ, ὥστε ἀντὶ σπόγγου χρήσασθαι διὰ τὸ ἁπαλὸν εἶναι, ὥστε τὰς λήμας περιψῆν : Ἀντὶ τοῦ καταμάσσειν, ἀποσπογγίζειν. φιλονεικεῖ δὲ ἕκαστος ὑπερβαλεῖν ταῖς δωρεαῖς.

911. ἐμοῦ μὲν οὖν : Διπλῆ καὶ εἴσθεσις εἰς ἀμοιβαῖον μέλος τῶν ὑποκριτῶν κώλων τριάκοντα διμέτρων ἀκαταλήκτων, πλὴν τοῦ παρατελεύτου μονομέτρου, συνήθως καὶ τοῦ τελευταίου ἐφθημιμεροῦς. ἐπὶ τῷ τέλει δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος.

912. τριηραρχεῖν : Ἀπειλεῖ αὐτῷ λειτουργίαν. λειτουργία γὰρ παρὰ Ἀθηναίοις. δαπανηρὸν δὲ τὸ τριηραρχεῖν. ἔδει γὰρ τὴν τριήρη πάντα ἔχειν πρὸς πόλεμον εὐτρεπῆ. ἅπερ παρεσκεύαζεν ὁ τὴν λειτουργίαν ταύτην προβληθείς. Ἄλλως. ἐπειδὴ οἱ στρατηγοὶ εἴ τινα εἶχον ἐχθρὸν, εἰς τριηραρχίαν ἐνέβαλλον, ὅπως ἂν αὐτῷ ὁ βίος ἀναλίσκοιτο. εἰ δέ τις ὑπερβαλλόντως ἀπεχθάνοιτο, παλαιὰς ναῦς αὐτῷ ἐδίδοσαν, ὅπως ἂν οἴκοθεν καινὰς ἀντ' αὐτῶν κατασκευάσῃ, καὶ πάντῃ ἄποροι ἐγίνοντο. [οὐκ ἐφέξεις δὲ, ἀντὶ τοῦ, οὐ παύσῃ. διαμηχανήσομαι δὲ, διαπράξομαι.]

919. ἀνὴρ παφλάζει : Ἐπειδὴ ἑώρα τὸν Κλέωνα κεκραγότα καὶ παφλάζοντα τῷ λόγῳ, τῇ μεταφορᾷ ἐχρήσατο ἀπὸ τοῦ χαλκείου ἐν τῷ πυρὶ κειμένου. ἐπειδὰν γὰρ ἴδωμεν τοῦτο ὑπερζέον, τῶν ὑποκειμένων ξύλων ὑφαιροῦμεν καὶ τοῦ ὕδατος, ἵνα μὴ ὑπερχυθέντος τοῦ ὕδατος τὸ πῦρ σβεσθῇ. χαριέντως δὲ ὡς μαγείρῳ. Ἄλλως. ἐντεῦθεν μετὰ τὸ κθ' κῶλον διακέκριται τοῖς προσώποις. εἰσὶ δὲ ἴσα ὅλα. καὶ ὅμοιον ποιεῖ τὸ ὅλον περιοδικόν. τὸ δὲ τελευταῖον ἑτέραν ἔχει διαίρεσιν, τὴν εἰς τρίμετρον καταληκτικόν. Ἄλλως. βράσσει καὶ τετάρακται. πεποίηται παρὰ τὸ πάφλα. τὸ δὲ ἑξῆς, ἀνὴρ παφλάζει ὑπερζέων.

921. τῶν ξύλων : [Ἐν τοῖς πλείοσι,] τῶν δετῶν. ἔδει εἰπεῖν τῶν κρεῶν. ἔστι γὰρ ἀπὸ μεταφορᾶς τῶν ἑψόντων, οἵτινες, ὅταν παφλάζῃ, τῶν ὑποκειμένων ξύλων ἀφαιροῦνται καὶ τῶν κρεῶν.

ἀπαρυστέον : Ἀφαιρετέον. τῶν ἀπειλῶν δὲ εἶπεν, ἀντὶ τοῦ εἰπεῖν τοῦ ζέματος. ἐπειδὴ τῶν ὑπερζεόντων ἀπαρύονται, ἵνα μή τι ὑπερχέηται. μαγειρικῶς δὲ καὶ ταῦτα.

922. ταυτηί : Ἴσως κρεάγραν ἔδειξεν ὡς μαγείρῳ.

924. ἱπούμενος : Θλιβόμενος ταῖς συντελείαις, ταῖς ἀπαιτήσεσι, πολλὰ εἰσφέρειν ἀναγκαζόμενος. πιεζόμενος.

926. σπεύσω σε : Σπεύσω εἰς σὲ καὶ σπουδάσω. ἐπειδὴ οἱ στρατηγοὶ, ἐχθρούς τινας ἔχοντες πένητας, ἐνέγραφον τῷ πρώτῳ τάγματι, ὅπως μὴ ἀρκοῦντες πρὸς τὰς μεγάλας ζημίας, ἄποροι γένωνται. [εὔχομαι δὲ, καταρῶμαι. τάγηνον δὲ, τήγανον. τευθὶς δὲ εἶδος ἰχθύος εὐτελοῦς. σίζον δὲ, ποιὸν ἦχον ἀποτελοῦν.]

932. Μιλησίων : Ὡς ἐκεῖθεν δωροδοκοῦντος. μέτοικοι δὲ Ἀθηναίων οἱ Μιλήσιοι.

933. ἢν κατεργάσῃ : Ἐὰν διαπράξῃ ἅπερ αὐτοῖς

ἐπηγγείλω. [(937) μεθήκοι δὲ, μετέλθοι, καλῶν σε δηλονότι.]

935. προλάβοις ἔτι εἰς ἐκκλησίαν ἐλθών. V.

941. εὖ γε νὴ τὸν Δία : Διπλῆ καὶ τοῦ χοροῦ ἐν ἐπεισθέσει. ὧν τὸ πρῶτον ἐκ τροχαϊκῆς βάσεως καὶ ἀναπαιστικῆς, καὶ ἐφθημιμερὲς ἢ Ἰωνικὸν, ἀπὸ μὲν τριμέτρου καταληκτικόν. ἀτακτότερον δὲ ἔχει τὴν τροχαϊκὴν βάσιν ἑπτάσημον. τὸ δὲ δεύτερον πενθημιμερὲς κοινὸν δακτυλικὸν καὶ ἀναπαιστικόν. ἐπίτηδες διαλελυμένως τὸν πεζὸν λόγον. ἔστι δὲ πολλὰ καὶ παρ' Εὐπόλιδι σεσημειωμένα.

943. [καί μοι δοκεῖ : Κορωνὶς ἑτέρως εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λ'. ὧν τελευταῖος

ἰδοὺ ἰδού. νὴ τὸν Δί' οὐδὲν κωλύει.

ἐπὶ τῷ τέλει κορωνίς.]

944. ἀγαθὸς πολίτης : Ὁ ἀλλαντοπώλης δηλονότι δοκεῖ μοι, φησὶ, καλὸς εἶναι πολίτης, ὁποῖος ἄλλος οὐδεὶς γένοιτο ἂν ἐν παντὶ χρόνῳ.

945. πολλοῖς τοῦ Ὀβολοῦ : Τοῖς εὐώνοις, τοῖς Ἀθηναίοις. οὕτως γὰρ λέγεται ἐπὶ τῶν πολλῶν τοῦ ὀβολοῦ πωλουμένων.

946. ἐσκορόδισας : Ἀήδισας ἢ ἐπίκρανας, ἢ ἐδρίμυξας, ἢ κλαῦσαι πεποίηκας. ἀπὸ τῶν [τὰ] σκόροδα τριβόντων.

948. ἐμοὶ ταμιεύσεις : Ὡς οὐκέτι ἐπιμελήσῃ τῶν ἐμῶν χρημάτων, οὐδὲ ταμίας μοι ἔσῃ, τουτέστι διοικήσεις τὰ πρυτανεῖα.

950. ἐμοῦ πανουργότερος : Ἑαυτὸν διαβάλλει ὁ Κλέων, ἐκείνῳ ψόγον ἐπιφέρειν βουλόμενος. [ὁ δακτύλιος δὲ, ὃν ἐφόρει τῆς ἀρχῆς ὄντα σημεῖον.]

954. δημοῦ βοείου : Παρὰ τὸν δῆμον ἐποίησε δημὸν ὀξυτόνως, ἐπειδὴ τῷ θρίῳ περιβάλλοντες τὸ λίπος ὤπτων. θρῖον δὲ τὸ τῆς συκῆς φύλλον. ὀλίγον οὖν δεῖ τῷ τόνῳ παρεγκλίνειν οὐ τὸ ὄνομα. λέγει δὲ καὶ ταῦτα, ἐπειδὴ ὡς ἀναίσθητον διαβάλλει τὸν δῆμον. Ἄλλως. λίπους βοείου. ταῦτα δὲ εἰς ἀναισθησίαν τοῦ δήμου. καὶ ἐν Σφηξὶν [40] « ἵστη βόειον δημόν. » θρῖον δὲ σκεύασμά τι μετὰ ἐγκεφάλου γινόμενον.

Θρῖον : Χόνδρος ἢ ὄρυζα ἕψεται, ἢ σεμίδαλις ἀρκούντως. εἶτα ἐπιχεῖται τὸ ὕδωρ, καὶ φυρᾶται τὸ ἡψημένον μετὰ ἁπαλοῦ τυροῦ καὶ ᾠῶν ὀλίγων. εἶτα περιλαμβάνεται φύλλοις συκίνοις ὅλον καὶ περιειλεῖται καννάβῳ ἢ παπύρῳ, ἢ λίνῳ, καὶ καθίεται εἰς ζωμὸν κρεῶν ἡψημένων, ἄχρι τοῦ λαβεῖν ἱκανὴν ἕψησιν. εἶτα ἐξαιρεῖται καὶ τῶν φύλλων περιαιρεθέντων εἰς λοπάδα νέαν ζέοντος μέλιτος ἐμβάλλεται καὶ ἕψεται. στρεφόμενον δὲ, ὅταν ἱκανῶς ἔχῃ καὶ ξανθὸν γένηται, ἐξαιρεθὲν παρατίθεται μέλιτος περιχυθέντος, ἢ ἀπὸ τοῦ ἑφθοῦ, ἢ ἀπὸ τοῦ ἄλλου. θρῖον δὲ καλεῖται ἀπὸ τῶν φύλλων τῆς συκῆς, ἅτινα οὕτω καλεῖται.

956. λάρος κεχηνὼς : Τὸν Κλέωνα λέγει διὰ τὸ ἁρπακτικόν. ἀπὸ τούτου δὲ ὡς κλέπτην τὸν Κλέωνα διαβάλλει. καὶ ὁ λάρος γὰρ ζῷόν ἐστιν ἁδηφάγον. τὴν δὲ πέτραν διὰ τὸ βῆμα τὸ ἐν τῇ πνυκί.

958. Κλεωνύμου : Ὡς δαπανηρὸν καὶ ἐν τρυφῇ ζῶντα κωμῳδεῖ καὶ διαβάλλει τὸν Κλεώνυμον καὶ ἅρπαγα. εἰπὼν γὰρ λάρος ἐπήνεγκε τὸν Κλεωνύμου.

959. παρ' ἐμοῦ δὲ τουτονὶ λαβὼν : Δακτύλιον ἄλλον δίδωσι. καὶ ἔστι παρεπιγραφή.

963. μολγὸν γενέσθαι : Φαεινὸς, μολγὸν ἀντὶ τοῦ τυφλόν. Ἡρόδοτος δὲ ἱστορεῖ τοὺς Μολγοὺς τούτους ἐπάνω τῆς Σκυθίας εἶναι. Ἄλλως. πένητα, παρὰ τὸ ἀμέλγεσθαι καὶ ζημιοῦσθαι. Ἄλλως. Σύμμαχος· ἔοικε χρησμός τις εἶναι. ἐν γὰρ τοῖς Γεωργοῖς οὕτως ἔχει

ὅτῳ δοκεῖ σοι δεῖν μάλιστα τῇ πόλει.
ἐμοὶ μὲν ἐπὶ τὸν μολγὸν εἶναι οὐκ ἀκήκοας.

Ἐρατοσθένης· μολγὸν καὶ ἀμολγὸν τὸν αὐτόν. ἀμολγοὺς δὲ παρὰ τούτοις φησὶ λέγεσθαι τοὺς ἀμέλγοντας τὰ κοινά. Ἡσίοδος δὲ [Op. 588] « μᾶζά τ' ἀμολγαίη. » οἱ δὲ, ἀντὶ τοῦ ἀκμαῖον. παρὰ δὲ τοῖς κωμικοῖς μόλγης ὁ μοχθηρὸς, ὥσπερ γόης. οὕτω Σωκράτης. Ἄλλως. μολγὸν τινὲς μὲν γλαυκὸν, οἱ δὲ τὸν βραδύν. οἷον, ἀμολγὸν καὶ κλέπτην τῶν δημοσίων. μολγοὺς γὰρ ἔλεγον τοὺς ἐξαμέλγοντας καὶ κλέπτοντας τὰ κοινά.

964. μέχρι τοῦ μυρρίνου : Μέχρι τῆς κεφαλῆς. ἐπειδὴ οἱ ἄρχοντες μυρρίνῃ ἐστεφανοῦντο. ἢ ἀπὸ τοῦ ἐσκολύφθαι τὸ αἰδοῖον εἰς τέλος καὶ ὁλόκληρον. μύρτον δὲ πεποικιλμένον ἐκάλουν οἱ παλαιοὶ τὸ γυναικεῖον αἰδοῖον.

967. ἁλουργίδα : Πορφυρᾶν χλανίδα. ἐπειδὴ τὸ ῥόδον πορφυροῦν, τῷ στεφάνῳ τῶν ῥόδων τὴν ἁλουργίδα ἐπήνεγκεν.

968. [κατάπαστον : Κατάπαστος, κατάμεστος, πλήρης, καταπεποικιλμένος. στεφάνην : Τὸν στέφανον· σημαίνει δὲ καὶ ὄρους ἐξοχήν. *Victor.*]

969. χρυσοῦ διώξεις : Τῷ διώξεις ἔχοντι λόγον πρὸς τὰ προκείμενα ἐπήνεγκε παρὰ τὴν φωνὴν τὸ διώξεις Σμικύθην καὶ κύριον, ὥσπερ ἐν ταῖς εἰσαγωγαῖς τῶν ἐγκλημάτων κηρύττειν εἰώθασιν, ἐπειδὰν γυναικὶ ἐπιφέρηται ἔγκλημα. οὕτω γὰρ προκαλεῖσθαι εἰώθασιν ἐν τῷ δικαστηρίῳ, ἡ δεῖνα καὶ ὁ κύριος, τουτέστιν ὁ ἀνήρ. ἅμα οὖν ὡς γυναικώδη τὸν Σμικύθην κωμῳδεῖ καὶ ἔχοντα κύριον ὡς αἱ θήλειαι. ὁ δὲ Σμικύθης Θρᾳκῶν βασιλεύς. Κύριον δὲ ἀντὶ τοῦ Κύρου τοῦ Ἀρταξέρξου τοῦ Περσῶν βασιλέως, ὃς κατ' ἐκείνους τοὺς χρόνους τῆς Λυδίας πεμφθεὶς σατραπεύειν, Λακεδαιμονίοις προσθεμένοις εἰς πόλεμον τὰ πρὸς Ἀθηναίους ἐχορήγησε χρήματα. Ἄλλως. τὸν Σμικύθην κωμῳδεῖ ὡς κίναιδον. κύριον δὲ λέγει τὸν ἄνδρα, οὕτω γὰρ ἐπεγράφοντο ἐν τοῖς δικαστηρίοις, Ἀσπασία καὶ κύριος, τουτέστιν ὁ Περικλῆς.

973. ἥδιστον φάος : Κορωνίς. ἐξίασι γὰρ ὑποκριταί. καὶ ἐν εἰσθέσει τοῦ χοροῦ ἓξὰς μονοστροφικὴ τετράκωλος οὖσα τὰς περιόδους ἐκ τριῶν γλυκωνείων [ποτὲ μὲν

ἐξ ἐπιτρίτου, ποτὲ δὲ διτροχαίου, ἐν δὲ τῷ γ' καὶ χοριάμβου καὶ διιάμβου], καὶ τοῦ φερεκρατείου. συνῆπται δὲ τῇ λέξει καὶ μόνον διακέκριται τὸ φερεκράτειον. [ἐφθημιμερὲς δέ ἐστιν ἐξ ἐπιτρίτου τετάρτου, ἢ διτροχαίου, καὶ βακχείου συγκείμενον.] παράγραφοι δὲ ἁπλαῖ μὲν πέντε, ἡ δὲ ς' καὶ μετὰ κορωνίδος. [ταῦτα δὲ παρὰ τὰ Εὐριπίδου.]

975. τοῖσιν ἀφικνουμένοις : Ἢ τοῖς μετὰ ταῦτα ἐσομένοις. ἢ καὶ τοῖς ἐπιδημοῦσι τῶν ξένων, ἵν' ἐπιδεικνύῃ τὸν Κλέωνα κἀν τούτῳ πονηρὸν, ὅτι μηδὲ τούτων φείδεται, ἀλλ' ἐπίσης ἅπαντας συκοφαντεῖ.

979. ἐν τῷ δείγματι τῶν δικῶν : Σύμμαχος· σκέψασθε τί δή ποτέ ἐστι τὸ δεῖγμα τῶν δικῶν. παρεῖται γάρ, φησὶν, εἰ μὴ τὸ δεῖγμα τόπος ἐστὶν ἐν Πειραιεῖ, ἔνθα πολλοὶ συνήγοντο ξένοι καὶ πολῖται καὶ ἐλογοποίουν. τὸ δὲ τῶν δικῶν προσέθηκεν, ἵνα διαβάλλῃ τὸ φιλόδικον τῶν Ἀθηναίων. Ἄλλως. ἐν τῷ Πειραιεῖ, ὅπου δικάζουσιν. ἐπεὶ ἐκεῖ οἱ ἔμποροι τὰ δείγματα τῶν πωλουμένων ἐτίθεσαν. ἅμα δὲ ἔσκωψε τὸ φιλόδικον τῶν Ἀθηναίων.

984. δοῖδυξ : Παροιμία, δοῖδυξ αὔξει, ἐπὶ τῶν λίαν μικρῶν. ταῦτα δὲ ὡς πρὸς τὸν Κλέωνα πάντα. τορύνη δὲ τὸ κινητήριον τῆς χύτρας. τῆς ὁμουσίας δὲ, τῆς χοιρωδίας, τῆς ἀπαιδευσίας. — κουτάλη. V.

988. οἱ ξυνεφοίτων : Οἱ συμμαθόντες.

989. τὴν Δωριστὶ : Τῷ ὀνόματι παίζει διὰ τὸ δωροδοκεῖσθαι. διαβάλλει οὖν αὐτὸν ὡς κλέπτην καὶ δωροδοκούμενον. Δώριος δὲ οὕτω καλεῖται μία τῶν ἁρμονιῶν, ὡς καὶ Λύδιος καὶ Φρύγιος καὶ Βοιώτιος. Ἄλλως. οὐδεμίαν ἁρμονίαν ἄλλην θέλει μαθεῖν, μόνην δὲ τὴν τοῦ δωροδοκεῖν ἐπώνυμον.

994. ὡς ἁρμονίαν : Ἁρμονίαν οἱ μουσικοὶ καλοῦσι τὸ εὖ καὶ ἐπισταμένως εἶναι τὰς νευρὰς ἐν τοῖς κρούμασι τῶν ᾀσμάτων. ἐν ἤθει οὖν ταῦτά φησιν, ὅτι Κλέων ἑτέραν μουσικὴν οὐ μετεχειρίζετο, οὐδὲ μανθάνειν ἐβούλετο, ταύτης δὲ μόνης ἀντεποιεῖτο [τῆς Δωρίου διὰ τὴν αὐτοῦ δωροδοκίαν καὶ ἔμπειρος ἦν].

997. ἰδοὺ θέασαι : [Κορωνὶς εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ καὶ δακτυλικοὶ ἐννενήκοντα ἕξ. ὧν προτίθενται στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ιζ'. τὸ γὰρ ιε' δίμετρόν ἐστιν ἀκατάληκτον. ἐπὶ τῷ τέλει παράγραφος. περὶ δὲ τῶν ἑξῆς ἐν ἑκάστῃ περιόδῳ εἰρήσεται.] ὁ δὲ Κλέων ἕξεισιν ἐπὶ τῶν μεταφρένων ἀγγεῖον φέρων πεπληρωμένον χρησμῶν, καὶ λέγει ὅτι τοσοῦτον ἄχθος βαστάζων, ὅμως ἅπαντας ἐξάγειν οὐκ ἠδυνήθην τοὺς χρησμούς. καὶ ὁ ἕτερος ὁμοίως τὸ αὐτὸ ποιεῖ. τοῦτο γὰρ ἐπηγγελμένοι εἰσῆλθον ἐξοίσειν τοὺς χρησμοὺς, οὓς ἔχουσι περὶ τοῦ δήμου.

998. ὑπὸ τοῦ βάρους τῶν βιβλίων τῶν τοὺς χρησμοὺς ἐχόντων χεσεῖω φησίν. ὡς δὲ ἔνδον καὶ ἄλλων ὄντων χρησμῶν τὸ οὐχ ἅπαντας ἐκφέρειν φησίν. Ven., Θ.

1001. ξυνοικία δύο : Δυϊκῶς ἐπήγαγε τὰ ξυνοικία. λέγονται δὲ ξυνοικίαι καὶ αἱ μικραὶ οἰκίαι καὶ ἀποστάσεις, ἃς οὓς νῦν φανόπτας φαμέν. — ὑπερῷον : Ἀνώγαιον. *Vict.*

1004. Γλάνιδος : Ἔπαιξε πρὸς τὴν κατάληξιν τὸν Βάκιν καὶ τὸν Γλάνιν εἰπών. ἔστι δὲ εἶδος ἰχθύος ὁ γλάνις. [γεραιτέρου δὲ, συνετωτέρου.]

1008. περὶ σκόμβρων : Εἶδος ἰχθύων οἱ σκόμβροι παρόμοιοι τοῖς μικροῖς θύννοις. νέων δὲ, νεωστὶ τεταριχευμένων. [ἔπαιξε δὲ ὡς μάγειρος.]

1013. ὡς ἐν νεφέλῃσιν αἰετὸς : Ἐγένετο χρησμὸς τοῖς Ἀθηναίοις ἐπὶ τοῦ δήμου αὐτῶν λεγόμενος

> εὐδαιμον πτολίεθρον Ἀθηναίης ἀγελείης,
> πολλὰ ἰδὸν καὶ πολλὰ παθὸν καὶ πολλὰ μογῆσαν,
> αἰετὸς ἐν νεφέλῃσι γενήσεαι ἤματα πάντα.

οἷον, βασιλεὺς μέγας ὑπερέξεις ἁπάντων ὥσπερ ἀετὸς τῶν ὀρνέων. τούτου δὲ τοῦ χρησμοῦ οὐ μόνον ἐνταῦθα, ἀλλὰ καὶ ἐν Ὄρνισι [979] καὶ ἐν Δαιταλεῦσι μέμνηται.

1014. [ἄκουε δὴ νῦν : Ὁ πρῶτος στίχος ἐνταῦθα ἰαμβικὸς τρίμετρος ἀκατάληκτος. οἱ δὲ ἑξῆς ς' δακτυλικοὶ ἑξάμετροι καταληκτικοί. ἐπὶ τῷ τέλει παράγραφος.]

1016. ἐριτίμων ἀπὸ τριπόδων : Ἐφ' ὧν ἐκαθέζετο ἡ πρόμαντις. ἐριτίμων δὲ, πάνυ τιμίων. τὸ γὰρ ἐρι ἐπίρρημά ἐστιν ἐπιτάσεως, ὡς τὸ ἐριβώλακα, καὶ ἐριαυδέα, τὴν μεγάλως ἔνδοξον. σώζεσθαι δὲ, σώζειν καὶ περὶ πολλοῦ ποιεῖσθαι.

1018. γράφεται λάσκων. πρὸ σοῦ ἢ ὑπὲρ σοῦ ὑλακτῶν. Ven.

1019. [κἂν μὴ δρᾷ ταῦτα : Κἂν μὴ ποιήσῃ ταῦτα ὁ κύων, ἀπολεῖται.]

1020. κατακράζουσι : Καταθορυβοῦσιν. ἰδίως δὲ νῦν ἐπὶ ὀρνέων τὸ κράζειν ἀντὶ τοῦ κρώζειν. Ἄλλως. οἱ ἄλλοι ῥήτορες κράζουσι καὶ θορυβοῦσι.

1021. [ταυτὶ μὰ τὴν Δήμητρα : Οἱ ἑξῆς τῶν εἰρημένων οὗτοι στίχοι ἰαμβικοί εἰσι τρίμετροι ἀκατάληκτοι ἐννέα. ἐπὶ τῷ τέλει παράγραφος. πρὸ σοῦ δὲ ἀπύω, ἀντὶ τοῦ, ὑπὲρ σοῦ ὑλακτῶ.]

1026. ὥσπερ θύρας σου : Οἱ γὰρ ἀποκλειόμενοι κύνες τὰς θύρας περιεσθίουσι, βουλόμενοι ἑαυτοῖς ποιῆσαι ἔξοδον. [ὁ χρησμὸς δ' ὁ περὶ τοῦ κυνὸς, ἀντὶ τοῦ, ὁ ἐν τῷ χρησμῷ κύων. ἐν ἐκθέσει δὲ στίχοι ε' δακτυλικοί. ἐφ' ὧν τῷ τέλει παράγραφος.]

1028. γράφεται ἐγὼ δέ. ὁ ἐν τῷ χρησμῷ κύων. V.

1030. ἀνδραποδιστὴν : Σωματέμπορον, τοὺς ἐλευθέρους καταδουλούμενον.

1031. ὃς κέρκῳ σαίνων : Τῇ οὐρᾷ σαίνων, οἷον, ὑποτρέχων καὶ κολακεύων. ἔπαιξε δὲ παρὰ τὴν παροιμίαν

> σαίνεις δάκνουσα καὶ κύων λαίθαργος εἶ.

ἐπὶ τῶν ὑποχρινομένων δῆθεν εὐνοεῖν, ἐπιβουλευόντων δὲ λάθρα. [ἐξέδεται δὲ, ἐκτρώγει. τοὖψον δὲ, τὸ βρῶμα. ἄλλοσε δὲ χάσκῃς, ἀντὶ τοῦ, περὶ ἄλλα τὴν διάνοιαν ἔχῃς.]

1033. ἐς τοὐπτάνιον : Ἀντὶ τοῦ ἐπὶ τὸ πρυτανεῖον εἰπεῖν, εἶπεν εἰς τοὐπτάνιον, τουτέστιν εἰς τὸ μαγειρεῖον.

1034. νύκτωρ τὰς λοπάδας : Ὅτι τοὺς φόρους τῶν νήσων καὶ τῶν πόλεων ἀφήρπαζεν. ὡς οἱ κύνες οἱ εἰς τὰ μαγειρεῖα εἰσιόντες περιλείχουσι τὰς λοπάδας καὶ τὰς χύτρας, οὕτως καὶ ὁ Κλέων, ἐάν τι τοῖς νησιώταις περιλειφθῇ, καὶ τοῦτο λαμβάνει. Ἄλλως. ἔπαιξε πρὸς τὸ γινόμενον ὑπὸ τῶν κυνῶν. οὗτοι γὰρ ἁρπάσαντές τι εἰώθασιν εἰς τοὺς ἡσυχίαν ἔχοντας τόπους ἀναχωρήσαντες ἐμφορεῖσθαι.

καὶ τὰς νήσους διαλείχων : Ὅτι ἀντὶ τοῦ εἰπεῖν τὰς χύτρας, παρ' ὑπόνοιαν εἶπε τὰς νήσους, τουτέστι τοὺς τῆς πόλεως πόρους διαρπάζων καὶ τοὺς νησιώτας διασείων.

1035. [νὴ τὸν Ποσειδῶ : Πρὸς τὸν ἀλλαντοπώλην ὁ λόγος. τῶν δ' ἑξῆς τούτων ἓξ στίχων ὁ μὲν α', β' ἰαμβικοί. οἱ δὲ λοιποὶ τέσσαρες δακτυλικοί. ἐπὶ τῷ τέλει παράγραφος.]

1038. κώνωψι : Τοῖς ῥήτορσιν. ἤγουν τοῖς Μήδοις λέγει.

1039. ὥς τε περὶ σκύμνοις : Ὡς λέων ὑπερμαχῶν σκύμνων.

1040. τεῖχος ποιήσας ξύλινον : Τὰς ναῦς φησι. μετέστησαν δὲ τότε εἰς Σαλαμῖνα. οὗτος δὲ ὁ χρησμὸς ἐπιόντος τοῦ βαρβάρου ἐδόθη. ἀγνοούντων δὲ αὐτῶν καὶ βουλομένων ξυλίνῳ τειχίσαι τὴν πόλιν τείχει, Θεμιστοκλῆς ὁ στρατηγὸς νοήσας τὸν χρησμὸν, εἶπε τεῖχος τὰς ναῦς λέγειν. ἐστὶ δὲ ὁ χρησμὸς

τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεὺς
[μοῦνον ἀπόρθητον τελέειν διὰ Παλλάδα κούρην.
μὴ δὲ σύ γ' ἱπποσύνην μενέειν καὶ πεζὸν ἰόντα,
νῶτον ἐπιστρέψαις, ἔτι γάρ τοι κἀντίος ἔσται.
ὦ θεία Σαλαμὶς, ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν,
ἤπου σκιδναμένης Δημήτερος ἢ συνιούσης.

πύργους σιδηροῦς : Τὰ ὅπλα λέγει.]

1041. [ταῦτ' ἴσθ' ὅτι : Ἐν ἐκθέσει ἰαμβοι τρίμετροι ἀκατάληκτοι δέκα. ἐφ' ὧν τῷ τέλει παράγραφος.]

1044. Ἀντιλέων : Οὗτος πονηρὸς κωμῳδεῖται καὶ πολυπράγμων. προειρήκει δὲ ὁ Κλέων ἀντὶ τοῦ λέοντος αὐτῷ εἶναι φύλαξ.

1046. σιδηροῦν τεῖχός ἐστι καὶ ξύλινον : Ἀντὶ τοῦ ἐκ ξύλων σιδηρῶν. — γράφεται καὶ ξύλινον. V. οὕτως τὸ ἑξῆς. [σώζειν δὲ, φυλάττειν. (1050) τελεῖσθαι δέ φησι τὰ λόγια ὡς αὐτὸν δεσμεῦσαι βουλόμενος.]

1049. πεντεσυρίγγῳ : Πέντε ὀπὰς ἔχοντι, δι' ὧν οἵ τε πόδες καὶ αἱ χεῖρες καὶ ὁ τράχηλος ἐνεβάλλετο. — λέγει δὲ τὴν ποδοκάκην. Θ.

1050. ἀντὶ τοῦ ἤδη δεσμεύσω αὐτόν. Θ.

1051. [μὴ πείθου : Οἱ ἑξῆς οὗτοι στίχοι δακτυλικοί εἰσι δέκα. ὧν ἐπὶ τῷ τέλει παράγραφος. κορώνας δέ φησι τοὺς ἐχθροὺς, ἑαυτὸν ἱέρακα. κορακῖνος δὲ εἶδος ἰχθύος. ἔπαιξε δὲ ἀντὶ τοῦ κούρους.]

1053. συνδήσας Λακεδαιμονίων : Πάλιν τὴν ἀναφορὰν ποιεῖται ἐπὶ τὴν Πύλον καὶ τὴν Σφακτηρίαν καὶ τοὺς αἰχμαλώτους τοὺς τ', οὓς ἔλαβε Δημοσθένης ἐπὶ Σικελίαν ἀπιών, ἤγαγε δὲ Κλέων.

1054. παρεκινδύνευσε : Πέρυσι γὰρ ὑπέσχετο τοῖς Ἀθηναίοις ὁ Κλέων κατορθῶσαι τὸν ἐν τῇ Πύλῳ πόλεμον ἕως ἡμερῶν κ'. καὶ θαυμάσαντες πάντες ἔλεγον αὐτὸν μεθύειν. καὶ Θουκυδίδης δέ φησιν [4, 28], ὅτι τῇ ἀπονοίᾳ τῆς ὑποσχέσεως ἐθαύμαζον οἱ Ἀθηναῖοι καὶ ἐγέλων.

1055. Κεκροπίδη : Ἀπὸ Κέκροπος τοῦ διφυοῦς τὸ γένος κατάγων.

1056. καί κε γυνὴ φέροι : Ἡ ἱστορία τοῦτον τὸν τρόπον ἔχει. ὅτι διεφέροντο περὶ τῶν ἀριστείων ὅ τε Αἴας καὶ ὁ Ὀδυσσεὺς, ὥς φησιν ὁ τὴν μικρὰν Ἰλιάδα πεποιηκώς. τὸν Νέστορα δὲ συμβουλεῦσαι τοῖς Ἕλλησι πέμψαι τινὰς ἐξ αὐτῶν ὑπὸ τὰ τείχη τῶν Τρώων, ὠτακουστήσοντας περὶ τῆς ἀνδρείας τῶν προειρημένων ἡρώων. τοὺς δὲ πεμφθέντας ἀκοῦσαι παρθένων διαφερομένων πρὸς ἀλλήλας. ὧν τὴν μὲν λέγειν ὡς ὁ Αἴας πολὺ κρείττων ἐστὶ τοῦ Ὀδυσσέως, διερχομένην οὕτως,

Αἴας μὲν γὰρ ἄειρε καὶ ἔκφερε δηϊοτῆτος
ἥρω Πηλείδην, οὐδ' ἤθελε δῖος Ὀδυσσεύς.

τὴν δ' ἑτέραν ἀντειπεῖν Ἀθηνᾶς προνοίᾳ

πῶς ἐπεφωνήσω; πῶς οὐ κατὰ κόσμον ἔειπες
ψεῦδος;

τοῦτο δὲ, ἵνα δείξῃ ὡς Δημοσθένους, οὐ τοῦ Κλέωνος τὸ κατόρθωμα. Ἄλλως. τοῦτο ἐκ τοῦ Κύκλου ἀφείλκυσται. λέγεται δὲ ἀπὸ τῶν Τρῳάδων, κρινουσῶν τὸν Αἴαντα καὶ τὸν Ὀδυσσέα. λέγεται δὲ, ὅτι οὐ τὸ τοῦ Αἴαντος ἔργον, ἀλλὰ τὸ τοῦ Ὀδυσσέως. ταῦτα δὲ λέγει διὰ τὰ ἐν Πύλῳ, ἃ Δημοσθένης μὲν προήνυσεν, οὗτος δὲ ἰδιοποιήσατο.

1058. πρὸ Πύλοιο Πύλον : Πρὸς τὴν κατάληξιν ἔπαιξεν, ὅτι ἀεὶ προσκορής ἐστι περὶ Πύλου λέγων.

1059. ἔστι Πύλος : Τοῦτο χρησμός ἐστιν

ἔστι Πύλος πρὸ Πύλοιο, Πύλος γε μέν ἐστι καὶ ἄλλη.

1060. τὰς πυέλους : Ἤγουν τὰς ἐμβάσεις. πύελος γὰρ ὄρυγμα, ἐμβατὴ, ἔνθα ἀπολούονται. ἀντὶ τοῦ, τὴν ἐν Πύλῳ πρᾶξιν Δημοσθένους.

1066. ὁ μισθὸς ἀποδοθήσεται : [Ὡς τοῦ Κλέωνος ἀποστεροῦντος. ἐν ἐκθέσει δ' ἰαμβοι ἕξ. ἐπὶ τῷ τέλει παράγραφος.] ἔπαιξε δὲ τῷ ὀνόματι, διὰ τὸ συνεχῶς τῆς Πύλου μεμνῆσθαι τὸν Κλέωνα.

1067. Αἰγείδη φράσσαι : Ἐν ἐκθέσει ἐπικοὶ τρεῖς. [ἐπὶ τῷ τέλει παράγραφος.] ἀπὸ δὲ τῶν β' ζῴων διαβάλλει τὸν Κλέωνα, ὡς ἀναιδῆ καὶ πανοῦργον.

[μή σε δολώσῃ : Μή σε δόλῳ ὑπέλθῃ.]

1068. λαίθαργον : Λαίθαργοι κύνες λέγονται αἱ λάθρα προσιοῦσαι καὶ δάκνουσαι. πολύϊδριν δὲ, ὅτι πολύπειροι αἱ ἀλώπεκες. καὶ παροιμία

πόλλ' οἶδ' ἀλώπηξ, ἀλλ' ἐχῖνος ἓν μέγα.

παρὰ δὲ τὴν παροιμίαν ἔπαιξε,

σαίνεις δάκνουσα καὶ κύων λαίθαργος εἶ.

[κερδὼ δὲ ἡ ἀλώπηξ παρὰ τὴν κερδοσύνην, τουτέστι τὴν πανουργίαν, ὡς Εἰδοθέα Εἰδὼ καὶ Ὑψιπύλη Ὑψώ.]

1069. Φιλόστρατος κυναλώπηξ : Οὕτως ἐκαλεῖτο ὁ Φιλόστρατος. λέγει δὲ αὐτὸν καὶ πορνοβοσκὸν καὶ καλλωπιστήν.

1070. [οὐ τοῦτό φησιν : Οἱ ἑξῆς οὗτοι στίχοι ἰαμβικοί εἰσι τρίμετροι ἀκατάληκτοι ὀκτώ. ἑξῆς δὲ κῶλον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον. λείπεται γὰρ ὅλου ποδὸς πρὸς τὴν συζυγίαν. καὶ ἑξῆς αὖ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι δύο. ἐπὶ τῷ τέλει παράγραφος.]

ἀλλὰ ναῦς ἑκάστοτε : Τὰς ἐκπεμπομένας ἀπὸ τῶν νήσων ἀναπράττεσθαι τοὺς φόρους. οἱ δὲ ἐκπεμπόμενοι πολλὰ ἐκέρδαναν. — ἐν εἰσθέσει δὲ ἴαμβοι δέκα, σὺν οἷς προαναφωνεῖ ἅμα τὸ εἶεν. V. Θ.

1071. ταχείας ἀργυρολόγους : Πολεμίας. τὰς συλλεγούσας ἀργύριον καὶ λήμματα αὐτῷ περιποιούσας. ἐλέγοντο δὲ πάραλοι καὶ σαλαμίνιαι.

1076. ἀλωπεκίοισιν : Ὡμοίωσε, φησὶν, αὐτοὺς ἀλώπηξιν. τοῦτο δέ φησι, παρ' ὅσον παραπλέοντες οἱ νᾶυται ἐξορμῶσιν, ἔπειτα ἐπειδὰν παρίωσιν ἀμπέλους, πορθοῦσι τοὺς βότρυας διαρπάζοντες.

1078. τούτοις ὁ μισθὸς : Αἰνίττεται διὰ τούτων περὶ τῶν θεωρικῶν χρημάτων, ὅτι χρὴ μᾶλλον τοῖς στρατευομένοις αὐτὰ δίδοσθαι.

1079. καὶ τοῦτον ἡμερῶν τριῶν : Εἰώθασιν εἰς τὸν πόλεμον ἐξιόντες οἱ στρατιῶται λαμβάνειν τροφὴν ἡμερῶν τριῶν.

1080. [ἀλλ' ἔτι : Ἐν ἐκθέσει ἐπικὰ ἑκκαίδεκα. ἐπὶ τῷ τέλει παράγραφος καὶ κορωνὶς, ὡς εἴρηται. — ἐξαλέασθαι : Ἐκκλίνειν. *Vict.*]

1081. Κυλλήνην μή σε : Κυλλήνη πόλις ἐστὶ τῆς Ἀρκαδίας. δι' ὃ δὲ ἐχρήσατο τῷ ὀνόματι ὄῆλον ἀπὸ τῶν ἑξῆς, ἵνα παρονομάσῃ τὴν κυλλὴν χεῖρα, εἰς δωροδοκίαν καὶ σεισμὸν διαβάλλων τὸν Κλέωνα. οἱ γὰρ σείοντές τινας καὶ δωροδοκοῦντες κοιλαίνουσι τὴν χεῖρα, καὶ ὑποβάλλοντες ὑπὸ τὸ ἱμάτιον αἰτοῦσι.

1082. τὴν τούτου χεῖρ' : Ἐκ μεταφορᾶς τῶν παιδίων τῶν αἰτούντων καὶ κοιλαινόντων τὰς χεῖρας ἠνίξατο.

1083. ἔμβαλε κυλλῇ : Οἱ μάγειροι ἐπειδὰν πλάττωσί τι, λέγουσιν, ἔμβαλε τῇ λαιᾷ.

1085. τὴν Διοπείθους : Σεσίνωτο τὰς χεῖρας ὁ Διοπείθης καὶ ἦν κυλλὸς, [τουτέστι πεπηρωμένος. κυλλοὺς δὲ Ἀττικοὶ καλοῦσιν ἐπὶ ποδῶν καὶ χειρῶν. ὁμοίως καὶ χωλοὺς τοὺς χεῖρα πεπηρωμένους. Εὔπολις « ὅτι χωλὸς εἶ σὺ τὴν χεῖρα σφόδρα. »] κατὰ καιρὸν οὖν διαβάλλει αὐτὸν ὡς κλέπτην. ἦν δὲ καὶ Νικίου ἑταῖρος.

1086. πτερυγωτὸς : Πρὸς τὸν ἀετὸν ἐχρήσατο τῷ πτερυγωτός. χρησμὸς γὰρ ἐξέπεσε τοῖς Ἀθηναίοις, ὡς ἄρα δέοι αὐτοὺς τοσοῦτον διενεγκεῖν τῶν ἄλλων ἀνθρώπων, ὅσον ἀετὸς τῶν πτηνῶν.

1089. ἐν Ἐκβατάνοις : Ἐν τῇ βαρβάρων χώρᾳ. Σοῦσα γὰρ καὶ Ἐκβάτανα τῆς Περσίδος χώρας πόλεις. ὧν ἐν μὲν τῇ ἑτέρᾳ ἐχείμαζε βασιλεὺς ὁ μέγας, ἐν δὲ τῇ ἑτέρᾳ ἐθέριζεν. ἄρξεις οὖν, φησὶν, οὐχ Ἑλλήνων μόνον, ἀλλὰ καὶ βαρβάρων.

[λείχων ἐπίπαστα : Ἐνταῦθα δι' ἐνεστῶτος. ἐν δὲ τοῖς προφθάσασι λείξας εἶπε δι' ἀορίστου. ἐν οἷς καὶ περὶ τοῦ ἐπίπαστα διείληπται. πλακοῦσι γὰρ ἐπέπασσον ἁλμυρὰ, καὶ ἐκ τούτων ἠναγκάζοντο πίνειν πολλά.]

1091. τοῦ δήμου καταχεῖν : Ὅτι τὸ καταχεῖν οὐ πάντως ἐπὶ ὑγροῦ. ἀλλὰ καὶ τὴν ἀμβροσίαν ἐπιφέρει, ὅ ἐστι ξηρόν. ἀρύταινα δὲ, χαλκοῦν σκεῦος, ᾧ τὸ ἔλαιον ἐγχέουσιν εἰς τοὺς λύχνους.

[πλουθυγίειαν : Ἴσως αἰνίττεται τοὺς δοθέντας Μυσκέλλῳ καὶ Ἀρχίᾳ, τῷ μὲν Κρότωνα, τῷ δὲ Συρακούσας κτίζειν μέλλουσι καὶ φήμην ἀγαθὴν λαβεῖν αἰτουμένοις, οὕτως ἔχοντας χρησμοὺς,

> χώρας καὶ πόλεως οἰκήτορα λαὸν ἔχοντες
> ἦλθετ' ἐρησόμενοι Φοῖβον, τίνα γαῖαν ἵκησθε.
> ἀλλ' ἄγε δὴ φράζεσθ', ἀγαθῶν πότερόν κεν ἕλοισθε
> πλοῦτον ἔχειν κτεάνων ἢ τερπνοτάτην ὑγίειαν.

ὁ μὲν οὖν Μύσκελλος ὑγίειαν εἵλετο, Ἀρχίου πλοῦτον ἑλομένου. ὅθεν, φασὶ, Κροτωνιᾶται μὲν ὑγιεινότεροι, καὶ ἡ πόλις αὐτῶν ἀθλητῶν πολλῶν καὶ ἀγαθῶν μήτηρ ἐγένετο. καὶ τὸ Κρότωνος δὲ ὑγιέστερος ὁ γεωγράφος [Strabo 6, p. 269] φησὶν ἐντεῦθεν εἰλῆφθαι, ὡς τῶν Κροτωνιατῶν εὐρώστων ὄντων. ἡ δὲ Συρακουσίων πόλις παμπλούσιος ἐγένετο. ὧν καὶ ἡ δεκάτη ὡς πάνυ πολλὴ παροιμιάζεται. ὧν οὖν ἑκάτερον τοῖς συγχρηστηριασθεῖσι τῶν οἰκιστῶν εἰς εὐδαιμονίαν ὧν ἔμελλον οἰκίζειν πόλεων ἀποχρῆν ἔδοξεν, ἄμφω δὴ ταῦτα τὴν θεὸν ὁ ἀλλαντοπώλης ὄναρ ἐθεάσατο τῷ δήμῳ τῶν Ἀθηναίων χαριζομένην, τὸν Ἀρχίου πλοῦτον καὶ τὴν Μυσκέλλου ὑγίειαν εἰς ἓν συναγαγὼν καὶ πλουθυγίειαν συνθέμενος.]

1093. ἐκ πόλεως ἐλθεῖν : [Ἐκ τῆς ἀκροπόλεως.] γλαὺξ δὲ ἱερὸν ὄρνεον Ἀθηνᾶς, [ἐπιχωριάζον ἐν Λαυρείῳ τῆς Ἀττικῆς, ὅπου γίνονται χρυσᾶ μέταλλα. ταύτης ἡ πτῆσις εἰς νίκης σύμβολον ἐλογίζετο. ὅθεν καὶ παροιμίαι, γλαῦκας ἐς Ἀθήνας, γλαῦκες Λαυριωτικαὶ, καὶ γλαὺξ ἵπταται.] ἐντετύπωτο δὲ τῷ Ἀττικῷ χρυσῷ νομίσματι.

1094. ἀρυβάλλῳ : Πλεκτόν τι βαλλάντιον, ὅπερ ἑλκόμενον κλείεται καὶ ἀνοίγεται, παρὰ τὸ ἀρύειν καὶ βάλλειν. χεῖσθαι δὲ λέγεται οὐ μόνον ἐπὶ τῶν ὑγρῶν, ἀλλὰ καὶ ἐπὶ τῶν στερεῶν, ὡς καὶ νῦν ἐπὶ ἀμβροσίας ἔταξεν.

1096. [ἰοὺ ἰού : Ἔκθεσις τῆς κορωνίδος ἐκ στίχων ἰαμβικῶν ὧν προτίθεται τὸ παρὸν κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον. οἱ δέ εἰσι τρίμετροι ιδ'. ἐπὶ τῷ τέλει κορωνὶς ἐξιόντων τῶν ὑποκριτῶν.]

1099. γερονταγωγεῖν : Ἔπαιζε παρὰ τὸ παιδαγωγεῖν. τοῦτο δὲ λέγει ὁ δῆμος, ὡς τοῦ Κλέωνος κατεγνωσμένου. ὅλον δὲ τὸ ἰαμβικὸν παρῴδησεν ἀπὸ τοῦ Πηλέως Σοφοκλέους.

1103. καὶ Θουφάνους : Ὡς κόλακα κωμῳδεῖ τοῦτον καὶ ἀπατεῶνα, καὶ τῷ Κλέωνι συνόντα διὰ κολακείαν.

ἦν δὲ ὑπογραμματεύς. [διαμεμαγμένας δὲ πεφυρμένας. — γρ. Θεο-. Θ.]

1106. καὶ τοὖψον ὀπτόν : Καὶ τὸ ὄψον. ἐκάλουν δὲ οὕτως τὸ ἰχθύδιον. τὸ δὲ ἑξῆς, μόνον τῷ ἐσθίειν σχόλαζε. τοιαύτην γὰρ ἐγώ σοι ἀφθονίαν παρέξω.

1107. ἀνύσατε νῦν : Ἔργῳ πληρώσατε καὶ μὴ λόγοις μόνοις ἐπαγγέλλεσθε.

1109. τὰς ἡνίας : Τροπικῶς ἀπὸ τῶν ἁρμάτων. ταῖς γὰρ ἡνίαις ἡνιοχοῦνται οἱ ἵπποι καὶ οἱ δῆμοι δὲ διὰ τῶν πολιτευομένων.

1110. τρέχοιμ' ἂν ἤδη : Ἐγγύθεν ἀπὸ τοῦ ἡνίου τὸ τρέχοιμ' ἐπήγαγεν. διαβάλλει δὲ πάλιν τοὺς Ἀθηναίους ὡς ἥττονας κέρδους.

1111. ὦ δῆμε : Διπλῆ καὶ εἴσθεσις καὶ μέλος μονοστροφικὸν ἀμοιβαῖον περιόδων τεσσάρων, ἐναλλὰξ τοῦ χοροῦ ἐν ἐκθέσει. δεκάκωλοι δέ εἰσιν αἱ περίοδοι. Ἰωνικὸν δὲ ἀπὸ μείζονος [τὸ μέτρον]. ὧν τὰ μέν ἐστιν ἑφθημιμερῆ, δύο δὲ ἡμιόλια, τὸ τέταρτον καὶ τὸ δέκατον. [εὕρηται δὲ κατὰ τὴν πρώτην χώραν καὶ παίων ἀντ' Ἰωνικοῦ. ἐν δέ τισι καὶ διτρόχαιος. ἐφ' ἑκάστῃ περιόδῳ παράγραφος. ἐπὶ τῷ τέλει τῆς τετάρτης παράγραφος καὶ κορωνίς.]

1121. νοῦς οὐκ ἔνι ταῖς κόμαις : Οἷον, ἐν τῷ ἐγκεφάλῳ ὑμῶν. ὅτι ἐκόμων οἱ ἱππεῖς. ἐγκέφαλος οὐκ ἔστιν ὑμῖν, οὐδὲ ἐστὲ φρενήρεις.

1124. ταῦθ' ἡλιθιάζω : Ἀναισθητῶ, προσποιοῦμαι ἠλίθιος εἶναι. ἀναίσθητοι γὰρ οἱ λίθοι, ἀφ' οὗ καὶ τὸ ἠλίθιος. ἢ ἀντὶ τοῦ ἀνοηταίνω.

1126. βρύλλων : Ἐξαπατώμενος ὑπό τινων καὶ μεθύων. Σύμμαχος δὲ, ὑποπίνων, ἐκ μιμήσεως τῆς τῶν παίδων φωνῆς.

1128. προστάτην : Τὸν προϊστάμενον τοῦ δήμου. τουτέστι δημαγωγόν.

1129. ὅταν ᾖ πλέως : Φαεινὸς, ἀντὶ τοῦ πλήρης. τουτέστιν ὅταν ηὐξῆσθαι δοκῇ καὶ μέγας εἶναι.

1130. ἄρας ἐπάταξα : Κατέβαλον, ἐκ μεγάλου καὶ λαμπροῦ ταπεινὸν ἐποίησα, τουτέστιν ἐάσας πλουτῆσαι, ὕστερον πένητα ἐποίησα.

1131. εἴ σοι πυκνότης ἔνεστι : Σύνεσις, φρόνησις. εἰ συνεχῶς καὶ περὶ πάντας οὕτω φρονοίης.

1136. ὥσπερ δημοσίους : Λείπει βοῦς ἢ ταύρους, ἢ ἄλλο τι τοιοῦτον θῦμα. δημοσίους δὲ, τοὺς λεγομένους φαρμακοὺς, οἵπερ καθαίρουσι τὰς πόλεις τῷ ἑαυτῶν φόνῳ. ἢ τοὺς δημοσίᾳ καὶ ὑπὸ τῆς πόλεως τρεφομένους. [ἔτρεφον γάρ τινας Ἀθηναῖοι λίαν ἀγεννεῖς καὶ ἀχρήστους καὶ ἐν καιρῷ συμφορᾶς τινος ἐπελθούσης τῇ πόλει, λοιμοῦ-λέγω ἢ τοιούτου τινὸς, ἔθυον τούτους ἕνεκα τοῦ καθαρθῆναι τοῦ μιάσματος. οὓς καὶ ἐπωνόμαζον καθάρματα. καὶ ἐν Βατράχοις [733]

οὐδὲ φαρμακοῖσιν εἰκῇ ῥᾳδίως ἐχρήσατ' ἄν.]

1136. ὅταν μή σοι τύχῃ : Τροπικῶς. ὅταν μή σοι τυχὸν πόρος χρημάτων ᾖ.

1139. ὃς ἂν ᾖ παχὺς : Πλούσιος. ἡ μεταφορὰ ἀπὸ τῶν χοίρων. [ἐπιδειπνεῖς δὲ, δημεύεις αὐτῶν τὰς οὐσίας. παρέλκει δὲ ἡ ἐπί. ἢ παρὰ τὸ εἰκός. κάλλιον δὲ, ἐπὶ τῷ θῦσαι δειπνεῖς.]

1142. περιέχομαι : Ἐνεδρεύω, ἐξαπατῶ. ἢ σοφίζομαι καὶ ὑπέρχομαι.

1146. [οὐδὲ δοκῶν ὁρᾶν : Οὐδὲ προσποιούμενος εἰδέναι ἅπερ ἠδίκουν.]

1149. [ἅττ' ἂν κεκλόφωσί μου : Ὅσα ἂν κεκλοφότες ὦσι.]

1150. κημὸν : Κημὸς ὁ κάδος τῶν δικαστικῶν, ἔνθα ἔβαλλον τὰς ψήφους. Ἄλλως. κημὸς ὁ ἐπὶ τοῦ καδίσκου, εἰς ὃν τὰς ψήφους καθίεσαν ἐν τοῖς δικαστηρίοις. Κρατῖνος δὲ αὐτὸν ἐν Νόμοις σχοίνινον ἠθμὸν καλεῖ. τοιοῦτος γὰρ ἐγίνετο καὶ ἦν παρόμοιος χώνῃ, ὡς καὶ Σοφοκλῆς ἐν Ἰνάχῳ. ὕστερον δὲ ἀμφορεῖς δύο ἵσταντο ἐν τοῖς δικαστηρίοις, ὁ μὲν χαλκοῦς, ὁ δὲ ξύλινος. καὶ ὁ μὲν κύριος ἦν, ὁ δὲ ἄκυρος. ἔχει δὲ καὶ ὁ χαλκοῦς, ὥς φησιν Ἀριστοτέλης, διερρινημένον ἐπίθεμα, εἰς τὸ αὐτὴν μόνην τὴν ψῆφον καθίεσθαι. πρὸς τοῦτο οὖν ὁ κημός. ἀντὶ δὲ ψήφων ταῖς χοιρίναις οἱ δικασταὶ ἐχρῶντο. αὗται δὲ κόγχαι τινές εἰσιν, ὥς φησιν Ἐπαφρόδιτος ἐν ταῖς λέξεσιν. καὶ ὁ τοῖς ἵπποις δὲ περιτιθέμενος οὕτως ἐκαλεῖτο κημὸς, ὁ καλούμενος φιμὸς, ὡς Ξενοφῶν ἐν τοῖς περὶ ἱππικῆς [10, 8]. πλέγμα τι ἐκ σχοινίων γινόμενον ὅμοιον ἠθμῷ, ᾧ τὰς πορφύρας λαμβάνουσιν, εἰς ὃ αἱ πορφύραι καὶ τὰ κογχύλια εἰσέρπουσιν. ἐν αὐτοῖς δὲ τούτοις ἐστὶ καὶ τὸ δέλεαρ, ὥς φησιν Ἡρωδιανὸς, παρατιθέμενος τὰ Σοφοκλέους ἐκ Ποιμένων

κημοῖσι πλεκτοῖς πορφύρας φθείρει γένος.

Αἰσχύλος ἐν Λυκούργῳ ἀλληγορικῶς τοὺς δεσμοὺς κημοὺς εἴρηκε διὰ τούτων, « καὶ τούσδε κημοὺς στόματος. » Ἄλλως. Φαεινός· κημὸς ὁ χάβος, ὁ περιτιθέμενος τοῖς ἵπποις. καὶ κημῶσαι τὸ συγκλεῖσαι. καὶ οἱ ἰατροὶ κημῶσαι λέγουσι τὸ τὸν ὀφθαλμὸν φιμῶσαι.

καταμηλῶν : Καταμηλοῦν μὲν ἔλεγον τὸ τὴν μήλην καθίεσθαι ὑπὸ τοῦ ἰατροῦ εἰς τὸν λαιμὸν, ὡς ποιοῦσι καὶ οἱ ἐμοῦντες. κημὸς δὲ ἐκαλεῖτο τὸ ἐπιτιθέμενον πλέγμα τῷ καδίῳ, δι' οὗ οἱ δικασταὶ καθίεσαν τὰς ψήφους. τὸ ὅλον οὖν βούλεται ὅτι καταψηφιζόμενος αὐτῶν καὶ δικάζων ἀναγκάζω ἐμεῖν τὰς κλοπάς. Ἄλλως. καταμηλῶν ἀντὶ τοῦ καταδικάζων καὶ ἐξοστρακίζων. ἀπὸ μεταφορᾶς τῶν ἰατρῶν τῶν δοκιμαζόντων διὰ τῆς μήλης.

1151. ἄπαγ' ἐς μακαρίαν : [Κορωνὶς αὕθις ἑτέρα εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ριδ', πλὴν τοῦ πη' ἰαμβικοῦ μονομέτρου βραχυκαταλήκτου. ὧν ὁ τελευταῖος,

ἰδεῖν ἀμείνω τῇ Κεχηναίων πόλει.

ἐπὶ τῷ τέλει κορωνίς.] γράφεται ἔρρ' εἰς μακαρίαν,

ἀντὶ τοῦ εἰς ὄλεθρον κατ' εὐφημισμόν. ἐπεὶ καὶ οἱ τεθνεῶτες μακαρῖται λέγονται. Ἄλλως. Μακαρία Ἡρακλέους θυγάτηρ, ἣν οἱ Ἀθηναῖοι ὑπὲρ αὐτῶν ἀποθανοῦσαν πολυτελῶς ἔθαψαν. — Ἄλλως. κατὰ τὴν Εὐρυσθέως ἐπὶ τὰς Ἀθήνας στρατείαν λόγος Ἡρακλέους θυγατέρα Μακαρίαν τοὔνομα ἑαυτὴν ὑπὲρ τῆς πόλεως εἰς σφαγὴν μεταδοῦναι. τοὺς οὖν Ἀθηναίους κατὰ τιμὴν τῆς παιδὸς αὐτοῦ ἄνθη καὶ στεφάνους παρακελεύεσθαι τοῖς ἄλλοις, ὡς τὴν παροιμίαν ἐλθεῖν καὶ ἐπὶ τῶν προθυμουμένων τι. αὖθις δὲ καταχρηστικῶς καὶ ἐπὶ πάσης ἀφοσιώσεως. V. [Ἄλλως. παροιμιῶδες, βάλλ' εἰς μακαρίαν. οἱ μὲν κατ' εὐφημισμὸν ἐδέξαντο λέγεσθαι ἀντὶ τοῦ, βάλλ' εἰς δειλαιότητα. Μακαρίαν γὰρ ἐν Ἅιδου χωρίον διατυποῦσιν. οἱ δὲ τὴν Μακαρίαν θυγατέρα φασὶ τοῦ Ἡρακλέους. ἤ γε κατὰ τὴν ἐπὶ τὰς Ἀθήνας Εὐρυσθέως στρατείαν, τῶν Ἀθηναίων μὴ ἐκδιδόντων αὐτῷ τοὺς Ἡρακλείδας πρὸς τὸν τοῦ Ἐλέου βωμὸν καταφυγόντας, χρησμοῦ δοθέντος, τοὺς Ἀθηναίους νικήσειν, εἴ τις τῶν Ἡρακλειδῶν πρὸς θάνατον ἑκούσιον ἐκδῷ ἑαυτὸν, κατέσφαξεν ἑαυτὴν, ὡς ἐν Ἡρακλείδαις Εὐριπίδης. ἧς τὸν τάφον ἄνθεσι καὶ στεφάνοις τιμῶντες οἱ Ἀθηναῖοι, ὡς τῶν Ἀργείων ἡττηθέντων, ἐπέλεγον, βάλλ' εἰς Μακαρίαν. τὸ μὲν οὖν πρῶτον ἐπὶ τῶν κατ' ἀρετὴν διδόντων ἑαυτοὺς εἰς θάνατον ἡ παροιμία ἐλέγετο. ὕστερον δὲ ἐπὶ πάσης ἀφοσιώσεως. φθόρε δὲ, ὄλεθρε, φθοροποιέ.]

1158. [οἶσθ' οὖν ὃ δρᾶσον : Ἀττικὸν ἀντὶ τοῦ δράσεις.]

1159. ἀπὸ βαλβίδων : Βαλβὶς ἡ ἄφεσις τῶν δρομέων. μετήνεγκεν οὖν ἀπὸ τῶν περὶ δρόμους ἀμιλλωμένων ἐν τοῖς ἀγῶσι. [βαλβὶς δὲ καλεῖται τὸ ἐν τῇ ἀρχῇ τοῦ δρόμου κείμενον ἐγκαρσίως ξύλον, ὃ καὶ ἀφετηρίαν καλοῦσιν. ὅπερ μετὰ τὸ ἑτοιμασθῆναι τοὺς δρομεῖς εἰς τὸ δραμεῖν, ἀφαιρούμενοι ἀφίεσαν τρέχειν. Ἄλλως. ἡ ὑπὸ τὴν ὕσπληγα γινομένη γραμμὴ, διὰ τὸ ἐπ' αὐτῆς βεβηκέναι τοὺς δρομέας, βαλβὶς καλεῖται, ἀπὸ τοῦ εἰσβάλλεσθαι βάδην. πρῶτον γὰρ εἰσέρχονται βάδην, εἶτα τοῦ δρόμου ἄρχονται. ἢ ἀπὸ τοῦ ἅλλομαι ἁλμὶς ἁλβὶς, ὑπερβιβασμῷ βαλβίς. ἢ ἀπὸ τοῦ βαίνω.]

1161. ὑποθεῖν οὐκ ἐῶ : Ὑποτρέχειν, ὑποσκελίζειν, καὶ ἐμποδὼν ἵστασθαι.

1163. ἐγὼ θρύψομαι : Ἀντὶ τοῦ συντριβήσομαι ἢ σφόδρα τρυφήσω καὶ σεμνυνοῦμαι. [μαζίσκην δὲ, ἄρτον πεφυραμένον.]

1167. ἐκ τῶν ὅλων : Ὅλαι αἱ μεθ' ἁλῶν μεμιγμέναι κριθαὶ, καὶ τοῖς θύμασιν ἐπιβαλλόμεναι. πάλιν δὲ εὐφυῶς ὑπομιμνήσκει τῶν ἐν Πύλῳ.

1168. μεμυστιλημένας : Κατειργασμένας ἤδη καὶ ἑτοίμους, τουτέστι μεμασημένας. — μυστίλας : Μυστίλη ὁ κοῖλος ψωμὸς, ψίχιον, δραὰξ χειρός. *Vict.*

1169. δύο εἰσὶν ἐπὶ τῆς ἀκροπόλεως Ἀθηνᾶς ναοὶ, ὁ τῆς πολιάδος καὶ ἡ χρυσελεφαντίνη, ἣν ἀπὸ τῶν Μηδικῶν σκύλων κατεσκεύασαν Φειδίου πλάσαντος. Ἄλλως. ὡς ἐπὶ ἀγάλματος εἶπε διὰ τὸ μέγεθος τῆς μάζης. V.

1170. ὡς μέγαν : Ἀληθότως σεμνολογεῖ τὸ μέγεθος τοῦ ἀγάλματος [διὰ τοῦ εἰπεῖν τὸν δάκτυλον αὐτοῦ μέγαν, ὥσπερ καὶ διὰ τοῦ εἰπεῖν ἐν χειρὶ ἐλεφαντίνῃ τὴν λευκότητα καὶ λαμπρότητα καὶ τὸ κάλλος αὐτοῦ. ἕκαστος δὲ φιλονεικεῖ δεῖξαι τὴν τῆς Ἀθηνᾶς εὔνοιαν ἐν τῇ πόλει, ὡς εἰ τοῦτο δείξειε, καὶ τὴν ἑαυτοῦ οἴεται δῆλην ποιῆσαι πρὸς τὴν πόλιν εὔνοιαν.]

1171. ἐγὼ δ' ἔτνος γε : Ὅτι τὰ ὄσπρια ἐν τῇ ἑψήσει διαθρύπτονται. πάλιν δὲ τὸ ἐν Πύλῳ κατόρθωμα [διὰ τοῦ Πυλαιμάχος].

1173. προίσταται καὶ φυλάσσει. V.

1174. ὑπερέχει σου : Ἀντὶ τοῦ ὑπερμαχεῖ καὶ ὑπερασπίζει σου. ἀντὶ δὲ τοῦ εἰπεῖν περικεφαλαίαν, εἶπε χύτραν [ὡς μάγειρος].

[τὴν χύτραν : Ἀντὶ τοῦ εἰπεῖν χεῖρα.]

1177. ἡ Φοβεστράτη : Ἡ φοβοῦσα τὸν στρατόν. ἐξῆς δὲ τὰ ἐπίθετα τῆς θεοῦ.

1179. καὶ χόλικος : Χόλικες τὰ παχέα ἔντερα. χόλικος δὲ καὶ ἠνύστρου ἐκ παραλλήλου τὸ αὐτό. ταῦτα δὲ ἐγκατώδη κρέα. τομὸν δὲ, οἷον τέμαχος. ἤνυστρον δὲ ἡ κάτω κοιλία.

1181. ἡ Γοργολόφα : Ἡ ἐκ τῆς κεφαλῆς τῆς Γοργοῦς τὴν περικεφαλαίαν ἔχουσα. ἐλατὴρ δὲ, πέμματος εἶδος. τινὲς μὲν ἄζυμα, τινὲς δὲ πεπτὰ, ὧν εἷς καὶ Εὐριπίδης. ἔπαιξε δὲ τοῖς ὀνόμασι διὰ τὴν περὶ τὰ ναυτικὰ τῶν Ἀθηναίων ἐμπειρίαν.

1185. ἐντερονείαν : Τὰ ἐγκοίλια τὰ ἀπὸ τῆς τρόπιδος ἀνερχόμενα ξύλα, ἐντερόνεια καλεῖται. Ἄλλως. οἱ μὲν, τὸ τῶν νεῶν ἔδαφος. οἱ δὲ, τὰ ἐγκοίλια. βέλτιον δὲ, τὴν τῶν ἐγκοιλίων ὕλην λέγειν. ταῦτα δὲ Ἡρωδιανὸς ἐν τῇ καθόλου προπαροξύνει. [καὶ ἡ ἐντερόνεια δὲ τούτῳ τῷ λόγῳ ὤφειλε συστέλλειν τὸ α καὶ παροξύνειν.] οὕτω γὰρ τὴν ἐντεριώνην Ἀριστοφάνης ἐν τοῖς Ἱππεῦσιν εἶπεν, ὅπερ ἐστὶ τὸ μεσαίτατον τῆς νεὼς, ὅ ἐστι συνεκτικώτατον, ἥτις ἐστὶ τρόπις. ὑπὸ δὲ ἄλλων μήτρα καλεῖται. φησὶ δὲ ὁ κωμικὸς

εἰς τὰς τριήρεις ἐντερονείαν ἡ θεός.

εἰ μὴ ἄρα ποιητικὴ ἐστιν ἡ ἔκτασις.

1187. τρία καὶ δύο : Τρία μέρη ὕδατος ἐπιδεχόμενον καὶ δύο οἴνου. ἀρίστη δὲ κρᾶσις οἴνου δύο μέρη καὶ ὕδατος τρία.

1189. ἐνετριτώνισεν : Εὐκαίρως τῷ ἐπιθέτῳ ἐχρήσατο, ἵνα παίξῃ παρὰ τὰ τρία καὶ δύο. βούλεται δὲ δηλοῦν ὅτι ἡ Ἀθηνᾶ τοιοῦτον αὐτὸν ἐποίησεν, ὡς δύνασθαι τρία μέτρα φέρειν ὕδατος. ἢ ὡς ἀπὸ τῶν τριῶν κραμάτων. ἢ ὡς ἀπὸ Τρίτωνος ποταμοῦ Λιβύης, παρ' ᾧ ἐτέχθη ἡ Ἀθηνᾶ. βωμολόχον δὲ, πανοῦργον, ληστρικόν.

1192. διὰ τὰ κρέα. V.

1195. ὁρᾷς τάδε : Τὰ λαγῷα δείκνυσιν αὐτῷ καὶ χλευάζει ὡς οὐκ ἔχοντα.

1196. τίνες : Οἱ μὲν τὸ αὐτὸ πρόσωπον, ἵν' ᾖ τινές. οἱ δὲ, τοῦ Κλέωνος, ἵν' ᾖ ἐρωτηματικῶς τίνες.

1198. ποῦ ποῦ : Ὁ Ἀγοράκριτος μεθόδῳ χρῆται πρὸς Κλέωνα, καὶ ἁρπάζων τὰ τοῦ Κλέωνος λαγῷα δίδωσι τῷ δήμῳ.

οὐκ ἐάσεις : [Λείπει] ἐπιφοιτῆσαι.

1201. καὶ σὺ γὰρ τοὺς ἐκ Πύλου : Ἥρπασας δηλονότι ἀπὸ Δημοσθένους τοῦ στρατηγοῦ.

1202. τὸ μὲν νόημα τῆς θεοῦ : Τοῦτο πρὸς τὴν ἀλαζονείαν τῶν δημαγωγῶν. εἰώθασι γὰρ λέγειν ὅτι ἡ μὲν θεὸς ὑπέβαλέ μοι, ἥρπασα δὲ ἐγώ. οὕτω γὰρ οἱ δημαγωγοὶ ἀστειζόμενοι ἔλεγον τὰς ἑαυτῶν ἐπινοίας τῆς θεοῦ.

1205. ἀντὶ τοῦ καὶ γάρ. V.

1206. ὑπεραναιδεσθήσομαι : Τῇ ἀναιδείᾳ νικηθήσομαι. οἷον, ἀναιδέστερός μου φανήσεται.

1210. νομισθείην. V.

1211. τὴν ἐμὴν κίστην : Τὴν κιβωτόν. ταύτῃ δὲ διενήνοχεν, ὅτι ἡ μὲν εἰς ὑποδοχήν ἐστιν ἐδεσμάτων, ἡ δὲ ἱματίων καὶ χρυσοῦ, ἡ κιβωτός.

1212. ἀντὶ τοῦ γίνωσκε. V.

1215. διχῶς. ἅπαντα γάρ σοι πατρίδιον παρεφόρουν. V.

1216. τὰ τοῦ δήμου φρονεῖ : Ἀντὶ τοῦ οὐ δωροδοκεῖται. τὴν τοῦ ἀλλαντοπώλου δέ φησιν, ὅτι πάντα τῷ δήμῳ παρέθηκεν.

1219. ἀντὶ τοῦ πάνυ πολὺ τὸ χρῆμα τοῦ πλακοῦντος ἀπέθετο. V.

1220. τυννουτονί : Συλλαβὼν τοὺς δακτύλους, φησὶ Φαεινὸς, ἀντὶ τοῦ μικρόν.

1225. ἐγὼ δέ τυ : Τὸ τύ Δωρικῶς ἀντὶ τοῦ σέ. ἔπαιξε δὲ παρὰ τὸ δωροδοκεῖν, Δωριστὶ εἰρηκώς. τὸ δὲ ἐστεφάνιξα ἀντὶ τοῦ, στεφάνοις ἐτίμησα. δημοσίᾳ γὰρ ἐτιμήθη ὁ Κλέων στεφάνῳ. μιμεῖται δὲ τοὺς εἴλωτας, ὅταν στεφανῶσι τὸν Ποσειδῶνα.

1233. εἴ τι ξυνοίσεις : Εἰ συμφωνήσεις καὶ μεθέξεις.

1236. εὔστραις : Ἀντὶ τοῦ φλογίστραις, ὅπου τὰ ἱερεῖα θύεται. λέγει δὲ ὡς μάγειρος. Ἄλλως. ἐν τοῖς μαγειρείοις. εὖστρα γὰρ τὸ μαδιστήριον, ἀπὸ τοῦ εὔειν καὶ φλογίζειν τοὺς χοίρους. τὸ δὲ ἡρμοττόμην, ὡς πρὸς μουσικὴν, ἀντὶ τοῦ ἐπαιδευόμην. Ἄλλως. εὖστρα ἡ ὡρίμη κριθή. εἴρηται δὲ καὶ ἀμφίκαυτις παρὰ κωμικοῖς καὶ τραγικοῖς ἀπὸ τοῦ περικεκαῦθαι. οἱ δὲ τὴν πρώτην ἕκφυσιν τῶν πυρῶν, ἣν λῆϊον προσαγορεύουσιν ὡραῖον, διὰ τὸ τοὺς πρωΐμους καέντων τῶν ἀχύρων ἐπιτηδείους εἶναι εἰς τροφήν.

1239. ἀντὶ τοῦ ἐμάνθανον. V.

1240. ὦ Φοῖβ' Ἄπολλον : Ὁ στίχος ἐκ Τηλέφου Εὐριπίδου.

1241. τὴν ἡλικίαν ἔχων εἰς ἄνδρα. V. Θ.

1247. [ὤνιον : Εὔωνον. ὅπου τὸ ταριχοπωλεῖον, ἀντὶ τοῦ ὅπου τὰ εὐτελῆ πωλεῖται.]

1249. κυλίνδετ' εἴσω : Ἑαυτὸν λέγει ὁ Κλέων. ταῦτα δὲ ἐκ Βελλεροφόντου Εὐριπίδου. τὸ δὲ κυλίνδετ' ἀντὶ τοῦ κομίζετε.

1251. σὲ δ' ἄλλος τις : Λείπει ἀνήρ. παρῴδησε δὲ τὰ ἐξ Ἀλκήστιδος Εὐριπίδου [179]. ἔχει δὲ οὕτως,

σὲ δ' ἄλλη τις γυνὴ κεκτήσεται,
σώφρων μὲν οὐκ ἂν μᾶλλον, εὐτυχὴς δ' ἴσως.

1253. Ἑλλάνιε Ζεῦ : Ἑλλάνιος Ζεὺς ἀπὸ τοῦ ἐν Αἰγίνῃ αὐχμοῦ ποτὲ γενομένου, ὅτε Αἰακὸς συναγαγὼν τοὺς Πανέλληνας ἐξιλεώσατο τὸν Δία. τοῦτο δὲ λέγει ὁ ἀλλαντοπώλης, εἰληφὼς τὸν στέφανον. Ἑλλάνιος δὲ Ζεὺς τιμᾶται [ἐν Αἰγίνῃ].

1254. καλλίνικε : Τοῦτο λέγει ὁ χορὸς πρὸς τὸν ἀλλαντοπώλην.

1256. Φανὸς : Σύμμαχος· φαίνεταί τις γραμματεὺς οὗτος. τῶν πάνυ σπανίων ὄνομα κύριον. κωμῳδεῖ δὲ αὐτὸν ὡς φιλόδικον. Φαεινὸς δέ· φανὸς ὁ καταγγέλλων καὶ φανεροποιῶν τὰ πράγματα καὶ μηνύων. ἢ ἀπὸ τοῦ φαίνειν, ὅ ἐστι συκοφαντεῖν. Φανὸς γὰρ κακοπράγμων ἐγένετο φιλόδικος γραμματεύς. ἐπὶ δήμου δὲ, ὑπογραφεὺς ἐλέγετο, ὁ δὲ τοῦ βουλευτηρίου ἀντιγραφεύς. δημοσίου δὲ γενομένου ἔγραφον ἀμφότεροι τὰ λεγόμενα.

1262. τῇ Κεχηναίων πόλει : Ἀθηναίων. ὡς ληρούντων αὐτῶν. ἔπαιξε παρὰ τὸ Ἀθηναίων. ἀπὸ δὲ τοῦ κεχηνέναι ἔλαβε τὸ ὄνομα, ὡς μετέωρα τῶν Ἀθηναίων φρονούντων.

1263. τί κάλλιον ἀρχομένοισι : Τοῦτο ἀρχὴ προσοδίου Πινδάρου [fr. 59], ἔχει δὲ οὕτως « τί κάλλιον ἀρχομένοισιν, ἢ καταπαυομένοισιν, ἢ βαθύζωνόν τε Λατὼ « καὶ θοᾶν ἵππων ἐλάτειραν ἀείσαι. » κορωνὶς δέ· ἐξίασι γὰρ οἱ ὑποκριταί. καὶ ἔστι συζυγία ἐπιρρηματική. ἧς αἱ μὲν μελικαὶ περίοδοι δεκάκωλοί εἰσι. καὶ αὐτῶν τὸ μὲν πρῶτον ἰαμβικὸν ἑφθημιμερὲς, [ἢ ἐξ ἀντισπάστου καὶ χοριάμβου δίμετρον ὑπερκατάληκτον]. τὸ δὲ β' δακτυλικὸν τρίπουν εἰς δισυλλαβίαν. [τὸ τρίτον ἐξ ἐπιτρίτου δευτέρου, χοριάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάττονος τρίμετρον ἀκατάληκτον.] τὸ δ' τροχαϊκὸν τρίπουν ἑφθημιμερές. τὸ ε' ἐπικὸν ἑφθημιμερές. τὸ ς' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ζ' τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον. τὸ η' προῳδικὸν δωδεκάσημον διάφορον προσέλαβε. τὸ θ' ἀναπαιστικὸν [τρίμετρον ἀκατάληκτον]. τὸ ι' ἰαμβικὸν τρίμετρον ἀκατάληκτον. [ἐπὶ τῷ τέλει διπλῆ ἔσω νενευκυῖα. ἔχει δὲ καὶ ἀντιστροφὴν ὁμοίαν καθ' ἕκαστον ἑαυτῇ. ἧς τὸ τελευταῖον δυεῖν διπλαῖν κατ' ἄμφω τἄκρα σημειοῦται.]

1268. μηδὲ Θούμαντιν : Οὗτοι πένητες διεβάλλοντο. [καὶ ὁ μὲν Λυσίστρατος ὡς κόλαξ, ὁ δὲ Θούμαντις ὡς πένης καὶ μάντις.] δεῖ οὖν, φησὶ, τοὺς μὲν ἱππέας ἐπαινεῖν, ἐκείνους δὲ τοὺς πένητας μὴ διαβάλλειν.

ἀνέστιον : Ἄοικον. *Vict.*

1270. θαλεροῖς δακρύοις : Ἀντὶ τοῦ, μετὰ δακρύων ἱκετεύει σε τῆς πενίας ἕνεκεν, ἀπαλλαγῆναι ταύτης ἀξιῶν. ἱκετεύει δὲ ἀπτόμενος τῆς σῆς φαρέτρας διὰ τὸ κακῶς πένεσθαι.

1274. λοιδορῆσαι : Τῆς παραβάσεως ἐστὶ μέρος [τὸ ἐπίρρημα ἐκ στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν ις', ἕσω νενευκυίᾳ διπλῇ περατούμενον. ἔχει δὲ καὶ ἀντεπίρρημα καθ' ἕκαστον ὅμοιον ἑαυτῷ. οὗ ἐπὶ τῷ τέλει κορωνίς.] κωμῳδεῖ δὲ καὶ καθάπτεται Ἀριφράδους ὡς ἀσελγαίνοντος καὶ ἀσχημονοῦντος αἰσχρῶς, καὶ παρὰ φύσιν προσιόντος ταῖς γυναιξί. τὸ δὲ τοὺς πονηροὺς λοιδορεῖσθαι τιμὴ γίνεται τοῖς ἀγαθοῖς.

1276. ὃν δεῖ πόλλ' ἀκοῦσαι : Οἷον, ὃν δεῖ λοιδορηθῆναι. λέγει δὲ τὸν Ἀριφράδην.

1277. οὗτος ἦν ἔνδηλος : Ὃν θέλω λέγειν ὑμῖν οὐκ ἔστιν ἐπίσημος. τούτου χάριν δι' ἑτέρου τοὺς τρόπους δηλῶσαι θέλω. τοῦτο δὲ λέγει, ὡς τοῦ Ἀριγνώτου μὲν γινωσκομένου, Ἀριφράδους δὲ ἀσήμου ὄντος, ἀπὸ δὲ τούτου γινωσκομένου. Ἄλλως. τὸν Ἀριφράδην λέγει. Ἀριφράδους δὲ δύο παῖδες, Ἀρίγνωτος καὶ Ἀριφράδης ὁμώνυμος τῷ πατρί.

1278. Ἀρίγνωτον γὰρ : Ἀντὶ τοῦ, ἔστι γὰρ ὄῆλος, καὶ οὐκ ἔστιν ὅστις οὐκ οἶδεν αὐτόν. οὗτος οὖν ὁ Ἀρίγνωτος διεβάλλετο καὶ ὡς ἀρρητοποιός. Ἀρίγνωτος δὲ οὗτος κιθαρῳδὸς ἦν. διόπερ καὶ τὸν ὀρθιον νόμον ἔφη αὐτὸν εἰδέναι. δοκεῖ δὲ καὶ παροιμιώδης εἶναι ὁ λόγος, ὅστις οἶδε τὸ λευκὸν καὶ τὸ μέλαν. παρὰ τοῦτο οὖν ἐποίησεν. εἰρωνεύεται δὲ πρὸς αὐτὸν, ὅτι οὐκ ἂν αὐτοῦ ἐμνήσθην χρηστοῦ ὄντος, εἰ μὴ εἶχε πονηρὸν ἀδελφόν. ὁ γὰρ Ἀρίγνωτος ὕστατος ἦν.

1279. ὅστις ἢ τὸ λευκὸν : Ἀρίσταρχος· παρὰ τὸ λεγόμενον, ὅστις οἶδε τὸ λευκὸν ἢ τὸ μέλαν. οἱ δὲ λέγουσιν Ἀρίγνωτον κιθαρῳδὸν, ὃς ᾖδε τὸν ὄρθιον καλούμενον νόμον καὶ τὸν λευκὸν, οἵτινες ἐθαυμάζοντο τῷ τότε χρόνῳ. Ἄλλως. παροιμία ἐπὶ τῶν πάνυ φανερῶν. ὃ οὖν θέλει εἰπεῖν, τοιοῦτόν ἐστιν· οὐδείς ἐστιν ὅστις οἶδε τὸ λευκὸν ἢ τὸ μέλαν, ὁ μὴ ἐπιστάμενος.

1281. τοῦτο μὲν καὶ βούλεται : Τὸ εἶναι δηλονότι πονηρός.

1285. ἐν κασαυρίοισι : Διχῶς, ἐν κασαλβίοις, ἀντὶ τοῦ, ἐν πορνείοις.

τὴν ἀπόπτυστον ὀρόσον : Τὴν τῶν αἰδοίων φησὶ, τουτέστι τὸ σπέρμα.

1286. ἐσχάρας : Τὰ χείλη τῶν γυναικείων αἰδοίων.

1287. Πολυμνήστεια : Μέλη Πολυμνήστου Κολοφωνίου. κιθαρῳδὸς δὲ οὗτος ἦν. κωμῳδεῖται δὲ καὶ οὗτος ἐν τοῖς αὐτοῖς. Πολύμνηστος δὲ καὶ Οἰώνιχος ὅμοιοι ἀρρητοποιοί. Κρατῖνος

καὶ Πολυμνήστει' ἀείδει, μουσικήν τε μανθάνει.

1289. ἐκ ταὐτοῦ : Ὅτι αἰσχρὸν τὸ τούτων ποτήριον, διὰ τὸ λείχειν αὐτούς.

1290. Εὐριπιδεία ἡ παρῳδία ἐξ Ἱππολύτου [374]. v.

1291. φροντίσι συγγεγένημαι : Ἐκ τοῦ « ὅστις οὖν τοιοῦτον ἄνδρα » φασί τινες Εὐπόλιδος εἶναι τὴν παράβασιν, εἴ γε φησὶν Εὔπολις « ξυνεποίησα τῷ φαλακρῷ »

1293. ἐσθίει Κλεώνυμος : Τοῦτον ὡς δαπανηρὸν καὶ πολλάκις ἐσθίοντα διασύρει, ἅμα δὲ καὶ δειλόν. [ἑρεπτόμενον δὲ εἶπεν ἐμφαντικῶς ὡς ἐπὶ κτήνους. σιπύης δὲ, τῆς ἀρτοθήκης, οἱονεὶ σιτοβύης τινὸς οὔσης. παρὰ τὸ ἐν αὐτῇ τὰ σιτία ἐμβάλλεσθαι.]

1298. ἴθ' ὦ ἄνα : Πορεύθητι. ὡς καὶ τὸ γειτνιᾶν αὐτῷ φοβουμένων τῶν ἐξωθούντων αὐτόν.

1300. φασὶν ἀλλήλαις : Σωματοποιεῖ τὰς τριήρεις.

1302. οὐδὲ πυνθάνεσθε : Οὐδὲ αἴσθεσθε. ὁ στίχος παρὰ τὰ ἐξ Ἀλκμαίωνος Εὐριπίδου. τὰς μηδέπω δὲ πλευσάσας παρθένους εἴρηκεν, τὰς δὲ πλευσάσας γραίας. [Καρχηδὼν δὲ] πόλις Θρᾴκης περὶ τὸ Βυζάντιον.

1304. ὀξίνην : Ὀξίδες ἃ καλοῦμεν ὀξυβάφια. λυχνοποιὸς δὲ ὁ Ὑπέρβολος. τινὲς δὲ τὰ κεράμεα, ἅ ἐστιν ὄξους δεκτικά. κεραμεὺς δὲ ὁ Ὑπέρβολος. μετὰ δὲ τὴν ἀποβολὴν τοῦ Κλέωνος εὐθέως ὑπερέβαλεν ὑπὲρ τοῦ Ὑπερβόλου. μετ' αὐτὸν γὰρ ἐπολιτεύσατο.

1306. Ἥτις ἀνδρῶν : Ἥτις ἦν οὔπω δεδομένη τριηράρχῳ, μηδὲ πλεύσασα, ἀλλὰ νεωστὶ κατασκευασθεῖσα, ἣν ἄνω εἶπε παρθένον.

1307. λείπει τὸ ὦ Ζεῦ καὶ τὸ βοηθῆναι αὐτῷ. v. Θ.

1308. ὑπὸ τερηδόνων : Σηπεδόνων, ἢ σκωλήκων.

1309. οὐδὲ Ναυφάντης : Πεποίηται ταῦτα τὰ ὀνόματα παρὰ τὴν ναῦν. ἀπὸ κοινοῦ δὲ τὸ ἄρξει.

1310. εἴπερ ἐκ πεύκης γε κἀγὼ : Ὡσανεὶ ἔλεγεν, εἴπερ ἐξ ἀνθρώπων εἰμὶ κἀγώ. οὐχ ἁπλῶς δὲ, ἀλλ' οἷον εἰ χολὴν ἔχω. ἀπὸ τούτου τὸ πευκεδανόν.

1312. εἰς τὸ Θησεῖον : Ἐνταῦθα οἱ καταφεύγοντες τῶν οἰκετῶν ἀσυλίαν εἶχον.

ἐπὶ τῶν σεμνῶν : Εἰς τὸ τῶν Ἐρινύων ἱερόν. καὶ ἐνταῦθα δὲ οἱ οἰκέται ἔφευγον.

1313. ἐγχανεῖται : Καταπτύσειεν, ἐνυβρίσειεν. σκάφας δὲ, τὰ ξύλινα ἀγγεῖα. [λύχνους δὲ, ὅτι λυχνοπώλης ἦν.]

1316. εὐφημεῖν χρὴ : Στίχοι ἐν ἐκθέσει ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ ιε'. [ἐπὶ τῷ τέλει παράγραφος.]

1317. [οἷς ἡ πόλις : Ὅτι φιλόδικοι ἦσαν Ἀθηναῖοι. παιωνίζειν δὲ, ὕμνον παιᾶνα ᾄδειν.]

1320. ἐφ' ὅτῳ κνισῶμεν ἀγυιάς : Ἔθυον γὰρ πρὸ τῶν εὐαγγελίων πρὸ τῶν πυλῶν ἕκαστος. ἀγυιὰς δὲ, τοὺς ἀγυιαίους θεούς. ἀντὶ τοῦ, θυσίας ἐπιτελοῦμεν τοῖς θεοῖς. [Ἄλλως. ἔθος ἦν τοῖς ἐν ἀγυιαῖς ἱσταμένοις θεοῖς ἐπὶ ταῖς ἐρχομέναις ἀγγελίαις θύειν, ὡς ἂν εἰ ἀγαθαὶ εἶεν, ἐπινεύσαιεν ταύταις, εἰ δὲ τοὐναντίον, ἀποτρέψαιεν. — κνισσῶμεν : Κνίσσα ἡ ἀναθυμίασις τῶν θυομένων τοῖς εἰδώλοις, ἀτμὸς, καπνὸς τῶν θυσιῶν. *Vict.*]

1321. ἐφεψήσας : Καλῶς, ὡς μάγειρος. ὥσπερ ἡ Μήδεια λέγεται, ὡς μὲν Αἰσχύλος [in Διονύσου τροφοῖς] ἱστορεῖ, τὰς τροφοὺς τοῦ Διονύσου ἀφεψήσασα ἀνανεάσαι ποιῆσαι [μετὰ τῶν ἀνδρῶν αὐτῶν· ὡς δ' ὁ τοὺς Νόστους ποιήσας καὶ τὸν Αἴσονα, λέγων οὕτως,

αὐτίκα δ' Αἴσονα θῆκε φίλον κόρον ἡβώοντα,

γῆρας ἀποξύσας' εἰδυίησι πραπίδεσσι,
φάρμακα πόλλ' ἔψους' ἐπὶ χρυσείοισι λέβησι.

Φερεκύδης δὲ καὶ Σιμωνίδης τὸν Ἰάσονα].

1323. ἰοστεφάνοις : Ἴω στεφανουμέναις. ἴον δὲ καὶ λευκὸν ἄνθος καὶ μέλαν.

1325. Ἀριστείδη πρότερον : Ἄριστοι ἐγένοντο ἀμφότεροι, Ἀριστείδης τε ὁ δίκαιος ἐπικαλούμενος καὶ Μιλτιάδης ὁ στρατηγός. οὗτος ἐν Μαραθῶνι ἐστρατήγησε. τοιοῦτος οὖν, φησίν, ὁ δῆμος καὶ ἐν τοιαύτῃ καταστάσει, οἷος ἦν πολιτευομένων ἐκείνων.

1327. ἀλλ' ὀλολύξατε : Εὔξασθε, ἀνευφημήσατε· καὶ Ὅμηρος [Il. Z, 301] « αἱ δ' ὀλολυγῇ πᾶσαι. »

1329. [ὦ ταὶ λιπαραὶ : Ἀπὸ Πινδάρου (fr. 46) παρῴδηται.]

ἀριζήλωτοι : Πλήρεις, ἢ γέμουσαι κατορθωμάτων.

1331. τεττιγοφόρος : Ἔθος ἦν τοῖς Ἀθηναίοις τὸ παλαιὸν, τέττιξι χρυσοῖς ἀναδεῖσθαι τὴν κόμην, ὡς Θουκυδίδης [I, 6]. οὕτω δὲ οἱ εὐγενεῖς ἐφόρουν καὶ παῖδες καὶ ἄνδρες πλέκοντες τὴν κεφαλήν.

1332. οὐ χοιρινῶν ὄζων : Ὅτι χοιρίναις ἐχρῶντο πρότερον πρὸ τῶν ψήφων. εἰσὶ δέ τινες κόγχαι θαλάσσιαι. σπονδῶν δὲ, τῆς εἰρήνης. — κατάλειπτος : Κατάστακτος, ἀπὸ τοῦ καταλείβω. *Victor.*

1334. καὶ τοὺν Μαραθῶνι : Εἰκότως τούτου ἐμνημόνευσεν, ἐπειδὴ Ἀθηναῖοι μόνοι ἐν Μαραθῶνι τοὺς βαρβάρους ἐνίκησαν. ἡ γὰρ ἐν Σαλαμῖνι νίκη καὶ ἡ ἐν Πλαταιαῖς ἐδόκει κοινὸν ἔργον εἶναι πάντων Ἑλλήνων. Ἄλλως. μόνον τούτου μέμνηται, ὅτι τὰ μὲν ἄλλα κατορθώματα κοινῇ πᾶσα ἡ Ἑλλὰς ἐποίησε κατὰ τῶν βαρβάρων, τὰ δ' ἐν Μαραθῶνι μόνοι Ἀθηναῖοι.

τροπαίου : Τῆς κατὰ τῶν βαρβάρων νίκης καὶ τοῦ τροπαίου οὗπερ ἔστησαν ἐν Μαραθῶνι καταναυμαχήσαντες αὐτοὺς [καὶ νικήσαντες].

1335. ὦ φίλτατ' ἀνδρῶν : Ἐν ἐκθέσει ἴαμβοι τρίμετροι καταληκτικοὶ οὗ', καὶ μετὰ τὸ τελευταῖον κορωνὶς ἡ τοῦ δράματος.

1337. ἀλλ' ὦ μέλε : Τὸ ὦ μέλε οὐκ ἐπὶ βλασφημίας ἔταττον.

1340. ἐν τῇ ἐκκλησίᾳ : Εἴ τις πρὸς χάριν λέγων κολακεύσειέ σε ἐρᾶν σου προσποιούμενος. τοιούτοις γὰρ οἱ στρατηγοὶ ἐκολάκευον τὸν δῆμον ῥήμασιν.

1344. ἀνωρτάλιζες : Ἐμετεωρίζου καὶ μέγα ἐφρόνεις. ἢ ἀντὶ τοῦ ἀνεκουφίζου, ὠρχοῦ, ἐπήρου, καὶ ταχέως ἐπίστευες πρὶν δοκιμάσαι. ὀρταλίζειν δὲ λέγεται ἐπὶ τῶν ἀρχομένων ἀναπτερύσσεσθαι ὀρνίθων· Ἄλλως. ὄρω ἐστὶ ῥῆμα βαρυτονον. ἔνθεν [*Hom.* Il. M, 279] « ὅτε τ' ὦρετο μητιέτα Ζεύς. » ἀφ' οὗ ὄνομα ῥηματικὸν ὄρτος, καὶ ὀρτῶ ῥῆμα. τὸ δὲ ὀρτῶ ῥῆμα ποιεῖ τὸ ὀρτίζω, καὶ ἐν πλεονασμῷ τῆς αλ συλλαβῆς ὀρταλίζω. δηλοῖ δὲ τὸ ὀρταλίζειν τὸ ἀναρριπτεῖν τὰ νήπια τῶν παιδίων, οἷον ὀρούειν ποιεῖν εἰς ὕψος. κατεχρῶντο δὲ τῇ λέξει καὶ ἐπὶ ἄλλης κινήσεως, ἥντινα ἔδει κινεῖσθαι.

κἀκερουτίας : Τὴν κεφαλὴν ἀνέτεινες δίκην τῶν κερατοφόρων ζῴων, ὅτι εὐειδῆ γίνεται μετεωρίζοντα τὴν κορυφήν. δηλοῖ δὲ τὸ γαυριᾶν. ὡς ἔλαφος, φησὶν, ἡγάλλου τοῖς κέρασιν. ἀπὸ δὲ τῶν κερατοφυούντων ἡ λέξις. ἐξῆς οὖν τοῦ πτερόφυτον εἶπε τὸ κερατοφυεῖν.

1347. ἐξεπετάννυτο : Ἀντὶ τοῦ ἐξηνοίγετο, τουτέστι ῥᾳδίως ἐπείθου τοῖς λέγουσι.

1348. σκιάδιον : Σκέπασμά τι, ὅπερ αἱ γυναῖκες [αἱ κανηφόροι Vict.] παρὰ τοῖς Ἀθηναίοις ἔχουσι θεωροῦσαι [εἰς τὰ Ἐλευσίνια Victor.] ὑπὲρ τοῦ μὴ καίεσθαι τὰς ὄψεις ὑπὸ τοῦ ἡλίου ἐκτείνεται δὲ καὶ συστέλλεται πρὸς τὸν κατεπείγοντα καιρόν.

1352. καταμισθοφορῆσαι : Εἰς μισθὸν ἀναλῶσαι, μισθὸν διδόναι ἐν τῇ ἐκκλησίᾳ καὶ τοῖς δικαστηρίοις, τὸν δικαστικὸν καὶ ἐκκλησιαστικόν. [παραδραμὼν δὲ, παρευδοκιμήσας.]

1354. τί κύπτεις : Ὡς αἰσχυνθέντος αὐτοῦ. δεῖ δὲ νοεῖν ὅτι ὁ δῆμος ἀκηκοὼς ταῦτα ὑπὸ αἰδοῦς κατέκυπτε καὶ εἰς τὴν γῆν ἀτενῶς ἀπέβλεπεν αἰδούμενος ἐφ' οἷς ἐδόκει μὴ καλῶς πράττειν.

οὐχὶ κατὰ χώραν μενεῖς : Οὐκ ἐπὶ σαυτοῦ μενεῖς καὶ ἡσυχίαν σχήσεις;

1358. ξυνήγορος : Προστάτης ὑπέρ τινων λέγων. *Victor.*

1360. εἰ μὴ καταγνώσεσθε : Εἰ μὴ κατακρινεῖτε καὶ καταδικάσετε.

1362. εἰς τὸ βάραθρον : Τόπος Ἀθήνησι βαθὺς, ὅπου καὶ τοὺς Δαρείου πρέσβεις ἔβαλον. πάντα δὲ τὰ ἐκεῖ βαλλόμενα ἀφανῆ ἐποίει.

1363. ἐκ τοῦ λάρυγγος : Ὅτε γὰρ κατεπόντουν τινὰς, βάρος ἀπὸ τῶν τραχήλων ἐκρέμων. [ἀντὶ δὲ τοῦ εἰπεῖν λίθον, Ὑπέρβολον εἶπεν.] φαίνεται δὲ ὁ Ὑπέρβολος ἤδη εἰσβὰς εἰς τὴν πολιτείαν. λέγεται δὲ λάρυγξ καὶ φάρυγξ.

1366. ναῦς ἐλαύνουσι μακρὰς : Πολεμίας. τὰς τριήρεις δέ φησι. τὰ δὲ στρογγύλα πλοῖα φορτηγά εἰσιν.

1368. ὑπολίσποις : Οἱ γὰρ Ἀθηναῖοι πάντες λεπτοὶ ἐτύγχανον τὰ ὀπίσθια ἀπὸ Θησέως. ὑπόλισπα δὲ τὰ τετριμμένα. κοινῶς γοῦν τοὺς Ἀθηναίους λισπόπυγάς φασι. καὶ πλάττονται τὸν περὶ Θησέως μῦθον, ὅτι ἑλκόμενος ὑπὸ τοῦ Ἡρακλέους κατέλιπεν ἐπὶ τὴν πέτραν τὴν πυγήν. νῦν δὲ οἰκείως εἶπεν ἐπὶ τῶν ἐρεσσόντων διὰ τὴν καθέδραν λεπτοπύγων ὄντων. Ἄλλως. ἐστενωμένοις. τοιαῦται δὲ αἱ πυγαὶ τῶν ναυτῶν διὰ τὴν συνεχῆ ἕδραν καὶ εἰρεσίαν.

1369. ἐν καταλόγῳ : Ἐν τῷ καταλόγῳ, ἐν τοῖς πίναξιν, ἐφ' ὧν ἐνέγραφον τῶν ἐκστρατευομένων τὰ ὀνόματα. ἐκαλοῦντο γὰρ κατάλογοι. [κατὰ σπουδὰς δὲ, κατὰ ἄλλου σπουδήν.]

1372. τὸν πόρπακα : Δειλὸς γὰρ καὶ ῥίψασπις ὁ Κλεώνυμος. [οὗ καὶ ἐν Νεφέλαις μέμνηται.]

1373. οὐδ' ἀγοράσει : Οὐ νῦν ἐν ἀγορᾷ διατρίψει.

1374. Κλεισθένης καὶ Στράτων : Γύννιδες οὗτοι καὶ πιττούμενοι τὰ γένεια, λεῖοι δὲ καὶ μαλακοί.

1375. τὰν τῷ μύρῳ : Οὕτως Ἀττικῶς ἀντὶ τοῦ ἐν μυροπωλείῳ, ἀπὸ τῶν πωλουμένων τοὺς τόπους καλοῦντες.

1377. Φαίαξ : Δεινὸς ῥήτωρ ὁ Φαίαξ οὗτος, ὡς καὶ ἀποφυγεῖν ἐπὶ θανάτῳ ἐπ' αὐτοφώρῳ κρινόμενος. κωμῳδεῖται δὲ ὡς παρακρούων τὰ μειράκια [καὶ ἐξαπατῶν].

1378. συνερκτικὸς : Συνείρειν τοὺς λόγους καὶ συντιθέναι δυνάμενος εὐκόλως. περαντικὸς δὲ, πέρας ἐπιτιθεὶς τοῖς λόγοις.

1379. κρουστικός : Τὰ ὦτα τῶν ἀκροωμένων κρούων τῇ σφοδρότητι τῶν λόγων.

1380. καταληπτικός : Προκαταλαμβανόμενος τοὺς ἀκούοντας ὥστε θόρυβον μὴ κινῆσαι.

1381. καταδακτυλικὸς : Ἀντὶ τοῦ συνουσιαστικὸς κατὰ τοῦ δακτυλίου τοῦ πρωκτοῦ. τοῦ λαλητικοῦ δὲ, τῶν λαλούντων ταῦτα, τῶν περὶ Κλεισθένη καὶ Στράτωνα. ἄδηλος δὲ ὁ στίχος, καὶ πάντες αὐτὸν ἐσημειώσαντο διὰ τὸ ἀκατάλληλον. ἄδηλον γὰρ τίς τίνι λέγει.

1384. ὀκλαδίαν : Ὀκλαδίας ὁ συγκεκλασμένος δίφρος καὶ ποτὲ μὲν ἐντεινόμενος, ποτὲ δὲ συστελλόμενος.

1385. καὶ παῖδ' ἐνόρχην : Ἐπειδὴ παρὰ τοῖς βαρβάροις σπάδωνες, οὗτος ἐνόρχην δίδωσι.

1396. [τοῦτον : Τὸν παῖδα. παίζει δὲ, περαίνειν καὶ κύφειν ποίει κακεμφάτως.]

1388. τριακοντούτιδας : Πόρνας εἰσφέρει. διὸ καὶ φησὶν, « ἔξεστιν αὐτῶν κατατριακοντουτίσαι » [τουτέστιν εἰς συνουσίαν λαβεῖν].

1389. σπονδὰς : Σπονδὰς ἐσπείσαντο μετὰ Εὐβοίας ἅλωσιν οἱ Ἕλληνες πρὸς ἑαυτοὺς πρὸ τοῦ Πελοποννησιακοῦ πολέμου.

1390. ὡς καλαί : Εἰσῆλθον αἱ σπονδαὶ ἑταῖραι ὡραῖαι [τὰς ὄψεις], ὑποκρινόμεναι τὰ πρόσωπα τῶν σπονδῶν, πρὸς ἃς λέγει ὁ δῆμος.

1392. οὐ γὰρ ὁ Παφλαγὼν : Μετὰ γὰρ τὴν Κλέωνος καὶ Βρασίδου τελευτὴν σπονδαὶ τοῖς Πελοποννησίοις καὶ Ἀθηναίοις ἐγένοντο τριακοντούτιδες. οὗτοι γὰρ ἠναντιοῦντο τῇ εἰρήνῃ. ἀποθανόντων δὲ αὐτῶν ἐγένοντο αἱ σπονδαί.

1399. τὰ κύνεια μιγνὺς : Συμφύρων τὰ τῆς πόλεως πράγματα, ὅτι καὶ οἱ μάγειροι τὰ κρέα μιγνύουσιν. [ἔθος γὰρ αὐτοῖς μιγνύειν κρέα προβάτων τε καὶ αἰγῶν, καὶ προτιθέναι ὡς μόνων προβάτων, καὶ ἐξαπατᾶν τοὺς ἀφελεστέρους.]

1401. τὸ λοῦτρον : Τὸ ἀπόλουμα καὶ ῥυπαρὸν, ὅ ἐστι, τὸ ἀπόλουτρον. [ἐς τὴν ἕδραν δὲ, εἰς τὴν προεδρίαν.]

1406. τὴν βατραχίδα : Εἶδος ἐσθῆτος ἀνθινῆς, ὅμοιον τῷ ὀνόματι ἐχούσης τὸ χρῶμα.

1407. ἐκφερέτω : Αἰρόμενος ἐκφέρεται ὁ Κλέων. τὸ δὲ ἔξῃς, ἵνα ἴδωσιν αὐτὸν οἱ ξένοι οἷς ἐλωβᾶτο.

ΝΕΦΕΛΑΙ.

(ΥΠΟΘΕΣΕΙΣ.)

I.

Τὸ δρᾶμα κατὰ Σωκράτους γέγραπται τοῦ φιλοσόφου ἐπίτηδες ὡς κακοδιδασκαλοῦντος τοὺς νέους Ἀθήνησι, τῶν κωμικῶν πρὸς τοὺς φιλοσόφους ἐχόντων τινὰ ἀντιλογίαν· οὐχ, ὥς τινες, δι' Ἀρχέλαον τὸν Μακεδόνων βασιλέα, ὅτι προὔκρινεν [αὐτὸν] Ἀριστοφάνους.

II.

Φασὶ τὸν Ἀριστοφάνην γράψαι τὰς Νεφέλας ἀναγκασθέντα ὑπὸ Ἀνύτου καὶ Μελήτου, ἵνα προδιασκέψαιντο ποῖοί τινες εἶεν Ἀθηναῖοι κατὰ Σωκράτους ἀκούοντες. ηὐλαβοῦντο γὰρ, ὅτι πολλοὺς εἶχεν ἐραστὰς, καὶ μάλιστα τοὺς περὶ Ἀλκιβιάδην, οἳ καὶ ἐπὶ τοῦ δράματος τούτου μηδὲ νικῆσαι ἐποίησαν τὸν ποιητήν. ὁ δὲ πρόλογός ἐστι τῶν Νεφελῶν ἁρμοδιώτατα καὶ δεξιώτατα συγκείμενος. πρεσβύτης γάρ ἐστιν ἄγροικος ἀχθόμενος παιδὶ ἀστικοῦ φρονήματος γέμοντι καὶ τῆς εὐγενείας εἰς πολυτέλειαν ἀπολελαυκότι. ἡ γὰρ τῶν Ἀλκμαιωνιδῶν οἰκία, ὅθεν ἦν τὸ πρὸς μητρὸς γένος ὁ μειρακίσκος, ἐξ ἀρχῆς, ὥς φησιν Ἡρόδοτος [6, 125], τεθριπποτρόφος ἦν καὶ πολλὰς ἀνῃρημένη νίκας, τὰς μὲν Ὀλυμπίασι, τὰς δὲ Πυθοῖ, ἐνίας δὲ Ἰσθμοῖ καὶ Νεμέᾳ καὶ ἐν ἄλλοις πολλοῖς ἀγῶσιν. εὐδοκιμοῦσαν οὖν ὁρῶν ὁ νεανίσκος ἀπέκλινε πρὸς τὸ ἦθος τῶν πρὸς μητρὸς προγόνων.

III.

Πρεσβύτης τις Στρεψιάδης ὑπὸ δανείων καταπονούμενος διὰ τὴν ἱπποτροφίαν τοῦ παιδὸς, δεῖται τούτου, φοιτήσαντα ὡς τὸν Σωκράτη μαθεῖν τὸν ἥττονα λόγον, εἴ πως δύναιτο τὰ ἄδικα λέγων ἐν τῷ δικαστηρίῳ τοὺς χρήστας νικᾶν καὶ μηδενὶ τῶν δανειστῶν μηδὲν ἀποδοῦναι. οὐ βουλομένου δὲ τοῦ μειρακίσκου, διαγνοὺς αὐτὸς ἐλθὼν μανθάνειν, μαθητὴν τοῦ Σωκράτους ἐκκαλέσας τινὰ διαλέγεται. ἐκλυθείσης δὲ τῆς διατριβῆς, οἵ τε μαθηταὶ κύκλῳ καθήμενοι πιναροὶ συνορῶνται καὶ αὐτὸς ὁ Σωκράτης ἐπὶ τῆς κρεμάθρας αἰωρούμενος καὶ ἀποσκοπῶν τὰ μετέωρα θεωρεῖται. μετὰ ταῦτα τελεῖν παραλαβὼν τὸν πρεσβύτην, καὶ τοὺς νομιζομένους παρ' αὐτῷ θεοὺς, Ἀέρα, προσέτι δὲ καὶ Αἰθέρα καὶ Νεφέλας κατακαλεῖται. πρὸς δὲ τὴν εὐχὴν εἰσέρχονται Νεφέλαι ἐν σχήματι χοροῦ· καὶ φυσιολογήσαντος οὐκ ἀπιθάνως τοῦ Σωκράτους ἀποκαταστᾶσαι πρὸς τοὺς θεατὰς περὶ πλειόνων διαλέγονται. μετὰ δὲ ταῦτα ὁ μὲν πρεσβύτης διδασκόμενος ἐν τῷ φανερῷ τινὰ τῶν μαθημάτων γελωτοποιεῖ· καὶ ἐπειδὴ διὰ τὴν ἀμαθίαν ἐκ τοῦ φροντιστηρίου ἐκβάλλεται, ἄγων πρὸς βίαν τὸν υἱὸν συνίστησι τῷ Σωκράτει. τούτου δὲ ἐξαγαγόντος αὐτῷ ἐν τῷ θεάτρῳ τὸν ἄδικον καὶ τὸν δίκαιον λόγον, διαγωνισθεὶς ὁ ἄδικος πρὸς τὸν δίκαιον λόγον, καὶ παραλαβὼν αὐτὸν ὁ ἄδικος λόγος ἐκδιδάσκει. κομισάμενος δὲ αὐτὸν ὁ πατὴρ ἐκπεπονημένον ἐπηρεάζει τοῖς χρήσταις, καὶ ὡς κατωρθωκὼς, εὐωχεῖ παραλαβών. γενομένης δὲ περὶ τὴν εὐωχίαν ἀντιλογίας, πληγὰς λαβὼν ὑπὸ τοῦ παιδὸς βοὴν ἵστησι, καὶ προσκαταλαλούμενος ὑπὸ τοῦ παιδὸς ὅτι δίκαιον τοὺς πατέρας ὑπὸ τῶν υἱῶν ἀντιτύπτεσθαι, ὑπεραλγῶν διὰ τὴν πρὸς τὸν υἱὸν σύγκρουσιν ὁ γέρων, κατασκάπτει καὶ ἐμπίπρησι τὸ φροντιστήριον τῶν Σωκρατικῶν. τὸ δὲ δρᾶμα τῶν πάνυ δυνατῶς πεποιημένων.

IV.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΓΡΑΜΜΑΤΙΚΟΥ.

Πατὴρ τὸν υἱὸν σωκρατίζειν βούλεται·
καὶ τῆς περὶ αὐτὸν ψυχρολογίας διατριβὴ
ἱκανὴ, λόγων τ' ἀπόνοια πρὸς τοὐναντίον.
χορὸς δὲ Νεφελῶν ὡς ἐπωφελῆ λέγων,
καὶ τὴν ἀσέβειαν Σωκράτους διεξιών·
ἄλλαι θ' ὑπ' ἀνέρος κατηγορίαι πικραὶ,
καὶ τῶν μαθητῶν εἰς πατραλοίας ἐκτόπως.
εἶτ' ἐμπυρισμὸς τῆς σχολῆς τοῦ Σωκράτους.

V.

Αἱ πρῶται Νεφέλαι ἐδιδάχθησαν ἐν ἄστει ἐπὶ ἄρχοντος Ἰσάρχου, ὅτε Κρατῖνος μὲν ἐνίκα Πυτίνῃ, Ἀμειψίας δὲ Κόννῳ. διόπερ Ἀριστοφάνης ἀπορριφθεὶς παραλόγως ᾠήθη δεῖν ἀναδιδάξαι τὰς Νεφέλας τὰς δευτέρας, καὶ ἀπομέμφεσθαι τὸ θέατρον. ἀποτυχὼν δὲ πολὺ μᾶλλον καὶ ἐν τοῖς ἔπειτα οὐκέτι τὴν διασκευὴν εἰσήγαγεν. αἱ δὲ δεύτεραι Νεφέλαι ἐπὶ Ἀμεινίου ἄρχοντος.

VI.

Τοῦτο ταυτόν ἐστι τῷ προτέρῳ. διεσκεύασται δὲ ἐπὶ μέρους, ὡς ἂν δὴ ἀναδιδάξαι μὲν αὐτὸ τοῦ ποιητοῦ προθυμηθέντος, οὐκέτι δὲ τοῦτο δι' ἣν ποτε αἰτίαν ποιήσαντος. καθόλου μὲν οὖν σχεδὸν παρὰ πᾶν μέρος γεγενημένη διόρθωσις. τὰ μὲν γὰρ περιῄρηται, τὰ δὲ παραπέπλεκται, καὶ ἐν τῇ τάξει καὶ ἐν τῇ τῶν προσώπων διαλλαγῇ μετεσχημάτισται. τὰ δὲ ὁλοσχεροῦς τῆς διασκευῆς τοιαῦτα ὄντα τετύχηκεν. αὐτίκα ἡ παράβασις τοῦ χοροῦ ἤμειπται καὶ ὅπου ὁ δίκαιος λόγος πρὸς τὸν ἄδικον λαλεῖ, καὶ τελευταῖον ὅπου καίεται ἡ διατριβὴ Σωκράτους.

VII.

Τὴν μὲν κωμῳδίαν καθῆκε κατὰ Σωκράτους ὡς τοιαῦτα νομίζοντος καὶ Νεφέλας καὶ Ἀέρα καὶ τί γὰρ ἀλλ' ἢ ξένους εἰσάγοντος δαίμονας· χορῷ δὲ ἐχρήσατο Νεφελῶν πρὸς τὴν τοῦ ἀνδρὸς κατηγορίαν, καὶ διὰ τοῦτο οὕτως ἐπεγράφη τὸ δρᾶμα. δίτται δὲ φέρονται Νεφέλαι. οἱ δὲ κατηγορήσαντες Σωκράτους, Ἄνυτος καὶ Μέλητος. τὸ δὲ δρᾶμα τῆς ὅλης ποιήσεως κάλλιστόν φασι καὶ τεχνικώτατον.

VIII.

ΘΩΜΑ ΤΟΥ ΜΑΓΙΣΤΡΟΥ.

[Ἄνυτος καὶ Μέλητος Σωκράτει τῷ Σωφρονίσκου βασκήναντες καὶ αὐτὸν μὴ δυνάμενοι βλάψαι ἀργύριον ἱκανὸν Ἀριστοφάνει δεδώκασιν, ἵνα δρᾶμα κατ' αὐτοῦ συστήσηται. καὶ ὃς πεισθεὶς γέροντά τινα Στρεψιάδην καλούμενον ἐπλάσατο ὑπὸ χρεῶν πιεζόμενον, ἃ δὴ ἀνηλώκει περὶ τὴν τοῦ παιδὸς Φειδιππίδου ἱπποτροφίαν. οὕτω δὲ τούτων ἐχόντων, μὴ ἔχων ὁ Στρεψιάδης τί ποιήσει περὶ τὰ χρέα, βουλεύεται προσαγαγεῖν τῷ Σωκράτει τὸν ἑαυτοῦ παῖδα, ἵνα παρ' αὐτοῦ τὸν ἄδικον μάθῃ λόγον, καὶ οὕτω τοὺς δανειστὰς ἀποκρούσηται. Φειδιππίδης μὲν οὖν, πολλὰ δεηθέντος τοῦ πατρὸς, προσελθεῖν οὐκ ἐπείσθη· ἀποτυχὼν δὲ ὁ πρεσβύτης τῆς ἐπ' ἐκεῖνον ἐλπίδος καὶ οὐκ ἔχων ὅστις καὶ γένηται, εἰς δεύτερον εἶδε πλοῦν. οὐδὲν οὖν τῆς ἡλικίας φροντίσας οὐδ' ἐνθυμηθεὶς εἴ τισιν ἄτοπος δόξειεν ἀνὴρ ἐν γήρᾳ οὐδῷ μανθάνειν καθάπερ κομιδῇ νέος ἀρχόμενος, ἀλλ' εἰς ἓν ἀφεωρακὼς μόνον ἐκεῖνο, ἐὰν ἄρα οἷός τε γένηται τοὺς δανειστὰς διὰ πειθοῦς ἀποστερῆσαι τὰ χρήματα, αὐτὸς πρόσεισι τῷ Σωκράτει. οὐκ ἔχων δὲ ὑπηρετοῦντα τῇ βουλήσει τὸν νοῦν, ἀλλὰ τοιοῦτος ὢν οἷς ἐμάνθανεν, οἷος καὶ πρὶν τῆς παιδείας ἐφῆφθαι, αὐτὸς μὲν ἀπέγνω παιδεύεσθαι, προσελθὼν δὲ τῷ παιδὶ καὶ αὖθις πολλαῖς πέπεικε ταῖς δεήσεσιν ἕνα τῶν Σωκράτους ὁμιλητῶν γενέσθαι. ὁ δὲ καὶ γέγονε καὶ μεμάθηκε. συνίσταται δὲ τὸ δρᾶμα ἐκ χοροῦ Νεφελῶν. ἔχει δὲ κατηγορίαν τοῦ Σωκράτους, ὅτι τοὺς συνήθεις θεοὺς ἀφεὶς καινὰ ἐνόμιζε δαιμόνια, Ἀέρα καὶ Νεφέλας καὶ τὰ τοιαῦτα.]

IX.

[Πρεσβύτης τις Στρεψιάδης ὑπὸ δανείων καταπονούμενος διὰ τὴν ἱπποτροφίαν τοῦ παιδὸς, δεῖται τούτου φοιτήσαντα εἰς τὸν Σωκράτην μαθεῖν τὸν ἄδικον λόγον, ὅπως μηδενὶ τῶν δανειστῶν μηδὲν ἀποδώσῃ. μὴ βουλομένου δὲ τοῦ παιδὸς, εἰσέρχεται αὐτός. καὶ μὴ δυνάμενος μαθεῖν διὰ τὸ γῆρας ἐκδιώκεται. ὑποστρέψας δὲ καὶ τῷ υἱῷ πείσας ἦγαγεν αὐτὸν τῷ Σωκράτει, ὃς καλέσας τὸν δίκαιον λόγον καὶ ἄδικον καὶ αἵρεσιν τῷ νέῳ δοὺς ἐκλέξασθαι, διδάσκει ἐκεῖνον τὸν ἄδικον λόγον. μαθὼν δὲ ὁ υἱὸς ὅπερ ἐβούλετο ὁ πατὴρ καὶ τὴν παχύτητα ἐκείνου καταγνοὺς τύπτει τὸν πατέρα αὐτὸν ἑστιῶντα. ὁ δὲ ἀλγήσας διὰ τὴν τοῦ παιδὸς ἀσέβειαν ἀπελθὼν κατακαίει τὸ φροντιστήριον, νομίσας Σωκράτην αἴτιον τῆς ἀσεβείας τοῦ παιδὸς εἶναι. κατηγορεῖ δὲ ἐνταῦθα τοῦ Σωκράτους ὡς ἀσεβοῦς καὶ ξένους θεοὺς ἐπεισάγοντος, ἀφέντος τοὺς συνήθεις. ἐπιγράφεται δὲ Νεφέλαι, διότι παρεισάγεται χορὸς Νεφελῶν ὁμιλῶν τῷ Σωκράτει, ἃς ἐνόμιζε θεὰς, ὡς Ἀριστοφάνης κατηγορεῖ. ὁ γὰρ Ἄνυτος καὶ Μέλητος φθονοῦντες Σωκράτει καὶ μὴ δυνάμενοι ἄλλως βλάψαι ἢ φανερῶς κατηγορῆσαι μεγάλου ὄντος ἱκανὸν ἀργύριον δεδώκασιν Ἀριστοφάνει ταύτην τὴν κωμῳδίαν κατ' ἐκείνου γράψαι. τὰ δὲ πρόσωπα Στρεψιάδης, Φειδιππίδης, μαθητὴς Σωκράτους, Σωκράτης, χορὸς Νεφελῶν, δίκαιος λόγος, ἄδικος λόγος, Πασίας δανειστὴς, μάρτυς.]

X.

[Τὸ δρᾶμα τῶν Νεφελῶν κατὰ Σωκράτους γέγραπται τοῦ φιλοσόφου ἐπίτηδες, ὡς κακοδιδασκαλοῦντος τοὺς νέους Ἀθηνησι, τῶν κωμικῶν πρὸς τοὺς φιλοσόφους ἀπεχθῶς ἐχόντων. ἄλλοι δέ φασι τὸν Ἀριστοφάνην τὸ τῶν Νεφελῶν συντάξασθαι δρᾶμα ὑπὸ Ἀνύτου καὶ Μελήτου παροξυνθέντα. βουλόμενοι γὰρ οὗτοι γραφὴν ποιήσασθαι κατὰ Σωκράτους καὶ θέλοντες πεῖραν λαβεῖν τῆς τῶν Ἀθηναίων γνώμης περὶ Σωκράτους ὁποῖοί τινες ἂν φανεῖεν, κατ' αὐτοῦ γραφῆς ἐνισταμένης, πολλοὺς γὰρ εἶχεν ἐραστὰς ἐκεῖνος καὶ μάλιστα τοὺς περὶ Ἀλκιβιάδην, οἳ καὶ ἐπὶ τοῦ δράματος τούτου μηδὲ νικῆσαι ἐποίησαν τὸν ποιητὴν, τοῦθ' ἕνεκεν αὐτὸν ἐπὶ τὴν τοῦ δράματος τοῦδε παρώτρυναν ποίησιν χρήμασιν αὐτὸν ἱκανοῖς, ὡς λόγος, δεξιωσάμενοι. ἐστὶ δὲ ὁ τοῦ δράματος πρόλογός τε καὶ ἡ ὑπόθεσις δεξιώτατα καὶ ἁρμοδιώτατα συγκείμενα. πλάττεται γάρ τις ἄγροικος πρεσβύτης Στρεψιάδης ὄνομα ἀχθόμενος παιδὶ Φειδιπ-

πίδῃ καλουμένῳ φρονήματος γέμοντι ἀστικοῦ, καὶ διὰ τὴν τῆς οἰκίας εὐγενείας πολυτέλειαν πάντα τὰ τοῖς γονεῦσι προσόντα καταναλώσαντι, καὶ μάλιστα εἰς ἱπποτροφίας. ἡ γὰρ τῶν Ἀλκμαιωνιδῶν οἰκία ὅθεν ἦν τὸ πρὸς μητρὸς γένος τῷ μειρακίσκῳ ἐξ ἀρχῆς, ὥς φησιν Ἡρόδοτος, ἱπποτρόφος ἦν καὶ πολλὰς ἀνῃρημένη τὰς νίκας, τὰς μὲν Ὀλυμπίασι, τὰς δὲ Πυθοῖ, ἐνίας δὲ Ἰσθμοῖ καὶ Νεμέᾳ, καὶ ἄλλας ἐν ἄλλοις. εὐδοκιμοῦσαν οὖν ὁρῶν ὁ νεανίσκος ἀπέκλινε πρὸς τὸ ἦθος τῶν πρὸς μητρὸς προγόνων. ὁ πατὴρ οὖν Στρεψιάδης ὑπὸ τῶν χρεῶν καταπονούμενος διὰ τὴν τοῦ παιδὸς ἱπποτροφίαν βούλεται προσαγαγεῖν τῷ Σωκράτει τὸν παῖδα, ἵν' ὑπ' αὐτοῦ διδαχθείη τὸν ἄδικον λόγον, ὡς ἂν ἐντεῦθεν δι' αὐτοῦ τοὺς δανειστὰς ἀποκρούσηται. δεῖται οὖν τοῦ παιδὸς πεισθῆναι τοῖς βεβουλευμένοις αὐτῷ· μὴ πεισθέντος δὲ τούτου, διαγνοὺς αὐτὸς ἐλθὼν μανθάνειν μηδεμίαν τῆς τοῦ γήρως ἡλικίας φροντίδα ποιησάμενος, μηδ' ἐνθυμηθεὶς εἴ τισιν ἄτοπον δόξειεν ἀνὴρ ἐν γήραος οὐδῷ μανθάνειν καθάπερ κομιδῆ νέος ἀρχόμενος, ἀλλ' εἰς ἓν ἀφεωρακὼς μόνον ἐκεῖνο, ἐὰν ἄρα οἷός τε γένηται τοὺς δανειστὰς διὰ πειθοῦς ἀποστερῆσαι τὰ χρήματα, αὐτὸς πρόσεισι τῷ Σωκράτει, καὶ μαθητήν τινα τοῦ Σωκράτους καλείσθαι (l. καλέσας) διαλέγεται περὶ τούτου, καὶ τῆς διατριβῆς διαλυθείσης, οἱ μαθηταὶ κύκλῳ καθήμενοι πιναροὶ συνορῶνται καὶ αὐτὸς δὲ ὁ Σωκράτης ἐπὶ κρεμάθρας αἰωρούμενος καὶ ἀποσκοπῶν τὰ μετέωρα θεωρεῖται. μετὰ ταῦτα τελεῖν παραλαβὼν τὸν πρεσβύτην καὶ τοὺς νομιζομένους παρ' αὐτῷ θεοὺς παραδοῦναι Ἀέρα τε καὶ Αἰθέρα, πρὸς δὲ καὶ Νεφέλας μετακαλεῖται· πρὸς δὲ τὴν εὐχὴν εἰσέρχονται Νεφέλαι χοροῦ σχῆμα πληροῦσαι· καὶ φυσιολογήσαντος οὐκ ἀπιθάνως τοῦ Σωκράτους ἀποστραφεῖσαι πρὸς τοὺς θεατὰς περὶ πλειόνων διαλέγονται. μετὰ ταῦτα ὁ πρεσβύτης διδασκόμενος μὲν ἐν τῷ φανερῷ, μὴ ἔχων δ' ὑπηρετοῦντα τῇ βουλήσει τὸν νοῦν, εἰς γέλωτα κινῆσθαι (l. κινήσας) τοὺς μαθητὰς τοῦ διδασκαλείου ἐκβάλλεται καὶ προσελθὼν αὖθις τῷ παιδὶ, πολλαῖς πέπεικε ταῖς δεήσεσιν ἕνα τῶν Σωκράτους ὁμιλητῶν γεγενῆσθαι. συνίστησιν οὖν αὐτὸν τῷ Σωκράτει καὶ ἐξαγαγόντος Σωκράτους ἐν τῷ θεάτρῳ τὸν ἄδικον καὶ τὸν δίκαιον λόγον, διαγωνίζονται πρὸς ἀλλήλους οἱ λόγοι καὶ νικηθεὶς ὁ ἄδικος παραλαβὼν τὸν νέον πρὸς τὸ διδάξαι, καὶ ἱκανῶς ἐκδιδάσκει. ὡς οὖν ἤδη ἐκπεπονημένον κομισάμενος αὐτὸν ὁ πατὴρ ἐπηρεάζει τοῖς χρήσταις, καὶ ὡς κατωρθωκὼς τὸ σπουδαζόμενον εὐωχίαν συνίστησιν· ἐν ᾗ καὶ ἀντιλογίας γινομένης πληγὰς λαβὼν ὑπὸ τοῦ παιδὸς βοὴν ἴστησι· καὶ προσκαταλαλούμενος ὑπὸ τοῦ παιδὸς ὅτι δίκαιον τοὺς πατέρας ὑπὸ τῶν υἱῶν τύπτεσθαι ὑπεραλγῶν τούτου χάριν κατασκάπτει καὶ ἐμπίπρησι τὸ σωκρατικὸν φροντιστήριον. ἐστὶ δὲ τὸ δρᾶμα τῶν πάνυ δυνατῶς πεποιημένων.]

SCHOLIA IN NUBES.

[Ἡ εἴσθεσις τοῦ δράματος ἄρχεται ἐκ συστηματικῆς περιόδου, καὶ ἑξῆς ἐκ προσώπων ἀμοιβαίων· οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι σνθ', ὧν προτίθεται ἐν ἀρχῇ τοῦ δράματος κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον. ἐν ἐκθέσει κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον· καὶ μετὰ τὸν διακοσιοστὸν τριακοστὸν τρίτον ἕτερον κῶλον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον. τελευταῖος δὲ πάντων τούτων οὗτος

καταπαττόμενος γὰρ παιπάλη γενήσομαι.

ἐπὶ ταῖς ἀποθέσεσι τῶν συστημάτων παράγραφος. ἐπὶ δὲ τῷ τέλει πάντων τῶν στίχων κορωνίς.]

1. ἰοὺ ἰού : Σχετλιαστικὸν ἐπίρρημα. διὰ γὰρ τὸ ἐγρηγορέναι καὶ ἀγρυπνεῖν δυσφορῶν ἀναβοᾷ. συμβαίνει γὰρ τοῖς ἀγρυπνοῦσι (μάλιστα) μεγάλας τὰς νύκτας νομίζειν. [ἠγρύπνει δὲ ὁ Στρεψιάδης μὴ δυνάμενος ὑπνώττειν ὑπὸ τῆς τῶν χρεῶν φροντίδος. τὸ δὲ προοίμιον σχετλιαστικὸν ἐκ τοῦ πράγματος.]

2. βασιλεῦ : Οὐκ ἀργῶς χρὴ τοῦτο νομίζειν εἰρηκέναι τὸν ποιητήν· ἔχεται γὰρ ἱστορίας τὸ ὦ Ζεῦ βασιλεῦ τοιαύτης. τοῖς Ἀθηναίοις Πυθόχρηστον ἐγένετο καταλῦσαι μὲν τὰς βασιλείας, προστήσασθαι δὲ καὶ σέβειν Δία βασιλέα. ὥστε τὸ λεχθὲν τῆς ἱστορίας ταύτης ἔχεσθαι χρὴ νομίζειν. — εἰώθασι δὲ παρὰ τὰς συμφορὰς ἀναβοᾶν τὸν Δία, ὡς παρὰ τῷ ποιητῇ [Iliad. K, 15] Ἀγαμέμνων « προθελύμνους ἕλκετο χαίτας ὑψόθ' ἐόντι Διί. » R. V.

τὸ χρῆμα τῶν νυκτῶν : Τὸ μέγεθος, τὸ ἔκταμα. (ἔθος δὲ τοῖς Ἀττικοῖς ἐπαγωγῇ χρῆσθαι, οἷον, ἵππος σπάνιόν τι χρῆμα· [καὶ] γυνὴ σπάνιόν τι χρῆμα· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως ὧν ἂν ἐξευρεῖν βούλωνται μάλιστα.) — αἱ νύκτες. ὅσον : Πολύ. Θ.

3. ἀπέρατον : Ἀντὶ τοῦ μέγα, οὗ πέρας οὐκ ἔστιν. οἱ δὲ ἀπέραντον μετὰ τοῦ ν γράφοντες ἁμαρτάνουσι. ζητεῖται δὲ πῶς μεγάλας τὰς νύκτας λέγει. Διονυσιακοῦ γὰρ ὄντος τοῦ δράματος, συνεστάλθαι τὰς νύκτας ἀνάγκη, διὰ τὸ τοιούτῳ καιρῷ ὑποπίπτειν τὰ Διονύσια· πλὴν εἰ μὴ τούτῳ μεγάλαι καταφαίνονται (τῷ φροντίζειν καὶ ἀγρυπνεῖν), ὅπερ συμβαίνει πάσχειν τοὺς ἀγρυπνοῦντας. παρεπιγραφὴ δέ. συγκεκαλυμμένος καὶ καθεύδων ὑποτίθεται ἐξανακαλυψάμενος καὶ ἔξω τὴν κεφαλὴν ποιήσας τοῦ περιβλήματος. — ἀπλήρωτον, ἀτελείωτον. Br. ἀπέρατον, τὸ μὴ ἔχον πέρας· ἀπέραντον δὲ, τὸ μὴ περαινόμενον, καὶ τὸ ὅπερ μὴ δύναιτ' ἄν τις ἐξελθεῖν. C. ἀτελές· οἱ γὰρ ἀγρυπνοῦντες ὑπὸ φροντίδος τινὸς μεγάλας τὰς νύκτας λογίζονται. Θ.

4. ἀλεκτρύονος : Τούτου γὰρ ἡ φωνὴ ἔμφασιν ἡμέρας παρίστησιν. Θ.

5. οἱ δ' οἰκέται ῥέγκουσιν : [Οὕτως Ἀττικοὶ διὰ τοῦ κ.] νῦν οἰκέτας οὐ τοὺς θεράποντας μόνον λέγει, ἀλλὰ πάντας τοὺς κατὰ τὴν οἰκίαν. καθεύδουσι νῦν, φησίν, ὡς τῶν ἄλλων μὲν ἀμεριμνούντων, αὐτοῦ δὲ φροντίζοντος. διὰ τοῦτο δὲ ῥέγκουσιν εἶπεν, ἵνα μᾶλλον αὐτοὺς δείξῃ πάσης ὄντας ἔξω φροντίδος. τῶν γὰρ βαθέως καθευδόντων ἴδιον τὸ ῥέγκειν, τῶν δὲ μηδὲν φροντιζόντων τὸ βαθέως κοιμᾶσθαι. — ῥέγκουσι : ἔστι δὲ Ἀττικόν. ἐπεὶ καὶ ῥέγχουσι γρ. τὸ δὲ ῥέγκουσιν ἀπὸ τῶν Ἰώνων λέγουσι λαβόντες, οἵτινες ἀεὶ τὰ δασέα εἰς ψιλὰ τρέπουσι. Harl. 5. βαθέως ὑπνώττουσι καὶ ὅ φασιν ἰδιωτικῶς ῥοχαλίζουσι. Θ.

(ἀλλ' οὐκ ἂν προτοῦ : Ἀλλ' οὐκ ἂν πρότερον. ἐν γὰρ τῇ εἰρήνῃ, φησίν, ἐξέπεμπον αὐτοὺς ἐργασομένους εἰς τοὺς ἀγρούς, ὡς ὑπὸ τῆς περὶ τὴν γεωπονίαν ἀσχολίας μὴ ἀνέτως μηδὲ οὕτω βαθέως δύνασθαι καθεύδειν.)

6. ἀπόλοιο δῆτ', ὦ πόλεμε : Πόλεμος ἦν κατ' ἐκεῖνο καιροῦ καὶ τοσοῦτον ἐδυστύχησαν Ἀθηναῖοι ὥστε μηδὲ τὰ σώματα τῶν ἀποθανόντων ταφῆναι ἕως οὗ οἱ δοῦλοι ἐξελθόντες ἐνίκησαν τοὺς Λακεδαιμονίους περὶ Ἀργενούσας καὶ τὰ σώματα τῶν ἀποθανόντων ἐκόμισαν καὶ διὰ τοῦτο ἠλευθερώθησαν καὶ οὐκ ἐξῆν οὐδενὶ τύπτειν δοῦλον. ἢ ὅτι ἐν εἰρήνῃ ἐξέπεμπον αὐτοὺς ἐργασομένους εἰς τὸν ἀγρὸν, ὡς ὑπὸ τῆς περὶ τὴν γεωργίαν σχολῆς μὴ δύνασθαι οὕτω (βαθέως) καθεύδειν. R. V. [φασὶν ὡς Ἀθηναῖοι, Λακεδαιμονίοις ἐν Ἀργινούσαις ναυμαχήσειν μέλλοντες, προεῖπον τοῖς δούλοις, ὡς εἴ τις αὐτῶν συμπαρατάξεται τῇ ναυμαχίᾳ, τιμῆς εἰς τὸ λοιπὸν ἀπολαύσειεν. βοηθησάντων οὖν τῶν δούλων, Λακεδαιμονίους ἐνίκησαν. καὶ ταῦτα μέν τινες φάσκουσι. τὸ δ' ἀληθὲς οὕτως ἔχει. Ἀθηναίοις καὶ Λακεδαιμονίοις πόλεμος ἦν. οὐκ ἤθελον οὖν Ἀθηναῖοι τοὺς δούλους κολάζειν, εἴ τι πταίσαιεν, δεδιότες μὴ πρὸς Λακεδαιμονίους αὐτομολήσωσι. τὸ δὲ ὅτε ποτὲ μὲν μόνον χρόνον δηλοῖ, ποτὲ δὲ καὶ χρόνον καὶ αἰτίαν, ὡς ἐστι κἀνταῦθα.]

7. ὅτ' : Ἐπεί. Θ.

8. ἀλλ' οὐδ' ὁ χρηστὸς οὑτοσί : Οὐκ ἐπαινῶν αὐτὸν χρηστόν φησιν, ἀλλ' εἰρωνευόμενος ἀντὶ τοῦ ἄχρηστος ἡμῖν γέγονεν. πῶς γὰρ δύναται θαυμάζειν, ὃν ἐπὶ ῥᾳθυμίᾳ διὰ τὸ καθεύδειν μέμφεται;

10. ἐγκεκορδυλημένος : Ἐγκεκαλυμμένος καὶ συνεστραμμένος ὥστε μηδὲ ἀνθρώπου σχῆμα δηλοῦν, (ἀλλ' ἐξοχὴν φαίνεσθαι τῶν στρωμάτων. κορδύλη δὲ ἰδίως λέγεται τὸ ἐν τῇ κεφαλῇ ὑπερεξέχον οἴδημα ὑπὸ πληγῆς εἰς ὕψος καὶ ὄγκον ἀρθὲν, ὃ καλοῦμεν κόνδυλον. Κρέων δὲ ἐν τῷ πρώτῳ τῶν Κυπριακῶν κορδύλην φησὶ καλεῖσθαι τὸ πρὸς κεφαλῇ προσείλημα, ὃ δὴ παρὰ Ἀθηναίοις καλεῖται κρώβυλον, παρὰ δὲ Πέρσαις κιδάριον. ὅτι δὲ νῦν ἐγκεκορδυλημένος ἀντὶ τοῦ ἐνειλημένος καὶ ἐγκρύψας ἑαυτὸν δηλοῖ σαφέστερον ἐκ τῶν ἐπιφερομένων εἰπὼν « ἀλλ' εἰ δοκεῖ, ῥέγκωμεν ἐγκεκαλυμμένοι. ») ἰστέον δὲ ὅτι λήγοντος μὲν τοῦ χειμῶνος, ἀρχομένου δὲ ἔαρος ἄγεται τὰ Διονύσια, ὥστε διὰ τὸ κρύος καὶ ψῦχος εἰκὸς ἦν οὕτω καθεύδειν αὐτοὺς (τοιούτῳ σχήματι τὴν κεφαλὴν περιβεβλημένους, ὅθεν καὶ πέντε περιβόλαια περιβεβλῆσθαι τὸν υἱὸν εἶπε.) V. R. (ἐν πέντε στισύραις : Στερεὰ περιβλήματα παχέα ταῖς νῦν καλουμέναις ἐμφερῆ σισύραις. ἔστι δὲ φαῦλα καὶ μικρὰ περιβλήματα. ἰστέον ὅτι λήγοντος τοῦ χειμῶνος, ἀρχομένου δὲ τοῦ ἔαρος, γίνεται τὰ Διονύσια· ὥστε διὰ τὸ κρύος αὐτοὺς εἰκὸς καθεύδειν, τοιούτῳ σχήματι τὴν κεφαλὴν περιβεβλημένους, ὥστε καὶ πέντε περιβόλαια περιβεβλῆσθαι τὸν υἱόν. — ἐν : Ἐπί. Θ. σισύρη τὸ παχὺ ἱμάτιον ἀπὸ αἰγείων δερμάτων. *Vict.*

ἐγκεκορδυλημένος : Ἐγκεκρυμμένος. [ἐντετυλιγμένος. Θ.] κορδύλην γὰρ οἱ Κύπριοι λέγουσι τὸ περιείλημα τῆς κεφαλῆς. — ἐγκεκορδυλημένος : Ἐντετυλιγμένος, ἐγκεκρυμμένος. *Br.* ἀρχὴ γὰρ ἔαρος ἦν καὶ ἐνεκαλύπτοντο γούνναις ἔτι. Θ.

11. ἀλλ' εἰ δοκεῖ, ῥέγκωμεν : (Παρεπιγραφή. ποιήσας γὰρ ἀσχήμονα τὴν ὄψιν καὶ) τὸ σχῆμα τοῦ νεανίσκου μιμησάμενος, ὥσπερ ἐκεῖνος ἐκάθευδεν. ἀποστραφεὶς καὶ αὐτὸς πειρᾶται δῆθεν καθεύδειν, ἐγκρύψας τὴν κεφαλὴν τοῖς περιβλήμασι. — τοῦτο πρὸς ἑαυτὸν λέγει. ῥέγκωμεν : Ἀττικόν. ἐγκεκαλυμμένοι : Ἐσκεπασμένοι. Θ.

12. [ἀλλ' οὐ δύναμαι : Ἀλλ' οὐκ ἔπεισί μοι ὕπνος. εὐθὺς δὲ καὶ τὴν αἰτίαν ἐπάγει τοῦ μὴ δύνασθαι καθεύδειν.]

δειλαίος : Ἄθλιος, κακοδαίμων.

δακνόμενος : Ἐνοχλούμενος ὑπὸ τῶν τῆς ἱπποτροφίας ἀναλωμάτων. δοκεῖ γὰρ δαπανηρὸν εἶναι τὸ ἵππους τρέφειν· (ὅπερ καὶ τῇ Λακωνικῇ προστέζευκται κατάρᾳ. καὶ γὰρ δὴ καὶ τοῦτο οἱ Λακεδαιμόνιοι ἐν κατάρας ἔθεσαν μέρει. τὸ δὲ δακνόμενος ἔλαβεν ἀπὸ τοῦ αὐτὸν κατακεκλεῖσθαι εἴσω τῶν στρωμάτων [καὶ τῶν περιβλημάτων]. τὸ δὲ) χρεῶν νῦν περισπαστέον. δηλοῖ γὰρ τῶν ὀφλημάτων. (εἴρηται δὲ παρὰ τὸ κόρεων. δαπάνην δὲ, τουτέστι τὰς δέσμας τοῦ χόρτου, ἵνα ἕξῃς ἀκολούθως τῇ φάτνῃ λέγειν δοκῇ.) — ἐνοχλούμενος. *Br.*

14. ὁ δὲ κόμην ἔχων : Ἐκόμων γὰρ οἱ περὶ ἱππικὴν ἔχοντες. καὶ τοῖς Ἱππεῦσι. [580]

μὴ φθονεῖθ' ἡμῖν κομῶσι μηδ' ἀπεστλεγγισμένοις.

[15.] ἱππεύεταί τε καὶ ξυνωρικεύεται : (Νῦν μὲν ἐπὶ κέλητος, νῦν δὲ ἐπὶ ξυνωρίδος ἅρματος ὀχούμενος ἄνω καὶ κάτω βακχεύει.) ξυνωρὶς τὸ μὴ πλῆρες ἅρμα, ἀλλ' ἐκ δυοῖν ἵππων συνεστὸς, ὃ δὴ δίφρον καλοῦμεν. τὸ δὲ ἱππεύεσθαι, οὐχ ἁπλῶς χρείαν περὶ ἱππικὴν ἔχειν, ἀλλὰ τὸ ἐπὶ ἑνὸς ἵππου ὀχεῖσθαι, ὃ καὶ νῦν κέλητα καλοῦσιν. — ἱππάζεται : Ἐν ἵππῳ ὀχεῖται. ξυνωρικεύεται : Ἐπὶ δίφρου φέρεται. *Br.*

16. ὀνειροπολεῖ θ' ἵππους : Κἀν τοῖς ὀνείροις ἵππους περινοεῖ. τουτέστιν, οὕτω προστέτηκε τῷ πράγματι

καὶ οὕτω περὶ ἵππους ἐσπούδακεν, ὥστε καὶ καθεύδων ὀνείρατα περὶ ἵππων ὁρᾶν. τὸ ὀνειροπολεῖν δὲ καὶ ὀνειρώττειν ταύτῃ διενήνοχεν, ὅτι τὸ μὲν ὀνειροπολεῖν ἐπὶ τῶν ἐνύπνιον ὁρώντων, τὸ δὲ ὀνειρώττειν ἐπὶ τῶν διὰ νυκτὸς αὐτομάτως ἀφιέντων γόνον· (ὅπερ τοῖς ἐν ἐπιθυμίᾳ τινὸς οὖσι συμβαίνει γίνεσθαι, δοξάζουσι τοῖς παιδικοῖς συνεῖναι). — ὀνειροπολεῖ : Ἥγουν ἐν ὀνείρασι φαντάζεται. Θ. *et Br.*

[17]. ὁρῶν ἄγουσαν τὴν σελήνην εἰκάδας : Ἤτοι ὅτι μετὰ τὴν εἰκάδα ὁ μὴν προσεγγίζει τῇ τριακάδι καὶ τῶν δανείων οἱ τόκοι αὐξάνονται· (ἢ ὅτι αἱ μυστικαὶ δαπάναι ὑπῆρχον. οἱ Ἀττικοὶ δὲ τὰς εἰκάδας πληθυντικῶς λέγουσιν. Ἄλλως. ἐπεὶ ἡ σελήνη ἐν ἡμέραις εἰκοσιεννέα τελεῖται, τὰ δὲ κ' τῶν εἰκοσιεννέα ἐγγύς, ἐδίδοντο δὲ ἐν τῷ τέλει τῆς σελήνης οἱ τόκοι, διὰ τοῦτο εἰκάδας εἶπεν. ἢ τὸ εἰκάδας μὴ νόει διὰ μόνα τὰ εἴκοσιν, ἀλλὰ καὶ διὰ τὰ ἐφεξῆς. τούτου γὰρ ἕνεκα πληθυντικῶς εἴρηται.) — ἤγουν ἤδη εἰς τέλος ἰοῦσαν. Θ.

18. ἅπτε παῖ λύχνον : (Ταῦτα πάντα παρεγκυκλήματά εἰσι καὶ παρεπιγραφαί.) δεῖ γὰρ τὸν οἰκέτην τὸ προσταχθὲν ποιῆσαι, καὶ ἅψαι τὸν λύχνον, καὶ δοῦναι τὸ βιβλίον, ἔπειτα καὶ ὁρᾶν εἰς τὸ βιβλίον καὶ οὕτω λέγειν τοὺς δανειστάς.

20. λογίσωμαι : Ψηφίσω. R. λογαριάσωμαι, λογαριάσω. Θ. *Br.*

[21]. δώδεκα μνᾶς Πασίᾳ : Τοῦτον ὡς ἱπποτρόφον καὶ διαπορθήσαντα τὴν οὐσίαν παρεισήγαγε. χαριέντως δὲ τούτου νῦν μνημονεύει, ἐπεὶ καὶ αὐτὸς δι' ἱπποτροφίαν δοκεῖ δυστυχεῖν.

22. (τοῦ δώδεκα μνᾶς : Καὶ τοῦτο παρεγκύκλημα ἐφίστησιν. ὡς διαπορῶν τοῦ δανείου τὴν αἰτίαν, εἶτα ἀναμνησθεὶς τὰ ἑξῆς ἐπάγει.) [τοῦ δώδεκα : Μὴ λάβῃς εἰς τὸ τοῦ ἔξωθεν τὸ ἕνεκα, ὡς οἴονταί τινες· ἀλλ' ἔστιν ἡ τοιαύτη γενικὴ πρὸς τὸ μνᾶς.] ἀντὶ τοῦ, ἐκ τοῦ δανείου ἐκείνου τί ἠγόρασα; R. τοῦ : Ἕνεκεν τίνος πράγματος. τί : Ἐς τί; κατὰ τί; *Br.*

23. τὸν κοππατίαν : Κοππατίας ἵππους ἐκάλουν, οἷς ἐγκεχάρακται τὸ κ στοιχεῖον, ὡς σαμφόρας τοὺς ἐγκεχαραγμένους τὸ σ. (τὸ γὰρ σ καὶ τὸ κ χαρασσόμενον σὰν ἔλεγον καὶ κόππα. αἱ δὲ χαράξεις αὗται καὶ μέχρι τοῦ νῦν σώζονται ἐπὶ τοῖς ἵπποις. συζευγνυμένου γὰρ τοῦ κ καὶ σ τὸ σχῆμα τοῦ ς ἀριθμοῦ δύναται νοεῖσθαι, οὗ προηγεῖται τὸ κόππα. καὶ παρὰ τοῖς γραμματικοῖς οὕτω διδάσκεται, καὶ καλεῖται κόππα ἐνενήκοντα. τινὲς δὲ κοππατίαν ἐξηγήσαντο τὸν κόπτοντα καὶ κοιλαίνοντα ταῖς ὁπλαῖς τὸ ἔδαφος, οὐ δεόντως ὑποτιθέμενοι. οὐδὲ γὰρ βουκεφάλας καλοῦμεν διὰ τὸ μορφὴν τοιαύτην ἔχειν, ἀλλὰ διὰ τὸ οὕτω κεχαράχθαι, οἷος, οἶμαι, καὶ ὁ τοῦ Ἀλεξάνδρου τοῦ Μακεδόνος ἵππος ἦν, ᾧ τελευτήσαντι τὴν Βουκεφάλειαν Ἀλέξανδρος ἔκτισεν, ἐντάφιον αὐτῷ τῆς ἀρετῆς χαριζόμενος πόλιν.)

24. εἶθ' ἑξεκόπην : Ἔπαιξε τὸ ἑξεκόπην παρὰ τὸ κοππατίαν. φησὶ δὲ, ὤφελον πρὶν πρίασθαι τὸν ἵππον, τὸν ὀφθαλμὸν ἐκκεκόφθαι (παταχθεὶς αὐτὸν) λίθῳ. — ἐξεκόπην : Ἐξέβαλον. λίθῳ : Διὰ λίθου. *Cod. in Catal. codd. Nanian.* p. 478.

25. Φίλων, ἀδικεῖς : Ὁ Φειδιππίδης καθεύδων ὡς ὀνειροπολῶν λέγει πρὸς τὸν ἑταῖρον αὐτοῦ. R. (ὁ νεανίσκος Φειδιππίδης ταῦτα καθεύδων ὑποφθέγγεται, ὡς τινα συνηνιοχοῦντα μεμφόμενος, ὅτι δέον αὐτὸν ἐλαύνειν μὴ ὑποσκελίζοντα μηδ' ὑποθέοντα τὰς τῶν ἵππων ὁδοὺς, ὡς ἀνεπικωλύτως θέοιεν, ὁ δ' ὑποθέει καὶ ἐμποδίζει προλαμβανόμενος τῶν ἵππων τῶν ἐκείνου τὸν δρόμον. δεῖγμα δὲ τῆς περὶ τὴν ἱππικὴν αὐτοῦ σπουδῆς τὸ φροντίζειν καὶ καθεύδοντα περὶ τούτων. τὸ δὲ Φίλων οἱ μέν φασιν ἀναρμόστως καθ' ὕπνον εἰρηκέναι τὸν νεανίσκον ἀντὶ τοῦ, ὦ φίλε, οἱ δὲ κύριον ἡνιόχου.)

28. πόσους δρόμους : [Ὀνειρώττων εἶπε πόσους δρόμους. εἷς δ' ἐστὶν ὑπὸ τῆς ἀφετηρίας μέχρι τοῦ καμπτῆρος. οἱ δ' ἡνίοχοι καθωπλισμένοι ἤλαυνον. τοῦτο δὲ εὗρεν ὁ Θησεύς.] πόσους καμπτοὺς πεποίηκας; ἐστὶ δὲ εὕρημα τοῦτο τοῦ Θησέως. R.

[πολεμιστήρια; Καὶ τοῦτο καθ' ὕπνους λέγει. τὰ ἁμιλλητήρια ἅρματα ὤφειλεν εἰπεῖν· ὁ δὲ ὑπὸ τοῦ ὕπνου ὥσπερ τοῦ ὀρθοῦ ἐκπίπτων τὰ πολεμιστήρια φησι. πολεμιστήρια γὰρ ἅρματα λέγονται τὰ τοῖς πολέμοις ἁρμόδια, ἁμιλλητήρια τὰ ἐν ταῖς ἁμίλλαις συνεργοῦντα, ἀγωνιστήρια δὲ τὰ ἐν τοῖς ἀγῶσι. Θ. — κατά τινας ἀγὼν Ἀθήνησιν ἱππικοῦ δρόμου. ἕνα δὲ δρόμον ἐκεῖ τρέχουσιν, ὥστε τὰ ἁμιλλητήρια πληθυντικῶς εἶπεν ὁ νέος, σφαλλόμενος ἐκ τοῦ ὀνειροπολεῖν. πολεμιστήρια καλοῦνται καὶ τὰ πολεμικὰ ἅρματα, ἐφ' ὧν ὁπλίτης ἐπιβέβηκεν ἅμα τῷ παραβάτῃ. ταῦτα δὲ ἐξεῦρεν ὁ Θησεύς. ἁμιλλητήρια δὲ τὰ ἀγωνίσματα. Ἄλλως. δέον εἰπεῖν, πόσους δρόμους ἐλαύνει τὰ ἁμιλλητήρια· ἀντὶ τοῦ πόσοι δρόμοι εἰσὶ τῆς ἁμίλλης· ὁ δὲ ἐπειδὴ καθ' ὕπνους τοῦτ' ἔλεγε, πολεμιστήρια εἶπεν. ὁ γὰρ νοῦς τῶν ὀργάνων ἀργούντων τῷ ὕπνῳ εἰκῆ φέρεται.]

29. ἐλαύνεις : Πολλὰς στροφὰς φροντίδων στρέφεσθαί με ποιεῖς διὰ τὰ σὰ χρέα. Θ. στρέφεσθαί με ποιεῖς, ἤγουν πολλὰς στροφὰς φροντίδων διεγείρεις. *Br.*

30. [ἀτὰρ τί : Τί δὴ μετὰ ταῦτα ὄφλημά με κατέλαβεν. Εὐριπίδης· « τί χρέος ἔβα δῶμα. »] — χρέος : ὄφλημα. *V.* ἔβα με : Κατέλαβε. *Br.* ἦλθε, κατέλαβε. Θ.

31. τρεῖς μναῖ διῳρίσκου : Διῳρίσκου καλεῖ τὸ σκεῦος ἐν ᾧ οἱ ἡνίοχοι ἐφεστῶτες ἐλαύνουσιν. ὑποχοριστικῶς (δὲ εἶπε τοὺς διφρίσκους, διὰ τὸ μικροὺς εἶναι καὶ κούφους τοῖς ἀγωνιζομένοις πρὸς τοὺς ἀγωνιστικούς).

Ἀμυνίας τῶν περὶ ἵππους ἐπταικότων. (μέμνηται δὲ αὐτοῦ καὶ ἐν τοῖς Σφηξί [1267]. νῦν δὲ οὐκ ἐκείνου καθάψασθαι βουλόμενος μνημονεύει αὐτοῦ, ἀλλὰ τὸν τότε ἄρχοντα διασύρειν προαιρούμενος τῇ ἐκείνου προσηγορίᾳ ἐχρήσατο. τότε γὰρ ἦρχεν Ἀμεινίας τοῦ Προνάπους υἱός. ἐπεὶ οὖν τοὺς Ἀθηναίους πρότερον κωμῳδεῖν τὸν ἄρχοντα ὁ νόμος ἐκώλυεν, ἀφαιρέσει μὲν τοῦ ι, προστεθέντος δὲ τοῦ υ, παρατρέψας ὀλίγον Ἀμυνίαν αὐτὸν εἶπεν ἀντὶ τοῦ Ἀμεινίαν.) — ὀφείλονται. Θ.

32. ἄπαγε τὸν ἵππον ἑξαλίσας : [Καὶ τοῦτο ὀνειρο-

πολούμενος ὁ νεανίσκος λέγει. ἐξαλίσας δὲ, ἐκκυλισθῆναι ποιήσας. καὶ τὸν τόπον, ἐν ᾧ τιθέντες ἑαυτοὺς οἱ ἵπποι τοῦτο ποιοῦσιν, ἀλινδήθραν ἐκάλουν· ὥς που καὶ ἐν τοῖς Βατράχοις [904] ὁ αὐτὸς ποιητὴς ἀλινδήθρας τε καὶ ἐγκυλίσματα.] κυλίσας. *R.*

33. [ἀλλ' ὦ μέλ' ἐξήλικας : Κατὰ ἀποκοπὴν τοῦ ε, Ἀττικῶς. οὕτω ἐν τοῖς παλαιοῖς τῶν ἀντιγράφων εὕρηται γραφόμενον.]

ἐξήλικας : Ἐξέβαλες, ἐξέωσας. R. ἐξέβαλες. V.

34. [ὅτε καὶ δίκας ὤφληκα : Ἤγουν καὶ δίκας προσώφληκα. ἢ ὡς καὶ δίκας προσώφληκα. ἐπιτάσει δὲ χρῆται ταύτῃ, ὅτι πρὸς τῷ ζημιωθῆναι εἰς τὴν ἱπποτροφίαν, καὶ εἰς δίκας ἐπεπτώκειν. ἐπιτείνει γοῦν τὸ κακὸν, ὅτι πρὸς τῷ ζημιοῦσθαί με ἔτι καὶ δίκας ὀφείλω. καὶ γὰρ οὐ τοῦ δανείου χάριν, ἀλλὰ τοῦ τόκου ἐνεχυράσασθαι ἀπειλοῦσιν.

χἄτεροι τόκου : Ἀντὶ τοῦ, καὶ ἄλλοι. Ἀττικῶς εἶπε. λείπει ἡ ὑπέρ. καὶ ἕτεροι ὑπὲρ τόκου ἐνέχυρα παρ' ἐμοῦ λήψεσθαί φασιν. μᾶλλον δὲ τὴν ὄχλησιν δείκνυσι τὴν κατ' αὐτοῦ, δι' οὓς φησι τόκου χάριν ἐνεχυριάσειν αὐτὸν ἀπειλεῖν.] ἐνέχυρα ὑπὲρ τόκου παρ' ἐμοῦ λήψεσθαι φησί. *V.* ἐνέχυρον ἐξ ἐμοῦ λαβεῖν. Θ. *Br.*

35. ἐτεὸν, ὦ πάτερ : (Ταῦτα οὐκέτι ὀνειροπολούμενος, ἀλλ' ἐγερθεὶς) λέγει τὸν πατέρα ἑωρακὼς ὀδυρόμενον.

36. τί δυσκολαίνεις καὶ στρέφῃ : Τί περιστρέφῃ συνεχῶς κόπτων σεαυτόν. [συμβαίνει δὲ τοῖς ἀγρυπνοῦσι τοῦτο πάσχειν, τῇδε κἀκεῖσε ῥίπτειν ἑαυτοὺς καὶ μεταβάλλειν.]

37. δάκνει με δήμαρχός τις : [Παίζων τὸν κόριν ἢ τὴν ψύλλαν καλεῖ. οἱ δὲ δήμαρχοι οὗτοι τὰς ἀπογραφὰς ἐποιοῦντο τῶν ἐν ἑκάστῳ δήμῳ χωρίων. καὶ τὰ ληξιαρχικὰ γραμματεῖα παρ' αὐτοῖς ἦν, συνῆγόν τε τοὺς δήμους, ὅτε δέοι, καὶ ψῆφον αὐτοῖς ἐπεδίδοσαν καὶ ἠνεχυρίαζον. Ἀριστοτέλης δὲ περὶ Κλεισθένους φησὶ « κατέστησε καὶ δημάρχους τὴν αὐτὴν ἔχοντας ἐπιμέλειαν τοῖς πρότερον ναυκράροις. καὶ γὰρ τοὺς δήμους ἀντὶ τῶν ναυκραρίων ἐποίησεν. » οἱ πρότερον ναύκραροι, εἴτε ὑπὸ Σόλωνος κατασταθέντες εἴτε καὶ πρότερον. οὗτοι δὲ τὴν πομπὴν τῶν Παναθηναίων ἐκόσμουν, Κλεισθένους καταστήσαντος ἀντὶ ναυκράρων. ἔστι δὲ δήμαρχος ὁ τὴν ἐπώνυμον ἀρχὴν ἄρχων. καὶ Ἀσκληπιάδης ὁ Ἀλεξανδρεὺς τοὺς κατὰ δῆμον ἄρχοντάς φησι. Δημήτριος δὲ ὁ Φαληρεὺς οὕτω φησὶ « καὶ « δημάρχους οἱ περὶ Σόλωνα καθίσταντο ἐν πολλῇ « σπουδῇ, ἵνα οἱ κατὰ δῆμον διδῶσι καὶ λαμβάνωσι τὰ « δίκαια παρ' ἀλλήλων. » ἔδει οὖν τὸν δήμαρχον ἀγαγεῖν εἰς τοὺς οἴκους τοὺς ἐνεχυριαζομένους.] παίζει ὡς εἰ ἔλεγε κόρις ἢ ψύλλα. ὄνομα πολιτείας οἱ δήμαρχοι, οὓς ἐχρῆν ἐνεχυριάζειν τοὺς ἀγνώμονας τῶν χρεωστῶν. — δέον εἰπεῖν κόρεις. οἱ γὰρ κόρεις ἐν τοῖς στρώμασιν ὄντες τοὺς ὑπνοῦντας δάκνουσιν. ὁ δὲ μεμνημένος ὅτι εἰς δικαστήριον ἤξει ὑπὸ τῶν δανειστῶν, δήμαρχος φησί. δήμαρχος δέ ἐστιν ὁ τοῦ δήμου προστάτης, ὃν φασὶν ἰδιωτικῶς δοῦκαν. C. ἄρχων τοῦ δήμου. Θ.

38. καταδαρθεῖν : (Οἱ Ἀττικοὶ παροξύνουσι καταδάρθειν. κυρίως δὲ τὸ ἐπὶ δέρματος κοιμᾶσθαι. ταῦτα δὲ εἰπὼν ὁ νεανίσκος, συγκαλυψάμενος καὶ στραφεὶς πάλιν κοιμᾶται.) — ὦ δαιμόνιε : Κακοδαίμων. καταδαρθεῖν : Κοιμηθῆναι. *R.* Θ. *Vict.*

41. [εἶθ' ὤφελ' ἡ : Τὸ ὤφελε τινὲς ἐπιρρηματικῶς δέχονται, ὡς τὸ [Callimachi Epigr. 18]

ὤφελε μηδ' ἐγένοντο θοαὶ νέες.

καὶ τὸ Εὐριπίδου ἐν Μηδείᾳ κατ' ἀρχὰς τοῦ δράματος· ἵν' ἦ παράλληλον τὸ σχῆμα, τοῦ πρεσβύτου συνεχέστερον ἀπευχομένου τῇ προμνηστρίᾳ· ὁ δὲ ποιητὴς [Il. Σ, 367] ῥῆμα αὐτὸ οἶδεν,

οὐκ ὄφελον Τρώεσσι κοτεσσάμενος·

καὶ [Il. I, 698]

μὴ ὄφελες λίσσεσθαι ἀμύμονος Αἰακίδαο.]

(τὸ δὲ φεῦ ἰδίᾳ.)

ἡ προμνήστρι' ἀπολέσθαι : Ἡ προνοήσασα τῶν γάμων προμνήστρια καλεῖται· ἡ νῦν προξενήτρια. — ἡ τοῦ γάμου πρόξενος. Θ. *Br.*

(42). χῆμ' ἐπῆρε : Κυρίως τὸ ἐπῆρεν ἀντὶ τοῦ ἐχαύνωσεν καὶ ἀνεκούφισεν, ἐπαγγελλομένη προῖκα μεγάλην εἰσοίσειν τὴν γυναῖκα, οἰκουρὸν φάσκουσα εἶναι, μὴ οὕτως ἔχουσαν. [καταχρηστικῶς δὲ ἀνέπεισεν. — παρεκίνησε (Θ.), κατέπεισε. *Br.*]

43. ἄγροικος κυρίως ὁ ἰδιώτης, ἀγροῖκος δὲ ὁ ἐν τῷ ἀγρῷ οἰκῶν. οἱ δὲ Ἀττικοὶ ἐναλλάξ. Θ. ἥδιστος : ἄλυπος. *R.*

44. εὐρωτιῶν : Τοῦ εὐρωτιῶν ἐξήγησις τὸ εἰκῇ κείμενος. τοῖς γὰρ εἰκῇ καὶ ἀμελῶς κειμένοις ἱδρὼς προσίζει καὶ νοτίς. τοιοῦτος δὲ ὁ τῶν ἀγροίκων βίος, ὥσπερ αὖ ἐπιμελὴς καὶ καθάριος ὁ τῶν ἀστικῶν. τὸ δὲ ἀκόρητος ἀκαλλώπιστος. κορεῖν γὰρ τὸ καλλωπίζειν. R. V. [ἀντὶ τοῦ ἱδρῶν. ἑρμηνεύει δὲ τοῦτο διὰ τοῦ, εἰκῇ κείμενος. εὐρωτιῶσι γὰρ τὰ εἰκῇ κείμενα, ὥσπερ νοτίδος αὐτοῖς ἐγγινομένης καὶ σηπούσης. καὶ εὐρὼς, ὁ σκώληξ. ἐπεὶ τοῖς ἀμελῶς κειμένοις ἱδρὼς προσίζει, τουτέστι νοτίς. τοιοῦτος δὲ ὁ τῶν ἀγροίκων βίος. ὁ γὰρ αὐτῶν οἶκος πυρῶν καὶ δερμάτων μεστὸς ὤν, οὐδεμίαν ἔχει τῶν τοιούτων πραγμάτων εὐθεσίαν, ἀλλ' ἄλλο ἀλλαχῇ κεῖται, ὡς ἔτυχε. τὸ δὲ ἀκόρητος, ἀπαλλώπιστος. κορεῖν γὰρ τὸ καλλωπίζειν· ὅθεν καὶ νεωκόρος. — ἀκόρητος : Ἀκαλλώπιστος. *Br.*]

45. βρύων : Αὔξων καὶ τεθηλώς. R. θάλλων. Θ. [καὶ προβάτοις καὶ στεμφύλοις : Στέμφυλα κυρίως λέγεται τὰ ἀποπιέσματα τῶν ἐλαῶν. περιπτίσματα δὲ τὰ ἐκ τῶν σταφυλῶν ἀποπιεζόμενα. εὑρίσκεται δὲ καὶ ἀνάπαλιν τὰ στέμφυλα ἐπὶ τῶν σταφυλῶν καὶ τὰ περιπτίσματα ἐπὶ τῶν ἐλαῶν. — στέμφυλα λέγονται τὰ ἀποπιέσματα τῶν σταφυλῶν καὶ τῶν ἐλαιῶν. Θ. τεταριχευμέναις σταφύλαις. *Br.*]

46. τοῦ Μεγακλέους : [Ἐδιπλασίασε τὸ ὄνομα εἰρω-

νευόμενος. τοῦ Ἀλκμαιωνιδῶν δὲ οὗτοί εἰσι γένους. αὐτὸς δὲ διεβάλλετο ὡς δοῦλος. ὁ πρῶτος οὖν Μεγακλῆς Κοισύρας ἦν υἱός, ἥτις ἦν ὑπερβαίνουσα γένει καὶ πλούτῳ. ἦν δὲ ἐξ Ἐρετρίας. διὸ καὶ κοισυρεῖσθαι τὸ μέγα φρονεῖν, παρ' Ἐρετριεῦσιν.] οὗτος τοῦ γένους ἦν τῶν Ἀλκμαιωνιδῶν. ἐδιπλασίασε δὲ τὸ ὄνομα. R. τοῦ κατὰ πολὺ ἐνδόξου. διὸ δὲ τὸ αὐτὸ εἶπεν εἰρωνευόμενος. Θ.

47. [ἀδελφιδῆν : Τοῦ ἀδελφοῦ αὐτοῦ θυγατέρα. Θ. — ἄγροικος ὢν ἐξ ἄστεος : Οὐκ ἀργῶς τῇ παραθέσει νῦν ἐχρήσατο. οὐ γὰρ ὀνειδίσαι βουλόμενος ἑαυτὸν ἄγροικον καλεῖ· ἀνόητον γὰρ καὶ ἄγροικον παντάπασι διαβάλλειν ἑαυτόν· ἀλλὰ πρῶτον μὲν λεληθότως διὰ τούτου τὴν εὐπορίαν δείκνυσι τὴν ἑαυτοῦ. οὐ γὰρ ἂν, εἰ μὴ πάνυ ἦν πλούσιος, ἐπεδικάσατο ἂν αὐτοῦ ἡ γυνὴ, καὶ τῇ δόξῃ αὐχοῦσα τοῦ γένους καὶ τῇ ἐν ἄστει διατριβῇ. δόξαν γὰρ εἰώθασιν οἱ ἄνδρες ἔχειν οὐχ ἧττω τῶν γυναικῶν. ὁ δὲ τῇ ἀντιπαραθέσει καὶ τοῦτο ἐπιστώσατο, φήσας αὐτὸν ἀγροῖκον εἶναι, τὴν δὲ γυναῖκα πολιτικήν. θαυμαστὸν γὰρ οὐδὲν, εἰ ἄνθρωπον ἰδιοπράγμονα καὶ μέτριον τοὺς τρόπους τῇ ἐπὶ τῆς ἀγροικίας διαίτῃ γύναιον ὑπέταξε πολιτικὸν καὶ κατεδουλώσατο.]

48. σεμνὴν : Νῦν οὐ τὴν σώφρονα, οὐ γὰρ ἐπαινεῖ αὐτὴν, ἀλλὰ τὴν ἀλαζόνα καὶ ὑπέρογκον [καὶ σοβαρὰν τῷ εἴδει· τρυφῶσαν δὲ ἱματίοις, καὶ τῇ ἄλλῃ δαπάνῃ. — σοβαρὰν τὸ ἦθος. Θ. *Br.*]

ἐγκεκοισυρωμένην : Περισσῶς κεκοσμημένην. (ἡ ἔθνος ἡ Κοισυρόπολις ὀνομάζεται, πάνυ αἰσχρὸν καὶ μυσαρόν. ἢ τὰ τῆς Κοισύρας φρονοῦσαν.) ἔστι δὲ Ἐρετριακὸν τὸ ὄνομα. οὗτοι δὲ εἰς τρυφὴν διαβάλλονται. αὕτη δὲ ἐγαμήθη Πεισιστράτῳ ἐπιχειρήσαντι τυραννεῖν. — περισσῶς κεκοσμημένην, κεκαλλωπισμένην, ὁμοίως τῇ Κοισύρᾳ. αὕτη δὲ ἦν γυνή τις πάνυ ἑαυτὴν κοσμοῦσα ἱματίοις καὶ τῇ ἄλλῃ διαίτῃ, ὡς τοὺς ὁρῶντας ἐκπλήττεσθαι. Br.

50. πρὸς τὰ αὐτοῦ πλεονεκτήματα ἴσα καὶ τὰ τῆς γυναικὸς ἀντέθηκεν. εἰπὼν γὰρ τριῶν αὐτὸν ὀδωδέναι, τρυγὸς, τουτέστιν οἴνου, τραπεζῶν, τουτέστι σύκων, ἐρίων, τρία καὶ τὰ ἐκείνης ἐπήγαγε. (διελεγκτικὸν δὲ τὸ τοιοῦτον σχῆμα τοῦ λόγου. τῇ γὰρ ἀντιπαραθέσει τοῦ ἥττονος ἡ εὐτέλεια δείκνυται. τὸ δὲ ἐρίων περιουσίας ἀντὶ τοῦ πόκων πλήθους εἶτ' οὖν πλούτου.) τραπεζὰ δὲ λέγεται τόπος ἐν ᾧ ψύχεται τὰ σῦκα. V. R. [ὄζων τρυγὸς : Νέου οἴνου· ἢ τῆς ὑποστάθμης. τραπεζὰ δὲ λέγεται ὁ τόπος ἢ ὅπου ψύχεται τὰ σῦκα καὶ ταριχεύεται, ἢ σανίς. τρία δὲ εἶπε τὰ αὐτοῦ· τρυγὸς, τραπεζῶν (ἀντὶ τοῦ σύκων) καὶ ἐρίων περιουσίας. καὶ τὰ ἐκείνης δέ. ἐλεγκτικὸν δὲ τὸ τοιοῦτον σχῆμα.]

τραπεζῶν : Ξύλου, ἐν ᾧ τὰς ὀπώρας ἐξήραινον. *Br.* σανίδος, ἐν ᾗ τὰ σῦκα ταριχεύουσι πρὸς τὸν ἥλιον. ἀπὸ τούτου δὲ τὴν ὀσμὴν δηλοῖ τὴν ἐκ τῶν σύκων καὶ τῶν λοιπῶν τῶν τοιούτων γινομένην. Θ.

ἐρίων περιουσίας : Ἀντὶ τοῦ, πλούτου. [τοιοῦτος δὲ ὁ γεωργικὸς βίος. ἀπὸ δὲ τοῦ καθόλου ἐπὶ τὰ κατὰ μέρος ἦλθε. καθόλου γὰρ ἐν τοῖς ἐπάνω εἰπὼν τὴν εὐδαιμονίαν τὴν ἑαυτοῦ

βρύων μελίτταις, καὶ προβάτοις, καὶ στεμφύλοις,

πάλιν καταμερίζει αὐτά. ἀπὸ μὲν γὰρ τῶν προβάτων τὰ ἔρια, ἀπὸ δὲ τῶν στεμφύλων τρὺξ καὶ οἶνος, ἀπὸ δὲ τραπεζῆς τὰ σῦκα.]

51. καταγλωττισμάτων : Εἶδος φιλημάτων περιεργότερον τὸ καταγλώττισμα· ἢ κολακευμάτων. [ἢ εἶδος αἰσχροῦ φιλήματος τὸ καταγλώττισμα. κυρίως δὲ καταγλώττισμα, ὅταν ἐν τῷ καιρῷ τῆς συνουσίας ὁ ἀνὴρ τὴν γλῶτταν αὐτοῦ τῷ τῆς γυναικὸς ἐμβάλλῃ στόματι. ἐστὶ δὲ καὶ ὁ λαφυγμὸς κατὰ μέν τινας τὸ αὐτό· κατὰ δέ τινας ἡ ἄλογος καὶ καθ' ὑπερβολὴν δαπάνη. Br.] ἔστι γὰρ λάπτω καὶ λαφύσσω τὸ ροφῶ κυρίως ἐπὶ κυνῶν καὶ χοίρων. ὅθεν παράγεται καὶ ὁ λαφυγμός. εἰκότως δὲ ταῦτα καταλέγει, δεικνὺς ὅτι αἱ εὐγενεῖς γυναῖκες ὑπὸ τῆς ἄγαν τρυφῆς τοιαῦτα πράττουσιν.]

52. λαφυγμοῦ : Τῆς περὶ τὰ ἐδέσματα πολυτελείας· τουτέστιν ἀσωτίας. λαφυγμὸν γὰρ λέγει τὸ ἁπλήστως ἐσθίειν. [Εὔπολις ἐν Κόλαξι

λαφύσσεται λαφυγμὸν ἀνδρεῖον πάνυ.

Ὅμηρος [Iliad. Λ, 176; P, 61]

ἔγκατα πάντα λαφύσσει.]

Κωλιάδος : [Οἱ μὲν Κωλιάδα τὴν θεὸν καλοῦσιν, ἀπὸ νεανίου Ἀττικοῦ ἀποδράντος ἀπὸ λῃστῶν συμμαχίᾳ τῆς θεοῦ καὶ οὕτως αὐτὴν ὀνομάσαντος, καθάπερ αὐτὸς δεθεὶς τῶν κώλων ἀπελύθη ὑπὸ γυναικὸς, οἱ δὲ, θυγατρὸς τοῦ ἀρχιλῃστοῦ δι' ἔρωτα. οἱ δὲ, τόπον ἐοικότα κώλοις ἀνδρὸς, ἔνθα ἡ θεὸς τιμᾶται. ἔνιοι δὲ, Ἴωνος θύοντος, κόρακα ἁρπάσαι κωλῆν, καὶ ἐν ἐκείνῳ τῷ τόπῳ ἀποθέσθαι· ὅθεν οὕτως ὠνομάσθη. Ἄλλως. Κωλιὰς ναός ἐστιν Ἀφροδίτης, οὕτω καλούμενος ἀπό τινος νεανίσκου Ἀττικοῦ, ἁλόντος ὑπὸ Τυρρηνῶν καὶ δεθέντος τὰ κῶλα· εἶτα ἐρασθείσης αὐτοῦ τῆς θυγατρὸς τοῦ Τυρρηνοῦ καὶ λυσάσης, ἐπανελθὼν εἰς Ἀθήνας, χαριστήριον τῇ Ἀφροδίτῃ ναὸν ἱδρύσατο Κωλιάδος, διὰ τὸ τὰ κῶλα λελύσθαι.] Κωλιὰς ναός ἐστι τῆς Ἀφροδίτης, οὕτω καλούμενος ἀπὸ τοῦ συμβεβηκότος τὴν προσηγορίαν λαβών. νεανίας γάρ τις Ἀττικὸς ἁλοὺς ὑπὸ Τυρρηνῶν καὶ δεσμώτης δουλεύων παρ' αὐτοῖς, ἐρασθείσης αὐτοῦ τῆς θυγατρὸς τοῦ ἔχοντος καὶ ἀπολυσάσης, ἦλθεν εἰς τὴν οἰκείαν καὶ οὕτως ἐλευθερωθεὶς εὐχαριστήριον τῇ Ἀφροδίτῃ ἐπὶ τῆς ἀκτῆς ἐφ' ἧσπερ ἡρπάγη ναὸν ἱδρύσατο. Κωλιάδα δὲ προσηγόρευσε τὸν τόπον ἀπὸ τῶν κώλων, ἃ ἐν τοῖς δεσμοῖς κατεπονεῖτο. [ἡ δὲ Γενετυλλὶς δαίμων περὶ τὴν Ἀφροδίτην τῆς γενέσεως ἔφορος.] R. V.

Γενετυλλίδος : [Γενετυλλὶς ἡ τῆς γενέσεως ἔφορος Ἀφροδίτη.] οἱ μὲν τῶν περὶ τὴν Ἀφροδίτην ἀξιοῦσι θεῶν μίαν εἶναι διὰ τὸ γενέσεως αὐτὴν εἶναι τοῖς ἀνθρώποις αἰτίαν προϊσταμένην τῶν γάμων καὶ τῶν ἐπὶ τοῖς γά-

μοις μυστηρίων, ὅθεν καὶ παρὰ Ῥωμαίοις Βένερις γενετρίκις ἐν τοῖς φόροις ἐστίν. ὅθεν καὶ ἐν δευτέραις Θεσμοφοριαζούσαις [imo Lysistratæ initio.] Ἀριστοφάνης μέμνηται τοῦτο, οὕτω που λέγων « ἀλλ' εἴ τις εἰς βακ-
5 « χεῖον αὐτὰς ἐκάλεσεν ἢ εἰς Πανὸς ἢ ἐπὶ Κωλιάδος « Γενετυλλίδος. » V.

53. οὐ μὴν ἐρῶ γ', ὡς ἀργὸς, ἀλλ' ἐσπάθα : [Πρὸς τὸ ἀργὸς, ἐσπάθα· καὶ τοῦτο εἰρωνευόμενος· περὶ γυναικὸς δὲ λέγει· ἀντὶ τοῦ] κατανήλισκε καὶ κατήσθιε· (διὰ
10 τοῦτο εἶπεν οὐκ ἀργὸς ἦν). σπαθᾶν δὲ τὸ ἀφειδῶς ἀναλίσκειν καὶ παρὰ τοῖς ῥήτορσιν εἴρηται πολλάκις· οἰκείως δὲ νῦν τῇ λέξει ἐχρήσατο ἐπὶ γυναικός. καὶ γὰρ ἐπὶ τῶν ὑφαινομένων [ἱματίων] λέγομεν σπαθᾶν, τὸ ἄγαν κρούειν τὴν κρόκην, (ὥστε προκαθίζειν καὶ πολλὴν
15 μὲν ἀναλίσκειν κρόκην, ἰσχυροτέραν δὲ ἀπεργάζεσθαι τὴν ὑφήν. δύναται μὲν οὖν τὸ σπαθᾶν ἐπ' ἀμφοτέρων νοεῖσθαι. ὅτι δὲ νῦν ἐπὶ τῶν πολλὰ δαπανώντων παρείληπται, δῆλον ἐκ τοῦ ἐπιφερομένου,

> ἐγὼ δ' ἂν αὐτῇ θοἰμάτιον δεικνὺς τοδὶ,
20 > πρόφασιν ἔφασκον, ὦ γύναι, λίαν σπαθᾷς.

τοῦτο δὲ ἐπήνεγκε διττὸν ὄν, τό τε ἀναλοῦν καὶ τὸ ὑφαίνειν.)

55. [λίαν σπαθᾷς : Ἐργάζῃ. εἰρωνικῶς καὶ τοῦτο. δεικνὺς γὰρ αὐτῇ τὸ ἱμάτιον παραρραγὲν ἔλεγε τοῦτο
25 αὐτῇ.]

57. πότην ἥπτες : [Πότης, Ἀττικῶς ὁ ταχέως ἀναλίσκων λύχνος. πότης λύχνος παρ' Ἀττικοῖς ὁ πολὺ ἔλαιον ἀναλίσκων.]

58. καλεῖ τὸν παῖδα πλησίον ἐλθεῖν τῆς κλίνης ἐφ'
30 ἧς ἀνέκειτο, τύψειν αὐτὸν ἀπειλῶν. R.V . θρυαλλίδων δὲ τῶν ἐλλυχνίων. V.

59. θρυαλλίδων : Ἀπὸ τοῦ θρύου τὸ παλαιὸν τὰ ἐλλύχνια. [τὰ γὰρ παχέα ἐλλύχνια πολὺ ἔλαιον δαπανῶσι. — ἐνέβαλες θρυαλλίδα παχεῖαν. Θ.]
35 60. μετὰ ταῦθ' ὅπως : Μετὰ τὸ ἐπιτιμῆσαι τῷ οἰκέτῃ ἐπὶ τὸ διήγημα ἀνατρέχει πάλιν τοῦ γάμου. (οὐ μὴν συναπτέον πάντα τὸν στίχον, ἀλλ' ἀναγνωστέον μέχρι τοῦ υἱός. εἶτα διαστήσαντα χρὴ μεθ' ὑποκρίσεως ἐπάγειν, οὑτοσὶ, ὡς ἀχθομένου αὐτοῦ τῇ γενέσει.) —
40 μετὰ τὸ λαβεῖν τὴν γυναῖκα. ὅπως : Ἐπεί. Θ.

61. τἠγαθῇ : Καὶ τοῦτο εἰρωνευόμενος λέγει. οὐ γὰρ ἀγαθὴν αὐτὴν παρίστησι. — κατ' εἰρωνείαν. Θ.

62. [ἑλοιδορούμεθα : Ἐστασιάζομεν, ὥστε ὑπὸ τῆς φιλονεικίας καὶ εἰς λοιδορίαν ἐκτραπῆναι.]
45 ὑβριζόμεθα ὑπ' ἀλλήλων. Θ.

63. συνετίθει τὸ ὄνομα ἐξ ἵππου. R.

64. Ξάνθιππον : Ὁ Ξάνθιππος Περικλέους ἦν πατὴρ, ὃς ἦν τοῦ τῶν Ἀλκμαιωνιδῶν γένους. ἐσεμνύνετο δὲ τὸ γύναιον θείῳ Μεγακλεῖ τῷ νικήσαντι τρὶς Ὀλύμ-
50 πια καὶ δι' ἱπποτροφίαν κατελθόντι ἐκ τῆς φυγῆς. [ἐδίωξε γὰρ αὐτὸν ὁ Πεισίστρατος, ὃν καὶ μετεπέμψατο παραχωρήσαντα αὐτῷ τὸ τῆς νίκης κήρυγμα.] ἐπεὶ καὶ Καλλίας ὁ δᾳδοῦχος ὁ ἐν τῇ ἱερᾷ στολῇ προσελθὼν ἐπὶ τὴν μάχην εἰς Μαραθῶνα καὶ ἀριστεύσας κατὰ τῶν βαρβάρων τρὶς Ὀλύμπια νικήσας ἅρματι τὸν υἱὸν ἐκάλεσεν Ἱππόνικον. (λέγεται δὲ τοῦτον πλουτῆσαι μάλιστα, αἰχμαλώτου τινὸς ἐν τῇ μάχῃ τῶν βαρβάρων προσελθόντος αὐτῷ καὶ μηνύσαντος θησαυρὸν ἐπὶ μι- 5
σθῷ· ὃν καὶ αὐτὸν ὕστερον ἀπέκτεινεν ὁ Καλλίας.) Ξάνθιππος μὲν οὖν ἐγένετο Περικλέους πατήρ. οὐδὲν δὲ νῦν πρὸς αὐτὸν ἐπικοινωνεῖ τὸ λεγόμενον, (πλὴν εἰ μὴ ἄρα διὰ Κοισύραν, ἣν ἔφαμεν δούλην οὖσαν μητέρα γενέσθαι τοῦ Μεγακλέους, τὸ ὄνομα τὸ Ξανθίππου 10
παρείληφε. παρῴδηται δὲ τὸ Περικλέους, Μεγακλέους, ὡς ἂν δυνάμενον ἀμφότερα δηλοῦν. δριμέα γὰρ καὶ ἀστεῖα τὰ τῆς κωμῳδίας σκώμματα.)

66. τέως : Μέχρι τινός. τῷ χρόνῳ, μόλις. *Br.* ἐκρινόμεθ' : ἐφιλονεικούμεθα. R. ἐπὶ πολὺν μὲν οὖν 15
χρόνον διεφερόμεθα, ἐμαχόμεθα, διημφισβητοῦμεν. V.

67. κοινῇ ξυνέβημεν : Ἀντὶ τοῦ ὡμονοήσαμεν καὶ ἀμφοτέροις συνέδοξε. τοῦτο δὲ διότι ἀφ' ἑκατέρων τῶν γενῶν τῷ ὀνόματι ἐπετέθη μέρος.

68. ἐκορίζετο : Ἐκολάκευεν, [οἷα τοῖς παιδίοις συμ- 20
βαίνει τοῖς μικροῖς]. — προσηνῶς καὶ κολακευτικῶς. R.

70. ξύστιδ' ἔχων : [Ξύστιδα προπαροξύνουσιν. ἤγουν πορφυρίδα. καὶ γὰρ μέχρι νῦν οἱ εἰσελαύνοντες ἀθληταὶ τοιούτῳ κοσμηθέντες σχήματι καὶ ἅρματος ἐπιβάντες διὰ μέσης πομπεύουσι τῆς πόλεως, ᾧ καὶ οἱ βασιλεῖς 25
χρῶνται. Ἄλλως.] ξύστις λέγεται τὸ κροκωτὸν ἱμάτιον, ὃ οἱ ἡνίοχοι μέχρι τοῦ νῦν φοροῦσι πομπεύοντες. χρῶνται δὲ αὐτῷ καὶ οἱ τραγικοὶ βασιλεῖς. — ξυστὶς εἶδος ἱματίου πορφυροῦ. ἄλλοι δέ φασι τὸ ἰδιωτικῶς λεγόμενον σωσάνιον καὶ σῶζον τοὺς ἄνδρας. Br. 30

71. ἐκ τοῦ Φελλέως : Τόπος τῆς Ἀττικῆς ἐπιτήδειος εἰς βόσιν αἰγῶν, τραχύς. R. τόπος τῆς Ἀττικῆς οὕτω καλούμενος τραχύς. αἱ δὲ αἶγες ὡς τραχύτερα διώκοντες καὶ ὀρεινότερα εἰς τὸν τόπον ἐκεῖνον τὰ πλεῖστα διάγουσιν. ἡ δὲ διφθέρα ἐστὶ ποιμενικὸν περιβό- 35
λαιον ἐκ δέρματος πεποιημένον. V. [τόπος τῆς Ἀττικῆς οὕτω καλούμενος. ἐκ τούτου δὲ φελλεάτας λέγουσι Δωριεῖς τοὺς κισσηρώδεις λίθους. αἱ δὲ αἶγες πρὸς τὰ τραχύτερα διώκουσι.]

72. διφθέραν ἐνημμένος : Ἀντὶ τοῦ ἐνδεδυμένος. 40
ποιμενικὸν δὲ περιβόλαιον ἡ διφθέρα. [Ἀττικοὶ δὲ λέγουσιν ἣν νῦν ἰσάλην καλοῦμεν. ἔστι δὲ ἐκ δέρματος. — γούνναν. Θ.]

74. ἀλλ' ἱππερόν μου κατέχεε : Ἔπαιξε παρὰ τὸν ἕκτερον. (νόσημα δὲ ὁ ἕκτερος, ὃς περιχεῖται ταῖς ὄψεσι 45
τῶν νοσούντων. [διὸ καὶ τὸ κατέχεε κατὰ λόγον ἐπήγαγεν.] οὕτω δὲ καὶ τοῖς χρήμασιν αὐτοῦ ἐπιβεβλῆσθαί φησιν ἵππερον, οἷον ἱππικὸν ἔρωτα ἢ νόσον ἱππικὴν, διὰ τὸ πολλὰ δεδαπανηκέναι περὶ τὴν ἱπποτροφίαν χρήματα.) — ἱππικὸν ἔρωτα, ἀφανισμόν. *Br.* 50

[τῶν χρημάτων : Εὕρηται τοῦτο, καὶ ῥημάτων· ὅπερ οὕτως εἶπεις· ἀλλὰ κατέχεε τῶν ῥημάτων ἐμοῦ ἱππικὸν ἔρωτα· τουτέστιν, ἐμοῦ ὡς οὐδὲν δεῖ δαπανᾶν ἀφειδῶς λέγοντος, λῆρον ἡγησάμενος τοὺς λόγους, ἀντετίθη αὐ-

οἷς, ὡς ἐραστής ἐστιν ἵππων, καὶ οὐδέποτε τούτου ἂν ἀποσταίη.]

80. Φειδιππίδιον : Τὸ ὑποκορίζεσθαι φιλούντων ἔθος. κολακεύει δὲ νῦν τὸν υἱὸν καὶ προσποιεῖται φιλεῖν, ἵνα ἑτοιμότερον αὐτὸν πρὸς τὴν ἀξίωσιν ἑαυτοῦ πείθεσθαι παρασκευάσῃ.]

81. ἐπὶ πίστει καὶ συνθήκαις διδόναι τὰς δεξιὰς ἀλλήλων εἰώθασιν. ὑπὲρ οὗν τοῦ πεισθῆναι τὸν νεανίαν ὁ πρεσβύτης ταύτην ἀξιοῖ παρ' αὐτοῦ πίστιν λαβεῖν. καὶ Εὐριπίδης ἐν Μηδείᾳ [20]

Μήδεια δ' ἡ δύστηνος ἠτιμασμένη
βοᾷ μὲν ὅρκους ἀνακαλεῖ δὲ δεξιᾶς
πίστιν. V.

[κύσον με καὶ τὴν χεῖρα δός : Πρὸς τὸ Ὁμηρικὸν [Il. Z, 233]

χειράς τ' ἀλλήλων λαβέτην καὶ πιστώσαντο.

φίλησον καὶ πρόσπτυξαι καὶ τὴν χεῖρα δὸς τὴν δεξιάν. ἔθος δ' ἐπὶ πίστει καὶ συνθήκαις βεβαίαις τὰς δεξιὰς διδόναι ἀλλήλοις. — ἔθος ἦν τοῖς παλαιοῖς τὰς δεξιὰς διδόναι ἀλλήλοις εἰς βεβαίωσιν τῶν συνθηκῶν. καὶ Ὅμηρος « χεῖράς τ'.... πιστώσαντο. » Br.]

82. [ἰδοὺ τί ἐστιν : Τὸ αἰτηθὲν παρὰ τοῦ πρεσβύτου ποιῶν ὁ νεανίσκος τὴν δεξιὰν ὤρεξεν αὐτῷ. καὶ δῆλον ὅτι παρεπιγραφὴ τὸ ἰδού.]

(83). νὴ τὸν Ποσειδῶ τουτονί : [Ἅρμα δείξας ὄμνυσιν ἢ ἄλλο τι ἡνιοχικὸν, ἢ πολεμικὸν σκεῦος.] κυρίως νῦν ὁ νεανίσκος ὄμνυσι τὸν Ποσειδῶνα, θεὸν ἱππικὸν ὄντα, ἅτε καὶ αὐτὸς περὶ ἵππους ἐσπουδακώς. τουτονὶ δὲ οὐ τῷ κοινῷ τῶν ἀνθρώπων ἔθει χρώμενον αὐτὸν δεῖ νομίζειν λέγειν (εἰώθαμεν γὰρ οἱ ὀμνύντες λέγειν, μὰ τοῦτον τὸν θεὸν, μὰ τοῦτον τὸν Ἀσκληπιόν), ἀλλ' ἔνδον ἀφίδρυμα ἔχοντα Ποσειδῶνος. διὰ τοῦτο καὶ ὁ πρεσβύτης τῷ ὅρκῳ ἀκολούθως ἄχθεται. — ἢ οὖν ἅρμα δείκνυσιν αὐτῷ παρακείμενον ἢ ἄλλο τι ἀφίδρυμα Ποσειδῶνος καὶ κατὰ τούτου ὄμνυσιν. V.

84. [μή μοί γε : Μὴ εἴπῃς μοι, φησὶ, τὸν ἵππιον. οὐ γὰρ ἀνέχομαι τὸ τῶν ἵππων ἀκούειν ὄνομα, δι' οὓς ἀπολωλέκειν τὰ χρήματα.]

88. ἔκστρεψον : Ἀντὶ τοῦ μετάβαλε. ἀπὸ μεταφορᾶς τῶν ῥυπουμένων ἱματίων καὶ ἐκστρεφομένων. ἐκστρέψαι γὰρ ἱμάτιον λέγεται τὸ ἀλλάξαι τὸ πρὸς τὸ σῶμα μέρος ἔξω. ἄλλαξον οὖν, φησὶ, τοὺς τρόπους σου καὶ μετάβαλε. — ὡς ἁρματηλάτου δὲ τὸ ὡς τάχιστα. V.

[ὡς τάχιστα : Μεταφορικῶς. τὸ γὰρ ὡς τάχιστα κυρίως ἐπὶ ἁρματηλάτου. ταχινὰ γὰρ τὰ ἅρματα.]

91. νὴ τὸν Διόνυσον : Ἐπεὶ ἐκώλυσεν αὐτὸν κατὰ τοῦ Ποσειδῶνος ὀμόσαι, εἰκότως μετέβαλεν εἰς τὸν Διόνυσον τὸν ὅρκον. — τὸ δὲ δεῦρο οὐκ ἔστι τοπικὸν, ἀλλ' ἀντὶ τοῦ ἐλθέ. R. V.

92. καὶ τῷκίδιον : Τὸ οἰκίδιον ὑποκοριστικῶς. (σμικρύνει δὲ, καὶ τοῖς ὀνόμασιν αὐτοῖς τὸ εὐτελὲς εἰς πάντα τῆς φιλοσοφίας δεικνύς. τὸ δὲ δεῦρο νῦν οὐ τοπικὸν, ἀλλ' ἀντὶ τοῦ ἐλθέ.) ἤγαγε δὲ ὅθεν αὐτὸν ἐπὶ τὴν Σωκράτους οἰκίαν.

94. ψυχῶν σοφῶν : (Ἤγουν) ἀνδρῶν φιλοσόφων. [τοῦτο δὲ ἐπ' ἀμφοτέρων δύναται νοεῖσθαι. ἔστι γὰρ ἀμφίβολον καὶ ἄδηλον πότερον τὰς ψυχὰς αὐτὰς λέγει σοφὰς, ἢ τοὺς ἄνδρας σοφούς. ταῖς δὲ ψυχαῖς ἐκείνων ἔνεστι τὸ φροντιστήριον. ἐὰν μὲν γὰρ

ψυχῶν σοφῶν τοῦτ' ἐστὶ φροντιστήριον,

ἐνδέχεται τὸ αὐτὰς εἶναι τὰς ψυχὰς σοφὰς, ἐὰν δὲ ψυχῶν, σοφῶν, ἀνδρῶν λέγει. δύναται δὲ καὶ σκώπτειν διὰ τούτου τὸν περὶ ψυχῆς Σωκράτους λόγον καὶ ἀσαφῶς ἐπίτηδες εἰρηκέναι, ἐπεὶ καὶ Σωκράτης ὁριζόμενος περὶ ψυχῆς, ἀσαφῶς ἔδοξε λέγειν, καὶ ὥς τινες νομίζουσιν, ἀπεναντίας αὐτῷ, τὴν ἰδίαν ἀσθένειαν κατηγορίαν Σωκράτους ποιούμενοι. ἃ δὲ περὶ ψυχῆς ὥρισε, ταῦτα Plat. Phædr. p. 245, c] « ψυχὴ πᾶσα ἀθάνατος. τὸ γὰρ ἀεικίνητον, ἀθάνατον. τὸ δ' ἄλλο κινοῦν, ἢ ὑπὸ ἄλλου κινούμενον, παῦλαν ἔχον κινήσεως, παῦλαν ἔχει καὶ ζωῆς. »]

φροντιστήριον : [Οἱονεὶ, βουλευτήριον.] ἡ σύνοδός τις καὶ θᾶκος σοφῶν. θᾶκος δὲ καλεῖται Ἀττικῶς τόπος ἔνθα πολλοὶ συνέρχονται σκεψόμενοι. φροντισταὶ δὲ ἐκαλοῦντο οἱ περὶ τὸν Σωκράτη, διὰ τὸ φροντίζειν περὶ ἀλλήλων καὶ διὰ τὸ μηδέποτε παύεσθαι τῆς φροντίδος.

95. ἐπειδὴ περὶ τῶν οὐρανίων διαλέγονται οἱ φιλόσοφοι. R.

96. ὥς ἐστι πνιγεὺς : Οὕτως ὁ κρίβανος κυρίως ὅπου οἱ ἄνθρακες συμπνίγονται. διὸ ἐπιλέγει, ἡμεῖς δ' ἄνθρακες. λέγει δὲ τὸν φοῦρνον. R. [πνιγεὺς ἡ τῶν ἀνθράκων κάμινος. διὸ ἐπιλέγει, ἡμεῖς δ' ἄνθρακες· διὰ τὸ ὑπὸ ἡλίου θερμαίνεσθαι.] (κυρίως πνιγεὺς, ἔνθα οἱ ἄνθρακες ἔχονται καὶ πνίγονται. ταῦτα δὲ πρότερος Κρατῖνος ἐν Πανόπταις ὀράματι περὶ Ἵππωνος τοῦ φιλοσόφου κωμῳδῶν αὐτὸν λέγει· ἀφ' οὗ στοχαζόμενοί τινες φασιν ὅτι μηδεμιᾶς ἔχθρας χάριν Ἀριστοφάνης ἦκεν ἐπὶ τὴν τῶν Νεφελῶν ποίησιν, ὅς γε μήτε ἰδιόν τι μήτε ἁρμόττον, ἀλλὰ μηδὲ πρὸς ἓν ἔγκλημα ἦλθε Σωκράτους. δύο γὰρ κατ' αὐτοῦ ταῦτα προθεὶς ἐγκλήματα, τὸ περὶ τοῦ οὐρανοῦ, ὅτι ἐστὶ πνιγεὺς, καὶ ὡς ἱκανός ἐστι τὸν ἥττω λόγον διδάσκειν καὶ τὸν κρείττονα, τὸ μὲν κοινὸν τῶν φιλοσόφων ἁπάντων ἐπήγαγεν ἔγκλημα, τὸ δὲ οὐδὲ τὸ σύνολον ἐπικοινωνεῖ φιλοσοφίᾳ. οὐ γὰρ τοῦτο ἐπαγγέλλονται οἱ φιλόσοφοι, δεινοὺς ποιήσειν λέγειν· ἴδιον δὲ τὸ τοιοῦτο μᾶλλον ῥητορικῆς· ὡς ἐπ' ἀμφοτέροις τὸν φιλόσοφον καθαρεύειν.) [οἱ δ' ὅτι ὁλόκληρον εἰς αὐτὸν συνέταξε δρᾶμα, ὃ δι' ἔχθραν νομίζουσιν αὐτὸν πεποιηκέναι, οὐκ ὀρθῶς οἴονται. πρῶτον μὲν γὰρ Δίφιλος εἰς Βοίδαν τὸν φιλόσοφον ὁλόκληρον συνέταξε ποίημα, δι' οὗ καὶ εἰς δουλείαν ἐρυπαίνετο ὁ φιλόσοφος. οὐ διὰ τοῦτο δὲ ἐχθρὸς ἦν. ἔπειτα Εὔπολις, εἰ καὶ δι' ὀλίγων ἐμνήσθη Σωκράτους, μᾶλλον ἢ Ἀριστοφάνης ἐν ὅλαις ταῖς Νεφέλαις αὐτοῦ καθήψατο. οὐδὲν δὲ χεῖρον ὑπομνησθῆναι τῶν Εὐπόλιδος « δεξά« μενος δὲ Σωκράτης τὴν ἐπίδειξιν Στησιχόρου οἰνα-

« χόην ἔκλεψεν. » οἷον δ' ἦν ὁρᾶν τὸν φιλόσοφον τὸ ἐν φανερῷ μάλιστα σκεῦος κατακείμενον κλέπτοντα καὶ ὑφαιρούμενον. — πνιγεὺς : Κάμινος. *Br.*]

(98.) οὗτοι διδάσκουσιν, ἀργύριον ἤν τις διδῷ : Καὶ τοῦτο ψεῦδος, διαβολῆς χάριν. οὐδεὶς γὰρ μισθὸν ἐτέλει Σωκράτει, ἐπεὶ κἀκεῖνος ἔφασκε μηδὲν εἰδέναι. διόπερ καὶ ὑπὸ τοῦ Πυθίου σοφὸς ἐκρίθη. τοῦτο γὰρ αὐτοῦ πρῶτον ἔκρινεν σοφοῦ εἶναι, τὸ γνωρίσαι ὅτι μηδὲν οἶδε. πῶς οὖν ἂν μισθὸν ἐπράττετο παρὰ τῶν συνόντων ὁ περὶ αὐτοῦ βεβαιούμενος ὅτι οὐδὲν οἶδεν;)

101. ἀποφεύγει εἰπεῖν τὸ ὄνομα διὰ τὸ ἐπαχθές. R.

102. ἀλαζόνας : Ἰδίως τοὺς ψεύστας ἐκάλουν. εἰκότως δὲ καὶ τοὺς φιλοσόφους ἀλαζόνας καλεῖ, ἐπεὶ λέγειν ἐπαγγέλλονται περὶ ὧν οὐκ ἴσασιν. ἢ ὅτι σεμνὰ ἔχοντες ἤθη ἀλαζόνες δοκοῦσιν. ὠχριῶντες δὲ καὶ ἀνυπόδητοι, ἐπεὶ μόνης ἀρετῆς φροντίζοντες καὶ οὐ τρυφῆς, διώκουσι τὸ ἀπέριττον. πόνηροι δὲ ἀντὶ τοῦ ἐπίπονοι, ἄθλιοι. — τὸ αἰδοῖ σχετλιαστικόν ἐστι. R. V.

104. [καὶ Χαιρεφῶν : Ἑταῖρος Σωκράτους ὁ Χαιρεφῶν, ὃς ἐκαλεῖτο καὶ νυκτερὶς διὰ τὸ μέλας εἶναι καὶ ἰσχνόφωνος.]

105. συγκατατίθεται καὶ ὁ πρεσβύτης ὡς εἰδότος αὐτοὺς τοῦ νεανίσκου καὶ ἀληθῆ περὶ αὐτῶν εἰρηκότος. φησὶν οὖν τούτους αὐτούς. R. V. (μηδὲν εἴπῃς νήπιον : Μηδὲν εὔηθες, μηδὲ μειρακιῶδες, μηδ' ἀνόητον εἴπῃς. ἀντὶ τοῦ μὴ ὡς τὰ νήπια παιδία ἀνόητα εἴπῃς.) — νήπιον : Μωρόν. *Br.*

106. ἀλλ' εἴ τι κήδει : Ἀντὶ τοῦ φροντίζεις. ἀλφίτων δὲ ἀντὶ τοῦ χρημάτων, ὡς ἄγροικος, τουτέστι τῆς παχρᾶς οὐσίας.

107. τούτων γενοῦ μοι : λείπει τὸ εἷς ἀριθμητικὸν ὄνομα, εἷς τούτων γενοῦ μοι, τούτοις μαθήτευσον. σχασάμενος : καταπαύσας τῆς ἱππικῆς ἀπὸ μεταφορᾶς τῶν ἡρεσσόντων. R. (καταλύσας, παυσάμενος τὴν ἱππικήν, ἢ ἀποσυγχωρήσας καὶ ἀποστὰς τοῦ παρόντος ἐπιτηδεύματος. τὸ δὲ σχασάμενος ἀπὸ μεταφορᾶς εἴληπται τῶν ἡρεσσόντων· σχάσαι γὰρ δεῖ καὶ ὥσπερ διαστεῖλαι καὶ διασχίσαι τὸ ὕδωρ τὴν κώπην ἐρέσσουσαν. καὶ Πίνδαρος [Pyth. 10, 79] « κώπαν ἤδη μοι σχάσαις. » καὶ Εὐριπίδης (Phœn. 457) « σχάσον δὲ δεινὸν ὄμμα. » Ἄλλως. στήσας, καταπαύσας. σχάσαι γὰρ τὸ κωπηλατοῦντα στῆσαι τὴν κώπην.) — σχασάμενος : Ἀφείς. *Br.*

[108]. οὐκ ἂν μὰ τὸν Διόνυσον : Εὐλόγως τὸν Διόνυσον ὄμνυσι. τούτῳ γὰρ ἐπετελεῖτο τὰ Διονύσια, οἷς ἠγωνίζοντο οἵ τε τῆς τραγῳδίας καὶ οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταί.

109. τοὺς φασιανούς : [Οἱ μὲν ἵππους, οἱ δὲ ὄρνεα. ἔνιοι δ' ἵππους χάραγμα ἔχοντας φασιανοῦ, ὡς ἀλεκτρυόνος. καὶ εἴπερ ἐστὶ τοῦτο μὴ κατεψευσμένον, οἰκεῖον ἂν εἴη τῇ τοῦ νεανίσκου σπουδῇ. οἱ δὲ περὶ Ἀρίσταρχον ὀρνίθων γένος. οἱ δὲ ὅτι Φᾶσις ποταμός ἐστι Σκυθίας, ὅπου καλοὶ ἵπποι γίνονται. Λεωγόρας δὲ τρυφερός τις, ὁ Ἀνδοκίδου πατήρ. Πλάτων Περιαλγεῖ

ὦ θεῖε Μόρυχε, νῦν γὰρ εὐδαίμων ἔφυς,
καὶ Γλαυκέτης, ἡ ψῆττα, καὶ Λεωγόρας,
οἳ ζῆτε τερπνῶς, οὐδὲν ἐνθυμούμενοι.

Εὔπολις ἐν Αὐτολύκῳ β' ὡς καὶ διὰ Μυρρίναν ἑταίραν τὰ χρήματα ἀποβέβληκέ φησιν. φασιανοὶ δὲ οἱ ἔχοντες τοῦ μηροῦ ἐγκεχαραγμένον φασιανόν. Λεωγόρας δὲ ὄνομα κύριον ἑνὸς τῶν Ἀθήνησι πολιτευσαμένων τότε. πατὴρ δὲ οὗτος ἦν Ἀνδοκίδου τοῦ ῥήτορος. ἄδηλον δὲ, εἰ καὶ ὄρνεα ἔτρεφεν ὁ Λεωγόρας. μέμνηται δὲ αὐτοῦ ὡς ἱπποτρόφου.] οὐκ εἰσὶν ἵπποι φασιανοί, ἀλεκτρυόνες μέντοι. ἵπποι δέ τινες εἰσὶν ἀλεκτρυόνας κεχαραγμένοι. τούτους οὖν λέγει. Λεωγόρας δὲ ὄνομα κύριον ἑνὸς τῶν Ἀθήνησι πολιτευσαμένων τότε. πατὴρ δὲ οὗτος ἦν Ἀνδοκίδου τοῦ ῥήτορος. ἄδηλον δὲ εἰ καὶ ὄρνεα ἔτρεφεν ὁ Λεωγόρας. ἔστι δὲ ὄνομα τῶν ἱπποτροφησάντων Ἀθήνησιν. V. Φᾶσις ποταμὸς Σκυθίας, ὅπου καλοὶ ἵπποι γίνονται. Λεωγόρα δὲ ὡς ἱπποτρόφου μέμνηται. οἱ δὲ περὶ Ἀρίσταρχον ὀρνίθων τι γένος λέγουσι τοὺς φασιανούς. ἢ φασιανοὶ λέγονται οἱ ἔχοντες τῷ μηρῷ φασιανὸν ἐγκεχαραγμένον ἵπποι. R.

(110). ἴθ', ἀντιβολῶ : Πορεύου. νῦν δὲ, πείσθητί μοι. [τὸ δὲ ἀντιβολῶ,] παρακαλῶ, [Ἀττικῶς].

111. [καὶ τί σοι μαθήσομαι : Οὐ γὰρ ἑαυτῷ ἔμελλε μαθεῖν, ἤγουν δι' οἰκεῖον θέλημα ἢ ὠφέλειαν, ἀλλὰ διὰ τὸ τοῦ πατρός. διὸ τὸ σοί λέγει. ἤγουν, τί μαθήσομαι ὑπὲρ σοῦ.]

112. ψεύδεται κἀνταῦθα ὁ κωμικὸς λέγων παρὰ Σωκράτει εἶναι τὸν ἄδικον λόγον. οὐ γὰρ Σωκράτης, ἀλλὰ Πρωταγόρας ὁ Ἀβδηρίτης ἐφεῦρε αὐτὸν καὶ ἐδίδασκεν. Cant. 3.

ἄμφω τὼ λόγω : Δυϊκῶς ἔκλινε. φησὶ δὲ τοὺς περὶ Σωκράτην ἱκανοὺς εἶναι ἀμφοτέρους τοὺς λόγους ἐκπαιδεύειν.

114. τὸν ἕτερον τοῖν λόγοιν : Τὸν δίκαιον τὸν νικῶντα. ὡς ἀγνοῶν δὲ τὰ δίκαια εἶπε τὸν ἕτερον. ἐβούλετο γὰρ ἀδικίαν μανθάνειν.

(120). τοὺς ἱππέας τὸ χρῶμα : Οὐ γὰρ ἂν ὑπομείναιμι ὁραθῆναι ὑπὸ τῶν ἱππέων [ὠχρὸς καὶ διεφθαρμένος. ἐκόμων γὰρ οἱ ἱππεῖς, οἱ δὲ φιλόσοφοι κάτω κείρονται]. διακεκναισμένος δὲ ἀντὶ τοῦ ἠμαυρωμένος. εἰ γενοίμην, φησὶν, ὠχρὸς ὡς οἱ περὶ τὸν Σωκράτην, [καὶ ἀνυπόδητος καὶ βυπῶν]. οἱ γὰρ ἱππεῖς εὔχροοι καὶ ὑποδεδεμένοι καὶ ἐν γυμνασίοις ἐξεταζόμενοι καὶ ἐν παλαίστραις. καὶ ἐν τοῖς Ἱππεῦσι [580] φησὶ

μὴ φθονεῖθ' ὑμῖν κομῶσι μηδ' ἀπεστλεγγισμένοις,

τουτέστι λιπῶσι. τοῦτο οὖν καὶ νῦν ὁ νεανίσκος δεδοικέναι φησὶ, τὸ ἀπέχθεσθαι τοῖς περὶ τὴν ἱππικὴν ἔχουσιν, εἰ καταλιπὼν τὸ κοσμεῖν τὸ σῶμα καὶ μετιέναι τὰ τῶν ἱππέων ἐπιτηδεύματα τὰ τῶν φιλοσόφων μετέλθοι. [ὡς ἱππαζόμενον δὲ καὶ τοῦτον μετὰ τῶν ἱππέων φησὶ τάττεσθαι.] — διακεκναισμένος : διεφθαρμένος, ἠμαυρωμένος, ὠχρὸς ὡς οἱ περὶ τὸν Σωκράτην. R. βεβλαμμένος, ἐφθαρμένος, ὠχρὸς, οἷόν ἐστι τὸ τῶν φιλοσόφων. *Br.*

121. [οὐκ ἄρα μὰ τὴν Δήμητρα : Εἰκότως τὴν Δήμητρα ὄμνυσιν, ἐπεὶ περὶ τροφῶν ὁ λόγος ἐστί. τούτων γὰρ ἡ θεὸς εὑρετίς.] ἔδει : ἀντὶ τοῦ φάγει, θρέψει. R. V.*

122. οὔθ' ὁ ζύγιος οὔθ' ὁ σαπφόρας : Ζύγιοι ἵπποι καλοῦνται οἱ ὑποβαλλόμενοι τῷ τοῦ ἅρματος ζυγῷ, τουτέστιν ὁ μέσος δεξιὸς καὶ ὁ μέσος ἀριστερός. [σαπφόραι δὲ οἱ σῖγμα ἔχοντες περὶ τὸν μηρόν. καὶ διὰ τοῦ μ καὶ π γράφεται.] — σαμφόρας ὁ ἔχων εἰς τὸν μηρὸν σ. R.

123. (ἀλλ' ἐξελῶ σ' ἐς κόρακας : Ἀλλ' ἐκβαλῶ σε καὶ ἀποδιώξω ἐκ τῆς οἰκίας τῆς ἐμῆς. τραχύτερον δὲ αὐτῷ διαλέγεται καὶ ἀπηνέστερον, ὅτι τὴν ἐλπίδα τοῦ πείσειν αὐτὸν ἀπώλεσε.)

124. [ἀλλ' οὐ περιόψεταί με : Εἰκὸς γὰρ ἦν καὶ τοῦτον, σεμνυνόμενον ἐπὶ ταῖς τρισὶ νίκαις τοῦ πατρὸς, ἥδεσθαι τὸν νεανίσκον ὁρῶντα μετερχόμενον τὰ προγονικὰ ἐπιτηδεύματα.]

125. ἄνιππον : ἵππων ἐστερημένον. σοῦ : τῶν σῶν ἀπειλῶν. R.

(126). ἀλλ' οὐδ' ἐγὼ μέντοι : Ἀλλ' οὐδ' ἐγὼ μέντοι [ἀθυμήσω, διότι μὴ πέπεικα τὸν υἱὸν, οὐδὲ τέλεον ἀφέξομαι τῆς γνώμης τῆς προκειμένης. οἷον, οὐ] παραδώσω ἐμαυτὸν ταῖς λύπαις. — οὐκ ἀθυμήσω. R.

(127). διδάξομαι : Νῦν μὲν παθητικῶς ἀποδεκτέον τὸ διδάξομαι. βούλεται γὰρ λέγειν διδαχθήσομαι. ἔστι δὲ τῶν μέσων· παθητικὸν γὰρ ἔχει τὸν σχηματισμὸν, ἐνέργειαν δὲ δηλοῖ. διδάξομαι δὲ τὸν υἱὸν φιλοσοφεῖν κυριώτερον ἢ διδάξω. διδάξω μὲν γὰρ ὁ διδάσκαλος ἐρεῖ, διδάξομαι δὲ ὁ πατὴρ καὶ πᾶς ὁ παραδιδοὺς ἕτερον μανθάνειν. δύναται οὖν καὶ νῦν εἶναι τὸ αὐτὸ, ἵν' ᾖ νοούμενον διδάξομαι, ἐπεὶ οὐ τὸν υἱὸν, ἐμαυτόν. τοῦ μέτρου οὐκ ἐπιτρέποντος εἰπεῖν διδάξω, ἔφη διδάξομαι αὐτὸς βαδίζων εἰς τὸ φροντιστήριον. [Ἄλλως. ἀντὶ τοῦ, διδασκάλῳ παραδώσω· ἐπεὶ μέσον ὂν τὸ διδάξομαι, πρὸς ἄμφω τὰς ἐνεργείας χωρεῖ.] — διδαχθήσομαι. R.

(129). πῶς οὖν γέρων ὤν : [Ταῦτα καθ' ἑαυτὸν λογίζεται ἐν τῷ ἀπιέναι.] τὸ δὲ βραδὺς νῦν οὐκ ἐπὶ τῆς τοῦ σώματος κινήσεως παρείληφεν, ἀλλὰ τὸ μὴ ἀγχίνουν καὶ νωθὲς τῆς διανοίας δηλοῦν ἐθέλει. — ἀντὶ τοῦ μὴ ἀγχίνους. R.

130. λόγων ἀκριβῶν σκινδαλμοὺς : [Λόγων ἰσχνῶν λεπτολογίας. λεπτὰ γὰρ καὶ ἰσχνὰ τὰ τῶν λόγων ζητήματα. σκινδαλμοὺς δὲ λεπτολογίας· ἀπὸ τῆς σχίσεως τῶν καλάμων.] ἐξήγησις καὶ ἐπεξεργασία τῶν ἀκριβῶν λόγων οἱ σκινδαλμοί. ἰδίως γὰρ σκινδαλμοὺς καλοῦμεν τὰ λεπτότατα τῶν ξύλων καὶ τὰ τῶν καλάμων ξύσματα. τοῦτο δὲ ἐπὶ μὲν τῆς εὐθείας ὀξύνεται, ἐπὶ δὲ τῶν πλαγίων παροξύνεται. — λέγει δὲ τὰς λεπτολογίας. R.

131. πορευτέον. ἀντὶ τοῦ διατρίβω καὶ ἀναδύομαι. R. πορευτέον : ἀναβάλλομαι V. τί ταῦτ' ἔχων στραγγεύομαι : Διὰ τί ταῦτ' ἔχων κατὰ νοῦν, πιέζομαι καὶ συνθλίβομαι; στραγξ δέ ἐστιν, ὁ διὰ λεπτοτάτης ὀπῆς σχολῇ κατιὼν σταλαγμός. Junt. στραγγεύομαι : Ἀναβάλλω, καὶ διατρίβω. βραδύνω. *Br.* ἀργῶν πιέζομαι καὶ συνθλίβομαι. *Vict.*

(132). ἀλλ' οὐχὶ κόπτω τὴν θύραν : [Ἀλλ' οὐκ ἔχομαι τῶν ἐγνωσμένων.] τοῦτο δὲ παρεγκύκλημα. δεῖ γὰρ αὐτὸν ἐλθεῖν καὶ κόψαι τὴν θύραν τοῦ Σωκράτους. παρατηρητέον δὲ ὅτι ἐπὶ μὲν τῶν ἔξωθεν κρουόντων κόπτειν λέγεται, ἐπὶ δὲ τῶν ἔσωθεν ψοφεῖν. [ἱκανῶς δὲ διέστειλε Μένανδρος, ἐπὶ μὲν τῶν ἔξω, « κόψω τὴν θύραν » εἰπὼν, ἐπὶ δὲ τῶν ἔσω « ἐψόφησε τὴν θύραν ἐξιών. »] — ἀλλ' οὐχὶ κρούω. R.

133. βάλλ' ἐς κόρακας : [Ἄπιθι ἐς κόρακας. ἔστι δὲ παροιμία ἐπὶ κατάρας λεγομένη.] ἀντὶ τοῦ εἰς ἀπώλειαν καὶ φθοράν. Βοιωτοῖς γὰρ ἀναστάτοις ὑπὸ Θρᾳκῶν γενομένοις καὶ περὶ ἀποικίας μαντευομένοις εἶπεν ὁ θεὸς ἐκεῖ κατοικεῖν, ἔνθα ἂν ἴδωσι λευκὸν κόρακα. οἱ δ' ἐν Θετταλίᾳ παρὰ τὸν Παγασητικὸν κόλπον εἶδον περιιπταμένους τοὺς τοῦ Ἀπόλλωνος ἱεροὺς κόρακας, οὓς παῖδες ἁρπάσαντες ὑπὸ μέθης, καὶ τελεῖσθαι τὸν χρησμὸν φήσαντες ἐνταῦθα κατῴκησαν. οἱ δὲ ἀπὸ τοῦ ζῴου λέγεσθαι τὴν παροιμίαν φασίν. ἐν γὰρ τοῖς ἐρημοτέροις τόποις ἐπιτηρεῖ τὰ πτώματα.

134. Κικυννόθεν : Δῆμος οἱ Κικυννῆς τῆς Ἀκαμαντίδος φυλῆς, [ἔνθα ἄγεται καὶ τὰ Ἀπολλώνια].

135. [ἀμαθής γε νὴ Δία : Ἰδιώτης καὶ ἀπαίδευτος.]

136. ἀπεριμερίμνως : Ἀσκόπως, ἀμαθῶς [καὶ ἀπείρως καὶ ἀνεπιστημόνως]. τὸ δὲ λελάκτικας σφοδρότητος καὶ βίας ἐστὶ σημαντικόν. διόπερ καὶ τὴν μέμψιν ἐπήγαγεν, [οὐ τὸ κροῦσαι καὶ τὸ προσελθεῖν αἰτιώμενος· οὐδὲ γὰρ πρὸς φιλοσόφου τὸ τοῖς δεομένοις μὴ παρέχειν τοῦ συνιέναι ἐξουσίαν· τὸν δὲ τρόπον μεμφόμενος, ὅτι βιαιοτέρως ἔπαισε τὴν θύραν, ὡς διαταραχθῆναι τοὺς ἐμφιλοσοφοῦντας.]

137. ἐξήμβλωκας : (Ἡμιτελῆ ἐξέβαλες, ἐξέωσας. ἐξαμβλῶσαι δὲ κυρίως ἐπὶ τῶν γυναικῶν λέγεται τῶν ἀποτικτουσῶν θᾶττον, οὐ κατὰ τὸν τῶν ὠδίνων καὶ τῆς κυοφορίας νόμον. καὶ τὸ φάρμακον δὲ τὸ αἴτιον τοῦ ἐξαμβλοῦν τὰς γυναῖκας ἀμβλώθριον καλεῖται.) ἰδίως δὲ νῦν ἐπὶ φιλοσόφων τὴν φροντίδα· ἐπεὶ καὶ μεριμνοφροντιστὰς ἐκάλουν αὐτοὺς, ὡς προεῖπεν. (τοῦ δὲ Σωκράτους λέγοντος, ὅτι τέχνην ἔχω τὴν μαιευτικὴν, καὶ διὰ ταύτης ποιῶ τοὺς νέους ἀποτίκτειν τὰ νοήματα ἐν τῇ ἑαυτῶν ψυχῇ, τοῦτο νῦν κωμῳδεῖ Ἀριστοφάνης διὰ τοῦ ἐξήμβλωκας.) — ἀτελῆ ἐποίησας. R. ἡμιτελῆ ἐποίησας διαφθείρας. *Br.*, *Vict.* ἐξευρημένην : Ἐπινενοημένην. R. V.

138. τηλοῦ γὰρ οἰκῶ τῶν ἀγρῶν : [Ἀντὶ τοῦ, ἐν τοῖς ἀγροῖς.] — πρὸς τὸ σχῆμα. οὕτω χρῶνται πόρρωθεν ἐπὶ τῶν ἀγρῶν ὅτι ἀγροῖκός εἰμι. (Ἄλλως. ἀμφίβολον πότερον λέγει πόρρω τῶν ἀγρῶν ἑαυτὸν κατοικεῖν, ἢ ἐν τοῖς μακρὰν καὶ πολὺ τῆς πόλεως ἀπέχουσι. λέλεκται δὲ αὐτὸ παρὰ τὸ Εὐριπίδειον, ὅπερ οὕτως ἔχει,

* τηλοῦ γὰρ οἴκων βίοτον ἐξιδρυσάμην.)

139. τὸ πρᾶγμα : Θεώρημα. *Vict.* τὸ παραπολωλὸς καὶ διεφθαρμένον. R. διαφθειρόμενον. V.

140. διὰ τὸ περὶ τῶν οὐρανίων καὶ τῶν ἀδήλων ἀεὶ γίνεσθαι τὴν ζήτησιν αὐτοῖς. R. — ἀλλ' οὐ θέμις πλὴν τοῖς μαθηταῖσι λέγειν : (Ἀλλ' οὐ δυνατόν. ὀηλονότι ἐπὶ διασυρμῷ καὶ διαβολῇ ταῦτα παρεισάγει λέγοντα τὸν θυρωρόν. ἀλλότριον γὰρ τῶν φιλοσόφων τὸ βασκαίνειν καὶ φθονεῖν, οἷς τὸ κοινωνεῖν περὶ πολλοῦ πάντων ἀφθόνως.) — οὐ πρέπον εἰ μὴ μόνον τοῖς μαθηταῖς. R.

141. οὑτοσὶ : ἑαυτὸν δείκνυσι. R.

144. ἀνήρετ' ἄρτι : Ἐπύθετο, [ἀνηρώτησεν. ἄρτι δὲ, ἀντὶ τοῦ ἐξ ὑπογυίου· ἵνα αὐτοσχεδιάζειν δοκῶσι. διαβάλλει δὲ τοὺς φιλοσόφους ὡς εὐτελῆ ζητοῦντας· διὸ καὶ ταῦτα γελοίου χάριν λέγεται, καὶ διὰ γελοίων τὴν Σωκράτους παρίστησιν ἀκρίβειαν.]

Χαιρεφῶντα : Τῶν ἄγαν γνωρίμων Σωκράτους ὁ Χαιρεφῶν. (οὐδὲν δὲ αὐτοῦ διασέσωσται τῶν συγγραμμάτων. δοκεῖ δὲ γενέσθαι περίθερμος καὶ σφόδρα ἐχθρεύσας τῷ ἀδελφῷ. καὶ φησὶ Ξενοφῶν [Comm. 2, 3, 18] τὸν Σωκράτην συνάγοντα αὐτοὺς λέγειν ὡς οὐδὲν ὀφθαλμῶν ὄφελος εἴη, εἰ μὴ συμφωνοῖεν, οὐδὲ χειρῶν οὐδὲ ποδῶν.) δήμου δὲ ἦν ὁ Χαιρεφῶν Σφήττιος. τούτῳ καὶ ἡ Πυθία δοκεῖ τὸν περὶ τοῦ Σωκράτους χρησμὸν εἰπεῖν

> σοφὸς Σοφοκλῆς, σοφώτερος δ' Εὐριπίδης·
> ἀνδρῶν δὲ πάντων Σωκράτης σοφώτατος.

(τοῦτον Ἀπολλώνιος ὁ Μόλων ἐν τῷ κατὰ φιλοσόφων ἐψεῦσθαί φησι. τοὺς γὰρ Πυθικοὺς χρησμοὺς ἑξαμέτρους εἶναι. καὶ ἔστι δὲ παρὰ κωμικῷ τινι·

> εἰ συγκεχρῶσθαι τοῖς νεκροῖς δυνήσεται.

ὅτι δὲ καὶ ἄλλοι διὰ τριμέτρων πλείους εἰσὶ χρησμοὶ, οὐ μὴν ἀλλὰ καὶ πεζῷ λόγῳ λεχθέντες τῇ Πυθίᾳ, δῆλον.) [τὸ μὲν καὶ ἐπ' ἐμοὶ μέχρι καὶ νῦν κεχρηκέναι τὸν Πύθιον οὕτω παρήσω λέγειν, ἀλλὰ τῶν ἀρχαίων παραδείγματος ἕνεκα χεῖρον οὐδὲν μνημονεῦσαι. τοῦτο μὲν γὰρ ἐπί τῳ φέρεται οὗτος ὁ χρησμὸς ἐξενεχθεὶς ὑπὸ τῆς Πυθίας

> ἐμοὶ μελήσει ταῦτα καὶ λευκαῖς κόραις·

ἐν Λέσβῳ δὲ ναπαίου Ἀπόλλωνος ὁ δοθεὶς Πέλοπι, αἰτοῦντος αὐτὸν ἀνάθημα τοῦ θεοῦ τὴν ἄρνα τὴν χρυσῆν, ἕτερα παρέχοντι κειμήλια. ἔστι δ' οὕτως,

> ὃ βούλομαι δὸς, μὴ δίδου δ' ὃ μὴ θέλω.

φέρει δὲ τὸν χρησμὸν τοῦτον Ἀντικλείδης ἐν τοῖς Νόστοις. καὶ ἑτέρους πλείστους ἄν τις ἔχοι λέγειν τοιούτῳ ἐξενεχθέντας μέτρῳ.]

145. ψύλλαν ὁπόσους ἄλλοιτο : Τοιαῦτα καὶ τὰ τῶν φιλοσόφων ζητήματα, ἀπηλλαγμένα τῶν κοινῶν βιωτικῶν ἐννοιῶν. R. διαβάλλει τοὺς φιλοσόφους ὡς εὐτελῆ ζητοῦντας· διὸ καὶ τὰ ἑξῆς γελοίου χάριν. Ἄλλως. V. ψύλλαν μὲν Ἀττικῶς, ὃν νῦν ἡμεῖς ψύλλον καλοῦμεν. τὸ δὲ λεγόμενον τοιοῦτόν ἐστι, τὸ πήδημα τῆς ψύλλης διαμετρῆσαι τοῖς αὐτῆς τῆς ψύλλης ποσὶν, ὁπόσους τούτους πηδήσειε. δῆλον δὲ ὅτι διασῦραι βουλόμενος τὰ τῶν φιλοσόφων ζητήματα ὡς ἰσχνὰ καὶ λόγου μηδενὸς ἄξια, ταῦτα καὶ τὰ τοιαῦτα παρεισάγει. [διὸ καὶ τὰ ἑξῆς γελοίου χάριν αὐτῷ λέλεκται.]

146. τοῦ Χαιρεφῶντος τὴν ὀρρῦν : (Ἰστέον ὅτι αὐτοπροσώπως εἰσῆγον τοὺς κωμῳδουμένους καὶ) ὅτι γελοίου χάριν παρείληφε τοῦτο. αὐτίκα γοῦν οὐδὲ ἄλλου τινὸς ἐμνήσθη μέρους τοῦ σώματος ἢ τοῦ ἐν ἑκατέρῳ γελοίου. ὁ μὲν γὰρ βαθείας εἶχε τὰς ὀρρῦς ὁ Χαιρεφῶν, ὁ δὲ φαλακρὸς ἦν ὁ Σωκράτης.

150. τὼ πόδε : Δυϊκὸν τὼ πόδε ἐπὶ τῆς ψύλλης [κακῶς]. ἱστορεῖται γὰρ ἓξ πόδας ἔχουσα. [ψυγείσῃ δὲ, ἀντὶ τοῦ ἀποθανούσῃ.]

151. [Περσικαὶ : Ἔστι μὲν δένδρα, ἔστι δὲ καὶ ὑποδημάτων εἶδος γυναικείων. διὸ ἐπιφέρει, ὑπολύσας. διὰ δὲ τὸ δένδρον, παίζων τὸ περιέφυσαν εἶπεν.]

152. ταύτας ὑπολύσας : Ἀδύνατον ἀδυνάτῳ ἐπήγαγεν. οὔτε γὰρ ὑποδήματα φορέσαι δύναται ψύλλα οὔτε ἐκ κηροῦ φῦναι αὐτῇ φύσιν ἔχει, οὔτε τῶν τῆς ψύλλης ποδῶν τὸν κηρὸν ἐξελεῖν καὶ διαμετρῆσαι τούτῳ δυνατὸν τὸ διάστημα τοῦ πηδήματος.

156. [Σφήττιος : Ἀπὸ δήμου τῆς Ἀκαμαντίδος φυλῆς.]

(157). ὁπότερα τὴν γνώμην : Ἀντὶ τοῦ πῶς διανοεῖται καὶ διαλέγεται περὶ τῶν ἐμπίδων. [τὸ δὲ ὁπότερα, ἀντὶ τοῦ ὁποτέρως. ἐμπίδας δὲ, οὓς ἡμεῖς κώνωπας καλοῦμεν· οἱ δὲ, εἶδος κώνωπος παραποτάμιον, ζώνην ἔχοντος.] — ἀντὶ τοῦ ὁπότερος. R.

158. κατὰ τὸ στόμ' ᾄδειν : Ἀντὶ τοῦ, διὰ τοῦ στόματος (φθέγγεσθαι καὶ βομβεῖν), ἢ διὰ τοῦ ὀρροπυγίου. (τὰ γὰρ τοιαῦτα τῶν ζώων τροφὴν μὲν λαμβάνει τῷ στόματι, οὐκέτι δὲ αὐτῷ φθέγγεται. καὶ ἔστιν ἀπό τε τῶν τεττίγων τοῦτο καὶ ἀπὸ τῶν ἐγκελάδων ἰδεῖν, οἳ καὶ οὕτω προσηγορεύθησαν, ἐπεὶ ἐν αὐτοῖς τὸν κέλαδον ἔχουσιν. οὗτοι γὰρ καὶ τὰ τοιαῦτα ζῷα πάντα διὰ τοῦ στήθους τὴν φωνὴν προΐεται. εἰ οὖν τούτους λάθοις καὶ σφάξαις, οὔτε ὁ ἐγκέλαδος οὔτε ὁ μουσικὸς καὶ καλὸς τέττιξ ἔτι πρόεισι φωνήν. τῆς αὐτῆς γὰρ καὶ ὁ τέττιξ ἐστὶ φύσεως. καὶ τὰ τοιαῦτα ζῷα καλεῖται μὲν παρά τισι βομβύκια, καλεῖται δὲ καὶ ἔντομα, ὅτι κατὰ τὴν ῥάχιν ἐντέτμηται, ὡς ἔστιν ἰδεῖν ἐπὶ τῶν σφηκῶν καὶ κανθάρων καὶ ἐγκελάδων, καὶ τῶν τεττίγων μάλιστα. δι' ὧν καὶ φθέγγεσθαι τμημάτων ἀξιοῦσιν αὐτά.)

163. κοῖλον, τὸν πρωκτὸν, πρὸς στενῷ δὲ τῷ ἐντέρῳ προσκείμενον. R. V.

164. πῶς διανοεῖται τὰς ἐμπίδας πνεῖν. R.

165. σάλπιγξ ὁ πρωκτὸς : Τοιαύτη γὰρ καὶ ἡ σάλπιγξ, κατὰ μὲν τὸ ἄνω στενὴ, πρὸς τὰ κάτω δὲ κοίλη. διὸ καὶ ὀξὺ ᾄδει.

166. [τοῦ διεντερεύματος : Τοῦ ἐρωτήματος τοῦ διὰ τοῦ ἐντέρου.]

τοῦ εὑρέματος, τοῦ ἐπινοήματος. ἔπαιξε δὲ παρὰ

τὸν ὑπὸ τοῦ Σωκράτους λεχθέντα λόγον περὶ τοῦ τῆς ἰαμβίδος ἑντέρου. — τῆς περὶ τοῦ ἑντέρου λεπτολογίας καὶ φυσιολογίας. *Br.*]

167. ἦ ῥᾳδίως : Ἢ ταχέως γε ἂν οὗτος. φεύγων δὲ ἀντὶ τοῦ κατηγορούμενος. R. σφόδρα γε οὗτος ἢ ἄγαν οὗτος. φεύγων δὲ ἀ. τ. κ. V.

169. γνώμην μεγάλην ἀφηρέθη : (Γνώμης μεγάλης ἐστερήθη) ἐμποδισθεὶς ὑπὸ ἀσκαλαβώτου ὁ Σωκράτης. ἑκατέρως λέγεται, καὶ ἀσκαλαβώτης καὶ γαλεώτης. — σκέμμα. R.

173. ἀπὸ τῆς ὀροφῆς : Καὶ ἀρσενικῶς ὁ ὄροφος, καὶ θηλυκῶς ἡ ὀροφή· ὡς τὸ,

οὐ πρὸς τὸν ὄροφον ἀνατενῶ τὰ Περσικά,

ἐν Λυσιστράτῃ [229]· [καὶ ἐν Σφηξὶν [1215] « ὀροφὴν θέασαι. » — ὄροφος καὶ ὀροφή· ἔστι δὲ κάλαμος, ᾧ στεγάζουσιν. *Vict.*]

175. ἐχθὲς δέ γ' ἡμῖν : Ληθοτόως σκώπτει τὸν τῶν φιλοσόφων βίον ὡς ἐπίπονον καὶ ταλαίπωρον. διὰ τοῦτο εἰς αὔξησιν καὶ τῷ καιρῷ συνεχρήσατο, εἴ γε μέχρι τῆς ἑσπέρας ἀναμένοντες φαγεῖν οὐδὲ τότε παρεσκευασμένον οὐδὲν εἶχον.

176. τοῦτο καλεῖται ἀπόθεσις τοῦ λόγου. τὸ δὲ ἐπαλαμήσατο ἀντὶ τοῦ ἐμηχανήσατο καὶ ἐπενόησεν. R. V. ἐπαλαμήσατο : Εἰκότως εἶπε τὸ ἐπαλαμήσατο διὰ τὸ καὶ τοὺς ἄρτους ὑπὸ τῆς παλάμης πλάττεσθαι. *Vict.*

177. λεπτὴν τέφραν : Ἰσχνὴν σποδόν. οὐκ ἀργῶς δὲ τὸ λεπτήν. πρὸς γὰρ τὴν ὁμοίωσιν τῶν ἀλφίτων. [ἰσχνὴν δὲ τέφραν τὴν ἐκ τῶν κεκαυμένων ξύλων κόνιν. οὐ ματαίως δὲ τὸ λεπτὴν προσέθηκε πρὸς τὸ ταύτην δεῖξαι παραπλήσιον τοῖς ἀλφίτοις.] — τέφρα δὲ ἡ τῶν κεκαυμένων ξύλων κόνις. R. V.

178. κάμψας : (Καμπύλον ποιήσας καὶ ὥσπερ ἀγκιστροειδῆ. ὀρθοὶ γὰρ οἱ ὀβελίσκοι. καὶ Ὅμηρος [Il. I, 215 et 210 contaminati]

αὐτάρ ἐπεί ῥ' ὤπτησε καὶ ἀμφ' ὀβελοῖσιν ἔπειρεν.

ἀλλ' ἐπεὶ ἔδεσμα μὲν οὐδὲν ἦν ὡς ὀβελίσκου δεῖσθαι, πρὸς δὲ τὸ ἐπιλαβέσθαι καὶ ἁρπάσαι τι καὶ κατασχεῖν τοῦτο ἦν χρήσιμον, ὀρθὸν ὄντα, φησί, τὸν ὀβελίσκον ἔκαμψεν, ἵνα δι' αὐτοῦ κλέψαι τὸ ἱμάτιον δυνηθῇ. τοιαῦτα γὰρ οἱ κλέπται μηχανῶνται, ἵνα ῥᾳδίως πόρρωθεν ἁρπάσωσιν ὃ βούλονται.) — καμπύλον ποιήσας. διὰ δὲ τοῦ κάμψαι ὀβελίσκον καὶ ἡ κλοπὴ καὶ ἡ ἀφαίρεσις τοῦ ἱματίου ἐγένετο. ἐπειδὴ ὁ ὀβελίσκος ὀρθός ἐστιν, ἔκαμψεν αὐτὸν, ἵνα δι' αὐτοῦ κλέψῃ τὸ ἱμάτιον. R.

εἶτα διαβήτην λαβὼν : Ἐργαλεῖον ὁ διαβήτης πολλαῖς εὔχρηστον τέχναις, τῷ Λ στοιχείῳ παρεοικός. τούτου τὸ ἓν μέρος ἐντιθέντες, τὸ δὲ ἕτερον περιάγοντες κύκλους γράφουσι. [καὶ χαράσσοντες τὸ ὑποκείμενον, τὸ ἴσον τηροῦσι διάστημα τοῦ κύκλου ἐκ τοῦ κέντρου.] — τὸ εἶτα περιττόν. R.

179. (ἐκ τῆς παλαίστρας : Ὅμοιον τοῦτο τῷ ὑπὸ Εὐπόλιδος ῥηθέντι περὶ Σωκράτους

Στησιχόρου πρὸς τὴν λύραν οἰνοχόην ἔκλεψεν.

ἐμφαίνει δὲ διὰ τούτου ὅτι παίδων ἤρα ὁ Σωκράτης. ἐν ταῖς παλαίστραις γὰρ τὰ πολλὰ ἐξητάζετο, ἵνα αὐτοὺς ὁρᾷῃ.)

ὑφείλετο : Τοῦτο παρ' ὑπόνοιαν ἐπήγαγεν. ἔδει γὰρ αὐτὸν εἰπεῖν, μετέβαλεν αὐτὸν εἰς τὰ ἅλφιτα. Ἄλλως. δέον γὰρ αὐτὸν εἰπεῖν, κατέγραψέ τι, ᾧ τέως προσέχοντες οὐκ ἐπεινήσαμεν, καὶ σχήματά τινα ἐπεποιήκει, εἰς ἃ πάντων ἡμῶν ὁ νοῦς καθάπερ κεχηνὼς τροφῆς ἐπελάθετο, ἐπήνεγκεν ὅτι ἀπὸ τῆς παλαίστρας ἔλαβεν ἱμάτιον. διαβάλλει δὲ αὐτὸν ὡς περὶ τὰς παλαίστρας τῶν παίδων ἕνεκεν διατρίβοντα. (ἐκεῖ γὰρ ἐφοίτα ὡς γυμνοὺς τοὺς παῖδας ὁρᾷῃ. Ἄλλως. ἐπειδὴ οἱ τὰ γεωμετρικὰ θεωρήματα διδάσκοντες διαβήταις γράφουσι ταῦτα, φησὶν ὅτι ὀβελίσκον κάμψας, καὶ διαβήτου σχῆμα διαλαβών, πάντας πρὸς αὐτὸν ἐπαγόμενος, ὑφεῖλε τὸ ἱμάτιον.)

180. τὸν Θαλῆν : Οὗτος ἐγένετο τῶν ἑπτὰ σοφῶν, Μιλήσιος τὸ γένος, τὰ περὶ τὸν οὐρανὸν πρῶτος ἐξευρών. παρατηρητέον δὲ ὡς ἀπ' εὐθείας τῆς Θαλῆς ὡς Ἑρμῆς (ἔκλινε). διχῶς δὲ τοὔνομα ἐκφωνητέον· βαρυτόνως μὲν Θάλης [ὡς Χρέμης, οὗ ἡ γενικὴ] Θάλητος· ἔτι δὲ καὶ περισπωμένως Θαλῆς ὡς Ἑρμῆς. [μαθητιῶ δὲ ἀντὶ τοῦ, μαθεῖν ἐπιθυμῶ.]

184. ὦ Ἡράκλεις : Πεποίηκε τὸ προσταχθὲν ὁ φιλόσοφος καὶ ἀνέῳξε τὰς θύρας. ὁ δὲ εἰσελθὼν καὶ θεασάμενος αὐτοὺς ὠχροὺς καθημένους τεθαύμακεν ὡς ἀνθρώπων μορφὰς μὴ ἔχοντας μηδὲ ὄψεις διὰ τὴν ὠχρότητα. [ὁρᾷ δὲ ὡς φιλοσόφους κομῶντας, στραφέντος τοῦ ἐγκυκλήματος.]

185. ὁμοιοῦσθαι. R.

186. τοῖς ἐκ Πύλου ληφθεῖσι : Πύλος, χωρίον τῆς Λακωνικῆς, ἔνθα Κλέων στρατηγήσας τοὺς τριακοσίους τούτους αἰχμαλώτους ἀπὸ Σφακτηρίας ἔλαβεν. εἰκὸς οὖν τούτους καὶ διὰ τὸν τοῦ αἰχμαλωτισμοῦ φόβον καὶ διὰ τὸ πολλαῖς μὲν ἡμέραις πεπολιορκῆσθαι ἐν ἐρήμῳ νήσῳ καὶ ἀφ' ἧς οὐδὲν τῶν ἐπιτηδείων ἦν λαβεῖν, πολλῷ δὲ καὶ μετὰ τὴν ἅλωσιν συγκεκλεῖσθαι χρόνῳ δεδεμένους ἐν ξύλῳ, ὠχρούς τε καὶ ἰσχνοὺς καὶ δυσειδεῖς γεγονέναι. ἰστέον δὲ ὅτι τρεῖς ἐπωνυμίας εἶχεν ὁ τόπος, Πύλος, Κορυφάσιον, Σφακτηρία. [Ἄλλως. Πύλος, νῆσος πλησίον Πελοποννήσου. ταύτην ἐν τῷ Πελοποννησιακῷ πολέμῳ Λάχης προκατασχὼν, ὁ τῶν Ἀθηναίων στρατηγὸς, φρούριον ᾠκοδόμησεν. ὅθεν ἐξορμώμενος τὴν παραλίαν ἐδῄου τῆς Λακωνικῆς. Λακεδαιμόνιοι γοῦν καταλῦσαι τὸ φρούριον θέλοντες, ἐπέπλευσαν τῇ νήσῳ καὶ παραστησάμενοι ἄνδρας ἑπτακοσίους ἐντὸς τοῦ φρουρίου κατέλιπον. Ἀθηναῖοι οὖν ἔπεμψαν πολλήν τινα στρατιὰν κατὰ τῶν ἀνδρῶν τούτων μετὰ Κλέωνος στρατηγοῦ. ἐλθὼν οὖν ὁ Κλέων μετὰ τῆς στρατιᾶς καὶ πλεῖστον χρόνον τούτους πολιορκήσας,

ὕστερον παρεστήσατο καὶ αἰχμαλώτους λαβὼν Ἀθήναζε ἤγαγεν, οἱ διά τε τὸν πολὺν λιμὸν, ὃν ὑπέστησαν διὰ τῆς πολιορκίας, καὶ διὰ τὸ κατακλεισθῆναι Ἀθήνησιν εἰς εἰρκτὴν, πάνυ ὠχροὶ ἦσαν.]

187. [ἀτὰρ τί ποτε : Διὰ τί ἄρα. εἰσελθὼν δὲ ἐπὶ συννοίᾳ κατέλαβε τοὺς περὶ Σωκράτην καθημένους; ἅτε φροντίζοντας περὶ τῆς ἐμπίδος καὶ συγκεκυφότας εἰς γῆν.] εἰσελθὼν γὰρ εὗρε περὶ τὸν Σωκράτην κάτω νεύοντας ἐπὶ συννοίας. R.

188. [βολβοὺς : Τὰ λεγόμενα ὕδνα, ἅτινα τὴν γῆν σκάπτοντες εὑρίσκουσιν οἱ ἄνθρωποι.]

190. (ἐγὼ γὰρ οἶδ' : Ὡς ἀγροῖκος ταῦτα φησὶν ὅτι ἀκριβέστερον οἶδα τῶν περὶ τὸν Σωκράτην, ποῦ εἰσὶν οἱ βολβοί.)

191. [οἱ σφόδρ' ἐγκεκυφότες : Τοιαῦτα γὰρ τὰ τῶν ἄγαν φροντιζόντων καὶ περὶ τὴν διάνοιαν ἐχόντων σχήματα. Ὅμηρος [Π. Γ, 217]

στάσκεν, ὑπαὶ δὲ ἴδεσκε κατὰ χθονὸς, ὄμματα πήξας.]

ἐγκεκυφότες : Κύπτοντες κατὰ γῆς. *Vict.*

192. ἐρεβοδιφῶσιν : Τὰ ὑπὸ τὴν γῆν ζητοῦσι καὶ καταμανθάνουσι. R. V. [τὰ ὑπὸ ἔρεβος διφῶσι. τουτέστι τὰ ὑπὸ γῆν ζητοῦσι. — ἐρευνῶσιν, ἐξετάζουσι. Τάρταρος δὲ ἐστὶν ὁ ὑπὸ γῆν κατώτατος τόπος. Junt.]

193. τί δῆθ' ὁ πρωκτὸς : Ἴσως ἐγγύθεν τοῦτο εἴληφεν ἀπὸ τῆς ἐμπίδος. ἐπεὶ κἀκείνην διὰ τοῦ πρωκτοῦ ᾄδειν ἔφη, διὰ τοῦτο καὶ τούτους διὰ τοῦ πρωκτοῦ ἀστρονομεῖν (διδάσκεσθαι) λέγει. [ἀνάγκη γὰρ συγκεκυφότων αὐτῶν καὶ εἰς γῆν ὁρώντων ἄνω τὸν πρωκτὸν βλέπειν.]

195. ἀλλ' εἶσιθ', ἵνα μὴ 'κεῖνος : [Κατὰ τὸ σιωπώμενον, ἄλλων ἐξεληλυθότων ἐκ τοῦ φροντιστηρίου,] τοῖς φιλοσόφοις λέγει εἴσιτε εἴσω ὁ μαθητὴς, ἵνα μὴ ἐξελθὼν ὁ Σωκράτης εὕρῃ ὑμᾶς ἐνταῦθα διατρίβοντας. (τὸ δ' ἐκεῖνος κατ' ἐξοχήν. Ἄλλως. τὸ ἐκεῖνος καὶ τὸ αὐτός ἀντὶ ὀνόματος παραλαμβάνεται. καὶ Ὅμηρος [Π. Ω, 90] τὴν Θέτιν που παρεισάγει λέγουσαν

τίπτε μ' ἐκεῖνος ἄνωγε μέγας θεός.)

[καὶ παρὰ Πυθαγορείοις τὸ αὐτὸς ἔφα, τουτέστιν ὁ Πυθαγόρας. καὶ ἐν τοῖς ἑξῆς αὐτός, ἤγουν ὁ Σωκράτης.]

199. ἔξω διατρίβειν : Εἰ γὰρ θεάσεται αὐτοὺς ἔξω, δυσχερανεῖ τὰ μέγιστα Σωκράτης. *Vict.*

200. [πρὸς τῶν θεῶν, τί ταῦτα : Εἰσελθὼν ὁ πρεσβύτης ὁρᾷ τὰ τῶν φιλοσόφων σκεύη, ἄβακα, ἢ σφαῖραν, ἢ χωρογραφίαν, καὶ ἐρωτᾷ τί ἐστι.]

201. Ἀστρονομία : σφαῖραν δείκνυσι. *R. Br.*

(τουτὶ δὲ τί : Διαγράμματά τινα καὶ πίνακας δείκνυσι καὶ ἀστρονομικοὺς καὶ γεωμετρικούς.)

(203). πότερα τὴν κληρουχικήν : Ὡς ἀγροικος ταῦτά φησι. [τὴν ἰδιωτικὴν, τὴν ὑπὸ κλήρου δεδομένην, τὴν τελοῦσαν.] ἐπεὶ οἱ Ἀθηναῖοι λαμβάνοντες πόλιν πολεμίαν καὶ τοὺς ἐνοικοῦντας ἐκβάλλοντες, πολίτας ἑαυτῶν ἀποστέλλοντες τὴν γῆν αὐτοῖς διένεμον. [ἡ κληρουχικὴν ἐνταῦθα λέγει τὴν γεωργικήν. κληροῦχοι γὰρ οἱ γεωργοὶ, διὰ τὸ τοὺς Αἰγυπτίους κλήρῳ μερίζειν τὴν αὐτῶν γεωργίαν.]

205. τὸ γὰρ σόφισμα δημοτικὸν : Δημωφελές. οἷον, τὸ γὰρ σόφισμα ἤτοι μάθημα συμφέρον τῷ δήμῳ. V. [οἴεται τῶν πρὸς γεωργίαν εἶναι τοῦτο ἀβάκιον· ἢ τοιοῦτόν τι δημωφελές. μάθημα τῷ δήμῳ συμφέρον.]

207. αἴδε μὲν Ἀθῆναι : [Χωρογραφίαν δείκνυσιν αὐτῷ. τινὲς ἔνθεν ἕως τοῦ, οἱ 'μοὶ δημόται, τοῦ γέροντός φασιν. ἔνιοι δὲ διαιροῦσι. καὶ κατ' ἐρώτησιν δὲ εἶναι τὸ τοῦ φιλοσόφου, καὶ ἐν ἀποφάσει δύναται. τὸ δὲ ἐξῆς, ὡς τοῦτ' ἀληθές,] ἐν ἐρωτήσει, ὡς τοῦτό σοι δοκεῖ Ἀττικὸν χωρίον, ἐν ᾧ καθήμενοι δικάζουσιν;

208. [ἐπεὶ δικαστὰς οὐχ ὁρῶ : Κατηγορεῖ Ἀθηναίων ἐνταῦθα ὡς περὶ τὰ δικαστήρια μόνα ἠσχολημένων καὶ τοῦ στρατεύειν ἀμελούντων. τοῦτο δὲ καὶ Δημοσθένης ἔστιν ὅτε ποιεῖ.]

212. [παρατέταται μακρά : Διὰ γὰρ τὸ σχῆμα, λέγω δὴ τὸ ἐπίμηκες τῆς θέσεως, Μάκρις ἐκλήθη.]

ἥδ' : Αὕτη. ἤγουν ἰδού. Junt.

213. ὑπὸ γὰρ ὑμῶν παρετάθη : [Εἰς φόρον ἐξετάθη, πλείονα φόρον παρέχουσα. δηλοῖ δὲ καὶ τὸ ἁπλῶσθαι. ἐκληρούχησαν δὲ αὐτὴν Ἀθηναῖοι, κρατήσαντες αὐτῆς.] (πρὸς τὸν χρόνον ἀπήντησε καὶ τὸ μῆκος τοῦ πολέμου, τὸ σχῆμα τῆς θέσεως δεικνύντος αὐτῷ τοῦ φιλοσόφου. ἐπολιόρκησαν δὲ αὐτὴν Ἀθηναῖοι μετὰ Περικλέους, καὶ μάλιστα Χαλκιδέας καὶ Ἐρετριέας. πρὸς τὸ παρατέταται, ἐν ᾧ ἡ θέσις δηλοῦται, καὶ αὐτὸς ἐπήνεγκε τὸ παρετάθη. τοῦτο λέγει, ὅτι προσέκειντο Ἀθηναίοις. τὸ δὲ παρετάθη ἴσον τῷ ἐξετρυχώθη καὶ κατεπονήθη. Περικλέους δὲ στρατηγοῦντος καταστρέψασθαι αὐτοὺς πᾶσάν φησι Φιλόχορος· καὶ τὴν μὲν ἄλλην ἐπὶ ὁμολογίᾳ κατασταθῆναι, Ἑστιαιέων δὲ ἀποικισθέντων αὐτοὺς τὴν χώραν ἔχειν.) [Περικλῆς γὰρ αὐτὴν ὑπὸ τοὺς Ἀθηναίους ἐποίησεν, ἐν πολέμῳ νικήσας τοὺς Ἄβαντας. διὸ παρετάθη τοῖς φόροις καὶ ἐπεφορτίσθη· ὡς τῶν Ἀθηναίων ἐπιτεινάντων τοὺς φόρους αὐτῇ. Ἄλλως. τοῦτό φησιν ὁ Στρεψιάδης, οὐ νοήσας τὸ παρὰ τοῦ μαθητοῦ λεγόμενον τὸ, παρατέταται μακρὰ πόρρω πάνυ, ὅ τι νοεῖ. ὁ μὲν γὰρ τοῦτο εἴρηκεν, ὅτι μακρὰ καὶ ἐπιμήκης ἡ Εὔβοια, ὁ δὲ ἐπὶ αὐξήσεως τοῦτο φόρων ἐξέλαβε. παραστησάμενος γὰρ Περικλῆς τὴν Εὔβοιαν, ἐξέτεινε τοὺς αὐτῆς φόρους ἐπὶ πολύ. τοῦτο ἔδοξε τῷ Στρεψιάδῃ νοεῖν τὸ, παρατέταται μακρὰ πόρρω πάνυ. καὶ διὰ τοῦτό φησιν, οἶδα· ὑπὸ γὰρ ἡμῶν καὶ Περικλέους παρετάθη.] παρετάθη : Ηὐξήθη τοῖς φόροις. *Vict.*

215. ἐγγὺς ἡμῶν : Διὰ τὸ ἐν ταῖς χωρογραφίαις σύνεγγυς πάντα εἶναι, ἐπεὶ οὐκ ἄν τις εἴποι αὐτὰς ἀστυγείτονας.

[μέγα : Ἀντὶ τοῦ μεγάλως.]

φροντίζετε : Μεταβουλεύεσθε.

216. ἀπαγαγεῖν : Ἀποστῆσαι. *Vict.*

217. οἰμώξεσθ' ἄρα : Συνεχῶς ὑπ' αὐτῶν λητζόμενοι. *Br.*

218. φέρε τίς γὰρ οὗτος οὑπὶ τῆς κρεμάθρας : (Ἀντὶ

τοῦ ὑπόθου. Ἀττικὴ δὲ ἡ σύνταξις. κατὰ δὲ τὴν διάνοιαν, ἧς προτάσσεται, σημαίνει πλείονα τὸ φέρε. νῦν μὲν οὖν τὸ ἄγε δηλοῖ, ἐν ἄλλοις δὲ ἄλλο τι σημαίνει, ὡς παρὰ Δημοσθένει [p. 98] « φέρε εἰ δίκας ἀπαιτήσειαν οἱ Ἕλληνες ὧν νῦν παρείκατε καιρῶν. » ἐνταῦθα γὰρ βούλεται λέγειν, ὅτι ὑπερεθέμεθα. Ἄλλως.) παρεγκύκλημα. δεῖ γὰρ κρεμᾶσθαι τὸν Σωκράτην ἐπὶ κρεμάθρας καθήμενον καὶ τοῦτον εἰσελθόντα καὶ θεασάμενον αὐτὸν οὕτω πυθέσθαι. κρεμάθρα δὲ λέγεται, διὰ τὸ οὕτως αὐτὴν ἀεὶ μετέωρον εἶναι κρεμαμένην. νῦν μέντοι τὰ περιττεύοντα (ὄψα) εἰς αὐτὴν εἰώθαμεν ἀποτίθεσθαι. γελοίου δὲ χάριν ἐν τῷ τοιούτῳ παρήγαγεν αὐτὸν σχήματι.

219. αὐτός : Τιμῶν τὸν διδάσκαλον οὐκ εἶπε τὸ ὄνομα.

220. μέγα : Ἀντὶ τοῦ μεγάλως. V. ἀναβόησον : Τῷ μαθητῇ λέγει ὁ Στρεψιάδης τοῦτο. οἷον, οὐκ ἤκουσεν ἐμοῦ, αὐτὸς σὺ βόησον μέγα.

223. ὦ Σωκρατίδιον : Ἀπὸ τοῦ ὑποχοριστικοῦ διαβάλλει αὐτόν. R. V. (τί με καλεῖς, ὦ ᾽φήμερε : Ἀντὶ τοῦ ὦ θνητὲ καὶ ἐφήμερα φρονῶν. ἐφήμερον δὲ αὐτὸν καλεῖ ὡς αὐτὸς λοιπὸν τὰ τῶν θεῶν φρονῶν καὶ ὑπερηφανῶν τὰ τῶν ἀνθρώπων. Ἄλλως. ὦ ἄνθρωπε. ἐλέγετο δὲ ὁ Σωκράτης τὴν ὄψιν Σεληνῷ παρεμφέρειν. σιμός τε γὰρ καὶ φαλακρὸς ἦν. περιέθηκεν οὖν αὐτῷ φωνὴν τὴν τοῦ παρὰ Πινδάρῳ Σεληνοῦ. ὁ γάρ τοι Πίνδαρος [fr. 128] διαλεγόμενον παράγων τὸν Σεληνὸν τῷ Ὀλύμπῳ, τοιούτους αὐτῷ περιέθηκε λόγους « ὦ « τάλας ἐφάμερε, νήπια βάζεις, χρήματά μοι διακομ« πέων. » ἅμα δὲ ὡς ὑπερηφανοῦντος λοιπὸν τοῦ Σωκράτους τὰ ἀνθρώπινα καὶ ἐν θεοῖς ὄντος αὐτοῦ, διότι μετεωρολέσχης ἦν, οὕτω τὸ ἐφήμερον ἐποίησεν αὐτὸν λέγοντα.)

225. ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον : ἀεροβατῶ : Ἐπιβαίνω τῷ ἀέρι. διὰ τοῦτο καὶ μετέωρον αὐτὸν ἐποίησε καθήμενον. τὸ δὲ περιφρονῶ τὸν ἥλιον ἀντὶ τοῦ διανοοῦμαι καὶ περιεργάζομαι τὸν τούτου δρόμον. [Ἄλλως. ὅτι περιφρονῶ εἶπε, καὶ οὐ περισκοπῶ· ἵν', ἐπειδὴ τὸ περιφρονῶ διπλοσήμαντόν ἐστι, καὶ ἀντὶ τοῦ περισκοπῶ καὶ ἀντὶ τοῦ ὑπερφρονῶ, ἀμφότερα εἰς τὸν Σωκράτην νοῶνται, ὅτι τε ἀέρα καὶ ἥλιον καὶ νεφέλας καὶ ὅσα τοιαῦτα ἐφρόντιζε καὶ ἐφιλοσόφει καὶ ὅτι αἰθέριον ἑαυτὸν ἡγεῖτο, καὶ ὑπὲρ αὐτὸν μονονοὺ τὸν ἥλιον. ὁ Στρεψιάδης δὲ ἀντὶ τοῦ καταφρονῶ μόνον ἐνόησεν. — περιφρονῶ τὸν ἥλιον : Περιεργάζομαι καὶ περισκοπῶ τὴν τοῦ ἡλίου πορείαν. *Vict.*]

226. ἔπειτ' ἀπὸ ταρροῦ : (Ἀττικῶς τὰ ἐξ οἰσύων πλέγματα οὕτω καλεῖται. τοὺς γὰρ καλάθους τοὺς γεωργικοὺς ταλάρους καλοῦσι. νῦν δὲ τὴν κρεμάθραν οὕτως ἐκάλεσεν, ἐφ' ἧς Σωκράτης ἐκρέματο. Ἄλλως.) ταρρὸς μετέωρόν τι ἰκρίον, ἐφ' οὗ αἱ ἀλεκτρυονίδες κοιμῶνται. τοιαύτην δή τινα ὑπολαπτέον τὴν κρεμάστραν ἐσκευάσθαι. ἀντὶ δὲ τοῦ εἰπεῖν περινοεῖς ὑπερφρονεῖς εἶπεν, ἵνα διαβάλῃ τὸν Σωκράτην ὡς ὑπερφρονοῦντα τῶν θεῶν. — ὑπερφρονεῖς : Καταφρονεῖς. *Vict.*

(227). ἀλλ' οὐκ ἀπὸ τῆς γῆς, εἴπερ : Ἀλλ' οὐκ ἀπὸ τῆς γῆς ἦν δυνατὸν ἄνθρωπον ὄντα διαγνῶναι τὰ θεῖα; — εἴπερ : Εἴπερ ἔξεστι περιφρονεῖν τοὺς θεοὺς δηλονότι. A. εἴπερ : Ἔδει καταφρονῆσαι ἐκείνους. *Vict.*

228. τὰ μετέωρα : Ἐξεῦρον ἀκριβῶς τὰ ὑψηλὰ καὶ μετέωρα πράγματα· περὶ τούτων γὰρ τοῖς φιλοσόφοις τὰ ζητήματα. [ἐπὶ τῆς γῆς δηλαδὴ ἐπιβεβηκώς.] ψυχρὰ δὲ ἡ αἰτία, ἣν ὁ Σωκράτης λέγει. — ἐπὶ τῆς γῆς τὰ οὐράνια. R.

(230). λεπτὴν καταμίξας εἰς τὸν ὅμοιον ἀέρα : Ἀπολογεῖται πρὸς τὴν ἐρώτησιν τοῦ γέροντος ὁ Σωκράτης, [λέγων τὴν αἰτίαν, δι' ἣν κρεμάμενος, ἀλλ' οὐκ ἀπὸ τῆς γῆς φησι περιθεωρεῖν τὰ μετέωρα πράγματα. ὅμοιον δὲ εἶπε τὸν ἀέρα, ἀντὶ τοῦ ὁμοιολεπτομερῆ.] ψυχρὰν δὲ καὶ ματαίαν αὐτὸν ἐποίησε παρεχόμενον τὴν λύσιν.

232. οὐ γὰρ ἀλλ' ἡ γῆ βίᾳ : Ἀντὶ τοῦ καὶ γάρ, Ἀττικῶς. [Καλλίμαχος [fr. 92]

ἀκούσαθ' Ἱππώνακτος. οὐ γὰρ ἀλλ' ἥκω.

ἀντὶ τοῦ, καὶ γὰρ ἥκω.]

233. τὴν ἰκμάδα : Τουτέστι τὸ νοητικὸν καὶ γονιμώτατον τῆς ψυχῆς. φασὶ γὰρ οἱ φιλόσοφοι καὶ πρὸς τὴν κρᾶσιν τῶν ἀέρων γίνεσθαι τὸ ὀξύτερον ἢ ἀργότερον ἐπιβάλλειν τοῖς θειοτέροις. [διαπαίζει δὲ τὰ τῶν φιλοσόφων ἡ κωμῳδία. λόγος γὰρ παρ' ἐκείνοις, ὡς ὄντως ἐπισπᾶται εἰς ἑαυτὴν τὰς ὑποκειμένας οὐσίας ἡ γῆ.]

234. [πάσχει : Τὸ δὲ πάσχειν, οὐ μόνον ἐπὶ τῶν πασχόντων τι λέγεται, ἀλλὰ καὶ ἐπὶ τῶν ποιούντων. καὶ γὰρ οἱ ποιοῦντες τρόπον τινὰ καὶ αὐτοὶ πάσχουσι πάθος, αὐτὸ τὸ ποιεῖν. τὰ οὖν κάρδαμα τὴν τῶν παρακειμένων αὐτοῖς βοτανῶν ὑγρότητα εἰς ἑαυτὰ ἕλκοντα, ξηρὰς αὐτὰς καταλείπει. καὶ ἔστι τοῦτο αὐτῶν πάθος. *Junt.*]

καὶ τὰ κάρδαμα : Εἶδος λαχάνου ἀγρίου παρὰ Πέρσαις. [νῦν δὲ τὴν σφάκον λέγει.] καὶ γὰρ ταῦτα τῶν περὶ αὐτὰ φυομένων λαχάνων τὴν δύναμιν ἐπισπᾶται, καὶ πᾶν τὸ ἐν ἐκείνοις ὑγρὸν ἐπισπώμενα αἴτια αὐτοῖς τοῦ ξηραίνεσθαι γίνεται.

236. ἡ φροντὶς ἕλκει : Δέον εἰπεῖν, ἡ γῆ ἕλκει τὰ κάρδαμα, ὁ δὲ ὡς ἄγροικος μὴ νοήσας τὸ εἰρημένον συνέχεε τὴν φράσιν, ὅθεν καὶ ἀσαφὲς ἐποίησε τὸ δηλούμενον. [τοῦτο δὲ πρὸς τὴν τοῦ Στρεψιάδου ἀμαθίαν ἐπιτηδείως ὁ ποιητὴς ἐποίησεν ἀδιανόητον.]

(239). ἦλθες δὲ κατὰ τί : [Ἐντεῦθεν κατέρχεται κατὰ τὸ σιωπώμενον.] οὐκ ὀκνεῖ τοῦ αὐτοῦ μνημονεύειν Ἀριστοφάνης. καὶ γὰρ τούτου ἡ ἀρχὴ τοῦ ἔπους φθάσαντι αὐτῷ εἴρηται ἐν Εἰρήνῃ [192] τῷ δράματι οὕτως,

ἦλθες δὲ κατὰ τί; τὰ κρέα ταυτί σοι φέρω.

240. ὑπὸ γὰρ τόχων : Ὅτι χρήστας ὁ Ἀριστοφάνης

τοὺς δανειστὰς λέγει. [ἡ μὲν γὰρ συνήθεια τοὺς χρεωφειλέτας χρήστας λέγει. Ἀθηναῖοι δὲ τοὺς μὲν δανειστὰς χρήστας λέγουσι, τοὺς δὲ ὀφειλέτας χρεωφειλέτας καὶ χρεώστας. Φωκυλίδης ἐν μὲν τοῖς αὐτοῦ ποιήμασι κατὰ τὴν συνήθειαν τοὺς χρεωφειλέτας χρήστας καλεῖ, λέγων οὕτως·

χρήστης κακοῦ ἔμμεναι ἀνδρὸς φεῦγε,
μή σε γ' ἀνιήσειε διδοὺς, παρὰ καιρὸν ἀπαιτέων.

ἐν ἐκείνῳ μέντοι ἀντὶ τοῦ δανειστὴς λαμβάνεται [v. 78],

μηδέποτε χρήστης πικρὸς γένῃ ἀνδρὶ πένητι].

241. [τὰ χρήματ' ἐνεχυράζομαι : Τουτέστιν, εἰς ἐνέχυρον ἀφαιροῦμαι τὴν ἐνυπάρχουσαν οὐσίαν, οἷον ἱμάτια καὶ σκεύη καὶ ἄλλα.]

242. πόθεν δ' ὑπόχρεως σαυτὸν ἔλαθες : (Ὡς ἐπὶ νοσήματός τινος, οὕτω προήγαγε τὸν λόγον. εἰώθαμεν γὰρ ἐν τῇ συνηθείᾳ πυνθανόμενοι τῶν καμνόντων λέγειν, πόθεν συνέβη γενέσθαι τὴν νόσον; διὸ κἀκεῖνός φησι, « νόσος μ' ἐπέτριψεν ἱππικὴ, δεινὴ φαγεῖν. ») ἐκ ποίας αἰτίας ἔλαθες σαυτὸν πολλοῖς ὑποπεσὼν δανείοις;

243. [νόσος μ' ἐπέτριψεν : Ἔστι γὰρ ὡς ἀληθῶς νόσος καὶ τὸ ἵππους τρέφειν. δαπανηρὸν γὰρ καὶ οὐκ ἔχον τοὺς καρποὺς ἀξίους τοῦ ἀναλώματος. ἐπέτριψε δ', οἷον ἐξέτριψε καὶ κατεδαπάνησε. — ἠφάνισεν. Θ.

δεινὴ φαγεῖν : Καταναλῶσαι δεινὴ, δαπανηρά. ἅμα δ' ὅτι τὰ δύσπεπτα τῶν σιτίων νόσων πρόξενα γίνεται.] — πολυδάπανος οὖσα, καταναλῶσαι δεινή. R.

246. [ὀμοῦμαί σοι : Ἀντὶ τοῦ, ὃν σύνθωμαι μισθόν σοι τελεῖν, ὄμνυμι τοὺς θεοὺς τοῦτόν σοι δοῦναι. τοῦτο δὲ εἶπεν, ἵνα διαβάλλῃ αὐτόν.]

247. ποίους θεοὺς : Ταῦτα ἴσως αἰνίττεσθαι βούλεται πρὸς τὴν διαβολὴν τὴν Σωκράτους, ἣν τινες διέβαλλον, λέγοντες ὡς ἀσεβεῖ περὶ τὸ θεῖον ὀμνύων τὸν ἀλεκτρυόνα καὶ προσκυνῶν τὴν πλάτανον (καὶ ἄλλα τοιαῦτα, ὡς ἐν τοῖς Ἀπομνημονεύμασι Ξενοφῶν ἱστορεῖ), [λέγων οὕτως « πολλάκις ἐθαύμασα τίσι ποτὲ λόγοις ἔπεισαν « Ἀθηναίους οἱ γράψαντες Σωκράτη ὡς ἄξιος εἴη θανά- « του τῇ πόλει. » εἶθ' ὑποβὰς ὀλίγον « ἀδικεῖ γάρ, » φησὶ, « Σωκράτης τοὺς νέους διαφθείρων, καὶ ξένα δαι- « μόνια εἰσάγων. » ἤτοι οὖν ὡς τέλεον ἀναιροῦντος αὐτοῦ θεοὺς τὸν λόγον ἐκδεκτέον, ἢ ὡς πολυπραγμονοῦντος, ποῖον ὁμόσει γένος θεῶν. *** γεγονέναι. πρῶτον μὲν τοὺς κατὰ Ὀφίωνα καὶ Εὐρυνόμην· δεύτερον δὲ τοὺς κατὰ Κρόνον καὶ Ῥέαν, οὕστινας Ὅμηρος [Il. E, 898] Οὐρανίωνας· τρίτον δὲ τοὺς Διὶ τὴν ἀρχὴν καταλύσαντας τὴν ἐκείνων, οὓς Ὀλυμπίους καλοῦμεν.] [Ἄλλως. τοῦτό φησιν, ἐπεὶ ὁ γέρων εἶπεν ἀσυναρτήτως ὅτι μισθόν σοι ὀμνύω καταθήσειν τοὺς θεοὺς, ἅμα ἐπιφέρει τὸ, ποίους ὀμεῖ σὺ θεούς : οὐχ ὡς ἄλλοις αὐτὸς χρώμενος θεοῖς, ἀλλ' ὅτι ὤμοσεν, ὡς νόμισμα καταθήσειν τοὺς θεούς.]

249. σιδαρέοισιν : Τοῦ νομίσματος σημαίνοντος δύο, ποτὲ μὲν τὸ νόμιμον ἔθος, ποτὲ δὲ τὸ κόμμα τοῦ τετυπωμένου χαλκοῦ, ὁ Στρεψιάδης ἐδέξατο οὐ πρὸς τὸ ὑπὸ τοῦ Σωκράτους ῥηθέν, ἀλλ' ἔμιξεν ἀμφότερα. ἔδει γὰρ εἰπεῖν, τίσιν ὄμνυτε θεοῖς, ἢ τίνι χρῆσθε νομίσματι. [λεπτοῖς δὲ νομίσμασι φαίνονται κεχρῆσθαι Βυζάντιοι. διὸ καὶ Δωρικῶς εἶπεν. ἔνιοι δὲ κατὰ πολυμάθειαν δωρίζουσιν. Πλάτων Πεισάνδρῳ

χαλεπῶς ἂν οἰκήσαιμεν ἐν Βυζαντίοις
ὅπου σιδαρέοισι χρῶνται.]

Ἄλλως. ἐδόκει γὰρ φαυλότατον εἶναι τὸ νόμισμα τῶν Βυζαντίων ἅτε δὴ σιδηρᾶς ὕλης ὑπαρχούσης. [ἢ ὅτι ἐκεῖ μέταλλον ἦν, ἐν ᾧ ὤμνυον.] —ἀντὶ τοῦ νόμιμον. *V.*

250. (βούλει τὰ θεῖα πράγματ' : Οὐχ ὡς θεοὺς ἡγούμενος τοὺς παρὰ τοῖς ἄλλοις νομιζομένους, τὰ θεῖα λέγει νῦν, ἀλλ' οἷον τὰ ἀξιοθέατα καὶ ὄντως μεγάλα καὶ τίμια.)

251. ἄττ' : Ἄτινα ἐστὶν ἀκριβῶς καὶ ἀληθῶς. νὴ Δι' : λείπει τὸ θέλω. εἴπερ ὄντως ἐστὶν ἐν θεοῖς. *V.*

252. συγγενέσθαι : συνελθεῖν. *V.*

253. δαίμοσιν : Ὡς εἰ ἔλεγε τοῖς καπνοῖς, ἢ ταῖς σκιαῖς, ταῖς ἡμῶν θεαῖς. τὰ γὰρ μηδενὸς ἄξια καπνοὺς καὶ σκιὰς καὶ νεφέλας ὠνόμαζον. (Εὔπολις ἐν Αὐτολύκῳ « καπνοὺς ἀποφαίνει καὶ σκιάς. » ἁρμοττόντως δὲ τῶν φιλοσόφων ἐπιγράφει ταύτας εἶναι θεὰς, ἐπεὶ, ὡς ἔφημεν, περὶ τὰ οὐράνια μάλιστα ἐπτόηνται οἱ φιλόσοφοι.)

254. κάθιζε, ἤγουν ἐπὶ τὴν τῶν φιλοσόφων ἕδραν. *V.* — σκίμποδα : Τὸν κράβατον σκίμποδα λέγουσιν Ἀττικοί. (οἱ δέ φασι σκιμπόδιον ἰδίως λέγεσθαι τὸ χωλοκραβάτιον. σκιμβάζειν γὰρ τὸ χωλαίνειν παρὰ τοῖς παλαιοῖς. ἢ τὸν σκιμβοὺς ἔχοντα τοὺς πόδας.)

255. (τουτονὶ τοίνυν λαβὲ : Καὶ τοῦτο παρεπιγραφή. καὶ γὰρ τὸν Σωκράτην περιθεῖναι δεῖ τὸν στέφανον αὐτῷ, κἀκεῖνον λαβεῖν.)

(257). [ὥσπερ με τὸν Ἀθάμανθ' : Ἀθάμας ἐκ Νεφέλης δύο παῖδας ἔσχεν, Φρίξον καὶ Ἕλλην. ἀφεὶς οὖν τὴν Νεφέλην θεὰν οὖσαν, θνητῇ γυναικὶ ἐμίγη. ζηλοτυπήσασα οὖν ἡ Νεφέλη ἀπέπτη εἰς οὐρανὸν καὶ τὴν τοῦ ἀνδρὸς χώραν αὐχμῷ ἐκόλαζε. πέπομφεν οὖν θεωροὺς εἰς Ἀπόλλωνα Ἀθάμας ἐρέσθαι περὶ τοῦ αὐχμοῦ. ἡ οὖν τούτου γυνὴ θέλουσα Φρίξον καὶ Ἕλλην ἀπολωλέναι, πέπεικε διὰ δώρων τοὺς θεωροὺς εἰπεῖν Ἀθάμαντι ὡς οὐκ ἂν ἄλλως παύσασθαι τὸν αὐχμὸν ἔχρησεν ἡ Πυθία, εἰ μὴ τοὺς τῆς Νεφέλης θύσαιεν παῖδας. ἀκούσας οὖν Ἀθάμας μεταπέμπεται τοὺς παῖδας ἐκ τῶν ποιμνίων. εἷς οὖν κριὸς ἀνθρωπίνῃ χρησάμενος φωνῇ λέγει Φρίξῳ καὶ Ἕλλῃ τὰ περὶ τῆς σφαγῆς. φευγόντων οὖν τούτων μετὰ τοῦ κριοῦ ἡ μὲν Ἕλλη ἐν τῷ περαιοῦσθαι τὸν ἐν Ἀβύδῳ πορθμὸν ἀπεπνίγη πεσοῦσα ἀπὸ τοῦ κριοῦ· ὅθεν καὶ ἀπ' ἐκείνης Ἑλλήσποντος κέκληται· Φρίξος δὲ ἐποχούμενος τῷ κριῷ εἰς τὴν τῶν Κόλχων γῆν περισώζε-

ται. ἔνθα καὶ τὸν κριὸν, ὃς ὑπὸ τῶν θεῶν χρυσόμαλλος γέγονε, θύει τῷ Ἄρει ἢ τῷ Ἑρμῇ, καὶ κατοικήσας αὐτόθι τοὔνομα καταλέλοιπε τῷ τόπῳ. ἐκ τούτου γὰρ ἡ Φρυγία οὕτως ἐκλήθη. Ἀθάμαντα δὲ ἡ Νεφέλη δίκην αὐτῇ δώσειν διὰ τοὺς παῖδας πεποίηκε· προσαχθεὶς οὖν στεφανηφορῶν ἐν τῷ βωμῷ τοῦ Διὸς σφαγησόμενος ὑπὸ Ἡρακλέους σέσωσται. οὕτω γὰρ Σοφοκλῆς ἐν δράματι πεποίηκε. Ἄλλως. ἐν Ἀθάμαντι Σοφοκλέους ὑπόκειται Ἀθάμας στεφανηφορῶν, ὥσπερ ἱερεῖον, δίκας εἰσπραττόμενος περὶ Φρύξου. Ἄλλως.] τοῦτο πρὸς τὸν ἕτερον Ἀθάμαντα Σοφοκλέους ἀποτεινόμενος λέγει. ὁ γάρ τοι Σοφοκλῆς πεποίηκε τὸν Ἀθάμαντα ἐστεφανωμένον καὶ παρεστῶτα τῷ βωμῷ τοῦ Διὸς ὡς σφαγιασθησόμενον, μέλλοντα δὲ ἀποσφάττεσθαι αὐτὸν, παραγενόμενον Ἡρακλέα καὶ τοῦτον θανάτου ῥυόμενον, [λέγοντα ὡς σώζοιτο ὁ Φρύξος, δι' ὃν ἔμελλεν ἐκεῖνος τεθνήξεσθαι. ἐπεὶ οὖν καὶ ὁ πρεσβύτης ἔστεπται, ὥσπερ παραδείγματι τῷ κατ' ἐκεῖνον χρώμενος, δεδοικέναι φησὶν ἐκείνῳ παραπλήσια.] — ὡς ἄγροικος Ἀθάμαντα εἶπεν ἀντὶ Φρίξου. ἀντὶ τοῦ εἰπεῖν τὸν Φρίξον τὸν Ἀθάμαντα εἶπεν, ὡς ἄγροικος ἀγνοῶν τὰς ἱστορίας· οὐ γὰρ Ἀθάμας [ἐτύθη], ἀλλ' ὁ Φρίξος. *R.*

258. τοὺς τελουμένους : Τοὺς μυουμένους. ἐνδόξοις δὲ μυστηρίοις παραβάλλει τὰ τῶν φιλοσόφων μαθήματα, ἵνα ἔτι μᾶλλον πείθῃ προσέχειν τὸν γέροντα ὡς θειοτέρῳ τῷ πράγματι.

[260]. λέγειν γενήσει τρίμμα : Ἱκανὸς καὶ δεινὸς ἔσῃ λέγειν. (καὶ Δημοσθένης [p. 269] ἐν τῷ περὶ τοῦ στεφάνου ὡς ἰταμοῦ καὶ ἀναισχύντου ῥήτορος καθαπτόμενος Αἰσχίνου, περίτριμμα ἀγορᾶς αὐτὸν καλεῖ. τρίμμα δὲ, τετριμμένος ἐν λόγοις. κρόταλον δὲ, εὔγλωττος, εὔστομος. ἡ μεταφορὰ ἐκ τοῦ κροτάλου. ταῦτα δὲ λέγων λίθους συγκρούει ἄνωθεν αὐτοῦ. τρίμμα οὖν εἶπε διὰ τὸ τρίβεσθαι τοὺς λίθους· κρόταλον δὲ διὰ τὸ κρούεσθαι αὐτόν· παιπάλη δὲ διὰ τὴν τραχύτητα· ἐπεὶ παίπαλα καλοῦμεν τὰ δύσβατα. Ἄλλως.) ταῦτα λέγων ἅμα ὁ Σωκράτης λίθους παρατρίβων πωρίνους καὶ κρούων πρὸς ἀλλήλους, συναγαγὼν τὰ ἀπὸ τούτων θραύσματα βάλλει τὸν πρεσβύτην, καθάπερ τὰ ἱερεῖα ταῖς οὐλαῖς οἱ θύοντες. καὶ διὰ τοῦτο παίζει τοῖς ὀνόμασι. τρίμμα μὲν τὴν ἀπὸ τούτων ἐκπίπτουσαν λατύπην. καλοῦμεν δὲ καὶ τῶν ἀνθρώπων τοὺς κακεντρεχεῖς καὶ μὴ ἁπλοῦς· τρίμματα καὶ περιτρίμματα καὶ πολυκρότους καὶ κρόταλα. ὅθεν καὶ τὸν πρῶτον στίχον Ὀδυσσείας οὕτως ἀξιοῦσι γράφειν τινὲς,

ἄνδρα μοι ἔννεπε Μοῦσα πολύκροτον.

κρόταλον : Ἰδίως ὁ σχιζόμενος κάλαμος καὶ κατασκευαζόμενος ἐπίτηδες, ὥστε ἠχεῖν, εἴ τις αὐτὸν δονοίη ταῖς χερσὶ, καθάπερ κρότον ἀποτελῶν. τρανὸς οὖν ἔσῃ, φησὶ, καὶ τὴν φωνὴν διηρθρωμένος, καθάπερ τὰ κρόταλα. παιπάλη, τραχὺς, δυσκατάληπτος, ἐπεὶ παίπαλα καλοῦμεν τὰ τῶν χωρίων δύσβατα. R. λεπτολόγος. *E.*

τρίμμα : Ἔμπειρος. κρόταλον : Λάλος. *Vict.* εὔγλωττος. *R.* παιπάλη : Λεπτὸς περὶ τὸ λέγειν. *Vict.* ἐντριβὴς καὶ ἔμπειρος. λάλος, ἀκουστὸς, λεπτολόγος, λεπτὸς περὶ τὸ λέγειν. Θ.

261. ἔχ' ἀτρέμας : Μένε ἐφ' ἡσυχίας. βαλλόμενος γὰρ ὁ πρεσβύτης τῇ παιπάλῃ ἀποσείεται. διὸ παρακελεύεται αὐτὸν μένειν. [παιπάλη δὲ κυρίως τὸ λεπτομερὲς τοῦ ἀλεύρου.] — ἀτρέμας : Ἡσύχως. *Vict.*

οὐ ψεύσει γέ με : Συγκατατίθεται περὶ πάντων Σωκράτην ἀληθεύειν ἅπερ ἐπαγγέλλεται· διὸ καὶ τὸ ἐξῆς πάνυ ἀστείως ἐπάγει. R. [τουτέστιν ἀπατήσεις. ὅτι μηδὲν ὧν ἐπαγγέλλεται Σωκράτης ψεύδεται. πληρωθεὶς γὰρ, φησὶ, τούτων, λέγω δὴ τῶν τριμμάτων τῶν λίθων καὶ τῆς λατύπης, ἣν ἔφαμεν παιπάλην καλεῖσθαι, γενήσομαι παιπάλη. Ἄλλως.] τῇ χιόνι πατούμενος, ἐὰν αἱ Νεφέλαι δειχθῶσιν. λέγεται δὲ παιπάλη τὸ λεπτότατον τοῦ ἀλεύρου· ἀφ' οὗ παλύνειν τὸ λευκαίνειν, (ὡς τὸ [Il. K, 7],

πολλὰς δὲ χιὼν ἐπάλυνεν ἀρούρας.)

ἐπεὶ οὖν ἐκεῖνος εἶπε, γενήσῃ τρίμμα, κρόταλον, παιπάλη· αὐτὸς ἔπαιξε παρὰ τὴν παιπάλην, τουτέστι τὸ ἄλευρον, εἰπὼν καταπαττόμενος. — καταπαττόμενος ὑπὸ σοῦ ταῖς πληγαῖς διὰ τὰ μαθήματα, παιπάλη γενήσομαι. *Br.*

262. καταπαττόμενος : Πληρωθεὶς τούτων. παιπάλη γενήσομαι : Ἥγουν ἀφανισθήσομαι καὶ εἰς οὐδὲν ἐλθω. Θ.

263. εὐφημεῖν χρὴ : [Ἡ συστηματικὴ αὕτη ἀμοιβαία τοῦ ὕμνου εἴσθεσίς ἐστιν ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ιβ', ὧν τελευταῖος

ἐπακούσατε δεξάμεναι θυσίαν, καὶ τοῖς ἱεροῖσι χαρεῖσαι.

καλεῖται δὲ τὸ μέτρον τοῦτο Ἀριστοφάνειον, ὡς εἴπομεν. τὰ τοιαῦτα δὲ εἴδη καλεῖται ἑτερόστροφα. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. Ἄλλως. εὐφημεῖν χρὴ : Ταῦτα πρὸς τὸν Στρεψιάδην.] παρακελεύεται τὸν πρεσβύτην σιωπᾶν καὶ εὐφημεῖν, ἵνα εὔξηται, ὥστε μηδὲν βλάσφημον εἰπεῖν. — εὐφημεῖν : Βοᾶν μετ' εὐφημίας. *Vict.*

264. [ἀμέτρητ' ἀὴρ : Ἀκατάληπτε καὶ ἀναρίθμητε, τουτέστι μέγιστε. τὸν δὲ ἀέρα προσεύχεται· ἐπεὶ αἱ νεφέλαι τούτου τοῦ μέρους, ὡς τῶν φιλοσόφων λόγος, οἱ τὸ πᾶν ἀέρα βούλονται εἶναι· οἱ καὶ τὴν ἐν ἡμῖν ψυχὴν ἀέρα καὶ πνεῦμα διωρίσαντο εἶναι.] — ἀμέτρητ' ἀὴρ : Ἄπειρε. *Vict.* ἀναρίθμητε. βαστάζεις. *R.*

ὃς ἔχεις : [Ὃς παρείληφας τὴν γῆν ἅπασαν καὶ βαστάζεις.] — καὶ οὗτος δὲ φιλοσόφων λόγος ὅτι οὐκ ἐφέδρασται ἡ γῆ, ἀλλ' ὑπὸ τοῦ ἀέρος πάντοθεν περιέχεται, τὸν μέσον τοῦ παντὸς λαχοῦσα τόπον. R. — δόξα τις τῶν φυσικῶν ἐθρυλεῖτο, ὅτι πλατεῖα οὖσα ἡ γῆ ὀχεῖται ἐν τῷ ἀέρι. — μετέωρον : Κρεμαμένην. *Vict.*

265. λαμπρός τ' αἰθὴρ : Ἰδίως τὸ τῆς ἡμέρας φῶς αἰθὴρ καλεῖται, ἀπὸ τοῦ αἴθειν, ὅ ἐστι πυροῦν. θερμὸς δὲ ὁ ἥλιος καὶ διάπυρος. διόπερ εὐκαίρως ὁ ποιητὴς τῷ ἐπιθέτῳ ἐχρήσατο, αἰθέρα λαμπρὸν εἰπών.

(σεμναί τε θεαὶ : Οὐχ οὕτω λέγει τὰς Νεφέλας σεμνὰς θεὰς ὥσπερ τὰς Ἐρινῦς ἐκτρεπόμενοι πάντες ὀνομαστὶ λέγειν αὐτὰς Εὐμενίδας καὶ σεμνὰς θεὰς προσηγόρευσαν. τὸ γὰρ σιωπηλὸν σεμνὸν λελόγισται.)

βροντησικέραυνοι : [Ἀλλήλαις γὰρ προσερχομένων τῶν νεφελῶν, πῦρ ἐξάπτεται ἐκ τῆς πυκνῆς ἐκτρίψεως.] [οἰκείως κἀνταῦθα τῷ ἐπιθέτῳ τούτῳ κέχρηται. δοκοῦσι γάρ πως αἱ νεφέλαι προδεικνύναι καὶ προσημαίνειν ἡμῖν τούς τε ὄμβρους καὶ τὰς χαλάζας τοῦ οὐρανοῦ, ὅτε βροντᾷ καὶ ἀστράπτει. Ἄλλως. ἐκ τῶν νεφελῶν φασι τὰς ἀστραπὰς καὶ βροντὰς γίνεσθαι, συγκρουομένας βροντᾶν, συντριβομένας ἀστράπτειν.]

266. [ἄρθητε : Φυσικώτερον ἐχρήσατο τούτῳ τῷ λόγῳ, ἄρθητε εἰπών, οἱονεὶ ἐπάρθητε. φασὶ γὰρ τὰς νεφέλας εἰς ὕψος αἴρεσθαι κατ' ὀλίγον ἀπὸ τῆς γῆς ἢ τῆς θαλάσσης.

τῷ φροντιστῇ : Δύναται καὶ ἐπὶ τοῦ Σωκράτους καὶ ἐπὶ τοῦ πρεσβύτου νοεῖσθαι. ἐπὶ μὲν τοῦ Σωκράτους, ἵνα ᾖ παρακαλῶν αὐτῷ φανῆναι τὰς Νεφέλας· ἐπὶ δὲ τοῦ γέροντος, ὡς ἤδη συγκαταριθμοῦντος αὐτὸν τοῦ Σωκράτους τῷ τῶν φιλοσόφων συλλόγῳ.]

267. μήπω γε, μήπω γε : (Ἀναδίπλωσις καλεῖται τὸ τοιοῦτον σχῆμα τοῦ λόγου, τὸ δὶς τοῖς αὐτοῖς ὀνόμασι χρῆσθαι). παρεπιγραφή. διπλασιάσας γὰρ τὸ ἱμάτιον περιβαλέσθαι φησὶν αὐτὸ θέλειν ὑπὲρ τοῦ σκέπεσθαι [καὶ ἧττον αὐτοῦ καθικέσθαι τὸν ὑετὸν τοῦ σώματος. ἡ γὰρ ἀρχὴ τῶν Διονυσίων χειμῶνος ἄγεται. — πτύξωμαι : Ἴσχυν καλύψωμαι, συσπάσωμαι. *Vict.* τὸ πτύξασθαι ἐκ μεταφορᾶς εἴρηται τῶν ζωοφύτων, ἤτοι ὀστράκων, ἅπερ οἱονεὶ πτύχας, ἤτοι πύλας τὰ ὄστρακα ἔχοντα, καὶ ταῦτα συνάπτοντα, ἑαυτοῖς περιποιοῦσι τὸ ἀσφαλές. *Vict.*]

268. (τὸ δὲ μὴ κυνῆν : Περικεφαλαίαν, ἀγροίκων φόρημα. οὕτως δὲ ἐκλήθη, ἐπειδὴ πρῶτον ἀπὸ κυνείων δερμάτων ἦν. — περικεφαλαίαν ἤτοι καμηλαύκιον. φασὶ δὲ τὸ πρότερον ἀπὸ καμηλείου δέρματος γίνεσθαι. V.

ἔχοντα : Οὐ μωρὸν δηλονότι, οὐκ ἀνόητον; ἐλλειπὲς γὰρ εἴρηται.)

270. [χιονοβλήτοισι κάθησθε : Ἀντιπαρατάττεται Ὁμήρῳ [Od. Z, 42] λέγοντι

Οὔλυμπόνδ', ὅθι φασὶ θεῶν ἕδος ἔμμεναι.

χιονόβλητα γὰρ τὰ ὑψηλὰ τῶν ὀρῶν πληροῦσθαί τε καὶ διατηρεῖν τὴν χιόνα πέφυκεν. εἰώθασι δὲ καὶ τὰ νέφη τούτοις ἐπικαθῆσθαι.]

271. [εἶτ' Ὠκεανοῦ πατρὸς : Καὶ τοῦτο φυσικόν φησιν, ἀπὸ τοῦ Ὠκεανοῦ πάντα τὸν ἀέρα τὴν νοτίαν, τὴν ἰκμάδα καὶ τὸν ὑετὸν τούτοις ἐπιχορηγεῖν.]

(Νύμφαις : Λείπει ἡ σύν Ἀττικῶς, σὺν Νύμφαις.)

272. (προχοαῖς : Λείπει ἡ ἐπί, ἵνα ᾖ ἐπὶ ταῖς προχοαῖς τοῦ Νείλου. — ζητεῖται δὲ τίνος ἕνεκεν μόνου τοῦ Νείλου μέμνηται. ὅτι σεμνολογεῖν λεληθότως ὁ ποιητὴς βουλόμενος τὰ καθ' αὐτόν· ἦν γὰρ τὸ γένος Αἰγύπτιος. καιρὸν οὖν εὑρὼν μνήμην τοῦ Νείλου πεποίηται. V. πρόχουσιν δὲ, ἀγγείοις. — πρόχουσιν : Ἀγγείοις, ὑδρείαις. *Vict.*)

(273). ἢ Μαιῶτιν λίμνην : Περὶ ταύτης Ἡρόδοτος [4, 100, 120, 123] μαρτυρεῖ λίμνην εἶναι Σκυθίας. [ἀπὸ τῶν ποταμῶν δὲ ἀρύονται ὕδωρ εἰς χρῆσιν. διὰ δὲ τὸ ἅδηλον, ἐκ διαφόρων καλεῖ αὐτὰς, ἵνα πιστευθῇ.]

νιφόεντα Μίμαντος : Τὸν ἀεὶ νιφόμενον. ὄρος Θράκης [ὁ Μίμας. καὶ Ὅμηρος [Od. Γ, 172] « παρ' ἠνεμόεντα Μίμαντα. »]

νιφόεντα : Τὸν ἀεὶ νιφόμενον, χιονιζόμενον. *Vict.*

(274). χαρεῖσαι : Ἡδυνθεῖσαι. γράφεται δὲ φανεῖσαι. — φανεῖσαι : Παραγενόμεναι. *E.*

275. ἀέναοι Νεφέλαι : [Ἡ ἐπεισόδιος αὕτη στροφὴ καὶ ᾠδὴ τοῦ χοροῦ κώλων ἐστὶ ις', ὧν τὰ πρῶτα δύο δακτυλικὰ πενθημιμερῆ, ἃ καλεῖται Ἀρχιλόχεια, ὡς Ἡφαιστίων [p. 39] φησὶ, διὰ τὸ τὸν Ἀρχίλοχον τούτοις χρήσασθαι ἐν ἐπῳδῷ· ὡς τὸ

ἐν δὲ Βατουσιάδης.

ἔχει δὲ τὸ πενθημιμερὲς, ὡς εἴρηται, πόδας δύο καὶ συλλαβήν. τὸ γ' ἀναπαιστικὸν ἑφθημιμερὲς, ὃ καλεῖται, ὡς εἴρηται, παροιμιακόν. ἔχει δὲ πόδας γ', καὶ συλλαβήν, ὡς εἴρηται. τὸ δ' δακτυλικὸν τετράμετρον ἀκατάληκτον· ὃ καλεῖται καὶ αὐτὸ Ἀρχιλόχειον. καὶ τούτῳ γὰρ οὕτως ἐν ἐπῳδοῖς ἐχρήσατο, ὡς Ἡφαιστίων φησί. τετράμετρον δὲ εἴρηται, διότι κατὰ μονοποδίαν μετρεῖται τὰ δακτυλικά. τὸ ε' ὅμοιον. τὸ ἕκτον δίμετρον ἀκατάληκτον. τὸ ζ' ὅμοιον τῷ τετάρτῳ. τὸ η', τὸ θ' καὶ τὸ ι' ὅμοια. τὸ ια' ὅμοιον τῷ πρώτῳ· τὸ ιβ' ἀναπαιστικὸν πενθημιμερές. τὸ ιγ' δακτυλικὸν τρίμετρον κατὰ μονοποδίαν. τὸ ιδ' ὅμοιον τῷ δ'· τὸ ιε' ὅμοιον· τὸ ις'

τηλεσκόπῳ ὄμματι γαῖαν

ἀναπαιστικὸν ἑφθημιμερές· ὃ καλεῖται, ὡς εἴρηται, παροιμιακόν. ἔστι γὰρ κοινὴ συλλαβὴ τὸ πῳ, διὰ τὸ ἔχειν ἔμπροσθεν φωνῆεν. ἐπὶ τῷ τέλει παράγραφος, καὶ διπλῆ ἔσω νενευκυῖα, δηλοῦσα ἔχειν ἀνταπόδοσιν. Ἄλλως.] ἀέναοι Νεφέλαι : Μετὰ τὴν τοῦ Σωκράτους εὐχὴν αἱ Νεφέλαι παρακελεύονται δῆθεν ἑαυταῖς πεισθῆναι τῇ ἐπικλήσει καὶ συναθροισθῆναι, καὶ οὕτως ἐπιφανῆναι τῷ Σωκράτει. ἐκ τούτων δὲ ὁ χορὸς συνέστηκεν διόπερ καὶ τὴν ἐπιγραφὴν ταύτην ἔχει τὸ δρᾶμα. ἀέναοι δὲ αἱ διὰ παντὸς νάουσαι. νεφέλη δέ ἐστιν ἡ ἐξ ἀέρος καὶ πνεύματος οὐσία παχυνομένη σωματοειδῶς. [τοῦ δὲ χοροῦ τὰς ἑκατέρωθεν λέγουσι παρόδους, οὔσας ις' κώλων. τῶν δὲ ὑποκριτῶν μέσων ὄντων, ἐκ στίχων ζ' ἀναπαίστων τετραμέτρων καταληκτικῶν.]

[καλῶς εἶπεν ἀέναοι. εἰσὶ γὰρ ὑδάτων μητέρες. ἀρθῶμεν δὲ, ἀναπηδήσωμεν.] — ἀέναοι : Ἀεὶ ῥέουσαι καὶ στάζουσαι. *Vict.*

[μετὰ τὴν τοῦ Σωκράτους εὐχὴν αἱ Νεφέλαι παρακελεύονται ἀλλήλαις, ὥστε πεισθείσας τῇ ἐπικλήσει Σωκράτους συναθροισθῆναι, καὶ οὕτως αὐτῷ φανῆναι.

τινὲς οὖν εἰς τὸ δροσερὰν φύσιν εὐάγητον, προστιθέασι τὸ ἀφεῖσαι, ἵνα ἐντεῦθεν τὰς αἰτιατικὰς συντάξωσι. τοῦτο δὲ ἐν οὐδενὶ τῶν ἀρχαίων βιβλίων εὕρηται, ἀλλ' οὐδὲ μέτρον ἀπαιτεῖ. συντάσσεται δὲ οὕτω· ὦ νεφέλαι ἀέννααοι αἱ ἔχουσαι φύσιν δροσερὰν εὐάγητον ἥγουν εὐκίνητον. LB.]

277. [φύσιν εὐάγητον : Πανταχοῦ φερομένην, ἢ λαμπράν.] λαμπρὰν, καθαράν. R. εὐάγητον : Πάντη φερόμενον, εὐκίνητον· τοιοῦτον γὰρ τὸ ὕδωρ. *Br.*

(278). Ὠκεανοῦ βαρυαχέος : Ἀκολούθως τοῖς ὑπὸ τοῦ Σωκράτους εἰρημένοις

εἶτ' Ὠκεανοῦ πατρὸς ἐν κήποις.

ἀλλ' ὁ μὲν διὰ τὸ ἄδηλον ἐκ διαφόρων αὐτὰς τόπων καὶ πηγῶν καλεῖ, ἵν' οὕτω γοῦν τῆς ἀληθείας τυχεῖν δυνηθῇ. αἱ δὲ, ἅτε τῆς ἑαυτῶν γενέσεως γικώσκουσαι τὸ ἀκριβὲς, εὐθὺς διώρισαν καὶ πόθεν αὐτὰς ἀρθῆναι δεήσει. βαρυαχέος δὲ τοῦ μέγα ἠχοῦντος. [οἱ γὰρ βαρεῖς ποταμοὶ ῥέοντες μέγαν ἦχον ἀπεργάζονται.] — βαρυαχέος : Μέγα ἠχοῦντος. *R. Vict.*

279. ταῖς κομώσαις κορυφαῖς τοῖς δένδροις. R.

280. Ἔφαμεν ὅτι τοῖς ὑψηλοτάτοις τῶν ὀρῶν ἐπικάθηνται αἱ νεφέλαι. ἵνα ἀντὶ τοῦ ὅπου τὰ πόρρω καθεζόμενα βλέπομεν. R. (ἵνα τηλεφανεῖς : Ὅθεν, ἀφ' ὧν ἐστὶν ἰδεῖν τὰ πόρρω. τοῖς γὰρ εἰς ὕψος οὖσι καὶ τὰ μακρὰν καταφανῆ γίνεται.) [τὸ δὲ ἵνα, ἀντὶ τοῦ ὅπου. ἢ τὸ ἵνα ἀφορώμεθα ἐστὶν ἀντὶ τοῦ ὅθεν. κέχρηται δὲ ἐπιρρήματι τῷ ἐν τόπῳ ἀντὶ τοῦ ἐκ τόπου. — ἵνα : Ἀντὶ τοῦ ὅθεν. *Vict.*]

282. ἀρδευομένην. R.

283. ζαθέων : Θαυμαστῶν, ἄγαν θείων. κελαδήματα : Κρ.. ν.. τὰς βοάς. *Vict.* ἠχήματα. R.

284. κελάδοντα : Ἠχοῦντα. βαρύβρομον : Μεγαλόψοφον. *Vict.* βαρύηχον, διὰ τὸν τῶν κυμάτων ψόφον. R. V.

286. [σελαγεῖται : Ἀντὶ τοῦ καταλάμπεται. ἔοικε δὲ λέγειν τὸν ἥλιον. ἐπεὶ καὶ οἱ τραγικοὶ εἰώθασιν ὀφθαλμὸν ὀνομάζειν αὐτόν. τοιαύτη δόξα ἐστὶ παρὰ τοῖς φιλοσόφοις, ὄμμα αἰθέρος καλεῖν τὸν ἥλιον. — ὄμμα αἰθέρος τὸν ἥλιον ἔοικε λέγειν· ἐπεὶ καὶ οἱ τραγικοὶ εἰώθασιν οὕτως καλεῖν, ὀφθαλμὸν δηλαδή. ἔστι δὲ καὶ παρὰ τοῖς φιλοσόφοις τοιαύτη δόξα, ὥστε ὀφθαλμὸν καὶ ἡγεμόνα τοῦ οὐρανοῦ καλεῖν. LB. καταλάμπεται. *Vict.*] ὄμμα αἰθέρος τὸν ἥλιον λέγει. R. ἐκπυροῦται, λάμπεται. R. λάμπεται. V.

μαρμαρέαις : ταῖς λαμπραῖς. μαρμαίρειν γὰρ τὸ λάμπειν. V.

287. ἀποσεισάμεναι : διασκορπίσασαι, τὴν χειμερινὴν ἀπειλὴν ἀποβαλοῦσαι. R. V.

289. ἀθανάταις ἰδέαις : [Ἐπεὶ καὶ γυναικοειδεῖς εἰσιέναι μέλλουσι, τοῦτο λέγουσιν, ἐμπαρασκευαζόμεναι τὴν εἴσοδον, ὡς ὅμοιαι μὲν τοῖς ἄλλοις θεοῖς οὖσαι, περικείμεναι δὲ νέφους τινὰ φύσιν. Ἄλλως. ἀθανάτας ἰδέας κεῖται. καὶ ἔστιν ἐνικὸν ἐν γενικῇ πτώσει. μέλλει δὲ τὰς Νεφέλας γυναικομόρφους εἰσάγειν, ἐσθῆτι ποικίλῃ χρωμένας, ἵνα τὰ τῶν οὐρανίων φυλάττωσι σχήματα. τὸ δ' ἐπιδώμεθα, ἀντὶ τοῦ ἐπίδωμεν καὶ ἐπισκεψώμεθα.] ἵνα γυναῖκας εἰσαγάγῃ τὰς τοῦ χοροῦ.

290. τηλεσκόπῳ : Τὰ πάντα ἐφορῶντι. R. πόρρω ὁρῶντι. *Vict.*

291. ὦ μέγα σεμναὶ : [Τὸ μερικὸν τοῦτο ἀμοιβαῖον σύστημα ἐκ στίχων ἐστὶν ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ζ', ὡς ἐρρέθη. λέγεται δὲ τοῦτο σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς, ὡς Ἡφαιστίων φησίν. ἐπὶ τῷ τέλει παράγραφος.] ὦ θαυμασιώταται καὶ ὑπεράγαν σεμναί. R. V. ταῦτα μὲν καθ' ἑαυτὸν, τὸ δὲ ἤσθου φωνῆς πρὸς τὸν Στρεψιάδην ὁ Σωκράτης. V.

292. [ἤσθου φωνῆς : Ἐν ταῖς κωμῳδίαις τινὲς μηχαναί, τὰ καλούμενα ἠχεῖα, ὧν ὁ κτύπος σχηματίζεται εἰς βροντῆς ἀπήχησιν. ἔστι δὲ καὶ ἐν τῇ σκηνῇ μηχάνημά τι, ὃ καλεῖται βροντεῖον, ἀμφορεὺς μεστὸς ψηφίδων ἀντιβαλλομένων εἰς χαλκοῦν λέβητα.]

293. [καὶ σέβομαί γ' ὦ πολυτίμητοι : Ἀντὶ τοῦ προσκυνῶ, ἢ καταπέπληγμαι, δεῖ δὲ καὶ τοῖς τούτου σχήμασιν ἐνδείκνυσθαι τὸ δεδιττόμενον, καὶ ἐπὶ τῇ παρουσίᾳ τῶν Νεφελῶν ἐκπεπληγμένον. σέβεται δὲ ὡς σεβασμίας ὑπὸ θεῶν καὶ τιμωμένας. καὶ προσκυνῶν δὲ ὅθεν ταῦτα λέγει.]

[ἀνταποπαρδεῖν : Ἀντὶ τοῦ κτυπῆσαι καὶ ἀντηχῆσαι. περὶ δὲ τὴν βροντὴν ἔπαιζεν, ἐξομοιῶν αὐτῇ τῆς πορδῆς τὸν ἦχον.]

294. πρὸς τὰς βροντάς : Μηχανή ἐστιν, ὃ καλεῖται βροντεῖον, ὑπὸ τὴν σκηνήν· ὃ ἦν ἀμφορεὺς, ψηφῖδας ἔχων θαλασσίας. ἦν δὲ λέβης χαλκοῦς, εἰς ὃν αἱ ψῆφοι κατήγοντο καὶ κυλιόμεναι ἦχον ἀπετέλουν ἐοικότα βροντῇ.

τετρεμαίνω : Τρέμω, (παραγώγως. ἐπίτηδες δὲ ἐξέτεινε τὴν λέξιν τερατευόμενος).

295. (κεἰ θέμις ἐστὶ : Καὶ εἰ εὐσεβές ἐστι καὶ μὴ, χέσαι ἔχω. ὡς ὑπὸ τοῦ φόβου προειλημμένος, καὶ μὴ δυνάμενος ἀνασχεῖν ἔτι. ὁ γὰρ ἐπιστάμενος ὅτι μὴ δεῖ οὕτω ποιεῖν, εἶτα τοῦτο οὐδὲν ἧττον ποιῶν, ὑπὸ μείζονος ἀνάγκης ἐξαγόμενον εἰς τὸ παρανομεῖν δείκνυσιν ἑαυτόν.)

296. [οὐ μὴ σκώψῃς : Τοῦτο ὁμοῦ μὲν ὁ Σωκράτης, καὶ ὡς περιφρονῶν τὰ ἀνθρώπινα, πιστῶς λέγει, καὶ τοὺς τῆς κωμῳδίας ποιητὰς ἡγούμενος ἀθλίους, ὁμοῦ δὲ καὶ Ἀριστοφάνης, αὐτοῦ μὲν οὔ, τῶν δὲ ἄλλων κωμῳδογράφων ἀτεχνούντων, ὡς καταλιπόντων μὲν τὴν ποίησιν, τοῦ δὲ σκώπτειν ἐχομένων.

οἱ τρυγοδαίμονες : Οἱ ποιηταί· ἐπειδὴ τὴν τρύγα χριόμενοι, ἵνα μὴ γνώριμοι γένωνται, οὕτως τὰ αὐτῶν ᾄδον ποιήματα κατὰ τὰς ὁδοὺς ἁμάξης ἐπικαθήμενοι. διὸ καὶ παροιμία, ὡς ἐξ ἁμάξης λαλεῖ, ἤγουν ἀναισχύντως ὑβρίζει. τοῦτο δὲ ἐποίουν οἱ κωμικοὶ ποιηταί. Ἄλλως. οἱ κωμικοὶ, παρὰ τὸ κακοδαίμονες, ἐπεὶ πολλοὶ τῇ αἰσχροποιίᾳ ἐχρῶντο. κακοδαίμονες δὲ, παρόσον ἀφέμενοι τῶν θείων περὶ τὸ σκώπτειν τρέπονται. —

τρυγοδαίμονες : Οἱ ἄλλοι κωμικοί. οὗτοι γὰρ ἐν τοῖς ποιήμασιν αὐτῶν ἀνθρώπους εἰσῆγον χέζοντάς τε καὶ ἕτερα αἰσχρὰ ποιοῦντας. λέγει δὲ δι' Εὔπολιν καὶ Κρατῖνον καὶ τοὺς ἄλλους. τρυγοδαίμονας δὲ τούτους καλεῖ, διότι πάντες οἱ κωμῳδοὶ τρυγὶ ἀνηλείφοντο. E.]

297. σμῆνος ἀοιδαῖς : Τὸ πλῆθος τῶν μελισσῶν. R. [κυρίως μὲν τὸ σύστημα τῶν μελισσῶν. Ὅμηρος δὲ [Il. A, 249] κέχρηται τῇ τροπῇ ἐπὶ εὐγλωττίας ἐπαινῶν τὸν Νέστορα,

τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή.

ὅπερ ἐστὶν ἐσμὸς, τουτέστι σμῆνος τῶν Ἀριστοφάνους ᾠδῶν.]

(298). παρθένοι ὁμβροφόροι : [Ἡ ἀντῳδὴ αὕτη τοῦ χοροῦ κώλων ἐστὶν ὁμοίων τῇ ᾠδῇ δεκαέξ· ὧν ὁ τελευταῖος

καὶ μοῦσα βαρύβρομος αὐλῶν.

ἐπὶ τῷ τέλει δύο διπλαῖ, ὁ μὲν κατ' ἀρχὰς τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος. καὶ ἀμφότεραι ἔξω νενευκυῖαι, δηλοῦσαι ὅτι τέλος ἔσχε τὰ ἀποδιδόμενα. τινὲς δὲ εἰς τὸ παρθένοι στίζουσι, τὸ παλίμβολον τῶν Νεφελῶν παριστάντες. ἄμεινον δὲ εἰς τὸ ὁμβροφόροι στίζειν. Ἄλλως.] ταῦτα οὐχ ὑφ' ἓν ἀναγνωστέον οὐδ' ὡς ἐπίθετον τῶν Νεφελῶν τὸ ὁμβροφόροι νῦν ἐκληπτέον, ἀλλ' ὡς αὐτὸ καθ' αὐτὸ πρᾶγμα δηλοῦν. ἢ καὶ ἄμεινον μὲν ἂν εἴη ὑποστίζειν μὲν εἰς τὸ παρθένοι, ζευγνύναι δὲ τὸ ὁμβροφόροι τῷ ἐπιφερομένῳ, ἵν' ᾖ νοούμενον· ἐλθωμεν ἐπὶ τὴν Ἀθηναίων γῆν ὄμβρου γέμουσαι. καὶ γὰρ εἰ ἀμφοτέρως ἡ ἔννοια σώζεσθαι δύναται, ἀλλ' εὐφημότερόν ἐστιν ὃ προειρήκαμεν. εἰσὶν οὖν αἱ Νεφέλαι πάλιν παρακελευόμεναι καί φασιν, ὅλαι ὁμβρίας πληρωθεῖσαι τῇ τῶν Ἀθηναίων ἐπιστῶμεν πόλει. ἡ δὲ τοιαύτη διαστολὴ ὑπεναντία τοῖς ἄνω γενήσεται προειρημένοις ὑπὸ τοῦ ποιητοῦ, ὡς δεῖ τὰς Νεφέλας τολοιπὸν εὐδίους εἶναι, δι' ὧν ἔφη, « ἀλλ' ἀποσεισάμεναι νέφος ὄμβριον ἀθανάταις ἰδέαις ἐπιδώμεθα. » πρὸς τοῦτο οὖν ἐκεῖνο ἀντιθετέον, ὅτι τὸ συμβαῖνον περὶ τὰς Νεφέλας αἰνιττόμενος ὁ ποιητὴς, παλίμβολόν τινα καὶ παλίστροφον ἐποίησε τὴν γνώμην αὐτῶν, ἐπεὶ ἔκ τε χειμῶνος εἰς εὐδίαν χωρεῖν καὶ αὖ πάλιν ἐξ εὐδίας χειμάζειν πεφύκασι.

299. λιπαρὰν χθόνα : Λιπαρὰς Ἀθήνας (οὐκ ἀπεικότως καλοῦσι, μάλιστα μὲν καὶ διὰ τὸ δόξαι πλουτεῖν τὴν πόλιν, ἔπειτα δὲ καὶ διὰ τὴν τῶν ἡμέρων τροφῶν εὕρεσιν, παρ' οἷς εἰς ἔτι καὶ νῦν τὸ λιπαρὸν τῆς ἐλαίας φυτὸν δείκνυται. Ἄλλως. τὴν εὐθαλῆ καὶ πᾶσι κομῶσαν. καὶ Πίνδαρος [fr. 46] « ὦ ταὶ λιπαραὶ καὶ ἀοίμοι, Ἑλλάδος ἔρεισμα, κλειναὶ Ἀθᾶναι. » εὐανδρον δὲ, τὴν ὑπ' ἀρίστων ἀνδρῶν παροικουμένην. πολυήρατον δὲ, πᾶσιν ἐράσμιον.) —λιπαρὰν : Εἰς τὴν εὔγαιον τὴν Ἀττικήν. Θ. Λαμπρὰν διὰ τὴν ἐλαίαν τὴν οὖσαν ἐν αὐτῇ. R.

301. Κέκροπος : Οὗτος γὰρ τῶν Ἀθηναίων ἦν ἀρχαιόγονος. Θ.

πολυήρατον : Πάνυ ἐπέραστον. Θ. ἐρασμίαν. V.

302. οὗ σέβας : Ὅπου σέβασμά ἐστι καὶ ἀπόρρητα μυστήρια. λίαν γὰρ αὐτοῖς τὸ μὴ ἐξαγγέλλεσθαι ταῦτα ἐσπουδάζετο. [ὅτι δὲ λίαν ἐσπούδαζον περὶ τὰ μυστήρια, δῆλον ἐκ τοῦ ψηφίσματος Μεγαρέων.]

303. μυστοδόκος δόμος : Μυστικὸς καὶ ἱερὸς, τουτέστι τοὺς μύστας ὑποδεχόμενος. λέγει δὲ τὴν Ἐλευσῖνα, ἔνθα τὰ Δήμητρος καὶ Κόρης ἐπιτελεῖται μυστήρια. — τὴν Ἐλευσῖνα λέγει μυστικὴν καὶ ἱερὰν οἰκίαν, καὶ τοὺς μύστας δεχομένην. ἐν αὐτῇ γὰρ τὰ μυστήρια τῆς Δήμητρος καὶ τῆς Κόρης ἐτελοῦντο. LB.

304. ἐν τελεταῖς ἁγίαις : Ἐν τελεσιουργίαις ὁσιωτάταις, τουτέστι τοῖς μυστηρίοις. (εἰκότως δὲ τὰς Νεφέλας παρήγαγε πρῶτον σεμνολογούσας περὶ τῶν μυστηρίων, ἐπεὶ ἔχουσί τινα πρός τε τὰς θεὰς ταύτας καὶ τοὺς δι' αὐτὰς καρποὺς τελειουμένους οἰκειότητα.) εἰ γὰρ τῶν μὲν Νεφελῶν τὸ ὕειν, ἀδύνατον δὲ καρποὺς ἄνευ ὄμβρων γεωργεῖν, πῶς οὐκ οἰκεῖος ὁ περὶ τῶν θεῶν ταῖς Νεφέλαις λόγος; εἴ γε καὶ τὸν Ἴακχον ἐχόρευσαν ταῖς θεαῖς, (ὡς Ἡρόδοτος [8, 65] ἱστορεῖ· ἐν γὰρ τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ κατὰ πολὺ λειπομένων τῶν Ἑλλήνων τοῦ πλήθους τῶν Περσικῶν νεῶν συμμαχῆσαι τοῖς Ἀθηναίοις τὴν Δήμητραν καὶ τὴν Κόρην ἱστορεῖ, μέγιστον τῆς συμμαχίας ἐπιδειξαμένας καὶ ἐναργέστατον τεκμήριον. μελλόντων γὰρ λοιπὸν τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων εἰς χεῖρας ἥξειν, πρῶτον μὲν πλεῖστον ὅσον κονιορτὸν ἀπὸ τῆς Ἐλευσῖνος αἰρόμενον πάσῃ τῇ στρατιᾷ κατάδηλον γενέσθαι. εἶτα τοῦτον εἰς οὐρανὸν ἀνιόντα καὶ γενόμενον νέφος διὰ μέσου τοῦ στρατοπέδου χωροῦντα, τὸν Ἴακχον βοᾶν. μυστικὸς ὁ λόγος.)

305. οὐρανίοις τε θεοῖς : Πρὸς ἀντιδιαστολὴν τῶν καταχθονίων, ὧν ἡ Δημήτηρ καὶ Κόρη. τὸ οὐρανίοις δὲ θεοῖς ἐπήγαγεν ὑπερβαλλόντως εὐσεβῆ βουλόμενος ἐπιδεῖξαι τὴν πόλιν. αἱ μὲν γὰρ ἄλλαι πόλεις ἑνί τινι πρόσκεινται θεῶν, αἱ δὲ Ἀθῆναι πάντας [ἀδιαφόρως] τοὺς θεοὺς τιμῶσι.

[δωρήματα : Ἡ γὰρ Δημήτηρ αὐτοῖς τὸν σῖτον ἔδωκε, καὶ Ἀθηνᾶ τὴν ἐλαίαν, καὶ Ποσειδῶν πρώτους εἶναι τὰ ναυτικὰ, καὶ ἄλλοι ἄλλα πάντα. ἢ τὰ δωρήματα θεοῖς ἀντὶ τοῦ θυσίαι νοητέον. Vict.]

306. ὑψερεφεῖς : Ὑψηλοί. Θ. *Br.* ὑψηλὴν ὀροφὴν ἔχοντες. *Vict.*

307. καὶ πρόσοδοι : Θρησκεῖαι περὶ τοὺς βωμοὺς, [πρόσοδοι τοῖς θεοῖς, καὶ προσελεύσεις.] — πρόσοδοι : Πανηγύρεις. Θ. *Vict.* ἑορταὶ καὶ πανηγύρεις. R. V.

(308). εὐστέφανοί τε : [Παρὰ τὸ Ὁμηρικὸν [Il. A, 39]

εἴ ποτέ τοι χαρίεντ' ἐπὶ νηὸν ἔρεψα.]

αὗται γάρ εἰσιν αἱ εὐστέφανοι θυσίαι, κοσμεῖν μὲν καὶ στεφανοῦν τοὺς ναοὺς, πληροῦν δὲ τοὺς βωμοὺς ἱερῶν καὶ θυμιαμάτων. — ἢ ὅτι στεφανηφοροῦντες τὰς θυσίας ἐτέλουν. Junt.

θαλίαι : Εὐδαιμονίαι, εὐθηνίαι, ἀκμαὶ, εὐφροσύναι, πανηγύρεις. Junt.

310. παντοδαπαῖς ἐν ὥραις : Διὰ παντὸς καὶ διηνεκῶς καὶ ἐν παντὶ καιρῷ. διὰ γὰρ τὸ πάντας θρησκεύειν τοὺς θεοὺς θύουσι καὶ πανηγυρίζουσιν ἀεί.

311. ἦρί τ' ἐπερχομένῳ : Τὴν παροῦσαν ἑορτὴν λέγει, τουτέστι τὰ Διονύσια. ἀρχομένου γὰρ τοῦ ἦρος, ἄρχεται καὶ ἡ πανήγυρις. (Βρομία δὲ χάρις οἱ Διονυσιακοὶ ἀγῶνες, ἐν οἷς αἱ ἅμιλλαι τῶν χορῶν.) — ἦρι : Ἔαρι. τότε γὰρ ἐτελοῦντο (ἐτέλουν Θ.) τὰ Διονύσια. Θ. *Br.*]

312. εὐκελάδων τε χορῶν : Τῶν εὐμούσων καὶ ἡδέων χορῶν ἅμιλλαι. (ἐρεθίσματα δὲ, ἤγουν ἅμιλλαι, ἢ ὄργανα μουσικά.) τοῖς γὰρ Διονυσίοις τοὺς κυκλίους χοροὺς ἵστασαν, καὶ ἠγωνίζοντο οἱ κωμικοὶ καὶ οἱ τραγικοὶ, ἀναγορεύοντες τὰ ὑπόγυιον αὐτοῖς πεποιημένα δράματα. — ἐρεθίσματα : Ἅμιλλαι. *Vict.*

313. βαρύβρομος : Ἀντὶ τοῦ πολύηχος, πολλὰ βρέμουσα. προσηύλουν γὰρ καὶ ταῖς τραγῳδίαις καὶ τοῖς κυκλίοις χοροῖς. *R.*

314. [πρὸς τοῦ Διὸς : Εἴσθεσις διπλῆς ἀμοιβαίας καθόλου ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ρκε', ὧν τελευταῖος

διὰ τοὺς ἵππους τοὺς κοππατίας καὶ τὸν γάμον ὃς μ' ἐπέτριψεν.

καλεῖται δὲ τὸ μέτρον Ἀριστοφάνειον, ὡς εἴρηται. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα.]

315. τοῦτο τὸ σεμνόν : Λελῃθότως ἑαυτὸν ἐπαινεῖ· σεμνὸν γάρ, φησὶν, ἐστὶ τὸ μέλος. [ἔστι γὰρ τοῦτο ἀληθές. ὃ δὲ τὸν ἔπαινον ἐπὶ τὰς Νεφέλας τρέπων, οὐκ οἴεται φορτικὸς εἶναι.]

μῶν ἡρῶναι : (Ἀττικὴ ἡ συναίρεσις τὸ ἠρῶναι, ὡς ἠίθεοι ἤθεοι.)

[κατὰ τὸ ἀρχαῖον καὶ σύνηθες αὐτοῖς ἐνθάδε τρισυλλάβως προηνέγκατο τὸ ἠρῶναι.]

316. ἀνδράσιν ἀργοῖς : Τοῖς φιλοσόφοις. [διασύρει δὲ αὐτοὺς πάλιν. ὠφέλιμοι, φησὶ, τοῖς ἀνθρώποις ἀπράκτοις. οἱ γὰρ ἀργοὶ κεχήνασιν εἰς τὰς Νεφέλας. — ἀνδράσιν ἀργοῖς : Τοῖς φιλοσόφοις καὶ ποιηταῖς, οἳ μηδὲν ἄλλο μεταχειρίζονται, ἢ περὶ λόγων σχολάζουσιν. *E.*]

317. αἴπερ γνώμην : [Αἴπερ σύνεσιν καὶ φρόνησιν, ὡς τὰ δέοντα νοεῖν. καὶ διάλεξιν] ἀντὶ τοῦ λόγων ἐμπειρίαν· ὥστε τὰ νοηθέντα φράζειν. (τερατείαν δὲ τὴν τερατολογίαν, καὶ περίλεξιν τὴν περίφρασιν, καὶ κροῦσιν τὸν παραλογισμὸν [παρασυλλογισμόν G.], κατάληψιν δέ φησιν ὥστε τὰ νοηθέντα φράζειν.) — γνώμην : Ἐνθυμήματα. (γνῶσιν Θ.) διάλεξιν : Εὐπορίαν εἰς τὸ διαλέγεσθαι. Θ. *E.* — νοῦν : Σύνεσιν.

τὴν γνῶσιν. διάλεξιν λόγων θεωρίαν. διαφέρει διάλεξις διαλέκτου, ὅτι διάλεκτος μέν ἐστι φωνῆς χαρακτὴρ ἐθνικὸς, διάλεξις δὲ τῆς συνήθους φωνῆς ἐκτροπὴ ἐπὶ τὸ σεμνότερον. τερατολογίαν, παραδοξολογίαν. τερατολογεῖν δὲ τὸ ἀπίθανα διηγεῖσθαι . . . . τῶν ἀνθρωπίνων πραγμάτων. περίλεξιν ἀντὶ τοῦ περίφρασιν. κροῦσιν δὲ τὸ ἀπατῆσαι καὶ παραλογίσασθαι τὸν ἀκούοντα, οἷον παρακρούσασθαι καὶ συναρπάσαι. δοκιμασίαν. R.

318. [τερατείαν : Ψευδολογίαν. — παραδοξολογίαν. ἀλαζονείαν. *Br.*

περίλεξιν : Περιττολογίαν, περίφρασιν. — εὐπορίαν καὶ περιττότητα λόγων. *E.*

κροῦσιν : Ἀπάτην, δοκιμασίαν, παραλογισμόν. — ποικιλίαν καὶ στροφὰς λόγων, δι' ὧν τοὺς διαλεγομένους σοφιζόμεθα καὶ ἀπατῶμεν. Θ. *E.*

κατάληψιν : Εὕρεσιν. τὰ αὐτὰ δὲ καὶ διεξοδικώτερον ἑρμηνευτέον ἂν εἴη πάλιν ἐπαναλαβόντας. διάλεξιν τοίνυν, λόγων ἐμπειρίαν, ὡς ἔφαμεν, ὥστε τὰ νοηθέντα δύνασθαι ἑρμηνεύειν. διαφέρει δὲ διάλεκτος καὶ διάλεξις. διάλεκτος μὲν γάρ ἐστι φωνῆς χαρακτὴρ ἐθνικὸς, διάλεξις δὲ τῆς συνήθους φωνῆς ἐπὶ τὸ σεμνότερον ἐκτροπὴ καὶ ἐπὶ τὸ ἀγροικότερον. τερατείαν δὲ, τερατολογεῖν καὶ ἀπίθανα διηγεῖσθαι καὶ λέγειν πράγματα ἐπέκεινα τῶν ἀνθρωπίνων. περίλεξιν δὲ, περιττῶς καὶ περιέργως περιτείνεσθαι διὰ λόγων καὶ δύνασθαι ἑρμηνεύειν τὸ νοηθέν· ὅπερ ἐστὶ λοιπὸν ἔργον τῆς ἐξηγήσεως τοῦ λόγου. δείκνυσι δὲ ἐξ ὅσων συνέστηκε ῥητορική. δεῖ γὰρ νοεῖν, εἶθ' ἑρμηνεύειν, ὅπερ ἐστὶ λοιπὸν ἔργον τῆς ἐξηγήσεως τοῦ λόγου. κροῦσιν, ἢ τὸν παραλογισμὸν καὶ τὴν ἀπάτην· τὸ συναρπάσαι τὸν ἀκούοντα. ἢ δοκιμασίαν· ἐπεὶ τὰ σαθρὰ κροτούμενα δοκιμάζεται. κατάληψιν, τὴν γνῶσιν καὶ αἴσθησιν καὶ τὴν τέχνην. οὕτω γὰρ ὁριζόμεθα τὴν τέχνην, οἷον σύστημα ἐκ καταλήψεων ἐγγεγυμνασμένων, καὶ τὰ ἑξῆς. κατάληψιν δὲ εἰώθασιν οἱ μουσικοὶ λέγειν, ἐπειδὰν πλήξαντες τοῖς δακτύλοις ἢ τῷ πλήκτρῳ τὰς χορδὰς, καταλάβωσι καὶ ἀποτείνωσι τὸν φθόγγον.]

319. ταῦτ' : Διὰ ταῦτα. R. λείπει ἡ διά. ἀντὶ τοῦ διὰ ταῦτα, Ἀττικῶς. V.

πεπότηται : Ἀνέπτη καὶ ἀνεκουφίσθη, καὶ μετέωρα φρονεῖ ἤδη. — μετέωρος γέγονε. *E. Vict.* — ἀντὶ τοῦ ἀνέστη. V.

320. [καὶ περὶ καπνοῦ : Ἀντὶ τοῦ, περὶ μηδενὸς καὶ κενῶν πραγμάτων. στενὸς γὰρ καὶ ἀμενηνὸς καὶ ἀσθενὴς ὁ καπνός. παρὰ δὲ τὸ στενὸν εἴληπται τὸ στενολεσχεῖν, τὸ μεταρσιολεσχεῖν, καὶ τὸ μηδὲν λέγειν. καὶ τοῦτο δὲ, τὸ λεπτολογεῖν, διασυρμοῦ λέγει χάριν, ὡς ἰσχνὰ τῶν φιλοσόφων ζητούντων ζητήματα. — ἢ ποικίλα καὶ λεπτὰ διεξέρχεσθαι, ὡς εἰς στενὸν κομιδῇ τοὺς διαλεγομένους καθιστᾶν, μὴ ἔχοντας ὅ τι ἀπολογήσονται.] τὸ στενολεσχεῖν ἀντὶ τοῦ λεπτολογεῖν. στενὸς γαρ καὶ ἀμενηνὸς ὁ καπνός. διασύρει δὲ τὰ τῶν φιλοσόφων ὡς ἰσχνὰ ὄντα. R. περὶ τοῦ τυχόντος λεπτῶς φιλοσοφεῖν, μικρολογεῖν. *Br.*

321. ἀντὶ τοῦ συνάψας ἕτερον λόγον τῷ ῥηθέντι ἀντιθεῖναι. R. V.

(323). βλέπε νῦν : Ὑπερβατόν· λέγειν γὰρ βούλεται, βλέπε νῦν δευρὶ πρὸς τὴν Πάρνηθα ἡσύχως· ὁρῶ γὰρ ἤδη κατιούσας αὐτάς. ὄρος δέ ἐστιν ἡ Πάρνηθος τῆς Ἀττικῆς. θηλυκῶς λέγομεν. [εἰκότως δὲ εἶπε πρὸς τὴν Πάρνηθα κατέρχεσθαι αὐτάς. πᾶσαι γὰρ αἱ τῶν ὀρέων

κορυφαὶ διὰ τὸ ὕψος ἀεὶ συννεφεῖς φαίνονται.] — ὄρος Ἀττικῆς. θηλυκῶς ἡ Πάρνης. R.

324. ἥσυχα : Ἡσύχως. *Br.*

(χωροῦσ' αὗται : Τὸ χωροῦσι καθ' αὑτὸ ἀναγνωστέον, εἶτα ὡς τοῦ πρεσβύτου οὐχ ὁρᾶν λέγοντος, προστίθησι πλέον ἐκτείνων τῇ προφορᾷ τοῦ λόγου, τὸ, αὗται πάνυ πολλαί. εἶτα ὡς οὐδὲ οὕτως ὁρῶντος, πρὸς πλείονα γνῶσιν προστίθησι καὶ τόπον. τὴν δὲ τῶν λεγομένων ἐνάργειαν τὰ τῶν ὑποκρινομένων σχήματα δείκνυσι.) [δείκνυσι δὲ αὐτῷ ὄρος ἐν τῷ θεάτρῳ τὴν Πάρνηθα, ἐξ οὗ κατέρχονται.]

327. εἰ μὴ λημᾷς : Παροιμία ἐπὶ τῶν τὰ μεγάλα παρορώντων. R. V. [τῶν Νεφελῶν πλησίον οὐσῶν, ἐκεῖνος μηδ' οὕτως ὁρῶν, τοῦτο νῦν προσέθηκεν, ἵν' ᾖ τὸ νοούμενον οὕτως· νῦν] αὐτὰς ὁρᾷς, εἰ μὴ λήμας ἔχεις ἐν τοῖς ὀφθαλμοῖς μεγάλας ὡς κολοκύντας. λήμη δέ ἐστι τὸ πεπηγὸς δάκρυον. [δέον δὲ εἰπεῖν ἐν λήμαις, ὁ δὲ κολοκύνταις εἶπε, δεικνύων τὴν ὑπερβολὴν τῆς λημότητος. λείπει δὲ ἡ ἐν, ἵν' ᾖ, ἐν κολοκύνταις· ὡς τὸ νοσεῖν ἐν φρενίτιδι. ἀποδοκιμαστέοι δὲ οἱ νοοῦντες ἔξωθεν, ὁμοίας. οὐκ ὀρθῶς γὰρ ἐοίκασι λέγειν. ὁ δὲ Λουκιανὸς ἐν τῷ πρὸς ἀπαίδευτον καὶ πολλὰ βιβλία ὠνούμενον [c. 23] οὐκ ὤκνησεν εἰπεῖν, χύτραις λημῶντες.]

328. [νὴ Δί' ἔγωγε : Ἔξωθεν ὑπακούεται τὸ ὁρῶ ὡς ἀληθῶς. ἑώρα γὰρ, πλησίον οὐσῶν.] — πάντα : Ἀντὶ τοῦ πάντα τόπον κατειληφασι. R. V.

331. ἴσθ' ὅτι : Γίνωσκε. *E.*

σοφιστὰς : Ἐν ἄλλοις τοὺς πεπαιδευμένους. τοὺς μετεωρολέσχας νῦν λέγει, καταχρηστικῶς δὲ καὶ πάντας τοὺς ἀπὸ τῶν μαθημάτων ὁρμωμένους. [καὶ θαυμαστὸν οὐδὲν, ὅπου μηδὲ τοὺς αὐλητὰς οὕτω προσαγορεύειν ὤκνησαν. Πλάτων γοῦν ὁ κωμικὸς ἐν δράματι Σοφισταῖς καὶ τὸν Ὀπούντιον αὐλητὴν Βακχυλίδην εἰς τοὔνομα κατέταξε τῶν σοφιστῶν. καταχρηστικῶς δὲ νῦν ἐπὶ πάσης ἐπιστήμης παρέλαβε τὸ ὄνομα τῶν σοφιστῶν. — σοφισταὶ, οἱ ῥήτορες καὶ οἱ ἀπατεῶνες· καὶ οἱ διδάσκαλοι, καὶ ὅσοι τῶν φιλοσόφων ῥητορικῶς ἔγραψαν. ἐνταῦθα δὲ σοφιστὰς τοὺς διδασκάλους νόει· ὡς τοὺς ἄλλους σοφίζοντας. Junt.]

332. θουριομάντεις : (Ἀπὸ τοῦ γενικοῦ ἐχώρησεν ἐπὶ τὸ κατ' εἶδος.) [εἰπὼν γὰρ ὅτι πάντας αἱ Νεφέλαι τρέφουσι τοὺς σοφιστὰς, ἐπήγαγε τίνας καὶ τίνας. θουριομάντεις δὲ οὐ τοὺς ἀπὸ Θουρίου μάντεις, ἀλλὰ τοὺς εἰς Θούριον, πόλιν Σικελίας, πεμφθέντας ἐπὶ τῷ κτίσαι αὐτήν· ἐπέμφθησαν δὲ δέκα ἄνδρες· ὧν καὶ Λάμπων ἦν ὁ μάντις, ὃν ἐξηγητὴν ἐκάλουν. ἦν δὲ καὶ τῶν πολιτευομένων πολλάκις. λόγους δὲ συνεχῶς εἰσάγειν ἐφαίνετο περὶ τῆς εἰς Θούριον ἀποικίας. ἁλούσης γὰρ Συβάρεως, Θούριοι ἐκλήθησαν ἀπὸ κρήνης Θουρίας. Ἄλλως.] [ὡς πολλῶν γενομένων μαντεῖων ἐπὶ τῆς εἰς Θουρίους ἀποικίας, τούτους δὲ ἔφη τρέφεσθαι ὑπὸ τῶν Νεφελῶν, ὡς διὰ τῶν οἰωνῶν τῶν ἐν τῷ ἀέρι μαντευομένους καὶ εἰς τὸν οὐρανὸν καὶ τὰ νέφη ἀποβλέποντας.]

[ἰατροτέχνας : Καὶ ἰατροὶ περὶ ἀέρων καὶ ὕδατος συνέγραψαν. ὕδατα δέ εἰσι καὶ αἱ νεφέλαι. σύνταγμα δέ ἐστιν Ἱπποκράτους περὶ ἀέρων, τόπων καὶ ὑδάτων.]

σφραγιδονυχαργοκομήτας : Τοὺς κόμαις καὶ περιττοῖς δακτυλίοις τὰς χεῖρας κοσμουμένους μέχρι τῶν ὀνύχων, (ὡς ὑπὸ τῶν δακτυλίων σκέπεσθαι τοὺς δακτύλους. ἢ καὶ τοὺς τῶν ὀνύχων ἐπιμελουμένους, καὶ ὅσημέραι ξέοντας αὐτοὺς ὑπὲρ τοῦ ἐκλάμπειν ἄγαν· ὃ πάσχουσιν οἱ τῷ καλλωπίζεσθαι σχολάζοντες μόνον).

333. κυκλίων τε : [Αἰνίττεται εἰς τοὺς περὶ Κινησίαν καὶ Φιλόξενον καὶ Κλεομένη], (καὶ τούτους εἶναι τῶν σοφιστῶν βούλεται. λέγει δὲ τοὺς διθυραμβοποιούς. τῶν γὰρ κυκλίων χορῶν ἦσαν οὗτοι διδάσκαλοι. ἁρματοκάμπτας δὲ, ὅτι διὰ τὸ ἁρμονίᾳ μὴ ὑποπίπτειν αὐτῶν τὰ συγγράμματα, καμπὰς ἔχουσι πλείονας, ἃς οἱ μουσικοὶ καλοῦσι στροφὰς, καὶ ἀντιστρόφους καὶ ἐπῳδούς, δι' ὧν καὶ ἐν ταῖς τραγῳδίαις συνειστήκει τὰ χορικά. Ἄλλως. οἱ παλαιοὶ διαφθορὰν μουσικῆς ἡγοῦντο εἶναι τοὺς διθυράμβους. καὶ προελθὼν αὐτῶν μᾶλλον καθάψεται λέγων [969]

εἰ δέ τις αὐτῶν βωμολοχεύσαιτ', ἢ κάμψειέν τινα καμπὴν, οἵας οἱ νῦν τὰς κατὰ Φρῦνιν ταύτας τὰς δυσκολοκάμπτους, ἐπετρίβετο τυπτόμενος πολλὰς, ὡς τὰς Μούσας ἀφανίζων.

Καλλίμαχος δὲ [fr. 279] πρὸς αὐτοὺς ἀποτεινόμενος οὕτω πως αὐτῶν καθάπτεται,

νόθοι δ' ἠνθησαν ἀοιδαί.)

ἁρματοκάμπτας : Τοὺς διθυράμβους, ἐπεὶ καμπὰς τὰς περιῳδὰς λέγουσι. R. V. οἱ λυρικοὶ ποιηταὶ χοροῖς καὶ αὐλοῖς καὶ λύραις τὰ ποιήματα ᾖδον. καὶ νῦν μὲν οἱ τούτων χορευταὶ ἐνταυθοῖ τὰς μετακλίσεις καὶ τὰς καμπὰς ἐποιοῦντο, νῦν δὲ ἐνταυθοῖ, ἀκολουθοῦντες τῷ ἅρματι. λέγει οὖν τοὺς τοιούτους ποιητὰς ἁρματοκάμπτας. Junt.

[μετεωροφένακας : Τοὺς διὰ τῶν μετεώρων ἀπατῶντας. φενακίζειν γὰρ τὸ ἐξαπατᾶν. περὶ δὲ τῶν φιλοσόφων λέγει.]

334. μουσοποιοῦσι : Ποιητικῇ ὑμνοῦσι. Junt.

335. ταῦτ' ἄρ' ἐποίουν : Λείπει ἡ διά. (μιμεῖται δὲ τοὺς διθυράμβους.) — στρεπταίγλαν δὲ τὴν στρέφουσαν τὴν αἴγλαν καὶ ἀφανίζουσαν. R. V. καὶ ταῦτα δὲ εἶπεν εἰς τὴν ἀηδίαν τούτων ἐν τοῖς συνθέτοις. R. [τὸ δὲ στρεπταίγλαν, εἰς τὸ διεστραμμένον αὐτῶν, τὴν ἔμπροσθεν οὖσαν τῆς αἴγλης τοῦ ἡλίου καὶ σκοτίζουσαν. νεφέλης γὰρ ἐπιτεθείσης τῷ ἡλίῳ, οὐκέτι τὰς ἀκτῖνας εἰς τὴν γῆν ἀφίησι.] (ταῦτα δὲ εἰς Φιλόξενον τὸν διθυραμβοποιόν. τὸ γὰρ στρεπταίγλαν οὗτος εἶπεν. ἐπεὶ οὖν συνθέτοις καὶ πολυπλόκοις οἱ διθυραμβοποιοὶ χρῶνται λέξεσιν, κατὰ τὸν ἐκείνων ζῆλον καὶ αὐτὸς τοιαύταις χρῆται. δηλοῖ οὖν ἄντικρυς διὰ τὸ ἐξεστραμμένον τὴν ἀηδίαν τούτων ἐν τοῖς συνθέτοις. ἔστι δὲ ἡ γενικὴ τὸ ὑγρᾶν Νεφελᾶν καὶ στρεπταιγλᾶν, εἴπερ οὕτω γράφεται, οὐ πρός τι συνταττόμενον, ἀλλ' οὕτως ἦν ἐν τοῖς ποιήμασιν ἐκείνοις· διὸ καὶ αὐτὸς οὕτως ἔθηκεν. οἱ δὲ,

πρὸς τὸ δαῖον ὁρμὰν, τουτέστι ταχυτάτην, ἐνικὸν τὸ πᾶν εἶναι φάσκοντες. τὸ αὐτὸ δὲ καὶ περὶ τοῦ δροσερᾶν νεφελᾶν. εἰ δὲ στρεπταίγλαν, πρὸς τὸ ὑγρᾶν νεφελᾶν.) — στρεπταιγλᾶν : Ταχυτάτην. *Vict.*

336. πρημαινούσας τε θυέλλας : [Τουτέστι συστροφὰς ἀνέμου. πρημαινούσας δὲ,] ἀντὶ τοῦ μαινομένας, καὶ λάβρως φυσώσας. πρῆσαι γὰρ τὸ φυσῆσαι. Ὅμηρος [Il. A, 481] « ἐν δ' ἄνεμος πρῆσεν μέσον ἱστίον. »

337. γαμψοὺς οἰωνοὺς : Διερὰς μὲν τὰς διύγρους, γαμψοὺς δὲ ἤτοι τὰς καμπτούσας καὶ πλαγίους νεφέλας. [ἢ τὰς ὀρνίθων ὄψεσιν εἰκασμένας. γαμψοὺς γὰρ ἐκάλουν τοὺς ὄρνιθας. αὐτίκα γοῦν (καὶ αὐτὸς τῷ γαμψοὺς, οἰωνοὺς) ἐπήγαγεν.]

ἀερονηχεῖς : Τὰς ἐν τῷ ἀέρι νηχομένας. [παρόσον ἐν αὐταῖς νήχεται τὰ ὄρνεα, ἢ δίκην ὀρνέων ἵπτανται αἱ νεφέλαι. ταῦτα δὲ πάντα ἔκ τινων ποιητῶν εἰσιν, ἄλλο ἄλλου γράψαντος, καὶ τοῦ μὲν τοῦτο, τοῦ δὲ ἐκεῖνο.] — τοιοῦτον γὰρ ἔσθ' ὅτε τὸ τῶν νεφελῶν εἶδος. V.

338. [εἶτ' ἀντ' αὐτῶν : Τουτέστιν, ἀντὶ τούτων, ὧν ἐποίουν εἰς τὰς νεφέλας. διὰ τοῦτο ἦσθιον τοὺς κεστρέας καὶ τὰ ὀρνίθεια κρέα.]

(339). κεστρᾶν τεμάχη : [Ἰστέον, ὅτι οὐχ οἱ αὐτοὶ τοῖς κεστρεῦσιν ἰχθύσιν αἱ κεστρέαι. ἄλλοι μὲν γὰρ τὰς μυραίνας ἀξιοῦσι καλεῖν· οἱ δὲ, ἄλλο τι διάφορον ἰχθύων γένος. νῦν μέντοι] κεστρεῖς καλοῦμεν τοὺς κεφάλους.

τεμάχη μεγάλαν ἀγαθᾶν : [Τουτέστι τιμίων καὶ λαμπρῶν. ἐπὶ ἰχθύων τὸ τέμαχος καὶ ἐπὶ πλακοῦντος, ἐπὶ δὲ κρεῶν οὐκέτι.] ἐδώρισε δὲ μιμούμενος τοὺς διθυράμβους. τὸ δὲ ὅλον τείνει πρός τε τοὺς παρὰ τοῖς χορηγοῖς ἑστιωμένους καὶ πρὸς τοὺς ἐν πρυτανείῳ ἀεὶ δειπνοῦντας.

κρέα τ' ὀρνίθεια : Καταχρηστικῶς ἐπὶ ὀρνέων κρέα εἶπεν. τούτων δὲ μέμνηται τῶν ᾠκειωμένων νεφέλαις ὑδάτων καὶ ὀρνέων. ταῦτα δέ φησιν, ἐπεὶ ἐν πρυτανείῳ τινὲς αὐτῶν ἐσιτοῦντο καὶ τῶν χρησμολόγων καὶ τῶν μάντεων. βέλτιον μέντοι ὑφ' ἓν ἀναγινώσκειν, κρέατ' ὀρνίθεια, ἵνα ὁ ποιητὴς μνημονεύῃ τῶν ταῖς Νεφέλαις προσῳκειωμένων, τῶν τε ἐνύγρων καὶ τῶν πτηνῶν.

340. [Διὰ μέντοι τάσδ' οὐχὶ δικαίως : Οὐ δικαίως, φησὶν, ἠξιοῦντο τῆς τιμῆς καὶ τῶν δείπνων, διὰ ταῦτα τὰ εἰς τὰς Νεφέλας ὑπ' αὐτῶν γραφόμενα. οὐδὲν γὰρ ἀξιόλογον ἐποίουν.]

341. εἴξασι : Ὡμοιώθησαν. *Br.* ἐοίκασι. R. ἐοίκασι, ὡμοίωνται, ἐκ τοῦ εἴκω. V.

342. φέρε ποῖαι γάρ τινες : Δείκνυσιν ἐνταῦθα ὁ Σωκράτης, ὡς ἐν ὅσῳ τις βλέπει τὰς Νεφέλας, τοῦτο τὸ σχῆμα ἐχούσας, μεταστραφεὶς ἀλλοίας ὁρᾷ. Junt. ἐκεῖναι : Αἱ Νεφέλαι. *R. V.*

(344). αὗται δὲ ῥῖνας ἔχουσαι : Εἰσεληλύθασι γὰρ οἱ τοῦ χοροῦ προσωπεῖα περικείμενοι μεγάλας ἔχοντα ῥῖνας καὶ ἄλλως γελοῖα καὶ ἀσχήμονα. διόπερ φησὶν εἰκότως αὐτὰς μὴ ἑωρακέναι, διὰ τὸ μὴ νεφελῶν ἀλλὰ γυναικῶν ὄψεις ἔχειν· ὃ τὴν ἀγνωσίαν αὐτῷ παρεῖχε. δῆλον οὖν ὅτι ὁπόσα ἐν τοῖς ἄνω λέλεκται χορικὰ, οὐκ ἐπὶ τῆς σκηνῆς ὄντος τοῦ χοροῦ εἴρηται, ἀλλ' ἔξω ἑστῶτος καὶ κρυπτομένου ἡ φωνὴ μόνη τοῖς ἔνδον ἐξηκούετο. οὐ γὰρ ἠδύναντο ἐντὸς εἶναι τῆς σκηνῆς αἱ μὴ καταπτᾶσαι μηδέπω. [προειρήκαμεν δὲ τῶν Νεφελῶν εἶναι.]

345. ἀπόκριναι : Ἐμοὶ δή. *Vict.*

(346). Κενταύρῳ ὁμοίαν : Τὸ συμβαῖνον γίνεσθαι περὶ τὰς νεφέλας διηγεῖται. πολλάκις γάρ εἰσι νέφη παρομοιούμενα ζῴοις, ἢ φυτοῖς, ἢ ἀνθρωποειδῆ γιγνόμενα, ἢ ἄλλην τινὰ τοιαύτης ὄψεως ἀποπέμποντα εἰκόνα. φησὶν οὖν, οὐ χρή σε θαυμάζειν, εἰ αἱ Νεφέλαι γυναικῶν ἔχουσι μορφάς· καὶ γὰρ ἐν τῷ οὐρανῷ πολλὰς ἔχουσιν εἰκόνας. τούτων δὲ ἐμνημόνευσεν ἐκείνων ἕνεκα μόνον, δι' ὧν λοιδορῆσαί τινας τῶν πολιτευομένων βούλεται.

348. [κομήτην : Κλεῖτον λέγει, ὃς ἦν ἐπὶ κόμῃ σκωπτόμενος.] — ἀγρίους (καὶ κολλοποδιώκτας) ἐκάλουν τοὺς παιδεραστάς. Ἱερώνυμον λέγει τὸν διθυραμβοποιὸν, ὃς Ξενοφάντου μὲν ἦν παῖς, περὶ παῖδας δὲ ἄγαν ἐπτόητο, λάσιον δὲ εἶχε τὸ σῶμα. ἐπεὶ οὖν καὶ οἱ Ἱπποκένταυροι λάσιον εἶχον τοῦ σώματος τὸ τῶν ἵππων μέρος, [ὥστε καὶ ὁ πρὸς τοὺς Λαπίθας πόλεμος δι' ἀκρασίαν ἔρωτος αὐτοῖς συνέστη, εὐλόγως τῶν ἐρωμανῶν τινα θεωμένας ἐξομοιοῦν αὐτὰς τῇ τῶν Κενταύρων ἰδέᾳ τὰς Νεφέλας παρήγαγεν. — τὸν Ξενοφάντου : Υἱὸν, Ἱερώνυμον λέγει. *Vict.* Ἱερομνήμων ἦν υἱὸς τοῦ Ξενοφάντου, διθυραμβοποιὸς ποιητής. ἦσαν δέ τινες ἄγαν ἐπτοημένοι πρὸς αὐτὸν, αἰσχρῷ ἔρωτι. LB.]

351. τί δ' ἦν ἅρπαγα : [Οὗτος κεκωμῴδηται παρὰ Ἀριστοφάνει ὡς χρεωφειλέτης. τίνι, φησὶν, αἱ Νεφέλαι ἑαυτὰς ἂν εἰκάσειαν, ἐὰν ἀφομοιώσασθαι θελήσωσιν ἑαυτὰς Σίμωνι, διαρπάζοντι καὶ νοσφιζομένῳ τὰ κοινά;] σοφιστὴς ὁ Σίμων ἦν καὶ τῶν ἐν πολιτείᾳ διαπρεπόντων τότε· καὶ πάντως ὅτι τῶν δημοσίων τι ἐνοσφίσατο χρημάτων. μνημονεύει δὲ αὐτοῦ καὶ Εὔπολις ἐν Πόλεσι, διαβάλλων αὐτὸν ἐπὶ τοῖς αὐτοῖς ἐγκλήμασιν (οὕτως,

ἐξ Ἡρακλείας ἀργύριον ὑφείλετο.

κωμῳδεῖται δὲ νῦν, ἵν' ἢ παύσηται ἁρπάζων, ἢ ἀκούσαντες οἱ Ἀθηναῖοι εἰς εὐθύνας ἀγάγωσιν ὧν κατεδήδοκε.)

[353]. Κλεώνυμον : Τὸν Κλεώνυμον τοῦτον ὡς δειλὸν καὶ ἐπὶ τῆς παρατάξεως ῥίψαντα τὴν ἀσπίδα οἵ τε ἄλλοι κωμῳδοὶ διαβάλλουσι (καὶ ἐν τοῖς Σφηξὶν αὐτός. ὡς δειλὸς δὲ ἐν πολλοῖς κωμῳδεῖται). τὸ δὲ ἐχθὲς προσέθηκεν ὡς ὑπόγυιον τοῦ Κλεωνύμου ῥιψάσπιδος γεγενημένου, τῷ καιρῷ χρώμενος εἰς αἰσχύνην τοῦ δεδρακότος. μείζονα γὰρ τὰ ὑπόγυια πταίσματα τὴν συμφορὰν ἔχει.

354. δειλότατον : Δειλότατον γὰρ τὸ τῶν ἐλάφων γένος. καὶ Ὅμηρος [Il. A, 225] « κραδίην δ' ἐλάφοιο. » R. V.

355. καὶ νῦν ὅτι Κλεισθένη : Καὶ νῦν διὰ τὸν Κλει-

σθένην γυναῖκες ἐγένοντο. οὗτος δὲ ἐπὶ κιναιδίᾳ διαβάλλεται. τοῦτον δὲ ὡς γυναικιζόμενον οὐκ Ἀριστοφάνης διαβάλλει μόνον, ἀλλὰ καὶ Κρατῖνος ἐν Πυτίνῃ, λέγων οὕτως,

ληρεῖς ἔχων· γελοῖος ἔσται Κλεισθένης κυβεύων
ἐν τῇδε τῇ κάλλους ἀκμῇ· γράφ' αὐτὸν ἐν σποδείῳ.

τοῦτον ἰδοῦσαι, φησίν, αἱ Νεφέλαι, εἰς γυναῖκας μετεμόρφωσαν ἑαυτάς.

358. χαῖρ' ὦ πρεσβῦτα : Ἐξήγησις τοῦ πρεσβύτα τὸ παλαιγενές. νῦν δὲ οὐχ ὡς σεμνόν τινα προσηγόρευσαν αὐτὸν διὰ τὸν χρόνον, ἀλλ' ὡς ἀνόητον. τοὺς γὰρ εὐήθεις ἀρχαίους καὶ παλαιοὺς ἔλεγον. — παλαιγενὲς : Οὐκ ἐπὶ σεμνῆς προσηγορίας τοῦτο παρείληφεν, ἀλλ' ἀνόητον δεῖξαι βουλόμενος. τοὺς γὰρ εὐήθεις καὶ ἀνοήτους ἀρχαίους καὶ παλαιοὺς ἐκάλουν. LB.

θηρατὰ : [Ἀντὶ τοῦ ἰχνευτὰ λόγων, ἢ ζηλωτὰ, ἢ μετιὼν λόγους.] ἐπιθυμητὰ συνετῶν λόγων. R.V.

359. [ὅ τι χρῄζεις : Ὅ τι βούλοιο. Σωκράτει δὲ λέγουσι. τὸ δὲ λεπτοτάτων λήρων ἀντὶ τοῦ συνετωτάτων, καὶ δυσπαρακολουθήτων λόγων.]

361. πλὴν ἢ Προδίκῳ : [Οὕτως ἡ ἀκολουθία εἶχε τοῦ λόγου, πλὴν ἢ Προδίκῳ καὶ σοί. ὁ δὲ ἄλλως τὸν λόγον ἐσχημάτισε, τὸ μὲν σοί κατ' ἀρχὰς οὐκ εἰπών, ἔπειτα δὲ ἐπενεγκών. μέμνηται δὲ νῦν τοῦ Προδίκου διασύρων ὅτι μεγίστην δόξαν εἶχε περὶ αὐτοῦ, ὡς ὑπὲρ πάντας ὢν τῇ σοφίᾳ.] (σοφιστὴς δὲ ἦν ὁ Πρόδικος, Κεῖος τὸ γένος. ἤκμασε δὲ κατὰ τοὺς χρόνους Σωκράτους. πρῶτος δὲ οὗτος τὴν πεντηκοντόδραχμον ἐπίδειξιν ἐποιήσατο. μνημονεύει δ' αὐτοῦ καὶ Πλάτων ἐν τῷ Πρωταγόρᾳ καὶ Ξενοφῶν ἐν τοῖς Ἀπομνημονεύμασιν [2, 1, 21], οὐ μὴν ἀλλὰ καὶ Ἀριστοφάνης ἐν Ταγηνισταῖς οὕτως,

τὸν ἄνδρα τόνδ' ἢ βιβλίον διέφθορεν,
ἢ Πρόδικος, ἢ τῶν ἀδολεσχῶν εἷς γέ τις.

διαβαλλει δὲ αὐτὸν καὶ ἐν Ὄρνισιν [693] οὕτω,

παρ' ἐμοῦ Προδίκῳ κλάειν εἰπητε τὸ λοιπόν.

διδάσκαλος δὲ ἦν οὗτος καὶ Θηραμένους τοῦ ἐπικαλουμένου κοθόρνου, ὃς τῆς τῶν τριάκοντα τυραννίδος μετέσχε. κόθορνος δὲ ἐκαλεῖτο οὗτος, ἐπεὶ καὶ τοῖς τριάκοντα συνέσπευδε καὶ τῷ πλήθει. καὶ γὰρ ὁ κόθορνος τὸ ὑπόδημα ἀμφοτέροις ἁρμόζει τοῖς ποσί. φέρεται δὲ καὶ Προδίκου βιβλίον ἐπιγραφόμενον Ὧραι, ἐν ᾧ πεποίηκε τὸν Ἡρακλέα τῇ ἀρετῇ καὶ τῇ κακίᾳ συντυγχάνοντα, καὶ καλούσης ἑκατέρας ἐπὶ τὰ ἤθη τὰ αὐτῆς, προσκλῖναι τῇ ἀρετῇ τὸν Ἡρακλέα καὶ τοὺς ἐκείνης ἱδρῶτας προκρῖναι τῶν προσκαίρων τῆς κακίας ἡδονῶν. Ἄλλως.) ἐπὶ καθαιρέσει Σωκράτους τὸν Πρόδικον μέγαν ἀποφαίνει διαφόρως. οὗτος δὲ σοφιστὴς ἦν μετεωρολόγος. — πλὴν ἢ : Εἰ μή. γνώμης : Συνέσεως. *Vict.*

362. βρενθύει : Ἀποσεμνύνεις σεαυτὸν τῷ σχήματι καὶ ταυρηδὸν ὁρᾷς. Ἄλλως. σεμνύνῃ καὶ μέγα φρονεῖς. (οἱ γὰρ ἐπιδεδωκότες ἑαυτοῖς σοβαρῶς πεφύκασι βαδίζειν. ὡς τοῦ μὲν Προδίκου ὄντος σοφοῦ, τοῦ δὲ Σωκράτους κενὴν μόνον ἐπὶ σοφίᾳ δόξαν καρπουμένου.) —βρενθύει : Κομπάζεις καὶ ὑπεροπτικῶς βαίνεις. Θ.

καὶ τὼ ᾽φθαλμὼ : Σεμνὴν τὴν ὄψιν ἔχεις. εἰσὶ γὰρ ἀνθρώπων (τινὲς τοιοῦτοι) σεμνοὶ μὲν φανῆναι, οὐ κατὰ τὴν ὄψιν δὲ ἔχοντες καὶ τὰ ἐπιτηδεύματα. [οὕτω δὲ ἐβάδιζε Σωκράτης. καὶ Πλάτων [Phædon. p. 117, B] περὶ αὐτοῦ « ταυρηδὸν ὑποβλέψας, ὥσπερ εἰώθει. » — ἰδιόν ἐστι τῶν ἀλαζόνων τὸ μὴ ἔχειν ἀεὶ τὸ βλέμμα ἐπὶ ταυτοῦ, ἀλλ' ἄνω καὶ κάτω κινεῖν, καὶ νῦν μὲν ἐνταῦθα, νῦν δ' ἄλλοσε μεταφέρειν. E. Vict.]

365. φλύαρος : ἀντὶ τοῦ φληναφος καὶ λῆρος. R.

367. μὴ φλυάρει. R.

371. καί τοι χρῆν : Ἀντὶ τοῦ, καί τοι ἐχρῆν. Junt.

καίτοι ᾽χρῆν αἰθρίας οὔσης : Εἰ τὸ βρέχειν ἦν, φησίν, ἐν τῇ τοῦ Διὸς ἐξουσίᾳ, καὶ μὴ τῶν Νεφελῶν τοῦτο ἦν ἔργον, ἐχρῆν αὐτὸν καθ' ἑαυτὸν ἄνευ Νεφελῶν ὗειν. — αἰθρίαν δὲ ἐν ἐκτάσει καὶ ἐν τοῖς ἔμπροσθεν παρετηροῦμεν. *R.* [Ἄλλως. δοκεῖ τῆς κατὰ Μύσκελλον ἱστορίας ἔχεσθαι τὸ λεχθέν. Μυσκέλλῳ γάρ φασι χρησμὸν δοθῆναι, κτίζειν πόλιν ὅπου ἂν αὐτὸν ἐξ αἰθρίας ὑετὸς λάβῃ· ὁ δὲ ᾠετο οὐκ ἄν ποτε ὑπ' αὐτοῦ κτισθήσεσθαι πόλιν, διὰ τὸ ἀδύνατον τοῦ χρησμοῦ. παραγεγενημένου δ' αὐτοῦ περὶ τὴν Ἰταλίαν, καὶ ἀμηχανοῦντος περὶ τὴν κτίσιν, παρακαθίσασαν τὴν παλλακίδα δακρύειν ἐπ' αὐτῷ ὀδυρομένην, καὶ τέλος εἰληφέναι τὸ χρηστήριον. διὸ καὶ εὐθὺς ἔκτισε τὴν πόλιν. — καίτοι χρῆν αἰθρίας οὔσης : Εἰ τὸ ὗειν, φησίν, ἔργον ἦν τοῦ Διός, ἐδει αὐτὸν ὗειν, μηδαμῶς τῶν νεφελῶν φαινομένων. ἴσως δὲ δοκεῖ τὸ λεχθὲν ἔχεσθαι τῆς κατὰ Μύσκελον ἱστορίας. ὁ Μύσκελος γὰρ χρησμὸν δεξάμενος, κτίσαι πόλιν ὅπου ἂν αὐτὸν ὑετὸς καταλάβοι αἰθρίας οὔσης, ᾠετο μηδέποτε ἂν κτισθῆναι ὑπ' αὐτοῦ πόλιν, διὰ τὸ ἀδύνατον τοῦ χρησμοῦ. παραγενόμενος δὲ περὶ τὴν Ἰταλίαν καὶ μηχανώμενος περὶ τὴν κτίσιν τῆς πόλεως, παρακαθίσασαν τὴν παλλακίδα ἰδὼν δακρύουσαν καὶ ὀδυρομένην, καὶ τέλος ὑπολαβὼν τὸν χρησμὸν εἰληφέναι, ἔκτισε τὴν πόλιν. Harl. 5.] ἀποδημεῖν : Ἀντὶ τοῦ μὴ παρεῖναι. R. V.

372. προσέφυσας : προσήρμοσας. R. V. ἥρμοσας.

374. τετρεμαίνειν : Τρέμειν, κατὰ ἀναδιπλασιασμόν. (ἀντὶ τοῦ φρίττειν καὶ δεδιέναι. τὸ γὰρ τρέμειν καὶ πάλλεσθαι τὸ σῶμα τῶν ἄγαν εὐλαβουμένων.)

375. ὦ πάντα σὺ τολμῶν : Ἀντὶ τοῦ ὦ θρασύτατε καὶ τολμηρέ. R. ὦ θρασύτατε. V.

377. κρημνάμεναι : Ἀντὶ τοῦ κρεμάμεναι ἀπὸ τοῦ ἀέρος. ἢ ἐπικρεμάμεναι ἀλλήλαις [καὶ ἐπιβαρούμεναι· περισσὸν δὲ τὸ εἶτα.]

378. παταγοῦσιν : Ἠχοῦσιν. (Ὅμηρος [Il. N, 283] πάταγος δὲ διὰ στόμα γίνετ' ὀδόντων.)

380. αἰθέριος δῖνος : [Καὶ τοῦτο ἐθρυλεῖτο παρὰ τοῖς

φυσικοῖς.] ἡ περιδίνησις ἡ αἰθερία. (ταῦτα δὲ ἐκ τῶν Ἀναξαγορικῶν λαμβάνει.)

380. Δῖνος νυνὶ βασιλεύων : Ἐγγύθεν ἔλαβεν ἀπὸ τοῦ Διὸς τὸ ὄνομα. [ὥσπερ εἰ ἔλεγε, μὴ βασιλεύειν τὸν Δία, ἀλλὰ Δῖνον. οὐχ ὅτι τὴν δίνησιν ὑποβάλλει, ἐκ τούτου Δῖνος εἶπεν, ἀλλὰ κεραμεοῦν ἐστι βαθὺ ποτήριον, ὃ καλεῖται δῖνος, ὅπερ ἄνω εὐρύτερον ὄν, κάτω εἰς ὀξὺ λήγει. τὸ γὰρ γελοῖον ἐκ τούτου εἰς τὴν τοῦ Δῖνος παρείληφε διάνοιαν. — δῖνος : Δῖνος κυρίως ὁ τόρνος, ἐνταῦθα δὲ ἡ τοῦ οὐρανοῦ κίνησις, ἀφ' οὗ δίνη ἡ συστροφὴ, καὶ δινεῖν τὸ συστρέφειν. ὁ μὲν οὖν Σωκράτης δῖνον εἶπε τὴν τοῦ οὐρανοῦ ἢ τοῦ ἀέρος συστροφὴν καὶ κίνησιν καὶ περιφοράν· ὁ δὲ Στρεψιάδης ποτήριόν τι ἐνόησε κεραμοῦν, δῖνον καὶ τοῦτο καλούμενον παρ' Ἀττικοῖς, τὸ λεγόμενον καυκίον. Vict.]

383. τὸ φημί πρὸς τὰς νεφέλας. R.V.

385. ἄγε ἢ λέγε. τίνι. ἀπὸ αὐτοῦ σου. R. ἀπὸ σοῦ ἐγώ σε. V. [ἀπὸ σαυτοῦ 'γώ σε διδάξω : Εἰς τὸ σαυτοῦ τελείαν στικτέον, ἐπεὶ σύνθετόν ἐστι καὶ ἀμετάβατον γίνεται ὑφ' ἓν λέγουσι.]

386. ζωμοῦ Παναθηναίοις : [Ἐν τοῖς Παναθηναίοις αἱ Ἀττικαὶ τοῖς Ἀθηναίοις πόλεις ἔπεμπον βοῦς. ὅθεν ἡ δαψίλεια τῶν κρεῶν. Ἄλλως.] ἤδη ποτ' ἐν Παναθηναίοις ἐκόρεσας ζωμοῦ τὴν γαστέρα σου. τὰ δὲ Παναθήναια ἑορτὴν παρ' Ἀθηναίοις μεγίστην εἶναι προειρήκαμεν. ἐπεὶ οὖν ἐν τοῖς Παναθηναίοις πᾶσαι αἱ ὑπὸ τῶν Ἀθηναίων ἀποικισθεῖσαι πόλεις βοῦν τυθησόμενον ἔπεμπον, συνέβαινεν ἀδειαν εἶναι τῶν κρεῶν, ὥστε πληροῦσθαι πάντας καὶ παρὰ τὸ δέον ἐσθίοντας διὰ τὴν ἀφθονίαν τῶν κρεῶν. [... βοῦν τεθυσόμενον ἔπεμπον, συνέβαινεν ἀφθονίαν εἶναι κρεῶν, ὥστε κορέννυσθαι πληρουμένους τοὺς βουλομένους κρεάτων τε καὶ ζωμῶν. LB.]

Παναθηναίοις : Τὰ Παναθήναια ἑορτὴ τῶν Ἀθηνῶν ἦν, πασῶν τῶν ἐν Ἀθήναις τελουμένων ἑορτῶν ἡ μεγίστη, ἐν ᾗ ζῴων πολλῶν σφαττομένων, ὡς πασῶν τῶν ἀποικισθεισῶν ἀπ' Ἀθηνῶν πόλεων πεμπούσης ἑκάστης ἀνὰ ἕνα βοῦν εἰς τὴν θυσίαν καὶ ἕτερα ἱερεῖα, οἱ μὲν τῆς καλλίονος μοίρας ἄνθρωποι τὰ κρέατα ἔσθιον, οἱ πένητες δὲ τοὺς ζωμοὺς σὺν τμήματι ἄρτου βραχυτάτῳ. Victor.

[εἶτ' ἐταράχθης : Εἶτα συνέβη κινηθῆναι καὶ διαταραχθῆναι τὴν γαστέρα.]

387. [καὶ κλόνος ἐξαίφνης : Καὶ στρόφος τις καὶ εἴλιγξ αὐτῇ συνέπεσε. διεκορκορύγησε δὲ, ἀντὶ τοῦ ἤχησε.] κορκορυγεῖν λέγουσι τὸ λαλεῖν τὴν γαστέρα. (ἐμιμήσατο δὲ τῇ φωνῇ τῶν ἐντέρων τὸν ἦχον.)

391. ἐκ τοῦ κατ' ὀλίγον φησί. *R.*

392. ἀπὸ γαστριδίου τυνουτουί : Ἀντὶ τοῦ μικροῦ. συναγαγὼν δὲ τοὺς δακτύλους φησὶ τοῦτο. R. [ποσόν. συναγαγὼν δὲ τοὺς δακτύλους ἐρεῖ. τύννον γὰρ τὸ μικρόν.] ὅτε ἔλαβεν ὁμολογοῦντα τὸν πρεσβύτην, τότε προσάγειν αὐτὸν ἐπεχείρει τῇ συγκρίσει· καί φησι, θαυμάζεις, εἰ βροντῶσιν αἱ Νεφέλαι πάντα κατέχουσαι τὸν οὐρανὸν, ὅτε ἀπὸ μικρᾶς οὔσης τῆς κοιλίας σου τοσοῦτος ἦχος τῶν πορδῶν γίνεται;

394. τὼ 'νόματ' ἀλλήλοιν : Δυϊκῶς ἔκλινεν. φησὶ δὲ ὅτι διὰ τοῦτο καὶ τὰ ὀνόματά εἰσιν ἀλλήλοις παρεμφερῆ καὶ ὅμοια τῆς βροντῆς καὶ τῆς πορδῆς. [ἔπαιξε δὲ παρὰ τὸ ὁμοιοκατάληκτον.]

396. καὶ καταφρύγει : [Λέγεται γὰρ ὅτι πολλάκις ὁ κεραυνὸς ἁψάμενος οὐκ ἀναιρεῖ, ἀλλὰ περιφλέγει μόνον. Ἄλλως. καταφρύγει, καταίθει. περιφλύει δὲ, περικαίει ἐπιπολῆς. τὸ δὲ ζῶντας, τινὲς ἀντὶ τοῦ πλουσίους ἤκουσαν.] οὓς μὲν κατακαίει, οὓς δὲ ζῶντας περιφλέγει (πυρὶ φλέγει *V.*) R. V. κατακαίει. τοὺς ζῶντας, τοὺς πλουσίους. περιφλύει, ἐξ ἐπιπολῆς καίει. *Br.* τοὺς δὲ ζῶντας περιφλέγει : Ἤγουν τοὺς μὴ ἀποθανόντας μετρίως καίει. *LB.*

397. ἀφίησιν, ἀποπέμπει. R.

397. Κρονίων ὄζων : Ἀρχαῖε καὶ εὐηθείας πνέων. ἔστι δὲ Κρόνια παρὰ τοῖς Ἕλλησιν ἑορτή. ἤγετο δὲ ἑκατομβαιῶνι μηνί. καὶ Κρονίους τοὺς λήρους ἐκάλουν.

βεκκεσέληνε : Ἤτοι ἀπόπληκτε καὶ σεληνόπληκτε καὶ σαλέ. R. (οἷον σεληνόβλητε, ἀπόπληκτε. Ψαμμήτιχος Αἰγύπτου βασιλεύσας ἠθέλησεν ἐπιγνῶναι τίνες πάντων ἀνθρώπων πρεσβύτατοι καὶ πρῶτοι γένοιντο. ὡς δὲ πάντα πολυπραγμονῶν οὐχ οἷός τε ἦν ἀνευρεῖν τὸ ἀκριβὲς διὰ τὸ πολλοὺς περὶ τούτου φιλονεικεῖν, μηχανᾶταί τι τοιοῦτον. λαβὼν ἀρτίτοκα δύο παιδία εἰς οἴκημα κατέκλεισεν ἀνακεχωρηκὸς παντάπασι. καὶ οἱ μὲν λέγουσιν ὡς αἶγας ὑπέπεμπεν αὐτοῖς, ἃς θηλάζοντα ἐτρέφετο τὰ παιδία, οἱ δὲ ὡς τροφοὺς παρέστησε τὰς γλώττας αὐτῶν ἐκτεμών, ὥστε τῆς φωνῆς αὐτῶν μὴ ἀκούειν τὰ παιδία. ταῦτα δὲ ὁ Ψαμμήτιχος ἐποίει βουλόμενος εἰδέναι τίνα ποτὲ τὰ παιδία πρώτην προήσουσι τὴν φωνὴν, ἀπαλλαγέντα τῶν ἀσήμων κνυζημάτων. ὡς οὖν τριετὴς αὐτοῖς διεγεγόνει χρόνος τῆς τοιαύτης τροφῆς, εἰσέπεμψεν εἰς τὸν οἶκον τινὰ τῶν φίλων ἐντειλάμενος σιωπῇ παρελθεῖν. τοῦ δὲ ἀνεῳξαντος τὰς θύρας, ὀρέγοντα τὰς χεῖρας τὰ παιδία βέκκος ἐλάλουν. Φρύγας δέ φασι τὸν ἄρτον οὕτως καλεῖν, καὶ οὕτως μὲν Ψαμμήτιχον εὑρεῖν καὶ πιστεῦσαι πρώτους γεγονέναι Φρύγας. ἐνταῦθα δὲ ἡ λέξις σημαίνει τὸ ἀρχαῖε καὶ ἀνόητε. *V.*) [Ἄλλως. ἀντὶ τοῦ, ἀρχαῖε καὶ μωρέ. τοὺς γὰρ μωροὺς ἀρχαίους ἐκάλουν ἀπὸ τῆς ἱστορίας, τοὺς Ἀρκάδας κατὰ τοὺς πρὸ σελήνης χρόνους ἐν ταῖς ἐρήμοις διάγειν, ἢ ὑπὸ ταῖς ὕλαις ἐκ τῶν ἀποπιπτόντων καρπῶν διαζῆν. φιλονεικησάντων δέ ποτε Ἀρκάδων καὶ τῶν Φρυγῶν καὶ Περσῶν περὶ τῆς ἀρχαιότητος, καὶ εἰς κρίσιν ἐλθόντων, Ψαμμήτιχος ὁ βασιλεὺς Αἰγύπτου λαβὼν δύο ἀρτίτοκα παιδία, ἕν τινι ἀπέκλεισε τόπῳ, καὶ αἶγα ἐποίησε ταῦτα θηλάζειν. ἄλλοι δέ φασιν οὐκ αἶγας, ἀλλὰ τὰς ἑαυτῶν μητέρας, ἐκτετμημένας τὰς αὐτῶν γλώττας, ἵνα μὴ δύνωνται διδάσκεσθαι, ὁμιλουσῶν ἀλλήλαις, τὰ παιδία. ἔπειτα μετὰ τριετῆ χρόνον ἐκέλευσε σιωπῶντα ἄνδρα εἰσελθεῖν πρὸς αὐτά. εἰσελθόντος δὲ αὐτοῦ προσεπήδησαν τὰ

παιδία, λέγοντα βέκ. ἔστι δὲ τοῦτο Φρυγιστὶ ἄρτος. ἐκ τούτου Φρύγες ἐφάνησαν ἀρχαιότεροι. ἀπὸ ἱστορίας οὖν εἴρηται ἡ λέξις. ἔστι δὲ παρ' Ἡροδότῳ, ἔνθα περὶ Ψαμμητίχου φησί. δέον δὲ εἰπεῖν προσέληνε, τὸ βὲκ παρέπλεξεν, ὅπερ ἐστὶ κατὰ Φρύγας ἄρτος. οἷον σεληνόβλητε καὶ ἀπόπληκτε.]

400. σφόδρα γ' εἶσ' ἐπίορκοι : Οὗτοι καὶ ὡς ἐπίορκοι καὶ ὡς εἰς ἀλλήλους κακοὶ κωμῳδοῦνται.

401. Σούνιον. τόπος τῆς Ἀττικῆς, ἀκρωτήριον ὂν τῆς Ἀτταλίδος φυλῆς. R.

402. τὰς ὀρῦς γε τὰς μεγάλας : [Ἐπειδὴ τοῖς ὑψηλοῖς καὶ τοῖς δένδροις ἐμπίπτει ὁ κεραυνός.] σημειωτέον δὲ, ὅτι Πελοποννήσιοι ἀρσενικῶς λέγουσι τοὺς ὀρῦς.

403. οὐκ οἶδ', ἀτὰρ : Ἐστενοχωρήθη ὑπὸ τῶν τοῦ Σωκράτους λόγων.

404. ξηρὸς : Εὔδιος καὶ θερμὸς καὶ μὴ ἔχων ὑγρασίαν [φησὶ δὲ, ὅτι ἄνεμος ἐμπεσὼν ταῖς Νεφέλαις, καὶ ὑπό τινος ἀνάγκης ἐλαυνόμενος, σφοδρότερον πνεύσας καὶ διαρρήξας ἀπορρήγνυσιν ἐξ αὐτῶν τὸν κεραυνόν. κατακλεισθῇ δὲ ἀντὶ τοῦ στενοχωρηθῇ,] συσχεθῇ καὶ μεῖζον καὶ σφοδρότερον πνεύσῃ. [ἐντεῦθεν δὲ δῆλον ὡς πυκνότατόν ἐστι τὸ τῶν νεφῶν σῶμα. εἰ γὰρ ἦν ἀραιὸν, διεφορεῖτ' ἂν ὁ ἄνεμος κατ' ὀλίγον.]

405. ὥσπερ κύστιν : Τὴν κοιλίαν φησὶ, τὴν φῦσαν. εἴρηται δὲ φῦσα ἀφ' οὗ πάσχειν πέφυκε. [ῥήξας δὲ, διασκεδάσας, διασκορπίσας.] ὑπ' ἀνάγκης, ὑπὸ βίας στενοχωρούμενος διαρήξας αὐτάς. R.

406. σοβαρὸς : Αὐθάδης, ὑπερήφανος. *Vict.*

407. ῥοίβδου : Ψόφου. ῥύμης : Ὁρμῆς. *Vict.* ὑπὸ τῆς ὁρμῆς. αὐτὸς ἑαυτὸν θερμαίνων καὶ ἐκπυρῶν. R.

408. [Διασίοισιν : Ἑορτὴ Ἀθήνησι Μειλιχίου Διός. ἄγεται δὲ μηνὸς ἀνθεστηριῶνος ἡ' φθίνοντος. Ἀπολλώνιος δὲ ὁ Ἀχαρνεὺς τὰ Διάσια διακρίνει ἀπὸ τῆς τοῦ Μειλιχίου ἑορτῆς, προσαγορεύεσθαι αὐτὰ λέγων, καθάπερ τινές φασιν, ἀπὸ τοῦ διαφυγεῖν αὐτοὺς εὐχαῖς τὰς ἄσας.] (Ἄλλως. ἑορτὴ Διὸς Ἀθήνησι τὰ Διάσια, ἐν ᾗ πανδημεὶ ἔξω τείχους συνόντες ἑορτάζουσιν. ἔστι δὲ τὰ Διάσια τὰ αὐτὰ τοῖς Διιπολίοις.) — ἀτέχνως : Ἀμελῶς, ἀμαθῶς. *Vict.* ἀπείρως, ἀμαθῶς. V. ἀπείρως. Rav.

409. κᾆτ' οὐκ ἔσχων : Οὐκ ἔσχαζον. Ἀττικῶς ἔκλινεν. οὐκ ἐκίνουν, οὐκ ἔσχισα. ποιοῦσι δὲ τοῦτο, ἵνα μὴ διαρραγῇ. (Ἄλλως. οὐκ ἔσχαζον. εἰώθασι δὲ κεντεῖν καὶ σχίζειν, δίοδον παρέχοντες τῷ πνεύματι τῶν ἐγκειμένων, ὥστε μὴ ἀθρόως ἐξελθεῖν βουλόμενον διαρρῆξαι.) [ἔστι δὲ ἀπὸ τοῦ σχάω σχῶ, ἐξ οὗ τὸ σχάζω· ὡς ἀπὸ τοῦ χλοῶ χλοάζω, καὶ γνοῶ γνοάζω. — ξυγγενέσιν : Ἥγουν τοῖς συμπεφυκόσι κοπρίοις. *Vict.* ἔσχων, ἔσχασα. *D.*]

410. ἡ δ' ἄρ' ἐφυσᾶτο : Ἡ δὲ ὠγκοῦτο ἐπαιρομένων τῶν ὄντων εἰς αὐτὴν ἀρτύσεων. διαλακήσασα δὲ, διαρραγεῖσα, λακὶς γὰρ τὸ σχίσμα. — διαλακήσασα : Ἠχήσασα. *LB.*

411. προσετίλησε : Προσερράντισεν. οἰκείως δὲ νῦν τῷ προσετίλησε χρῆται ὡς ἐπὶ κοιλίας.

414. ταλαίπωρον : τὸ τλητικὸν, ἐπίπονον. *R. Vict.*

416. τὸ μὴ ἀντὶ τοῦ οὐ. V. (μήτε ῥιγῶν : Ἐν γὰρ μόνῳ τῷ τρίβωνι διεχείμαζον οἱ φιλόσοφοι, μηδὲν ἐσθίοντες.) — ἀριστᾶν : Εὐωχεῖσθαι, τρυφᾶν. *Vict.*

417. (Τῶν ἀφροδισίων λέγει καὶ τῆς τοιαύτης λαγνείας. τὰ γὰρ ἀνόητα ἀντὶ τοῦ μωρά. μωραίνειν δὲ τὸ ἀφροδισιάζειν. ταῦτα δὲ οὐκ ἐποίει Σωκράτης, ἀλλὰ πίνειν μὲν οἶνόν φασιν αὐτὸν πλεῖστον, νήφειν δὲ καὶ τὰ συνήθη πράττειν.)

ἀνοήτων : τῶν ἀφροδισίων. R. ἀφροδισίων, καὶ πάντων τῶν ἐκ μωρίας γινομένων. *E.*

418. δεξιὸν : Εὐφυῆ. *Vict.*

419. οὐκ αὐτῇ τῇ γλώττῃ πολεμῶν, ἀλλὰ γλώττῃ καθάπερ ὅπλῳ χρώμενος, τοῦτο γὰρ ὅπλον ῥήτορος, καὶ καταπολεμῶν ἐν αὐτῇ τοὺς ἐναντίους. φησὶν οὖν, εἰ δυνήσῃ πάντων ἀπέχεσθαι ὧν εἰρήκαμεν, δυνήσῃ ἀγωνίσασθαι πρὸς τοὺς ἀντιταττομένους R. V. [τῇ γλώττῃ πολεμίζων : Τῇ γλώττῃ πολεμοῦσι τοὺς ἐναντίους οἱ ῥήτορες. ἐκ τούτων δὲ δείκνυσι τῶν τριῶν ὡς οὗτος ἄριστος ἐν ἀνθρώποις, ὃς ἔν τε πράξει καὶ βουλῇ καὶ λόγῳ τοὺς ἄλλους νικᾷ.] τὸ δὲ δυσκολοκοίτου, δυσκόλως κεῖσθαι ἐώσης. τρυσιβίου δὲ, κεκολασμένης καὶ καταπονούσης τὸν βίον. — γλώττῃ πολεμίζων : Διαλεγόμενος. *Vict.*

421. θυμβρεπιδείπνου : Τὰς θύμβρας δυναμένης δειπνεῖν· ἔστι δὲ βοτάνης εἶδος, ἀφ' οὗ δηλοῖ ὅτι λάχανα μόνα τρωγούσης εὐτελῆ. [ἐκ δὲ τοῦ λαχάνου τούτου καλοῦμεν τὸν εὐτελῶς καὶ φειδωλῶς ζῶντα, θυμβρεπίδειπνον. Junt. εὐτελοῦς περὶ τὰς τροφάς. *Br.* θρυμβεπιδείπνου : Θρύμβον δειπνούσης. *LB.* τρυσιβίου : Τρύσις, νόσος, πόνος. *Vict.*]

422. ἐπιχαλκεύειν : Ἀντὶ τοῦ παιδεύεσθαι, οἱονεὶ ἄκμων.

424. [τὸ Χάος τουτὶ : Χάος λέγει τὸν ἀέρα· παρὰ τὸ κεχύσθαι· ἐτίμων δὲ καὶ τὴν γλῶτταν καὶ ᾄσκουν τὴν πολυλογίαν. — γλῶτταν, τὴν στωμυλίαν. *E.*]

425. [οὐδ' ἂν διαλεχθείην : Ἀντὶ τοῦ, οὐδ' ἂν προσείποιμι ἄλλον θεὸν οὐδὲ συντυχών.] R. ἀτεχνῶς : δι' ὅλου. R. παντελῶς διόλου. V.

427. οὐκ ἀτυχήσεις : Ἀντὶ τοῦ οὐκ ἀποτεύξῃ ὧν θέλεις R. — δυστυχῶν R. [δεξιὸς δὲ ἀντὶ τοῦ πεπαιδευμένος.]

428. δεξιὸς : Πεπαιδευμένος. *Vict.*

430. λείπει ποιήσατε. R.

431. ἀπὸ τούτου τοῦ χρόνου. R.

432. γνώμας ἔλεγον τὰς δημηγορίας.

434. ὅσ' ἐμαυτῷ : Χάριν ἐμαυτοῦ. *Br.*

στρεψοδικῆσαι : Ἀντὶ τοῦ ἐκφυγεῖν. καὶ νῦν δὲ χρῆστας τοὺς δανειστάς. R. ἀντὶ τοῦ στρέψαι τὰς δίκας. πρὸς ταύτην δὲ τὴν λέξιν καὶ τὸ ὄνομα τῷ γέροντι πεποίηται Στρεψιάδης. τὸ δὲ τοὺς χρήστας διολισθεῖν, τοὺς δανειστὰς ἐκφυγεῖν. — διὰ στροφῆς καὶ ποικιλίας

λόγων τὸ δίκαιον διαφθεῖραι. *E.* διὰ στροφῶν καὶ ποικιλίων λόγων τὸ δίκαιον διαφθεῖραι. διολισθεῖν : Ἐκφυγεῖν. *Vict.*

436. προπόλοισι δὲ, πρόσφυξι καὶ θεράπουσι. λέγει δὲ τοῖς φιλοσόφοις. [πιέζει δὲ, στενοχωρεῖ, ἀναγκάζει. — προπόλοισιν : Ὑπηρέταις, νεωκόροις. *Vict.*]

438. [τοὺς κοππατίας : Μετὰ τοῦ χαράγματος καὶ τοὺς ἐκκεκοφότας αὐτοῦ τὴν οὐσίαν δηλοῖ.

ὅς μ' ἐπέτριψεν : Ὅς αἴτιός μοι γέγονε πάντων τῶν συμβάντων κακῶν· ἢ δι' ὃν ἐδυστύχησα. — ἐπέτριψεν : Ἠφάνισεν. *Vict.*]

439. [νῦν οὖν χρήσθων : Ἡ ἔκθεσις τῆς διπλῆς κώλων ἐστὶν ὁμοίων ἀναπαιστικῶν ιη'. ὧν τὸ πρῶτον τρίμετρον βραχυκατάληκτον· τὰ δὲ ἑξῆς δίμετρα ἀκαταλήκτα, πλὴν τοῦ δωδεκάτου καὶ ἑπτακαιδεκάτου, ἀναπαιστικῶν βάσεων παρατελεύτων καλουμένων, καὶ τοῦ τελευταίου ἐφθημιμεροῦς ὄντος, καὶ παροιμιακοῦ, ὡς εἴρηται, καλουμένου. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι.]

χρήσθων : Νῦν οὖν χρήσθωσαν. τὴν μὲν προφορὰν ὡς δυϊκὸν ἔχει τοῦ σχηματισμοῦ. πληθυντικῶς δὲ λέλεκται χρήσθωσαν. Ἀττικῶν δὲ ἡ τοιαύτη σύνταξις, ποιούντων ἐκεῖνοι, φρονούντων ἐκεῖνοι ἀντὶ τοῦ ποιείτωσαν καὶ φρονείτωσαν, ὡς καὶ ἐνταῦθα. νῦν γὰρ, φησὶ, τὴν ἐξουσίαν αὐτοῖς ἐπιδίδωμι τοῦ ἐμαυτοῦ σώματος, τοῖς προπόλοις δηλονότι, (ἤγουν τοῖς φιλοσόφοις).

441. κακοῦν, ξηραίνεσθαι καὶ τὸ δέρμα μου εἰς ἀσκὸν ἐκδερματίζειν. ὑπὲρ δὲ τοῦ πιστευθῆναι αὐτὸν ἐμμένειν τοῖς ὑποκειμένοις, προσέθηκε πλέον (ἃ ἐκεῖνοι προσέταξαν, καὶ λέγει καταφρονεῖν ἐκδερομένου τοῦ δέρματος). ὁ γὰρ τὰ μείζω ἐπαγγελλόμενος ὑπομένειν, εὐχερῶς ἂν τὰ ἥττονα ὑπενέγκοι.

442. [ἀσκὸν δέρειν : Ἀντὶ τοῦ τὸ σῶμα ἐκδέρειν, εἰ δέοι καταφρονήσειν ἐκδερομένου τοῦ σώματος. — αὐχμεῖν : Ξηραίνεσθαι, ἀλουτιᾶν. *Vict.*]

445. ἴτης : Ἀντὶ τοῦ ἰταμὸς, σκληρὸς, τολμηρὸς, καὶ δι' αὐτῶν χωρῶν τῶν πράγματων. — ὁρμητικός. *Br.*

446. βδελυρὸς : Καὶ τὸν πόρνον οὕτως ἐκάλουν, ὡς ἐν τῷ κατὰ Τιμάρχου Αἰσχίνης, καὶ τὸν μίσους ἄξιον. καὶ τὸ μισῆσαι βδελύξασθαι. καὶ τὸν ἀνελεύθερον. [τὸ δὲ ψευδῶν συγκολλητὴς ἀντὶ τοῦ ψευδοπλάστης.] — ψευδολόγος. R. V. μιαρός. *Br.* θρασὺς, ἰσχυρός. *Vict.* ξυγκολλητὴς : Συρραφεύς. *Vict.*

447. εὑρησιεπὴς : Ἐφευρετὴς λόγων. *A.* περίτριμμα δικῶν : Τετριμμένος περὶ τὰς δίκας. *Br.*

448. κύρβις : Ὁ περίεργος, ὃν οὐκ ἔστι λαθεῖν· (ἕνεκεν γὰρ μνήμης ἀνέγραφον εἰς τὰς κύρβιας). κύρβις δὲ σανὶς ἔνθα οἱ νόμοι γεγραμμένοι ἦσαν. ἢ οὕτως. ἡδέως ἂν ὑπομείναιμι, ἵνα δόξω τοῖς πολλοῖς λόγων ἔμπειρος εἶναι καὶ νόμους εἰδέναι. R. V. κύρβις : Νόμων πλήρης. *Br.*

(τὸ δὲ κρόταλον ἀντὶ τοῦ εὔγλωττος καὶ εὔστομος ὡς τὰ κρόταλα.) — πολυλόγος. *Br.*

κίναδος, ἀπατητικός. εἴρηται δὲ ἀπὸ μεταφορᾶς τῆς ἀλώπεκος. κοινῶς δὲ θηρίον τὸ κίναδος, οὐχ ὥς τινές φασιν πᾶν ἑρπετόν. R. (τὸ δὲ κίναδος εἶδός τι θηρίου, ὡς καὶ Δημοσθένης ἐν τῷ περὶ στεφάνου [p. 307, 23] « τοῦτο δὲ καὶ φύσει κίναδος τἀνθρώπιόν ἐστιν. » οἱ δὲ πᾶν μὲν θηρίον κίναδος ἀξιοῦσι καλεῖσθαι, ἰδίως δὲ τὴν ἀλώπεκα. κακοῦργος οὖν, φησὶν, ὡς ἀλώπηξ.) [τινὲς δὲ, κίναδος, ζῷον μικρὸν, τὸ αἰδοῖον εἰσωθοῦν καὶ ἐξωθοῦν.] πανοῦργος. *Br.*

τρύμη : Ὁ τετρημένος σφόδρα καὶ πεπερονημένος ἐν τοῖς πράγμασιν, ὃν ἡμεῖς τρύπανόν φαμεν. [τρῦμα δὲ καὶ τρῆμα τὴν ὀπὴν φαμεν.] θέλει δὲ εἰπεῖν εὔτονος ὡς τρύπανον. [τρύμη οὖν τρύπανον, ὡς πάντων περιγενόμενος. ἢ τριὸς καὶ ταλαίπωρος. ἢ τρυμαλιά. — λεπτολόγος. *Br.*]

449. μάσθλης ἰδίως ὁ μεμαλαγμένος λῶρος καὶ ἔκλυτος. μάσθλης οὖν ἐνταῦθα ὁ πολυγνώμων (καὶ μηδὲν βέβαιον μηδὲ σταθερὸν γινώσκων. ἢ ὁ ἱμαντώδης καὶ μαστιγίας, ἀπὸ μεταφορᾶς τοῦ μεμαλαγμένου ἱμάντος, ἢ οὕτως εὔτονος ὡς ἱμάς). λέγει οὖν τὸν ὀλισθηρὸν καὶ διαβατικόν. — μεμαλαγμένος. *Br.*

εἴρων : Ὁ πάντα παίζων καὶ διαχλευάζων, εἰρωνευόμενος, ἀπατεών, ὑποκριτής.

γλοιὸς : (Τὸ αὐτὸ δηλοῖ τῷ μάσθλης. εἴληπται δὲ ἡ μεταφορὰ ἀπὸ τοῦ ἐν τοῖς βαλανείοις ἐλαίου πεπηγότος, ὅπερ τοὺς ἐπιλαμβανομένους διολισθάνειν πέφυκε. τοιοῦτος οὖν καὶ ὁ πρεσβύτης εὔχεται γενέσθαι τοὺς τρόπους, ἵνα ὥσπερ διολισθάνειν καὶ φεύγειν δύνηται τοὺς δανειστάς. καὶ μέχρι δεῦρο τοὺς τῇ γνώμῃ σκάζοντας καὶ μηδὲν σταθερὸν φρονοῦντας, καὶ ἄλλο μὲν ἐπαγγελλομένους, ἄλλο δὲ φρονοῦντας καὶ πράσσοντας, διὰ τὸ τῆς γνώμης ὀλισθηρὸν καὶ ἄπιστον γλοιοὺς καλοῦμεν.) [ἢ γλοιὸς λέγεται ὁ ῥύπος τοῦ ἐλαίου. λέγει οὖν τὸν ῥυπαρὸν τοὺς τρόπους. Ἄλλως. γλοιὸς ἐπὶ τοῦ ῥυπαροῦ καὶ μιαροῦ καὶ μικρολόγου παραλαμβάνεται. καὶ γὰρ ὁ ῥυπαρὸς διὰ τὴν ἄσκησιν σύνεγγύς πώς ἐστι τῷ γλοιῷ. ἐπὶ δὲ τὸ ἦθος μετενεχθὲν τὸν μοχθηρὸν δηλοῖ καὶ ὀλισθηρὸν καὶ εὐμετάβολον.] γλοιὸς, μιαρὸς καὶ ῥυπαρὸς καὶ μικρολόγος. R. γλίσχρος. *Br.*

450. κέντρων : Τουτέστι χαλεπὸς καὶ φρικτὸς, καθὸ καὶ τοὺς ἡνιόχους κεντροτύπους καλοῦμεν, τοὺς τοῖς κέντροις τοὺς ἵππους τύπτοντας. (κέντρων λέγεται καὶ ὁ κλέπτης διὰ τὸ βασανιζομένοις τοῖς κλέπταις καὶ κέντρα προσφέρεσθαι.) [κέντρων δέ ἐστι τὸ ἐπισασσόμενον τοῖς ὄνοις ἐκ πολλῶν καὶ διαφόρων συρραφὲν σακκίων. καὶ ἐπίσαγμα τῶν ὄνων. Ἄλλως. οἱ ἐκ πολλῶν συνηθροισμένοι ἐπὶ τοιαῦτά τινα τοῖς ὑποζυγίοις ριπτούμενα καλοῦνται κέντρωνες. οἱ δὲ τὸν λοίδορον ἀκούουσιν· οἱονεὶ κεντροτύπος, ὁ κεκεντρωμένος καὶ φρικτός. — πλήττων. *Br.*]

στρόφις : Ἀπὸ τοῦ στροφέως ἡ μεταφορά. οἷον εὔστροφος καὶ εὐκίνητος ἐν τοῖς πράγμασι. — στρέφων τὰ πράγματα. ἀργαλέος : Λυπηρός. *Br.* ἀκαταγώνιστος. R.

451. ματιολοιχός : Οἱ μὲν τὸν λίχνον, οἱ δὲ τὸν

μικρολόγον, ἐπεὶ μάτιον τὸ ἐλάχιστον εἰώθασι λέγειν. οἱ δὲ τὸν μάταια βουλευόμενον καὶ λοχῶντα. (οἱ δὲ τὸν χρουσιμέτρην. μάτιον γὰρ εἶδος μέτρου. ὀξύνει δὲ Ἡρωδιανός.) — σμικρολόγος, φειδωλὸς, καὶ οὐ προιέμενός τι τῶν αὐτοῦ. *Br.* ματτιολοιχός : Ἐκ μεταφορᾶς τῶν μασσώντων. *LB.*

453. δρώντων ἀτεχνῶς : ἀκριβῶς. οἱ φιλόσοφοι. R.

455. ἀπ' ἐμοῦ χορδὴν τοῖς φιλοσόφοις παραθέτωσαν. χορδὴ δὲ τὸ λεπτὸν ἔντερον. ὑπερβολὴ δὲ] τὸ τοιοῦτον. R.V.

456. φροντισταῖς : φιλοσόφοις. V. εἰς ἑστίασιν. *Vict.*

(456). λῆμα μὲν πάρεστι : Ἐπέκθεσις τῆς διπλῆς ἀμοιβαία, ἐκ κώλων κ', ὧν τὸ πρῶτον τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ δεύτερον τροχαϊκὸν τρίμετρον καταληκτικόν. τὸ γ' δακτυλικὸν πενθημιμερές. τὸ δ' ἀναπαιστικὸν πενθημιμερές. τὸ πέμπτον τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, ὃ καλεῖται Φερεκράτειον ἀτελές. τὸ ἕκτον ἰαμβικὴ βάσις. τὸ ἕβδομον ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὸ ὄγδοον ὅμοιον. τὸ ἔνατον ἰαμβικὸν πενθημιμερὲς, ὃ προῦχον καλεῖται. τὸ δέκατον ὅμοιον τῷ τρίτῳ. τὸ ἑνδέκατον ὅμοιον τῷ ἕκτῳ. τὸ δωδέκατον τροχαϊκὸν πενθημιμερές. τὸ τρισκαιδέκατον ἀναπαιστικὴ βάσις. τὸ τεσσαρεσκαιδέκατον ὅμοιον τῷ ἑνάτῳ. τὸ πεντεκαιδέκατον δακτυλικὸν ἑφθημιμερὲς, ὃ Ἀλκμάνειον καλεῖται. τὸ ἑκκαιδέκατον ὅμοιον τῷ τετάρτῳ. τὸ ἑπτακαιδέκατον ὅμοιον τῷ τρίτῳ. τὸ ὀκτωκαιδέκατον ὅμοιον τῷ ἑνάτῳ. τὸ ἐννεακαιδέκατον, ὃ παρατέλευτον ὀνομάζεται, δακτυλικὴ βάσις. τὸ εἰκοστὸν ὅμοιον τῷ πεντεκαιδεκάτῳ. — λῆμα : Φρόνημα, ἀξίωμα. *Vict.* ἀντὶ τοῦ φρόνημα. R.

458. ἀλλ' ἕτοιμον : ἀλλὰ τολμηρόν. R.

459. οὐρανόμηκες : Μέγιστον· [παρὰ τὸ [Il. K, 212] « ἐπουράνιον κλέος εἴη. » πάλιν δὲ ὡς φιλόσοφος ἀπὸ τοῦ οὐρανοῦ τὴν λέξιν παρήγαγε, διὰ τὸ διδάσκειν τὰ οὐράνια.]

465. τοῦτο : τὸ εὐδαιμονῆσαι δηλονότι. R. τὸ ζῆσαι βίον τοιοῦτον. *Vict.*

469. [ἀνακοινοῦσθαι : Τὸ ἀνακοινοῦσθαι πρὸς τὸ πράγματα σύναπτε καὶ ἀντιγραφάς. εἰκότως δὲ εἶπε τῇ σῇ φρενὶ, δεικνὺς ἐντεῦθεν, ὡς ἄλλος μὲν ἄν τις οὐδενὸς ἄξια ταῦτα ἐλογίσατο, σὺ δὲ πλείστου ἄξια. Vict.]

(471). πράγματα κἀντιγραφὰς : Οὕτως ἐκάλουν τὰς δίκας διὰ τὰς ἀντιθέσεις καὶ λύσεις τῶν ἐπιφερομένων. [τὸ δὲ ἑξῆς, ἀνακοινοῦσθαι τὰ πράγματα καὶ τὰς ἀντιγραφάς.]

(474.) ἄξια σῇ φρενὶ : Τὰ ἄξια πράγματα σὺν τῇ σῇ φρενὶ βουλευσομένους.

(476). νῦν ὁ Σωκράτης λέγει, μᾶλλον δὲ ὁ χορός· εἰώθει γὰρ μετὰ τὸ ᾆσαι ἐπάγειν δίστιχα· ὡς ἂν ᾄδῃ τὸ ἀλλ' ἐγχείρει. V. [ἀλλ' ἐγχείρει : Ἐν ἐκθέσει δίστιχον ἀναπαιστικὸν τετράμετρον καταληκτικόν. εἰώθασι γὰρ μετὰ τὰς τοιαύτας περιόδους ἐπάγειν δίστιχον. ἐπὶ τῷ τέλει τῆς μὲν ἐπεκθέσεως δύο συνήθως διπλαῖ ἔξω νενευκυῖαι, τῆς δὲ διστιχίας παράγραφος. καλεῖται δὲ ταῦτα πολυσχημάτιστα, διὰ τὸ διάφορα δέχεσθαι μέτρα. τὰ δ' ἐφεξῆς λϑ' ἰαμβικά εἰσιν ἀκατάληκτα τρίμετρα· ὧν τελευταῖον

χώρει, τί κυπτάζεις ἔχων περὶ τὴν θύραν ;

ἐπὶ τῷ τέλει κορωνίς. — ἐγχείρει : Ἀρχὴν ποίει. *Vict.*]

481. τειχομαχεῖν μοι διανοεῖ : πρὸς τὰς μηχανὰς ὑπήντησε. R.V. [ἐντεῦθεν παρίστησι τὴν ἑαυτοῦ διάνοιαν. τὸ γὰρ μηχανὰς οὐχ ὡς ὁ Σωκράτης, οὕτω καὶ αὐτὸς ἐνόησεν, ἀλλ' εἰς τειχομαχικὰ ὄργανα. ἐξεπίτηδες καὶ ὁ ποιητὴς ταύτην τὴν λέξιν ἔθηκεν. Junt. ἐντεῦθεν παρίστησι τὴν ἑαυτοῦ ἄνοιαν· τὸ γὰρ μηχανὰς οὐχ ὡς Σωκράτης εἶπεν, αὐτὸς ἐνόησεν, ἀλλ' εἰς τειχομαχικὰ ὄργανα. ἐξεπίτηδες δὲ ὁ ποιητὴς ταῦτα ποιῶν διλημμάτους τίθησι λέξεις. Vict.]

484. ὀφείλεται : Χρεωστεῖταί μοι δάνεισμα παρ' ἑτέρου. *Br.* κεχρεώστηται. R.

486. ἔχεις ἐπιτηδειότητα ἐν τῷ λέγειν. R.V.

487. [ἀποστερεῖν δ' ἔνι : Πρὸς τὸ ὁμοιοκατάληκτον, καὶ πρὸς τὸ ἑαυτοῦ ὁ γέρων βούλευμα. τοῦτο γὰρ αὐτῷ σπουδάζεται τὸ ἀποστερεῖν τοὺς δανειστάς.]

488. ἀμέλει : Παρέλκει. (Ἀττικὴ δὲ ἡ φράσις. ἀντὶ τοῦ, μὴ ἀθύμει.)

490. [συναρπάσει : Ἀντὶ τοῦ συναρπάσῃ. πρὸς τὸ ὑφαρπάσαι ἔπαιξεν, ἐπειδὴ καὶ οἱ κύνες ἁρπάζοντες ἐσθίουσι.]

496. ἀκαρῆ : ἀντὶ τοῦ ὀλίγον χρόνον. R.V. δικάζομαι : Εἰς δικαστήριον ἀπέρχομαι. *Vict.*

497. ἴϑι νῦν κατάθου : Ἀντὶ τοῦ ἄγε. ὅπερ δὲ ἐπὶ τῶν μυουμένων τὰ μυστήρια, ἀποδῦσαι αὐτὸν τὴν ἐσθῆτα βούλεται. [ὡς μέλλων δὲ ἐκεῖνος τύπτεσθαι, φησὶν, ἠδικκά τι; ὁ δὲ τερατευόμενος ὡς ἐπὶ τῶν μυουμένων, γυμνὸν εἰσάγει αὐτόν.]

[ἴϑι νῦν, κατάθου ϑοιμάτιον : Ἔθος ἦν τοῖς τότε φιλοσόφοις ἐν χιτώνιον μόνον ἐνδεδυμένους καὶ ἡμιγύμνους καθημένους φιλοσοφεῖν. κατὰ τοῦτο οὖν τὸ ἔθος κατάθου, εἶπεν ὁ Σωκράτης τῷ Στρεψιάδῃ, τὸ ἱμάτιον, ἤγουν ἀπόδυσαι. ὁ Στρεψιάδης δὲ ὑπολαβὼν ὅτι ἀποδύσασθαι τοῦτο κελεύει, ἵνα τὸ ἱμάτιον αὐτοῦ ὄπισθεν ἀφέληται, ἢ γυμνωθέντα τούτου ἱμάσι τύψῃ, διὸ καὶ ἠδίκηκά τι, φησὶ, καὶ διὰ τοῦτο βούλει ἀφαιρεῖσθαί μου τὸ ἱμάτιον ; Vict.]

498. νομίζεται : ἀντὶ τοῦ νόμιμόν ἐστιν. R.

499. ἀλλ' οὐχὶ φωράσων : (Ἔθος ἦν τοὺς εἰσιόντας εἰς οἰκίαν τινὸς ἐπὶ τῷ ἐρευνῆσαι γυμνοὺς εἰσιέναι, ἵνα μή τι ὑπὸ τὰ ἱμάτια κρύψαντες λάθωσιν, ἢ ἵνα μὴ ὑπὸ ἔχθρας λάθωσιν ὑποβαλόντες τὸ ζητούμενον καὶ ζημίας αἴτιοι τούτῳ γένωνται.) οἱ γὰρ μέλλοντες εἰσιέναι, ἵνα ἐπιθεάσωνται χρήματα τοῦ δημοσίου γενόμενα, ἢ κατ' ἔρευναν, γυμνοὶ εἰσίασιν, ἵνα μή τι ὑπὸ τὰ ἱμάτια κρύψωσι. — εἰσέρχομαι : Καὶ δεῖμα ἐντεῦθεν γυμνὸν εἰσιέναι, μήπως κρατηθῶ. *Vict.* ὡς μέλλων τύπτεσθαι τοῦτό φησι. R.

504. ἡμιϑνὴς γενήσομαι : Ἐπεὶ ἰσχνὸς καὶ ὠχρὸς

τὴν ἰδέαν ὁ Χαιρεφῶν, ἅτε φιλοσοφίᾳ συντετηκώς· ὅθεν νυκτερὶς ἐκαλεῖτο καὶ πύξινος. [ἰστέον ὅτι ἰσχνὸς καὶ ὠχρὸς τὴν ἰδέαν ὁ Χαιρεφῶν ἦν, ἅτε φιλοσοφίᾳ συζῶν, καὶ ἐκ ταύτης συντετηκὸς ἔχων τὸ σῶμα. διὸ καὶ νυκτερὶς ἐκαλεῖτο, διὰ τὸ ἰσχνόν. Br. ἡμιθνὴς : Ἡμιμαθής. *Cant.* 3. ὤφειλεν εἰπεῖν ἡμιμαθὴς γενήσομαι, ἐπεὶ περὶ μαθήσεως ὁ λόγος. ἀλλ' ἐπειδὴ τὸ μὲν τελείως μαθεῖν ἐστὶ τῷ Στρεψιάδῃ ζωὴ, διὰ τὸ ἐκ τούτων δυνήσεσθαι τοὺς δανειστὰς ἀποχρούσασθαι, τὸ μηδόλως μαθεῖν οἱονεὶ θάνατος, διὰ τὸ μέλλειν ἀποδοῦναι τὰ χρέα· ἀντὶ τοῦ εἰπεῖν ἡμιμαθὴς ἡμιθνὴς εἶπε. Cant. 3.]

506. σπεύσας εἰς φροντιστήριον. R.

(507). μελιτοῦτταν : Πλακοῦντα μέλιτι δεδευμένον. ἕφερον δὲ, ὡς ἐδόκουν, τοῖς ὄφεσιν.

ℶ 508. ὥσπερ ἐς Τροφωνίου : [Ὁ Τροφώνιος ἐγένετο λιθοξόος ἄριστος, ὃς κατεσκεύασεν ἱερὸν ἐν τῇ Λεβαδείᾳ τῆς Βοιωτίας ὑπὸ γῆν, καὶ καλεῖται Τροφωνίου. ἐκεῖ οὖν οἱ μυούμενοι καθέζονται ἐπὶ τοῦ στόματος γυμνοὶ, καὶ ἁρπάζονται ὑπό τινων πνευμάτων, καὶ φέρονται ὑπὸ τὴν γῆν. ἐπειδὴ δὲ ἀπαντῶσι δαίμονες καὶ ὄφεις καὶ ἄλλα τινὰ ἑρπετὰ, βαστάζουσι πλακοῦντά τινα καὶ ῥίπτουσιν ἐπὶ τῷ ἐκφυγεῖν. καὶ μετὰ τὴν μύησιν δι' ἄλλου στόματος ἀναρριπτοῦνται. Ἄλλως.] (οὕτως ὁ Χάραξ ἐν τῷ δ' « Ἀγαμήδης ἄρχων Στυμφήλου τῆς « Ἀρκαδίας ἐγάμει Ἐπικάστην, ἧς παῖς ἦν Τροφώνιος « σκότιος. οὗτοι τοὺς τότε πάντας ὑπερεβάλλοντο εὐ« τεχνίᾳ, τόν τε ἐν Δελφοῖς Ἀπόλλωνος ναὸν ἠργολά« δησαν· ἐν Ἥλιδι δὲ ταμιεῖον χρυσοῦν κατεσκεύασαν « Αὐγείᾳ· ᾧ καταλείψαντες ἁρμὸν λίθινον, νυκτὸς εἰ« ιόντες ἔκλεπτον τῶν χρημάτων ἅμα Κερκυόνι, ὃς « ἦν γνήσιος Ἀγαμήδους καὶ Ἐπικάστης υἱός. ὡς δὲ « ἠπόρει λίαν Αὐγείας, ἐπιδημήσαντα Δαίδαλον αὖ« τόσε κατὰ φυγὴν Μίνωος ἐλιτάνευσεν ἐξιχνεῦσαι τὸν « φῶρα. ὁ δὲ παγίδας ἔστησεν, αἷς περιπεσὼν Ἀγα« μήδης ἀναιρεῖται. Τροφώνιος δὲ τὴν κεφαλὴν αὐτοῦ « τεμὼν πρὸς τὸ μὴ γνωρισθῆναι, ἅμα Κερκυόνι « φεύγει εἰς Ὀρχομενόν. Αὐγείου δὲ κατὰ κέλευσιν « Δαιδάλου πρὸς τὴν τῶν αἱμάτων ἔκλυσιν ἐπιδιώ« κοντος, καταφεύγουσιν ὁ μὲν Κερκυὼν εἰς Ἀθήνας, « ὡς Καλλίμαχος [fr. 143]

« ὃς ῥ' ἔφυγεν μὲν
« Ἀρκαδίην, ἡμῖν δὲ κακὸς παρενάσσατο γείτων.

« ὁ δὲ ἕτερος εἰς Λεβάδειαν τῆς Βοιωτίας, οὗ κατω« ρυχὴν ποιησάμενος οἴκησιν διετέλει. τελευτήσαντος « δὲ αὐτοῦ μαντεῖον ἀτρεκὲς ἐφάνη αὐτόσε. καὶ θύουσιν « αὐτῷ ὡς θεῷ. περιέλιπε δὲ υἱὸν Ἄλκανδρον. » Ἄλλως. ἐν [μὲν] τοῖς [παλαιοῖς] ἀντιγράφοις οὕτως εὗρον. πρῶτον μὲν ὅτι οἱ περὶ Ἀγαμήδην υἱοὶ Ἀπόλλωνος καὶ Ἐπικάστης· οἱ δὲ Διὸς καὶ Ἰοκάστης· οἱ δὲ Ἐργίνου. εἶτα ὡς Δαίδαλος μὲν τὸ τεχνίον ἐποίησεν, αὐτοὶ δὲ κεκλοφότες ἐάλωσαν· καὶ τῷ ἑτέρῳ φεύγοντι διέσχεν ἡ γῆ καὶ ἐδέξατο περὶ Λεβάδειαν. ὕστερον δὲ Βοιωτοῖς λιμώττουσιν ἔχρησεν ὁ θεὸς Τροφώνιον τιμᾶν. οἱ δὲ ἀγνοοῦντες ὅπη εἴη τὸ μνῆμα, σμήνει μελισσῶν περιέτυχον ἐξ ὑπορρῶγός τινος ἀνιουσῶν· καὶ στοχασάμενοι τοῦτον εἶναι τὸν τόπον, ἔκριναν ἐκεῖσε δεῖν τινα κατελθεῖν [θεασόμενον]· ὃς εὑρὼν δύο δράκοντας, προσήνεγκε μελιτούττας καὶ οὐκ ἠδικήθη. ἐξ οὗ τὸ ἔθος ἐγένετο. οἱ δὲ βουλόμενοι χρηστηριασθῆναι, ἁγνεύσαντες ὡρισμένως καὶ στολῇ κεκοσμημένοι θεοπρεπεῖ, κατίασι τοὺς πλακοῦντας ἔχοντες, πρὸς τὸ βάλλειν τοῖς ὄφεσι καὶ μὴ ἀδικηθῆναι ὑπ' αὐτῶν. καὶ πολλοὶ μὲν αὐθημερὸν ἀνεπέμφθησαν δι' αὐτοῦ τοῦ στομίου, οἱ δὲ καὶ διὰ πλειόνων ἡμερῶν.) [ἐν δὲ τοῖς νεωτέροις οὕτως· ὁ Τροφώνιος ἀνὴρ ἦν πάνυ φιλόδοξος. ποιήσας οὖν ἐν Λεβαδείᾳ τῆς Βοιωτίας ὑπόγειον οἴκημα, εἰσελθὼν ἐμαντεύετο, καὶ λιμαγχονηθεὶς ἀπέθανεν. ἐγκατοικῆσαν δὲ δαιμόνιόν τι τὰς μαντείας ἐτέλει. εἰσήρχοντο οὖν ἐντὸς οἱ χρησόμενοι, ἔχοντες ἐν ταῖν χεροῖν πόπανα, ἵνα τοῖς ἐκεῖ ἐμφιλοχωροῦσιν ὄφεσι διδόντες, μηδὲν ὑπ' αὐτῶν δυσχερὲς πάσχωσιν. ὁ δὲ εἰσιὼν ἐκεῖσε λοιπὸν οὐκ ἔτι ἐγέλα διὰ τὴν τῶν ὄφεων ἔκπληξιν. ὅθεν καὶ παροιμία ἐπὶ τῶν ἀγελάστων καὶ συνωφρυωμένων, ἐς Τροφωνίου μεμάντευται.] — χρηστήριόν ἐστιν ἐν Λεβαδείᾳ, ὃ τινὲς Καταβάσιον καλοῦσιν. στόμιον γάρ τί ἐστιν, ὡς τὰ ἄκρα δύνασθαι μόνα τῶν ποδῶν χωρῆσαι. οἱ οὖν τῷ θεῷ χρώμενοι, ἁγνεύσαντες πρῶτον ὡρισμένας ἡμέρας καὶ κοσμήσαντες ἑαυτοὺς ἱερῷ τινι σχήματι καὶ ἀμφοτέραις ταῖς χερσὶ τοιαύτας μάζας λαβόντες, οὕτω καθίζουσιν ἐπὶ τὸ στόμιον καὶ αἰφνίδιον ἁρπάζουσι καὶ καταδύνουσιν ὑπὸ τῆς γῆς. τὰς δὲ μάζας λαμβάνουσιν ὑπὲρ τοῦ μὴ ἀδικηθῆναι ὑπὸ τῶν συναντωμένων ὄφεων, ἀλλ' ἐκείνας αὐτοῖς παραβάλλειν τροφήν. ἐν Λεβαδείᾳ ἱερὸν ἐστὶ Τροφωνίου, ὅπου ὄφις ἦν ὁ μαντευόμενος, ᾧ οἱ κατοικοῦντες πλακοῦντας ἔβαλλον μέλιτι δεδευμένους. R.

509. τί κυπτάζεις ἔχων : Ἀττικῶς περιττεύει τὸ ἔχων. τὸ δὲ κυπτάζεις ἀντὶ τοῦ στραγγεύει καὶ διατρίβεις οὕτως ἐνταῦθα. — κυπτάζεις : Χρονίζεις, διατρίβεις. *Vict.*

[περὶ τὴν θύραν : Βαρέως διακείμενος εἰς τὸ εἰσιέναι δι' αὐτῆς.]

510. [ἀλλ' ἴθι χαίρων : Τοῦτο διὰ τὸ εἰσάγεσθαι τὸν χορὸν ἐξιόντων τῶν ὑποκριτῶν ὀνομάζεται χορωνίς. διὰ δὲ τὸ προτίθεσθαι τῆς παραβάσεως κατὰ τὸ ἔθος, ὀνομάζεται κομμάτιον, κώλων ὀκτώ. ὧν τὸ μὲν πρῶτον ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον, ἢ χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον ἐπιμεμιγμένον δισπονδείῳ. τὸ δεύτερον ἀναπαιστικὸν μονόμετρον. τὸ τρίτον καὶ τὸ ἕξῆς καὶ τὸ ἕβδομον καὶ τὸ μετ' αὐτὸ χοριαμβικὰ δίμετρα καταληκτικὰ εἰς ἀμφίβραχυν περαιούμενα, ἢ βακχεῖον, διὰ τὸ ἀδιάφορον, Ἀριστοφάνεια καὶ αὐτὰ καλούμενα. τὸ πέμπτον χοριαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ἕκτον ἀπὸ ἰαμβικῆς βάσεως εἰς χοριαμβικὴν ὑπερκατάληκτον.

τὸ συστηματικὸν τόδε ἐκ κώλων συνίσταται η'. τὸ α' χοριαμβικὸν δίμετρον ἐκ χοριάμβου, σπονδείου καὶ

ἀμφιμάκρου. τὸ β' δακτυλικὸν μονόμετρον. τὸ γ' χοριαμβικὸν μονόμετρον ἐκ χοριάμβου καὶ βακχείου. τὸ δ' ὅμοιον τῷ γ'. τὸ ε' ἐκ β' χοριάμβων. τὸ ς' ἐκ διτρόχου, χοριάμβου καὶ συλλαβῆς. τὸ ζ' ἐκ χοριάμβου καὶ ἀμφιμάκρου. τὸ η' ἐκ χοριάμβου καὶ βακχείου. εἶτα ἡ παράβασις ἐκ τροχαϊκῶν τετραμέτρων καταληκτικῶν με' συνισταμένη, ὧν τελευταῖος

ἐς τὰς ὥρας τὰς ἑτέρας εὖ φρονεῖν δοκήσεται.

λέγεται δὲ τροχαϊκὸν τοῦτο τὸ μέτρον, οὐχ ὅτι μόνον τροχαίους ἔχει, ἀλλ' ἐκ τοῦ πλεονάζοντος καὶ μᾶλισθ' ὅτι ἐκ παντὸς τὸν ζ' πόδα τὸν πρὸ τῆς καταληκτικῆς συλλαβῆς τροχαῖον ἔχει. παράβασις δὲ λέγεται τοῦτο τὸ σύστημα, ὅτι οἱ ποιηταὶ ὡς ἐκ στόματος τοῦ χοροῦ ἐξέφαινον πρὸς τοὺς θεατὰς, ἃ ἐβούλοντο γενέσθαι αὐτοῖς ὡς οἰκείοις προσώποις τοῖς χοροῖς κεχρημένοι, ὅπερ καὶ νῦν οὗτος ποιεῖ δι' αἰτίαν τοιαύτην· νόμος ἦν Ἀθηναίοις μήπω τινὰ ἐτῶν λ' γεγονότα μήτε δρᾶμα ἀναγινώσκειν ἐν θεάτρῳ, μήτε δημηγορεῖν. τούτῳ τῷ νόμῳ καὶ ὁ κωμικὸς οὗτος εἰργόμενος πρότερον διὰ τὸ μὴ τριακονταετῆς ἔτι ὑπάρχειν, ποιῶν δράματα διὰ Φιλωνίδου καὶ Καλλιστράτου ἀνεγίνωσκεν εἰς τὸ θέατρον, ὧν ἓν ἦν τὸ τῶν Δαιταλέων λεγόμενον, ἐν ᾧ δύο εἰσήγαγε μειράκια διαλεγόμενα, σῶφρόν τε καὶ αἰσχρόν. καὶ πολλοῖς τῶν θεατῶν ἐπῃνέσθη, οὐ μέντοι καὶ νενίκηκεν ἐν τούτῳ ὁ ποιητής. ἐπιδὰς δὲ ἤδη τοῦ λ' ἔτους, καὶ τοῦτο δὴ τὸ τῶν Νεφελῶν ποιήσας δι' ἑαυτοῦ διδάσκει, καὶ αἰτεῖ παρὰ τῶν θεατῶν, ἃ δεῖ γενέσθαι αὐτῷ, ἤτοι τὸ νικῆσαι τῷ δράματι. Vict. ἴθι : Πορεύου, ἐλθέ. *Vict.*]

511. κομμάτιον χοροῦ. R.

514. ἀντὶ τοῦ γηράσας. R.

516. [χρωτίζεται : Ἀντὶ τοῦ χρωματίζεται. αὐτὸς δὲ ὁ χρωματισμὸς εἰς πρόσωπον γίνεται. αὐτὸς γὰρ κατὰ νοῦν ἐχρωματίζετο, διὰ τοῦτο ἐπήγαγε, τὴν αὐτοῦ φύσιν, ἵν' ᾖ ὅλον καὶ μέρος, διὰ μὲν τοῦ χρωματίζεται νοουμένου τοῦ ὅλου, διὰ δὲ τοῦ τὴν αὐτοῦ φύσιν, τοῦ μέρους. Junt., Vict.] πλησιάζεται. R.

517. ἐπασκεῖ : Παιδεύεται. *Vict.*

518. ὦ θεώμενοι : [Ἡ παράβασις δοκεῖ μὲν ἐκ τοῦ χοροῦ λέγεσθαι. εἰσάγει δὲ τὸ ἑαυτοῦ πρόσωπον ὁ ποιητής.] παράβασις δέ ἐστιν ὅταν ἐκ τῆς προτέρας στάσεως ὁ χορὸς μεταβὰς οὕτως ἀπαγγέλλῃ πρὸς τὸν δῆμον ἀφορῶν. (εἴδη δὲ παραβάσεων ἑπτά· ἁπλᾶ μὲν τρία, κατὰ δὲ σχέσιν τέσσαρα. τὰ μὲν οὖν ἁπλᾶ ἐστι ταῦτα· κομμάτιον· παράβασις ὁμωνύμως, ἣ καὶ ἀνάπαιστος καλεῖται, ἐπεὶ πολλάκις ἐν ταύτῃ τῷ ἀναπαίστῳ χρῆται· πνῖγος, ὃ καὶ μακρόν. τὰ δὲ κατὰ σχεσιν, στροφὴ, ἀντίστροφος, ἐπίρρημα, ἀντεπίρρημα. ἡ μὲν οὖν στροφὴ καὶ ἀντίστροφος συνεμπίπτουσι κατὰ τὸ μέτρον καὶ τὰ κῶλα· πάλιν τὸ ἐπίρρημα καὶ τὸ ἀντεπίρρημα. [τινὲς δὲ προστιθέασι καὶ ᾠδὴν καὶ ἀντῳδήν. ἔχουσι γὰρ καὶ ταῦτα σχέσιν πρὸς ἄλληλα.] ἡ μὲν οὖν παράβασις ἡ ἐκ τούτων συγκειμένη τελεία ἐστί. εἰσὶ δὲ καὶ ἀτελεῖς παραβάσεις, ὧν ἐστι καὶ αὕτη.) [ἑπτὰ δὴ ὄντων τῶν τῆς παραβάσεως μερῶν, ἐφ' ἕκαστον τῶν ἀπολελυμένων τριῶν τίθεται ἡ παράγραφος. οὐχ ἧττον δὲ καὶ ἐπὶ τοῦ μέλους καὶ τοῦ ἐπιρρήματος, ἂν μηδὲν ἀποδιδῶται. ἐὰν δὲ ἐνῇ τὰ ἀνακυκλούμενα, τό τε ἀντίστροφον τοῦ μέλους καὶ τὸ ἀντεπίρρημα, ἐπὶ τοῦ ἐπιρρήματος τίθεται ἡ ἕσω νενευκυῖα διπλῆ ὑπὲρ τοῦ δηλῶσαι ὅτι ἐστὶ τὰ ἀνταποδιδόμενα· ἐπὶ δὲ τοῦ ἀντεπιρρήματος ἡ ἔξω νενευκυῖα. ἐν δὲ τοῖς ἀποδιδομένοις πάλιν ἐφ' ἑκάστης στροφῆς παράγραφος. ἐπὶ δὲ τοῦ τελευταίου κώλου δύο διπλαῖ, ἡ μὲν κατ' ἀρχὰς, ἡ δὲ κατὰ τὸ τέλος. ἀμφότεραι μέντοι ἔξω νενευκυῖαι, δηλοῦσαι ἡμῖν ὅτι ἀνταποδίδοται. τὸ δὲ μέτρον ἀσύστατον Εὐπολίδειον καλούμενον, στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν με', ὧν τελευταῖος

ἐς τὰς ὥρας τὰς ἑτέρας εὖ φρονεῖν δοκήσετε.

τὸ δὲ τροχαϊκὸν μέτρον κατὰ πᾶσαν μὲν χώραν δέχεται τροχαῖον καὶ σπονδεῖον, πλὴν τῆς παρατελεύτου, μὴ ὄντος τοῦ μέτρου χωλοῦ. καὶ κατὰ μὲν τὰς περιττὰς τρίβραχυν καὶ δάκτυλον, εἰ τύχοι. τῶν δ' ἀρτίων τὰς μὲν ἑτέρας ἀνάπαιστον, καὶ οὓς ἔφην ἐγχωρεῖν πάσῃ χώρᾳ. ἰδίως δὲ τὴν τετάρτην ἐν τούτοις ἴαμβον. ἐπὶ τῷ τέλει παράγραφος. ἐχρῆν δὲ τὴν λέξιν ὑπὸ τοῦ χ σημειοῦσθαι. ἐχρήσατο γὰρ μετοχῇ ἀντὶ ὀνόματος.]

κατερῶ : Ἀργόν. ἐρῶ. ἐλεύθερος : Μετὰ παρρησίας. *Vic.*

519. [νὴ τὸν Διόνυσον : Ἐπεὶ ἐν Διονυσίοις παρῆλθε τὸ δρᾶμα. καὶ γὰρ ἐν τοῖς Διονυσιακοῖς ἀγῶσι τὰ δράματα ἤγετο καὶ ἐδιδάσκετο. — τὸν Διόνυσον : Συνζήσις. *Vict.*]

520. [οὕτω νικήσαιμ' ἔγωγε : Διπλῆ εἴσθεσις εἰς τὴν παράβασιν. οὐχ ἡ αὐτὴ δέ ἐστιν, οὐδὲ τοῦ αὐτοῦ μέτρου τῇ ἐν ταῖς Νεφέλαις πρώταις, ἀλλ' ὡς ὀλίγῳ πρότερον εἴρηται, τοῦ καλουμένου Εὐπολιδείου.]

523. ἀναγεῦσ' ὑμᾶς : Ἀντὶ τοῦ διδάξαι τὸ δρᾶμα. ὡς ἐπὶ βρωμάτων δὲ λέγει. — ἀναγεῦσαι : Δεῖξαι ὑμῖν ταύτην. *LB.* ἠξίωσα : Ἀξίους ἔκρινα τῆς κωμῳδίας ἐκείνης. ἀναγεῦσαι : Φαγεῖν. ἢ παρέσχε μοι : Εἰς ἣν πολλὰ ἐμόγησα. *Vict.* ἥτις. πόνον. R.

524. [ὑπ' ἀνδρῶν : Τῶν κριτῶν. τοῦτο ἐπὶ τῶν προτέρων Νεφελῶν.] — ἀνδρῶν φορτικῶν : Βασκάνων, κριτῶν. *Vict.*

525. [ταῦτ' οὖν ὑμῖν μέμφομαι : Ἐπεὶ οὐ Κρατίνου, ἀλλ' Ἀμειψίου δεύτερος ὤφθη.]

528. [οἷς ἡδὺ καὶ λέγειν : Ἀντὶ τοῦ ἐλλογίμοις ἢ οἷς ἐπιδείκνυσθαι ἡδύ ἐστιν.]

529. σώφρων τε χώ : Πρῶτον δρᾶμα γράψας ἐξέθηκεν ὁ ποιητὴς τοὺς Δαιταλεῖς, ἐν ᾧ σῶφρον μειράκιον εἰσάγει καὶ ἕτερον ἄχρηστον. ἠδοκίμησε δὲ σφόδρα ἐν τούτῳ τῷ δράματι. — καταπύγων : Κίναιδος, ἀσελγής. δα... νος μαλακός. *Vict.*

ἄρισθ' ἠκουσάτην : Ἀντὶ τοῦ ἠδοκίμησαν. οἱ γὰρ ἐνίκησαν, ἐπεὶ δεύτερος ἐκρίθη ἐν τῷ δράματι. [διόπερ

ἐστὶ μὲν αὐτὸ πρῶτον τῶν δραμάτων, ὑπὸ δὲ αἰδοῦς οὐ δι' ἑαυτοῦ ἐπεδείξατο αὐτό.]

530. κοὐκ ἐξῆν πώ μοι : Οὔπω ἐπέτρεπον ἐμαυτῷ τὸ λέγειν διὰ τὴν αἰδῶ. οὐ γὰρ δι' ἑαυτοῦ ἐξ ἀρχῆς κατέθηκε τὰ δράματα ὁ ποιητὴς, εὐλαβὴς ὤν. ἀπὸ δὲ τῶν Ἱππέων ἤρξατο δι' ἑαυτοῦ εἰσιέναι.

531. [ἐξέθηκα : Ἀπὸ μεταφορᾶς τῶν λάθρα τικτουσῶν καὶ φοβουμένων γνωσθῆναι γυναικῶν, καὶ διὰ τοῦτο ἔξω ῥιπτουσῶν τὰ βρέφη, ἵν' ἰδών τις ἀνέλοιτο. Εὐριπίδης [Phœn. 25]

δίδωσι βουκόλοισιν ἐκθεῖναι βρέφος.

λέγει οὖν Ἀριστοφάνης, ὡς ἐπειδὴ παρανόμως ταύτην τὴν κωμῳδίαν ἔτεκον, ὥσπερ τι βρέφος ἔξω ἔρριψα.]

παῖς δ' ἑτέρα : Φιλωνίδης καὶ Καλλίστρατος. ἐπεὶ οὐ δι' ἑαυτοῦ ἐδίδαξε τοὺς Δαιταλεῖς, πρῶτον αὐτοῦ δρᾶμα. [τὸ δὲ, ἀνείλετο λαβοῦσα, ἢ ἐκ παραλλήλου ὡς τὸ, « ἁγνεύσας ἐκάθηρεν· » ἢ τὸ μὲν λαβοῦσα, διὰ τὴν ἐκ τῆς γῆς ὑπὸ τῶν χειρῶν ἅρσιν, τὸ δὲ ἀνείλετο διὰ τὴν ἀναδοχὴν καὶ εἰσποίησιν. — δηλονότι ὁ Φιλωνίδης καὶ ὁ Καλλίστρατος, οἱ ὕστερον γενόμενοι ὑποκριταὶ τοῦ Ἀριστοφάνους. Br. ἀνείλετο : Ἀνεδέξατο. *Vict.*]

532. ἐξεθρέψατε : Ἄριστον καὶ καλὸν ἐκρίνατε. κἀπαιδεύσατε : Ἐπηνέσατε. *Vict.*

533. πιστὰ παρ' ὑμῖν : Ἐξ ἐκείνου τοῦ χρόνου φίλα μοί ἐστι τὰ πρὸς ὑμᾶς καὶ πισταὶ συνθῆκαι. R. V. — ἦγουν μεγάλη πίστις ἐστί μοι πρὸς ὑμᾶς καὶ πληροφορία. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν τὰς φιλίας δι' ὅρκου ποιούντων. Junt., Vict.

534. νῦν οὖν Ἠλέκτραν : [Παρ' Αἰσχύλῳ ἐν Χοηφόροις ἡ Ἠλέκτρα ἐκ τοῦ βοστρύχου ἐπιγινώσκει τὸν Ὀρέστην ἐληλυθότα. ὥσπερ ἡ Ἠλέκτρα, φησὶν, οὕτω καὶ ἡ κωμῳδία κατὰ ζήτησιν ἦλθεν τῶν θεατῶν τῶν τότε. ἐπιγνώσεται γὰρ ἐάν τι σύμβολον ἐκείνων ἴδῃ, καὶ τὸν ἔπαινον.] Αἰσχύλου φέρεται δρᾶμα Χοηφόροι, ἐν ᾧ Ἠλέκτρα παραγενομένη εἰς τὸν τάφον τοῦ πατρὸς ἐκ τοῦ πλοκάμου τὸν ἀδελφὸν ἐγνώρισεν. καὶ ἡ κωμῳδία αὕτη τοὺς θεατὰς ἐκείνης τῆς κωμῳδίας, ἀδελφὴ αὐτῆς οὖσα, ἐπιγνώσεται, ἐὰν ἴδῃ. [ἡ Χρυσόθεμις ἀπελθοῦσα θῦσαι τῷ πατρὶ, καὶ τὸν Ὀρέστου πλόκαμον ἐνταῦθα εὑροῦσα, εἶπε τοῦτο τῇ Ἠλέκτρᾳ. ἡ δὲ ἀπελθοῦσα ἐγνώρισεν αὐτὸν ὄντα Ὀρέστου· εἰ καὶ Σοφοκλῆς τοῦτο οὐ λέγει. λέγει οὖν ὁ ποιητὴς, ὅτι, εἰ ἐπαινεθήσεται παρ' ὑμῶν ἡ νῦν κωμῳδία, γνώσεται ὅτι ὑμεῖς ἐστὲ οἱ καὶ τὴν πάλαι αὐτῆς ἀδελφὴν ἐπαινέσαντες. Junt.]

535. θεαταῖς οὕτω σοφοῖς : Ἦγουν καθὼς εἰς τὸ δρᾶμα ἐκεῖνον ἐφάνητε. *Vict.*

536. [τὰδελφοῦ τὸν βόστρυχον : Ὅ ἐστι σύμβολον καὶ ἔπαινον ἐκείνων ἐπιγνώσεται, ἐὰν ἴδῃ.

538. οὐδὲν ἦλθε : Παρέλκει τὸ δεν· ὡς καὶ παρ' Ὁμήρῳ « οὐδὲν ἔτισε. » θέλει δὲ εἰπεῖν, οὐκ ἦλθε συνήθως.]

σκύτινον : Εἰσήεσαν γὰρ οἱ κωμικοὶ διεζωσμένοι δερμάτινα αἰδοῖα γελοίου χάριν. [θέλει δὲ εἰπεῖν αὐτοὺς φορτικῶς χαριεντιζομένους. — σκύτινον : Δερμάτινον ἱμάτιον μακρὸν, καθώς τινες ἕτεροι κωμικοὶ ποιοῦσιν. *Vict.*]

539. ἐρυθρὸν : Διχῶς. ἔδει γὰρ εἰπεῖν ἢ ἐρυθρὸν ἐξ ἄκρου, ἢ ἐξ ἄκρου παχύ. τοιαῦτα γὰρ οἱ κωμικοὶ πρὸς γέλωτα ἐποίουν.

540. ἔσκωψα τοὺς φαλακροὺς : Τοῦτο διὰ τὸν Εὔπολιν. Br.

οὐ κόρδαχ' εἵλκυσε : [Τρία εἴδη ὀρχήσεως· ἐμμέλεια μὲν τραγικὴ, σίκυνις σατυρικὴ, κόρδαξ κωμικὴ, ἥτις αἰσχρῶς κινεῖ τὴν ὀσφῦν.] ἔστι δὲ ὀρχήσεως κωμικῆς εἶδος ἀσχήμονος. εἰσὶ δὲ τρία εἴδη ὀρχήσεως· ἐμμέλεια μὲν τραγικῆς, σικιννὶς δὲ σατυρικῆς, κόρδαξ δὲ κωμικῆς. R. V. κόρδακα τὸ λεγόμενον ἰδιωτικῶς καρυδᾶν λέγει. τὸ δὲ εἵλκυσεν ἀντὶ τοῦ ἐσώτερον εἰσήγαγε νοεῖ. Br. τὸν λεγόμενον ἰδιωτικῶς καριδᾶν λέγει. τὸ δὲ εἵλκυσεν ἀντὶ τοῦ ἐν τῷ θεάτρῳ εἰσήγαγε νόει. Br. κόρδαχ' εἵλκυσεν : Ἀσεμνῶς ὀρχήσατο. *Vict.* τρία εἴδη ὀρχήσεως, ὡς καὶ Ἡσύχιος ὁ ἱλούστριος φησὶν, ἐμμέλεια, κτλ. Cant. 2.

541. [οὐδὲ πρεσβύτης ὁ λέγων : Ὡς Εὔπολις ἐν τοῖς Προσπαλτίοις. ἢ ὡς εἰς τοῦτο τὸ μέρος εὐεπίφορον ὄντα τὸν Ἑρμιππον.]

542. τύπτει τὸν παρόντ' ἀφανίζων : Τοῦτο εἰς Ἑρμωνα λέγει τὸν ὑποκριτήν. καὶ γὰρ ἐκεῖνος τοῦ γελᾶν χάριν τοὺς ἐγγὺς ἑστῶτας ἔτυπτε τῇ βακτηρίᾳ. — ἀφανίζων πονηρὰ σκώμματα : τὰ φαῦλα σκώμματα, ὅ ἐστι τὰς εὐτελῶς πεπλασμένας κωμῳδίας ἀφανεῖς ποιῶν, τουτέστι περικαλύπτων τῷ γέλωτι καὶ τῇ παιδιᾷ. ἢ οἷον ἐπιτρίβων τὰ σκώμματα καίπερ πονηρὰ ὄντα. R. ἐκτὸς δὲ ἑαυτοῦ ποιήσας τὰ πονηρὰ σκώμματα τούτοις τοῖς γελοίοις χρῆται. ἔδει δὲ εἰς τὸ χρήσιμον τῶν Ἀθηναίων τὰ πονηρὰ σκώμματα λέγειν, δι' ὧν ἐπαιδεύοντο οἱ κακῶς πράττοντες. V. [ἱστέον δὲ ὅτι πάντα ὅσα ἂν λέγῃ, εἰς ἑαυτὸν τείνει. τοὺς μὲν γὰρ φάλητας εἰσήγαγεν ἐν τῇ Λυσιστράτῃ, τὸν δὲ κόρδακα ἐν τοῖς Σφηξὶ, τοὺς δὲ φαλακροὺς ἐν Εἰρήνῃ, τὸν δὲ πρεσβύτην ἐν Ὄρνισι, τὰς δὲ δᾷδας καὶ τὸ ἰοὺ ἰοὺ ἐν Νεφέλαις τοπρῶτον. — ἵν' ᾖ γέλως : Τοῦτο φησὶ διὰ τὸν Ἑρμιππον, καὶ τὸν Σιμέρμωνα τὸν τούτου ὑποκριτήν. Br. — οὐδὲ πρεσβύτης : Ὁ Σιμέρμων. *Cant.* 3. Σιμέρμων τις ἕτερος κωμικὸς ἔν τινι αὐτοῦ δράματι εἰσῆξε πρεσβύτην τινὰ βακτηρίαν κρατοῦντα. Cant. 3.]

543. (οὐδ' εἰσῆξε δᾷδας : Οὐκ ἔστι ὅλως ἐνταῦθα τίνι παρονειδίζει· ἀλλ' ἴσως ἑαυτῷ, ἐπεὶ πεποίηκεν ἐν τῷ τέλει τοῦ δράματος καιομένην τὴν διατριβὴν Σωκράτους, καί τινας τῶν φιλοσόφων λέγοντας ἰοὺ ἰού. ἐν δὲ ταῖς πρώταις Νεφέλαις τοῦτο οὐ πεποίηκε. ποιεῖ δὲ αὐτὸ μετὰ λόγου, οὗτοι δὲ ἀκαίρως.)

544. ἀλλ' αὐτῇ : [Τῇ ἐπινοίᾳ τῆς ὑποθέσεως καὶ οἰκονομίᾳ καὶ τῇ χάριτι τῶν ἐπῶν θαρροῦσα.] τοῖς ἔπεσιν, τοῖς μέτροις. ὅτι καὶ τὰ μέτρα ἔπη καλοῦσι. R. πιστεύουσα : Θαρροῦσα. ἐλήλυθεν : Εἰς τὸ θέατρον. *Vict.*

545. (οὐ κομῶ : Ἀντὶ τοῦ οὐ μέγα φρονῶ οὐδὲ σεμνύνομαι. χαριέντως δὲ λέγει, ἐπεὶ φαλακρὸς ἦν.) — κομῶ : Ἐπαίρομαι. *Vict.*

546. (ὃς καὶ τρὶς : Καίτοι καὶ αὕτη δευτέρα εἰσήχθη, ἀλλ' ἴσως διάφορος. δοκοῦσι δὲ οἱ πολλοὶ κωμικοὶ ἀπὸ τῶν αὐτῶν λημμάτων τὰ αὐτὰ εἰσάγειν δράματα.)

547. καινὰς : Ἀντὶ τοῦ νέας καὶ οὐ τὰς αὐτὰς πάλιν. R. νέας. σοφίζομαι : Σοφὸς φαίνομαι, ἢ μηχανῶμαι. *Vict.*

549. ὃς μέγιστον ὄντα : Ὁ Κλέων ἀποθνήσκει ἐπὶ Ἀμεινίου. (πρὸ τούτου δέ ἐστιν Ἴσαρχος, ἐφ' οὗ αἱ πρῶται Νεφέλαι εἰσήχθησαν. ὁ μέντοι Ἀνδροτίων ἐπὶ Ἀλκαίου φησὶ τοῦ μετὰ Ἀμεινίαν τὸν Κλέωνα τελευτῆσαι δυσὶν ἔτεσιν ὕστερον τῆς τῶν Νεφελῶν διδασκαλίας.) εἰκότως οὖν ὡς ἔτι περιόντι τῷ Κλέωνι λοιδορεῖται ὁ Ἀριστοφάνης οὐ μόνον ἐν τοῖς προκειμένοις, ἀλλὰ καὶ ἐν τοῖς ἑξῆς « ἦν Κλέωνα τὸν λάρον δώρων ἑλόντες καὶ κλοπῆς. » [ὥσπερ ζῶντος αὐτοῦ διαλέγεται ἐν οἷς φησι « Κλέωνα τὸν λάρον. » καὶ Ἀνδροτίων δέ φησιν αὐτὸν ἐπὶ Ἀλκαίου τεθνάναι δυσὶν ἔτεσιν ὕστερον Ἰσάρχου, ἐφ' οὗ αἱ πρῶται Νεφέλαι ἐδιδάχθησαν. πῶς οὖν δύναται καὶ τοῦ Μαρικοῦ μεμνῆσθαι, ὃς ἐδιδάχθη μὲν πρὸ τῶν Νεφελῶν, ὡς καὶ νῦν αὐτός φησιν; ἐκεῖ δὲ ὁ Εὔπολις ὡς τεθνηκότος Κλέωνος μέμνηται. ἢ ἐπεὶ οὐ φέρονται αἱ διδασκαλίαι τῶν δευτέρων Νεφελῶν, οὐδὲν δυνάμεθα διαρθρῶσαι, εἰ Εὔπολις ἐπλάσατο τὴν Κλέωνος τελευτὴν ἐν Μαρικᾷ.]

[ἔπαισ' ἐς τὴν γαστέρα : Ἔτυψα. ἔγραψε γὰρ κατ' αὐτοῦ τοὺς Ἱππέας. — ἔπαισα : Ἔτυψα, ἢ ὅτι γαστρίμαργος ἦν, ἢ διὰ τὸ σφετερίζεσθαι πολλὰ τῶν κοινῶν. *Vict.*]

550. κοὐκ ἐτόλμησ' αὖτις : Ἀντὶ τοῦ ἠρκέσθην τῇ μιᾷ κωμῳδίᾳ.

ἐπεμπήδησα : Δεύτερον ἐκωμῴδησα. *Vict.*

551. λαβὴν : Ἀρχήν. R. ἀφορμὴν μέμψεως. *Vict.*

552. κολετρῶσ' ἀεὶ : Ἀντὶ τοῦ κατὰ κόλου τύπτουσιν. ἀντὶ τοῦ καταπατοῦσιν, ἀπὸ τῶν τὰς ἐλαίας καταπατούντων. οἱ δὲ τὸ ἐνάλλεσθαι τῇ κοιλίᾳ [καὶ τύπτειν εἰς τὴν γαστέρα. κόλον γὰρ τὸ παχὺ ἔντερον]. δῆλον δὲ ὅτι πρότερος ὁ Μαρικᾶς ἐδιδάχθη τῶν δευτέρων Νεφελῶν. [Ἐρατοσθένης δέ φησι Καλλίμαχον ἐγκαλεῖν ταῖς διδασκαλίαις, ὅτι φέρουσιν ὕστερον τρίτῳ ἔτει τὸν Μαρικᾶν τῶν Νεφελῶν, σαφῶς ἐνταῦθα εἰρημένου ὅτι πρότερον καθεῖται. λανθάνει δ' αὐτὸν, φησὶν, ὅτι ἐν μὲν ταῖς διδαχθείσαις οὐδὲν τοιοῦτον εἴρηκεν, ἐν δὲ ταῖς ὕστερον διασκευασθείσαις εἰ λέγεται, οὐδὲν ἄτοπον. αἱ διδασκαλίαι δὲ δῆλον ὅτι τὰς διδαχθείσας φέρουσι. πῶς δ' οὐ συνεῖδεν ὅτι καὶ ἐν τῷ Μαρικᾷ προτετελεύτηκε Κλέων, ἐν δὲ ταῖς Νεφέλαις [581] λέγεται

εἶτα τὸν θεοῖσιν ἐχθρὸν βυρσοδέψην.]

κολετρῶσ' : Ὑβρίζουσι. *Br.* ὃ φασὶν ἰδιωτικῶς κλοτζοκοποῦσι (τζαλαπατοῦσι *D.* κλοτζοκουποῦσιν *E.*). *C.*

553. τὸ δρᾶμα ἐν ᾧ τὸν Ὑπέρβολον Εὔπολις ἐκωμῴδει Μαρικὰς ἐκαλεῖτο, Cant. 2. παρείλκυσεν : Εἰς τὸ θέατρον εἰσήγαγεν. *Br.*, *Vict.*

554. ἐκστρέψας : Ἅπαντα τὰ ἐμὰ, φησὶν, ἔλαβε, προσθεὶς γραῦν μεθύσην, τὴν δοκοῦσαν μητέρα εἶναι τοῦ Ὑπερβόλου. [Εὔπολις δὲ ἐν τοῖς Βάπταις τοὐναντίον φησὶν, ὅτι συνεποίησεν Ἀριστοφάνει τοὺς Ἱππεῖς. λέγει δὲ τὴν τελευταίαν παράβασιν. φησὶ δὲ « κἀκείνους τοὺς Ἱππέας | ξυνεποίησα τῷ φαλακρῷ τούτῳ κἀδωρησάμην. »] — ἐκστρέψας — κακῶς : συλήσας. *V.* μεταβαλών. *Vict.*

555. γραῦν μεθύσην : Τὴν μητέρα Ὑπερβόλου. ἦν : Γραῦν. *Vict.*

556. [ἦν Φρύνιχος : Κωμῳδεῖται ποιητὴς ὁ Φρύνιχος, ὃς εἰσήγαγε γραῦν ἐσθιομένην ὑπὸ κήτους κατὰ μίμησιν Ἀνδρομέδας, διὰ γέλωτα τῶν θεωμένων. ἴσως δὲ νῦν ἐν ὑπερβολῇ, αὐτὴν τὸ κῆτος ἤσθιεν.]

557. εἶθ' Ἑρμιππος : Ἑρμιππος μὲν δρᾶμα οὐκ ἐποίησεν εἰς Ὑπέρβολον. ἔοικε δὲ τὰ εἰς τὰς Ἀρτοπώλιδας λεχθέντα κατ' αὐτοῦ σημαίνειν.

558. ἐρείδουσιν : Καὶ γὰρ Πλάτων ὅλον δρᾶμα ἔγραψεν εἰς Ὑπέρβολον. *R. V.* ἑδραιοῦσι τὰς ἑαυτῶν κωμῳδίας. *Vict.*

(559). τῶν ἐγχέλεων : Ἀντὶ τοῦ τῶν λέξεων εἰπεῖν, ἐγχέλεων ἔφη, παρόσον ἐν τοῖς Ἱππεῦσιν [864] ἐμνήσθη τῶν ἐγχέλεων,

ὅπερ γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι πέπονθας.

[τὸ δὲ διὰ παραβολῆς εἰκάζειν τῆς πόλεως τὰ πράγματα ἐξ αὐτοῦ φησιν εἰληφέναι τοὺς ἄλλους ὁ Ἀριστοφάνης.]

560. τούτοισι γελᾷ : Οἷον, εἴ τις ἐκείνοις τέρπεται καὶ ἡδέως ἀκούει, τοῖς ἐμοῖς μὴ προσίτω. — ἥδεται. *Vict.*

561. εὑρήμασι : Νοήμασι καὶ ποιήμασι. *Vict.*

562. εὖ φρονεῖν : Παρ' ὑπόνοιαν. δέον γὰρ εἰπεῖν, ἐλεύσεσθε, ἐπήνεγκεν, ὅτι φρόνιμοι δόξετε εἶναι καὶ εὖνοί μοι καὶ εὖ φρονοῦντές μοι. [διὸ ἐπισημειοῦσθαι τὴν λέξιν ἔδει τὸ χ.] — ἐς τὰς ὥρας τὰς ἑτέρας : Εἰς τοὺς μετὰ ταῦτα ἐνιαυτούς. *Vict.*

563. [ὑψιμέδοντα μὲν : Τοῦτο ᾠδὴ καὶ στροφὴ ὀνομάζεται, διὰ τὸ στροφήν τινα ποιεῖσθαι τὸν χορὸν ἀπὸ τοῦ πρὸς τοὺς θεατὰς ὁρᾶν καὶ ᾄδειν, εἰς ἕτερον ἀφορῶντα μέρος. ἔστι δὲ ὡς ἐπιτοπλεῖστον εἰς θεοὺς ἡ ᾠδή. ἔστι δὲ ἡ παροῦσα στροφὴ κώλων ιϐ'. ὧν τὸ πρῶτον χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐπιμεμιγμένον διιάμβῳ. τὸ β' ὅμοιον. τὸ τρίτον δίμετρον καταληκτικὸν, ἐπιμεμιγμένον βακχείῳ, ὃ καλεῖται ἐφθημιμερές. τὸ τέταρτον καὶ τὸ πέμπτον τῷ πρώτῳ ὅμοια. τὸ ἕκτον τρίμετρον ἐκ διιάμβου, χοριάμβου καὶ βακχείου. τὸ ἕβδομον δακτυλικὸν τετράμετρον. τὸ ὄγδοον δακτυλικὸν πεντάμετρον. τὸ ἔνατον δίμετρον, ἐξ ἐπιτρίτου τρίτου καὶ χοριάμβου. τὸ δέκατον ὅμοιον, ἐκ δισπονδείου καὶ χοριάμβου, ἢ δακτυλικὸν ἐφθημιμερὲς, τῆς σι ἀντὶ μακρᾶς λογιζομένης. τὸ ἑνδέκατον ἀντισπαστικὸν δίμε-

τρον ἀκατάληκτον, τὸ καλούμενον Γλυκώνειον, ἐκ διτροχαίου καὶ διιάμβου, ὡς ἔχει τὰ Γλύκωνος

κάπρος ἠνίχ' ὁ μαινόλης
Κύπριδος θάλος ὤλεσε.

τὸ δυοκαιδέκατον ἀντισπαστικὸν δίμετρον καταληκτικόν, τὸ καλούμενον Φερεκράτειον ἐφθημιμερὲς, ἐξ ἐπιτρίτου τετάρτου καὶ βακχείου, ὡς ἔχει τὰ Φερεκράτους

ἄνδρες πρόσχετε τὸν νοῦν
ἐξευρήματι καινῷ,
συμπτύκτοις ἀναπαίστοις.

καλεῖται δὲ ταῦτα πολυσχημάτιστα, διὰ τὸ διάφορα δέχεσθαι μέτρα. ἐπὶ τῷ τέλει παράγραφος [καὶ διπλῆ ἔσω νενευκυῖα *Junt.*], δηλοῦσα ἔχειν ἀνταπόδοσιν. — ὕμνος εἰς τοὺς θεοὺς ἀπὸ χοροῦ. *Vict.*]

561. [Ἄλλως. τὸν Δία ἐπικαλοῦνται, ὃν οἱ φιλόσοφοι εἶναι οὐκ ἔφασκον, ἀλλὰ ταύτας εἶναι τὸ πᾶν διεβεβαιοῦντο. εἰκότως οὖν καὶ διὰ τούτων σκώπτει τοὺς φιλοσόφους. ὃν γὰρ εἶναι οὐκ ἐδόξαζον, αἱ νομιζόμεναι ὑπ' αὐτῶν Νεφέλαι τοῦτον ἐπικαλοῦνται. — Ζῆνα : Τὸν Δία. χορὸν : Ἤτοι εἰς ἡμᾶς ἐλθεῖν. *Vict.*]

565. κικλήσκω : Ἀπὸ τοῦ κλῶ τοῦ σημαίνοντος τὸ καλῶ γέγονε κλήσω ὁ μέλλων, καὶ πλεονασμῷ τοῦ κ καὶ ἀναδιπλασιασμῷ κικλήσκω, ὡς τρώσω τιτρώσκω. *Vict.*

566. τόν τε μεγασθενῆ : Ἔθος τοῖς ποιηταῖς τὴν ἀρχὴν τῶν ποιημάτων ἀπὸ τοῦ Διὸς ποιεῖν. ἐν πρώτοις οὖν, φησὶ, τὸν Δία ὑμνήσωμεν, μετὰ δὲ τοῦτον τὸν Ποσειδῶνα, καὶ αὐτὸς τὴν Ὁμηρικὴν τάξιν τῆς ἡλικίας δηλῶν.

[ταμίαν : Ἤγουν φύλακα. τὸν Ποσειδῶνα φησὶν, ὃς τούς τε σεισμοὺς καὶ τὰς ἐν θαλάσσῃ τρικυμίας ποιεῖ· τὰς μὲν, ὡς κύριος ὢν τῶν ἀνέμων· σείει δὲ τὴν γῆν διὰ τῶν αὐτῶν τούτων ἀνέμων, εἰσιόντων εἰς τοὺς ἀδήλους πόρους αὐτῆς. Br. ταμίαν : Φύλακα. *Vict.*]

567. γῆς τε καὶ ἁλμυρᾶς : Δοκεῖ γὰρ ὁ Ποσειδῶν οὐ τὴν θάλασσαν κινεῖν μόνον, ἀλλὰ καὶ τὴν γῆν. καλῶς δὲ μετὰ τὸν Δία τὸν Ποσειδῶνα πεποίηκεν ὑμνούσας τὰς Νεφέλας· ἔχει γὰρ καὶ οὗτος κοινωνίαν τινὰ πρὸς αὐτὰς, τῆς ὑγρᾶς οὐσίας δεσπόζων.

568. ἄγριον : Ἰσχυρότατον. μοχλευτήν : Κινητήν. *Vict.*

569. μεγαλώνυμον : Μεγαλόδοξον· ἐν τούτῳ γὰρ αἱ νεφέλαι συνίστανται. *Vict.*

570. Αἰθέρα : τὸν ἀέρα λέγει· ὁ γὰρ αἰθὴρ ἀνέφελος, καὶ βιοθρέμμων ὁ ἀὴρ, οὐχ ὁ αἰθήρ· καὶ τὰ ζῷα ἐν τῷ ἀέρι ἔχει τὸ ζῆν. V.R. [ἀντὶ τοῦ ἀέρα· ὁ γὰρ αἰθὴρ διακαὴς ὢν ἀνέφελός ἐστι. καὶ ἐκ τοῦ βιοθρέμμονος δῆλον ὅτι ἀὴρ, οὐχὶ αἰθήρ. ἢ ἐπειδὴ τὰ ζῷα ἐν τῷ ἀέρι ἔχει τὴν ζωήν. βιοθρέμμονα δὲ, ἐπειδὴ ἀρδεύει τὴν γῆν.]

βιοθρέμμονα : Τὸν βίου καὶ ζωῆς παρεκτικόν. *Vict.*

571. τόν θ' ἱπποπονόμαν : Τὸν ἥλιον, (τὸν ἐλαύνοντα καὶ νωμῶντα τὸ ἅρμα, καὶ τοὺς ἵππους ἡνιοχοῦντα). εἰκότως δὲ τῶν θεῶν τούτων ἐμνημόνευσεν, ἐπειδὴ αἱ νεφέλαι ἐξ αὐτῶν συνεστάναι δοκοῦσιν· ἀπὸ μὲν Διὸς ὅτι γενάρχης, ἀπὸ Ποσειδῶνος, ὅτι τῆς ὑγρᾶς οὐσίας δεσπότης, ἀπὸ δὲ Ἡλίου, ὅτι δοκεῖ διάπυρος ὢν ἕλκειν εἰς ἑαυτὸν τὴν τῆς θαλάσσης ὑγρότητα, ἐξ ἧς αἱ νεφέλαι. — τὸν ἵππους κινοῦντα ἥλιον. *E.* τὸν ἥλιον τὸν τοὺς ἵππους κινοῦντα. *Vict.*

573. πέδον : Ἔδαφος. *Vict.*

575. [ὦ σοφώτατοι θεαταὶ : Τοῦτο ἐπίρρημα ὀνομάζεται, διὰ τὸ ἐπιρρέπειν αὖθις τὸν χορὸν πρὸς τοὺς θεατὰς, καὶ χρηστά τινα συμβουλεύειν αὐτοῖς, ἢ σκώπτειν τοὺς πονηρούς. ἔστι δὲ ἐκ στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν, ὧν τελευταῖος

ἐπὶ τὸ βέλτιον τὸ πρᾶγμα τῇ πόλει συνοίσεται.

ἐπὶ τῷ τέλει διπλῆ ἔσω νενευκυῖα, δηλοῦσα ἔχειν ἀνταπόδοσιν.]

580. μηδενὶ ξὺν νῷ : Μηδεμιᾷ διανοίᾳ γινομένη καὶ κρίσει, ἀλλ' ἀσυμφόρως καὶ ἀκαίρως καὶ μετὰ μηδενὸς λογισμοῦ, οἷον προπετῶς. [ἐκ τῶν πρώτων δὲ Νεφελῶν ἐστι ταῦτα. τεθνεὼς γὰρ ἦν νῦν ὁ Κλέων.]

βροντῶμεν ἢ ψεκάζομεν : Δῆλον ἐντεῦθεν ποιοῦσαι, ὡς οὐκ ἀποδεχόμεθα ταύτην, ὡς ἀλυσιτελῆ τῆς πόλεως. *Br.*

581. βυρσοδέψην : Σκυτοτόμον τὸν τὰς βύρσας θεραπεύοντα καὶ μαλάσσοντα καὶ ἐμβρέχοντα. *Vict.*

582. τὰς ὀφρῦς συνήγομεν : Συννέφειαν ἐποιήσαμεν καὶ ἐχαλεπαίνομεν ἢ ἐστυγνάζομεν. [Ἄλλως. ἐπεὶ ὁ Κλέων τοιοῦτος. εἶπε δὲ ἀνωτέρω, ὅτι πάντας μιμοῦνται.]

583. (βροντὴ δ' ἐρράγη : Παρὰ τὰ ἐν Τεύκρῳ Σοφοκλέους

οὐρανοῦ δ' ἄπο
ἤστραψε, βροντὴ δ' ἐρράγη δι' ἀστραπῆς.)

584. (ἡ Σελήνη δ' ἐξέλιπεν : Ἐπειδὴ ἔκλειψις ἐγένετο σελήνης τῷ προτέρῳ (τῷ β' V.) ἔτει ἐπὶ Στρατοκλέους βοηδρομιῶνι.)

585. τὴν θρυαλλίδα : Τουτέστι τὰς ἀκτῖνας εἰς ἑαυτὸν συνέστειλεν. ἔκλειψις γὰρ ἡλίου ἐγένετο κατά τινα τύχην, Κλέωνος χειροτονουμένου. (ἀπὸ τῶν λύχνων ἡ μεταφορά. φησὶ δὲ οὐχ ὡς τοῦ ἡλίου ἐκλείψαντος, ἀλλ' ὡς ἀπειλοῦντος ἐκλείψειν, εἰ στρατηγήσει Κλέων. τοῦτο δὲ) παρὰ τὸ Ὁμηρικὸν [Od. M, 383]

δύσομαι εἰς Ἄϊδαο, καὶ ἐν νεκύεσσι φαείνω.

(587). δυσβουλίαν : Τὴν οὐκ ὀρθῶς βουλήν. ἀποτυχόντος, φασὶ, Ποσειδῶνος τῆς χώρας, τὸ κακῶς βουλεύεσθαι Ἀθηναίοις ἤσκητο· τὴν δὲ Ἀθηνᾶν παρασχεῖν δωρεὰν τὸ κακῶς βουλευθὲν ἀποκλῖναι καλῶς. καὶ ἦν τοῦτο λεγόμενον ἐπιχώριον. καὶ Εὔπολις

ὦ πόλις πόλις,
ὡς εὐτυχὴς εἶ μᾶλλον ἢ καλῶς φρονεῖς.

[Ἄλλως. φασὶν ὅτι Ποσειδῶν ἠττηθεὶς τῇ Ἀθηνᾷ δυσ-

βουλίαν ἐπέβαλεν Ἀθηναίοις, Ἀθηναῖν δὲ τὰ βουλευόμενα καλῶς μεταβάλλειν.]

589. ἅττ' ἂν ὑμεῖς : Ὅσα οἱ Ἀθηναῖοι κακῶς ἐβουλεύσαντο, δι' ὑπερβάλλουσαν εὐτυχίαν εἰς τὸ χρήσιμον ἀπέβαινε καὶ εἰς τὸ καλόν. [αἰνίττεται δὲ εἰς Ἀθηνᾶν.]

590. ξυνοίσει : Λυσιτελήσει, ὠφελήσει. *Br.*

591. τὸ λάρον : Τὸν ἁρπακτικόν, ὅτι καὶ ὁ λάρος τοιοῦτος. καὶ ἐν Ἱππεῦσι [956]

λάρος κεχηνὼς ἐπὶ πέτρας δημηγορῶν.

[ταῦτα δὲ ἀπὸ τῶν προτέρων Νεφελῶν. τότε γὰρ ἔζη ὁ Κλέων. ἐπὶ δὲ τούτων τέθνηκε. καὶ γὰρ Εὔπολις μετὰ θάνατον Κλέωνος τὸν Μαρικᾶν ἐποίησεν. καὶ μὴν ὡς μετὰ θάνατον Κλέωνος φαίνεται γεγραφὼς τὸ δρᾶμα, ὅπου γε τοῦ Μαρικᾶ Εὐπόλιδος μέμνηται, ὃς ἐδιδάχθη καθ' Ὑπερβόλου μετὰ τὸν Κλέωνος θάνατον. ταῦτα δὲ ὡς ἔτι ζῶντος Κλέωνος λέγεται. δῆλον οὖν ὅτι κατὰ πολλοὺς τοὺς χρόνους διεσκεύασε τὸ δρᾶμα· καὶ ταῦτα μὲν οὐ πολλῷ ὕστερον· ἐν οἷς δὲ Εὐπόλιδος μέμνηται καὶ τῶν εἰς Ὑπέρβολον κωμῳδιῶν, πολλῷ.]

594. ξυνοίσεται : Συνδραμεῖται. *Br.*

595. μετὰ τὸν Ἥλιον τὸν Ἀπόλλωνα ὑμνεῖ. ὁ αὐτὸς δὲ Ἥλιος καὶ Ἀπόλλων. δῆλον καὶ ἐκ τοῦ αὖτε ἀντὶ τοῦ πάλιν· ὥσπερ γὰρ ἀναλαμβάνων πρὸς τὸ ἄνω λέγει. τὸ δὲ ἀμφί μοι αὖτε ἐκ τῶν Τερπάνδρου προοιμίων. καὶ γὰρ ἐκεῖνος οὕτως ἤρξατο « ἀμφί μοι αὖτις ἄνακτα. » καὶ τὸ προοιμιάζεσθαι δὲ ἀμφιαναξτίζειν ἔλεγον. ἀντῳδὴ ἢ καὶ ἀντιστροφή. *R.* ἀμφί μοι ἄναξ : [Ἡ ἀντῳδὴ αὕτη καὶ ἀντιστροφὴ ὁμοία ἐστὶ τῇ ᾠδῇ καὶ στροφῇ κατά τε τὰ κῶλα καὶ τὰ μέτρα. μιμεῖται δὲ τῶν διθυράμβων τὰ προοίμια. συνεχῶς γὰρ χρῶνται ταύτῃ τῇ λέξει· διὸ καὶ ἀμφιάνακτας αὐτοὺς ἐκάλουν. ἔστι δὲ Τερπάνδρου « ἀμφ' ἐμοὶ ἄνακτα ἑκατηβόλον. » λείπει δὲ τὸ ἔσο, ἢ τὸ χόρευσον, ἤ τι τοιοῦτον. καὶ τὸ προοιμιάζεσθαι δὲ ἀμφιανακτίζειν ἔλεγον. εἰκότως δὲ μετὰ τὸν Ἥλιον ἀνυμνοῦσι τὸν Ἀπόλλωνα. ὅτι δὲ ὁ αὐτός ἐστιν Ἥλιος καὶ Ἀπόλλων, δῆλον. τὸ δὲ αὖτε, ἀντὶ τοῦ πάλιν. ὥσπερ γὰρ ἀναλαμβάνων πρὸς τὸ ἄνω λέγει ἀντίστροφον.] (ἔφαμεν γὰρ ἐν τοῖς χορικοῖς γίνεσθαι τὰς στροφὰς καὶ τὰς ἀντιστρόφους καὶ τὰς ἐπῳδούς, ἅ τινες καλοῦσιν ἐπιρρήματα. κἀνταῦθα οὖν τὴν ἀντίστροφον ἐπήγαγεν ὁ ποιητής, ὥσπερ ἀναστρέφων ἐπὶ τὸ ἐξ ἀρχῆς μέλος, ὅθενπερ ἐξετράπη εἰς τὸ ἐπίρρημα. ἀρξάμενος γὰρ ὑμνεῖν τοὺς θεοὺς καὶ παραγενόμενος μέχρι τοῦ Ἡλίου, ἐπήγαγε τὴν ἐκτροπὴν, τουτέστι τὸ ἐπίρρημα. ἀπὸ τοῦ « ὦ σοφώτατοι θεαταί, δεῦρο τὸν νοῦν προσέχετε. » οὔτε γὰρ ἡ διάνοια τοῖς προειρημένοις ἀκόλουθος οὔτε τὸ μέτρον τοῦ λόγου. πάλιν οὖν ἐπανατρέχων ἐπὶ τὸν ὕμνον, τῇ τῶν θεῶν χρῆται ἐπαναστροφῇ. εἰ οὖν τις τὰ ἐν μέσῳ ἅπαντα ὑφελὼν ἐπὶ ταῦτα ἔλθοι, οὐδὲν ἂν οὔτε ὁ λόγος οὔτε ὁ νοῦς ἐπιζητήσειεν, ἀλλὰ μᾶλλον ἡ ἀκολουθία οὕτω φυλάττοιτο, τόν θ' Ἱπποκόμαν, ὃς ὑπερλάμπρους ἀκτῖσι, καὶ τὰ ἑξῆς, ἀμφί μοι αὖτε Φοῖβ' ἄναξ. φησὶν οὖν, ἀλλὰ σου πάλιν, ὦ Ἄπολλον, ἕξομαι, καὶ τῶν σῶν ἐπαίνων. οὐ μὴν ἁπλῶς ἐπὶ τὴν ἀντίστροφον ἐλθὼν, θεοῦ τινος ἐμνημόνευσεν, ἀλλὰ μετὰ τὸν Ἥλιον ἑξῆς τὸν Ἀπόλλωνά φησιν, ἐπεί φασί τινες τὸν Ἥλιον τὸν αὐτὸν εἶναι τῷ Ἀπόλλωνι.) [ὅτι δὲ τῷ λόγῳ τούτῳ καὶ ὁ ποιητὴς κατακολουθῶν μετὰ τὸν Ἥλιον ἐπὶ τὸν Ἀπόλλωνος ἔρχεται ὕμνον, φανερὸν ποιεῖ αὐτὸς, λέγων, ἀμφί μοι αὖτε Φοῖβ' ἄναξ· τουτέστι πάλιν. οὐδαμοῦ γὰρ νῦν τοῦ Ἀπόλλωνος μέμνηται. τί οὖν ἔδει μνημονεῦσαι αὐτοῦ αὖτε, εἰ μὴ τῆς προειρημένης διανοίας εἴχετο; τὸ δὲ μέτρον ἀντῳδὴ καὶ ἀντιστροφή. ἔστι δὲ τὸ μέτρον καὶ ἡ ποσότης ὁμοία τῇ στροφῇ. ὡμοίωται δὲ καὶ τὸ ἐπίρρημα καὶ τὸ ἀντεπίρρημα.]

αὖτε : Πάλιν. ἤγουν ἔσο ἢ χόρευσον. *Vict.*

596. [Κυνθίαν ἔχων : Περιφραστικῶς τὴν Κύνθον. ἔστι δὲ ὄνομα ὄρους. τὸ ὑψικέρατα ἀντὶ τοῦ ὑψηλήν. μεταπλασμὸς δέ ἐστιν ἀντὶ τοῦ ὑψικέρατον.]

599. [ἥ τε Ἐφέσου : Μετὰ τὸν Ἀπόλλωνα εὐθὺς τὴν Ἄρτεμιν, ἧς ἱερὰ ἡ Ἔφεσος.] — πάγχρυσον δὲ οἶκον λέγει, τὸν πολυτελέστατον ναόν· ὃς ἦν εἷς τῶν θεαμάτων. Junt., Vict.

600. ἐν ᾧ κόραι : Ἔνθα σε αἱ Λυδῶν παρθένοι τιμῶσιν, ὦ Ἄρτεμι. (τῆς γὰρ Λυδίας τοπαλαιὸν ἡ Ἔφεσος ἦν.)

(604). σὺν πεύκαις : Μετὰ δᾳδῶν. παρὰ τὸ Εὐριπίδειον [Hypsipylæ prolog.]

Διόνυσος, ὃς θύρσοισι καὶ νεβρῶν δοραῖς
[καθαπτὸς ἐν πεύκαισι Παρνασὸν κάτα
πηδᾷ χορεύων παρθένοις σὺν Δελφίσιν].

σελαγεῖ : Μετὰ λαμπάδων καὶ πυρσῶν χορεύει. διάπυρος γὰρ ὁ θεός. καὶ ὁ Ζεὺς διὰ πυρὸς τῇ Σεμέλῃ συνῆλθεν. οὐ γὰρ ἀργῶς ταῦτα ὁ ποιητὴς παρέλαβεν.

605. Βάκχαις Δελφίσι : (Ταῖς τὴν Δελφικὴν χώραν κατοικούσαις.) κἀκεῖ γὰρ ἐτιμᾶτο ὁ Διόνυσος. — ἐμπρέπων : Διαπρέπων. *Vict.*

606. [κωμαστὴς : Ὅτι καὶ μεθύοντες βακχεύονται, καὶ ὥσπερ ἐκμαίνονται. — τρυφῶν μετ' ᾠδῆς. *Vict.*

607. ἡνίχ' ἡμεῖς : Τὸ ἀντεπίρρημα τοῦτο ὅμοιόν ἐστι τῷ ἐπιρρήματι. [καὶ τοῦτο γὰρ ἐκ στίχων ἐστὶ τροχαϊκῶν τετραμέτρων καταληκτικῶν εἴκοσι. ἐνταῦθα μέντοι ὁ ἐπὶ τῆς τετάρτης χώρας ἴαμβος ἐξέλιπεν. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα.]

608. [ξυντυχοῦσα : Οὐκ ἔστιν ἐνταῦθα τὸ συντυχοῦσα ἀντὶ τοῦ συναντήσασα, ὥς τινες οἴονται, συντάσσοντες πρὸς τοῦτο τὸ ἡμῖν· ἀλλὰ τὸ συντυχοῦσα λέγε ἀντὶ τοῦ κατὰ τύχην φανεῖσα καὶ εὐρεθεῖσα, συντάσσων τὸ ἡμῖν πρὸς τὸ ἐπέστειλεν. ἐντυγχάνει γὰρ τῷδε ὁ δεῖνα, λέγε· συντυγχάνει δὲ, ἀντὶ τοῦ κατὰ τύχην συμβαίνει. καὶ Θουκυδίδης, « οὕτω ποι ξυντυχόν, » ἤτοι συμβάν. οἱ δὲ ἄλλως λέγοντες ἁμαρτάνουσιν. Br.]

609. πρῶτα μὲν χαίρειν : Τὸν Κλεώνά φασιν ἀπὸ τῆς Πύλου καὶ Σφακτηρίας τοῖς Ἀθηναίοις ἐπιστέλλοντα,

χαίρειν προθεῖναι· ὅθεν γέγονεν ἐν χρήσει. [Πλάτων μέντοι ἐν ἀρχῇ τῶν ἐπιστολῶν τὸ εὖ πράττειν προὔθηκεν. οἱ δὲ Πυθαγόρειοι τὸ ὑγιαίνειν. [Lucianus De lapsu sal. c. 5 :] « καὶ τό γε τριπλοῦν τρίγωνον, τὸ δι' ἀλλήλων τὸ πεντάγραμμον, ᾧ συμβόλῳ πρὸς τοὺς ὁμοδόξους ἐχρῶντο, ὑγεία πρὸς αὐτῶν ὠνομάζετο. »] (Ἄλλως. ἀρχαῖον ἦν ἔθος προτάσσειν ἐν ταῖς ἐπιστολαῖς χαίρειν. οὐ γὰρ, ὥς τινες, Κλέων οὕτως πρῶτος ἐπέστειλεν Ἀθηναίοις ἐκ Σφακτηρίας.)

614. φῶς Σεληναίης : Τῆς σελήνης γὰρ φαινούσης οὐχ ἅπτουσι λύχνον. R. Ἀττικῶν ἐστιν κτητικὰ λαμβάνειν ἀντὶ πρωτοτύπων, ὡς καὶ παρθενικὴ ἡ παρθένος. Vict.

615. ἄλλα τ' εὖ δρᾶν : Καὶ εἰς ἄλλα ὑμᾶς φησιν εὐεργετεῖν, οὐ παρατηρεῖν δὲ ὑμᾶς ἀκριβῶς τὰς κατὰ σελήνην ἡμέρας.

616. κυδοιδοπᾶν : Ἀντὶ τοῦ συνταράττειν, ἀπὸ τοῦ κυδοιμοῦ. (γίνεται δὲ ἐξ ἑκατέρου. ἐὰν μὲν διὰ τοῦ κ, παρὰ τὸ κυκᾶν, ἐὰν δὲ διὰ τοῦ δ, παρὰ τὸν κυδοιμόν.) [ταράσσειν, ἀνατρέπειν. καὶ γὰρ ἐν τῇ πρώτῃ ἡμέρᾳ τεταγμένον ἦν τὸν Δία τιμᾶν, ἐν δὲ τῇ δευτέρᾳ τὸν Ποσειδῶνα, καὶ τοὺς ἄλλους θεοὺς καθεξῆς. οὗτοι δὲ, ὅτε ἔδει τῷ Διὶ θύειν, τῷ Ποσειδῶνι ἔθυον· ὅτε δὲ τῷ Ποσειδῶνι, ἑτέρῳ θεῷ ἔθυον. καὶ διὰ τοῦτο λέγει τὸ κυδοιδοπᾶν. Br. κυδοιδοπᾶν γίνεται ἀπὸ τοῦ κύδος ἀρσενικῶς, ὃ σημαίνει τὴν λοιδορίαν, καὶ τοῦ ὄψ, ὀπός, ἡ φωνή. γίνεται οὖν κυδοπᾶν καὶ Ἀττικῷ διπλασιασμῷ μετὰ τῆς τοῦ ι προσθήκης κυδοιδοπᾶν. κύδος γὰρ ἀρσενικῶς τὴν λοιδορίαν, ἐξ οὗ καὶ τὸ κυδάζω, τὸ λοιδορῶ, ὡς παρὰ Σοφοκλεῖ [Aj. 722]

κυδάζεται τοῖς πᾶσιν Ἀργείοις ὁμοῦ.

κύδος δὲ οὐδετέρως ἡ δόξα, ἐξ οὗ καὶ κύδιστος, ὁ ἐνδοξότατος. Vict.]

618. ψευσθῶσιν : Ἀποτύχωσιν, [ἢ μὴ δέξωνται τὰς θυσίας εὐτάκτως].

619. κατὰ λόγον τῶν ἡμερῶν : Ἀντὶ τοῦ εὐτάκτως καὶ ὡρισμένως. διὰ γὰρ τὸ πλανᾶσθαι τὴν τάξιν [τῶν ἡμερῶν], καὶ τὰς ἑορτὰς ὑπερβαίνειν δεήσει.

621. ἀπαστίαν : Νηστείαν (καὶ ἀγευστίαν, παρὰ τὸ πάσασθαι). — νηστείαν, ἀσιτίαν. Br. ἀπὸ δὲ τοῦ πενθεῖν διαβάλλει τοὺς ποιητάς. V.

622. [Μέμνων δὲ καὶ Σαρπηδὼν υἱοὶ ὄντες Διὸς, ἀποθανόντες ἐν Τροίᾳ, οὕτω παρὰ θεοῖς ἐτιμήθησαν, τοῦ πατρὸς νομοθετήσαντος, ὡς τὴν ἡμέραν, καθ' ἣν ἀπέθανον, ἐν πένθει καὶ νηστείᾳ τοὺς θεοὺς διάγειν κατ' ἔτος.]

623. λαχὼν Ὑπέρβολος : Εἰς τὴν σύνοδον τῶν Ἀμφικτυόνων πεμφθῆναι εἰς τὴν Πυλαίαν. κατὰ πόλιν δ' ἔπεμπον τοὺς θύσοντας, καὶ συνεδρεύσοντας· καὶ ἦσαν οἱ πεμπόμενοι Πυλαγόραι καὶ ἱερομνήμονες. λέγουσι δὲ ὅτι Πυλάδης πρῶτος ἐκρίθη ἐπὶ τῷ Κλυταιμνήστρας φόνῳ, καὶ ἐξ αὐτοῦ τοὔνομα σχεῖν τὸν τόπον. ἀπῆσαν δὲ εἰς Δελφοὺς ἐπίσκοποι τῶν ἀναλισκομένων ἐν ταῖς θυσίαις. [ἱερομνήμονας ἔπεμπον εἰς Πυλαίαν καὶ Πυλαγόρας. Ἀριστοφάνης Θεσμοφοριαζούσαις [fr. 306]

ἀγαθὰ μεγάλα τῇ πόλει
ἥκειν φέροντάς φασι τοὺς Πυλαγόρας
καὶ τὸν ἱερομνήμονα.

καὶ εἰσὶν οἷον ἱεροὶ γραμματεῖς. μνήμονας γὰρ τούτους ἐκάλουν. [Hom. Od. Θ, 163 :]

φόρτου τε μνήμων καὶ ἐπίσκοπος ἦσιν ὁδαίων.]

624. τῆτες : Ἐν ἐκείνῳ τῷ ἔτει. R. ἐν τῷδε τῷ ἔτει. οἱ δὲ Δωριεῖς σατές φασιν. ὅθεν σατανίους πυρούς, τοὺς μὴ τελεσφοροῦντας, ἀλλὰ πρὸ ὥρας θεριζομένους. Junt., Vict.

τῆτες ἱερομνημονεῖν : Ἐξέπεμπον γὰρ οἱ Ἀθηναῖοι εἰς Δελφοὺς ἱερομνήμονας, οἳ τῶν τοῦ θεοῦ ἱερῶν προεστήκεσαν. παρ' ἱστορίαν δὲ εἶπεν τὸ τῆτες. οὐδεὶς γὰρ ἱστορεῖ ἐν ἐκείνῳ τῷ ἔτει ἱερομνήμονα εἶναι Ὑπέρβολον, ἐν ᾧ αἱ Νεφέλαι ἐδιδάχθησαν. οὐδέπω γὰρ διέπρεπε Κλέωνος ἔτι ζῶντος. μετὰ γὰρ τὸν ἐκείνου θάνατον ἠξιώθη.

625. [μᾶλλον γὰρ οὕτως εἴσεται : Τότε γὰρ μαθήσεται, ὅτι καλόν ἐστι ζῆν αὐτὸν, ὡς πρότερον, καὶ ὡς ἀνάξιος ἦν.]

627. μὰ τὴν ἀναπνοήν : [Ὑποχωρήσαντος τοῦ χοροῦ εἰσίασιν αὖθις οἱ ὑποκριταί. ἔστιν οὖν ἡ παροῦσα εἴσθεσις τῆς διπλῆς ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ογ', ὧν τελευταῖος

οἷαν δίκην τοῖς κόρεσι δώσω τήμερον.

ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα·] πάλιν εἰς ἀθεότητα τὸν Σωκράτην διαβάλλει διὰ τῆς πολυθείας. δυσφορεῖ δὲ ὁ Σωκράτης ἐπὶ τῇ τοῦ Στρεψιάδου ἀμαθίᾳ. (ἐντεῦθέν φασι τὸν Ἀριστοφάνη χαριζόμενον τοῖς περὶ Ἄνυτον καὶ Μέλητον γεγραφέναι τὸ δρᾶμα, διαβάλλοντα εἰς ἀθείαν τὸν Σωκράτην διὰ τῆς πολυθείας. *** ὅτι πολὺ λείπεται τοῖς χρόνοις εἰπομεν. διαβάλλει οὖν ἁπλοϊκῶς τοὺς φιλοσόφους, ἐπεὶ καὶ ὁ Σωκράτης προεῖπε [423] μὴ ἡγεῖσθαι θεοὺς, πλὴν τὸ Χάος καὶ τὴν γλῶτταν καὶ τὸν Ἀέρα, τρία ταυτί.) — ἀναπνοὴν λέγει τὴν τοῦ ἀέρος ἀνάπνευσιν, ἣν ἀναπνέουσιν ἄνθρωποι· χάος δὲ τὸν τόπον, ἐν ᾧ ὁ ἀήρ. Br.

629. [σκαιὸν : Ἀντὶ τοῦ μωρόν. ἢ οὕτως. σκαιοὺς ἔλεγον τοὺς ἀμαθεῖς καὶ δυσπαρακολουθήτους.] — ἄπορον : Ἀφυῆ. σκαιὸν : Ἀπαίδευτον, φαυλόνουν. Br. ἀπαίδευτον. R. V.

630. σκαλαθύρματ' ἄττα : Λεπτὰ καὶ μικρὰ παντάπασι νοήματα καὶ μαθήματα, σκαριφήματα. (ἡ δὲ λέξις σύνθετος ἀπὸ τοῦ σκαλεύματα καὶ ἀθύρματα, οἷον παίγνια καὶ μηδενὸς ἄξια.) [ἐκ τούτου δὲ διαβάλλει Σωκράτη, ὡς εὐτελῆ εἰσιν ἃ διδάσκει, καὶ οὐδενὸς ἄξια λόγου. — μικρὰ καὶ εὐτελῆ παίγνια. Br.]

633. [ἔξει : Ἀντὶ τοῦ ἔξελθε. ἔστιν εἴω τὸ πορεύομαι. οὗ παράγωγον εἶμι. ὁ παρατατικὸς εἶν, εἷς, εἶ.

καὶ ὥσπερ ἐν τοῖς εἰς ω τὸ τρίτον πρόσωπον τοῦ ὁριστικοῦ παρατατικοῦ δεύτερόν ἐστι προστακτικὸν, οὕτω καὶ ἐν τοῖς εἰς μι σχηματίζουσιν οἱ Αἰολεῖς καὶ οἱ Ἀθηναῖοι. οἷον [Il. Φ, 313] « ἵστη μέγα κῦμα » ἀντὶ τοῦ ἵσταθι. Ἀριστοφάνης [Av. 1310]

καὶ τοὺς κορίνους ἅπαντας ἐμπίμπλη πετρῶν.

ἀντὶ τοῦ ἐμπίμπληθι. οὕτως οὖν καὶ ἐκ τοῦ εἶ τρίτου προσώπου τοῦ ὁριστικοῦ παρατατικοῦ ἐν συνθέσει, ἔξει, προστακτικόν. ἢ ἀπὸ τοῦ εἶω. οἷ ὁ δεύτερος ἀόριστος ἶον, ἶες, ἶε· καὶ μετὰ τῆς ἐξ, ἔξιε, καὶ κατὰ μετάθεσιν καὶ συναίρεσιν, ἔξει. ὡσαύτως καὶ μετὰ τῶν λοιπῶν προθέσεων μέτει καὶ δίει· πλὴν τοῦ πάρει, καὶ σύνει. ἐνταῦθα γὰρ αἱ προθέσεις τῷ εἶ ἀντὶ τοῦ ὑπάρχεις συνδοιάζονται.]

ἀσκάντην δὲ τὸν σκίμποδά φησιν, ἢ δίφρου τι εἶδος· οἱ δὲ τὸν κράβατον. — τὸν σκάμνον, τὸν σκίμποδα. *Br.*

635. ἀνύσας : σπεύσας. *V.*

636. ὥσπερ ἡμεῖς ἐρωτῶμεν τοὺς παῖδας. V.

638. πότερα περὶ μέτρων : [Καλῶς διέστησεν. οὐ γὰρ εἴ τι μέτρον ἐστὶν, ἤδη καὶ ἔπος. εἴ τι δὲ ἔπος, ἤδη πάντως καὶ ῥυθμὸς καὶ μέτρον. σημειωτέον δ' ὅτι καὶ ταῦτα τῶν κυκλικῶν μαθημάτων.] διαφέρει δὲ μέτρον καὶ ῥυθμός. καὶ ὅτι πατὴρ μέτρου ὁ ῥυθμὸς, καὶ ὅτι ἀρχαία ἡ τῶν μέτρων καὶ ῥυθμῶν διδασκαλία.

639. περὶ τῶν μέτρων : (Λείπει τὸ θέλω μαθεῖν. διαβολὴ δὲ τὸ πᾶν, ὅτι τὰ μὴ οἰκεῖα τῇ τέχνῃ ἐπαγγέλλεται διδάσκειν. οὔτε γὰρ ποιητὴς ἦν οὔτε μουσικός.) ὡς ἄγροικος δὲ ὁ πρεσβύτης ἀπεκρίνατο ὡς ἐπὶ τῶν γεωργικῶν δεξάμενος. [ἀκούσας περὶ μέτρων ὁ Στρεψιάδης, τὸ δημοτικὸν μέτρον, ᾧ μετροῦσι τὰ σπέρματα, σκαιῶς ὑπείληφεν, διὸ, περὶ μέτρων, φησὶν, ἔγωγε. καὶ ἐκ τούτου διαβάλλει τὸν Σωκράτην, ὅτι τὰ μὴ οἰκεῖα τῇ τέχνῃ ἐπαγγέλλεται διδάσκειν. οὔτε γὰρ ποιητὴς ἦν οὔτε μουσοποιός. D.]

640. ἀλφιταμοιβοῦ : Τοῦ ἀντικαταλλάσσοντος καὶ πιπράσκοντος ἄλφιτα. ἢ τοῦ ἀμείβοντος ἀντὶ ἀργυρίου ἄλφιτα. [οὕτω καὶ ἀργυραμοιβοὶ οἱ ἀντὶ ἀργυρίου κέρματα ἀμείβοντες.]

(παρεκόπην : Ἐζημιώθην· ἀντὶ τοῦ ἐπλάνησέ με τῇ μέτρων ποσότητι δύο χοίνικας. — ἠπατήθην. *Vict.*)

641. κάλλιστον μέτρον : [Διαβάλλει Σωκράτη. οὐ γὰρ ποιητικὴν ἢ μουσικὴν ἐπηγγέλλετο διδάσκειν. ὁ δὲ τὰ προσόντα μὴ λέγων, χαριζόμενος δὲ τὰ μὴ προσόντα, ἀμφοτέρων ἐκεῖνος ἀποστερεῖται, ὁ τοὺς λόγους ἀμφοτέρων ἀποφαίνων ἀλλοτρίους καὶ ἀπείρους.] — εἴδη μέτρων, οἷς καὶ Ἀρχίλοχος κέχρηται ἐν τριμέτροις καὶ τετραμέτροις. R. V.

643. ἡμιεκτέου : Πρὸς τὸ τετράμετρον ἀπήντησε. τὸ γὰρ ἡμίεκτον μέτρον ἐστὶ τεσσάρων. ὁ γὰρ μέδιμνος μέτρα ἔχει μη', ὁ δὲ ἕκτεὺς η', τὸ δὲ ἡμίεκτον δ'. R. V. [Τοῦ τετραχοινίκου. ὁ γὰρ μέδιμνος χοίνικας ἔχει μη'. τούτων τὸ ἕκτον ὀκτώ. τὸ ἥμισυ τοῦ ἕκτου, τουτέστι τῶν ὀκτὼ, τὰ τέσσαρα. ὃ καλεῖται τετράμετρον. ὁ οὖν ἡμίεκτος τέσσαρας ἔχει χοίνικας. ἔπαιξε δὲ πάλιν εἰπὼν, οὐδὲν κάλλιον ἡγοῦμαι ἡμιεκτέου μέτρου· τουτέστι τεσσάρων χοινίκων. τούτου οὖν τὸ ἕκτον ἐστὶν ὀκτὼ χοίνικες. τὸ δὲ ἡμίεκτον, τουτέστι τὸ δωδέκατον τῶν ὀκτὼ πρὸς τοῖς τεσσαράκοντα, χοίνικες τέσσαρες.] (παρατηρητέον δὲ ὅτι διὰ τοῦ ε δεῖ λέγειν ἡμιεκτέον, καὶ οὐ κατὰ τὴν κοινὴν χρῆσιν ἡμιεκταῖον.)

644. περίδου νῦν ἐμοὶ : Ἀντὶ τοῦ συνθήκας ποίησον. [παρὰ τὸ Ὁμηρικὸν [Il. Φ, 485]

δεῦρό γε νῦν τρίποδος περιδώμεθα.

γίνεται δὲ οὕτω· δίδημι τὸ δεσμεύω. ὁ μέλλων διδήσω, ὁ δεύτερος ἀόριστος ἔδην, ὁ μέσος ἐδέμην ἔδεσο, καὶ ἀποβολῇ τοῦ σ ἔδεο καὶ ἔδου· καὶ τὸ προστακτικὸν δοῦ καὶ περίδου. καὶ Ὅμηρος [Il. Λ, 105] « δίδη μόσχοισι λύγοισιν. » ὡς ἄγροικος δὲ πάλιν ὁ πρεσβύτης ἀπεκρίνατο. ὁ μὲν γὰρ τὸ τῶν ποιημάτων ἔλεγε μέτρον, ὁ δὲ ὡς ἐπὶ τῶν γεωργικῶν ἐδέξατο.]

645. [εἰ μὴ τετράμετρον : Πρὸς τὸ τετράμετρον ἀπήντησε. τὸ ἡμιεκτέον μέτρον ἐστὶ τέσσαρα, ὡς πλεονάκις ἴσως τοῦ δέοντος εἴρηται.]

647. [ταχὺ δ' ἂν : Ἐν εἰρωνείᾳ. λέγει δὲ εἰς τὸ κιθαρίζειν. ταχὺ δυνηθείης, φησὶ, μεταλαμβάνειν τὸ κιθαρίζειν.]

649. κομψὸν : Πιθανὸν καὶ εὔχαριν ἐν συνόδῳ καὶ τῇ πρὸς ἑτέρους κοινωνίᾳ. [πιθανὸν καὶ ἀστεῖον φαίνεσθαι τοῖς συνοῦσιν.] — πιθανὸν καὶ ἡδύν. *Br.*

650. ἐπαίειν : αἰσθάνεσθαι καὶ νοεῖν. R. V.

651. κατενόπλιον : Εἶδος ῥυθμοῦ πρὸς ὃν ὠρχοῦντο σείοντες τὰ ὅπλα. Ἄλλως. ἐνόπλιον, τὸν ἀμφίμακρον, ὃς καὶ Κουρητικὸς καλεῖται ἀπὸ τοῦ τὰ εἰς τοὺς Κούρητας μέλη τούτῳ τῷ μέτρῳ κεχρῆσθαι. (Ἄλλως. ἀριθμητικὸν ἢ γεωμετρικόν. ἔστι δὲ ῥυθμοῦ καὶ κρούματος εἶδος τὸ κατὰ δάκτυλον, ᾧ χρῶνται οἱ αὐληταὶ πρὸ τοῦ νόμου.) — ὁ κατὰ δάκτυλον, ῥυθμός ἐστιν ὁ ἐν ἴσῳ λόγῳ. ὁ δὲ ἐνόπλιος καὶ προσοδιακὸς λεγόμενος ὑπό τινων σύγκειται ἐκ σπονδείου καὶ πυρριχίου καὶ τροχαίου καὶ ἰάμβου. συνεμπίπτει δὲ οὗτος ἤτοι τριποδίᾳ ἀναπαιστικῇ, ἢ βάσεσι δυσὶν, Ἰωνικῇ καὶ χοριαμβικῇ.

653. τίς ἄλλος : [Τὴν παρατροπὴν ἐατέον μεταξὺ τοῖν δυοῖν, ὡς ἐν τοῖς πλείστοις σχεδὸν φέρεται. ὁ πρότερος Σωκράτους

τίς ἄλλος ἀντὶ τουτουὶ τοῦ δακτύλου;

καὶ τάχα ἂν εἴη λέγων τῷ γέροντι, ἕτερόν τινα εἶναι δάκτυλον νομίζεις ἢ τοῦτον; δεικνὺς αὐτῷ ἕνα τῶν δακτύλων τῶν αὑτοῦ. ὅταν γὰρ περὶ ῥυθμῶν, οὐ περὶ τουτου τοῦ δακτύλου φησὶν, ἀλλὰ περὶ ἑτέρου. ὡς γὰρ ἄγροικος καὶ οὗτος ἐρεῖ οὐδὲν ἧττον δείξειν τὸν μέσον δάκτυλον ἀσελγαινόμενος. ἐὰν δὲ περιαίρηται, ἀμφότεροι ἔσονται τοῦ γέροντος ἀσυνδέτως εἰρημένοι. Ἄλλως.] δείκνυσι τὸν μέσον δάκτυλον αἰσχρῶς. λέγει οὖν

ὡς οὐκ ἔστιν οὐδεὶς ἀντὶ τούτου τοῦ δακτύλου. καὶ γὰρ παιδίῳ μοι ὄντι ὁ αὐτὸς ἦν καὶ νῦν δὲ γεγηρακότι. — τουτουί : Τὴν πόστην αὐτοῦ ἔδειξε. *Vict.*

655. ἀγρεῖος : Ἄγροικος καὶ ἀμαθής. R. ἄγροικος. *Vict.* ὦ οἰζυρέ : Ὀζυρὸς καὶ οἰζυρὸς ὁ ταλαίπωρος καὶ ἄθλιος, καὶ οἰζῶ, ἡ ταλαιπωρία. LB. ὦ ζυρέ : Ὥσπερ ἀπὸ τοῦ αἴ θρηνητικοῦ μορίου καὶ ἐπιρρήματος γίνεται ῥῆμα αἰάζω, τὸ θρηνῶ, καὶ ἐξ αὐτοῦ αἶας καὶ αἰανὸς, ὁ σκοτεινὸς, οὕτως καὶ ἀπὸ τοῦ οἴ θρηνητικοῦ ἐπιρρήματος γίνεται μὲν τὸ οἰμώζω, καὶ ἐξ αὐτοῦ οἰμωγὴ, ὁ θρῆνος, γίνεται δὲ καὶ τὸ οἴζω, ὃ σημαίνει τὸ θρηνῶ, κατὰ δὲ διάλυσιν καὶ μετὰ πλεονασμοῦ ὀΐζύω, καὶ ἐξ αὐτοῦ ὀϊζυρὸς καὶ ὀΐζύς. Vict.

657. ὃν εἶπεν ἥττονα. R.

661. κύων, ἀλεκτρυών : Καὶ ταῦτα γελοίου χάριν παρείληπται. ἢ καὶ πρὸς τὴν ἀθεότητα τοῦ Σωκράτους, ὅτι καὶ κατὰ τούτων ὤμνυεν. (ἔπαιξε δὲ τὸν ἀλεκτρυόνα ὡς τετράπουν καταριθμήσας, ἵν' ἡ ἀφορμὴ τοῦ λοιποῦ παιγνίου ἐκ τούτου γενήσεται.)

663. ⟦ἀλεκτρυόνα κατὰ ταυτὸν : Οὐκ ἂν ἄλλως λέγοιτο τοῦτο, εἰ μὴ ἐν ἔθει ἦν τότε καὶ τὴν θήλειαν ἀλεκτρυόνα λέγειν. σαφὲς δὲ γίνεται ἐν Ἀμφιαράῳ

> γύναι, τί τὸ ψοφῆσάν ἐσθ'; ἀλεκτρυὼν
> τὴν κύλικα καταβέβληκεν. οἰμώζουσά γε.

καὶ ἐν τῷ Πλάτωνος Δαιδάλῳ

> ἐνίοτε πολλαὶ τῶν ἀλεκτρυόνων βίᾳ
> ὑπηνέμια τίκτουσιν ᾠὰ πολλάκις.

καὶ

> ὁ δε παῖς ἔνδον τὰς ἀλεκτρυόνας σοβεῖ.⟧

(οἱ Ἀττικοὶ οὕτω καὶ τὰς θηλείας ἐκάλουν, ὡς καὶ Θεόπομπος. λέγουσι δ' αὐτὴν καὶ ἀλεκτρύαιναν.) — τῷ αὐτῷ ὀνόματι. R. V.

667. νὴ τὸν Ἀέρα : Μιμεῖται καὶ αὐτὸς τοὺς φιλοσόφους, καὶ κατὰ τοῦ ἀέρος ὄμνυσιν.

669. διαλφιτώσω : Πᾶσαν ἀλφίτων πληρώσω (τὴν κάρδοπον. κάρδοπον δέ φησι) μαγίδα, ἐν ᾗ τοὺς ἄρτους ἔματτον, ἢ σκαφίδιον ἐν ᾧ ἀναμάττειν καὶ ἀναφυρᾶν ἔθος τὰ ἄλφιτα. R. V.

670. ἰδού, φησὶ, διήμαρτες ἕτερον, τὴν καρδόπην εἰπὼν κάρδοπον· κοινῶς γὰρ κέκλιται. V.

673. τῶν πολιτευομένων εἷς ἦν ὁ Κλεώνυμος. ὡς γυναικιζόμενον δὲ αὐτὸν οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταὶ διαβάλλουσι. φησὶν οὖν, τὴν κάρδοπον ἀρσενικῶς καλεῖς, δέον θηλυκῶς· ὥσπερ Κλεώνυμον ἄρρενα καλοῦσί τινες, οὐδὲν διαφέροντα τὴν αἰσχύνην τῶν γυναικῶν. — πῶς δὴ, φράσον : Ἢ πρὸς τὸ φράσον στίζον καὶ τὸ λοιπὸν κατ' ἐρώτησιν λέγε, ἢ τὸ ὅλον ἓν ἔστω. Cant. 1.

674. ταυτὸν δύναταί σοι : Ἀντὶ τοῦ ὁμοιοκαταληκτά ἐστι. ἅμα δὲ ὅτι καὶ γυναικώδης ὁ Κλεώνυμος, (ἄλλως τε ὅτι καὶ ταυτὸν γένος σημαίνει διὰ τὴν κατάληξιν).

676. ἐπειδὴ πένης ἦν ὁ Κλεώνυμος (καὶ παράσιτος), διασύρει αὐτὸν ὡς ἀποροῦντα μάκτρας καὶ θυεῖα χρώμενον. (μικρὰ γὰρ ἡ θυεία, ἡ δὲ κάρδοπος μεγάλη. ἔχει δὲ ἀδηφαγίας διαβολήν. τοῦτο κατὰ Κλεωνύμου. τρόπον γὰρ μάκτρας ἔστω σοι, φησὶ, Κλεώνυμος.)

678. τὴν Σωστράτην : Πάλιν ἐνταῦθα ὁ ποιητὴς σκώπτει τὸν Σώστρατον, Σωστράτην εἰπὼν, διότι λίαν ἀσελγὴς ἦν καὶ θηλυδρίας. Junt., Victor.

680. ⟦καρδόπη, Κλεωνύμη : Τοῦτον ἤδη ὡς κίναιδον διασύρει, ἐπεὶ ῥίψασπις καὶ δειλός. ἐν ἐρωτήσει δὲ ὁ λόγος, καὶ λείπει τὸ ὡς· ἵν' ᾖ, ἐκεῖνο δ' ἦν ὀρθῶς ὡς καρδόπη καὶ Κλεωνύμη λέγειν. ὅμοιον δὲ ἦν τὸ λέγειν καρδόπην, ὡς Κλεωνύμην.⟧

684. αὗται πόρναι ἦσαν. V.

686. οὗτοι ἐπὶ μαλακίᾳ διαβάλλονται. R. V.

687. ὦ ἄθλιε· τὸ μὲν γὰρ κατηγορεῖ τύχης, τὸ δὲ φύσεως. V.

688. οὐκ ἄρρεν' ἐν ὑμῖν ἐστιν : Οὐκ ἄρρενα ταῦτα ὑμεῖς ἡγεῖσθε. *Ε*

691. (γυναῖκα τὴν Ἀμυνίαν : Πρὸς τὴν κατάληξιν τοῦ ὀνόματος ἔπαιξεν εἰς διαβολὴν τοῦ ἀνδρός. ἐνταῦθα μὲν εἰς δειλίαν μόνον καὶ μαλακίαν. Κρατῖνος δὲ ἐν Σεριφίοις ὡς ἀλαζόνα καὶ κόλακα καὶ συκοφάντην. Εὔπολις δὲ ὡς παραπρεσβευτὴν, ὅπερ καὶ ἐν τοῖς Σφηξὶ [1271] φαίνεται.)

694. ⟦κατακλινεὶς : Τοῦτο κοινόν. τὸ γὰρ κατακλιθεὶς Ἀττικόν. — Ἰωνικῶς δὲ κατακλινθείς. Junt.⟧

695. ἐκφρόντισόν τι : Σκέψαι τι τῶν σοι συμφερόντων καὶ ἐννοήθητι.

696. ⟦μὴ δῆθ' ἱκετεύω : Παρεπιγραφή· ποιήσει γὰρ τὸ προσταχθέν. εἶτα καταβρωθεὶς ἀρνηθήσεται.⟧

(698). οὐκ ἔστι παρὰ ταῦτ' ἄλλα : [Εἰ μὴ ἐπὶ τοῦ ἀσκάντου σκέψῃ.] τοῦτο, φησὶ, πάντως δέδοκται καὶ οὐκ ἂν ἐάσαιμί σε, φησὶν, ἕτερόν τι ποιῆσαι.

699. (ἀντὶ τοῦ σήμερον. καὶ τήμερος) ὁ σημερινός. καὶ ἔστι τεταγμένον ἐπὶ σώματος, τὸ δὲ τήμερον ἐπὶ χρόνου λέγεται. καὶ ἐν Ὀλκάσιν « ἰὼ Λακεδαῖμον, τί ἄρα πείσῃ τήμερα, » ἀντὶ τοῦ σημερινή.

700. φρόντιζε δὴ καὶ διάθρει : Ἐκάθισεν αὐτὸν ἐπὶ τοῦ ἀσκάντου. τὸ δὲ δή ἰσοδυναμεῖ τῷ νῦν. ⟦ἔκθεσις τῆς διπλῆς ἀμοιβαίας ἐκ στίχων καὶ κώλων δύο πρὸς τοῖς εἴκοσιν· ὧν τὸ πρῶτον δίμετρον ἐκ διιάμβου καὶ χοριάμβου. τὸ δεύτερον δίμετρον ἐκ χοριάμβου καὶ βακχείου. τὸ τρίτον ἰαμβικὸν πενθημιμερές. τὸ τέταρτον ἐκ διιάμβου καὶ χοριάμβου τρίμετρον βραχυκατάληκτον. τὸ πέμπτον ἐκ διιάμβου καὶ δι τροχαίου ταυτοπαθές. τὸ ἕκτον τρίμετρον ἐκ διιάμβων καὶ κατὰ τὸ μέσον χοριάμβου. τὸ ἕβδομον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ὄγδοον δίμετρον ἀντισπαστικὸν βραχυκατάληκτον, ἢ ἐκ δυοῖν βακχείοιν ἀκατάληκτον. τὰ ἑξῆς δύο ἰαμβικὰ τρίμετρα. τὰ δὲ μετὰ ταῦτα ἀναπαιστικὰ δίμετρα καταληκτικὰ εἰς δισύλλαβον· πλὴν τοῦ πεντεκαιδεκάτου, μονομέτρου ὄντος. ὁμοίως καὶ τοῦ ἑπτακαιδεκάτου καὶ εἰκοστοῦ πρώτου (ἀναπαιστικαὶ γὰρ βάσεις) καὶ τοῦ τελευταίου ἀναπαιστικοῦ μὲν ὄντος

ἐφθημιμεροῦς, παροιμιακοῦ δὲ, ὡς πολλάκις εἴρηται, καλουμένου. ἔστι δὲ καὶ ταῦτα πολυσχημάτιστα. ἐπὶ τῷ τέλει δύο διπλαῖ ὡς ἐν τοῖς προφθᾶσιν. ἰστέον δὲ ὅτι τὰς ἐκθέσεις τῶν διπλῶν οὐκ ἀεὶ διὰ τοῦ αὐτοῦ μέτρου ἐκφέρουσιν, ἀλλὰ καὶ δι' ἑτέρου· ἔστι δ' ὅτε καὶ διὰ διαφόρων, ὡς κἀνταῦθα.] ἀντὶ τοῦ βλέπε. R. βλέπε. V. διάθρει : Ἀντὶ τοῦ ἀνάκρινε καὶ δοκίμαζε.

701. πάντα τρόπον : Τουτέστιν, ἐπὶ πολλὰ τὴν διάνοιάν σου τρέπε.

702. στρόβει : Περίφερε τῇδε κἀκεῖσε, πυκνόν τι καὶ συνετὸν ποιήσας φρόνημα καὶ σκεψάμενος.

πυκνώσας : Συναγαγὼν πάντα τὸν νοῦν σου. E.

703. εἰς ἄπορον πέσῃς : (Ἐπειδὰν δὲ, φησὶν, εἴς τι ἄπορον πέσῃς, ταχέως ἐπ' ἄλλο νόημα φρενὸς πήδα. ἄπορον δὲ, οὗ πόρον καὶ λύσιν οὐκ ἔστιν εὑρεῖν. καθάπτεται δὲ τοῦ Σωκράτους, ὡς καὶ αὐτοῦ ἐπὶ ταῖς ζητήσεσιν οὕτω ποιοῦντος. ὅταν γὰρ στενοχωρῆται καὶ ἀπορῇ, μεθίσταται εἰς ἕτερον. ὁ γὰρ ὑποτιθέμενος ἄλλῳ δῆλον ὅτι αὐτὸς ἐν πείρᾳ γενόμενος τῶν ὅσα λέγει ὑποτίθεται. Ἄλλως.) οὗ πόρον οὐκ ἔστιν εὑρεῖν. φησὶ δὲ ὅτι, ἐὰν ἡ διάνοια εἰς ζήτημα ἄπορον ἐμπέσῃ, μετάβηθι ἐπὶ ἄλλο. σκώπτειν δὲ διὰ τούτων βούλεται τὸν Σωκράτην ὡς χλευαζόμενον ἐν ταῖς συζητήσεσι καὶ μεθιστάμενον ὑπὸ στενοχωρίας. R.V.

707. ἰατταταί : Καταπονούμενος ὑπὸ τῶν κόρεων στενάζει ὁ Στρεψιάδης. [ἔστι δὲ παρεπιγραφή. κατακλιθεὶς γὰρ καὶ μὴ δυνάμενος ὑπενεγκεῖν, παρεκάλει.] βακχεῖον δίρυθμον.B.

710. οἱ Κορίνθιοι : Ἴσως μὲν ὅτι κατ' ἐκεῖνον τὸν καιρὸν ἐπέκειντο αὐτοῖς οἱ Κορίνθιοι, ἅμα δὲ ὅτι παρὰ τὸ κόρις πεποίηνται οἱ Κορίνθιοι. παίζων οὖν παρονομάζει ἅμα μὲν πρὸς τὸ τῶν κόρεων ὄνομα, ἅμα δὲ διὰ τὸν πόλεμον καὶ ὅτι ἐχθροὶ ἦσαν Ἀθηναίων οἱ Κορίνθιοι. — δέον οἱ κόρεις εἰπεῖν, Κορίνθιοι εἶπεν· ἐπειδὴ οἱ Ἀθηναῖοι καὶ οἱ Κορίνθιοι κατ' ἐκεῖνο καιροῦ πόλεμον εἶχον καὶ οἱ Κορίνθιοι τὰ τῆς Ἀττικῆς ἐδῄουν. Br.

712. [ψυχὴν ἐκπίνουσιν : Ἰστέον ὅτι τρεῖς ψυχάς φασι. τὴν αὐξητικὴν, ἥτις ἐστὶ κοινὴ τῶν ἀνθρώπων, τῶν ἀλόγων ζώων καὶ τῶν φυτῶν· τὸ αἷμα, ὅπερ ἐστὶ μόνων τῶν ζώων· καὶ τὴν λογικὴν, ἥτις ἐστὶ μόνων τῶν ἀνθρώπων. Junt. αἷμα. *Br.*]

717. πῶς δυνατὸν, φησὶ, μὴ ἀλγεῖν. R.

719. φρούδη δ' ἐμβάς : Μέχρι τοῦ εὐτελοῦς κτήματος. τοῦτο δὲ εἶπε διὰ τὸ ὑπολύσασθαι τὰς ἐμβάδας, ὅτε καὶ ἀπεδύσατο ὡς μέλλων εἰσιέναι εἰς τὸ φροντιστήριον. [Ἄλλως. οὐκ εἶπεν ὄπισθεν ὅτι τὰς ἐμβάδας ὑπελύσατο ὁ Στρεψιάδης, ὅτε εἰσῄει τὸ ὑπὲρ γῆν ἐκεῖνο φροντιστήριον, ἀλλὰ μόνον, ὅτι ἐξεδύσατο τὸ ἱμάτιον. καὶ οὐδὲν θαυμαστὸν, εἰ τὸ γεγονὸς μὲν τότε παρῆκε, νῦν δὲ λέγει· τουτέστι τὸ ὑπολύσασθαι τὰς ἐμβάδας. ὃ δὲ ἐκεῖ εἶπεν, ἤγουν τὸ ἀποδύσασθαι τὸ ἱμάτιον, νῦν οὐ λέγει. Junt.]

721. φρουρᾶς ἄδων : Οἱ γὰρ φρουροῦντες πρὸς τὸ ἀποσοβεῖν τὸν ὕπνον καὶ τὴν ἀγρυπνίαν αὐτῶν [παραμυθεῖσθαι] ᾖδον. καὶ οὕτως ἦν λεγόμενον ἐπὶ τῶν ἀγρυπνούντων, φρουρᾶς ἄδειν. [Ἄλλως. ἐκ τοῦ παρεπομένου τοῖς φρουροῖς. εἰώθασι γὰρ ἑαυτοῖς ἄδειν ἀποπερισπῶντες τὸν ὕπνον.] (φρουρᾶς ἄδων : Οἷον διαγρυπνῶν περὶ τὴν φρουράν. διττὴ δέ ἐστιν ἡ γραφὴ, φρουρὰς ἄδων καὶ φρουρὰς ἰδών. καὶ τὸ μὲν φρουρὰς ἄδων ἀντὶ τοῦ συνεχῶς ἄδων φρουρὰς, τὸ δὲ φρουρὰς ἰδὼν ἀντὶ τοῦ φυλάττων, ἐπειδὴ φύλακες ἦσαν τῶν τοῦ φροντιστηρίου θυρῶν.) [Ἄλλως. τὸ φρουρᾶς ἄδειν παροιμία ἐστὶν ἐπὶ τῶν ἀγρυπνούντων καὶ φροντιζόντων πάνυ λεγομένη. οἱ γὰρ ἐπιτραπέντες ἐν νυκτὶ τινὰ φυλακὴν ἄδουσιν, ἵνα μὴ ὑπὸ τοῦ ὕπνου καταμαλθακισθέντες ἐκλίπωσιν ὃ φυλάσσουσιν. εἰκότως δ' ἐνταῦθα ἡ παροιμία ἐλήφθη. καὶ γὰρ αὐτὸς ἐν τῇ κλίνῃ κείμενος οὐκ ἐκοιμᾶτο, ἀλλ' ἐφρόντιζεν. ἀστείως δὲ πάνυ καὶ τὸ φροῦδος εἴρηκεν ὁ ποιητὴς, ἐκ τῶν δύο λέξεων συνθήκης, τοῦ φρουρᾶς καὶ τοῦ ἄδων, σχηματίσας αὐτό. Junt. ἕνεκα. παροιμία ἐπὶ τῶν ἀγρυπνούντων. *Br.*]

726. ἀπόλωλ' ἀρτίως : Ὑπὸ τῶν κόρεων δηλονότι. ἐπειδὴ Σωκράτης εἶπεν ἀπολεῖ, ὅ ἐστι, μέλλεις ἀπολέσθαι, οὗτος λέγει, ὅτι ἀπόλωλ' ἤδη.

727. οὐ μαλθακιστέον πρὸς τὰ τῶν κόρεων δήγματα. R.V.

729. κἀπαιόλημ' : Κίνημα, ἀποπλάνημα καὶ ἀπάτην τινὰ, πανούργημα. ἢ οὕτως. δεῖ σε, φησὶ, καλύψασθαι καὶ σκέψασθαι. ἐπεὶ οἱ εἴς τι τείνοντες τὸν ὀφθαλμὸν ἀποπλανῶνται τὴν γνώμην. [ἀπαιόλημα γίνεται ἀπὸ τοῦ αἰόλλω, ὃ δηλοῖ τὸ ταχέως καὶ δίκην ἀέλλης κινῶ· ἀφ' οὗ Ὅμηρος αἰολοπώλους τοὺς Φρύγας καλεῖ, ἤγουν ταχυίππους, ἢ ποικίλως ἱπταζομένους. Junt. ἀπάτη καὶ πανουργία. *Br.* κἀπαιόλημα : Αἴολος ποικίλος ἢ εὐκίνητος ἀπὸ τοῦ αἰολεῖν, ὅ ἐστι κινεῖν. *Vict.*] ἐπιβάλοι : ἀντὶ τοῦ καλύψειε. R.

730. ἀρνακίδων : Ἀρνακὶς λέγεται τὸ τοῦ ἀρνοῦ κώδιον. ἔπαιξε δὲ πρὸς τὸ ἀρνεῖσθαι. δέον γὰρ εἰπεῖν, τίς ἄν με περιβάλοι ἀπὸ ἀρνακίδων γενόμενον περιβόλαιον, ἔπαιξε παρονομάσας ἀπὸ τοῦ ἀρνὸς καὶ τοῦ ἀρνεῖσθαι. τὸ δὲ ἀποστερητίδα ἅμα μὲν ἀπὸ τοῦ ἀποστερεῖν, ἅμα δὲ καὶ ἀντὶ τοῦ περιβόλαιον. [ἀρνακὶς, τὸ τοῦ ἀρνὸς κώδιον. παίζει δὲ ἐνταῦθα, γνώμην ἐξ ἀρνακίδων εἰπὼν ἀποστερητίδα, ἤγουν γνώμην ἐξ ἀρνήσεως καὶ ἀποστερήσεως. ὤφειλε δὲ εἰπεῖν· τίς ἂν δῆτ' ἐπιβάλοι καὶ ἐπιθήσει σκέπασμα ἐξ ἀρνακίδων, ὡς ἂν γνώμην εὕροιμι ἀποστερητικήν; ὁ δὲ παίξας οὕτως ἐξήνεγκεν. Br.]

731. ἔρχεται πάλιν ἐπ' αὐτὸν ὁ Σωκράτης. R.

(733). ἔχεις τι : [Ἐπειδὴ προεῖπεν αὐτῷ, ἀναρτήσας τὴν φροντίδα, ὡς ἐπὶ ὀρνιθοθήρου εἶπε τὸ ἔχεις.] ὡς ἐπὶ τῶν ἀγρευόντων ἤτοι ὄρνιν, ἢ ἰχθῦν, εἶπε τὸ ἔχεις τι, ἀντὶ τοῦ συνείληφάς τι; ἀναρτῆσαι γὰρ αὐτῷ ἐκέλευσε τὴν διάνοιαν καὶ τὴν φροντίδα. Ἄλλως. χαριέντως τὸ ἔχεις τί, τῇ τῶν ἀγρευτῶν λέξει χρώμενος. τοῖς γὰρ ἁλιεῦσιν ἢ ὀρνιθαγρευταῖς οὕτω φασὶν, ἔχεις τί.

734. ἢ τὸ πέος : (Παρεπιγραφή.) δεῖ γὰρ αὐτὸν κα-

θέζεσθαι ἔχοντα τὸ αἰδοῖον (καὶ μιμεῖσθαι τὸν δερμύλλοντα ἑαυτόν).

735. τι φροντιεῖς : Φροντίζω, τὸ φροντίδα ἔχω, κοινῶς μὲν γενικῇ συντάσσεται· Ἀττικῶς δὲ μετὰ αἰτιατικῆς, ὡς ἐνταῦθα, ἢ ἐν τῷ [190] « βολβοὺς ζητεῖτε; μὴ τοῦτο φροντίζετε. » Junt.

737. [αὐτὸς ὅ τι βούλει : Διαβάλλει αὐτὸν, ὡς μὴ παρέχοντα εὔρημα τοῖς μαθηταῖς.]

740. σχάσας : Ἀντὶ τοῦ καταπαύσας, στήσας, ἀτρεμίσας. καὶ Πίνδαρος [Pyth. 10, 70] « κώπην σχάσας » ἀντὶ τοῦ τὴν εἰρεσίαν καταπαύσας. ἔνιοι δὲ σχάσας ἀντὶ τοῦ ἁπλώσας. [ὄπισθεν μὲν [108] ἔλεγε παθητικῶς σχασάμενος, νῦν δὲ σχάσας. ἔοικε δὲ ἀμφότερα ἐν χρήσει. ἔστι δὲ καὶ σχάζειν τὸ τέμνειν τὴν φλέβα, ὡς Ξενοφῶν [Hist. Gr. 5, 4, 58] « σχάζει τὴν παρὰ τῷ σφυρῷ φλέβα. » Cant. 3.]

741. λεπτὴν : Ἀντὶ τοῦ ἀκριβῆ. ἔνθεν καὶ λεπτολόγος. περιφρόνει δὲ ἀντὶ τοῦ ἐρεύνα.

742. διαιρῶν : Ἀντὶ τοῦ ἀναπτύσσων καὶ δοκιμάζων καὶ διακρίνων τὰ ποιήματα καὶ οἷον διαίρεσιν αὐτῶν ποιῶν. σκοπῶν δὲ ἀντὶ τοῦ ἀκριβῶς καὶ ἐπιμελῶς καταμερίζων περὶ οὗ ἂν τὴν σκέψιν ποιῇ. [Ἄλλως. ὡς ἐπὶ τῶν μίμων ἐχρήσατο. ὡσεὶ ἔλεγε κατὰ κεφάλαιον ἐκζητῶν. — ὁ γὰρ σκεπτόμενος οὕτω, διαιρεῖ τὴν βουλήν· οἷον, εἰ τόδε ποιήσω, τόδε ἀπαντήσει· καὶ εἰ τόδε, τόδε. Junt., Vict.]

743. ἔχ' ἀτρέμα: Ἐφ' ἡσυχίας μένε· ὡς αὐτοῦ κινουμένου διὰ τοὺς κόρεις. τὸ δὲ κἂν ἀπορῇς τι τῶν νοημάτων ἀντὶ τοῦ κἂν ἀπορῇς εἰς νόημά τι. [Ἄλλως. ἰστέον ὅτι οἱ Ἀττικοὶ πάντα τὰ ἑνικά τε καὶ πληθυντικὰ τρίτα πρόσωπα τῶν ῥημάτων καὶ τὰς τῶν ὀνομάτων δοτικὰς τῶν πληθυντικῶν συμφώνου καὶ φωνήεντος ἐπιφερομένου μετὰ τοῦ ν γράφουσιν, ὡς ἔστι σαφῶς συμβαλεῖν ταῖς τοῖς πάλαι σοφοῖς πεπονημέναις ἐντυγχάνοντα βίβλοις. οἱ δὲ Ἴωνες δίχα τοῦ ν. τούτοις οὖν καὶ ἀμφοτέροις οἱ ποιηταὶ παρακολουθοῦντες, καὶ δὴ καὶ τῇ ἀνάγκῃ τοῦ μέτρου ἑπόμενοι, πολλάκις συμφώνου μὲν ἐπιφερομένου μετὰ τοῦ ν γράφουσι· πολλάκις δὲ καὶ φωνήεντος ἐπιφερομένου δίχα τοῦ ν. τοιοῦτον δή τι τῇ τοῦ μέτρου ἀνάγκῃ καὶ ἐν τοῖς ν καὶ εἰς ς λήγουσιν ἐπιρρήμασι ποιεῖν εἰώθασιν, οἷον τὸ πρόσθεν, νέρθεν, ὑπένερθεν· τὸ οὕτως, αὖθις, πολλάκις, εὐθύς, ταχύς, ἀτρέμας, καὶ τοῖς ὁμοίοις. τοῦτο δὲ οὕτως ἔχον εὑρήσεις ἀκριβῶς σκοπῶν. Junt.]

744. ἀντὶ τοῦ καὶ δεύτερον ἐπίστησον περὶ τῶν αὐτῶν καὶ τρίτον. ζυγώθρισον δὲ ἀντὶ τοῦ ἴσωσον. Ἄλλως. ἔασον τὸ ἀπορούμενον· ἔπειτα πάλιν ἀνασκοπεῖν καὶ οἷον ἀνοίγειν ἀποπειρῶ. τὸ γὰρ ἀναζυγοῦν ἐστι τὸ ἔξωθεν ἀνοίγειν τὴν θύραν. ἔνιοι δὲ τὸ ζυγώθρισον, ἀντὶ τοῦ συνάρμοσον, σύμπηξον.

745. (κίνησον αὖθις : Ὑποτίθεται πῶς δεῖ φροντίζειν, καὶ τίνα τρόπον. φησὶν οὖν ἐὰν ὑπεισέλθῃς, ἔτι μὴ ἀμελήσῃς, ἀλλὰ πολλάκις αὐτὸ μέτελθε· καὶ οὕτως εἰς ἓν συμφορήσας τὴν ἀρίστην γνώμην ἑλοῦ.)

[ζυγώθρισον : Ἀπὸ τοῦ ζυγὸς γίνεται καὶ τοῦ ἀθερίζω, τὸ ἀποδοκιμάζω, ζυγοαθέρισον, καὶ κατὰ συγκοπὴν τοῦ ε, καὶ κρᾶσιν τοῦ ο καὶ α εἰς ω μέγα, ζυγώθρισον. Junt. σκόπησον, μελέτησον· μεταφορικῶς. *Br.*]

746. ὦ Σωκρατίδιον : Ὡς ἐνθυμηθείς τι ἀνίσταται καὶ βοᾷ.

749. γυναῖκα φαρμακίδ' : Διαβάλλονται οἱ Θετταλοὶ ὡς γόητες. καὶ μέχρι νῦν γε φαρμακίδες παρ' ἡμῖν αἱ Θετταλαὶ καλοῦνται. φασὶ δὲ ὅτι Μήδεια φεύγουσα κίστην ἐξέβαλε φαρμάκων ἐκεῖ καὶ ἀνέψυσαν. τὸ δὲ Θετταλὴν Ἀττικοὶ βαρύνουσιν οἱ κατὰ Μένανδρον, ὡς δαμάλην.

751. λοφεῖον στρογγύλον : Τὴν τοῦ κατόπτρου θήκην. ἢ τὴν θήκην τοῦ λόφου τῆς περικεφαλαίας. περιφερὴς δὲ αὕτη. — λοφεῖον : Ἀγγεῖον. *Br.*

752. ὥσπερ κάτοπτρον : Ὁ γὰρ τῆς σελήνης κύκλος στρογγυλοειδὴς, καθάπερ τὰ ἔσοπτρα. καὶ φασὶ τοὺς περὶ τὰ τοιαῦτα δεινοὺς τούτῳ κατάγειν τὴν θεόν. ἔστι δὲ καὶ Πυθαγόρου παίγνιον διὰ κατόπτρου τοιοῦτον. πληροσελήνου τῆς σελήνης οὔσης, εἴ τις εἰς ἔσοπτρον ἐπιγράψειεν αἵματι ὅσα βούλεται, καὶ προειπὼν ἑτέρῳ στῆναι κατόπιν αὐτοῦ, δείκνυσι πρὸς τὴν σελήνην τὰ γράμματα, κἀκεῖνος ἀτενίσας ὁ πλησίον εἰς τὸν τῆς σελήνης κύκλον, ἀναγνοίη πάντα τὰ ἐν τῷ κατόπτρῳ γεγραμμένα ὡς ἐπὶ τῆς σελήνης γεγραμμένα.

754. μηκέτ' ἀντέλλοι : Πρὸς τὸ προειρημένον ὑπ' αὐτοῦ [17]

ὁρῶν ἄγουσαν τὴν σελήνην εἰκάδας.

[τελουμένης γὰρ σελήνης οἱ τόκοι ἐδίδοντο. εἰ γοῦν οὐκ ἀνατέλλοι, πῶς ἂν οἱ δανεισταὶ γνόντες τὸν μῆνα τελούμενον ἀπαιτήσαιεν τοὺς τόκους; Junt.]

755. (τιητί δή : Παράλληλα. καὶ παρ' Ὁμήρῳ [Il. Ψ, 409] « τίη λείπεσθε φέριστοι; »)

756. [ἀργυρίων : Οὕτως ἡ γραφὴ ἀργυρίων παρὰ Φρυνίχῳ κεῖται· ὅτι οἱ κωμικοὶ πληθυντικῶς φασὶν, οἱ δὲ ῥήτορες ἑνικῶς. καὶ Σώφρων πληθυντικῶς « ἀργυρίων δεήσῃ. »]

757. προβαλῶ : Προθήσω, εἰς ὃ δεῖ σε μηχανὴν εὑρεῖν. Junt.

758. εἴ σοι γράφοιτο : Εἰ κατηγοροίη κατηγορίαν πέντε σε δυναμένην ζημιῶσαι τάλαντα. Ἀττικῶς δὲ τοῦ ἀριθμοῦ τὸ πέντε ἐφύλαξε. [Ἄλλως. ἰστέον ὅτι ἐν τοῖς δικασταῖς οἱ δανεισταὶ ἐρχόμενοι ἔλεγον, ὡς ὁ δεῖνα αὐτοῖς ὀφείλει. εἶτα ὁ τοῦ δικαστηρίου γραμματεὺς ἔγραφε τοῦτο. καὶ μετὰ ταῦτα ὁ ὀφείλων καλούμενος ἀπῃτεῖτο τὸ δάνειον. Junt.]

759. ποίῳ τρόπῳ. R.

761. εἶλε τὴν γνώμην : Ἀπόκλειε, ἔφελκε. ὅθεν [ap. Hom. Il. N, 572] ἰλλάσιν. R. V. — εἰλῶ, τὸ στρέφω παρὰ τοῖς κοινοῖς, περισπωμένως. εἶλω δὲ, βαρυτόνως, παρὰ τοῖς ποιηταῖς. Junt. στρέφε. *D. E.* εἶλλε : Ἀπόκλειε. *A.*

762. ὑποχάλα : Ὥσπερ ἀπὸ ὕψους τινὸς καταβίβαζε. Cant. 3.

763. μηλολόνθην : [Οὕτω γράφουσιν οἱ ἀκριβέστεροι. τινὲς δὲ λέγουσιν ὅτι ζωύφιόν ἐστι χρυσίζον κανθάρῳ ὅμοιον, ὃ λαμβάνοντες οἱ παῖδες ἀποδεσμοῦσι λίνῳ καὶ ἐκπεταννύουσιν. Ἄλλως. τὸν χρυσοκάνθαρον. οὕτως οὖν, φησί, δῆσόν σου τὴν γνώμην, ἵν', ὅταν ἁρπάσῃς ἐκ τοῦ ἀέρος τὴν γνώμην, πάλιν ἐπισπάσῃ αὐτήν. — μηλολόνθην : Χρυσοκάνθαρον, ζίναν. *Br.*] εἶδος ζωϋφίου τινὸς παρὰ τὸν κάνθαρον, ὃ τοῖς ἄνθεσιν ἐπικαθέζεται. ταύταις οὖν εἰς παιδιὰν ἐχρῶντο Ἀθήνησι παῖδες, λίνον τοῦ ποδὸς ἐξαρτῶντες καὶ ξυλήφιον, ὅπερ οὐκ ἐξισχύουσιν ἀνακουφίσαι εἰς τὸν ἀέρα· ἔχοντες ἐξουσίαν πάλιν αὐτὰς κυνηγετῆσαι. λέγει δὲ τὸν χρυσοκάνθαρον. R. V.

764. ἀποφυγήν. R.

765. τὰ γὰρ καλὰ ἐπαινεῖ ὁ διδάσκαλος. V.

766. [τοῖσι φαρμακοπώλαις : Φαρμακοπῶλαι κυρίως οἱ τὰ φάρμακα πιπράσκοντες, τά τε λυσιτελοῦντα καὶ τὰ θανάσιμα. παρὰ τοῖς παλαιοῖς δὲ καὶ οἱ τοὺς τιμαλφεῖς (τουτέστι πολυτίμους) λίθους πιπράσκοντες, φαρμακοπῶλαι ἐλέγοντο. οὐδεὶς γὰρ τῶν τοιούτων λίθων, ὃς οὐκ ἔχει καινοτέραν δύναμιν. Junt.] τὸν κρύσταλλον. R. V.

768. τὴν ὕαλον λέγεις : Κατασκεύασμά ἐστιν ὑάλου τροχοειδὲς, εἰς τοῦτο τεχνασθὲν, ὅπερ ἐλαίῳ χρίοντες καὶ ἡλίῳ θερμαίνοντες, προσάγουσι θρυαλλίδα καὶ ἅπτουσι. τοῦτο οὖν, φησὶν, εἰ ὑφάψαιμι διὰ τῆς ὑέλου, καὶ προσαγάγοιμι τῇ δέλτῳ τὸ πῦρ τῇ τοῦ γραμματέως, ἀφανίσαιμι τὰ γράμματα τῆς δίκης. (ὅτι δὲ ὕαλος θηλυκῶς, καὶ διὰ τοῦ α. διὸ τὸ χ. Ὅμηρος δὲ οὐκ οἶδε τὸ ὄνομα, ἀλλὰ παρ' αὐτῷ καὶ τοῖς ἀρχαίοις ἤλεκτρος μέν ἐστιν, ὕαλος δὲ οὔ.) [Ἄλλως. ὕαλον ἡμεῖς μὲν ἀρτίως τὸ ἐκ βοτάνης τινὸς κεκαυμένον καὶ διὰ πυρὸς τηκόμενον εἰς κατασκευὴν ἀγγείων τινῶν λέγομεν. οἱ παλαιοὶ δὲ τὴν διαφανῆ λίθον, τὸν ἰδιωτικῶς λεγόμενον κρύον, ἐοικότα δὲ ὑάλῳ. Junt.]

770. ὁ γραμματεὺς : ὁ γράφων τὰ λεγόμενα ἐν ταῖς δίκαις, ὃν νῦν καλοῦμεν ἐκσκέπτορα. R. V.

773. νὴ τὰς Χάριτας : Πάλιν ἑτέρῳ ὅρκῳ κέχρηται ὁ Σωκράτης. V. [οὐχ ἁπλῶς ὄμνυσι κατὰ τῶν Χαρίτων. ὀπίσω γὰρ τῆς Ἀθηνᾶς ἦσαν γλυφεῖσαι αἱ Χάριτες ἐν τῷ τοίχῳ, ἃς ἐλέγετο ὁ Σωκράτης γλύψαι. τὸ γὰρ πρῶτον λιθογλύφος ἦν τὴν τέχνην. αἰνίττεται οὖν αὐτοῦ τοῦ Σωκράτους εἰς τὴν πρώτην τέχνην. — Ἄλλως. τῷ μὲν φαινομένῳ ἀρεσκόμενος Σωκράτης δείκνυται τῷ τοῦ Στρεψιάδου νοήματι, καὶ ὄμνυσι τὰς Χάριτας, ὅτι σοφῶς τοῦτο τὸ νόημα ἐπενόησε τὸ τῆς τοῦ χάρτου τεφρώσεως. Χαρίτων γὰρ ἔργα καὶ δῶρα σοφία. ἐσχηματισμένως δὲ τοῦ Σωκράτους καθάπτεται ὁ ποιητὴς, κωμῳδῶν τοῦτον ὡς λιθοξόον. Σωφρονίσκου γὰρ λιθοξόου ἦν υἱὸς Σωκράτης, καὶ τῆς λαξευτικῆς μετέσχε τέχνης, καὶ ἀνδριάντας λιθίνους ἐλάξευε, καὶ ἀγάλματα δὲ τῶν τριῶν Χαρίτων εἰργάσατο, Πειθοῦς, Ἀγλαΐας καὶ Θαλείας· καὶ ἦσαν ὄπισθεν τῆς Ἀθηνᾶς ἐγγεγλυμμένα τῷ τοίχῳ. Junt.]

[οἶμ' ὡς ἥδομαι : Ὁ ἄγροικος ὡς ἥδη νενικηκὼς διὰ τὸ τῆς εὑρέσεως τοῦτο λέγει. καὶ γὰρ ἐν τῇ συνηθείᾳ πολλάκις λέγομεν τὸ οἶμοι χαίροντός τινος. V. τὸ οἴμοι καὶ ὤμοι ποτὲ μὲν ἐπ' εὐφροσύνῃ κείμενον εὕρηται, ποτὲ δὲ ἐπὶ λύπης. καὶ ἐπ' εὐφροσύνῃ μέν, ὡς ἐνταῦθα, οἶμ' ὡς ἥδομαι· καὶ [926] « ὤμοι σοφίας ἐμνήσθης. » ἐπὶ δὲ λύπης ὡς τὸ, οἴμοι τάλας· καὶ [Plut. 850]

οἴμοι κακοδαίμων, ὡς ἀπόλωλα δείλαιος.

καὶ [infra 928]

ὤμοι μανίας τῆς σῆς, πόλεώς τε.

Junt.]

774. (διαγέγραπται : Κατέξυσται, ἀνήρηται. ἀπὸ τῆς τοῦ γραμματέως δέλτου, ὅπου αἱ δίκαι ἀνεγράφοντο, καὶ αἱ εἰσαγωγαὶ τῶν δικῶν.) — ἀπήλειπται, ἠφάνισται. *Br.*

(776). ἀντιδικῶν : [Κατηγορῶν καὶ ἐναντιούμενος.] τοῖς γὰρ γραψαμένοις καὶ μὴ ἀποδείξασιν ἐπεβάλλετο χρηματικὴ ζημία, καὶ εἰ μὴ κατὰ τὸ ὡρισμένον ἐξέτισεν, ὑπερήμερος γενόμενος ἐξετίνυε τὸ τετραπλοῦν. οἱ δὲ μὴ ἔχοντες ἐκτῖσαι καθείργνυντο ἐν τῷ δικαστηρίῳ. πολλοὶ δὲ τοῦτο πεπόνθασιν, ὡς ὁ ῥήτωρ ἐν τῷ κατὰ Ἀριστογείτονος. — ἀποστρέψαις : Ἀποδιώξαις. ἀντιδικῶν : Ἀντεγκαλῶν, ἀντιλέγων. *Br.*

777. ὀφλήσειν : καταδικασθῆναι. R.

778. εὐκολώτατα καὶ εὐχερῆ. V.

781. λείπει τὸ καλῶς λέγω. R. V.

783. ὑθλεῖς : ἀντὶ τοῦ φλυαρεῖς· ὕθλος γὰρ ὁ φλύαρος. R. V. τὸ δὲ ἄπερρ' ἀντὶ τοῦ φθείρου. V. ληρεῖς, φλυαρεῖς. *Br.* ὑθλεῖς : Ὕθλος, φλυαρία, μωρία, ληρότης. ἄπερρ' : Ἀποφθείρου, πορεύου μετὰ φθορᾶς. *Vict.* ἄπαιρε : Ἄπελθε. *D.*

784. ἀντὶ τοῦ διὰ τί. τὸ δὲ ὅτι περιττόν. R. V.

786. ἀνακρίνει αὐτὸν εἰ μέμνηται. R. V.

788. τίς ἦν ἐν ᾗ : Τὴν κάρδοπόν φησιν. ὥσπερ ἐπιλαθόμενος ταῦτα λέγει.

790. [ἐπιλησμότατον : Ἰδίως ἐπιλησμονέστατον. Ἄλεξις δὲ λέγει ἐπιλήσμη, Κρατῖνος ἐπιλησμόνη.]

792. ὑπερβατόν· ἀπολοῦμαι γάρ. V. γλωττοστροφεῖν : τὴν γλῶτταν στρέφειν καὶ ποικίλον ἐν τῷ λέγειν καθεστηκέναι. R. V. — τὴν γλῶτταν στρέφειν, δι' ἧς ἂν τοὺς δανειστὰς ἀποκρούσωμαι. Junt., Vict.

799. εὐσωματεῖ : Ἐκ τοῦ ἐναντίου συγκατατίθεται. δέον γὰρ ἂν μανθάνειν τοιοῦτον ὑγιαίνοντα. εἰ μὴ ἄρα τοῦτο λέγει, ὅτι φοβοῦμαι αὐτόν. — ναὶ, ἄκων ἐπιτρέπω. *E.* ἀντὶ τοῦ ἰσχυρότερός μού ἐστι τὸ σῶμα. R. V.

800. εὐπτέρων : (Ἡ μεταφορὰ ἀπὸ τῶν ὀρνέων, τῶν μετεώρων καὶ ὑπερηφάνων. ἢ εὐπτέρων τῶν τιμίων καὶ εὐγενῶν. ἢ τῶν φρονουσῶν τὰ Κοισύρας, ἀντὶ τοῦ μέγα φρονουσῶν. Ἄλλως.) ἢ εὐγενῶν, ἀπὸ τῶν ὀρνέων, ἢ κούφων καὶ ὧν ὁ λογισμὸς ἵπταται. ἢ τὴν Κοισύραν τὴν Μεγακλέους ἀστειζόμενος ὡς δραπέτης αὐτῆς

αὐτοὺς διασύρειν θέλει. — εὐπτέρων : Εὐγενῶν, ἐπηρμένων. τῶν Κοισύρας : Ἐκ ταύτης γὰρ ἡ τούτου γυνὴ κατήγετο. *Br.* ἐκ ταύτης τῆς Κοισύρας ἡ τούτου γυνή. καὶ διὰ τοῦτο εὐγένιζεν ἑαυτήν. *D.*

801. ἀτὰρ μέτειμι : Καὶ δὴ μετέλθω, μεταχειρίσομαι, εἴ πως δυνηθῶ πεῖσαι αὐτόν. Junt., Vict. μέτειμι : Μετελεύσομαι. *Vict.*

802. ἐξελῶ : Ἐξελάσω. *Br.*

803. πρὸς τὸν Σωκράτην τοῦτό φησι. R. V.

804. χοριάμβος δίμετρος ἀκατάληκτος. χοριάμβος δίμετρος δικατάληκτος. ἴαμβος πενθημιμερής. ἀπὸ χοριάμβου βάσεως εἰς χοριάμβον. ἴαμβος δίμετρος καταληκτικός. ἴαμβος δίμετρος ἀκατάληκτος. ἀπὸ χοριάμβου βάσεως εἰς ἴαμβον. χοριαμβικὸν τρίμετρον ἀκατάληκτον. χοριάμβος ἑφθημιμερής. V. [κορωνὶς καὶ εἴσθεσις χοροῦ μεσῳδικὴ κώλων διαφόρων δέκα. τούτων τὸ μὲν πρῶτον δίμετρον ἀντισπαστικὸν ἐκ διτροχαίου καὶ παλιμβακχείου. τὸ δεύτερον ἐξ ἀντισπάστου καὶ ἀμφιβράχεος. τὸ τρίτον ἐξ ἐπιτρίτου τρίτου καὶ ἰάμβου δίμετρον βραχυκατάληκτον. τὸ τέταρτον δίμετρον ἐκ διτροχαίου καὶ ἀμφιβράχεος. τὸ πέμπτον τροχαϊκὸν δίμετρον ἀκατάληκτον, ἀδιαφόρου τῆς τελευταίας οὔσης. τὸ ἕκτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ἕβδομον ἐκ χοριάμβου καὶ διιάμβου δίμετρον. τὸ ὄγδοον χοριαμβικὸν τρίμετρον ἀκατάληκτον. τὸ ἔνατον ὅμοιον τῷ ἕκτῳ, ἐχούσης ἀνάπαιστον τῆς ἀρχούσης. τὸ δέκατον χοριαμβικὸν δίμετρον καταληκτικόν· εἶτ' οὖν ἐκ χοριάμβου καὶ βακχείου.]

807. (ἀντὶ τοῦ ἕτοιμός ἐστι) μισθούς σοι χορηγεῖν οὓς ἂν θέλῃς. R. V.

809. ἐκπεπληγμένου : Ἀντὶ τοῦ, ἐπαινοῦντος. λείπει δὲ τὸ σέ. οἱονεὶ ἐκπλήκτου καὶ μέγα φρονοῦντος. — ἐξεστηκότος καὶ ἄγαν προθυμουμένου. *E.*

810. ἐπῃρμένου : Μετεώρου καὶ ἑτοίμου πᾶν ποιήσειν, ὃ ἂν κελεύῃς. *E.*

[811. γνοὺς ἀπολέψεις : Οἱ λέγοντες τὸ γνοὺς ἀντὶ τοῦ αἴσθησιν λαβών, ἵνα συντάσσωσι τὴν γενικὴν, οὐ καλῶς λέγουσιν. ἐστὶ γὰρ αὕτη ἡ γενικὴ πρὸς τὸ ἀπολάψεις, οὕτω· σὺ δὲ ἀπολάψεις (ἀντὶ τοῦ ἀποκέρδησον) ταχέως ὅ τι πλεῖστον δύνασαι ἀνδρὸς ἐκπεπληγμένου καὶ φανερῶς ἐπῃρμένου. εἶτα ὕστερον ἐπάξεις τὸ γνοὺς, ἀντὶ τοῦ, οὕτως ἔχοντα αὐτὸν νοήσας. ἔστι δὲ ἀπολάψεις ἐνταῦθα ἀντὶ τοῦ προστακτικοῦ. δείκνυται γὰρ ἐκ τῆς κατασκευῆς, ὅτι τοῦτο αἱ Νεφέλαι αὐτῷ ἐπιτάττουσιν. Junt., E. ἀπολάψεις : Ἀποκέρδησον, ἐμφορηθῆς. *Br.*]

ἀπολέψεις : [Ἀπολεπίσεις. ἐὰν δὲ, ὡς ἐν τοῖς πολλοῖς, ἀπολάψεις, ἐκπίῃς· ἀπὸ τῶν κυνῶν ἡ μεταφορὰ, ἢ ὅσα λάπτοντα πίνει. καταστρέφει δὲ εἰς τὸ] ἀποκερδανεῖς, ἢ ἁρπάσεις, ἀποσπάσεις. Ὅμηρος [Il. Π, 161]

λάψοντες γλώσσῃσιν [ἁρπαξῆσι μέλαν ὕδωρ].

812. [φιλεῖ γάρ πως : Ἔθος ἔχει, συμβαίνει γὰρ ἄλλως ἀποβαίνειν ἢ προσδοκᾷ τις. ἀντὶ τοῦ, εὐμετάβλητοί εἰσιν οἱ ἐξ ἐπιθυμίας ἀλόγου τινὶ συμβαλόντες. εὐμετάβολοι γὰρ αἱ τῶν τοιούτων ἀνδρῶν γνῶμαι. ἀσύμβουλοι δὲ, φησὶν, ὅτι καὶ ταχέως μεταβαλλόμενοι ἐπιθυμίας ἥττους ἁλίσκονται.]

814. [οὗτοι μὰ τὴν Ὁμίχλην : Κορωνὶς ἑτέρα ὁμοία, οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι οε'. ὧν τελευταῖος

πρὸς πάντα τὰ δίκαι' ἀντιλέγειν δυνήσεται.

ἐπὶ τῷ τέλει κορωνὶς, καὶ ἐξῆς τὸ χοροῦ· ὤφειλε γὰρ κἀνταῦθα θεῖναι χορὸν, ἄχρις ἂν οἱ λόγοι ἐξέλθωσι.] ὡς μύστης γεγενημένος τῶν φιλοσόφων τὴν Ὁμίχλην ὕμνυσι, μιμούμενος αὐτούς. V.

815. κίονας : Ἀντὶ τοῦ τοὺς λίθους τῆς Μεγακλέους οἰκίας· οὗτοι γὰρ μόνοι κατελείφθησαν αὐτῷ πάντα καταφαγόντι. R. [ὡς ἅπαντα καταφαγόντος τοῦ Μεγακλέους. ὡς εἰ ἔλεγε τὸν πλοῦτον. ἐμφαίνει δὲ διὰ τούτων ὡς οὐδὲν αὐτῷ κατελείφθη, εἰ μὴ ἡ αὐλὴ Μεγακλέους. λέγει δὲ ὅτι πάντα κατηναλωκὼς καταλέλοιπε τοὺς λίθους τῆς οἰκίας· αἰνίττεται οὖν εἰς τὴν ἀσωτίαν τοῦ υἱοῦ, ὅτι πάντα κατηνάλωσεν αὐτοῦ, καὶ οὐδὲν ἔτι ὑπολείπεται. — Ἄλλως. ἐντεῦθεν δῆλον ὅτι ἐν κίοσιν ἵστατο ὁ οἶκος αὐτοῦ. δείκνυται δὲ ὅτι μόνοι οὗτοι ὑπελείφθησαν αὐτῷ τῶν ἄλλων καταναλωθέντων παρ' αὐτοῦ. Junt.]

817. οὐκ εὖ φρονεῖς : Εἴ γε καὶ αὐτὸς ἐπετιμήθη ἐπὶ τούτοις παρὰ Σωκράτους. ταῦτὰ δὲ πειρᾶται διδάσκειν τὸν υἱὸν, καταγελῶν αὐτοῦ ὡς μὴ δεόντως μήτε Δία ὀμνύντος μήτε νομίζοντος. [τοῦ δὲ Δία τὸ α ἐκτείνεσθαί φησι Σύμμαχος Ἀττικῶς. ἐνδεῖ δὲ τὸ χ.]

819. τηλικουτονί : Οἷον, τελείαν ἔχοντα τὴν ἡλικίαν, καὶ ὀφείλοντα πάντα εἰδέναι. — σὲ ἦδη τελείαν ἔχοντα ἡλικίαν. *Vict.*

821. ἀρχαϊκά : Ἀντὶ τοῦ μωρὰ, εὐήθη, λῆρα. — ἀρχαῖοι οἱ μωροὶ ἐκαλοῦντο ἀπὸ τῶν ἐπὶ τοῦ Κρόνου ἐκείνων ἀρχαίων καὶ ἀπραγμόνων ἀνδρῶν. Junt.

824. ὅπως δὲ τοῦτο : Ὡς ἐπὶ τούτῳ φθονούντων τῶν διδασκάλων. ἢ ὡς καὶ αὐτὸς παρηγγέλθη [143] « νομίσαι δὲ ταῦτα χρὴ μυστήρια. » — Ἄλλως. τηρεῖ τὰς παραινέσεις ἃς παρήνεσεν αὐτῷ πρότερον μαθητὴς Σωκράτους, ὅρα. *Br.*

825. [ἰδοὺ τί ἐστι : Πλησιάσας αὐτῷ φησὶ τὸ ἰδού.]

830. [αἰβοῖ : Γελῶν λέγει τὸ αἰβοῖ. ἔστι δὲ ἐπίρρημα σχετλιαστικόν.]

830. ὁ Μήλιος : Παρ' ἱστορίαν. Ἀθηναῖος γὰρ ὁ Σωκράτης· ἀλλ' ἐπεὶ Διαγόρας, Μήλιος ὢν, διεβάλλετο ὡς θεομάχος, καὶ τὸν Σωκράτη δὲ ὡς ἄθεον διαβάλλει, διὰ τοῦτο Μήλιον αὐτὸν εἶπεν. (Ἄλλως. Ἀριστοφάνης ἐγένετο Μήλιος διθυραμβοποιὸς, ὃς τὰ ἐν Ἐλευσῖνι μυστήρια ἐξορχησάμενος καὶ ἐξειπὼν ἀσεβέστατος ἐκρίθη. ἀπ' ἐκείνου οὖν τοὺς Μηλίους ἐπὶ ἀσεβείᾳ κωμῳδοῦσι. [οἱ δὲ Μήλιον, τὸν καταπραΰνοντα τῇ διδαχῇ τὰς ψυχὰς τῶν μαθητῶν. οἱ δὲ τὸν κομῶντα, τὸν δια-

σύν.] Ἄλλως. ὁ Μήλιος : Τινὲς ἐξεδέξαντο τὸν τὰς τῶν εἰσιόντων ψυχὰς ὀξύνοντα πρὶν εἰσελθεῖν ἠγριωμένας· ἀπὸ μεταφορᾶς τῶν ἀλόγων θηρίων, μῆλα γὰρ τὰ θρέμματα. οἱ δὲ εἰς τὸ δασὺ καὶ αὐχμηρὸν νοοῦσιν αὐτό. οἱ δὲ παρέλαβον οὕτως. Διαγόρας ὁ Μήλιος, ὃς τὸ μὲν πρότερον ἦν θεοσεβής, παρακαταθήκην δὲ ὑπό τινος ἀποστερηθείς, ἐπὶ τὸ ἄθεος εἶναι ἐξέδραμεν, ἐφ' ᾧ οἱ Ἀθηναῖοι ἀγανακτήσαντες, τὴν Μῆλον ἐκάκωσαν.) [Ἄλλως. Διαγόρας γέγονέ τις βλάσφημος εἰς τὸ θεῖον, Μήλιος. καί ποτε, φασίν, ἐν πανδοκείῳ εὑρεθείς, καὶ μὴ εὑρὼν ξύλα, ἀλλ' ἄγαλμα Ἡρακλέους· ἄγε, φησί, τρισκαιδέκατον ἡμῖν ἐπιτέλει ἄεθλον, καὶ ἔψησον τὸν φακόν. — ἄλλοι δέ φασιν ὡς οὗτος ὁ Διαγόρας διδάσκαλος ἦν Σωκράτους. LB., Cant. 2.] — ψυλλῶν δὲ ἴχνη λέγει γινώσκειν τὸν Χαιρεφῶντα διὰ τὴν ζήτησιν, [145] ψύλλαν ὁπόσους ἅλλοιτο τοὺς αὐτῆς πόδας. R.V.

832. Ἀττικῶς τὸ μανιῶν ἀντὶ τοῦ (τῆς) μανίας. R. V. τὸ δὲ χολῶσιν ἀντὶ τοῦ μαινομένοις. V.

833. [πείθειν : Οὐκ ἔστι τὸ πείθειν ἀντὶ τοῦ πείθεσθαι, ὥς τινές φασιν, ἵνα τὴν δοτικὴν συντάξωσιν· ἀλλ' ἔστιν ἡ τοιαύτη δοτικὴ πρὸς τὸ ἐλήλυθας, οὕτω. σὺ δὲ εἰς τοσοῦτον τῶν μανιῶν ἐλήλυθας ἀνδράσι χολῶσιν ὥστε πείθειν αὐτοὺς σέ. τουτέστιν, οὕτω τῆς αὐτῶν μανίας μετέσχες, ὥστε καὶ πείθειν σε περὶ τῶν ματαίων. C.]

834. ἀντὶ τοῦ εὐφήμει καὶ μηδεμίαν εἴπῃς περὶ αὐτῶν ἁμαρτίαν. λείπει ἡ εἰς, ἵν' ᾖ εἰς ἄνδρας δεξίους. V. ἀντὶ τοῦ εὐφήμει καὶ μηδὲν εἴπῃς περὶ αὐτῶν βλάσφημον. R. φλαῦρον : ἀντὶ τοῦ κακόν. R.V.

835. ὑπὸ τῆς φειδωλίας : (Ὡς κομῶντας διαβάλλει τοὺς φιλοσόφους. ταῦτα δὲ ἐποίουν οἱ φιλόσοφοι διὰ καρτερίαν. ὁ δέ φησιν ὅτι οὐ διὰ ἀρετὴν ταῦτ' ἐποίουν, ἀλλὰ διὰ σμικρολογίαν. ἃ γοῦν ὑπ' ἐγκρατείας ἐποίουν οὗτοι, οὗτος ὑπὸ φειδωλίας φησίν.) δοκῶν ἐπαινεῖν, ψέγει. ἀντὶ γὰρ τοῦ εἰπεῖν καρτερίας εἶπε φειδωλίας.

838. καταλούει μου : [Ἐντρυφᾷς, καταναλίσκεις τὴν περιουσίαν. τὸ δὲ καταλούει, καταναλίσκεις εἰς λουτρά. ἤδη γὰρ ὥσπερ τεθνεῶτός μου καταλούει. Ἄλλως. δαψιλῶς ἀναλίσκεις μου τὸν βίον. ἐκ μεταφορᾶς τῶν ἐκχυνομένων ὑδάτων ἐν τοῖς βαλανείοις. ἢ ἐντρυφᾷς, ὡς καὶ τοῦ βαλανείου διὰ τρυφὴν ὄντος.] ἔθος ἦν μετὰ τὸ ἐκκομισθῆναι τὸ σῶμα καθαρμοῦ χάριν ἀπολούεσθαι τοὺς οἰκείους τοῦ τεθνεῶτος. λέγει δὲ ὅτι εἰς τρυφὴν καταναλίσκεις. (τὴν δὲ κατά πρόθεσιν εἰς ἐπίτασιν παραλαμβάνουσιν, ὡς ἐπὶ τοῦ καταφαγεῖν. οὕτως δὲ ἐπὶ τοῦ καταλούει μου τὸν βίον.) βίον δὲ τὴν περιουσίαν. ἢ εἰς λουτρὰ καταναλίσκεις. — καταλούει : Δαπανᾷς, ἀφανίζεις. *Br.*

841. ἀληθὲς : Ἐὰν μὲν προπαροξυτόνως, αὐτὸ τὸ ἀληθὲς λέγει, ἐὰν δὲ ὀξυτόνως, τὸ πρᾶγμα δηλοῖ τὸ μετέχον τῆς ἀληθείας. — ἀντὶ τοῦ ἀληθῶς πάνυ. οὕτω λέγει ἐπὶ τοῦ ἐπιρρηματικοῦ. R.V.

842. ἀντὶ τοῦ ἀναίσθητος, ἀνόητος, παχὺς εἰς τὸ νοεῖν. R.V.

844. (οἶμοι τί δράσω : Πρὸς τὸν πατέρα δικάσομαι καὶ δείξας αὐτὸν μαινόμενον, οὕτω τὴν μανίαν παύσω.)

845. παρανοίας : Ἀντὶ τοῦ κατηγορήσω αὐτοῦ ὡς παραφρονοῦντος. — παρανοίας : Παραφροσύνης. εἰσαγαγὼν : Εἰς δικαστήριον. ἕλω : Νικήσω, λαβῶ. *Br.*

846. σοροπηγοῖς : [Τουτέστι τοῖς ποιοῦσι σοροὺς τοῖς νεκροῖς. χλευάζει δὲ τὸν πατέρα ὡς πρεσβύτην καὶ γειτονεύοντα τῷ θανάτῳ. Ἄλλως. τοῖς σοροποιοῖς,] τοῖς τὰς σοροὺς τῶν ἀποθνησκόντων ποιοῦσι. τουτέστιν ἄλλην ἴασιν οὐκ ἔχει ἢ τὸν θάνατον· καὶ δέον αὐτῷ πρὸς τὴν ταφὴν τὰ ἐπιτήδεια κατασκευάζειν, ἵνα ποιήσωσιν αὐτῷ σορὸν δηλονότι ἐγγὺς ὄντι θανάτου. — τοῖς νεκροθάπταις· ἄξια γὰρ θανάτου πράττει. *Br.*

850. ἀντὶ τοῦ οὕτως καλέσῃς.

853. τοὺς γηγενεῖς : Διὰ τὸ νεκρώδεις αὐτοὺς εἶναι καὶ ὠχρούς. ἢ ἀσεβεῖς καὶ θεομάχους, διὰ τοὺς γίγαντας. — γηγενεῖς αὐτοὺς καλεῖ, ὡς ὑπὸ γῆν διατρίβοντας, ὥσπερ μύας· ἢ ὡς ἀσεβεῖς καὶ θεομάχους. τοιοῦτοι γὰρ ἦσαν καὶ οἱ γίγαντες. Br.

855. ὑπὸ τοῦ πλήθους τῶν ἐτῶν, ἀντὶ τοῦ ὑπὸ τοῦ γήρως. προεῖπε γὰρ [129] « πῶς οὖν γέρων ὢν κἀπιλήσμων (καὶ βραδὺς λόγων ἀκριβῶν σκινδαλμοὺς μαθήσομαι); » R. V.,

857. καταπεφρόντικα : Εἰς τοὺς φροντιστὰς ἀνάλωσα. [ὡς εἰ ἔλεγε, καταπεφρόνηκα. ἢ] εἰς τὴν παίδευσιν καταδεδαπάνηκα. — τοῖς φροντισταῖς ἀφῆκα. *E.*

858. τέτροφας : Κατέφαγες, ἐτράφης. *Br.*

859. ὥσπερ Περικλέης : [Περικλῆς πολλῶν ὄντων χρημάτων ἐν τῇ ἀκροπόλει, εἰς τὸν πόλεμον τὰ πλεῖστα ἀνάλωσε. φασὶ δὲ ὅτι καὶ λογισμοὺς διδοὺς, τάλαντα εἴκοσιν ἁπλῶς εἶπεν εἰς τὸ δέον ἀνηλωκέναι. φησὶ δὲ Ἔφορος ὅτι μετὰ ταῦτα μαθόντες οἱ Λακεδαιμόνιοι Κλεανδρίδην μὲν ἐδήμευσαν, Πλειστοάνακτα δὲ ιε' ταλάντοις ἐζημίωσαν, ὑπολαβόντες δωροδοκήσαντας αὐτοὺς, διὰ τὸ φείσασθαι τῆς λοιπῆς Ἀθηναίων γῆς, ὑπὸ τῶν περὶ τὸν Περικλέα, μὴ θελήσαντα γυμνῶς εἰπεῖν ὅτι δέδωκα τοῖς Λακεδαιμονίων βασιλεῦσι τὸ ἐνδεές. Ἄλλως. Περικλῆς, Ἀθηναίων στρατηγὸς, χρήματα τοῦ δημοσίου λαβὼν εἰς τὸ κατασκευάσαι ὁλόχρυσον ἄγαλμα τῇ Ἀθηνᾷ, ἐλεφάντινον ποιήσας, τὰ πολλὰ ἐσφετερίσατο, συμποιησάμενος μετὰ Φειδίου τοῦ πλάστου. ἐπεὶ δὲ κατακρινόμενος ὡς πλεῖστα ἀναλώσας ἠρωτᾶτο ποῦ ἀνηλώθη, ὑπὸ μεγαλονοίας ἔλεγεν, εἰς τὸ δέον ἀνήλωσα. Ἄλλως. Περικλῆς τοῖς ἐφόροις Λακεδαιμονίων Κλεανδρίδῃ καὶ Πλειστοάνακτι χρήματα δέδωκεν ὑπὲρ προδόσεως, καὶ τούτων ἀπαιτούμενος ὑπὸ τῆς πόλεως λόγον, οὐκ ἀξιῶν ἑαυτόν τε καὶ τοὺς Λακεδαιμονίους καταισχύνειν, ἔλεγεν, εἰς τὸ δέον ἀνήλωσα. τοῦτο δὲ γνόντες οἱ Λακεδαιμόνιοι τὸν μὲν Κλεανδρίδην ἐφόνευσαν, τὸν δὲ Πλειστοάνακτα δεκαπέντε ταλάντοις ἐζημίωσαν, οἰηθέντες αὐτοὺς, διὰ τὸ φείσασθαι τῆς λοιπῆς Ἀθηναίων γῆς, δωροδοκήσαντας ἐκ τῆς Ἀττικῆς ἀναχωρῆσαι. Περικλῆς Ἀθηναίων στρατηγὸς λόγον ἀπαιτούμενος ὑπὲρ χρημάτων καὶ δεδωκὼς χρήματα Κλεανδρίδῃ τῷ

ἁρμοστῇ Λακεδαιμονίων ἐπὶ προδοσίᾳ, τοῦτο οὐκ ἐδήλου, ἀλλ' εἰς τὸ δέον ἔλεγεν ἀναλῶσαι ταῦτα. R. V.

860. εἶτα τῷ πατρὶ : Προτρεπόμενος αὐτὸν τρίτον τὸ αὐτὸ λέγει. V. ἀντὶ τοῦ, ἔχεις ἀπολογίαν ὅτι πατρὶ πειθόμενος ἥμαρτες. σφάληθι καὶ ἁμάρτανε δι' ἐμέ. — ἴθι βάδιζ' : Πορεύου, παραγενοῦ. *Vict.*

862. Οὕτως Ἀττικοὶ βαρύνουσιν ἑξέτει. V. τραυλίσαντι : ἀντὶ τοῦ ψελλίζοντι, ἄσημον φωνὴν προϊέντι. ἡλιαστικὸν δὲ, ἀντὶ τοῦ ἐκκλησιαστικόν. (ἡλιαία δὲ, τὸ δικαστήριον, διὰ τὸ ὑπαίθριον εἶναι καὶ τῷ ἡλίῳ βάλλεσθαι.) οὐχ ἵστατο δὲ ὁ τῶν δικαστῶν μισθός.

864. Διασίοις : [Ἑορτὴ τοῦ Διός. ἁμαξὶς δὲ, τὸ μικρὸν ἁμάξιον, ἢ πλακοῦντος εἶδος.] Διάσια, ἑορτὴ τοῦ Διὸς παρ' Ἀθηναίοις. ἁμαξὶς δὲ πλακοῦντος εἶδος, ἣν νῦν κοπτὴν φαμέν. Σύμμαχος δὲ τὸ μικρὸν ἁμάξιον. ταῦτα γὰρ τοῖς παιδίοις ἠγόραζον. R. V.

865. ἦ μὴν σὺ τούτοις : [Προαναφωνεῖ αὐτῷ ἃ μέλλει ποιήσειν.] ἀντὶ τοῦ λυπηθήσῃ ποτὲ, ἐὰν μάθω δηλονότι. (τοῦτο δὲ λέγει πεισθεὶς τῷ πατρί. διὸ καὶ ὁ πατὴρ ἐπιφέρει, εὖ γ' ὅτι ἐπείσθης.)

868. νηπύτιος γάρ : Ἀντὶ τοῦ νήπιος. ἐπεκτείνει δὲ τὸ ὄνομα ὁ Σωκράτης, ἵνα καταπλήξῃ τὸν νεώτερον (νῦν εἰσελθόντα). — νηπύτιος : Ἄφρων, ἀνόητος. *Vict.*

870. (ἐφ' ὧν κρέμανται οἱ φιλόσοφοι.) Ἄλλως. τῶν ὀργάνων τῶν ἀστρονομικῶν καὶ γεωμετρικῶν. κρέμαται γὰρ ἐν τῷ φροντιστηρίῳ. οὕτω μέν, εἰ κρεμαστῶν γράφεται. τῶν κρεμαστρῶν δηλονότι τετριμμένος εἴης ἀεὶ κρεμάμενος.

872. [ἰδοὺ κρέμαιό γε : Διώκων ὁ Σωκράτης τῇ φωνῇ ἐρεῖ μιμούμενος, ὅτι κακῶς τῷ στόματι εἶπε τὸ κρέμαιό γε.]

873. καὶ τοῖσι χείλεσι διερρυηκόσι : Ὡς μωρὸν καὶ ἀπαίδευτον καὶ ἀνόητον διακεχηνόσι τοῖς χείλεσι (τῇ φωνῇ μιμούμενος ὁ Σωκράτης φησί). — διακεχηνόσι. *Br.*

875. κλῆσιν : Τὴν μαρτυρίαν. χαύνωσιν δὲ τὴν λύσιν τῶν δικῶν, οἷον ἀπάτην καὶ κενὰ ῥήματα ἀναπείθοντα τοὺς ἀκούοντας. (Ἄλλως. χαύνωσιν ἀναπειστηρίαν, ὅταν τοῦ ἀντιδίκου προβάλλοντος λόγους πιθανοὺς, εἰς τοὐναντίον τις αὐτοὺς περιτρέψῃ, καὶ χαύνους καὶ ἀσθενεῖς ποιήσῃ, διὰ τῶν λόγων αὐτοῦ ἀναπείσας τοὺς δικαστὰς, ὡς ἄρ' ἀληθῆ λέγει.)

876. [καί τοι ταλάντου : Ἀξιοπιστεύονται οἱ διδάσκαλοι λέγοντες, ἔλαττον τοσοῦδε οὐ λαμβάνω ἐπὶ τούτῳ τῷ ἀναγνώσματι. καὶ ἐπαγέλλονται προνοήσασθαι τῶν καινῶν μαθημάτων, ὅσων προνοοῦσι μάλιστα.]

877. θυμόσοφός ἐστι : Ἀντὶ τοῦ εὐφυὴς, εὐμαθὴς, ἐκ τοῦ ἰδίου θυμοῦ σοφὸς καὶ οὐκ ἐκ μαθήσεως.

878. δεικτικῶς ἀντὶ τοῦ μικρόν. R. V.

879. ἀντὶ τοῦ οἰκίας ἐποίει ἀπὸ πηλοῦ, οἷα εἰώθασιν οἱ παῖδες ποιεῖν. R. V.

880. σκυτίνας : δερματίνας. R. V.

881. σιδίων : Ἐκ τῶν λεπύρων τῶν ῥοιῶν. τὰ παιδία ἐκ μὲν τῶν δερμάτων περιέτεμνε τροχοὺς καὶ ἁμάξια, ἐκ δὲ τῶν ῥοιῶν ὅταν καταφάγωσι τὰ ἐντὸς, ἐκ τῶν λεπύρων βατράχια ἔγλυφεν. [εἶτα τὸ πῶς δοκεῖς, θαυμάζων προφέρεται καθ' ἑαυτόν. βούλεται δὲ αὐτὸν ὡς ἐκ παιδὸς ἀποδεῖξαι εὐφυᾶ, καὶ γλύφειν ἀστείως δυνάμενον.] — τὸ δὲ πῶς δοκεῖς ὡς θαυμάζων λέγει. R. V.

882. μαθήσεται : Γνώσεται, ὄντινα δεῖ μαθεῖν. *R.*

883. τὸν ἥττονα : Ὃς τἄδικα λέγων ἀνατρέπει τὸν κρείττονα. *Vict.*

885. ἐὰν δὲ μὴ οἷός τ' ᾖ τοὺς δύο μαθεῖν, παντὶ τρόπῳ τὸν ἄδικον μαθήσεται. R. V.

886. ἀντὶ τοῦ αὐτοὶ οἱ λόγοι διδάξουσιν αὐτόν. V.

(889). χώρει δευρί. δεῖξον σαυτὸν : Διπλῆ καὶ κορωνὶς ἀποχωρησάντων τῶν ὑποκριτῶν. μέλος δὲ τοῦ χοροῦ οὐ κεῖται, ἀλλὰ γέγραπται μὲν ἐν μέσῳ χοροῦ, καὶ ἔπεται εἴσθεσις ἀναπαιστικὴ τῶν ὑποκριτῶν· διὸ καὶ τὰ πρόσωπα οὐ τελείας ἔχει τὰς συζυγίας. ἔστι δὲ τὰ πάντα κῶλα οὗ, ὧν τὰ πρῶτα δ' ἀναπαιστικά. ὑπόκεινται ἐπὶ τῆς σκηνῆς ἐν πλεκτοῖς οἰκίσκοις οἱ λόγοι δίκην ὀρνίθων μαχόμενοι. τὸ τοῦ χοροῦ πρόσωπον ἐκλέλοιπεν. ἐπιγραφὴ δὲ φέρεται χοροῦ. ὁ δὲ κρείττων λόγος καὶ ὁ ἥττων διαλέγονται. [Ἄλλως. χώρει δευρὶ : Εἴσθεσις διπλῆς κατὰ σχῆμα δικανικὸν ἐκ κώλων ἀναπαιστικῶν μέ'. ὧν τὸ κη' τὸ λέ' καὶ τὸ λθ' μονόμετρα ἀκατάληκτα. τὰ δὲ λοιπὰ πάντα δίμετρα ἀκατάληκτα, τῶν δύο προσώπων ὡς ἐπιτοπλεῖστον δίμετρον κῶλον ἀποτελούντων, ὧν τὸ τελευταῖον

κλαύσει· τὴν χεῖρ' ἐπιβάλλεις,

ἑφθημιμερές. ἰστέον δὲ ὅτι τὸ κη' κῶλον τετράβραχυν ἔχει, ἤτοι προκελευσματικὸν τὸν πρῶτον πόδα ἀντὶ ἀναπαίστου. διαλύεται γὰρ ἡ μακρὰ τοῦ ἀναπαίστου εἰς δύο βραχείας· ὡς καὶ τοῦ ἰάμβου καὶ τοῦ τροχαίου καὶ τῶν λοιπῶν τετρασυλλάβων ποδῶν. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα.] ὁ κρείττων λόγος καὶ ὁ ἥττων διαλέγονται. R.

891. (ἴθ' ὅποι χρῄζεις : Ἴθι, πορεύου. πάντα δὲ ἐκ Τηλέφου Εὐριπίδου.

ἴθ' ὅποι χρῄζεις· οὐκ ἀπολοῦμαι
τῆς σῆς Ἑλένης οὕνεκα.)

892. ἐν τοῖς πολλοῖσι : Ἐνώπιον πολλῶν. *Br.* σ' ἐν τοῖς πολλοῖσι : Ἐνώπιον πολλῶν παρόντων. *Vict.*

896. [γνώμας καινὰς : Ὡς παρορωμένου τοῦ δικαίου παρὰ Ἀθηναίοις. διὸ καὶ μωροὺς αὐτοὺς εἶπεν.]

897. διὰ τουτουσὶ : Διαβάλλει τοὺς Ἀθηναίους ὡς ἀδικία χαίροντας, τὸ δὲ δίκαιον παρορῶντας. E.

905. τὸν πατέρα οὐκ ἀπώλεσε δήσας : ἐρωτηματικῶς, ὅτι παιδοκτόνος ἦν. R. V. τὸν πατέρα αὐτοῦ Κρόνον οὐκ ἔφθειρε δεσμεύσας. *Harl. 5.*

906. αἰβοῖ : γελᾷ ὁ δίκαιος. R. V.

907. δότε μοι λεκάνην : (Ὡς ναυτιῶν ὑπὸ τῆς ἐκείνου ψυχρίας.) λείπει τὸ ἵνα ἐμέσω. χολὴ γάρ μοι ἐπιπλέει διὰ τὰ αὐτοῦ ῥήματα. — χωρεῖ : Αὔξει, προβαίνει. δότε μοι λεκάνην : Ἵν' ἐμέσω. *Br.*

908. τυφογέρων : Ἐσχατόγηρως ἢ ὑπερήφανος. τὸ δὲ ἀνάρμοστος ἀνακόλουθος, μηδενὶ ἁρμοζόμενος. V. μάταιος γέρων, κενόδοξος. ἀνάρμοστος : Ἀηδής, ἀνεπιτήδειος. *Br.* ἄρρυθμος, ἀηδής, ἄμουσος. *Vict.*

909. ἀναίσχυντος : Ἀναιδής. *Vict.*

910. ῥόδα μ' εἴρηκας : Ἀντὶ τοῦ, ἐμοὶ τὰ ὑπὸ σοῦ εἰρημένα ῥόδα ἐστί.

βωμολόχος : Ἀντὶ τοῦ κακοῦργος καὶ ἀσεβής. παρὰ τοὺς λοχῶντας τὰ ἐν τοῖς βωμοῖς ἐπιτιθέμενα θύματα, (ἢ τοὺς θύοντας, ἵνα αἰτήσαντες λάβωσί τι). [βωμολοχία δὲ κυρίως ἡ περὶ τὸ ἐν παιδιᾷ ἡδὺ, ὡς Ἀριστοτέλης ἐν δευτέρῳ Ἠθικῶν [c. 7], ὑπερβολή. βωμολόχοι τοίνυν οἱ ἐν τοῖς βωμοῖς ἐρχόμενοι, καὶ ἀντὶ τοῦ τὸ θεῖον εὐχαῖς ἐξιλεοῦν πολλοῖς τισι λόγοις χρώμενοι καὶ ματαίοις.]

911. κρίνεσιν : Οὕτως ἔκλινεν ὡς ἀπὸ τοῦ τὸ κρίνος, ὡς τὸ τεῖχος. τινὲς δέ φασι μεταπλασμὸν εἶναι. — κρίνεσι : Κρίνον κοινῶς· κρίνος Ἀττικῶς, καὶ κλίνεται τοῦ κρίνεος, νους. ἡ δοτικὴ τῶν πληθ. τοῖς κρίνεσίν ἐστι. πατραλοίας : Πατροτύπτης. *Vict.*

913. πρὸ τοῦ γ' : Πρὸ τοῦ χρυσῷ. μολίβδῳ δὲ, ἀτιμίᾳ· ὡς νυνὶ μᾶλλον τῶν κακῶν ἀνθούντων. διὸ καὶ ἐκεῖνος ἐπιφέρει

νῦν δέ γε κόσμος τοῦτ' ἐστιν ἐμοί.

915. ἀρχαῖος : λῆρος. R.V.

916. διὰ σὲ δὲ φοιτᾶν : Τοῦ αὐτοῦ δεῖ πάντα εἶναι τοῦ ἥττονος λόγου. οὐ θέλει γὰρ, φησὶ, τὰ μειράκια διὰ τὴν σὴν εὐήθειαν φοιτᾶν, ὡς μαθησόμενα τὰ χρήσιμα μαθήματα. — λείπει τὸ πρὸς ἐμέ. R.

920. αὐχμεῖς : Ῥυπαρὸς εἶναι δοκεῖς. ὡς τοῦ δικαίου παρορωμένου. R. V. πτωχεύεις. αἰσχρῶς : Ἀτίμως. *Vict.* εὖ πράττεις : ἀντὶ τοῦ καλῶς λέγεις. R.V.

919. Τήλεφος εἶναι : Διαβάλλει Εὐριπίδην, ὡς πτωχὸν εἰσενεγκόντα τὸν Τήλεφον, περὶ οὗ καὶ κωμῳδεῖται. [Ἄλλως. ὁ Τήλεφος βασιλεὺς ἦν Μυσίας, ὃν πλανηθέντων, ὅτε εἰς Τροίαν ἀπήρχοντο, τῶν Ἑλλήνων καὶ δηούντων τὴν αὐτοῦ γῆν ἀντὶ τῆς Τροίας, Ἀχιλλεὺς ἔτρωσεν· καὶ πάλιν ἀποροῦντα τοῦ θεραπεύσοντος, τῆς Πυθίας, ὁ τρώσας ἰάσεται, ἀνελούσης, παραγενόμενον εἰς Θετταλίαν τῷ χρησμῷ πεισθεὶς θεραπείας ἠξίωσε. δυστυχήσαντα δὲ ὕστερον πεποίηκεν Εὐριπίδης ἐν δράματι πήραν ἔχοντα καὶ προσαιτοῦντα. ἀντὶ δὲ τοῦ εἰπεῖν, ἄρτους καθαροὺς ἢ ξηροὺς τρώγων, Πανδελετείους γνώμας εἶπε, διαβάλλων αὐτὸν κατ' ἄμφω, καὶ ὡς ἄτιμον καὶ ὡς πανοῦργον. ἐπὶ γὰρ πανουργίᾳ διεβέβοητο ὁ Πανδέλετος. συκοφάντης δὲ ἦν καὶ φιλόδικος γράφων ψηφίσματα. Πανδελετείους οὖν οὕτως εἶπεν ἀντὶ ἄρτων πανουργίαν σιτούμενος μέμνηται τοῦ Πανδελέτου καὶ Κρατῖνος Χείρωσιν. οὗτος καὶ ψηφίσματα ἔγραψε. διαβάλλει δὲ τοὺς ῥήτορας ὡς ἐκ τῶν πτωχῶν πλουτοῦντας.] Πανδελετείους : Δυστρόπους. ὁ Πανδέλετος τῶν περὶ τὰ δικαστήρια ἐστὶ διατριβόντων (δικαστῶν ἢ καὶ) συκοφαντῶν (ἤγουν ὁ φιλοδίκαιος καὶ γράφων ψηφίσματα.) ἀντὶ τοῦ εἰπεῖν ξηροὺς ἄρτους γνώμας (καινὰς) εἶπεν. R.V. παρ' ὑπόνοιαν ἀντὶ τοῦ ἄρτους. *Vict.*

928. (λυμαινόμενον : Ἀντὶ τοῦ ἐνυβρίζοντα. οὕτως δὲ αὐτοῖς σύνηθες συντάσσειν, οὐχὶ, τὰ μειράκια λυμαινόμενον·) [πρὸς ὃ καὶ τὸ χ.]

929. ἀντὶ τοῦ οὐκ ἐῶ σε διδάξαι. τὸ δὲ Κρόνος ἀντὶ τοῦ ἀρχαῖος, λῆρος. — ἄφρων. *Br.* τοῦτον : Τὸν Φειδιππίδην. Κρόνος : Μωρὸς, ἀφυής. *Vict.*

930. διδάξω. R.

933. ταῦτά φησιν ἐπιλαβόμενος τοῦ μειρακίου. R. V. ἐπιβάλλεις : Αὐτῷ. *Vict.*

934. [παύσασθε μάχης : Ἔκθεσις τῆς διπλῆς συστηματικὴ, εἰς δύο περιόδους διηρημένη ἐκ κώλων ὁμοίων ἀναπαιστικῶν ιε'· ὧν τῆς πρώτης περιόδου κῶλα δίμετρα ἀκατάληκτα ε'. καὶ ἐν ἐκθέσει ἕτερα δύο ὅμοια δίμετρα ἀκατάληκτα. τῆς δὲ δευτέρας περιόδου κῶλα ὀκτώ· ὧν τὸ πρῶτον μονόμετρον ἀκατάληκτον. τὰ ἑξῆς ἓξ δίμετρα ἀκατάληκτα· τὸ δὲ τελευταῖον ἑφθημιμερὲς, ὃ καλεῖται παροιμιακόν. ἐπὶ τῷ τέλει τοῦ πρώτου συστήματος παράγραφος· ἐπὶ δὲ τῷ τέλει τοῦ δευτέρου δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος.]

936. τῷ δικαίῳ φησί. R.

937. τῷ ἀδίκῳ. R.

939. κρίνας φοιτᾷ : Ἀντὶ τοῦ φοιτήσει. ἐὰν δὲ ᾖ φοιτᾶν μετὰ τοῦ ν, λείπει ποιήσω τὸν παῖδα φοιτῆσαι τῷ ἐλλογιμωτέρῳ. — κρίνας : Ἐκλεξάμενος ἕνα ὑμῶν παρ' αὐτῷ. *Vict.*

940. ἀντὶ τοῦ ἄγε δή. R.

941. ἐκ τῶν αὐτοῦ. R.

943. ἀντὶ τοῦ μικροῖς. R.

947. ὑπ' ἀνθρηνῶν : Οἱ ποιηταὶ τὰς μελίσσας οὕτω συνεχῶς λέγουσιν. ὁ δὲ Ἀριστοτέλης [Hist. an. 9, 40, 42] συγγενῆ τῇ μελίσσῃ τὴν ἀνθρήνην φησί. (κοινότερον δὲ ἐπὶ τῶν μελισσῶν τὰς ἀνθρήνας λέγουσιν. ἔστι δὲ εἶδος μελίσσης, ὅμοιον σφηκί.)

949. [νῦν δείξετον : Εἴσθεσις μέλους χοροῦ προῳδικὴ, στροφῆς λόγον ἔχουσα. ἔχει γὰρ καὶ ἀντιστροφὴν τὸ

ὦ καλλίπυργον σοφίαν,

ἐκ κώλων χοριαμβικῶν διαφόρως κεκολλημένων δέκα. ὧν τὸ πρῶτον δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου τρίτου καὶ χοριάμβου. τὸ δεύτερον ἐκ χοριάμβου καὶ ἀμφιβράχεος. τὸ τρίτον ἐκ διιάμβου καὶ χοριάμβου. τὸ τέταρτον ἐκ χοριάμβου καὶ βακχείου. τὸ πέμπτον ἀντιστρόφως τῷ πρώτῳ ἐκ χοριάμβου καὶ ἐπιτρίτου τρίτου. τὸ ἕκτον ἐξ ἀντισπάστου καὶ κρητικοῦ εἶτ' οὖν ἀμφιμάκρου. τὸ ἕβδομον χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον. τὸ ὄγδοον ἐξ ἀντισπάστου καὶ ἰάμβου, διὰ τὸ ἔχειν τὸν ὅλον πόδα τὸν τετρασύλλαβον καὶ τὸ ἥμισυ αὐτοῦ, τὰς δύο δηλαδὴ συλλαβὰς, ἡμιόλιον καλούμενον. τὸ ἔνατον ἐκ χοριάμβου καὶ διιάμβου. τὸ δέκατον ἐκ χοριάμβου καὶ ἀμφιβράχεος.]

τὼ πισύνω : Οἱ πίσυνοι. R. οἱ θαρροῦντες. φροντίσι : Σκέψεσι. γνωμοτύποις : Ταῖς κατὰ νοῦν τυπουμέναις. *Br.*

956. ἀνεῖται : Κεῖται, δέδοται· νῦν πρόκειται ἡμῖν ὑπὲρ ἁπάσης τῆς σοφίας κινδυνεῦσαι. ἤγουν παράστασις καταλέλειπται.

959. στεφανώσας : Κοσμήσας. λέγει δὲ τοῦτο πρὸς τὸν δίκαιον. R. V.

958. [λέξω τοίνυν : Εἴσθεσις διπλῆς περιοδικῆς ἀμοιβαίας μονοστροφικῆς ὑφ' ἓν, διὰ τὸ εἰς μῆκος ἐκτείνεσθαι τὴν περίοδον ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν μζ', ὧν τελευταῖος

ἦρος ἐν ὥρᾳ χαίρων ὁπόταν πλάτανος πτελέᾳ ψιθυρίζῃ.

τοῦτο δὲ τὸ μέτρον Ἀριστοφάνειον καλεῖται. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος· ἐπὶ δὲ τῷ τέλει διπλῆ ἓξω νενευκυῖα.] — ταῦτα ἄγαν Ἀριστοφάνης ἀπεδέχετο ὡς εὖ πεποιημένα. V.

962. λέγων ἤνθουν : Εὐδοκίμησα λέγων.

963. γρύξαντος : Μουγγρίσαντος. *Br.*

964. [εἰς κιθαριστοῦ : Οὕτως Ἀττικοί. ἐσπούδαζον γὰρ περὶ τὴν κιθάραν οἱ Ἀθηναῖοι τότε μὴ φροντίζοντες τοῦ καλύπτεσθαι.] — ἀπὸ κοινοῦ τὸ ἔδει. V.

965. (κωμήτας : Τὸ χ, ὅτι κωμήτας τοὺς ἐκ τοῦ αὐτοῦ ἀμφόδου καὶ τόπου ἔλεγεν.)

[κριμνώδη : Ἀντὶ τοῦ παχεῖαν σύστασιν ἔχοντα· παρὰ τοὺς κρίμνους. οὗτοι γὰρ παχύτεροι τῶν ἀλεύρων. κρίμνος γὰρ εἶδος ἀλεύρου.] κριμνώδη : ἀντὶ τοῦ μεγάλα. V. ψυχρότατα. *E.*

[κριμνώδη : Γράφεται καὶ κριμνώδη καὶ κρυμώδη. καὶ κριμνώδη μὲν ἤγουν μέγιστα καὶ παχέα δίκην κρίμνων, ἤγουν κριθῶν. οἱ δὲ κρίμνον φασὶ τὸ παχύτερον τῶν ἀλεύρων· τὰ γὰρ παχύτερα τῶν ἀλεύρων καὶ πιτυρώδη καὶ κριθώδη. εἰ δὲ γράφεται κρυμώδη, ἀντὶ τοῦ ψυχρότερα. Victor.] κριμνώδη : κρίμμα εἶδος ἀλεύρου, ἐξ οὗ ἡ παιπάλη γίνεται, ὅ ἐστι τὸ ἄλευρον. καὶ τὸ λευκαίνειν παλύνειν. Ὅμηρος [Il. K, 7] « ὅτε « πέρ τε χιὼν ἐπάλυνεν ἀρούρας. » R. V.

966. (τὼ μηρὼ μὴ ξυνέχοντας : Ἀντὶ τοῦ, μὴ σφίγγοντας, οἷον ἀνειμένως διάγοντας καὶ μὴ ἐκθλίβοντας τὰ αἰδοῖα ἐκ τοῦ συνέχειν τοὺς μηρούς.)

967. Παλλάδα : Ἀρχὴ ᾄσματος Φρυνίχου, ὡς Ἐρατοσθένης φησί. Φρύνιχος δὲ αὐτοῦ τούτου τοῦ ᾄσματος μνημονεύει ὡς Λαμπροκλέους ὄντος,

Παλλάδα περσέπολιν κλήζω πολεμαδόκον ἀγνάν,
παῖδα Διὸς μεγάλου δαμάσιππον.

τὸ δὲ, τηλέπορόν τι βόαμα, καὶ τοῦτο μέλους ἀρχή. φασὶ δὲ μὴ εὑρίσκεσθαι ὅτου ποτ' ἐστίν. ἐν γὰρ ἀποσπάσματι ἐν τῇ βιβλιοθήκῃ εὑρεῖν Ἀριστοφάνη. τινὲς δέ φασι Κυδίου τινὸς Ἑρμιονέως, « τηλεπορόν τι βόημα λύρας. » (σημαίνει δὲ τηλέπορον ὀρθόν τι καὶ ὑψηλόν.) [Ἄλλως. οὕτως Ἐρατοσθένης. Φρύνιχος αὐτοῦ τούτου τοῦ ᾄσματος μέμνηται ὡς Λαμπροκλέους ὄντος, τοῦ Μίδωνος υἱοῦ ἢ μαθητοῦ. ἔχει δὲ οὕτως,

Παλλάδα περσέπολιν κλήζω, πολεμαδόκον ἀγνάν,
παῖδα Διὸς μεγάλου δαμάσιππον.

καὶ κατὰ Λαμπροκλέα ὑποτίθησι κατὰ λέξιν. τὸ δὲ, τηλέπορον βόημα, Κυδίου τοῦ Ἑρμιονέως κιθαρῳδοῦ, ἀπό τινος τῶν ᾀσμάτων « τηλεπορόν τι βόαμα λύρας. »]

968. τὴν ἁρμονίαν : Τὴν κιθάραν, ὡς συντόνου οὔσης τῆς παλαιᾶς ἁρμονίας, οὐκ ἀνειμένης, ὡς οἱ νέοι ἐπενόησαν.

969. βωμολοχεύσαιτ' : (Ἀγοραῖόν τι εἶποι ἢ εὐτελές. τὸ δὲ κάμψειέν τινα καμπὴν,) οἱονεὶ κεκλασμένῃ τῇ φωνῇ τὴν ᾠδὴν προενέγκοιτο. — βωμολοχεύσαιτ' : Φλυαρήσαι. κάμψειεν : Ἐν κεκλασμένῃ τῇ φωνῇ τὴν ᾠδὴν παραφέροι, παρηχήσειε παρήχησιν τοῦ μέλους. *Br.*

971. κατὰ Φρῦνιν : Ὁ Φρῦνις κιθαρῳδὸς Μυτιληναῖος. οὗτος δὲ δοκεῖ πρῶτος κιθαρίσαι παρ' Ἀθηναίοις καὶ νικῆσαι Παναθηναίοις ἐπὶ Καλλίου ἄρχοντος. ἦν δὲ Ἀριστοκλείδου μαθητής. ὁ δὲ Ἀριστοκλείδης κιθαρῳδὸς ἦν ἄριστος. [τὸ γένος ἦν ἀπὸ Τερπάνδρου. ἥκμασε δ' ἐν τῇ Ἑλλάδι κατὰ τὰ Μηδικά. παραλαβὼν δὲ τὸν Φρῦνιν αὐλῳδοῦντα κιθαρίζειν ἐδίδαξεν. ὁ δὲ Ἴστρος Ἱέρωνος αὐτὸν φησι μάγειρον ὄντα σὺν ἄλλοις δοθῆναι τῷ Ἀριστοκλείδῃ. ταῦτα δὲ σχεδιάσαι ἔοικεν· εἰ γὰρ ἦν γεγονὼς δοῦλος καὶ μάγειρος Ἱέρωνος, οὐκ ἂν ἀπέκρυψαν οἱ κωμικοί, πολλάκις αὐτοῦ μεμνημένοι ἐφ' οἷς ἐκαινούργησε κλάσας τὴν ᾠδὴν παρὰ τὸ ἀρχαῖον ἔθος, ὡς Ἀριστοφάνης φησὶ καὶ Ἀριστοκράτης. καθὸ πρῶτος τὴν ἁρμονίαν ἔκλασεν ἐπὶ τὸ μαλθακώτερον. ἦν δὲ γύννις καὶ ψυχρός.]

972. [πολλὰς : Πληγὰς ὀηλονότι.]

973. ἐν παιδοτρίβου : Εἰς τὸν τόπον ὅπου γυμνάζονται οἱ παῖδες καὶ διατρίβουσιν.

προβαλέσθαι : Τουτέστιν, εὐκόσμως καθεσθῆναι· ὡς μηδὲν τοῖς περιεστῶσιν ὑποδεῖξαι ἄκοσμον. — ἐνδύσθαι, περιβαλέσθαι. προαγαγεῖν, προτείνειν. *Br.*

974. ἀπηνές : Ἀναίσχυντον, ἀπαίδευτον, *Br.* σκληρὸν. *Vict.*

975. συμψῆσαι : [Ἀντὶ τοῦ συγχέαι τὴν κόνιν, ὡς μὴ σημεῖον ἢ τύπον ἀπολείπεσθαι ταῖς καθέδραις. ἐν γὰρ ψάμμῳ λεπτοτάτῃ ἐγυμνάζοντο.] κατέψων τὸν τόπον ὅπου ἐκαθέζοντο, ἵνα μὴ σημεῖον τῆς ἥβης ἑαυτῶν καταλείψωσι τοῖς ἐραστᾶις. [παρεγίνοντο γὰρ ὥστε γυμνοὺς ὁρᾶν τοὺς ἐρωμένους.] — καθομαλίσαι τὴν κόνιν. *Br.*

976. εἴδωλον : Τύπον. τῆς ἥβης : Τῶν αἰδοίων. *Br.*

978. χνοῦς : Χνοῦς τὰ λεπτὰ τῶν ἀχύρων, καὶ χνοῦς λέγεται τοῦ γενειᾶν ἀρξαμένου. *Vict.* μήλοισιν : Κυδωνίοις. *C.* προβάτοις. *Br.*

979. φυρασάμενος : Μηκύνας τῇ μεταβολῇ. *Br.* μαλάξας, μολύνας. *Vict.*

980. προαγωγεύων : Μαυλίζων. προαγωγὸς γὰρ ἡ μαυλίστρια. V. μαστροπεύων. *Br.*

981. κεφάλαιον τῆς βαφανῖδος : [Ὡς θερμὸν καὶ διεγεῖρον πρὸς τὰ ἀφροδίσια, παρητοῦντο ταῦτα. κεφάλαιον δὲ τὸ πρὸς τοῖς φύλλοις καυλῶδες.] ἀντὶ τοῦ κεφαλήν. οὐκ ἔτεμνον δὲ κατὰ μῆκος, ὡς νῦν, ἀλλὰ κατὰ κύκλον.

983. κιχλίζειν : [Ἀντὶ τοῦ, λιπαροὺς ὄρτυγας τρώγειν, κίχλας ἐσθίειν. ἢ ἀτάκτως γελᾶν καὶ ἀμέτρως.] λιπαροὺς ὄρτυγας ἐσθίειν, ἤγουν κίχλας. ἄλλοι δὲ ἀτάκτως γελᾶν. R. V.

984. Τεττίγων ἀνάμεστα : [Ἀρχαῖον τὸ τοὺς τέττιγας ἀναπλέκειν, τουτέστι τοὺς κρωβύλους. Ἄλλως. οἱ ἀρχαιότατοι τῶν Ἀθηναίων τέττιγας χρυσοῦς ἐν τοῖς τῶν τριχῶν πλέγμασιν εἶχον, διότι οἱ τέττιγες μουσικοὶ ὄντες, ἀνάκεινται τῷ Ἀπόλλωνι, ὃς ἦν πατρῷος τῇ πόλει.] τὰ δὲ Διιπόλεια τῶν ἀρχαιοτάτων ἑορτῶν, τὰ καὶ Διάσια. — οὕτως δὲ ἐλέγετο ἀ τῷ πολιεῖ Διὶ ἐθύετο. R. V. — τοὺς δὲ τέττιγας παρέλαβεν, ἐπειδὴ οἱ παλαιοὶ κατὰ τὴν ἀναπλοκὴν τῶν τριχῶν χρυσῷ ἐχρῶντο τέττιγι, τεκμήριον τοῦ φαίνεσθαι ὅτι αὐτόχθονες εἶεν (οἱ Ἀθηναῖοι, ὡς καὶ οἱ τέττιγες. καὶ Θουκυδίδης [I, 6] « καὶ οἱ πρεσβύτεροι αὐτοῖς τῶν εὐδαιμόνων οὐ πολὺς « χρόνος ἐπειδὴ χιτῶνάς τε λινοῦς ἐπαύσαντο φοροῦν« τες, καὶ χρυσῶν τεττίγων ἐν ἕρσει κρωβύλων ἀναδού« μενοι τῶν ἐν τῇ κεφαλῇ τριχῶν. »)

985. Κηκείδου : Διθυράμβων ποιητὴς πάνυ ἀρχαῖος. μέμνηται δὲ αὐτοῦ Κρατῖνος ἐν Πανόπταις. [Κυκήδου : Κυκήδης παλαιὸς ἦν ποιητὴς, ἀφελὴς καὶ ἄχαρις. L. B. — τὰ δὲ Βουφόνια παλαιὰ ἑορτὴ, ἣν φασιν ἄγεσθαι μετὰ τὰ μυστήρια, ὅτε καὶ βοῦν θύουσιν εἰς ὑπόμνησιν τοῦ πρώτου φονευθέντος βοὸς ἐν ἀκροπόλει, ἀψαμένου τοῦ πελάνου ἐν τῇ ἑορτῇ τῶν Διιπολίων.] ἑορτὴ ἔτι παρὰ Ἀθηναίοις ἐπιτελουμένη τῇ Ἀθηνᾷ. V. (Ἄλλως.) ἑορτὴ Ἀθηναίων πάνυ ἀρχαία. ἐν γὰρ τοῖς Διιπολείοις φασὶ βοῦν τὸ πόπανον καταφαγεῖν τὸ παρεσκευασμένον εἰς τὴν θυσίαν, καὶ τούτου χάριν βοῦν θύουσιν ἐν τοῖς Διιπολείοις, διὰ τὸν βοῦν τὸν φαγόντα τὸ πόπανον καὶ τυθέντα. [Θαύλωνα δέ τινα, ὡς εἶχε, τῷ πελέκει ἀποκτεῖναι τὸν βοῦν, καθὰ καὶ Ἀνδροτίων μέμνηται διὰ τῆς τετάρτης.]

986. Μαραθωνομάχους : Τοὺς ἐν Μαραθῶνι τρωπωσαμένους τὴν Δαρείου στρατιὰν, ἣν Δᾶτις ὁ τούτου στρατηγὸς ἤγαγεν οὖσαν περὶ πεντήκοντα μυριάδας. τὸ δὲ ἐντετυλίχθαι, τὸ ἐναντίον τῷ γυμνοῦσθαι. οὐκ ἐγκεκαλύφθαι.

988. Ὥστε μ' ἀπάγχεσθαι : Τότε δηλονότι. *Br.* πνίγεσθαι. *D.*

ὀρχεῖσθαι : Ὠρχοῦντο τοῖς Παναθηναίοις ἐν ὅπλοις οἱ παῖδες. διὰ δὲ τὸ ἁπρεπὲς, φησὶ, προέχοντες τῶν αἰδοίων τὴν ἀσπίδα. (ὡσανεὶ τούτων ἐν τῇ πομπῇ ἀσπιδοφορούντων δέον περικαλύπτεσθαι τὴν αἰσχύνην. ηὔξησε δὲ τὴν διαβολὴν εἰς τὴν ἀσπίδα τῆς θεοῦ.)

989. τῆς κωλῆς : Τοῦ ποδός· ἕτεροι δέ φασι τοῦ αἰδοίου. *Br.*

[Τριτογενείης : Εἶδος ὀρχήσεως, ἣ καλεῖται ἐνόπλιος· διὰ δὲ τὸ εἰς Ἀθηνᾶν ταύτην τελεῖσθαι Τριτογένεια κέκληται· τριτὼ γὰρ ἡ κεφαλὴ παρ' Αἰολεῦσιν. ἐγεννήθη δὲ Ἀθηνᾶ ἐκ τῆς κεφαλῆς τοῦ Διός. ἐτέλουν δὲ ταύτην τὴν ὄρχησιν οἱ πρότερον μὲν ὡπλισμένοι καὶ τὴν ἀσπίδα ἐν πλαγίῳ φέροντες· οἱ ὕστερον δὲ ἔμπροσθεν τῶν ποδῶν ἔφερον. σημειωτέον δὲ, φασὶ, τὴν σύνταξιν. πρῶτον γὰρ πληθυντικῶς εἰπὼν, εἰς ἑνικὸν ἀποδέδωκεν. ἐν δὲ τοῖς παλαιοῖς τῶν ἀντιγράφων, ἀμέλει τῆς Τριτογενείης, εὕρηται.]

991. μισεῖν ἀγορὰν : Ἀντὶ τοῦ μαθήσῃ μισεῖν τὴν ἐκκλησίαν. R. ἐνταῦθα γὰρ οἱ πανοῦργοι διατρίβουσιν. βαλανείων ἀπέχεσθαι : Πάνυ γὰρ οἱ πόρνοι λουτροῖς ἐχρῶντο. *E.*

993. ὑπανίστασθαι : Ὑπαναχωρεῖν. *Br.* προϊοῦσι : Προερχομένοις. *D.* θάκων : ἀττικῶς ἀντὶ τοῦ θώκων. λέγει δὲ ὅτι τοὺς πρεσβυτέρους προτιμᾶν, καὶ τὸ μὴ ἀπαίδευτα ποιεῖν εἰς τοὺς σαυτοῦ γονέας. V.

994. (μὴ παρὰ τοὺς σεαυτοῦ : Ἀντὶ τοῦ, μὴ παρὰ γνώμην τῶν σῶν γονέων.) — ἀπαίδευτα ποιεῖν παρὰ τοὺς αὐτοῦ γονέας.

995. (ὅτι τῆς αἰδοῦς : Ὅπερ μέλλει τῆς αἰδοῦς τὰ ἀγάλματα πληρώσειν. τὸ δὲ ἀναπλήσειν ἀντὶ τοῦ ἀφανίζειν. — τῆς αἰδοῦς ἄγαλμα, ἡ αἰδὼ περιφραστικῶς. ἄγαλμ' ἀναπλάσσειν : Τύπον ἐργάσεσθαι. *E.*) ἀφανίσειν. R. ἀναπλήσειν : Τυπώσειν, ἐργάσασθαι. *C.* ἀναπλάσσειν : Ποιήσειν τύπωσιν. *LB.* ἀναπλήσειν : Πληρώσειν. *Vict.* ἀναπλάσειν : Ἤγουν τυπώσειν, ἐργάζεσθαι. Victorius, ex vetusto codice.

[ὅτι μ. τῆς αἰδοῦς τάγ. ἀναπλήσειν : Ἐμὲ τὸν κρείττω λόγον αἱροῦ φησί· καὶ ἐπιστήσῃ τὸ καὶ τό· τὸ δ' αἴτιον τῆς ἐπιστήμης ταύτης, ὅτι μέλλεις ἐπιμελήσεσθαι καὶ τιμήσειν τὴν αἰδῶ, εἰ ἐμὲ αἱρῇ καὶ τὸ ἄγαλμα αὐτῆς ἀναλαβὼν ὡς ἀμελούμενον τελειώσειν ἐν σεαυτῷ δηλονότι, ὥσπερ εἰ καὶ ἄλλου οὑτινοσοῦν θεοῦ ἄγαλμα ἐν τῇ σῇ καρδίᾳ ἔστησας ὥστε σέβειν αὐτό· τούτῳ ὅμοιον καὶ Δημοσθένης [p. 780, 22] φησὶν ἐν τούτοις « δίκης καὶ « εὐνομίας καὶ αἰδοῦς εἰσὶ πᾶσιν ἀνθρώποις βωμοί· οἱ « μὲν κάλλιστοι καὶ ἁγιώτατοι ἐν αὐτῇ τῇ ψυχῇ ἑκά« στου καὶ τῇ φύσει· οἱ δὲ καὶ κοινοὶ τοῖς πᾶσι τιμᾶν « ἱδρυμένοι. » Manuel Moschopulus.]

996. εἰσάγειν : Ἑαυτόν. *E.*

997. μήλῳ βληθεὶς : Ἀντὶ τοῦ ἔρωτι. — οὕτως γὰρ ἔλεγον οἱ παλαιοὶ τὸ πτοῆσαι καὶ εἰς ἔρωτα ἀγαγεῖν, μήλῳ βάλλειν. R. V. [μηλοβολεῖν γὰρ ἔλεγον τὸ εἰς ἀφροδίσια δελεάζειν· ἐπεὶ καὶ τὸ μῆλον Ἀφροδίτης ἐστὶν ἱερόν.] — τὸ δὲ ἀποθραυσθῇς ἀντὶ τοῦ ἐκπέσῃς. V. ἀποθραυσθῇς : Ἀποπέσῃς. *Br.*, *Vict.*

998. Ἰαπετὸν : Λῆρον, μωρόν. R. V. ὁ δὲ Ἰαπετὸς εἷς τῶν Τιτάνων. V. ἀρχαῖον, μωρόν. *Br.* ἀρχαῖον, μωρὸν καὶ ὑπέργηρων. ὁ γὰρ Ἰαπετὸς θεὸς ἦν πρὸ τοῦ Κρόνου. *Vict.*

999. τὴν ἡλικίαν, τοῦ πατρὸς δηλονότι. τὸ δὲ ἐνεοττοτροφήθης, ἀντὶ τοῦ ἐτράφης. V. μνησικακῆσαι : Εἰς μνησικακίαν ἐμβαλεῖν. *Vict.* ἐνεοττοτροφήθης : Ὥσπερ νεοσσὸς ἐτράφης. *Br.* ἐτράφης δίκην νεοττῶν. *Vict.*

1001. τοῖς Ἱπποκράτους : Ὑώδεις τινὲς καὶ ἀπαίδευτοι κωμῳδοῦνται, καὶ τάχα ἂν εἴησαν προκέφαλοί τινες, ὡς ἐν Γεωργοῖς καὶ ἐν Τριφάλητι. (καὶ Εὔπολις ἐν Δήμοις

Ἱπποκράτους τε παῖδες ἐκβόλιμοί τινες,
βληχητὰ τέκνα κούδαμῶς τοῦ νῦν τρόπου.)

τὰ δὲ ὀνόματα αὐτῶν Τελέσιππος, Δημοφῶν, Περικλῆς.

(βλιτομάμαν : Μωρόν. καὶ γὰρ τὸ βλίτον μωρὸν εἶναι δοκεῖ λάχανον.) [εἰκότως δὲ εἶπε καλοῦσι, καὶ οὐ καλέσουσι, πρὸς τὸ εἴξεις. διότι μὲν γὰρ ἅπαξ ἔμελλεν ὅμοια πείσεσθαι, εἴξεις εἶπε· διότι δὲ μετὰ τὴν ὁμοίωσιν οὕτως ἀεὶ ἔμελλε καλεῖσθαι, καλοῦσιν εἴρηκε.] — βλιτομάμμαν : Μαλακογνώμονα. *Vict.*

1003. στωμύλλων : φλυαρῶν R. τριβολεκτράπελα : Ἐκ τοῦ τρίβειν καὶ ἐκτράπελος σύγκειται. ἀντὶ τοῦ σκληρὰ καὶ ἀπαίδευτα, καὶ ἀπόβλητα [καὶ ἀνώμαλα]. — οὐδαμινὰ, φευκτά. *Br.*

1004. γλισχραντιλογεξεπιτρίπτου : Ἐκ τοῦ γλίσχρου καὶ ἀντιλογίαν ἔχοντος καὶ ἐπιτρίπτου σύγκειται, οἷον τοῦ δυναμένου ἐπιτρῖψαι. — γλίσχρου καὶ ἀντιλογίαν ἔχοντος κατατετριμμένην. *Br.*

1005. ἀλλ' εἰς Ἀκαδημίαν : (Ἐνταῦθα διέτριβον οἱ φιλόσοφοι. ἦν δὲ γυμνάσιον), [ἀπὸ Ἑκαδήμου τινός, καταλείψαντος τὴν κτῆσιν ἑαυτοῦ πρὸς ἐπισκευὴν τοῦ τόπου. περὶ αὐτὸν δ' ἦσαν αἱ ὄντως ἱεραὶ ἐλαῖαι τῆς θεοῦ, αἱ καλοῦνται μορίαι· ἐξ ὧν τὸ ἔλαιον τῶν Παναθηναίων. τὸν δὲ στέφανον τοῦ καλάμου προέκρινεν, ὡς ἁπλούστερον ὄντα καὶ ἀπερίεργον· ἢ ὅτι αὐτῷ στέφονται οἱ Διόσκουροι.]

ὑπὸ ταῖς μορίαις : [Αἱ ἱεραὶ ἐλαῖαι τῆς Ἀθηνᾶς ἐν τῇ ἀκροπόλει μορίαι ἐκαλοῦντο. λέγουσι γὰρ ὅτι Ἁλιρρόθιος, ὁ παῖς Ποσειδῶνος, ἠθέλησεν ἐκκόψαι αὐτὰς, διὰ τὸ τῆς ἐλαίας εὐρεθείσης κριθῆναι τῆς Ἀθηνᾶς τὴν πόλιν. ὁ δὲ ἀνατείνας τὸν πέλεκυν καὶ ταύτης ἀποτυχὼν ἔπληξεν ἑαυτὸν καὶ ἀπέθανε. καὶ διὰ τοῦτο μορίαι αἱ ἐλαῖαι ἐκλήθησαν. ἢ διὰ τὸ πάντα ἄνθρωπον κεκτημένον ἐλαίας ἀναγκάζεσθαι μέρος τι παρέχειν εἰς τὰ Παναθήναια. κέραμον γὰρ ἐλαίου ἐλάμβανον οἱ νικῶντες.] κυρίως μορία λέγεται ἡ ἱερὰ ἐλαία τῆς θεοῦ. ἐπεφύτευτο δὲ ἐν τῷ γυμνασίῳ δένδρα. ἔθος δὲ τοῖς ἀσκουμένοις ἀλειψαμένοις ἐν τῷ ἡλίῳ τρέχειν.— Ἄλλως. ἡττηθεὶς τῆς Ἀθηνᾶς ὁ Ποσειδῶν ἐπὶ τῇ τῆς ἐλαίας ἐπιδείξει, ἔπεμψε τὸν υἱὸν αὐτοῦ Ἁλιρρόθιον ταύτην τεμοῦντα. ὁ δὲ ἀνατείνας τὸν πέλεκυν, ταύτης μὲν ἡστόχησε· τὸν δὲ πόδα αὐτοῦ πλήξας ἐτελεύτησε, καὶ οὕτω μορία ἡ ἐλαία ἐκλήθη, ὡς μόρου παρεκτική. ἦν δὲ ἡ Ἀκαδημία σχολεῖόν τι ἐν Ἀθήναις, ἐλαίαις καὶ ἄλλοις τισὶ δένδρεσι κατάσκιον. Junt. Vict.]

1006. καλάμῳ λευκῷ : Λιτὸς γὰρ καὶ ἀπερίεργος ὁ τοιοῦτος στέφανος. ἦν δὲ τῶν Διοσκούρων ἴδιον στεφανοῦσθαι καλάμῳ. — τὸ δὲ ἡλικιώτου ἀντὶ τοῦ συμπράκτορος. V.

1007. μίλακος : Εἶδος βοτάνης. [παρέμιξε τὸ ἀπραγμοσύνης. ἀπραγμοσύνη δὲ φυτὸν, ὡς Ἀριστοφάνης ὁ γραμματικὸς, ἐν Ἀκαδημίᾳ φυόμενον. ἡ λεύκη δὲ ὁμοία πλατάνῳ. Ἄλλως.] ἀπραγμοσύνη εἶδος ἄνθους· οἷον πάσης εὐωδίας ὄζων καὶ ἀσφαλείας. ἢ ἀπραγμοσύνης, ἀντὶ τοῦ πολυπραγμοσύνης. τὸ δὲ ψιθυρίζει, ἀντὶ τοῦ πνέοντος ἀνέμου μαλακοῦ καὶ ἠρέμα διὰ τῶν φύλλων εἰσιόντος. ὥσπερ προσλαλεῖ τὰ δένδρα, ὅπερ ψιθυρίζειν λέγεται. καὶ Θεόκριτος [1, 1] « ἁδύ τι τὸ ψιθύρισμα. » — φυλλοβολούσης : Τὰ φύλλα ῥιπτούσης. *Vict.*

1009. [ἦν ταῦτα ποιῆς : Ἔκθεσις τῆς διπλῆς ἐκ κώλων ὁμοίων ἀναπαιστικῶν δεκαπέντε· ὧν τὰ μὲν ιγ' δίμετρα ἀκατάληκτα· τὸ τεσσαρακαιδέκατον μονόμετρον, ὃ παρατέλευτον ὀνομάζεται. τὸ τελευταῖον ἐφθημιμερὲς, ὃ καλεῖται παροιμιακὸν, ὡς εἴρηται. ἐπὶ τῷ τέλει δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος τοῦ κώλου, ἔξω νενευκυῖαι.]

1010. οἷς λέγω. R.

1013. (γλῶτταν βαιὰν : Μικρὰν, ὥστε μὴ φλυαρεῖν. τὸ δὲ πυγὴν μεγάλην, ἢ γέλωτος χάριν, ἢ διὰ τὴν τρυφὴν ἕξεις πυγὴν μεγάλην. πόσθην δὲ τὸ αἰδοῖον. [αἰνίττεται δὲ εἰς τοὺς Ἀθηναίους.] τοῦτο δὲ σωφροσύνης σύμβολον).— πόσθην : Ψωλήν. *Br.*

1016. [χροιὰν ὠχρὰν : Διὰ τὴν ἀταξίαν.] — ὠχρὰν : Κίτρινον. *Br.*

1017. ὤμους μικροὺς : [Γράφεται καὶ λεπτοὺς, καὶ λευκούς.] οἷοι τῶν ἀγυμνάστων καὶ ἀργῶν.

1018. κωλῆν : Μηρόν. *Br.*

1019. ψήφισμα μακρόν : Τὸ ἐκ πολυλογίας συγκείμενον. [ἀντὶ τοῦ μεγάλῳ ψηφίσματι γράψεις.] — δικορραφίαν. *Br.*

1022. τῆς Ἀντιμάχου : Οὗτος εἰς θηλύτητα κωμῳδεῖται καὶ εὐμορφίαν. ἔστι δὲ καὶ ἕτερος ἐπὶ πονηρίᾳ κωμῳδούμενος. [τρίτος ὁ Ψακάδος λεγόμενος· τέταρτος ὁ τραπεζίτης, οὗ μέμνηται Εὔπολις ἐν Δήμοις· πέμπτος ἱστοριογράφος. τάχα δὲ ὁ αὐτός ἐστι τῷ εὐμόρφῳ.] — οὗτος λίαν πόρνος ἦν. *Br.*

1023. τῆς μαλακίας. V.

1024. [ὦ καλλίπυργον : Ἑτέρα εἴσθεσις μέλους χοροῦ μεσῳδικὴ ἀντίστροφος, ὁμοία τῇ προρρηθείσῃ στροφῇ, ἐκ κώλων χοριαμβικῶν ἐπιμεμιγμένων, ὡς τὰ τῆς στροφῆς καθ' ἕκαστον ἐχόντων δέκα· πλὴν τοῦ πέμπτου ἐξ ἐπιτρίτου καὶ διιάμβου συγκειμένου, καὶ τοῦ ἑβδόμου ἐκ χοριάμβου, ἰάμβου καὶ ἀντισπάστου. ἐν ἐκθέσει δὲ στίχοι δύο ἰαμβικοὶ τετράμετροι καταληκτικοὶ, ὅμοιοι τοῖς ἑξῆς. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι, ἡ μὲν ἐν ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος.] ὑψηλοτάτην, μεγάλην. R.V.

1030. πρὸς ταῦτα οὖν, ὦ πανοῦργον ἔχων μοῦσαν. λέγει πρὸς τὸν ἄδικον. V. ἀντὶ τοῦ πανοῦργον. R.

1033. ἀνήρ : Ὁ δίκαιος δηλονότι. ἐν ἀνδρῶν γὰρ σχήματι εἰσήχθησαν. R. V. οὗτος, ἤγουν ὁ δίκαιος. *Vict.*

1034. δεῖν : Χρείαν εἶναι. *Vict.* ἀντὶ τοῦ μεγάλων. R.

1036. [καὶ μὴν πάλ' ἔγωγ' ἐπνιγόμην : Εἴσθεσις ἑτέρας διπλῆς ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν τετραμέτρων καταληκτικῶν μθ'. ὧν τελευταῖος

ἕξει τίνα γνώμην λέγειν τὸ μὴ εὐρύπρωκτος εἶναι.

τὸ δὲ μέτρον Ἱππωνάκτειον. ἐπὶ τῷ τέλει διπλῆ ἔζω νενευκυῖα.]

1037. συνταράξαι : Ἀνατρέψαι. *Vict.*

1038. ἐγὼ γὰρ ἥττων : Ὅτι ποιῶ αὐτοὺς ἡττηθῆναι. [ἢ ὅτι τὰ ἥττονα λέγω ἐπὶ τὸ πάντας ἡττᾶσθαι.]

1039. τοῖς φιλοσόφοις. R.

1040. καὶ τοῦτο : Τὸ τινὰ λαβόντα δίκην τῷ ἀδίκῳ λόγῳ νικᾶν. [τὸ δὲ σκέψαι πρὸς τὸν Φειδιππίδην. — οὐδέποτε οἱ Ἀττικοὶ τὸ πλεῖν ἀντὶ τοῦ πλέον μόνον ἐκφέρουσιν, εἰ μὴ παραθήσουσι καὶ τὸ ἤ ἀντὶ τοῦ παρό. Harl. 5.] — στατήρων : εἶδος νομίσματος. R.

1042. αἱρούμενον : Προκρίνοντα. *Vict.* πρὸς τὸν παῖδά φησιν ὅτι ἀπὸ τῶν αὐτοῦ ἐλέγξω αὐτόν. R. V.

1046. κάκιστόν ἐστι : Ἐψοῖ γὰρ καὶ χαυνοῖ τὰ σώματα. δειλότατον δὲ εἶπεν. ἐκλύει γάρ. — δειλὸν ποιεῖ τὸν ἄνδρα : Μαλακίας γὰρ αἴτιον. *E.*

1047. μέσον ἔχω λαβών σε ἄφυκτον : Ἔχω εὐθὺς μέσον λαβών. ἡ μεταφορὰ ἀπὸ τῶν παλαιστῶν τῶν λαμβανομένων εἰς τὸ μέσον καὶ ἡττωμένων. τὸ δὲ εὐθὺς ἀντὶ τοῦ ἐν ἀρχῇ. — ἐπίσχες : Σαυτὸν δηλονότι, ἤτοι καρτέρησον. μέσον : Κατά. ἄφυκτον : Οὐ φυγεῖν δυνάμενον. *Vi.*

1050. Ἡράκλεια λουτρά : (Ἰδυκός φησι τὸν Ἥφαιστον κατὰ δωρεὰν ἀναδοῦναι τῷ Ἡρακλεῖ λουτρὰ θερμῶν ὑδάτων· ἐξ ὧν τὰ θερμά τινές φασιν Ἡράκλεια λέγεσθαι. οἱ δέ φασιν ὅτι τῷ Ἡρακλεῖ μογήσαντι ἡ Ἀθηνᾶ θερμὰ λουτρὰ ἐπαφῆκεν· ὡς Πείσανδρος

τῷ δ' ἐν Θερμοπύλῃσι θεὰ γλαυκῶπις Ἀθήνη
ποίει θερμὰ λοετρὰ παρὰ ῥηγμῖνι θαλάσσης.) —

Ἡρακλεῖ πολλὰ καμόντι περὶ Θερμοπύλας Ἀθηνᾶ θερμὰ λουτρὰ ἀναδέδωκεν. Πείσανδρος· « τῷ δ' ἐν — θαλάσσης. » R.

1053. ἃ τῶν νεανίσκων : Ὡς ταῦτα τῶν ἀγυμνάστων νεανίσκων λαλούντων· τῶν εὐγενῶν δηλονότι.

1057. ὅτι τὸ ἄν περισσόν ἐστιν Ἀττικῶς. R. V.

1059. χρῆναι δηλονότι. R.

1063. ὁ γοῦν Πηλεύς : [Ὅτε ἀφῆκεν αὐτὸν Ἄκαστος μεταξὺ θηρίων, οἱ θεοὶ δεδώκασιν αὐτῷ ξίφος πρὸς ἄμυναν τῶν θηρίων. τινὲς δὲ ἐπὶ τῷ Πελίου ἀγῶνί φασι τὸν Πηλέα λαβεῖν διὰ σωφροσύνην Ἡφαιστότευκτον μάχαιραν. Ἄλλως. ὁ Πηλεὺς ἐγένετο σωφρονέστατος. καί ποτε Ἱππολύτης τῆς γυναικὸς Ἀκάστου ἐρασθείσης αὐτοῦ καὶ μὴ δυνηθείσης πεῖσαι, ἀλλὰ διαβολῇ χρησαμένης, ὡς ἄρα ἐπεχείρησε βιάσασθαι αὐτήν, ὁ Ἄκαστος μαθὼν καὶ λαβὼν αὐτὸν εἰς ἐρημίαν, καὶ τῶν ὅπλων γυμνώσας, ἀφῆκεν αὐτὸν καὶ ἀνεχώρησεν, εἰπών, Εἰ δίκαιος εἶ, σωθήσῃ· ὡς δὲ ἔμελλεν ὑπὸ θηρίων διαφθείρεσθαι, οἱ θεοὶ μάχαιραν αὐτῷ ἐχαρίσαντο Ἡφαιστότευκτον δι' Ἑρμοῦ, καὶ οὕτως ἔφυγε τὸν κίνδυνον. Ἄλλως.] Πηλεὺς Φῶκον τὸν ἀδελφὸν κατὰ πατέρα σὺν Τελαμῶνι δολοφονήσας, φεύγει εἰς Φθίαν πρὸς Εὔρυτον τὸν Ἄκτορος, ὑφ' οὗ καὶ καθαίρεται. ἐκεῖθεν ἐπὶ τὴν θήραν τοῦ Καλυδωνίου κάπρου ἐλθών, Εὐρύτῳ ἐντυγχάνει καὶ κτείνει τοῦτον ἄκων. πάλιν οὖν ὁ Πηλεὺς ἐκ Φθίας φυγὼν ἐς Ἰωλκὸν πρὸς Ἄκαστον ἀφικνεῖται, καὶ καθαίρεται ὑπ' αὐτοῦ. Ἀστυδάμεια δὲ, ἡ Ἀκάστου γυνή, ἐρασθεῖσα Πηλέως καὶ μὴ πείσασα αὐτὸν διὰ σωφροσύνην συνελθεῖν αὐτῇ, καταψεύδεται αὐτοῦ πρὸς Ἄκαστον ὡς ἀποπειραθέντος αὐτῆς. ὁ δὲ κτεῖναι μὲν, ὃν καθῆρεν, οὐκ ἠβουλήθη, — ἐκβάλλει δὲ αὐτὸν εἰς τὸ Πήλιον, ὅπως ὑπὸ θηρῶν βρωθείη. οἱ δὲ θεοὶ διὰ τὴν σωφροσύνην δεδώκασιν αὐτῷ μάχαιραν πρὸς τὸ ἀπαλέξειν τὰ θηρία. R.V. [ἄγει δὲ αὐτὸν εἰς θήραν εἰς τὸ Πήλιον. ἀποκοιμηθέντα δὲ αὐτὸν Ἄκαστος καταλιπὼν, καὶ τὴν μάχαιραν ὑπὸ τὴν κόπρον τῶν βοῶν κρύψας ἐπανέρχεται. ὁ δὲ ἐξαναστὰς καὶ μὴ εὑρὼν τὴν μάχαιραν ἤμελλεν ἀπόλλυσθαι καταλειφθεὶς ὑπὸ τῶν Κενταύρων. σώζεται δὲ ὑπὸ Χείρωνος· ὃς καὶ τὴν μάχαιραν ἐκζητήσας δίδωσιν αὐτῷ.]

1065. Ὑπέρβολος : Ὡς λυχνοπώλης γὰρ κωμῳδεῖται ἐν πολλοῖς. τὸ δὲ πλεῖν ἀντὶ τοῦ πλέον, ὡς δέον δεῖν. ἡ συναίρεσις Ἀττική. V. [οὗτος λυχνοποιὸς ὢν, πάνυ πανοῦργος ἦν. οὐ γὰρ χαλκῷ μόνον ἐχρῆτο πρὸς τὴν τῶν λύχνων κατασκευὴν, ἀλλὰ καὶ μολίβδου ἐνετίθει, ἵνα πολὺ βάρος ἔχοντες πλείονος ἄξιοι ὦσι· καὶ οὕτως ἠπάτα τοὺς πριαμένους.]

1068. κἆτ' ἀπολιποῦσά γ' αὐτὸν : Φασὶν ὅτι τοὺς γινομένους παῖδας ἐκ τοῦ Πηλέως ἡ Θέτις λαμβάνουσα περιέκαιε τὸ θνητὸν αὐτῶν σῶμα, βουλομένη αὐτοὺς ἀθανάτους ποιεῖν· καὶ πολλοὺς ἔκαυσε· καὶ τὸν Ἀχιλλέα οὖν τεκοῦσα ἐπέθηκεν εἰς τὸ πῦρ· καὶ γνοὺς ὁ Πηλεὺς ἐβόησεν. ἡ δὲ λυπηθεῖσα ἐχωρίσθη.

τρυφητὴς, γαμητής. R.

1070. σιναμωρουμένη : Ἀντὶ τοῦ συνεχῶς ἀνδρὶ συνουσιάζουσα πρὸς μίξιν, τουτέστι γαμουμένη. σινάμωρον γὰρ τὸ πορνικόν. R. V. κρόνιππος δὲ ἀντὶ τοῦ ἀρχαῖος, παρ' ὅσον ὁ Κρόνος ἀρχαῖος. V. [ἀνδρὶ συνουσιάζουσα πρὸς μίξιν. σινάμωρος δὲ, ἡ μεμορημένη. σίνος δὲ, τὸ αἰδοῖον· ὅθεν καὶ Σιληνός. σινάμωρον οὖν τὸ πορνικόν, κρόνιππος δὲ, ὁ μέγας λῆρος· κατ' ἐπίτασιν λαμβανομένου τοῦ ἵππου. — συνουσιαζομένη. *Br.*]

1072. λείπει τὰ κακά. ἐὰν σωφρονῇς. R. V.

1073. κοττάβων : Ἀντὶ τοῦ τῶν συμποσίων. R. V. [ἐν συμποσίῳ παίγνιον. ἦν δὲ τοιοῦτον· ἐτίθεσαν λέβητα, καὶ τὸ λείψανον τοῦ πόματος ἐνέβαλον, καὶ κτύπον μέγαν ἀπετέλουν ἐν τούτοις.] κιχλισμῶν δὲ ἀντὶ τοῦ γελώτων ἀδιαφόρων. R.V.

1075. τὸ εἶεν λέγεται ἀπόθεσις λόγου. R. V.

1077. (ἀδύνατος γὰρ : Οὐ γὰρ δυνατὸς εἶ λόγοις νικῆσαι αὐτοὺς ἐναντίον.)

1078. σπατάλα. τὸ αἰσχρὸν νόμιζε μὴ αἰσχὸν εἶναι. R.

1080. ἐπανενεγκεῖν : Τὴν αἰτίαν. *Vict.*

1081. ἀντὶ τοῦ ἡττᾶται. R.

1083. ἦν ῥαφανιδωθῇ : Οὕτω γὰρ τοὺς ἁλόντας μοιχοὺς ᾔκιζον. ῥαφανῖδας λαμβάνοντες ἔβαλλον εἰς τοὺς πρωκτοὺς αὐτῶν, καὶ παρατίλλοντες αὐτοὺς θερμὴν τέφραν ἐπέπασσον, βασάνους ἱκανὰς ἐργαζόμενοι.

1084. τίνα γνώμην : Ἀντὶ τοῦ, ποίαν ἕξει γνώμην μὴ εὐρύπρωκτος εἶναι.

1085. [ἦν δ' εὐρύπρωκτος : Ἔκθεσις τῆς διπλῆς ἀμοιβαίας· ἧς προτίθενται στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι τέσσαρες. τὰ δὲ λοιπὰ κῶλά εἰσιν ἰαμβικὰ ὀκτωκαίδεκα δίμετρα ἀκατάληκτα. τὸ μέντοι ὄγδοον καὶ δυοκαιδέκατον τρίμετρα, καὶ τὸ ἑνδέκατον πενθημιμερές. τὸ πεντεκαιδέκατον καὶ ἑπτακαιδέκατον μονόμετρα. τὸ δὲ τελευταῖον ἑφθημιμερές. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι· ἡ μὲν ἐν τῇ ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος.] ἀντὶ τοῦ οὐδέν. R.

1086. τοῦ εἶναι εὐρύπρωκτος. R.

1087. ἦν τοῦτο : Εἰς τοῦτο. ἐὰν εἰς τοῦτο νικηθῇς παρ' ἐμοῦ, ὅτι οὐδέν ἐστι κακὸν τὸ εἶναι εὐρύπρωκτος, (τί εἴπῃς;) — τοῦτο : Εἰς τοῦτο. ἐμοῦ : Ὑπό. *Vict.*

1089. συνηγοροῦσιν ἐκ τίνων : Ἀντὶ τοῦ τίνες εἰσὶν οἱ ῥήτορες; R. V.

1091. τραγῳδοῦσιν : Εἰς Φρύνιχόν φασιν αὐτὸν ἀποτείνειν τὸν τραγικὸν χορευτήν· ἐπεὶ διεβάλλετο ἐπὶ μαλακίᾳ διὰ ποικιλίαν σχημάτων.

1096. τῶν σωφρόνων καὶ τῶν εὐρυπρώκτων θεατῶν σκόπει πότεροι πλείους. R. V.

1103. ᾧ κινούμενοι : Τοῦτο ἄδηλον πότερον ὁ κρείττων λόγος φησὶν, ὁμολογῶν ἡττᾶσθαι, ἢ ὁ νεανίσκος, ὁ τῶν λόγων κριτής· ὃ καὶ μᾶλλον. ἔτι γὰρ ἐν τοῖς ἑξῆς ὁ κρείττων λόγος φαίνεται αὐτῷ συνάχθεσθαι, παραδοθέντι μανθάνειν τῷ ἑτέρῳ. — συνουσιαζόμενοι. *E.* ᾧ εὐρύπρωκτοι. *Vict.*

1104. θοιμάτιον : Τὸ ἱμάτιον δίδωσιν, ἵνα [ἐξ ἑτοίμου καὶ] εὐχερῶς αὐτομολήσῃ πρὸς αὐτοὺς, [καὶ μὴ ἐμποδίζοιτο τῷ δρόμῳ].

1105. [τί δῆτα; πότερον : Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ὀκτώ. ἐν ἐκθέσει δὲ κῶλα ἰαμβικὰ δίμετρα καταληκτικὰ ἤτοι ἑφθημιμερῆ. ἔχει δὲ τὸ δεύτερον κῶλον τὸν δεύτερον πόδα τρίβραχυν ἤτοι χορεῖον. ἐπὶ τῷ τέλει παράγραφος. — ἐπάγεσθαι : Ἀπελθεῖν. *D.*]

1107. δίδασκε : ἀντὶ τοῦ παίδευε· οἱ γὰρ διδασκόμενοι ἐκολάζοντο. R.V.

1108. στομώσεις : Ἀντὶ τοῦ ὀξυνεῖς, ὡς ἐπὶ σιδήρου φησὶ μεταφορικῶς ἀντὶ τοῦ ἀκονήσεις. ἡ μεταφορὰ ἀπὸ τῶν μαχαιρῶν. θατέρα δὲ ἀντὶ τοῦ τὸ μὲν ἕτερον μέρος τῆς γνάθου (οἷαν δικιδίοις), τουτέστι δυνατὴν καὶ ἔμπειρον δικῶν. ὑποκοριστικῶς δὲ τὸ δικιδίοις.

1110. εἰς τὰ ἄδικα, εἰς τὰ ἐμφιλόσοφα. V.

1111. τὸ ἀμέλει παρέλκει. δεξιὸν : οὕτως ἔλεγον πάντας τοὺς πεπαιδευμένους. R.V. κομιεῖ : Λήψῃ. *Vict.*

1112. ἀπὸ κοινοῦ τὸ κομιεῖ. R.

1115. [τοὺς κριτὰς ἃ κερδανοῦσιν : Κἀνταῦθα παράβασίς ἐστιν. ἔχει δὲ οὐ πάντα τὰ μέρη τῆς παραβάσεως, ἀλλὰ μόνον τὸ ἐπίρρημα, ἐν ᾧ ἔθος ἦ χρηστὰ συμβουλεύειν τῇ πόλει, ἢ σκώπτειν τοὺς πονηρούς. τίθενται γὰρ οὐ μόνον τέλειαι παραβάσεις, ἀλλὰ καὶ μέρη τινὰ αὐτῶν. ἔστι δὲ τὸ παρὸν ἐπίρρημα ἐκ στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν ιϛ'· ὧν τελευταῖος

κἂν ἐν Αἰγύπτῳ τυχεῖν ὧν μᾶλλον ἢ κρῖναι κακῶς.]

τόνδε τὸν χορὸν : Τὸν τῶν Νεφελῶν. τοὺς κριτὰς ἀντὶ τοῦ οἱ κριταί. Ὅμηρος [Od. A, 275] « μητέρα δ' εἴ οἱ θυμὸς ἐποτρύνει [γαμέεσθαι] » ἀντὶ τοῦ ἡ μήτηρ.

1116. ὠφελῶσ' ἐκ τῶν δικαίων : Συναγωνίζωνται καὶ συλλαμβάνωνταί τι κατὰ τὸ δίκαιον. ἵνα δὲ μὴ χάριτι δοχῇ νικᾶν καὶ τὴν ψῆφον φέρειν, ἀλλὰ ταῖς ἀληθείαις, προσέθηκε τοῦτο.

1117. νεᾶν : Ἀροτριᾶν. ἐν ὥρᾳ : Εὐκαίρως. *Br.* ἀντὶ τοῦ ἀροτριᾶν καὶ σπείρειν. R.V. ἐν ὥρᾳ : ἀντὶ τοῦ ἐν καιρῷ. V.

1119. τεκούσας : (Χαριέντως εἶπε τὸ τεκούσας καὶ φυλάξαι ἐπὶ τῆς βλαστήσεως τῆς ἀμπέλου. λίαν γάρ εἰσιν εὐχερεῖς.) αὐχμὸν τὴν ξηρασίαν. τὸ δὲ πιέζειν ἀντὶ τοῦ καταπονεῖν, ἀφανίζειν.

1125. σφενδόναις : [Ὅτι ἡ χάλαζα ὡς λίθος ἐστίν.] ἡ μεταφορὰ ἀπὸ τῶν λίθων καὶ τῶν σφενδονῶν. θέλει δὲ τὴν χιόνα εἰπεῖν. οὐκ ἀκύρως δὲ τὸ παιήσομεν, ἐπειδὴ ἀνθούντων τῶν καρπῶν ἡ χιὼν γίνεται. — ἀποκεκόφονται : Ἀφ' ἡμῶν. *E.*

1126. ζημία γὰρ τοῖς πλινθεύουσιν, ἐπειδὰν ὑετὸς γένηται. R.V.

1127. τὰς ἐν τῇ στέγῃ κεραμίδας. V.

1129. [τὴν νύκτα : Ὅτε ἀνάγκη ἐστὶ μετελθεῖν τὴν νύμφην.]

1130. ἐν Αἰγύπτῳ : [Ὡς ἐπὶ κατάρας], ἐπεὶ ὡς λῃστευομένη διεβάλλετο ἡ Αἴγυπτος. ἢ βουλήσεται πορρωτάτω εἶναι, ὅπου αὐτὸν οὐ βλάψει ὁ ὑετός· ἐπεὶ ἐν Αἰγύπτῳ δοκεῖ μὴ ὕειν, ὥς φησιν Ἡρόδοτος [3, 10] (« ὕσθησαν γὰρ τότε αἱ Θῆβαι, οὐδαμὰ πρότερον ὑσθεῖσαι. ») R.V. [ἐπεὶ μὴ ὕειν δοκεῖ αὐτόθι, ὡς Ἡρόδοτος. ἐκεῖ οὖν θελήσει τυχεῖν, ἵνθα μὴ βλαβήσεται ἐκ τῶν Νεφελῶν, ὡς πορρωτάτω τῆς πατρίδος. ἢ ὡς ἐπὶ κατάραν. ἐπεὶ καταρᾶται. ἐλέγετο γὰρ λῃστεύεσθαι ἡ Αἴγυπτος. Αἰσχύλος

δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι.

καὶ Θεόκριτος ἐν Ἀδωνιαζούσαις [47]

οὐδεὶς κακοεργὸς
δαλεῖται τὸν ἰόντα παρέρπων Αἰγυπτιστί.

καὶ αἰγυπτιάζειν τὸ ὕπουλα πράττειν.]

1131. πέμπτη : [Κορωνὶς εἰσιόντων τῶν ὑποκριτῶν καὶ ἔκθεσις παρὰ τοὺς τετραμέτρους. ἔστι γὰρ τὰ ἑξῆς ἰαμβικὰ τρίμετρα κγ'.] ἐξέρχεται δὲ ὁ Στρεψιάδης ἀριθμῶν τὰς ἡμέρας. οὕτω δὲ ἠρίθμουν Ἀθηναῖοι· — ἀπὸ τῆς νουμηνίας ὁμοίως ἡμῖν ἀριθμοῦσιν, α' β' γ' δ' ἕως

ι'· εἶτα ια' ιϐ', τρίτη ἐπὶ δέκα, τετάρτη ἐπὶ δέκα ἕως εἰκάδος. εἶτα ἣν ἡμεῖς εἰκάδα πρώτην, δεκάτην φθίνοντος αὐτοί φασιν, εἶτα ἐνάτην ἕως τε καὶ νέας. τὴν δευτέραν εἰκάδα καὶ ἐνάτην φθίνοντος Ἀθηναῖοι ἑκάλουν καὶ τὴν τρίτην ὀγδόην καὶ τὴν τετάρτην ἑβδόμην καὶ τὴν πέμπτην ἕκτην καὶ τὴν ἕκτην πέμπτην καὶ τὴν ἑβδόμην τετάρτην καὶ τὴν ὀγδόην τρίτην καὶ τὴν ἐνάτην εἰκάδα δευτέραν φθίνοντος, εἶτα τὴν τριακάδα ἕνην τε καὶ νέαν, ἐν ᾗ οἱ τόκοι ἀπῃτοῦντο. R.V. [τὰς μὲν ἀπὸ νουμηνίας ὁμοίως ἡμῖν, λέγοντες πρώτη ἱσταμένου, δευτέρα ἱσταμένου, μέχρι τῶν δέκα· μεθ' ἣν πρώτην ἐπὶ δέκα, εἶτα δευτέραν ἐπὶ δέκα. καὶ ἑξῆς ἄχρι εἰκοστῆς· ἡ αὐτὴ δὲ καὶ εἰκάς· μεθ' ἣν ἑνδεκάτην φθίνοντος, ἢ δεκάτην, ἢ ἐνάτην, ἢ ὀγδόην, ὡς ἔτυχεν ἔχων ὁ μήν· καὶ ἑξῆς ἀναλύοντι ἄχρι δευτέρας. οὕτω γὰρ Ἀθηναῖοι ἠρίθμουν, οὐ προστιθέντες, ἀλλ' ἀφαιροῦντες καὶ ἀναλύοντες μέχρι τριακάδος, Σόλωνος ἡγησαμένου, πρὸς τὰ τῆς σελήνης φῶτα οὕτω μειούμενα. μετὰ δὲ δευτέραν ἀκτέον ἕνην, τουτέστι τὴν τελευταίαν τοῦ μηνὸς ἡμέραν. Ἄλλως. πέμπτη, τετράς: οὐ προσέθηκε τὸ φθίνοντος. οὕτω γάρ, φασὶν, Ἀθηναῖοι μετροῦσιν· ἀπὸ πρώτης ἕως δευτέρας προστιθέασι τὸ ἱσταμένου· ἀπὸ τρισκαιδεκάτης ἕως ἐννεακαιδεκάτης τὸ ἐπὶ δέκα. εἶτα ἡ μεγάλη εἰκάς. ἀπὸ εἰκοστῆς πρώτης ἕως εἰκοστῆς ἐνάτης τὸ φθίνοντος, τὴν δὲ τριακοστὴν, ἕνην τε καὶ νέαν, ἐπεὶ μετέχει τοῦ τε παλαιοῦ καὶ τοῦ νέου φωτός. ταυτὸν δὲ καὶ Δημητριάδα προσηγόρευσαν. τὴν οὖν εἰκοστὴν δευτέραν ἑκάλουν ἐνάτην φθίνοντος· τὴν εἰκοστὴν τρίτην ὀγδόην· τὴν εἰκοστὴν τετάρτην ζ'· τὴν εἰκοστὴν πέμπτην ς'· τὴν εἰκοστὴν ἕκτην ε'· τὴν εἰκοστὴν ἑβδόμην δ'· τὴν εἰκοστὴν ὀγδόην γ'· τὴν εἰκοστὴν ἐνάτην β'· εἶτα τὴν τριακοστὴν ἕνην τε καὶ νέαν, ἐν ᾗ οἱ τόκοι ἀπῃτοῦντο, ἐπεὶ ἐν αὐτῇ συντελεῖται ὁ μὴν, καὶ ἀρχὴν ἔχει τοῦ ἑτέρου μηνὸς τῆς σελήνης. ὥστε ἡ μὲν εἰκοστὴ ἕκτη παρ' αὐτοῖς πέμπτη ἀκούει, ἡ δὲ εἰκοστὴ ἑβδόμη τετρὰς λέγεται.]

1134. ἕνη καὶ νέα : Οὕτω παρ' Ἀθηναίοις ἡ παρ' ἡμῖν τριακὰς, ἡ νεομηνία· ἐπειδὴ συμβαίνει ἐν αὐταῖς καὶ λήγειν τὴν σελήνην καὶ γεννᾶσθαι. τότε δὲ μὴ ταχέως ἀποδιδόντας τοὺς τόκους ἢ τὰ δάνεια ἀπῄτουν, ὡς ὑπερώρους γενομένους. διὸ λυπεῖσθαί φησιν ὁρῶν ἑνισταμένην ἕνην καὶ νέαν. πέμπτη δὲ αὕτη ἐστὶ ς' φθίνοντος. [ἕνη καὶ νέα, ἡ νουμηνία. διὰ μὲν οὖν τὸ παρελθεῖν τὸν μῆνα, ἕνη, διὰ δὲ τὴν ἀρχὴν, νέα. Ἄλλως. ἡ καλουμένη νουμηνία, διὰ τὸ τοῦ μὲν παρελθόντος μηνὸς εἶναι τέλος, ἀρχὴν δὲ τοῦ ἐνισταμένου. τὰς δὲ τριάκοντα ἡμέρας τῆς σελήνης εἰς τρεῖς δεκάδας Ἀθηναῖοι διαιροῦσι· καὶ τὴν μὲν πρώτην ὡς ἡμεῖς ἀπαριθμοῦνται, τὴν δὲ δευτέραν οὕτως· πρώτη ἐπὶ δέκα, δευτέρα ἐπὶ δέκα, ἄχρι τοῦ θ'. τὴν γὰρ εἰκάδα οὕτω καλοῦσι. τὴν δὲ εἰκάδα πρώτην ὑστέραν εἰκάδα· καὶ τὴν μετ' αὐτὴν θ' φθίνοντος, ἕως β' φθίνοντος, ἥτις ἐστὶν κθ'. τὴν δὲ τριακάδα ἕνην τε καὶ νέαν φασί.]

1136. θεὶς μοι πρυτανεῖα : Τὰς γὰρ δεκάτας τοῦ χρέους καταβάλλοντες τοῖς πρυτάνεσιν εἰσῆγον τοὺς χρεώστας. (πρυτανεῖα δὲ τὰ νῦν καλούμενα παρὰ Ῥωμαίοις σπόρτουλα.)

1142. ὀλίγον γάρ μοι μέλει : Ἀντὶ τοῦ, οὐδὲ ὀλίγον φροντίζω λοιπὸν τῶν δανειστῶν διὰ τὸ μεμαθηκέναι δηλαδὴ τὸν υἱὸν τὸν ἥττω λόγον, ᾧ περιεγένετο τῶν δίκαια λεγόντων. — δικαζέσθων : Ἀντὶ τοῦ δικαζέσθωσαν κατὰ ἀποκοπήν. *Vict.*

1145. ἡμὶ : Φημὶ, ἐνίημι. *Vict.*

1146. πρῶτον λαβέ : Θύλακον αὐτῷ ἐπιδίδωσιν ἁλφίτων. καὶ γὰρ ἄνω [669] εἶπε

διαλφιτώσω σου κύκλῳ τὴν κάρδοπον.

[τουτονὶ : Τὸν θύλακον, ὅς ἐστι μεστὸς ἁλφίτων. *C.* τὸν πλακοῦντα. *D.*]

1147. ἐπιθαυμάζειν : Ἀντὶ τοῦ δώροις τιμᾶν. R. θαυμαστῶς τιμᾶν καὶ δεξιοῦσθαι. Junt., *Br.* θαυμάζειν : Θαυμαστῶς τιμᾶν καὶ ἀξιοῦσθαι. *Vict.*

1149. (ἀρτίως : Ὅτι διαφέρει τὸ ἄρτι τοῦ ἀρτίως παρὰ Ἀττικοῖς. ἄρτι μὲν γὰρ ἀντὶ τοῦ νῦν, ἀρτίως δὲ ἀντὶ τοῦ πρὸ ὀλίγου.)

1150. [Ἀπαιόλη : Πέπλακεν ὄνομα δαίμονος, σωματοποιήσας αὐτὴν, παρὰ τὸ ἀπαιολεῖν καὶ κινεῖν καὶ στερεῖν· ἤ τινα τοιαύτην, ὡς ἂν εἴποι τις, ὦ Ἀδικία. Ἀριστοφάνης δὲ ὀξύνεσθαί φησι τὴν ἐσχάτην, Ἀπαιολή. τὸ δὲ ὥστε πρὸς τὸ μεμάθηκε. τὸ γὰρ ὦ παμβασίλεια διὰ μέσου.] ἀποστέρησις. R.

1152. ἐρωτηματικῶς. R.

1154. βοάσομ' ἄρα : [Διπλῆ καὶ εἴσθεσις εἰς μέλος ἀμοιβαῖον τῶν ὑποκριτῶν εἰκοσάκωλος. τὸ μὲν πρῶτον ἐξ ἰαμβικῆς βάσεως, τῶν ἄρα δύο βραχειῶν ἀντὶ μιᾶς μακρᾶς λογιζομένων, καὶ τροχαϊκοῦ πενθημιμεροῦς. τὸ δεύτερον ἐξ ἰαμβικῆς βάσεως καὶ τροχαϊκοῦ ἑφθημιμεροῦς. τὰ δὲ ἑξῆς δύο ἰαμβικὰ τρίμετρα ἀκατάληκτα. μεθ' ἃ δακτυλικὰ πενθημιμερῆ τρία. τὸ ὄγδοον ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χορείου δίμετρον. τὸ ἔνατον ἐξ ἐπιτρίτων τρίτων δίμετρον ὑπερκατάληκτον. τὸ δέκατον ἐκ διτροχαίου καὶ ἀντισπάστου, εἶτε ἐπιτρίτου τετάρτου καὶ διιάμβου. τὰ ἑξῆς δύο χοριαμβικὰ δίμετρα βραχυκατάληκτα. τὸ τρισκαιδέκατον ἐκ χοριάμβου καὶ σπονδείου. τὸ ιδ' σπονδειακὴ ταυτοποδία. τὸ ιε' ἐκ παίωνος τετάρτου καὶ ἰάμβου. τὸ ις' ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ ιζ' δακτυλικὸν δίμετρον ἀκατάληκτον. τὸ ιη' ὅμοιον τῷ ιε'. τὰ ἑξῆς δῆλα. ζητητέον δὲ περὶ πάντων ἀκριβέστερον.] παρὰ τὰ ἐκ Πηλέως Εὐριπίδου. ἐπιφέρει γὰρ

ἰὼ, πύλαισιν ἥ τις ἐν δόμοις;

(καὶ Φρύνιχος Σατύροις

βοάσομαί τἄρα τὰν ὑπέρτονον
βοάν.

ὑπέρτονον δὲ, μεγάλην, ὑπέροχον. φησὶ δὲ, εἰ οὕτω; ὁ παῖς ἐκπεπαίδευται, μέγιστον ὑπὸ χαρᾶς ἐκβοήσομαι. εἴρηται δὲ διαλέκτῳ Δωρίδι.)

1155. ὦ ᾽Ολοστάται : Δανεισταί. *Vict.*

1156. ταρχαῖα : Τὰ κεφάλαια. *C. D.* τ᾽ ἀρχεῖα : Οἱ γὰρ πρῶτοι τόκοι παρατεθέντος τοῦ δανείου κεφάλαια γιγνόμενοι τόκους ἄλλους γεννῶσι. *Vict.*

1160. ἀμφήκει γλώττῃ : Ὡς ἀπὸ εὐθείας τῆς ἀμφήκης. ἀκολούθως τῷ [1108]

εὖ μοι στομώσεις αὐτόν.

ἀμφήκει : Ἀμφοτέρωθεν ἠκονημένῃ. *Vict.*

1161. πρόβολος : [Προβαλλόμενος,] προστάτης, τεῖχος, ἀσφάλεια. R. V.

1162. ἀνιαρὸς : Βλαβερός. *D.*

1163. λυσανίας : Λύων τὰς τοῦ πατρὸς ἀνίας. ἐκτεταμένως δὲ προενεκτέον τὴν πρώτην καὶ τὴν τρίτην συλλαβήν. [πρὸς δὲ τὴν ὀνοματοποιίαν τὸν Σοφοκλέα μυκτηρίζει λέγοντα

Ζεὺς νόστον ἄγοι τὸν νικομάχαν,
καὶ παυσανίαν κατ᾽ Ἀτρειδᾶν.]

1165. ὁ Εὐριπίδης ἐν τῷ τῆς Ἑκάβης δράματι δι᾽ αὐτῆς φησιν· [172 sq.] ὦ παῖ παῖ, Πολυξένη δηλονότι, ἔξελθ᾽, ἔξελθ᾽ οἴκων. LB.

1170. τὸ ἰοῦ ἰοῦ ἐπὶ χαρᾶς περισπᾶται. (Ἄλλως. ἰοῦ ἰοῦ. διπλῆ, εἶτα καὶ) εἴσθεσις. εἰς προαναφώνησιν τὸ ἰοῦ ἰοῦ, καὶ ἴαμβοι τρίμετροι ε᾽ ἐν εἰσθέσει. R. V.

1171. χροίαν : Ὡς ἐκ τῆς ἀσκήσεως ὠχριάσαντος. οἱ Ἀττικοὶ δὲ παροξύνουσι τὴν χρόαν.

1172. ἰδεῖν εἶ : λείπει ἡ εἰς· ἵν᾽ ᾖ, εἰς τὸ ἰδεῖν. [ἐξαρνητικὸς δὲ ἀρνεῖσθαι δυνάμενος. — ἰδεῖν. Εἰς τὸ ἰδεῖν. *Vict.*]

1174. ἀτεχνῶς : Ἄγαν ἀκριβῶς. ἐπανθεῖ δὲ, πλεονάζει, ἀκμάζει. — ἐπανθεῖ : Ἀκμάζει : *Vict.*

τί λέγεις σύ : Τῷ περὶ τὴν συνήθειαν καὶ ἀνὰ χεῖρα ἐχρήσατο. εἰώθαμεν γὰρ ἐν ταῖς τῶν ἐναντίων διαλέξεσι λέγειν, τί λέγεις σύ; ὅτε γὰρ τοὺς ἐναντίους καταπλῆξαι βουλοίμεθα, τῇ τοιαύτῃ φωνῇ χρώμεθα· οἵ τε ἀναισχυντοῦντες παρὰ Ἀθηναίοις ἀνθιστάμενοι ἔλεγον, τί λέγεις σύ;

1176. βλέπος : Ἀντὶ τοῦ πανοῦργον τὸ βλέμμα. οἱ γὰρ Ἀθηναῖοι ἐπὶ πανουργίᾳ καὶ ἀναιδείᾳ διεβάλλοντο. (τὸ δὲ χ πρὸς τὸν σχηματισμὸν τῆς λέξεως.) — Ἀττικὸν βλέπος : Ἦγουν βλέμμα καὶ ἦθος, οἷον οἱ Ἀθηναῖοι ἔχουσι, δριμὺ καὶ τιτανῶδες. διαβάλλει δὲ αὐτοὺς ὡς θρασεῖς καὶ ἑτοίμους προδήλως εἰς τὸ ἀδικεῖν. LB.

1178. διὰ τὰ χρέα. R.

1179. ἕνη γάρ ἐστιν : Ἀντιλέγει τῷ ὁμολογουμένῳ, ὅτι οὐκ ἔστιν ἕνη καὶ νέα μία ἡμέρα, ἀλλὰ δύο, ἕνη μὲν ἡ τριακάς, νέα δὲ ἡ νουμηνία. καὶ οὕτως ὁ Σόλων τὰς μὲν κλήσεις τῶν δικῶν τῇ τριακάδι φησὶ γίνεσθαι, ὅπως ὁ κληθεὶς εἰς δίκην ἔχῃ ὅλην τὴν τριακάδα εἰς τὸ σκέψασθαι τὰ περὶ ἑαυτοῦ, ὥστε ἐν ταυτῷ καὶ τὰ πρυτανεῖα θεῖναι ἐν τῷ δημοσίῳ.

1181. ἀπολοῦντ᾽ ἄρ᾽ : Σημιώσονται ταῦτα ἅπερ ἀναλώσουσι. [σοφίζεται δὲ ὅτι οὐ δύναται εἶναί τις ἡμέρα ἡ αὐτὴ ἕνη καὶ νέα.]

οὐ γάρ ἐσθ᾽ ὅπως : Ἀδύνατον τὰς δύο ἡμέρας μίαν γενέσθαι, καὶ δείκνυσιν ὅτι οὐ τῆς μιᾶς ἡμέρας τὰ δύο ὀνόματα, ἀλλὰ τὸ μὲν τῆς τριακάδος ἡ ἕνη, τὸ δὲ τῆς νουμηνίας ἡ νέα.

1184. [γραῦς τε καὶ νέα : Διὰ τοῦτο τὸ παράδειγμα τῆς γυναικὸς ἔθηκε, διὰ τὸ τὴν ἕνην ἀρχαίαν καὶ παλαιὰν καὶ ὥσπερ τέλος τοῦ ὄπισθεν μηνὸς ἡγεῖσθαι, νέαν δὲ τὴν πρώτην, ἀφ᾽ ἧς ὁ μὴν ἄρχεται.]

1187. ὁ Σόλων ὁ παλαιὸς : Ἀρχὴ ἐστὶν αὕτη τῆς τοῦ νόμου διηγήσεως. Σόλων δὲ ὁ νομοθέτης. ἀπομιμεῖται δὲ τοὺς ῥήτορας τοὺς τὰ μὲν ὀνόματα τῶν νομοθετῶν λέγοντας, μὴ μέντοι τοὺς νόμους εἰδότας.

1188. τουτὶ μέν : Οὐκ ἀνασχόμενος ὁ Στρεψιάδης ἀκοῦσαι πάντα τὸν λόγον ἐκ περικοπῆς τοῦτό φησι, τὸ, οὐδέν ἐστι τοῦτο πρὸς τὴν ἕνην τε καὶ νέαν.

1189. τὴν κλῆσιν : Τὴν ἐν ταῖς δίκαις (εἰσαγωγήν). καλοῦνται γὰρ εἰς τὸ δικαστήριον.

1191. ἵν᾽ αἱ θέσεις : Αἱ καταβολαὶ τῶν πρυτανείων· ὅπερ μισθὸς ἦν τῆς εἰσαγωγῆς τῆς δίκης. ἐδίδοτο γὰρ δραχμὴ τῷ δημοσίῳ.

1192. ἵν᾽ ὦ μέλε : [Ἵνα, φησὶ, παρόντες οἱ ἐναγόμενοι, εἰ συνειδοῖεν ἑαυτοῖς ἀδικοῦσι καὶ ὀφείλουσι, τοῦ δικάζεσθαι ἀπαλλάττοιντο, διαλυσάμενοι πρὸς τοὺς δανειστὰς διὰ τῆς τῶν τόκων ἀποδόσεως· εἰ δὲ μὴ οἰκεία ἀποδοῖεν γνώμῃ, ὑπὸ τοῦ δικαστηρίου λυποῖντο. εἰς σκέψιν οὖν αὐτοῖς, φησὶν, ἐδίδοτο ἡ τριακοστή. Ἄλλως.] ἵνα πρὸ μιᾶς ἡμέρας παραστάντες οἱ κατηγορούμενοι διαλυθῶσιν· εἰ δὲ μή, τῇ νουμηνίᾳ δικάζοιντο. εἰς σκέψιν οὖν αὐτοῖς, φησὶν, ἐδίδοτο ἡ τριακάς.

1194. ἀντὶ τοῦ ἄνευ δίκης R.V.

1195. ὑπανιῷντο : Ἀντὶ τοῦ μετὰ βίας ἀπαιτοῖντο, μαστίζοιντο.

1196. διὰ τί οὐκ ἔμεινε τὸ ἔθος, ἀλλὰ τῇ τριακάδι καταβάλλουσι, δέον τῇ νουμηνίᾳ;

1197. [ἕνη τε καὶ νέα : Ἀποδεικτικὸς τόπος, ὅτι ἕνη καὶ νέα λέγεται ἡ τριακάς. ἀντιδιέσταλκε γὰρ πρὸς νουμηνίαν. ἀρχαὶ δὲ, οἱ ἄρχοντες.] (πρυτανεῖα δὲ, τὰ διδόμενα ὑπὸ τῶν δικαζομένων τῷ δημοσίῳ ἀργύρια.)

(1198). [ὅπερ οἱ προτένθαι : Οὐκέτι γὰρ δίδοται αὐτοῖς ἡ σκέψις ἡ πρὸ μιᾶς, ἀλλ᾽ εὐθὺς ἐπὶ τὸ καταβαλεῖν ὁρμῶσιν. εἰκὸς γὰρ αὐτοὺς ἀποσκεπτομένους τῇ ἐνδοσίμῳ τριακοστῇ, καταβάλλειν χωρὶς δίκης τὸ χρέος, καὶ μηκέτι τούτους λαμβάνειν τὰ πρυτανεῖα. διὰ τοῦτο τοίνυν προέλαβον τὴν προθεσμίαν ὑπὸ τοῦ ἐπιθυμητικῶς ἔχειν, ὑπὸ τοῦ κερδαίνειν ἡττώμενοι.] προτένθαι δὲ οἱ προλαμβάνοντες τὰ ὄψα, πρὶν εἰς τὴν ἀγορὰν κομισθῆναι, [καὶ μεταπιπράσκοντες πλείονος· οἱ νῦν μετάβολοι καλούμενοι· ἢ λίχνοι, ἢ ἀκρατεῖς]. — οἱ πρὸ καιροῦ τῶν σφαγίων ἀπογευόμενοι. R. V. λαίμαργοι. *Br.* προτένθαι : Τένθης, λίχνος καὶ γαστρίμαργος. Αἰλιανός. τένθης καὶ ὀψοφάγος· τένθειν δὲ τὸ ἐσθίειν. Vict.

1199. [ὅπως τάχιστα : Τοῦτο οὕτω συντάξεις· ὅπως

τάχιστα ὑφελοίατο καὶ λάβοιεν τὰ πρυτανεῖα, διὰ τοῦτο προὐτένθευσαν καὶ προὔλαβον ἡμέρᾳ μιᾷ. δοκοῦσι γάρ μοι παθεῖν ὅπερ οἱ προτένθαι. ἐποίησε δὲ τὴν σύνταξιν ἀσαφῆ τῷ προτάξαι τὴν κατασκευήν. E.]

(ὑφελοίατο : Λάβοιεν.)

1200. προὐτένθευσαν : (Προελιχνεύσαντο. προέλαβον τὴν προθεσμίαν ὑπὸ τοῦ ἐπιθυμητικῶς ἔχειν, ἢ ὑπὸ τοῦ κερδαίνειν ἡττώμενοι.) προὐθέσμευσαν ἡμέραν μίαν. — ἐλαιμάργησαν, προέλαβον. *Br.*

1201. ἀβέλτεροι : Ἀντὶ τοῦ ἀνόητοι. βέλτερος γὰρ ὁ φρόνιμος. [ἢ ἀπαίδευτοι. πρὸς δὲ τοὺς θεατὰς ποιεῖται τὸν λόγον. διὰ γὰρ τοῦ μωροῦ δοκιμάζεται ὁ φρόνιμος. — ἀμαθεῖς. *Br.*]

1202. κέρδη : Τρυφή, γέλως, ἀπάτη. λίθοι : Ἀναίσθητοι. *Br.*]

1205. [ἀριθμὸς : Μάταιον πλῆθος. (πρόβατ' ἄλλως : Ἁπλούστατοι μάτην. ἀμφορῆς : Μεγαρικὰ σεσωρευμένα. *Br.* ἀμφορεῖς νενοισμένοι : Ἐστερημένοι οἴνου ἢ φρονήσεως. *LB.* νενασμένοι : Ναίω, νήω ἢ νάσσω· μέλλων νάσω, νένακα, νένασμαι, νενακὸς ἡ μετοχή. *Vict.*] ματαίως κέραμοι σεσωρευμένοι. νηῆσαι γὰρ τὸ σωρεῦσαι. R.V.

1205. τὸ τέλειον ἀστέον μοι ἐγκώμιον. R.

1206. μάκαρ ὦ Στρεψίαδες : Ὡς ἄγροικος περὶ τὴν κλητικὴν ἐσφάλη· ἔδει γὰρ εἰπεῖν ὦ Στρεψιάδη. ἔπαιξεν οὖν παρὰ τὴν ἀναλογίαν.[ἔκθεσις δὲ τῆς διπλῆς περιοδικῆ εἰς μέλος μονοστροφικὸν τοῦ ὑποκριτοῦ ὀκτάκωλος· ὧν τὸ πρῶτον Ἰωνικὸν ἀπ'[ἐλάσσονος δίμετρον καταληκτικόν· εἰ δὲ βούλει, ἀναπαιστικὸν πενθημιμερές. τὸ δεύτερον Ἰωνικὸν ἀπὸ μείζονος ἑφθημιμερὲς ἀντὶ Ἰωνικοῦ ἔχον ἐπίτριτον τρίτον. τὸ τρίτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ τέταρτον ὅμοιον τῷ δευτέρῳ. τινὲς δὲ ταῦτα τὰ τρία ἀπὸ ἰαμβικῆς βάσεως καὶ τροχαϊκῆς κατακλείδος. τὸ πέμπτον ἰαμβικὸν ἑφθημιμερές. τὸ ς' Ἰωνικὸν τρίμετρον καταληκτικὸν ἐκ διτροχαίου καὶ ἐπιτρίτου τρίτου καὶ Κρητικοῦ· εἰ δὲ βούλει, τροχαϊκὸν τρίμετρον καταληκτικὸν ἰάμβου κατὰ τὴν τετάρτην χώραν, ὡς ἐπὶ τῆς παραβάσεως, τιθεμένου. ἢ τὸ μὲν πέμπτον Ἰωνικὸν δίμετρον ἀκατάληκτον, τὸ δ' ἕκτον ἐξ ἰαμβικοῦ πενθημιμεροῦς καὶ δοχμίου συζυγίας. συνῆψε τῇ λέξει καὶ ἑτέραν διαίρεσιν τὴν εἰς ἰαμβικὸν τρίμετρον ὑπερκαταληκτικὸν καὶ δόχμιον. τὸ ἕβδομον Ἰωνικὸν δίμετρον ὑπερκατάληκτον, ἐξ Ἰωνικοῦ καὶ διτροχαίου· ἢ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ὄγδοον Ἰωνικὸν ἡμιόλιον, ἐκ διτροχαίου καὶ σπονδείου· ἢ τροχαϊκὸν ἰθυφαλλικόν. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι· ἡ μὲν ἐν ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος. ἔστι δὲ καὶ ταῦτα πολυσχημάτιστα κατὰ τὸν εἰρημένον τρόπον.]

1209. φήσουσι τοῦτο τὸ μάκαρ ὦ Στρεψιάδες καὶ οἱ φίλοι καὶ οἱ δημόται. R.

1214. [κορωνὶς ὁμοία ταῖς ῥηθείσαις. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι μέ', ὧν τελευταῖος ὁτιὴ 'κάλεσας εὐηθικῶς τὴν κάρδοπον.

ἐπὶ τῷ τέλει κορωνίς.]

οὗτος δανειστὴς Στρεψιάδου Πασίας, ἄγων σὺν ἑαυτῷ μάρτυρα, ᾧ διαλέγεται ἀσχάλλων ἐπὶ τῷ μὴ κεκομίσθαι ἅπερ ἐδάνεισε χρήματα. φησὶν οὖν, οὐ χρὴ ῥᾳδίως ἄλλοις προΐεσθαι τὰ ἑαυτοῦ χρήματα. ἐμφαντικῶς δὲ λέξει ἐχρήσατο, οὔτε διδόναι φήσας· ὁ γὰρ δῶρόν τι λαβὼν οἶδε τάχα τῷ διδόντι χάριν· οὔτε χρῆσαι εἰπών· ὁ γὰρ δανείσας ἐπ' ὠφελείᾳ δίδωσί τινι, ἀλλ' εὗρεν ὄνομα τὸ προϊέναι, μόνον οὐχὶ τὴν δύναμιν τοῦ ῥίπτειν καὶ σκορπίζειν ἔχον. — τὸ δὲ προϊέναι, προδιδόναι καὶ κιχρᾶν. οὔτε δὲ χαρίσασθαι ἔφη· οὐδὲ γὰρ ἐχαρίσατο· οὔτε δανεῖσαι, ἀλλὰ προϊέναι, ὃ τὸ ῥῖψαι καὶ ἀπολέσαι. V.

1216. ἀπερυθριᾶσαι : [Ἀντὶ τοῦ, ἀρνησάμενον μὴ χρῆσαι, ἢ χρήσαντα πράγματα ἔχειν.] ἀπαναισχυντῆσαι εἰπόντα ὅτι οὐκ ἔχω. — ἀπερυθριάσαι ἐκ τοῦ μὴ διδόναι δάνειον, μᾶλλον ἢ λαβεῖν ὕστερον ὀχλήσεις ἐν τῇ ἀπαιτήσει. *Br.*

1217. ὅτε : Ἐπεί. *Br.*

1218. τῷ μάρτυρί φησιν ὅτι καλῶ σε εἰς δικαστήριον μαρτυρήσοντα. R. V.

1219. ὅτι ἀπαιτεῖ φίλον, ὃ συμβαίνειν εἴωθεν. V. δημότῃ : ἀπὸ τοῦ αὐτοῦ δήμου τῷ μάρτυρι δηλονότι. R.

1220. κατηγορεῖ Ἀθηναίων, ὡς περὶ τὰς δίκας ἀεὶ διατριβόντων. *Br.* ὅτι φιλοπράγμονες οἱ Ἀθηναῖοι. R. V.

1222. ἐς τὴν ἕνην τε καὶ νέαν : Εἰς δικαστήριον δηλονότι. ὑπερβατὸν δέ· ἀλλὰ καλοῦμαι Στρεψιάδην εἰς τὴν ἕνην τε καὶ νέαν. ἀπὸ κοινοῦ δὲ τὸ καλοῦμαι.

1223. τοῦ χρήματος : Λείπει χάριν, ἢ περί, Ἀττικῶς. ἕνεκεν τοῦ χρήματος, οἷον τοῦ πράγματος, [ἐρωτηματικῶς. εἶτα ἀποκρίνεται ὁ δανειστὴς, τῶν δώδεκα μνῶν, καὶ τὰ ἑξῆς.]

1225. τὸν ψαρὸν : Τὸν τὸ χρῶμα τοιοῦτον, ἢ τὸν ταχὺν, ἀπὸ τοῦ ψαίρειν· ὅθεν καὶ αἰψηρός. — ποικίλον. *Br.* λευκόν. *D.*

οὐκ ἀκούετε : Αὐτοῦ διαβάλλοντός με. *C.* αὐτὸν διαβάλλοντά με. *D.*

1226. ἱππικήν : Ταῦτα λέγει ὡς συκοφαντούμενος ὑπ' αὐτοῦ. R. V.

1228. νὴ τὸν Δί' : Ναὶ ὄμνυον δηλονότι. *Vict.* ἐξηπίστατο : Ἦν μαθών. *Harl.*

1229. τὸν ἀκατάβλητον : Τὸν ἀήττητον· τὸν μηδὲν καταβάλλοντα. [πρὸ δὲ τοῦ, μὰ τὸν Δία, τὸ ναὶ ληπτέον ἔξωθεν, οὕτως· ναὶ ὄμνυον· οὐ γὰρ ἠπίστατο μὰ τὸν Δία ὁ Φειδιππίδης· καὶ τὰ ἑξῆς.]

1230. ἔξαρνος : Ἐξαρνούμενος. *Vict.*

1231. τῆς μαθήσεως· διὰ τοῦτο γὰρ ἔμαθον. V.

1233. ἵν' ἂν : Ἀντὶ τοῦ ὅπου ἄν σε κελεύσω ἐγώ. V. ὅπου τὸ ἵνα μεθερμηνευτικόν ἐστι. *Br.*

1235. προσκαταθείην : Τουτέστι καὶ ζημιωθείην ἂν τρεῖς ὀβολοὺς, ἵνα ἐπιτρέψῃς μοι ὀμόσαι τοὺς θεούς· οὕτω καταφρονῶ τοῦ ὅρκου. θεοὶ γὰρ οὐκ εἰσί. [τὸ δὲ

ἐξῆς, καὶ προσκαταθείην ἂν τριώβολον, ὥστε ὀμόσαι νὴ Δία. — κἂν προσκαταθείην : Μὰ τὸν Δία καὶ προκαταθείην ἂν ἤτοι προκαταβάλοιμι τρ. Cant. 3.]

1237. διασμηχθεὶς : Ὡς ἐπὶ κεράμου ἢ ἀσκοῦ τὸν λόγον ποιεῖται, οἵτινες σμηχόμενοι ἁλσὶ βελτίονες γίνονται· ἅμα δὲ ὅτι τοὺς παραφρονοῦντας διαβρέχομεν ἁλσὶ καὶ ἐλαίῳ, καὶ ὠφελοῦνται. (Ἄλλως. ὡς παχύδερμον αὐτὸν χλευάζει. τὰ γὰρ παχέα ὑπὸ πιμελῆς τῶν δερμάτων ἁλσὶ μαλαττόμενα εὐρύτερα γίνεται. ὅναιτο οὖν, φησίν, ἀποκαθαρθεὶς τὴν παχύτητα. ἡ μεταφορὰ ἀπὸ τῶν βυρσῶν. ταῦτα δὲ λέγει ἤτοι ἀσκὸν ἢ ἀγγεῖον χαλκοῦν βασταζων.) [ὡς ἐπ' ἀγγείου ἢ ἀσκοῦ· τινὲς δέ, ὡς ἐπὶ οἴνου. οἱ γὰρ δεχόμενοι ἅλας οὐ τρέπονται. Ἄλλως. τὴν μεταφορὰν εἴληφεν ἀπὸ τῶν κεράμων καὶ τοῦ οἴνου, οἷς ἅλες βάλλονται ὑπὲρ τοῦ μὴ ἐξίστασθαι μηδὲ ὀξίζειν εὐχερῶς. ἢ ἐπεὶ τοὺς ὑπὸ μέθης ὥσπερ παραφρονοῦντας ὑποβρέχειν εἰώθαμεν ἐλαίῳ ἁλσὶ μεμιγμένῳ. ὡς οὖν τοῦ δανειστοῦ μὴ καθεστηκότος, ἀλλὰ καὶ παραφρονοῦντος, ὡς ἐπὶ ὡμολογημένοις ἕξαρνός ἐστιν, οὕτω τῇ μεταφορᾷ ἐχρήσατο. φησὶν οὖν, οὐ τὰ τυχόντα οὗτος ὠφεληθείη διαβρεχθεὶς ἁλσίν. — κσθαρθείς· τὰ γὰρ παρασόμενα κρέα δυσωδίας καὶ σκωλήκων καθαίρεται. Θ.]

1238. ἓξ χοᾶς χωρήσεται ὁ ἐγκέφαλος αὐτοῦ. ἅμα δὲ ἐπὶ κεράμου ἢ ἀσκοῦ ἔμεινε μεταφορᾶς, ὃς ἐὰν σμηχθῇ, πλέον χωρεῖ τῶν ἐμπεφρακότων ἀποβεβλημένων. R.V. [ἓξ χοὰς : Πάλιν χλευάζει ὡς ἐπὶ ἀμφορέως καὶ οἴνου. ἢ πρὸς τὰ ἀνωτέρω, ἂν σμηχθῇ, πλέον χωρήσει. ὥσπερ λήκυθος ἢ ἀσκὸς, ἢ ἄλλο τι τῶν τοιούτων. πλέον γὰρ χωρεῖ τῶν ἐμπεφρακότων ἀποβεβλημένων. χοεὺς δέ ἐστιν εἶδος μέτρου, ᾧ μετροῦσι τὸν οἶνον. ὃ καὶ κλίνεται χοέως, ὡς Ἡλέως· ὡς καὶ ἐν Ἱππεῦσι [95] φησὶν

ἀλλ' ἐξένεγκέ μοι ταχέως οἴνου χοᾶ.

ἐνταῦθα δὲ τὸ χοᾶς, εἰ μὲν περισπᾶται, ἐκ τούτου τοῦ χοεύς ἐστι, κατὰ ποιητικὴν ἄδειαν. χοῆς γὰρ ὤφειλεν εἰπεῖν ὡς ἱππῆς. εἰ δὲ βαρύνεται, ἐξ ἑτέρας ἐστὶν εὐθείας, ἥτις ἐστὶν ἡ χοὴ θηλυκῶς, καὶ κλίνεται τῆς χοῆς.

1240. καταπροΐξει : Καταφρονήσεις· παρὰ τὴν προῖκα. δωρεὰν ἐπεγχανῇ μοι.]

ἤσθην : Παρεπιγραφή ἐστι. γελῶν γὰρ τοῦτό φησιν. ἐκκαχάζει γὰρ τῆς προσηγορίας ἀκούσας τοῦ Διὸς, γέλωτα τὸν ἐκείνου τιθέμενος ὅρκον. ταῦτα δέ φησιν, ἐπεὶ δεδίδακται μήτε τὸν Δία μήτε τοὺς ἄλλους ἡγεῖσθαι θεοὺς, ἀλλὰ ἢ τὰς Νεφέλας καὶ τὸν Δῖνον, ὡς ἔφησεν ὁ Σωκράτης.

1241. τοῖς εἰδόσιν : Ἀντὶ τοῦ, ἐμοὶ τῷ εἰδότι. [ἢ τοῖς ἐπιστήμοσι καὶ εἰδόσιν, ὅτι ὁ Ζεὺς οὐδείς ἐστι. διὸ καὶ γέλωτος ποιητικὸς ὁ Ζεὺς ὁ παρὰ σοί.]

1242. ἀντὶ τοῦ ὑπὲρ ὧν ἐβλασφήμησεν. V.

1246. εἰπὲ μόνον τὸ δοκοῦν σοι. R.V. [ἀποδώσειν σοι : Τινὲς τοῦτο τοῦ κλητῆρος εἶναί λέγουσιν. ἢ εἰσελθόντος τοῦ Στρεψιάδου ὁ δανειστὴς φησὶ πρὸς τὸν μάρτυρα.] τῷ μάρτυρί φησιν ὁ δανειστὴς εἰσελθόντος τοῦ Στρεψιάδου. R. ὁ μάρτυς φησὶ τῷ Πασίᾳ εἰσελθόντος τοῦ Στρεψιάδου, ὅτι τί σοι δοκεῖ δράσειν ὁ Στρεψιάδης. εἰσέρχεται δὲ ἐκβάλλειν κάρδοπον, ἵνα αὐτῷ διαλεχθῇ καθὼς ἐδιδάχθη ὑπὸ τοῦ Σωκράτους. V.

1248. (τουτὶ τί ἐστιν : Εἰσελθὼν ὁ Στρεψιάδης προῆλθε πάλιν τῆς οἰκίας, σκαφίδιον ἢ μαγίδιον ἐξαγαγών. ἀνερωτᾷ οὖν αὐτὸν καὶ πυνθάνεται, ὅ τί ποτε αὐτὸ προσαγορεύοι. ὁ δὲ συνήθως τοῦτό φησιν ἀρσενικῶς, κάρδοπος. οὗτος δὲ ὑπὸ τοῦ Σωκράτους καρδόπην αὐτὸ δεδίδακται λέγειν. ἵνα οὖν ἀμαθῇ καὶ ἀπαίδευτον ἀπὸ τοῦ πρώτου ἀποδείξῃ τὸν δανειστὴν, οὕτω φησίν.) ἐξ ὧν ἔμαθε παρὰ Σωκράτους. R.

1252. οὐχ ὅσον γέ μ' εἰδέναι : (Ἀντὶ τοῦ ὡς νομίζω.) ἐν ὅσῳ ἐν ἐμαυτῷ εἰμι καὶ οἶδά τι.

1253. ἀπολιταργιεῖς : Ἀντὶ τοῦ ἀποδραμεῖ, ἀποσκιρτήσεις ἀπὸ τῆς θύρας. ἔνεστι δὲ ἐν τῇ λέξει τὸ ἀργὸν, ὅπερ ἐστὶ τὸ ταχὺ, καὶ τὸ λίαν. οὐ ταχέως οὖν, φησὶν, ἀποδραμεῖ. λιταργισμοὺς δὲ ἐκάλουν καὶ τὰ σκιρτήματα. — ὑποχωρήσεις, ἀπέλθῃς. *Br.*

1255. θήσω πρυτανεῖα : Γραφὴν κατὰ σοῦ ποιήσομαι. ἐν γὰρ τῷ πρυτανείῳ ἐτίθεσαν τὰς τῶν δικῶν γραφάς.

1256. προσαποβαλεῖς : Ἀντὶ τοῦ ζημιωθήσῃ καὶ τὰ πρυτανεῖα πρὸς ταῖς δώδεκα μναῖς. [ὅ ἐστι τὸ δέκατον τοῦ τιμήματος τῆς δίκης· ὅπερ καλεῖται συνωνύμως παρακαταβολή.] — ἀπολέσεις, φησὶ, καὶ τὰ ἐπὶ τῇ γραφῇ ἀναλώματα, μάτην αὐτὰ ποιήσας, διὰ τὸ περιέσεσθαί σου τὸν υἱόν μου λέγοντα τὸν ἀδικώτερον λόγον. V.

1258. ὅτι ἣν ἔδει σε καρδόπην, εἴρηκας κάρδοπον. εὐηθικῶς δὲ ἀντὶ τοῦ ἀπαιδεύτως. R. V. εἴρηκας ἀνοήτως. ὡς δὲ βέβαιον ἔχων τὸ νικῆσαι κατειρωνεύεται αὐτοῦ. V.

1259. [ἰώ μοί μοι : Κορωνὶς ἑτέρα ὁμοία. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι μγ'. ὧν προτίθεται κῶλα δύο· τὸ πρῶτον ἀντισπαστικὸν μονόμετρον ἀκατάληκτον· τὸ δεύτερον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον. ὁ δὲ τελευταῖος τούτων

αὐτοῖς τροχοῖς τοῖς σοῖσι καὶ ξυνωρίσιν.

ἐπὶ τῷ τέλει κορωνίς.]

1261. τῶν Καρκίνου : Ἐπεὶ τραγικῶς ἀνεφώνησε τὸ ἰώ μοί μοι. οἱ δὲ Καρκίνου παῖδες Ξενοκλῆς καὶ Ξενότιμος, καὶ ὁ μὲν χορευτὴς, Ξενοκλῆς δὲ τραγῳδίας ποιητής. παρ' ὑπόνοιαν δὲ εἶπε, δέον παίδων. [Ἄλλως. φασὶν ὡς ὁ Καρκίνος οὗτος ποιητὴς ὢν τραγικὸς, εἰσήγαγέ τινας τῶν θεῶν ἔν τινι δράματι δεινοπαθοῦντας. Junt., Vict. δαιμόνων : Δαίμονες οἱ θεοὶ, δαήμονές τινες ὄντες ἢ ζα . . . . ροι ἢ ἀπὸ τοῦ πάντα μερίζεσθαι, δάσασεσθαι. *Vict.*

1263. οἷον κατὰ σαυτοῦ νῦν χώρει καὶ μὴ καθ' ἡμῶν. R. V.

1264. ὦ σκληρὲ δαῖμον : Ταῦτα Ξενοκλέους ἐστὶν ἐκ

τοῦ Λικυμνίου. λέγεται δὲ ὑπ' Ἀλκμήνης Λικύμνιον τεθνηκέναι ὑπὸ Τληπολέμου. διὸ καὶ ἐπιφέρει « τί δαί « σε Τληπόλεμός ποτ' εἴργασται κακόν; » Εὐφρόνιος παρὰ Ξενοκλεῖ φησιν εἶναι τὸ χρυσάντυγες, ἐξ οὗ παραπεποιῆσθαι τὸ θραυσάντυγες. τοῦτο, ἐπεὶ ἐμνήσθη αὐτοῦ ἀπὸ τοῦ πατρός. [Ἄλλοι δὲ τραγικὸν ὑποκριτὴν εἶναι τὸν Τληπόλεμον, συνεχῶς ὑποκρινόμενον Σοφοκλεῖ. εἰκότως δὲ τούτοις ὁ δανειστὴς χρῆται. διὰ γὰρ ἱπποτροφίαν ἐπτώχευσεν. — θραυσάντυγες : Ἄντυξ, ἅρματος περιφέρεια. *Vict.*]

1267. ὦ 'τὰν : Ὦ σὺ, ὦ ἑταῖρε, ὦ οὗτος, ὦ μακάριος, πρόσρημα τιμητικῆς λέξεως· λέγεται δὲ καὶ ἐπὶ εἰρωνείᾳ πολλάκις. *Vict.*

1269. λείπει τὸ ἐμοί. κακῶς : ἀτυχῶς. R.

1271. κακῶς ἄρ' εἶχες : Διὰ τὸ ἄνω εἰρηκέναι, ἰώ μοί μοι, καὶ, ἀνὴρ κακοδαίμων, ἐπήγαγε τὸ ὄντως.

1272. ἐξέπεσον : Τῶν χρημάτων. ἦν δὲ καὶ οὗτος περὶ ἱππικὴν ἔχων. R. V. [ἵππους γ' ἐλαύνων : Καὶ τοῦτο ἐκ παρῳδίας. ἅμα δὲ καὶ αὐτὸς ἱπποτροφῶν ἐδυσπράγησεν.]

1273. ὥσπερ ἀπ' ὄνου : Πρὸς τὸ ἀπὸ ἵππου ἀπὸ ὄνου εἶπε καὶ ἅμα πρὸς τὸ ληρεῖς. ἐπὶ γὰρ τῶν κατὰ μηδένα λόγον πραττόντων εἰώθασι τὸ ἀπὸ ὄνου λέγειν τὴν παροιμίαν. τινὲς δὲ ἀπὸ νοῦ λέγουσιν. R. V. [ἐπὶ τῶν ἀλόγως πραττόντων ἡ παροιμία καὶ μὴ δυναμένων ὄνοις χρῆσθαι, μήτι γε ὀλ ἵπποις. ὁ μέντοι Πλάτων ἐν τρίτῳ Νόμων [p. 701, c] τὴν τελευταίαν περισπᾷ ἀπὸ νοῦ λέγων οὕτως « καὶ μὴ καθάπερ ἀχάλινον κεκτημένον τὸ « στόμα, βίᾳ ὑπὸ τοῦ λόγου φερόμενον κατὰ τὴν παροιμίαν, ἀπὸ νοῦ πεσεῖν. » ἢ ἔπαιξε πρὸς τὸ ὑπ' αὐτοῦ εἰρημένον, καὶ δέον εἰπεῖν ἀπὸ τοῦ νοῦ, εἶπεν, ἀπ' ὄνου. Ἄλλως. γράφεται καὶ ἀπ' ὄνου καὶ ἀπὸ νοῦ. κεῖται δὲ παροιμία ἀπ' ὄνου. φασὶ γὰρ ὅτι δύο τινὲς περιτυχόντες ὄνῳ ἐν ἐρημίᾳ, φιλονεικοῦντες πρὸς ἀλλήλους περὶ τοῦ τίς αὐτὸν λήψεται, ἔλαθεν αὐτοὺς ἅμφω ἀπολέσαντας αὐτόν. τούτων γὰρ μαχομένων ἀνεχώρησε τὸ ζῷον.]

1277. προσκεκλήσεσθαι : (Ἀντὶ τοῦ διὰ μαρτύρων ἀχθήσεσθαι.) εἰς τὸ δικαστήριον κληθήσεσθαι. (ἀπὸ κοινοῦ δὲ τὸ δοκεῖς.)

1279. καινὸν αἰεὶ τὸν Δία : [Νέον ὕδωρ ὕειν νομίζεις, φησὶν, ἢ πάλιν ἀντεπαγόμενον αὐτὸ ὑπὸ τοῦ ἡλίου;] ὡς ταῦτα μαθὼν παρὰ Σωκράτους κατὰ τὸ σιωπώμενον. V.

1286. τί θηρίον : [Τινὲς τὸ θηρίον πρὸς τὸν δανειστὴν λέγουσιν εἰρῆσθαι. ἀντὶ τοῦ, ὦ θηρίον, τί ἐστιν ὁ τόκος.] ἐπεὶ γέννημα φαμὲν ἐπὶ θηρίου καὶ τόκον.

1289. προβαίνοντος, ἀναλισκομένου. R. V.

1290. [τὴν θάλατταν : Τί δῆτά ἐστιν ἃ νομίζεις; καὶ τοῦτο δὲ ἔμαθε κατὰ τὸ σιωπώμενον.]

1292. οὐ λυσιτελεῖ τοῖς ἐπὶ γῆς πλείονα εἶναι τὴν θάλατταν. R. V.

1297. τὸ ἀμυντήριον. R. V.

1298. ὦ σαμφόρα : Ταῦτα ἔοικεν ὁ μάρτυς λέγειν τῷ δανειστῇ. R. V. ἀντὶ τοῦ οὐκ ἀναχωρεῖς; V. [τινὲς τοῦτο Στρεψιάδου· τινὲς ὅλον τοῦ κλητῆρος. ἀντὶ τοῦ, ὦ κλῆτορ. ὡς ἵππῳ αὐτῷ διαλέγεται.]

1299. σειραφόρον ἀντὶ τοῦ παρήορον. καὶ πρὸς μὲν τὸ ἐπὶ ἄλων τὸ σύ, πρὸς δὲ τὸ ἐπιαλῶ τὸ σέ. καὶ ἔστιν ἡ γραφὴ διττή, ἐπὶ ἄλων καὶ ἐπιαλῶ. καὶ πρὸς μὲν τὸ περισπώμενον ἐπιαλῶ εἴη ἂν ἀπειλητικῶς λέγων, οἷον ἄξεις καὶ ὁρμήσεις σεαυτὸν ἐντεῦθεν, ἐπεὶ ἀλῶ σε, ὅπερ ἐστὶν ἐλάσω σε καὶ διώξω σε κεντῶν ὑπὸ τὸν πρωκτὸν ὥσπερ ἵππον παρήορον· πρὸς δὲ τὴν ἑτέραν γραφὴν οὕτως ἠθικῶς λέγοντος, οἷον ἀπάξεις σὺ τὸν σειραφόρον εἰς μυλῶνα ἐπὶ τὸ ἀλοᾶν, ἀντὶ τοῦ ἄπαγέ σου τὸν ἵππον κἀκεῖθεν τραφήσῃ. τινὲς δὲ οὕτως, ἄξεις ἐπιβαλών. [Ἄλλως. ἐπιαλῶ μέλλων ἀπὸ τοῦ ἰάλλω. λέγει δὲ ἐπιπέμψω σε. ἐν ἤθει δὲ τὸ ἄξεις λέγει· οὐκ ἀπάξῃ ποτὲ ἐντεῦθεν καὶ πορεύσῃ. τὸ δὲ ἐπιαλῶ, ἀντὶ τοῦ ἐπιπέμψω σε. συμβουλεύει δὲ αὐτῷ ἀλοάσαντα μισθῷ πορεύεσθαι, ἵνα τρέφειν ἔχῃ τοὺς ἵππους. σειραφόρος δὲ, ὁ ἔξω τοῦ ζυγοῦ. Ἄλλως. ἐὰν μὲν οὗτος ὁ λόγος ᾖ ἠθικὸς, ἀπέρχῃ, ἢ ὑποβαλῶ τὴν μάστιγα κεντῶν σε ὑπὸ τὸν πρωκτὸν, ὡς σειραφόρον· ἐὰν δὲ ἐπὶ ἄλω, οὕτως, ἀπέρχῃ ἐπὶ ἄλωνα κεντῶν σου τὸν σειραφόρον, ἐπὶ τὸ ἐργαζόμενον ἐκεῖθεν τραφῆναι· οὐδὲν γὰρ ἐντεῦθεν λήψῃ. οἱ δὲ οὕτως· ἐπιβαλών σοι τὴν μάστιγα καὶ δέρων τὸν πρωκτὸν, ἄξω σε. ἀπὸ μεταφορᾶς τῶν κεντουμένων ἵππων βραδέων ὑπὸ τῶν ἡνιόχων. — ἐπεὶ ἁλῶ : Κινήσω, συντρίψω. *B. D.* συντρίψω. *E.* ἐπί σ' ἁλῶ : Συντρίψω. *C.*]

1300. (ὑπὸ τὸν πρωκτὸν σὲ : Μήποτε οὐκ ἔστι σέ, ἀλλὰ σύ· εἰ μὴ ἄρα λέγει, ἄξεις σεαυτὸν ὡς τὸν σειραφόρον, ὅπου αὐτὸς ἐργάζῃ.)

1302. ξυνωρίσιν : Ξυνωρὶς, ἅρμα ἵππων ἐζευγμένον. *Vict.* λείπει ἡ σύν. R.

1303. ἐν εἰσθέσει κῶλα τρία, ὧν τὸ πρῶτον Ἰωνικὸν ἡμιόλιον. R. V. [χορωνὶς καὶ εἴσθεσις μέλους ἐξιόντων ὑποκριτῶν μονοστροφικοῦ ἐκ κώλων ιη'. ὧν τὸ πρῶτον ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον τοῦ « φλαύρων » ποδὸς ἀνθ' ὅλης ἰαμβικῆς κειμένου διποδίας. τὸ δεύτερον ἐκ διιάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος δίμετρον ἀκατάληκτον, ἢ ἰαμβικὸν ἑφθημιμερές. τὸ τρίτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ τέταρτον ὅμοιον, ἢ ἐκ παιώνων δευτέρων. τὸ ε' χοριαμβικὸν ἐξ ἐπιτρίτων τρίμετρον καταληκτικόν. τὸ ς' τροχαϊκὸν δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές. τὸ ζ' ὅμοιον, τρίμετρον μέντοι. τὸ η' χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον. τὸ θ' ἀντισπαστικὸν ἐξ ἐπιτρίτου τρίτου καὶ πρώτου ὅμοιον. τὸ δέκατον ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ια' καὶ ιβ' ὅμοια τῷ τρίτῳ. τὸ ιγ' χοριαμβικὸν πενθημιμερές. εἰ δὲ βούλει, δακτυλικὸν δίμετρον. τὰ ἑξῆς τρία ἀντισπαστικὰ ἑφθημιμερῆ Φερεκράτεια, τροχαϊκῆς κατὰ τὴν πρώτην χώραν κειμένης ταυτοποδίας. τὸ παρατέλευτον ὅμοιον τῷ τρίτῳ· μεθ' ὃ ἰαμβικὸν δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερές. ἐπὶ τῷ τέλει κορωνίς.] (οἷον τὸ πραγμάτων ἐρᾶν : Αἰνίττεται εἰς τὸν Στρεψιάδην, καὶ λέγει ὅτι δεινόν ἐστι καὶ ἀηδὲς τὸ ἀτόπων ἐρᾶν.) ἰστέον δὲ ὅτι ἐκεῖνοι διαλεχθέντες ἀπεληλύθασιν.

ὁ δὲ χορὸς ὢν ἐπὶ τῆς σκηνῆς ταῦτα διέξεισι περὶ τοῦ Στρεψιάδου, προαναφωνῶν διὰ τούτων καὶ αἰνιττόμενος, ἃ μέλλει πείσεσθαι ὁ Στρεψιάδης ὑπὸ τοῦ υἱοῦ. — φλαύρων : Φαύλων, κακῶν, πονηρῶν. *Vict.*

1308. πρᾶγμ' : ἀντὶ τοῦ κακόν. R. V.

1309. τὸν σοφιστὴν : Τὸν φιλόσοφον, ἢ τὸν παῖδα, ἢ τὸν γέροντα. ἀπὸ τοῦ σοφίζεσθαι. — τὸ ὦν ἀντὶ τοῦ ἀνθ' ὧν. R. V.

1311. αὐτὸν ἀντὶ τοῦ Στρεψιάδην. R.

1317. οἷς ἀντιταχθῇ καὶ ἀντιλέγει. R.

1320. ἴσως ἴσως : Εὔξεται παρ' αὐτοῦ ἀδικούμενος καὶ δεινὰ πάσχων, τέλεον ἄφωνον αὐτὸν εἶναι. βουλήσεται : Ἐπεὶ μείζω κακὰ πείσεται ἢ φέρειν οἷός τε εἶναι. *B. C.*

1321. ἰοὺ ἰού : [Κορωνὶς ἑτέρα εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι κγ'. ὧν προτίθεται κῶλον ἰαμβικὸν μονόμετρον. ὁ δὲ τελευταῖος τούτων

καὶ μὴν ὅ τι καὶ λέξεις ἀκοῦσαι βούλομαι.

ἐπὶ τῷ τέλει κορωνίς. κέχρηται δὲ προαναφωνήσει τῷ ἰοὺ ἰού. τινὲς δὲ ἁπλοῦν τὸ ἰού φασίν.] (σχετλιάζων ἔξεισιν ὁ πρεσβύτης, ὡς ὑπὸ τοῦ παιδὸς τετυμμένος. δῆλον δὲ ὅτι πάντα ταῦτα διαπέπλασται αὐτῷ τῆς πρὸς Σωκράτη διαβολῆς χάριν, δεικνύναι διὰ τούτων φιλοτιμουμένῳ, ὅτι μηδὲν χρηστὸν διδάσκει τοὺς νέους, ἀλλὰ πᾶν τοὐναντίον πονηροὺς, ὁπότε καὶ περὶ τοὺς γεγεννηκότας τοιοῦτοι γίνονται, καθίστησι.)

1323. πάσῃ τέχνῃ : Ἀντὶ τοῦ παντὶ τρόπῳ, πάσῃ δυνάμει. τὸ δὲ ἀμύνειν καὶ ἀμυνάθειν λέγουσι. ἀπὸ τούτου οὖν ἐσχημάτισται. — ἀμυνάθετε : Βοηθήσατε. *E.* ἀμυνάθειν, ἀμύνειν, βοηθεῖν. *Vict.*

1327. πατραλοῖα : Οὐ μόνον πατραλοίας, ἀλλὰ καὶ πατραλῴας εὕρηται. Cant. I.

(1328). καὶ πλείω : Ἀντὶ τοῦ χείρονα [καὶ πλείω τούτων] εἰπέ.

1330. λακκόπρωκτε : Εὐρύπρωκτε. *Br.*

1335. ἀντὶ τοῦ κατὰ πολύ. R.

1338. ἐδιδαξάμην : Ἀντὶ τοῦ ἐδίδαξα. παθητικὸν ἀντὶ ἐνεργητικοῦ. δύναται δὲ εἶναι μεσότητος (Ἀττικῶς), ἀντὶ τοῦ ἐξεπαίδευσα [δι' ἑτέρου. τὸ γὰρ ἐδίδαξα δι' ἑαυτοῦ. — ἤγουν εἰς διδάσκαλον ἔπεμψα. ἔστι δὲ κατ' εἰρωνείαν. *Br.*]

1340. μέλλεις : Ἔμελλες. *D.*

1345. [σὸν ἔργον : Εἴσθεσις χοροῦ, στροφῆς μὲν λόγον ἔχουσα διὰ τὸ ἔχειν καὶ ἀντίστροφον τὸ

οἶμαί γε τῶν νεωτέρων,

ἧς οὐδὲν διενήνοχε· προῳδικὴ δὲ, διὰ τὸ προτίθεσθαι καὶ προάδεσθαι τῆς διπλῆς. ἡ διπλῆ καὶ εἴσθεσις εἰς ἐπῳδικὴν τριάδα ἢ τετράδα κώλων ἓξ, ὧν τὰ μὲν περιττὰ ὅμοια τοῖς ἀνωτέρω, τὰ δὲ ἄρτια Ἰωνικὰ, ἡμιόλια διὰ τὸ ἔχειν πρὸς τῷ ὅλῳ καὶ τὸ ἥμισυ τοῦ Ἰωνικοῦ καλούμενα, ἀδιαφοροῦντα τὴν πρώτην συλλαβήν. τὸ μέντοι τελευταῖον, ὃ καὶ ἐπῳδὸς, ὡς ἐπὶ τῷ τέλει τῆς ᾠδῆς τιθέμενον, λέγεται, ἀντ' Ἰωνικοῦ ἐπίτριτον ἔχει. ἐν ἐκθέσει δὲ στίχοι δύο ἰαμβικοὶ τετράμετροι καταληκτικοὶ, ὅμοιοι τοῖς ἑξῆς. ἔθος γάρ ἐστι προτιθέναι τῆς διπλῆς διστιχίαν μετὰ τὴν περίοδον τῆς κορωνίδος ἢ τῆς ᾠδῆς. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλῆ ἔξω νενευκυῖα.]

φροντίζειν : Βουλεύεσθαι. ὅπη δ' ἂν ἀντὶ τοῦ ὁποίῳ τρόπῳ. R. V.

1347. πεποίθειν : Ἐθάρρει. *Br.*

1348. τολμηρός. R.

1349. ἀλλ' ἔστιν τι ἐφ' ᾧ θαρρεῖ. R.

1352. πρὸς χορόν : [Πρὸς ἐμέ.] οὕτως ἔλεγον πρὸς χορὸν λέγειν, ὅτε τοῦ ὑποκριτοῦ διατιθεμένου τὴν ῥῆσιν, ὁ χορὸς ὠρχεῖτο. διὸ καὶ ἐκλέγονται ὡς ἐπιτοπλεῖστον ἐν τοῖς τοιούτοις τὰ τετράμετρα, ἢ τὰ ἀναπαιστικὰ, ἢ τὰ ἰαμβικὰ, διὰ τὸ ῥᾳδίως ἐμπίπτειν ἐν τούτοις τὸν τοιοῦτον ῥυθμόν.

1353. καὶ μὴν ὅθεν γε : [Κορωνὶς καὶ στίχοι ὅμοιοι τῷ διστιχίῳ λγ'. ὧν τελευταῖος

ἐξέφερον ἂν καὶ προὐσχόμην σε· σὺ δέ με νῦν ἀπάγχων.

μεθ' ὃν τρία κῶλα ἰαμβικὰ δίμετρα ἀκατάληκτα, καὶ στίχος ὅμοιος τοῖν ἄνω.]

1354. ἑστιᾶσθαι ἐστὶ τὸ εὐωχεῖσθαι. οὐχὶ δὲ τὸ παρά τινι πάντως ἔλεγον. R. V.

1355. [λύραν λαβόντα : Ἐν τοῖς συμποσίοις κύκλῳ τοῖς ἑστιωμένοις ὁ ἑστιάτωρ διδοὺς λύραν ἐκέλευεν ᾄσαι ᾠδήν.]

1356. ᾄσαι Σιμωνίδου : Ἀρχὴ ᾠδῆς εἰς Κριὸν τὸν Αἰγινήτην « ἐπέξαθ' ὁ Κριὸς οὐκ ἀεικέως. » φαίνεται δ' εὐδοκιμεῖν καὶ διαφανὴς εἶναι. R. V. [τοῦτο τὸ μέλος Σιμωνίδου ἐξ ἐπινίκου

ἐπέξαθ' ὁ κριὸς οὐκ ἀεικέως.

ἦν δὲ παλαιστὴς Αἰγινήτης. Ἄλλως. τῇ πρὸς τὸ ζῷον κοινωνίᾳ τῆς λέξεως συνέπλεξε τὰς κοινωνίας ὁ ποιητὴς λέγων « ἐπέξαθ' ὁ κριὸς οὐκ ἀεικέως, ἐλθὼν « εἰς δένδρον ἀγλαὸν Διὸς τέμενος. » φαίνεται δὲ εὐδοκιμεῖν καὶ διαφανὴς εἶναι. τὸ δὲ ἐπέχθη καὶ διὰ τοῦ ε ψιλοῦ ἀπὸ τοῦ πέκω, καὶ διφθογγογραφεῖται. — τοῦτο τὸ μέλος ἐκ τῶν τοῦ Σιμωνίδου ἐστίν. ἐκεῖνος γὰρ οὕτω φησὶν « ἐπέξαθ' ὁ καιρὸς οὐκ ἀκαίρως. » ἦν δὲ ὁ κριὸς οὗτος παλαιστὴς Αἰγινήτης. LB., Harl. 5.] ὡς ἐπέχθη : ὡς ἐκάρη. R. V.

1357. ἀρχαῖον : [Μωρόν. παραιτοῦνται δὲ οἱ φιλόσοφοι τὸ κιθαρίζειν ἐν τῷ πίνειν. κάχρυς δὲ, ἀντὶ τοῦ κριθὰς πεφρυγμένας. ᾄδουσι δὲ αἱ ἀληθουσαι ὑπὲρ τοῦ παραπέμψασθαι τὸν κάματον.] οὐδενὸς λόγου ἄξιον, ληρῶδες, (ἀνόητον). R. V.

1358. ὥσπερεὶ κάχρυς : Καθάπερ τινὰ γυναῖκα κριθὰς ἀλοῦσαν. διαβάλλει δὲ λελῃθότως τὸ τῶν γυναικῶν γένος, αἷς ἔργον πίνειν (καὶ ἕτερόν τι διαπραττομέναις) — κάγχρυς : Πεφρυγμένας κριθάς. *Br.*

1360. ὥσπερεὶ τέττιγας : Πολύλαλον γὰρ τὸ ζῷον. R. V. παρεποίησε τὸ ᾄδειν, καί φησιν ὅτι τὸ ᾄδειν φλυαρεῖν. ὡς τέττιγας καὶ οὐδὲν ἄλλο ἢ ὡς γυναῖκας ᾄδειν ἀλετρευούσας. — τρέφοντα. Θ.

1364. ἀλλὰ μυρρίνην : [Μυρρίνης γὰρ κλάδον κατέχοντες ᾖδον τὰ Αἰσχύλου, ὥσπερ τὰ Ὁμήρου μετὰ δάφνης.] παρὰ τὰ Αἰσχύλου « οὔνεκ' ἐκεῖ ἄνθεα λει- « μώνια. » [Ἄλλως.] Δικαίαρχος ἐν τῷ περὶ μουσικῶν ἀγώνων « ἔτι δὲ κοινόν τι πάθος φαίνεται συνακο- « λουθεῖν τοῖς διερχομένοις εἴτε μετὰ μέλους εἴτε ἄνευ « μέλους, ἔχοντάς τι ἐν τῇ χειρὶ ποιεῖσθαι τὴν ἀφήγη- « σιν. οἵ τε γὰρ ᾄδοντες ἐν τοῖς συμποσίοις ἐκ παλαιᾶς « τινος παραδόσεως κλῶνα δάφνης ἢ μυρρίνης λαβόντες « ᾄδουσιν. »

1365. σκώπτει καὶ Αἰσχύλον καὶ Σιμωνίδην. V.

1366. ἐγὼ γὰρ : Οὐκ ἄσω δηλαδή. *C.*

1367. ἀσύστατον : Οὐ συνεστῶτα οὐδὲ πυκνόν, ἀλλ' ἀραιὸν ἐν τῇ ποιήσει καὶ κομπώδη. τὰ γὰρ ῥήματα Αἰσχύλου φαντασίαν μὲν ἔχει, βασανιζόμενα δὲ οὐδεμίαν ἔχει πραγματείαν. (ἀσύστατον δὲ, οἷον ἀδιάθετον, ἀπιθάνους συνιστάντα τοὺς μύθους.) — ἄνισον. Θ. *Brunck.*

στόμφακα : συνθέτῳ λέξει ἐχρήσατο ἀπὸ τοῦ στόματος καὶ τοῦ ὄμφακος, ἵν' ᾖ λέγων ὄμφακα ἐν τῷ στόματι ἔχοντα. V. [σκληρόν· παρὰ τὸ στόμα καὶ τὸν ὄμφακα· οἷον τραχύν. κρημνοποιὸν δὲ,] μεγάλας λέξεις ποιοῦντα. — στόμφακα : Μεγαλορρήμονα. κρημνοποιόν : Σκληρολέκτην. Θ. *Br.*

1368. ὀρεχθεῖν : Κινεῖν καὶ συνταράττεσθαι. R. V. κινηθῆναι πρὸς ὀργήν. Θ. ὀρέχθει μίμημά ἐστι τραχέος ἤχου γινομένου ἐν τῷ σφάζεσθαι βοῦν. Θεόκριτος δὲ [11, 43] ἐπὶ θαλάσσης τὴν λέξιν τίθησι, καθ' ὁμοιότητα τοῦ [Hom. Od. E, 402] « ῥόχθει δὲ μέγα κῦμα. » δῆλον δὲ ὅτι καὶ ἐπὶ πατάγου καρδίας ἡ λέξις τίθεται. Vict.

1370. [τὰ σοφὰ ταῦτα : Ἡ ἀντὶ τοῦ ἔπη ἐπινοητέον, ἢ δέον εἰπεῖν, οἵπερ εἰσὶν οἱ σοφοὶ οὗτοι ποιηταὶ, ὁ δὲ πρὸς οὐδέτερον ἔτρεψεν· ὥσπερ καὶ ἐν Βατράχοις [89] ποιεῖ λέγων

οὐκοῦν ἕτερ' ἐστὶ μειρακύλλια
τραγῳδίας ποιοῦντα.]

1371. ὡς ἐκίνει ἀδελφὸς : Τὴν Καναχὴν ὁ Μακαρεύς. τὸ δὲ ἀλεξίκακε διὰ μέσου ἀναπεφώνηται. σημειοῦται δὲ τὸν Εὐριπίδου Αἴολον. ἐκεῖ γὰρ οἱ ἀδελφοὶ τὰς ἀδελφὰς γαμοῦσιν. Ἄλλως. (γέγραπται Εὐριπίδου Αἴολος δρᾶμα οὕτως καλούμενον, ἐν ᾧ παρήγαγε Μακαρέα, τὸν παῖδα τοῦ Αἰόλου, φθείραντα Καναχὴν τὴν ἀδελφήν. ἐπεὶ δὲ παρ' Ἀθηναίοις ἔξεστι γαμεῖν τὰς ἐκ τῶν πατέρων ἀδελφὰς, εἰς αὔξησιν τοῦ ἀδικήματος προσέθηκε τὴν ὁμομητρίαν. εἶτα εὐφυῶς ἐσχετλίασεν, ἐπάγων τὸ ἀλεξίκακε· τουτέστιν, ἀποτρόπαιε, καὶ ὦ τὰ δεινὰ ἀπείργων. ἴδιον γὰρ Ἡρακλέους τὸ ἐπίθετον.) — ὅτι συνῆν ἀθέσμως. Θ.

1373. ἐξαράττω : Κρούω αὐτόν· λοιδορῶ, πλήττω πολλοῖς κακοῖς.

1375. ἀντεβάλλομεν, ἐφιλονεικοῦμεν. R. V.

1376. κἀσπόδει : Ἔτυπτε. συνέτριβε. R. συνέτριβεν, ἐκονιόρτου, ἐσπόδου. V. κονιορτοῦ ἐπλήρου. *Vict.*

1379. Λείπει φοβοῦμαι. R.

1380. λείπει τύπτομαι. R.

1381. τραυλίζοντος : Ψελλίζοντος καὶ μηδὲν ἔναρθρον λαβοῦντος. — νοοίης [νοοῖς R.] δὲ ἀντὶ τοῦ ἔχεις ἐν τῷ νῷ. R. V.

1382. (βρῦν : Ἄσημος φωνὴ παιδίων, ὁπόταν πιεῖν ζητῇ.)

[πιεῖν παρέσχον : Οὐ μόνον ἐπέχω, τὸ κωλύω, ἀλλὰ καὶ τὸ δίδωμι. ὥσπερ γὰρ οὐδὲν ἕτερόν ἐστι τὸ παρέχω, τὸ δίδωμι, ἢ παρά σοι ἔχω τι, οὕτω καὶ ἐπέχω ἀντὶ τοῦ ἐπί σοι ἔχω τι. ἡ γὰρ παρά καὶ ἡ ἐπί ταυτοσήμαντά εἰσιν. D.]

1384. κακκᾶν : Ἀφοδεύειν τὰ παιδία. πρίν σε εἰπεῖν, προέτεινόν σε ἀπὸ τῆς κλίνης καὶ ἔξω τῶν ἱματίων, ἵνα ἀποπατήσῃς. R. V.

1388. ὑπὸ τῶν πληγῶν. R.

1390. αὐτοῦ : αὐτόθι. R.

1392. πηδᾶν : Ὁρμᾶν. *Vict.* ἀντὶ τοῦ εἰς ἅ. R.

1395. [λάβοιμεν ἄν : Οὕτως ἀφανισθήσεται πληγαῖς, ὡς νομίσαι ἡμᾶς τὸ δέρμα καὶ τοῦ δέρματος ἐρεβίνθου λεπτότερον αὐτοὺς ἔχειν.]

[ἀπορροῦσί τινες ἐνταῦθα, πῶς οὕτω δέον εἰπεῖν, τὸ δέρμα τῶν γεραιτέρων λάβοιεν ἂν οἱ νέοι, ὁ χορὸς λάβοιμεν εἶπεν· λύοντές τινες τὴν ἀπορίαν, εἰς ψυχρὰν λύσιν τὸν λόγον ἀποδιδόασιν. ἀλλὰ σὺ οὕτω λέγε· οἶμαι τὰς καρδίας τῶν νεωτέρων πηδᾶν καὶ ὁρμᾶν ἐν ἐκείνῳ, ὅπερ Φειδιππίδης λέξει, λεγόντων δηλονότι καθ' ἑκυτοὺς τῶν νεωτέρων τάδε· εἰ γὰρ ταῦτα οὗτος ἐξειργασμένος, εἶτα λαλῶν καὶ δημηγορῶν ἀναπείσει τὸν πατέρα, ὅτι ἀληθῆ πεποίηκε, τὸ δέρμα τῶν γεραιτέρων λάβοιμεν ἄν, ἤγουν ἐκδείροιμεν αὐτοὺς, ἀλλ' οὐδὲ τοῦ ἐρεβίνθου αὐτῶν, ἤγουν τοῦ αἰδοίου, φεισαίμεθα ἂν δηλονότι· οὕτω τὸ λάβοιμεν ἀπὸ τῶν νέων νόει. *Vict.*]

1396. ἐρεβίνθου : αἰδοίου. *Br.*

1397. μοχλευτὰ : Μοχλοὶ, κλεῖθρα· μοχλεύειν, κινεῖν. *Vict.*

1399. [ὡς ἡδὺ καινοῖς : Εἴσθεσις ἑτέρας διπλῆς ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν τετραμέτρων καταληκτικῶν μέ· ὧν τελευταῖος

τὴν μητέρ' ὥσπερ καὶ σὲ τυπτήσω. τί δῆτα φῄς σύ.

ὁ μέντοι ἑπτακαιδέκατος τρίμετρος ἰαμβός ἐστιν. ἐπὶ τῷ τέλει διπλῇ ἕξω νενευκυῖα.]

1400. τῶν καθεστώτων : Τῶν ὡρισμένων. R.V. ἱσταμένων, πολιτευομένων. Θ. ὑπερφρονεῖν : Ὑπερηφανεῖν. V. ἡ ὑπέρ ἀντὶ τῆς κατά. R.V.

1401. προσεῖχον : Προσεκόλλων. Θ.

1402. ἐξαμαρτεῖν : Βαρβαρίσαι, σφαλῆναι. *Vict.*

1403. τούτων : Τῆς ἱππικῆς. R.V. τῶν κατὰ τὴν ἱππικήν. Θ.

1404. λεπτολογίαις. Θ. ταῖς τῶν φιλοσόφων. R.V. φροντίσιν. Θ.

1406. ἵππων φρόντιζε. R. V.

1407. τέθριππον : Ἅρμα. Θ. *Br.* ἐπιτριβῆναι ἀντὶ τοῦ βλαβῆναι. R.

1408. ἀπέσχισας : Ἐκώλυσας, ἀπεχώρισας. R.V. ἀπέκοψας. Θ. μέτειμι : Μετελεύσομαι. Θ. *E.*

1410. ἔγωγέ σ' εὐνοῶν : Ναὶ ἔγωγε ἔτυπτον εὐνοῶν σου, ἵνα καλῆς ἀναγωγῆς τύχῃς. *Vict.*

1413. ἀθῶον : Ἀμέτοχον. *Vict.*

1415. κλάουσι παῖδες : Παρὰ τὰ ἐξ Ἀλκήστιδος Εὐριπίδου [694]

χαίρεις ὁρῶν φῶς· πατέρα δ' οὐ χαίρειν δοκεῖς ;

τί ἔτι δή; Ἤγουν τί τοῦτό ἐστιν. *Vict.*]

1416. τοῦτο τοὔργον : Τὸ τύπτεσθαι. R. τὸ τύπτειν. V. τὸ κλαίειν. *Br.*

1417. ὃς παῖδες οἱ γέροντες : Παῖδες γὰρ ὄντες ἄφρονες ἦσαν, ὑπεργηράσκοντες δὲ πάλιν ληροῦσι καὶ παιδίων φρένας ἔχουσι. R.V. [παῖδές τε γὰρ τὴν ἀρχὴν ἦσαν ἄφρονες, καὶ νῦν ὑπὸ τοῦ τῶν ἐτῶν πλήθους παρατραπέντος αὐτοῖς τοῦ λογισμοῦ παῖδές εἰσι, τῷ νῷ πάλιν ληροῦντες. καὶ Σοφοκλῆς Πηλεῖ

Πηλέα τὸν Αἰάκειον οἰκουρὸς μόνη
γερονταγωγῶ κἀναπαιδεύω πάλιν·
πάλιν γὰρ αὖθις παῖς ὁ γηράσκων ἀνήρ.

καὶ Θεόπομπος

ὃς παῖδες οἱ γέροντες ὀρθῷ τῷ λόγῳ.

καὶ Πλάτων

ἆρ', ὡς ἔοικε, ὃς γένοιτ' ἂν παῖς γέρων;

καὶ Ἀντιφῶν « γηροτροφία γὰρ προσέοικε παιδοτροφίᾳ. »]

1419. ὅσῳπερ : Οἱ παῖδες ἐξαμαρτάνοντες συγγνώμης μᾶλλον ἄξιοι διὰ τὸ νέον τῆς ἡλικίας. τὸ δὲ ἧττον ἀντὶ τοῦ μηδ' ὅλως.

1420. ἀντὶ τοῦ μηδὲ ὅλως. R.

1421. οὔκουν ἀνήρ : Ἀντὶ τοῦ οὐκ ἦν ἀνήρ. ἐν ἠθικῇ ἐρωτήσει.

1423. ἧττον τί δῆτ' ἔξεστι κἀμοὶ : Ἀντὶ τοῦ οὐχ ἧττον τοῦ παλαιοῦ νομοθέτου. [παρὰ δέ τινι τῶν νεωτέρων κατὰ λέξιν οὕτως· ἀποροῦσι πάντες ἐνταῦθα περὶ τοῦ ἧττον. τὸ δὲ, ὡς ἐγῷμαι, τοιοῦτόν ἐστιν. εἰπὼν γὰρ, καὶ λέγων ἔπειθε τοὺς παλαιοὺς, ἐπήγαγεν ἧττον· δεικνὺς ὡς εἰ καὶ ἔπειθεν, ἀλλ' ἧττον ἢ ἐγὼ αὐτὸς νῦν· ἐπειδὴ καὶ τὰ δίκαια καὶ τὰ μὴ λέγων ὁμοίως νικῶ. οἱ δὲ τὸ ἧττον πρὸς τὸ τί δῆτα συνάπτοντες ψυχροί τινές εἰσιν. ἢ τὸ ἧττον μὴ πρός τι σύναπτε, ἀλλὰ μόνον λέγε κατ' ἐρώτησιν· οὔκουν ἀνὴρ ἦν ὁ θεὶς τὸν νόμον τοῦτον ὡς σὺ καὶ ἐγὼ, καὶ λέγων ἔπειθε τοὺς παλαιούς; ἧττον; ἀντὶ τοῦ, οὐδαμῶς τοῦτο οὕτως ἔχει. ἢ ὥσπερ ἐν τῷ πρώτῳ τὸ ἧττον πρὸς τὸ ἔπειθε συνήψαμεν, οὕτω καὶ πρὸς τὸ λέγων συναπτέον, οὕτω· καὶ λέγων ἧττον καὶ ἔλαττον, ἢ ἐγὼ νῦν, ἔπειθε τοὺς παλαιούς.]

1425. πρὶν τὸν νόμον τεθῆναι, ὃν τίθημι δηλονότι. R.

1426. ἀφίεμεν : Συγχωροῦμεν. ἀντὶ τοῦ τυπτῆσαι ἡμᾶς. R.V. [συγκεκόφθαι : Τυφθῆναι ἡμᾶς. κατακοπῆναι ταῖς μάστιξι.]

1427. βοτὰ : Τὰ βοσκόμενα τὴν πόαν. R.V. βοσκήματα, θρέμματα. *Vict.*

1429. πλὴν ὅτι ψηφίσματα : [Ἀντὶ τοῦ, δικαστήρια οὐκ ἄγουσιν.] εἰς τὸ φιλόδικον τῶν Ἀθηναίων αἰνίττεται.

1430. διὰ τί δή. R. V.

1432. Σωκράτει δοκοίη : τῷ ἐμῷ διδασκάλῳ δηλονότι. R. V. [ἀπορήσας λύσεως, ἐπὶ τὴν τοῦ Σωκράτους δόκησιν ἀνάγει πιστοτέραν οὖσαν. τὰ δὲ πρόσωπα οὕτως· ἀπὸ τοῦ οὐ ταὐτόν ἕως τοῦ δοκοίη τοῦ νέου ἐστίν. ἵν' ᾖ τοῦ πρεσβύτου τὸ, πρὸς ταῦτα· τουτέστιν, ἅ σοι νῦν περὶ τῶν ἀλεκτρυόνων εἶπον· τὸ, καὶ πῶς, τοῦ Φειδιππίδου λέγοντος. ἐν δέ τισιν ὁ νέος τὸν, οὐ ταυτόν, καὶ ἑξῆς στίχον εὕρηται λέγων· τὰ δ' ἑξῆς μέχρι τοῦ, ἦν δὲ μὴ γένηται, Στρεψιάδης. οἷον, καὶ πῶς ἐμαυτὸν αἰτιάσομαι; ἔξεστι γάρ μοι τύπτειν σε· ὥσπερ καὶ σοί, ἐὰν ἔχῃς υἱόν.]

1436. ἐγχανὼν : Καταγελάσας *R. V. Vict.*

(1437). ἐμοὶ μὲν : Τοὺς τρεῖς τοὺς ἑξῆς ὁ πρεσβύτης πρὸς τοὺς θεατάς. [ἐπιεικῆ δὲ, ὁμοια, πρέποντα.]

1438. κἄμοιγε : Κἄμοιγε συγχωρεῖν ὑμᾶς δοκεῖ τοῖς παισὶ, ἅ ἐστι πρέποντα ποιεῖν εἰς ἡμᾶς. *Br.* — τὰ ἀκόλουθα καὶ ὅμοια συγχωρεῖν τοῖς νέοις, τύπτειν ἡμᾶς.

1440. ἀπὸ γὰρ ὀλοῦμαι : Ἐὰν μὴ προσχῶ γὰρ, ἀπολοῦμαι τυπτόμενος παρὰ σοῦ. R. V. οὐ βούλομαι. *Br.*

1444. [τοῦθ' ἕτερον αὖ : Ἔκθεσις τῆς διπλῆς ἐκ κώλων ἰαμβικῶν ὀκτώ· ὧν τὸ πρῶτον δίμετρον ἀκατάληκτον, τὸ β' δίμετρον καταληκτικὸν, ἤτοι ἐφθημιμερές. τὰ ἑξῆς τρία ὅμοια τῷ πρώτῳ. τὸ ἕκτον τρίμετρον ἀκατάληκτον. τὸ ἕβδομον δίμετρον ἀκατάληκτον. τὸ τελευταῖον τῷ πρώτῳ ὅμοιον. Ἄλλως. διπλῆ καὶ μέλος ἀμοιβαῖον, οὗ ἡ ἀρχὴ,

τοῦθ' ἕτερον αὖ μεῖζον,

τέλος δὲ,

καὶ τὸν λόγον τὸν ἧττω.

ἔστι δὲ ἰαμβικὰ τρίμετρα ἀκατάληκτα τρία· καὶ τὸ πρῶτον ἰαμβεῖον τετράμετρον καταληκτικόν. τινὲς δὲ διαιροῦσι τοῦτο εἰς δύο, ἐπειδὴ καὶ τὰ πρόσωπα κεχωρισμένα εἰσί· καὶ γίνεται μεσῳδικὴ τριὰς, δύο ἑκατέρωθεν ἔχουσα κῶλα. τινὲς δὲ τὸ μέσον τετράκωλον.]

1452. [ταυτὶ δι' ὑμᾶς : Ἐν ἐκθέσει ἰαμβοι τρίμετροι ἀκατάληκτοι μα'. ὧν τελευταῖος

ἐμοὶ ποιήσω, κεἰ σφόδρ' εἰσ' ἀλαζόνες.

εἶτα ἀναφώνημα, τὸ ἰοὺ ἰού· καὶ πάλιν ἰαμβοι ιε'. καὶ τελευταῖον τοῦ δράματος ἀναπαιστικὸν τετράμετρον καταληκτικόν· ἐφ' ᾧ κορωνὶς ἡ καὶ τὸ δρᾶμα ἀποπερατίζουσα.]

1453. ἀντὶ τοῦ ἐπιτρέψας. R. V.

1456. τότε : Ὅτε τὴν ἀρχὴν προσῆλθον ὑμῖν. *E.*

1457. ἐπείσατε, ἠπατήσατε. R. V.

1464. [ὦ φίλτατε : Λείπει τὸ υἱὲ ἢ παῖ. τοῦτο γὰρ ἐπιγράφεται. πρὸς γὰρ τὸν υἱὸν μετέβη.]

1468. πατρῷον Δία : [Πατρῷος Ζεὺς καὶ Ἀπόλλων ἐν Ἀθήναις τιμῶνται, ὁ Ζεὺς μὲν μετὰ τὴν ἐν Ἀρκαδίᾳ, ἢ ὡς ἕτεροι, μετὰ τὴν ἐν Κρήτῃ ἀνατροφήν, ὅτε πρῶτον ταῖς Ἀθήναις ἐπέστη καὶ ἐφάνη τοῖς πατράσιν αὐτῶν, οἵτινες ταύτῃ τῇ προσηγορίᾳ τετιμήκασιν αὐτόν. Ἀπόλλων δὲ, ὅτι Ἐρεχθέως θυγατέρα ἔγημε τὴν Κρέουσαν, ἐξ ἧς γίνεται ὁ Ἴων. ὡς πρόγονον οὖν αὐτὸν ἐτίμων καὶ οἱ ἄρχοντες ὅτε ἐχειροτονοῦντο. ἐκ γὰρ τοῦ μὴ εἰδέναι ξένους αὐτοὺς ἐνόμιζον. Ἄλλως.] οὕτω τιμᾶται παρ' Ἀθηναίοις Ζεὺς πατρῷος καὶ Ἀπόλλων, διὰ τὸ πρώτους ὑποδέξασθαι τὸν θεὸν εἰς τὴν χώραν καὶ θυσίας συντελέσαι κατὰ φρήτρας καὶ δήμους καὶ συγγενείας μόνους τῶν Ἑλλήνων.

1469. ἰδού γε Δία : Ἐξ ὧν ὁ πατὴρ ἐπελάβετο αὐτοῦ ἀνωτέρω, ἐκ τούτων καὶ αὐτὸς πειρᾶται τοῦ πατρὸς λαμβάνεσθαι.

1473. (διὰ τουτονὶ τὸν Δῖνον : Ὡς ἀγάλματος Δίνου ὄντος ἐν τῇ διατριβῇ Σωκράτους ὀστρακίνου.)

1474. χυτρεοῦν : Δεικτικῶς τὸ ἐν τῷ φροντιστηρίῳ μηχάνημα ὀστράκινον ὥσπερ σφαῖραν. R. V. [ὀστράκινον, εὐτελὲς, χύτρας ἄξιον. R. καυκίον τι πήλινον ἔφερε καλούμενον δῖνον. Θ. — τὸ ἐν τῷ φροντιστηρίῳ μηχάνημα ὀστράκινον περιφερὲς ὡς χύτραν ὠνοματοποίησεν, καὶ ὄνομα αὐτῷ ἔθετο χυτρεοῦν. τουτέστι, μάταιον, εὐτελὲς, χύτρας ἄξιον. ὡς ὀστρακίνου ἀγάλματος ὄντος πρὸ τῆς διατριβῆς. — χυτρεοῦντ' : Χυτρεοῦς, ὁ τροχὸς ἐν ᾧ ἐργάζονται τὰς χύτρας. Harl. 5.]

1477. ὅτ' ἐξέβαλον : Ταῦτα εἰς διαβολὴν Σωκράτους, ἐκβαλόντος τὰ δαιμόνια.

1478. ἀλλ' ὦ φίλ' Ἑρμῆ : Τοῦτο οἱ κλέπται πρὸς τὸν Ἑρμῆν ἔλεγον, ὅτε ἁλισκόμενοι ἐκολάζοντο, αἰτούμενοι αὐτὸν ἐλθεῖν αὐτοῖς εἰς βοήθειαν. ᾤοντο γὰρ διὰ τὸ μὴ τεθυκέναι αὐτῷ, ὡς ἐφόρῳ κλεπτικῆς ὄντι, εἰς ταῦτα περιπεσεῖν τὰ δεινά.

1480. παρανοήσαντος : Τῇ ἀδολεσχίᾳ τῶν φιλοσόφων ὑπαχθέντος καὶ πεισθέντος. R. V. οὕτως δὲ οἱ Ἀττικοὶ ἐκτείνουσι τὸ α. V. [Ἀντὶ τοῦ, ἀνοητεύσαντος παρὰ τὸ πρέπον καὶ πεισθέντος. ἀδολεσχία δὲ, ἡ τῶν ἀηδῶν ὁμιλία. — φλυαρίᾳ τῇ τοῦ Σωκράτους. *Br.*

1482. διωκάθω : Κατηγορήσω, διώξω. R.V. λείπει ποίησον. R.

1483. ὡς τοῦ Ἑρμοῦ ἀνανεύσαντος. R. ἀντὶ τοῦ κατηγορεῖν. R. V.

1485. δοῦλος αὐτοῦ. R.

1486. ἀντὶ τοῦ δίκελλαν. R. V.

1488. ἀντὶ τοῦ τὴν στέγην. R.

1489. ἀντὶ τοῦ ἐπιβάλῃς αὐτοῖς τὴν οἰκίαν. R. V.

1493. ἰοὺ ἰού : Ἰαμβικὸν μονόμετρον ἀκατάληκτον. *Vict.* μαθητὴς Σωκράτους. V. εἷς τῶν φιλοσόφων. R. V.

1494. ἴέναι : Πέμπειν. *Vict.*

1496. διαλέγομαι, ὥσπερ καὶ ὁ Σωκράτης ἔφη [225] « ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον. » R. V.

1500. σμινύη : Δίκελλα, ἀξίνη. *Vict.* μὴ προδῷ : Θραυσθεῖσα. *E.* ἀντὶ τοῦ μὴ κλασθῇ. R. V.

1501. ἀντὶ τοῦ κλάσω τὸν τράχηλον. R.

1503. πρὸς τοὺς λόγους αὐτῶν. R. V.

1505. ἕτερος φιλόσοφος. ὑπὸ τοῦ καπνοῦ δηλονότι. R. V.

1507. τῆς σελήνης τὴν ἕδραν : [Ἀντὶ τοῦ, τὰς κινήσεις τῆς σελήνης. ἕδραν δὲ εἶπεν, εἰς τὸ αἰσχρὸν ἀποτείνων τὸν λόγον. τὴν ἐπιφοράν.] ἐπὶ τίνος ὀχεῖται καὶ πῶς καὶ διὰ τί μένει.

τὰς ἕδρας : Στηρίξεις. *E.* τὴν στήριξιν. *D.*

1508. δίωκε : Πρὸς τὸν οἰκέτην. R. πρὸς τὸν Ξανθίαν ὁ Ἑρμῆς. V. ὡς τῶν φιλοσόφων φευγόντων διὰ τὸ πῦρ. τὸ δὲ, ὡς ἠδίκουν, γράφεται καὶ, οὓς ἠδίκουν.

1510. τό γε τήμερον : Οἷον ἀρκετῶς ἔχει ἡ τήμερον ἡμέρα. [ὡς ἀπὸ τοῦ ποιητοῦ δὲ ὁ λόγος.]

ΣΦΗΚΕΣ.

ΥΠΟΘΕΣΕΙΣ.

I.

Φιλοκλέων Ἀθηναῖος φιλόδικος ὢν τὴν φύσιν ἐφοίτα περὶ τὰ δικαστήρια συνεχῶς. Βδελυκλέων δὲ ὁ τούτου παῖς ἀχθόμενος ταύτῃ τῇ νόσῳ καὶ πειρώμενος τὸν πατέρα παύειν, ἐγκαθείρξας τοῖς οἴκοις καὶ δίκτυα περιβαλὼν ἐφύλαττε νύκτωρ καὶ μεθ' ἡμέραν. ὁ δὲ ἐξόδου αὐτῷ μὴ προκειμένης ἔκραζεν. οἱ δὲ συνδικασταὶ αὐτοῦ σφῆξιν ἑαυτοὺς ἀφομοιώσαντες παρεγένοντο, βουλόμενοι διὰ ταύτης τῆς τέχνης ὑποκλέπτειν τὸν συνδικαστήν· ἐξ ὧν καὶ ὁ χορὸς συνέστηκε καὶ τὸ δρᾶμα ἐπιγέγραπται. ἀλλ' οὐδὲν ἦνυον οὐδὲ οὗτοι. πέρας δὲ τοῦ νεανίσκου θαυμάζοντος τίνος ἕνεκα ὁ πατὴρ οὕτως ἥττηται τοῦ πράγματος, ἔφη ὁ πρεσβύτης τὸ πρᾶγμα εἶναι σπουδαῖον καὶ σχεδὸν ἀρχῆς τὸ δικάζειν. ὁ δὲ παῖς ἐπειρᾶτο τὰς ὑποψίας ἐξαιρεῖν τοῦ πράγματος, νουθετῶν τὸν γέροντα. ὁ δὲ πρεσβύτης μηδαμῶς νουθετούμενος οὐ μεθίει τοῦ πάθους· ἀλλ' ἀναγκάζεται ὁ νέος ἐπιτρέπειν αὐτῷ φιλοδικεῖν, καὶ ἐπὶ τῆς οἰκίας τοῦτο ποιεῖ, καὶ τοῖς κατὰ τὴν οἰκίαν δικάζει. καὶ δύο κύνες ἐπεισάγονται πολιτικῶς παρ' αὐτῷ κρινόμενοι· καὶ κατὰ τοῦ φεύγοντος ἐκφέρειν συνεχῶς τὴν ψῆφον μέλλων ἀπατηθεὶς ἄκων τὴν ἀποδικάζουσαν φέρει ψῆφον. περιέχει δὲ καὶ δικαιολογίαν τινὰ τοῦ χοροῦ ἐκ τοῦ ποιητικοῦ προσώπου, ὡς σφῆξιν ἐμφερεῖς εἰσὶν οἱ τοῦ χοροῦ, ἐξ ὧν καὶ τὸ δρᾶμα. οἳ ὅτε μὲν ἦσαν νέοι, πικρῶς ταῖς δίκαις ἐφήδρευον, ἐπεὶ δὲ γέροντες γεγόνασι, κεντοῦσι τοῖς κέντροις. ἐπὶ τέλει δὲ τοῦ δράματος ὁ γέρων ἐπὶ δεῖπνον καλεῖται, καὶ ἐπὶ ὕβριν τρέπεται, καὶ κρίνει αὐτὸν ὕβρεως ἀρτόπωλις· ὁ δὲ γέρων πρὸς αὐλὸν καὶ ὄρχησιν τρέπεται, καὶ γελωτοποιεῖ τὸ δρᾶμα.

Τοῦτο τὸ δρᾶμα πεποίηται αὐτῷ οὐκ ἐξ ὑποκειμένης ὑποθέσεως, ἀλλ' ὡσανεὶ γενομένης. πέπλασται γὰρ τὸ ὅλον. διαβάλλει δὲ Ἀθηναίους ὡς φιλοδικοῦντας, καὶ σωφρονίζει τὸν δῆμον ἀποστῆναι τῶν δικῶν, καὶ διά τοι τοῦτο καὶ τοὺς δικαστὰς σφῆξιν ἀπεικάζει κέντρα ἔχουσι καὶ πλήττουσι. πεποίηται δ' αὐτῷ χαριέντως. ἐδιδάχθη ἐπὶ ἄρχοντος Ἀμεινίου διὰ Φιλωνίδου ἐν τῇ πθ' ὀλυμπιάδι. δεύτερος ἦν, εἰς Λήναια. καὶ ἐνίκα πρῶτος Φιλωνίδης Προαγῶνι, Λεύκων Πρέσβεσι τρίτος.

II.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΓΡΑΜΜΑΤΙΚΟΥ.

Φιλοῦντα δικάζειν πατέρα παῖς εἵρξας ἄφνω
αὐτός τ' ἐφύλαττεν ἔνδον οἰκέται θ', ὅπως
μὴ λανθάνῃ μηδ' ἐξίῃ διὰ τὴν νόσον.
ὁ δ' ἀντιμάχεται παντὶ τρόπῳ καὶ μηχανῇ.
εἶθ' οἱ συνήθεις καὶ γέροντες, λεγόμενοι
σφῆκες, παραγίνονται βοηθοῦντες σφόδρα
ἐπὶ τῷ δύνασθαι κέντρον ἐνιέναι τισὶ
φρονοῦντες ἱκανόν. ὁ δὲ γέρων τηρούμενος
συμπείθει' ἔνδον διαδικάζειν καὶ βιοῦν,
ἐπεὶ τὸ δικάζειν κέκρικεν ἐκ παντὸς τρόπου.

SCHOLIA IN VESPAS.

1. (Οὗτος τί πάσχεις : Προλογίζουσι δύο οἰκέται, ἀποδυσπετοῦντες πρὸς τὴν φυλακὴν τοῦ γέροντος δεσπότου. Ἄλλως. κατ' ἀρχὴν στίχοι ἴαμβοι τρίμετροι ἀκατάληκτοι σκθ', ὧν τελευταῖος

πολλῶν δικαστῶν σφηκιὰν διασκεδῶ.)

2. φυλακὴν καταλύειν : (Οὕτω λέγουσι τὸ ἀποκοιμηθῆναι ἐπὶ τῆς φυλακῆς, φυλακὴν καταλύειν νυκτερινὴν, ἤγουν καταλιπεῖν τὴν τάξιν βούλομαι. Ἄλλως. ἀντὶ τοῦ μελετῶ καθεύδειν, οἷον νυστάζω.) — χαριεντιζόμενος ἀντὶ τοῦ φυλάσσειν τοῦτό φησι, παρόσον οὐ διαγρυπνεῖν δύναται. Σύμμαχός φησιν, οὕτως οἶμαι λέγειν τὸ ἀποκοιμᾶσθαι ἐπὶ τῆς φυλακῆς, καταλιπεῖν τὴν τάξιν. διδάσκομαι δὲ ἀντὶ τοῦ μελετῶ καθεύδειν, νυστάζω. R.

3. προὔφειλες : (Οὐδὲν ἄλλο ἐκ τοῦ προὔφειλες ἐκδεκτέον ἢ μόνον τὸ ὤφειλες. ἐχρεώστεις τι μέγα κακὸν ταῖς πλευραῖς σου καὶ θέλεις αὐτὸ ἀποδοῦναι.) — προὔφειλες ταῖς πλευραῖς κακὸν μέγα, ὅπερ ἀποδώσεις μαστιγωθεὶς δηλονότι. R.

4. (κνώδαλον : Κυρίως ἐπὶ τοῦ θαλαττίου θηρίου. εἴρηται δὲ καὶ ἐπὶ τοῦ χερσαίου κνώδαλον, παρὰ τὸ κυσὶν ἁλίσκεσθαι.)

5. ἀπομερμηρίσαι : μέρμηρα ἡ μέριμνα καὶ ἡ φροντὶς καὶ ὁ πρὸς ἓω ὕπνος. (ἐκ δὲ τούτου τὸ καθευδῆσαι. οἱ

γὰρ καθεύδοντες ἀποτίθενται τὰς μερίμνας. καὶ πρὸς τὸν ὄρθρον δὲ γίνεταί τις ὕπνος ἐν ταῖς ἐπιστάσεσιν ἐλαφρὸς, ὃν τούτῳ τῷ ὀνόματι καλοῦσι.)

6. (παρακινδύνευε : Παρ' ὑπόνοιαν εἶπε. δέον εἰπεῖν κατακοιμῶ, εἶπε παρακινδύνευε. ἐπεὶ ἤμελλε μαστίζεσθαι, ἐὰν κοιμηθῇ, ἐκ τοῦ ἑπομένου εἶπε τὸ προηγούμενον.)

8. (κορυβαντιᾷς : Μαίνῃ. παρόσον οὗτοι οἱ δαίμονες μανίας καὶ ἐκθειασμοῦ εἰσιν ἐμποιητικοί. ὀνειδίζει δὲ καὶ οὗτος αὐτῷ οἷς ἐλοιδορεῖτο αὐτὸν, φάσκων κινδυνεύειν ὕπνῳ περιπεσόντι.)

9. ἐκ Σαβαζίου : Πρὸς τὸ κορυβαντιᾷς εἶπε τὸ Σαβαζίου. ἐκεῖνος δὲ ἐπεὶ παραφρονεῖς συμβουλεύων κοιμᾶσθαι. — κορυβαντιᾶν τὸ Κορύβασι κατέχεσθαι. τελετὴ δέ τις ἦν τῶν Κορυβάντων. ἔνιοι δὲ ὅτι ἀπὸ τῶν δακρύων τοῦ Διὸς ἐγένοντο. πάντες ὁμολογοῦσι τῆς Ῥέας μὲν ὀπαδοὺς αὐτοὺς γενονέναι, φύλακας δὲ τοῦ Διός. R. (Σαβάζιον δὲ τὸν Διόνυσον οἱ Θρᾷκες καλοῦσι, καὶ Σαβοὺς τοὺς ἱεροὺς αὐτῶν. παίζει δὲ, ὡσεὶ ἔλεγε, βάρβαρός τις καὶ σκληρὸς ὕπνος. βουκολεῖς δὲ τρέφεις.)

12. Μῆδός τις : Ἢ πρὸς τὸ Σαβάζιος εἶπε καὶ οὗτος τὸ Μῆδος. ἢ ἀντὶ τοῦ ἐχθρὸς, ἐπεὶ καὶ ἐστρατεύσατο εἶπε· πολέμιοι γὰρ Ἕλλησιν οὗτοι.

18. ἐπίχαλκον : Τὴν ἔξωθεν χαλκῆν. τοῦτο δὲ προσέθηκε διὰ τὴν ὁμωνυμίαν τὴν πρὸς τὸ ἑρπετόν. δοκεῖ δέ μοι τὴν ἀσπίδα τὸ ὅπλον ἀπὸ τοῦ τοιούτου ὠνομάσθαι ζῴου, διὰ τὸ εἰς κύκλους πολλοὺς ἑλισσόμενον καθεύδειν. κυκλικαὶ γὰρ ἦσαν αἱ ἀσπίδες τῶν παλαιῶν, ὡς Αἰσχύλος [Sept. 495]

ἄλλῳ δὲ πολλὴν ἀσπίδος κύκλον λέγω,
ἔρριξα δινήσαντος.

οὕτω δὲ τὸ ζῷον ὠνόμασται ἀπὸ τοῦ α ἐπιτατικοῦ μορίου, καὶ τοῦ σπίζω τὸ ἐκτείνω, διὰ τὸν ὀξὺν αὐτοῦ συριγμόν. ἢ διὰ τὸ τοῦ σώματος αὐτοῦ μῆκος. ἀνεκὰς δὲ ἀντὶ τοῦ ἄνω πάνυ ἐκὰς καὶ εἰς ὕψος.

19. ἀποβαλεῖν Κλεώνυμον : Μετὰ τῶν ἄλλων εἰς ἃ κωμῳδεῖται δειλὸς λέγεται καὶ ῥίψασπις εἶναι. (παρ' ὑπόνοιαν δὲ κωμῳδεῖ αὐτόν.)

(20. οὐδὲν ἄρα γρίφου : Ἀντὶ τοῦ παροινίου ζητήματος. οἷον, δύναταί τις γρῖφον ποιῆσαι καὶ ἀπὸ τῶν Κλεωνύμου πράξεων. ἑπτὰ δὲ ἀναγράφει αὐτῶν γένη ὁ Κλέαρχος ἐν τῷ περὶ γρίφων συντάγματι. γρῖφοι δὲ λέγεται τὰ ἐν τοῖς συμποσίοις προβαλλόμενα αἰνιγματώδη ζητήματα.)

21. (τοῖς συμπόταις : Ἐν γὰρ τοῖς συμποσίοις προεβάλλοντο οἱ γρῖφοι πρὸς λύσιν.)

22. (ὅτι ταυτόν : Ἐν τῷ ὅτι περιττεύει τὸ ο Ἀττικῶς. τὸ γὰρ σημαινόμενον ἀντὶ τοῦ τί ταυτὸν ἐν γῇ ἐν ἐρωτήσει. καὶ ἔστιν ὁ λόγος οὕτως· τί τὸ αὐτὸ θηρίον ἐν παντὶ τόπῳ δυστυχεῖ περὶ τὰ πολεμικὰ, καὶ ἐν γῇ καὶ ἐν ναυμαχίᾳ; θηρίον δὲ ὁ ἀετὸς πανταχοῦ περιπτάμενος, ᾧ παραβάλλει τὸν Κλεώνυμον.) — ὅτι ταυτὸν ἐν γῇ. παρόσον ὁ ἀετὸς διὰ τοῦ ἀέρος πέτεται καὶ διὰ τῆς θαλάττης καὶ ἐπὶ τῆς γῆς. R.

θηρίον τὴν ἀσπίδα : Οὐκ ἀπεικότως θηρίον αὐτὸν εἶπεν, ἐπεὶ μακρὸς καὶ ἄρρυθμος ὁ Κλεώνυμος.

27. δεινὸν γὰρ τὸ ὄναρ ἐστὶ τὸ ῥίψασπι, δεινὸν δὲ καὶ τὸ ῥῖψαι τὴν ἀσπίδα πρᾶγμα. πρὸς ἑκάτερον πέπαιχεν. R. (δεινόν γέ που 'στ' ἄνθρωπος : Τοῦτό φησιν· οἶδα ὅτι δεινὸν πρᾶγμα ἰδεῖν ἄνθρωπον ἀποβαλεῖν τὴν ἀσπίδα.)

29. (τοῦ σκάφους ὅλου : Ἀεὶ οἱ ποιηταὶ τὰς πόλεις πλοίοις παραβάλλουσι. καὶ Σοφοκλῆς.)

30. (λέγε νῦν ἀνύσας : Τὸ ἀνύσας Ἀττικοὶ δασύνουσι. τρόπιν δὲ,) ὡσανεὶ ἔλεγε τὴν ῥίζαν, (ἐπεὶ τῶν δρυόχων ἡ τρόπις ἵσταται πρώτη. Ἄλλως. τρόπιν ἀντὶ τοῦ τὸ μέρος, ἀπὸ μεταφορᾶς τοῦ σκάφους. οἱ δὲ τὴν ἀρχήν. ἔπαιξε δὲ πρὸς τὸ σκάφος.)

32. (ἐκκλησιάζειν : Εἰς ἐκκλησίαν συνάγειν. πρόβατα δὲ τοὺς Ἀθηναίους φησὶ, διαβάλλων τὸ προβατῶδες αὐτῶν. παλαιὸν δὲ ἦν ἔθος τοὺς ἐντίμους γέροντας τριβωνοφοροῦντας ἐκκλησιάζειν μετὰ βακτηρίας.)

34. (τοῖσι προβάτοις μοὐδόκει : Τὸ πλῆρες τοῖς προβάτοισί μοι ἐδόκει. καὶ ἔκθλιψις καὶ κρᾶσις. φάλαινα δὲ θηρίον θαλάττιον. πανδοκεύτρια δὲ ἡ πάντα δεχομένη καὶ καταπίνουσα, ἢ πάντα ἐπιτηροῦσα. κωμῳδεῖ δὲ πανταχοῦ τὸν Κλέωνα, σκώπτων ὡς ἅρπαγα καὶ πολλὰς μηχανὰς ἐπινοοῦντα εἰς τὸ κερδαίνειν. ἐμπεπρησμένης δὲ ἀντὶ τοῦ ἐμπεφυσημένης καὶ παχείας. πρῆσαι γὰρ τὸ φυσῆσαι. καὶ τοῦτο δὲ εἰς τὸ κρακτικὸν τοῦ Κλέωνος. πολλαχοῦ γὰρ ὡς τοιοῦτον αὐτὸν διασύρει, φάσκων [Eq. 137] « κυκλοβόρου φωνὴν ἔχων. » καὶ Παφλαγόνα παρὰ τὸ παφλάζειν τῇ φωνῇ.)

35. (πανδοκεύτρια : Ἡ πάντα δεχομένη. λέγει δὲ τὸν Κλέωνα.)

φάλαινα : Φάλαινα ἡ ἐν τῇ κεφαλῇ ὀρὶξ καὶ ἰχθὺς κητώδης. *Vict.*

36. ἐμπεπρησμένης : Πεφυσημένης. πρῆσαι γὰρ τὸ φυσῆσαι. ὁ Κλέων ἐχρῆτο φωνῇ χαλεπῇ, καθάπερ καὶ ἑτέρωθι [infra 1034] « φωνὴν δ' εἶχεν χαράδρας « ὄλεθρον τετοκυίας. » ἦν δὲ καὶ τὴν ὄψιν ἀργαλέος. δοκεῖ δὲ ἀσέμνως οὗτος πρῶτος δημηγορῆσαι. R. (ἐμπεφυσημένης, παχείας. πρῆσαι γὰρ τὸ φυσῆσαι. ἔνθεν καὶ ὁ πρηστήρ. καὶ Ὅμηρος [Il. Σ, 471] « εὔπρηστον ἀϋτμὴν ἐξανιεῖσαι. »)

38. ὄζει κάκιστον : Ὅτι βυρσοπώλης ὁ Κλέων. R. V. Vict.

39. τρυτάνην : Ζυγὸν ἢ σταθμόν. *V. Vict.*

40. βόειον τὸ ἀναίσθητον. R.

41. (τὸν δῆμον ἡμῶν βούλεται : Πρὸς τὸν δῆμον καὶ τὸ ἵστη τὸ διιστάναι ἐπήγαγεν. ἀντὶ τοῦ διαχωρίσαι. Ἄλλως. παρὰ τοὺς τόνους δὲ ἔπαιξε, μίξας πρὸς τὰ σημαινόμενα. ἄλλως τε δὲ καὶ ἀφ' ἱστορίας τοῦτό φασι. καὶ γὰρ πρὸ δύο ἐτῶν τῆς διδασκαλίας τούτου τοῦ δράματος, Λακεδαιμονίων περὶ εἰρήνης πρεσβευσαμένων ὁ Κλέων ἀπήλασε τοὺς πρέσβεις.)

42. ἐδόκει δέ μοι Θέωρος : (Οὗτος ὡς κόλαξ κωμῳδεῖται) — τὸν Θέωρον εἰς κόλακα καὶ μοιχὸν καὶ πονηρὸν ὠμῳδοῦσιν. R.

43. (κόρακος ἔχων : Καὶ ὡς ἅρπαγα αὐτὸν σκώπτων, ἐπήνεγκε τὸ κόρακος κεφαλὴν ἔχει. ὁ αὐτὸς δὲ ὡς πονηρὸς καὶ μοιχὸς κωμῳδεῖται.)

44. (Ἀλκιβιάδης : Τοῦτον διαβάλλει ὡς τραυλόν. οἱ δὲ τραυλοὶ τὸ λ ἀντὶ τοῦ ρ λέγουσιν.)

45. ἀντὶ τοῦ ὁρᾷς. Θέωλος ἀντὶ τοῦ Θέωρος. κόλακος ἀντὶ τοῦ κόρακος. R.

46. (ἐτραύλισεν : Ὁ τραυλισμὸς τοῦ στίχου εἰς τὸ Θέωρος, ἐπειδὴ προείρηται κόλαξ. ὅτι δὲ Ἀλκιβιάδης τραυλὸς, ὅῆλος τὸ λ ἀντὶ τοῦ ρ λέγων.)

47. (ἀλλόκοτον : Τερατῶδες, ξένον, ἄτοπον, [ἀλλοφυές]. ὁ δὲ λόγος· δεινόν ἐστι τοῦτο τὸ ἐνύπνιον, Θέωρος γινόμενος κόραξ.)

49. (εἶτ' ἐγένετ' ἐξαίφνης : Διὰ τοῦτο φησὶ καλὸν, ὅτι ἄνθρωπος ὢν κόραξ ἐγένετο. διὸ καὶ ἐπιφέρει

ἀρθεὶς ἀφ' ἡμῶν ἐς κόρακας οἴχεται.

ἐπίτηδες δὲ τοῦτο εἶπεν, ὅπως ἂν τὸ βλάσφημον εὐκαίρως κατ' αὐτοῦ δόξῃ λέγειν.)

54. τὴν ὑπόθεσιν τοῦ δράματος. R.

55. ὑπειπὼν : Ἀντὶ τοῦ προειπὼν, ὥσπερ καὶ τὸν προγραμμὸν ὑπογραμμὸν καλοῦσιν. V.

58. (Μεγαρόθεν : Ἢ ὡς ποιητῶν ὄντων τινῶν ἀπὸ Μεγαρίδος ἀμούσων, καὶ ἀφυῶς σκωπτόντων, ἢ ὡς τῶν Μεγαρέων γελώντων καὶ ἄλλως φορτικῶς γελοιαζόντων. Εὔπολις Προσπαλτίοις

τὸ σκῶμμ' ἀσελγὲς καὶ Μεγαρικὸν σφόδρα.

κεκλαμμένον : Ἀποσπασθέντα. γράφεται δὲ κεκλαμμένον Δωρικῶς ἀπὸ μετοχῆς τῆς κλαπείς, ὡς τραφείς. ὥσπερ οὖν τεθραμμένον, οὕτω κεκλαμμένον ἔφη.)

58. φορμίδες ἀγγεῖά τινα πλεκτὰ εἰς σῦκα ἢ ἕτερόν τι τοιοῦτον. R. (ἐκ φορμίδος : Φορμὶς κυρίως ἡ ψίαθος, νῦν δὲ ἡ σπυρίς. ὡς τῶν ἄλλων ποιητῶν διὰ ψυχρότητα ποιήσεως διὰ βόλου καρύων ὑποστελλομένων τὴν κακίαν τοῦ δράματος.)

59. δυϊκόν. R. δοῦλοι ῥίπτοντες. V.

60. (οὔθ' Ἡρακλῆς τὸ δεῖπνον : Ἐν τοῖς πρὸ τούτου δεδιδαγμένοις δράμασιν εἰς τὴν Ἡρακλέους ἀπληστίαν πολλὰ προείρηται. ποιοῦσι δὲ τὸν Ἡρακλέα γελοίου χάριν κεκλημένον εἰς δεῖπνον καὶ δυσχεραίνοντα διὰ τὸ βραδέως αὐτῷ παρατιθέναι τὰ ὄψα.)

61. ἐνασελγαινόμενος : Οἷον κατ' Εὐριπίδην πολλὰ λέξομεν ἀσελγῆ. R. (κατακωμῳδούμενος, ὑβριζόμενος. κατ' αὐτοῦ γὰρ καθῆκε τὰς Θεσμοφοριαζούσας. φησὶν οὖν, οὐ δεύτερον ταυτολογήσω περὶ αὐτοῦ, ὡς οἱ ἄλλοι· οὐ μόνον δὲ ἐν τούτῳ τῷ δράματι εἰσῆκται οὕτως Εὐριπίδης, ἀλλὰ καὶ ἐν τῷ Προαγῶνι καὶ ἐν τοῖς Ἀχαρνεῦσιν.)

62. (οὐδ' εἰ Κλέων γ' ἔλαμψεν : Τοῦτό φησιν ὡς τοῦ Κλέωνος ἀπὸ δυσγενῶν ἐκλάμψαντος, ὃν ἐκωμῴδησεν ἐν τοῖς Ἱππεῦσι, καθεὶς κατ' αὐτοῦ τὸ δρᾶμα. καὶ φησὶν, οὐ πάλιν αὐτὸν κωμῳδήσει ἑτέραν δι' αὐτὸν κωμῳδίαν ποιούμενος. μυττωτεύσομεν δὲ ἀντὶ τοῦ συντρίψομεν, δριμύξομεν, ἐκπικρανοῦμεν. μετενήνεκται δὲ ἀπὸ τῶν σκορόδων. μυττωτὸν γάρ ἐστι κυρίως τὸ ἐκ σκορόδων καὶ τυροῦ καὶ ὄξους τρίμμα, καὶ οὕτως ὠνομάσθη ἀντὶ τοῦ μυσωτόν τι ὄν· παρὰ τὸ μυσάττεσθαι αὐτοῦ τὴν ὀσμὴν, καὶ τροπῇ Ἀττικῇ τοῦ σ εἰς τ καὶ πλεονασμῷ μυττωτός. εἴγε καὶ ὁ Καλλίμαχος [fr. 282] φησὶ « ἵν' ἐτρίψαντο μυσωτόν. »)

64. (ἀλλ' ἔστιν ἡμῖν λογίδιον : Ὑπόθεσις ἔχουσα περιπέτειαν. λογίδιον δὲ εἶπε, μετριάζων. διὸ ἐπιφέρει· ὑμῶν αὐτῶν οὐχὶ δεξιώτερον. ἀντὶ τοῦ, ἧττον τῆς ὑμῶν σοφίας.)

66. (φορτικῆς : Ἀντὶ τοῦ οἰκτρᾶς τῆς ὑπ' ἄλλων λεγομένης, ἐν ᾗ φορτικά τινα εἰσάγουσιν.)

68. (ὁ μέγας : Οὐ τῇ ἡλικίᾳ, ἀλλὰ τῇ ἐξουσίᾳ καὶ τῇ σεμνότητι. τὸ δὲ ἄνω δεικτικῶς φησιν ἐπὶ ὑπερῴου. ὁρᾶται γὰρ ὁ Βδελυκλέων ἐπὶ ὑπερῴου καθήμενος.)

71. (νόσον γὰρ ὁ πατὴρ ἀλλόκοτον : Ξένην καὶ παρηλλαγμένην αὐτῷ, παρόσον ὁ μὲν φιλόδικος, ὁ δὲ τοῦτο βδελυττόμενος.)

73. (τοπάζετε : Εἰκάζετε, ὑπονοεῖτε, φησὶ, ποίῳ πάθει ἥττηται. γράφεται δὲ καὶ ἀπροσώπως, τοπάζεται.)

74. (Ἀμυνίας μέν : Ὧδε μὲν ὡς φιλόκυβος κωμῳδεῖται, ἐν δὲ Σεριφίοις Κρατίνου ὡς κόλαξ καὶ ἀλαζὼν καὶ συκοφάντης.)

75. φιλόκυβος οὗτος. τινὲς ἀμοιβαῖα. χαριέστερον δὲ λέγεσθαι αὐτὰ συνεχῶς πρὸς ἑνὸς. . . . ἄδηλον δὲ εἰ καὶ ἐν Νεφέλαις τούτου μέμνηται. R.

77. (ἀλλὰ φιλο μέν ἐστι : Ἀντὶ τοῦ εἰπεῖν ἀρχὴν τοῦ ὀνόματος φησὶ τοῦ κακοῦ. τὸ φιλο δὲ εἶπε, παρόσον Φιλοκλέων ἐκαλεῖτο. πεποιημένον δὲ τοῦτο παρὰ τὸ φιλεῖν τὰς Κλέωνος πράξεις. φιλόδικος δὲ οὗτος καὶ συκοφάντης.)

78. πρὸς Δερκύλον : (Οὗτος ὡς κάπηλος ἢ μεθυστὴς, πρὸς ὃν Σωσίας τις διαλέγεται. Ἄλλως.) ὁ Δερκύλος κωμικὸς ὑποκριτής. (δύο δὲ εἰσὶ Σωσίαι, ὁ μὲν Πυθίδος, ὁ δὲ Παρμένωνος.)

80. (αὕτη γε χρηστῶν ἀνδρῶν : Ὡς μεθυστὴς ὁ οἰκέτης ἐπαινεῖ τὴν μέθην.)

(81). Σκαμβωνίδης : Ἀπὸ δήμου τῆς Λεοντίδος φυλῆς ὁ Σκαμβωνίδης. ἐπτόηται δὲ οὗτος περὶ τὰς θυσίας καὶ μαντείας .

82. (φιλοθύτην αὐτόν : Φιλοθύται εἰσὶν οἱ δεισιδαίμονες, καὶ θύουσιν ἀεὶ τοῖς θεοῖς, νομίζοντες ἐκ τούτου ἀβλαβεῖς ἔσεσθαι.

ἢ φιλόξενον : Ὁ μὲν πρὸς τὸν ἀγαθὸν τρόπον εἶπε τὸ φιλόξενος, ὁ δὲ ὡς κύριον ἥρπασε. καὶ γὰρ ὁ Φιλόξενος ἐκωμῳδεῖτο ὡς πόρνος. Εὔπολις Πόλεσιν

ἔστι δέ τις θήλεια Φιλόξενος ἐκ Διομείων.

καὶ Φρύνιχος Σατύροις.)

83. (μὰ τὸν κύν' ὦ Νικόστρατε : Οὕτως διὰ δεισιδαιμονίαν ὤμνυον. ἢ τάχα μιμεῖται τοὺς φιλοσόφους εἰς κύνα καὶ χῆνα ὀμνύοντας.)

85. (ἄλλως φλυαρεῖτε : Ἀντὶ τοῦ μάτην φλυαρεῖτε. εἴρηται δὲ ἀπὸ μεταφορᾶς τῶν λεβήτων. ἀπὸ τοῦ φλύειν, ὅ ἐστι καχλάζειν, καὶ ἐκ τούτου τὸν ἀφρὸν ἀποβάλλειν. καὶ Ὅμηρος [Il. Φ, 361] « ἀνὰ δ' ἕφλυε καλὰ ῥέεθρα. »)

88. φιληλιαστής : Ἀντὶ τοῦ φιλόδικος, ἀπὸ τοῦ μεγίστου δικαστηρίου τῆς Ἡλιαίας, ὅπερ οὕτω καλεῖται διὰ τὸ ἐν ὑπαιθρίῳ εἶναι καὶ ἡλίῳ βάλλεσθαι. – φιλοδικαστής. ἦσαν δὲ ἡλιασταὶ τὸν ἀριθμὸν φ'. ἐδίδοτο δὲ αὐτοῖς χρόνον μέν τινα δύο ὀβολοί, ὕστερον δὲ Κλέων στρατηγήσας τριώβολον ἐποίησε ἀκμάζοντος τοῦ πολέμου τοῦ πρὸς Λακεδαιμονίους. R.

90. ἢν μὴ ἐπὶ τοῦ πρώτου : Ξύλον ὃ ἡμεῖς βάθρον. καὶ ἐν Ἀχαρνεῦσιν [25] « (ἐλθόντες ἀλλήλοισι) περὶ πρώτου ξύλου. »

91. (οὐδὲ πασπάλην : Ἀντὶ τοῦ οὐδὲ βραχύ. πρὸς Λυκόφρονα δὲ, ὅτι ἀδιορίστως ἀποδέδωκεν ἐλάχιστόν τι. τινὲς δέ φασιν ὅτι μαγνίτην κέγχρον πασπάλην φασί.) — τὸ τῆς κέγχρας ἄλευρον. τιθέασι δὲ καὶ ἐπὶ τοῦ τυχόντος. R.

92. (κἂν ἄχνην : Τὸ λεπτομερὲς τοῦ στάχυος. καὶ Ὅμηρος [Il. E, 499]

ὡς δ' ἄνεμος ἄχνας φορέει ἱερὰς κατ' ἀλωάς.)

93. (περὶ τὴν κλεψύδραν : Ἀντὶ τοῦ περὶ τὸ δικαστήριον. κλεψύδρα γὰρ ἀγγεῖον τετρημένον, ἐν ᾧ ὕδωρ ἔβαλλον καὶ εἶων ῥεῖν ἄχρι τινὸς ὀπῆς, καὶ οὕτως ἔπαυον τὸν ῥήτορα. τοῦτο δὲ ἐποίουν διὰ τὸ φλυαρεῖν τὸν λέγοντα καὶ ἐμποδίζειν ἄλλοις θέλουσι λέγειν, ἵνα τὰ σπουδαῖα λέξας ἐξέλθῃ.)

95. (τοὺς τρεῖς ξυνέχων : Τούτοις γὰρ κατέχουσι τὰς ψήφους οἱ δικασταὶ, τῷ μεγάλῳ καὶ τῷ λιχανῷ καὶ τῷ μέσῳ.)

96. (νουμηνία : Κατὰ νουμηνίαν γὰρ ἔθος εἶχον λιβανωτοὺς ἐντιθέναι τοῖς ἀγάλμασι.)

(98). τὸν Πυριλάμπους : Μέμνηται τούτου καὶ Εὔπολις ἐν Πόλεσιν « καὶ τῷ Πυριλάμπους ἆρα Δήμῳ κυψέλη | ἔνεστιν. » ἦν δὲ καὶ εὔμορφος ὁ Δῆμος. ἐπέγραφον δὲ οἱ Ἀθηναῖοι τὰ τῶν καλῶν ὀνόματα οὕτως· ὁ δεῖνα καλός. [ἔγραφον δὲ καὶ ἐν τοίχοις καὶ ἐν θύραις, καὶ ὅπου τύχῃ.] καὶ οὗτος, φησὶν, ὡς ἐρωμένου ἑαυτοῦ τοῦ κημοῦ ἔγραφε, κημὸς καλός.

99. (κημὸς καλός : Κημὸς καλεῖται τὸ τοῖς καδίσκοις ἐπιτιθέμενον, δι' οὗ τὰς ψήφους καθίεσαν, ἵνα μὴ ὀλισθάνωσιν. ἔστι δὲ πλέγμα τι δικτυῶδες καὶ ἠθμῶδες, ἄνωθεν πλατὺ, κάτωθεν στενόν.) — κημός ἐστι πλέγμα τι, δι' οὗ τὴν δικαστικὴν ψῆφον καθίεσαν. Πυριλάμπους δὲ υἱὸς ἦν Δῆμος ὄνομα, τὴν ὥραν κάλλιστος. ἔθος δὲ ἦν τοῖς ἐρασταῖς ἐπιγράφειν πανταχοῦ τὸ τῶν παιδικῶν ὄνομα. R.

101. (ὄψ' ἐξήγειρεν : Ἐν ὑπερβολῇ τοῦτο. ἐμέμφετο γὰρ τῷ ἀλέκτορι, φησὶ, καὶ ταῦτα ἑσπέρας κράζοντι, ὡς βραδέως αὐτὸν ἐγείρει.)

102. ὑπευθύνων : Τῶν δικαζομένων. *Vict.*

103. (ἀπὸ δορπηστοῦ : Λυκόφρων ἀπὸ ἀρίστου. οἱ δὲ ἄλλοι πάντες δόρπα τὰ δεῖπνα. — ἀπὸ δείπνου. V.

ἐμβάδας : Εἶδος ὑποδήματος. διὰ τὸ φιλοδικαστὴς εἶναι οὐ καθεύδει, φησὶν, ἐν τῷ οἴκῳ αὐτοῦ μετὰ τὸ δειπνῆσαι, ἀλλ' εὐθὺς ἀναστὰς ἀπὸ τῆς τραπέζης, καὶ ζητήσας τὰς ἐμβάδας, καὶ ὑποδησάμενος, ἀπέρχεται ἐν τῷ δικαστηρίῳ καὶ καθεύδει.)

104. ἐν τῷ δικαστηρίῳ. V. (πρωΐ πάνυ : Ἀντὶ τοῦ πρὸ τοῦ δέοντος καιροῦ ἀπιὼν ἀπονυστάζει ἐπιπίπτων τῷ κίονι. λεπὰς δὲ κογχύλιόν τι ταῖς πέτραις προσπηγνύμενον.)

106. τιμῶν τὴν μακράν : (Προείρηται ὑπὲρ τοῦ τοὺς δικαστὰς ἐν πινακίῳ, ἤτοι ἐπὶ σανίδος κηρῷ ἀλειμμένης, ὁπότε καταλαμβάνοιέν τινα τῷ τολμήματι, ἔλκειν μακρὰν γραμμὴν, ὁπότε δὲ ἀπολύοιεν, βραχεῖαν. καὶ ἑξῆς [107] « δότε μοι ξίφος ὅπως τάχιστα, ἢ πινάκιον τιμητικόν. » τοῦτο δὲ ἐποίουν μετὰ τὸ ἀποβλέψαι εἰς τὰς ψήφους τὰς ἐν τῇ κάλπιδι. εἰ γὰρ ἑώρων τὰς μελαίνας πλείους, ἐχάραττον τῷ ὄνυχι τὴν μακρὰν, εἰ δὲ τὰς λευκὰς, τὴν βραχεῖαν. ὅτε δὲ πλείους ἦσαν αἱ λευκαὶ, ὁ διώκων ἐνίκα, ὁ φεύγων δ', ἢν πλείους αἱ μέλαιναι, κατεκρίνετο.) — εἰώθασιν οἱ καταδικαζόμενοι ἐν τῷ γραμματιδίῳ μακρὰν γραμμὴν ἕλκειν. R.

107. (ὁ βομβυλιός : Ζῷον μελίττῃ ὅμοιον· καὶ ὅτι κηρὸν ποιεῖ.) — ποιοῦσιν οἱ βομβύλιοι κηρία. R.

108. (ὑποπεπλασμένος : Πεπληρωμένος τοὺς ὄνυχας κηροῦ ὑπὸ τῶν χαραγμάτων. γράφεται ἀναπεπλασμένος.)

110. (αἰγιαλὸν ἔνδον ἔχων : Ὡς ἐπὶ ζῴου ἔφη τὸ τρέφει. οἷον, ἐγέμισε τὴν οἰκίαν ψήφων.) — ὅτι πλεῖστα ἦσαν δικαστήρια Ἀθήνησιν. R. παίζει. ἀντὶ τοῦ ἔχει. R.

111. (νουθετούμενος : Παρὰ τὰ Εὐριπίδου ἐκ Σθενεβοίας

τοιαῦτ' ἀλύει νουθετούμενος ἔρως.)

ἀλύει : Ἀλύω, ἀδημονῶ, ἀθυμῶ, ἀπορῶ. σημαίνει δὲ ἐνίοτε τὸ ἀλύω καὶ τὸ χαίρω. *Vict.*

116. τριβώνιον : Ὃ οἱ δικασταὶ φοροῦσιν. *Vict.*

119. (ἐκορυβάντιζεν : Ὡς μαινόμενος καὶ κατεχόμενος ὑπὸ θείου. ἀντὶ τοῦ, τὰ τῶν Κορυβάντων ἐποίει αὐτῷ μυστήρια, ἐπὶ καθαρμῷ τῆς μανίας.)

120. (εἰς τὸ Καινὸν ἐμπεσών : Τόπος ἐν τῷ δικαστηρίῳ οὕτω λεγόμενος. εἰσὶ δὲ δ', Παράβυστον, Καινὸν, τρίγωνον, Μέσον. τελούμενος οὖν, φησὶ, τὰ μυστήρια τῶν Κορυβάντων, παρ' οὐδὲν αὐτὰ θέμενος, κατέχων τὸ τύμπανον, ὥρμησεν εἰς τὸ δικαστήριον.)

121. τελεταῖς : Ἐπινοίαις. *Vict.*

123. (εἰς Ἀσκληπιοῦ : Ἐκεῖ γὰρ ἱερόν ἐστιν. ὡς νοσοῦντα οὖν ἐκεῖ ἔφερεν.)

124. ἐπὶ τῇ κιγκλίδι : (Ἀντὶ τοῦ, ἐν τῷ δικαστηρίῳ

ὁ πατήρ.) κιγκλὶς γὰρ ἡ θύρα τοῦ δικαστηρίου, (ἣν καὶ καγκελωτὴν καλοῦσι. κνεφαῖος δὲ, ἔτι σκότους ὄντος, καὶ μήπω γενομένης ἡμέρας, ὅτε ἐν τῷ δικαστηρίῳ ἀπῆλθεν).

125. (ἐντεῦθεν οὐκ ἔτ' αὐτόν : Ἀπ' ἐκείνου τοῦ χρόνου, μετὰ ταῦτα.

ἐξεφρείομεν : Ἐξεφέρομεν.)

126. (ὑδρορροῶν : Οἱ κοῖλοι τόποι, δι' ὧν χωρεῖ τὸ ὕδωρ τὸ ἐξ ὑετῶν.)

128. (ἐνεβύσαμεν : Ἐπληρώσαμεν, ἐφράξαμεν. Ὅμηρος [Od. Δ, 134] « νήματος ἀσκητοῖο βεβυσμένον. » κἀπακτώσαμεν : Ἐφράξαμεν, ἐπληρώσαμεν. πακτῶσαι γὰρ τὸ σφηνῶσαι.)

(129). ὥσπερεὶ κολοιός : Τοῖς γὰρ ἐν τῷ οἴκῳ κολοιοῖς [καὶ τοῖς ἄλλοις ὀρνέοις] πηγνύουσι πάτταλον, ἵνα εἰς αὐτοὺς ἅλλοιντο.

133. (Φιλοκλέων : Ἰδίως εἶπε τῇ φράσει τῷ υἱῷ ὄνομα Βδελυκλέων καὶ τῷ πατρὶ ὄνομα Φιλοκλέων.)

135. (ἔχων τρόπους : Ἀντίπτωσίς ἐστιν· εὐθεῖα γάρ ἐστιν ἀντὶ δοτικῆς τῆς ἔχοντι. συνήθως δὲ ὀφρύαγμο ἀπὸ τοῦ ὀφρῦς, ἡ φρύαγμα, καὶ σεμνὸν ἀντὶ τοῦ ὑπερήφανον.) — σύνθετον παρὰ τὴν ὀφρὺν καὶ φρύαγμα καὶ τὸ σεμνόν. R.

136. (καθεύδετε : Ἐν ἀπειλητικῇ φωνῇ τοῦτό φησιν.)

139. (εἰς τὸν ἰπνόν : Ἰπνὸς κυρίως ἡ κάμινος, νῦν δὲ τὸ μαγειρεῖόν φησιν, ἐν ᾧ λαθὼν αὐτοὺς ὁ Φιλοκλέων εἰσῆλθεν καὶ εἰς τρύπην ὑπέδυ.)

140. (μυσπολεῖ : Καταδύεται, ὡς μῦς φοιτᾷ. οὕτως οἱ Ἀττικοὶ ὑπὸ μίαν λέξιν. Ἄλλως. πρὸς τὴν λέξιν, ὅτι ἀπὸ τῶν μυῶν ἔοικεν ὠνοματοπεποιῆσθαι, τὸ διερευνᾶσθαι κρύφα.)

141. κατὰ τῆς πυέλου : (Αἱ γὰρ πύελοι τρώγλας εἶχον ἐπὶ τὴν ὁδὸν πρὸς τὸ τὸ ὕδωρ ἐξέρχεσθαι. Ἄλλως. ἡ πύελος ἔχει τρώγλην, δι' ἧς ἀπολουόμενον ἐκχέουσι τὸ θερμόν. παίζει δὲ καὶ τοῦτο ὡς ἐπὶ μυός.) — ἐν τῷ αὐτῷ εἶχον καὶ τὴν πύελον καὶ τὸ λουτρόν. R.

142. οἰκέτης. R.

143. (κάπνη : Ἡ καπνοδόχη. ἔστι δέ τι σωληνοειδὲς ἐπὶ τῶν μαγειρείων, δι' οὗ ὁ καπνὸς ἔξεισιν. ὡς οὖν τοῦ Φιλοκλέωνος πειρωμένου δι' αὐτῆς ἐξελθεῖν καὶ κτύπον ποιήσαντος τοῦτό φησι. ταῦτα δὲ πάντα κωμικά ἐστι τοῦ γελοίου χάριν.)

144. Φιλοκλῆς. R.

145. (συκίνῳ : Ὅτι καὶ οἱ δικασταὶ δριμύτατοι καὶ ὁ γέρων. καπνοποιὸν γὰρ τὸ σύκινον ξύλον. καὶ ὅτι ὁ ἐκ τῶν συκίνων ξύλων καπνὸς δριμύτατος καὶ Ἀριστοτέλης φησὶν ἐν Προβλήματι.)

147. (οὐκ ἐσερρήσεις γε : Ὡς ἂν τῷ καπνῷ φησὶν, οὐκ εἰσελεύσει μετὰ φθορᾶς;

ποῦσθ' ἡ τηλία : Τῇ κάπνῃ βούλεται ἐπιθεῖναι πῶμα τὴν τηλίαν. τηλία δὲ, σανὶς βαθεῖα, ἐν ᾗ τὰ ἁλφιτα ἐν τῇ ἀγορᾷ ἐπίπρασκον.)

148. (φέρ' ἐπαναθῶ σοι καὶ ξύλον : Οὐ τῷ πατρὶ ταῦτα λέγει, ἀλλὰ τῇ κάπνῃ. ἢ πρὸς τὴν τηλίαν, ἵνα ἐπιθῇ αὐτῇ ξύλον εἰς βάρος, διὰ τὰς τοῦ πατρὸς μηχανάς.)

149. (ἐνταῦθα νῦν : Ἀποκλείσας τὴν διέξοδον τοῦ μὴ δυνηθῆναι αὐτὸν εἰσελθεῖν ταῦτά φησι.)

151. ὅστις πατρὸς νῦν καπνίου : Τὸν ὑπεκλυόμενον οἶνόν φασί τινες καπνίαν λέγεσθαι. ἐν δὲ τοῖς περὶ Κρατίνου διώρισται, εἰ τὸν ἀπόθετον ἢ καὶ παλαιόν. (διὸ Ἐκφαντίδην Καπνίαν καλοῦσιν. Ἄλλως. ἅμα πρὸς τὸ καπνῷ εἰκακέναι ἑαυτόν. εἶπε γάρ, καπνὸς ἐγώ. ἅμα δὲ καὶ κάπνη εἶδος ἀμπέλου ξηρότατον καὶ δριμύτατον οἶνον ποιούσης, ὁμοίως καπνῷ ποιοῦντα δάκρυα. τινὲς δὲ καπνίαν οἶνον ἐν Βενεβεντῷ τῆς Ἰταλίας γίνεσθαί φασι. καὶ καπνία ἡ ἄμπελος.) — παίζει. R.

153. πρὸς τὴν θύραν, ἵνα αὐτὴν τηρήσω. V.

155. (ἐκτρώξεται : Ἀντὶ τοῦ τὸν μοχλὸν φύλαττε, ὅπως μὴ τὸ κλεῖθρον φαγὼν ἐξέλθῃ.

βάλανον : Τὸν μοχλόν. κυρίως δὲ τὸ εἰς τὸν μοχλὸν σιδήριον, ὃ καλοῦμεν μάγγανον. καὶ βάλανοι τὰ μάγγανα τῆς κλειδώσεως. καὶ βεβαλάνωται [Av. 1159] ἀντὶ τοῦ κεκλείδωται. καὶ βαλανάγρα ἡ κλείς, παρὰ τὸ ἀγρεύειν τὴν βάλανον.)

157. Δρακοντίδης : Πονηρὸς οὗτος (καὶ πλείσταις καταδίκαις ἐνεχόμενος, ὡς Πλάτων Σοφισταῖς. Καλλίστρατος δὲ ἕνα τῶν λ' φησὶν, εἰ μὴ ὁμώνυμος. ἔστι γὰρ οὗτος ὁ τὸ περὶ τῶν λ' ψήφισμα περὶ ὀλιγαρχίας γράψας, ὡς Ἀριστοτέλης ἐν Πολιτείαις.)

160. ἀποσκλῆναι : Ἀποθανεῖν, ἀποξηρανθῆναι. *Vict.*

164. ὀδὰξ τὸ δίκτυον : Νῦν πάλιν διὰ τοῦ δικτύου φαίνεται ἄνω παρὰ τὴν καπνοδόχην.

165. (ἀλλ' οὐκ ἔχεις ὀδόντας : Ἐπαίζεν, ἐπεὶ γέρων ἦν. οἱ δὲ γέροντες ἀποβάλλουσι τοὺς ὀδόντας.)

167. τιμητικόν : (Καταδικαστικὸν, ὅπου τὴν μακρὰν χαράσσοντες κατεδίκαζον, ἢ τὴν μικρὰν, καὶ ἀπέλυον,) — εἰς ὃ ἐτίμων καὶ τὰς μακρὰς λεγομένας εἶλκον ἐν τοῖς ἐπάνω. R.

169. (ἀποδόσθαι : Πωλῆσαι.)

170. (κανθηλίοις : Ὄνοις μεγάλοις.)

τὰ ἐπιτιθέμενα αὐτῷ κανθήλια. R. τοῖς κανθηλίοις : Λείπει ἡ σύν. *Vict.*

171. (νουμηνία γάρ ἐστιν : Ἔθος ἦν Ἀθήνησιν ἐν νουμηνίᾳ πιπράσκειν.)

173. (τὸν ὄνον ἔζαγε : Τοῖς οἰκέταις φησί.)

174. ὑπέβαλε. πανούργως. V.

175. εἷς τῶν οἰκετῶν. R. ἀλλ' οὐκ ἔσπασεν : Οὐκ ἐπέτυχε· παρὰ τὴν παροιμίαν [Thesm. 928]

αὕτη μὲν ἡ μήρινθος οὐδὲν ἔσπασεν.

(ἐλέγετο δὲ ἐπὶ τῶν πείρᾳ καθιέντων ἄγκιστρον μετὰ σχοίνου, καὶ μὴ ἐπιτυγχανόντων ἰχθύος τινός.)

176. τῇ προφάσει. V. τὴν πρόφασιν. G.

178. παρακύψαι : Φυλαττόμενος ὑπ' ἐμοῦ δῆτα. *Vict.*

(179.) κάνθων, τί κλάεις : Ὡς βαρουμένου τοῦ ὄνου. ἔφερε γὰρ τὸν γέροντα [ὑποκρεμασθέντα λάθρα], κατὰ μίμησιν τοῦ Ὀδυσσέως ὑπὸ τοῦ κριοῦ φερομένου, [ἐφ'

ὥτε διαδρᾶσαι τὸν Κύκλωπα, ὅτε τὰ πρόβατα ἐξῆγε τοῦ σπηλαίου, ἐφαπτόμενος αὐτῶν τῆς βάχεως πρὸς τῇ θύρᾳ τοῦ σπηλαίου καθήμενος, ἵνα μὴ λαθὼν ἐξέλθῃ κύπτων ὁ Ὀδυσσεύς.] τοῦτο δὲ λαθὼν ἐποίησεν ὁ γέρων. διὸ πρὸς βαρυνόμενόν φησι τὸν ὄνον.

κάνθων : Ὑποκοριστικῶς ὁ ὄνος. *Vict.*

184. (Οὔτις νὴ Δία : Ὅτι καὶ ὁ Ὀδυσσεὺς Οὔτις παρ' Ὁμήρῳ ἐκαλεῖτο.)

185. (ἀπὸ Δρασιππίδου : Πέπλακε τὸ ὄνομα ἀπὸ τοῦ ἀποδρᾶσαι, ὥσπερ ἀπὸ φυλῆς, ἢ ἀπὸ γένους φάσκων.)

188. ἵν' : ὅπου. R. (ἐνδάλλεται : Φαίνεταί μοι ὅμοιος εἶναι πώλῳ κλητῆρος. Ἄλλως.) οἱ γὰρ πῶλοι ὑποδύνουσι τὰς μητέρας καὶ θηλάζουσιν.

(189). πωλίῳ : Ἀντὶ τοῦ ὄνου, ἢ ἡμιόνου, κλητῆρος εἶπεν εἰς φιλοδικαστήν. ἀντὶ τοῦ πώλῳ ὑποκοριστικῶς. [κλητῆρες δὲ οἱ καλοῦντες εἰς τὸ δικαστήριον πάντας. σημαίνει δὲ ἡ λέξις καὶ τὸν μάρτυρα.]

190. ἥσυχον : Ἄνευ θορύβου. *Vict.*

191. περὶ ὄνου σκιᾶς : Παροιμία ἐπὶ τῶν περὶ μηδενὸς χρησίμου φιλοτιμουμένων. R. παροιμία ἴση τῷ περὶ μηδενός. καὶ Δημοσθένης. V. (παροιμία ἐστὶν ἐπὶ τῶν τὰ ἀνόητα φιλονεικούντων, ἣν μετήνεγκε νῦν ὁ πρεσβύτης. ἔστι δὲ ἀπὸ τοιαύτης αἰτίας. φασί ποτε ἐν Ἀθήναις τινὰ δεηθέντα ὀνηλάτου μισθώσασθαι ὄνον ἐπὶ τῷ τὰ φορτία μόνον βαστάσαι ἐπὶ τὰ Μέγαρα. καὶ δὴ οὕτω δόξαν αὐτοῖς, ἐπιθέντες τὰ φορτία ὤδευον. μεσημβρίας δὲ γενομένης καὶ τῶν ὑπὸ κύνα καυμάτων σφοδρῶς αὐτοῖς ἐπικειμένων, οὐχ εὑρίσκοντες σκέπην, καθεῖλε τὰ φορτία ἀπὸ τοῦ ὄνου ὁ δεσπότης αὐτῶν, καὶ δι' αὐτῶν ἑαυτῷ σκιὰν ἐποίησε. πρὸς ὃ μαχόμενος ὁ ὀνηλάτης ἔλεγεν ὄνον μεμισθωκέναι ἐπὶ τῷ φορτία φέρειν, οὐ σκιὰν παρέξειν. ὁ δὲ ἔλεγε μεμισθῶσθαι, ὅπως ἂν ὡς βούλοιτο χρῷτο. ἐκ δὲ ταύτης τῆς φιλονεικίας μηδὲν οὔσης εἰς δικαστήριον κατηνέχθησαν. ὅθεν ἡ παροιμία.)

192. (πόρρω τέχνης : Ἀντὶ τοῦ οὐκ ἀπὸ τέχνης τινὸς πονηρὸς εἶ, οὐδ' ἀπὸ μελέτης, ἀλλὰ φύσει. παράβολος δὲ ἀντὶ τοῦ οὐ γνήσιος.) — λέγουσι τινὲς καὶ πονηρὰ κρέα ἀντὶ τοῦ σαπρά. R.

παράβολος : Ὁ τολμηρός. *Vict.*

194. (ὅταν, φησὶ, τραφῇς ὑπ' ἐμοῦ ὑπογάστριον. ἀπὸ μέρους δὲ τὴν τροφὴν ἁπλῶς λέγει. ἢ ὅτι ὄνους ἔτρωγον ἐν Ἀθήναις, καὶ τοὺς μισθοὺς λαμβάνοντες οἱ δικασταὶ ὠνοῦντο τὰ ὑπογάστρια. λείπει δὲ ἡ παρά. παρὰ γέροντος ἡλιαστικοῦ, οἷον ἐκ τῆς ἡμετέρας σπουδῆς καὶ τέχνης.)

ἀλλ' ἴσως ὅταν φάγῃς : Λείπει τὸ γνώσῃ με. *Vict.*

(195). ὑπογάστριον : [Ἐπεὶ πωλάριον ἐμιμεῖτο ἐπὶ τῷ ὄνῳ, τὸ ὑπογάστριον πρὸς τοῦτο. ἐχρῶντο δὲ τοῖς ὀνείοις. ἀντὶ τοῦ εἰπεῖν] ὑπογάστριον ὄνου ἢ βοός, ἔχεις γνῶναι ἄριστόν με ὄντα, εἰ καὶ μὴ νῦν με οἶδας. ἐπεὶ δικαστής ἐστιν, ἔφη γέροντος ἡλιαστικοῦ ἀντὶ τοῦ ὄνου.

196. (ὥθει τὸν ὄνον : Τὸ πρῶτον πρὸς τὸν οἰκέτην, τὸ δὲ ἕτερον πρὸς τὸν πατέρα, ὥθει σεαυτόν.)

197. καὶ Κλέων : (Ἐπεὶ δοκεῖ Κλέων μισθοὺς πορίζειν τοῖς δικασταῖς.) — ἐπεὶ ἐδόκει ὁ Κλέων μισθοὺς πορίζεσθαι τῷ λεπτῷ δήμῳ. R.

199. (ὥθει σὺ πολλούς : Ἦγουν ἐπίθες λίθους ἐπὶ τὴν θύραν, ἵνα μὴ εὐκόλως ἀνοίγῃ.)

200. (καὶ τὴν βάλανον : Τὴν εἰς τὸν μόχλον βάλανον ἔμβαλε εἰς τὸ πῆγμα δηλονότι, τουτέστι κλεῖσον τῷ κλειδίῳ.)

201. καὶ τῇ δοκῷ : Ἐμβαλεῖν παρακελεύεται καὶ τὴν δοκὸν, [τουτέστι τὸν ἀντιβάτην] πρὸς τὴν θύραν, (αὐτῇ δὲ τῇ δοκῷ τὸν ὅλμον. κατὰ φύσιν δὲ ἦν μᾶλλον εἰπεῖν, καὶ τὴν δοκὸν προσθείς).

202. (προσκύλιε : Οὐκ εἶπε βάστασον, ἀλλὰ κύλιε, δηλῶν τὸ μέγεθος τοῦ ὅλμου, ὃν φησι κάτω πρὸς τῇ ἀρχῇ τοῦ ἀντιβάτου προσθεῖναι.)

203. (τὸ βώλιον : Ἡ βῶλος ὑποκοριστικῶς. ἐν ὅσῳ δὲ ἕλκει ἐκ τῆς στέγης, ἔπεσε κατ' αὐτοῦ μικρὸς λίθος.)

206. ὀροφίας : Παρὰ τὸ μῦς ὀροφίας. (λέγονται δὲ μῦς ὀροφίαι καὶ ὄφεις οἱ περὶ τὰς ὀροφὰς διάγοντες καὶ ταύτας περιτρώγοντες.)

207. (στρουθὸς ἀνὴρ γίνεται : Ἐπειδὴ ἀναπηδᾷ ὁ γέρων, ταῦτά φησιν ὁ οἰκέτης.)

209. σοῦ σοῦ : Ἀποσοβοῦσι τὸν γέροντα, σοῦ, ὡς εἰώθαμεν τὰ ὄρνεα σοβεῖν.

210. Σκιώνην : (Φιλόχορος ἐπὶ Ἰσάρχου φησὶ πρὸ ἐνιαυτοῦ Βρασίδαν ἀποστῆσαι Σκιωναίους τῶν Ἀθηναίων.) Ἀθηναίους δέ φασι λ' τριήρεις πρότερον πέμψαντας Σκιώνην περιτειχίσαι, [ὕστερον δὲ μαθόντας ἀποστῆναι αὐτῶν, ἀποστεῖλαι στρατὸν καὶ πολιορκῆσαι καὶ ἀποτειχίσαι αὖθις ὡς τὸ πρότερον]. (ἔστι δὲ χωρίον Θράκης πολέμιον Ἀθηναίοις, ἣν ἐφρούρουν ἐπιεικῶς, ἣν πολιορκήσαντες ἀπετείχισαν.)

(ἀντὶ τούτου : Ἀντὶ τοῦ πατρὸς τούτου, ἵνα ᾖ ὁ οἰκέτης λέγων περὶ τοῦ πατρὸς τοῦ Βδελυκλέωνος.)

213. (ὅσον στίλην : Ὅτι σημαίνει τὸ ἐλάχιστον. Καλλίστρατος δὲ, νομισμάτιόν τι ἐλάχιστον.)

ὅσον ὅσον στίλην : Τὸ οὐδὲν καὶ τὸ τυχόν. ἔστι δὲ ὁ σταλαγμός. *Vict.*

214. (ἀλλ' ὦ πόνηροι : Πρὸς τοὺς οἰκέτας τὸ ὦ πόνηροι.)

215. παρακαλοῦντες τουτονί : Ἀντὶ τοῦ ἐκκαλοῦντες. (οὐχ ὡς ἐν τῇ συνηθείᾳ ἐπὶ τοῦ ἀξιοῦν. τοῦτο δέ φησιν εὐκαίρως βουλόμενος τὴν εἴσοδον τοῦ χοροῦ ποιῆσαι. ἐκ γὰρ φιλοδίκων ἀνδρῶν συνέστηκεν.) — ἡ παρά ἀντὶ τῆς ἐξ. V.

216. ὄρθρος βαθύς : Βαθεῖα νύξ. *Vict.*

217. ὀψέ : μετὰ τὸν καιρὸν τὸν δέοντα. *V. Vict.*

218. ἀντὶ τοῦ καλοῦσι. V.

219. μινυρίζοντες : ᾄδοντες. *V. Vict.*

220. (ἀρχαιομελι σιδῶνοφρυνιχήρατα : Παρὰ τὸ μέλι, ὅπερ ἐστὶν ἡδὺ, καὶ τὴν Σιδῶνα καὶ τὸν Φρύνι-

χον καὶ τὰ ἐρατὰ ἔμιξεν, οἷον ἀρχαῖα μέλη Φρυνίχου ἐρατὰ καὶ ἡδέα, καθάπερ μέλι περιέχοντα τὸ τῆς Σιδῶνος ὄνομα. Φρύνιχος δὲ ἐγένετο τραγῳδίας ποιητὴς, ὃς ἔγραψε δρᾶμα Φοινίσσας, ἐν ᾧ μέμνηται Σιδωνίων. τὰ δὲ μέλη εἶπε διὰ τὴν γλυκύτητα τοῦ ποιητοῦ. Ἄλλως. ὅτι δι' ὀνόματος ἦν καθόλου μὲν ὁ Φρύνιχος ἐπὶ μελοποιΐᾳ, μάλιστα δὲ τὸ ἐκ τῶν Φοινισσῶν αὐτοῦ τὸ « καὶ Σιδῶνος προλιπόντα ναόν. » ἢ « Σιδώνιον ἄστυ λιπόντες. » πεποίηται δὲ ἡ λέξις παρὰ τὸ ἀρχαῖον καὶ τὸ μέλος καὶ τὸ Σιδών καὶ τὸ Φρύνιχος καὶ τὸ ἐρατόν. Ἀρίσταρχος δέ φησι γεγενῆσθαι ἀπὸ τοῦ μέλι καὶ τοῦ Σιδῶνος καὶ τοῦ Φρυνίχου καὶ τοῦ ἐρατόν.)

222. βαλλήσομεν : Οὕτω λέγουσιν ἐπεκτείνοντες καὶ ἄλλα πολλὰ, οἷον παιήσομεν. ὡς ἀπὸ περισπωμένου δὲ ἔστι τοῦ βαλλῶ. V. Vict.

223. ὀργίσῃ : Παροξύνῃ. *Vict.*

224. (ὅμοιον σφηκιᾷ : Ἀντὶ τοῦ σφηκώδεις εἰσὶ καὶ κεντρώδεις. ἐν σχήματι γὰρ σφηκῶν εἰσάγονται.)

σφηκιᾷ : Συστήματι σφηκῶν. Vict.

225. ἐκ τῆς ὀσφύος : (Ὅτι ἐν σχήματι σφηκῶν εἰσάγει τὸν χορὸν, προβάλλοντα ἐκ τῆς ὀσφύος κέντρον τι ὀξύτατον. πεποίηκε δὲ τοῦτο διὰ τὸ τοὺς γέροντας καὶ τοὺς δικαστὰς ὀξυχόλους εἶναι καὶ δίκην σφηκῶν τιτρώσκειν τοῖς λόγοις.) — ἐπειδὴ ὁ χορὸς τῶν γερόντων ἔρχεται ὡς σφῆκες διεσκευασμένοι καὶ κέντρον ἔχουσι. R.

ὀσφύς : Ὀσφῦς ὁ παρὰ πλευροῖς διάκενος τόπος. *Vict.*

227. φέψαλοι : Σπινθῆρες, οἷον πῦρ πνέουσιν. *V. Vict.* σπινθῆρες. R.

230. (ὦ Κωμία βραδύνεις : Ἀντὶ τοῦ ἐβράδυνας εἰς τὸ δικαστήριον ἐλθεῖν. οἱ τοῦ χοροῦ δὲ ἀλλήλοις ἐγκελευόμενοι τὴν πάροδον ποιοῦνται. ὄνομα δὲ γέροντος ὁ Κωμίας. καὶ ἴσως πεποίηται παρὰ τὴν κώμην. κύνειος δὲ εὐτονός τις καὶ ἰσχυρός. Χαρινάδης δὲ ὄνομα γέροντος.) — ἀντὶ τοῦ ταύρειος κύνειος εἶπεν παρ' ὑπόνοιαν. ἀσθενέστεροι δὲ οὗτοι τῶν βοείων. Χαρινάδης εὑρίσκεται περὶ δικαστήρια καὶ δίκας. R. εὐτονός τις καὶ ἰσχυρός. (ἤδη δὲ καὶ παροιμιακὸν γέγονε.) R. V.

233. (Κονθυλεῦ : Κονθύλη δῆμος τῆς Ἀττικῆς τῆς Πτολεμαΐδος φυλῆς, ἡ Πανδιονίδος.)

234. (Χάβης : Οὕτως Ἡρωδιανὸς ἐν τῷ τρίτῳ τῆς καθόλου παρατίθεται τὸ ὄνομα διὰ τοῦ β Χάβης. τὸ δὲ Φλυεὺς ἀπὸ δήμου. — τῆς Πτολεμαΐδος φυλῆς δῆμος ἡ Φλύη. V.

235. (πάρεσθ' ὃ δὴ λοιπόν : Ὃ ἐστιν ὑπόλοιπον ἡμῶν ἥκομεν. οἷον τὸ λοιπὸν καὶ τὸ λείψανον τοῦ συστήματος ἡμῶν πάρεστι. τοῦτο δ', ἐπειδὴ ἐν νυκτὶ τὴν πορείαν ἐποιοῦντο.)

238. (τῆς ἀρτοπώλιδος : Παρ' ὑπόνοιαν τοῦτο, δέον εἰπεῖν, τοὺς πολεμίους ἐχειρωσάμεθα, ἢ λόχον τινὰ ἐποιήσαμεν.

τὸν ὅλμον : Ὡς ξυλίνου ὄντος τοῦ ὅλμου. καὶ Ἡσίοδος [Op. 421] « ὅλμον μὲν τριπόδην τάμνειν. » Ἄλλως. ὅλμον τὸ μαγειρικὸν ἐργαλεῖον, καὶ ὁ τρίπους τοῦ Ἀπόλλωνος. καὶ ὁλμειὸς στρογγύλος λίθος, εἰς ὃν κόπτουσιν ὄσπρια καὶ ἄλλα τινά.)

(239). τοῦ κορκόρου : Πρὸς τὸν Λυκόφρονα, κόρκορον λέγοντα ἰχθύδιόν τι. ἠπάτηται δὲ, ὥς φησιν Ἐρατοσθένης. ἔστι γὰρ λάχανόν τι ἄγριον [καὶ εὐτελὲς] ἐν Πελοποννήσῳ, ὡς καὶ ἡ παροιμία « καὶ κόρκορος ἐν λαχάνοισι. » τὸ δὲ κατασχίσαντες, αὐτὸν τὸν ὅλμον δηλονότι· οὐ γὰρ τὸν κόρκορον.

240. (ὡς ἔσται Λάχητι νυνί : Ἡ δίκη, ἢ τιμωρία, ἢ τοιοῦτόν τι. τοῦτο δέ φησιν, ὡς τοῦ Κλέωνος εἰς δίκην ἐπαγαγόντος τὸν Λάχητα. στρατηγῆσαι δὲ αὐτόν φησι Δημήτριος ἐπὶ ἄρχοντος Εὐκλέους πρὸ τριῶν ἐτῶν εἰς Σικελίαν πεμφθέντα μετὰ νεῶν Λεοντίνοις βοηθήσοντα. οἱ δὲ περὶ τὸν Φιλόχορον διαδέξασθαι αὐτόν φασι Σοφοκλέα καὶ Πυθόδωρον, οὓς καὶ φυγῇ ζημιωθῆναι. εἰκὸς γοῦν μετακληθῆναι αὐτὸν ἐπὶ τὴν κρίσιν, ἧς νῦν ὁ κωμικὸς μνημονεύει.)

241. (σίμβλον δέ φασι : Σίμβλον κυρίως εἰσὶν αἱ θῆκαι, ἔνθα αἱ μέλισσαι ἀποτίθενται τὸ μέλι. ὡς τοῦ Λάχητος δὲ τὰ δημόσια σφετερισαμένου καὶ πλουτήσαντος. — ὁ αὐτὸς δὲ καὶ ὡς φαλακρὸς κωμῳδεῖται. V.

242. (χθὲς οὖν Κλέων : Κατ' ἐπιταγὴν δὲ τοῦ στρατηγοῦ καὶ οἱ δικασταὶ ἐκαλοῦντο. ὥρα δὲ νῦν οὐχ ὁ καιρὸς, ἀλλὰ ταχέως.)

(243). ἡμερῶν ὀργὴν τριῶν : Παρὰ τὸ κηρύττεσθαι σιτία ἡμερῶν τριῶν τοῖς στρατιώταις ἔπαιξε. [κολουμένους δὲ κατὰ αὐτοῦ κολάσοντας.]

248. ὦ πάτερ πάτερ : Παρέπονται αὐτοῖς παῖδες λύχνον φέροντες, (καὶ πιθανῶς, ἵνα ἡ ὀρχήστρα πληρωθῇ. παῖς δέ τις προηγούμενος μετὰ λύχνου προεωρακὼς πηλόν. τὸ δὲ μέτρον ἐντεῦθεν ἤλλαξεν. ἔστι γὰρ μικτὸν, συντεθὲν ἔκ τε ἰαμβικοῦ διμέτρου ἀκαταλήκτου καὶ ἰθυφαλλικοῦ. ὁ δὲ ἰθύφαλλος τροχαϊκὴν συζυγίαν ἔχει δίμετρον βραχυκατάληκτον, τουτέστι τρεῖς τροχαίους).

249. (κάρφος χαμάθεν : Ἐν κάρφει γὰρ ἠρέμα τις προμύσσει. πρὸς τοὺς παῖδας δέ φησι, τοὺς προπέμποντας αὐτόν.) — πρόμυξον, ἐκ τῆς μύξης προάγαγε. R.

250. ἀλλὰ τῳδί μοι : (Δεικτικῶς τῷ λιχανῷ δακτύλῳ. προμύσσειν δὲ εἰς τὸ ἔμπροσθεν βαλεῖν τὸ ἐλλύχνιον.) — τὸν δάκτυλον δείκνυσιν, ἵνα μὴ κάμψας ζητῇ. R.

251. τί δὴ μαθών : (Ὡς τοῦ παιδὸς τῷ δακτύλῳ ἐπισπασαμένου τὸ ἐλλύχνιον, καὶ ἐν τοσούτῳ ἐλαίου ἐκχυθέντος, εἷς τῶν πρεσβυτῶν, ὃς καὶ πατὴρ ἦν τοῦ παιδίου, ἀγανακτήσας κονδύλους αὐτῷ δίδωσιν. Εἰς τὸ αὐτό. τοῦτο εἰπὼν δίδωσιν αὐτῷ κόνδυλον.) — ἅμα κόνδυλον τῷ παιδαρίῳ δίδωσι διὰ τὸ νεώτερον ὄντα μὴ φροντίζειν. R.

253. (οὐ γὰρ δάκνει σ' ὅταν δέῃ : Οὐ γὰρ λυπεῖ σε τὸ ἔλαιον πολλοῦ πιπρασκόμενον. οὐ γὰρ αὐτὸς ἀγοράζεις. πατρὸς δὲ υἱὸς σμικρολόγου.)

257. (τυρβάσεις : Ἀντὶ τοῦ ταράξεις. ὁ δὲ ἀτταγᾶς

ὄρνεόν ἐστιν εὑρισκόμενον ἐν τοῖς ἕλεσι καὶ τερπόμενον ἐν τοῖς πηλώδεσι τόποις καὶ τέλμασιν. ἡμεῖς δὲ ἀτταγῆνα αὐτὸν φαμέν.)

258. ἐν τῷ δικαστηρίῳ δηλονότι. ὡς παραινῶν δὲ λέγει ὅτι μὴ λυποῦ ὅτι ἐτυπτήθης· καὶ γὰρ μείζονάς σου κολάζω. V.

260. ἀντὶ τοῦ εἴσω ἡμερῶν τεσσάρων πάντως ὑετὸς γίνεται· μύκης δέ ἐστιν ὁ περὶ τὰς θρυαλλίδας σπινθήρ, ὃς διὰ τὴν περιέχουσαν ἰκμάδα ἀποπηδᾷ τοῦ λύχνου, πολεμούμενος τῷ ἐναντίῳ. V.

261. τὸν Δία ὑετόν. V.

262. (οὗτοι μύκητες: Φασὶν ὅτι ὑετοῦ μέλλοντος γενέσθαι οἱ περὶ τὴν θρυαλλίδα τοῦ λύχνου σπινθῆρες ἀποπηδῶσιν, οὓς μύκητας νῦν λέγει, ὡς τοῦ λύχνου ἐναντιουμένου τῷ νοτερῷ ἀέρι. καὶ Ἄρατος [976]

ἢ λύχνοιο μύκητες ἐγείρονται περὶ μύξαν,
νύκτα κατὰ νοτίην.

τινὲς δέ φασι τὸν μύκητα ζωύφιόν τι εἶναι λεπτότατον πάνυ σκνιπὶ ἐοικὸς, ὃ δι' ὑπερβολὴν λεπτότητος τῆς ψύξεως τῆς περὶ τὸν ἀέρα θᾶττον ἀντιλαμβανόμενον περὶ τὸν λύχνον ἵπταται, θέρμης ἐπιθυμοῦν, καὶ περικροῦον ἐν τῷ λύχνῳ ποιεῖ σπινθῆρας· ὅθεν τεκμαίρονται τὸν ὑετόν. καὶ Καλλίμαχος [fr. 47] « ἄδην ἐγένοντο μύκητες. »)

263. φιλεῖ: Ἥγουν ὁ Ζεύς. *Vict.*

264. δεῖται δὲ καὶ τῶν καρπίμων: ὅσα μή ἐστι τῶν καρπῶν πρώιμα. V. μάλιστα δ' ὅσα μὴ πρώιμά ἐστι τῶν καρπῶν δεῖται ὕδατος. R. (ἐμφαίνει διὰ τούτων τὸ γεωργικὸν ἦθος, εὖ μάλα δεικνύων ὅτι μέλει αὐτοῖς τῶν καρπίμων. — διῃρημένως χρῶνται τῇ τοιαύτῃ διαστολῇ. δέονται, φασὶν, οἱ καρποὶ τοῦ ὑετοῦ, καὶ μάλιστα οἱ μὴ πρὸ καιροῦ σπαρέντες. V.)

266. γενόμενοι περὶ τὸν οἶκον τοῦ Φιλοκλέωνος ὑπομιμνήσκονται αὐτοῦ, καὶ μὴ ἑωρακότες αὐτὸν μεθ' ἑαυτῶν διαλέγονται περὶ αὐτοῦ. V.

268. (ἐφολκὸς ἦν: Ἐφολκὶς κυρίως λέγεται ἡ λέμβος, ἤτοι ἡ μικρὰ ναῦς ἡ ὑφ' ἑτέρας νεὼς ἑλκομένη, διὰ βραδυτῆτα. φησὶ γοῦν κἀνταῦθα ὅτι οὐχ ὑπό τινος ἑλκόμενος ἐξήρχετο, ἀλλὰ πρῶτον ἡγεῖτο ἡμῶν. νυνὶ δὲ τί παθὼν οὐκ ἐξέρχεται;)

269. τοῦ μελαποιοῦ τὰ μέλη ᾔδεν. ἦν δὲ καὶ τραγικός. V.

270. [στάντες: Πρὸ τῶν θυρῶν τοῦ Φιλοκλέωνος στάντες οἱ τοῦ χοροῦ τὸ στάσιμον ᾄδουσι μέλος. τῶν γὰρ χορικῶν μελῶν τὰ μέν ἐστι παροδικὰ, ὡς τὸ [Nub. 276] « ἀέναοι νεφέλαι, ἀρθῶμεν φαναραί, » καὶ τὸ προειρημένον ἐνταῦθα « χώρει πρόβαιν' ἐρρωμένως. » τὰ δὲ στάσιμα, ὡς τὸ παρόν. καὶ παρ' Αἰσχύλῳ [Prom. 397] « στένω σε τᾶς οὐλομένας τύχας, Προμηθεῦ. » τὸ δὲ προῳδικὰ, τὰ δὲ μεσῳδικὰ, τὰ δὲ ἐπῳδικὰ, περὶ ὧν προείρηται τίνος χάριν οὕτω καλοῦνται, τὰ δὲ ἐξοδικὰ ἢ ὑποχωρητικὰ, ἅπερ ἐπὶ τῇ ἐξόδῳ τοῦ δράματος ᾄδεται, ὡς ἐν τῷ Πλούτου δράματι τὸ « οὐκέτι νῦν γ' εἰκὸς μέλλειν οὐδ' ἡμᾶς, ἀλλ' ἀναχωρεῖν εἰς τοὔπισθεν. δεῖ γὰρ κατόπιν τούτων ᾀδοντας ἕπεσθαι. »]

271. ἐπειδὴ ᾤδετο τοῖς ἄσμασι, τοῦτο κατ' αὐτὸν ἀπατήσας βούλεται κατενέγκαι. V.

274. (μῶν ἀπολώλεκε τὰς ἐμβάδας: Ἐκ τοῦ εἰκότος τὴν τοῦ γέροντος ἐπὶ τὰ ἔνδον διατριβὴν τεκμαίρεται. βουβωνιῶν δὲ τὸν βουβῶνα ἀλγοίη.)

278. οὐκ ἄν τις ἀναπεῖσαι αὐτὸν ἠδύνατο εἰς ἕτερόν τι, φιληδοῦντα τῇ ἡμῶν διατριβῇ. V.

279. (ἀλλ' ὁπόταν: Ἥγουν ὁπότε μεταστῆσαι τοῦ δικάζειν παρεκάλει αὐτόν τις, ὅπως ἂν μὴ αἰδεσθείη διὰ τῶν ὀφθαλμῶν, κάτω κύπτων, λίθον ἔψεις ἔλεγε. παροιμία δέ ἐστιν ἐπὶ τῶν ἀδυνάτων γενέσθαι τὸ λίθον ἕψεις, ὡς καὶ τὸ πλίνθον πλύνεις, καὶ χύτραν ποικίλλεις, καὶ εἰς ὕδωρ γράφεις, καὶ Αἰθίοπα λευκαίνεις, καὶ κατὰ θαλάττης σπείρεις, καὶ τὰ τοιαῦτα.)

281. (διὰ τὸν χθεσινὸν ἄνθρωπον: Πάλιν στοχάζεται ἑτέραν πρόφασιν τῆς ἀπολείψεως αὐτοῦ, ὡς κρινομένου τινὸς καὶ διαφυγόντος τὴν καταδίκην ἀναξίως καὶ ἐκ τούτου ὀδυνηθέντα καὶ κακωθέντα ἀπολειφθῆναι.)

(283). τὰ 'ν Σάμῳ: [Τὰ περὶ Σάμου ἐννεακαιδεκάτῳ ἔτει πρότερον ἐπὶ Τιμοκλέους ἄρχοντος γεγονε.] Μιλησίων γάρ ποτε καὶ Σαμίων μαχομένων Ἀθηναῖοι παρακληθέντες ὑπὸ Μιλησίων εἰς συμμαχίαν ἐπεστράτευσαν κατὰ τῶν Σαμίων, Περικλέους ἡγουμένου τοῦ Ξανθίππου. κακῶς δὲ διατεθέντες Σάμιοι ἐπεχείρησαν πρὸς τὸν βασιλέα τῶν Περσῶν ἐπελθεῖν. καὶ δὴ τοῦτο μαθόντες Ἀθηναῖοι τριήρεις πολεμικὰς κατ' αὐτῶν κατεσκεύασαν, Περικλέους εἰσηγησαμένου αὐτῶν. τοῦτο δὲ μαθόντες Σάμιοι μηχανήν τινα κατασκεύασαν κατ' αὐτῶν, ἣν μαθόντες Ἀθηναῖοι ὑπό τινος Καρυστίωνος ἐφυλάξαντο, καὶ Σαμίους μὲν κακῶς διέθηκαν, τὸν δὲ Καρυστίωνα ἐτίμησαν σφόδρα μετὰ τοῦ γένους καὶ τῆς αὐτῶν πολιτείας ἠξίωσαν. ὡς οὖν τινος ἐξαπατήσαντος καὶ εἰπόντος ἑαυτὸν εἶναι τὸν μηνυτὴν τοῦ σκαιωρήματος τῶν Σαμίων, καὶ διὰ τοῦτο ἀπολυθέντος, φησὶν ὠδυνῆσθαι τὸν Φιλοκλέωνα, ὡς ταῖς καταδίκαις μᾶλλον χαίροντα. — τὰ περὶ Σάμον ιθ' ἔτει πρότερον ἐπὶ Τιμοκλέους γέγονε καὶ ἐπὶ τοῦ ἑξῆς Μορυχίδου. οὐδὲν κωλύει τὸν ἐχθὲς κρινόμενον ἀναμιμνήσκειν τοὺς δικαστὰς ἰδίας τινὸς εὐεργεσίας παλαιᾶς γεγενημένης. Ἀθηναῖοι δὲ Μιλησίους ἐπαγαγόμενοι ἐκάκωσαν τὴν Σάμον καὶ ἔμφρουρον ἐποίησαν, τὴν δημοκρατίαν καταστήσαντες διὰ Περικλέους. Σάμιοι δὲ ἀπέστησαν πρὸς βασιλέα. καὶ τότε οἱ Ἀθηναῖοι τελέως αὐτοὺς κατεπολέμησαν, ἵνα πάλιν προσηγγέλθη Περικλεῖ ὅτι Φοίνισσαι νῆες παρεῖεν βοηθοῦσαι Σαμίοις. τοῦτον ἂν εἴη λέγειν πρὸς τοὺς δικαστὰς ἀπηγγελκέναι καὶ ὠφελῆσαι τὴν πόλιν. V.

286. (ἀλλ' ὦ 'γάθ' ἀνίστασο: Πρὸς τὸν Φιλοκλέωνα φησί. παχὺς δὲ πλούσιος. ἐκ δὲ τοῦ ἐναντίου λεπτοὺς τοὺς πένητας φησίν.)

288. ἄδηλον εἰ ὃν προεῖπε Λάχητα ἢ ἄλλον τινὰ κριθησόμενον. V.

289. ἐγχυτριεῖς : Ἀντὶ τοῦ φονεύσεις. ἐκ τοῦ παρεπομένου.) — ἀποκτενεῖς. μετενήνοχεν δὲ ἀπὸ τῶν ἐν ταῖς χύτραις ἐκτιθεμένων βρεφῶν. R. ἀπὸ τῶν ἐκτιθεμένων παιδίων ἐν χύτραις. διὸ καὶ Σοφοκλῆς ἀποκτεῖναι χυτρίζειν ἔλεγεν ἐν Πριάμῳ, καὶ Αἰσχύλος Λαΐῳ καὶ Φερεκράτης. ὅθεν καὶ ἐγχυτριστρίας ἐκάλουν τὰς διακονουμένας τὰ βρέφη. καὶ νῦν οὖν ὡς ἐπὶ ἀπωλείας τοῦ κριθησομένου ἔθηκε τὴν λέξιν. παρ' ὅσον τὰ ἐκτιθέμενα ἢ εἰς ὄρος ἢ εἰς ἔρημον τόπον βάλλεται. V.

290. (ὕπαγε : Εἰς τὴν οἰκίαν δηλονότι, ὡς καταστάντων αὐτῶν. παπία δὲ πάτερ.)

297. (οὐκ ἂν μὰ τὸν Δία : Ὠνήσομαι δηλονότι ἰσχάδας, εἰ χρεμασθέντες ἀπάγξοισθε.)

300. (μισθαρίου : Τοῦτό φησιν) ὡς τριωβόλου τοῦ δικαστικοῦ ὄντος μισθοῦ, — ἵνα ἕκαστος τούτων ὀβολοῦ λογίσηται πιπρασκόμενος. ἦν μὲν γὰρ ἄστατον τὸ τοῦ μισθοῦ. ποτὲ γὰρ διωβόλου ἦν, ἐγίνετο δὲ ἐπὶ Κλέωνος τριώβολον. Φρύνιχος « τριώβολον ὅσον ὑπερηλιάζομαι. » V.

301. ὡς τριωβόλου ὄντος τοῦ μισθοῦ, ἀφ' οὗ τὸ τρίτον ἀναλίσκεται εἰς ἅλφιτα, τουτέστιν εἷς ὀβολός, καὶ τὸ ἄλλο ξύλα, καὶ τὸ τρίτον ὄψον. V.

302. (σῦκά μ' αἰτεῖς : Τουτέστι τρυφᾶν βούλει. ὅτι τρυφήν φασι τὸ ἐσθίειν ἰσχάδας.) — ἐν ἐρωτήσει ταῦτα καὶ ἦθει. V.

306. νῷν : Τῷ δυϊκῷ ἐχρήσατο οὐ κακῶς· παῖδες γάρ εἰσι καὶ πατέρες ὡς ἓν πρόσωπον πρὸς ἕν. V.

πόρον Ἕλλας : Νῦν πόρον τὸν πορισμὸν φησιν. ἐπήνεγκε δὲ παρὰ τὸ Πινδαρικὸν [fr. 197]. τὸ Ἕλλας ἱερὸν « Πανδείματοι μὲν ὑπὲρ πόντιον Ἕλλας πόρον ἱερόν. » — Ἄλλως. ὁ Πίνδαρος τὸν πλοῦν τοῦ Ἑλλησπόντου· νῦν δὲ πορισμόν. V.

313. (πράγματα βόσκειν : Ὁ λόγος ἐκ Θησέως Εὐριπίδου. ἐκεῖ γὰρ ταῦτα λέγουσιν οἱ ταττόμενοι παῖδες εἰς βορὰν τῷ Μινωταύρῳ. τὸ δὲ ἑξῆς, τὸ ἀνόνητον ἄρα, Ἱππόλυτός ἐστιν ὁ λέγων ἐκεῖ « ἀνόνητον ἄγαλμα, πάτερ, οἴκοισι τεκών. » — ἄγαλμα γὰρ ὁ υἱὸς τῷ πατρὶ, ἐφ' ᾧ ἀγάλλεται. ἄγαλμα λέγεται ἐφ' ᾧ τις ἀγάλλεται. ὡς αὐτοῦ δὲ βαστάζοντος ἔλεγε θύλακον. V.

315. [θυλάκιον : Ὡς αὐτοῦ βαστάζοντος θύλακον.]

319. (ὑπὸ τῶνδε : Ὑπὸ τῶν οἰκετῶν.)

321. (ἐπὶ τοὺς καδίσκους : Τοὺς ἐν τῷ δικαστηρίῳ κάδους, ἐν οἷς τὰς ψήφους καθίεσαν, ὑποχοριστικῶς λέγει. ὀνομάζει δὲ ἀπὸ μέρους τὸ δικαστήριον, ὡς καὶ πρότερον κλεψύδραν αὐτὸ εἴρηκεν, ἀπὸ τοῦ κειμένου ἐν αὐτῷ ἀγγείου, πρὸς ὃ οἱ ῥήτορες ἔλεγον.

ἐπὶ τοὺς καδίσκους : Τοὺς κάδους ὅπου αἱ ψῆφοι. καδίσκους εἶπεν ὑποχοριστικῶς τὰς κάλπεις, ἔνθα τὰς ψήφους καθίεσαν δικάζοντες. ἐκ τούτου δὲ δηλοῖ τὴν ἐπὶ τὸ δικαστήριον ἄφιξιν.)

322. (κακόν τι ποιῆσαι : Καταδικάσαι τινά.)

324. (καπνὸν ἐξαίφνης : Ὥστε διὰ βραχύτητα τῶν ὀπῶν τὴν ἔξοδον ποιήσασθαι.)

325. ἢ τὸ Σέλλου : Ἐπεὶ καπνὸν εἶπεν, ἐπήνεγκε τούτους ὡς πτωχαλαζόνας, οὓς λέγουσι καπνούς, Προξενίδην καὶ Αἰσχίνην τὸν Σέλλου. καὶ ἐν Ὄρνισι [1126] μέμνηται Προξενίδου ὡς ἀλαζονικοῦ.

326. (ψευδαμάμαξυν : Εἶδος ἀμπέλου ἡ ἀμάμαξυς, ἣν λέγουσιν ἀναδενδράδα. ὅλον δὲ εἴρηται παρὰ τὸ ψεύδεσθαι τὸν Αἰσχίνην καὶ ψοφώδη κομιδῆ λέγειν. καὶ τὸ ξύλον γὰρ τῆς ἀμαμάξυος καιόμενον ψόφον ἀποτελεῖ. διατινθαλέῳ δὲ διαθέρμῳ.) — θερμῷ. V.

329. (σπόδισον ταχέως : Πλῆξον, καῦσον ὡς ἐν σποδῷ.)

330. (κἄπειτ' ἀνελών μ' ἀποψυσήσας : Τῶν γὰρ ἀπανθρακιζομένων ἰχθύων ἀποψυσῶσι τὴν σποδόν. ἢ παρόσον ἐν τῷ ὀπτᾶν ψυσῶσιν, ἵνα πλέον ἐγερθῇ τὸ πῦρ καὶ θᾶττον γένηται.)

331. (εἰς ὀξάλμην : Ὡς ἐπὶ ἰχθύων ὀπτῶν ὀξάλμῃ ἐσθιομένων.)

332. (τὰς χοιρίνας : Ἐν τῷ τῶν Ἱππέων δράματι εἴρηται [ad v. 1150] ὅτι χοιρίναις ἐχρῶντο πρὸ τῶν ψήφων οἱ δικασταί. ἦσαν δὲ κόγχαι τινές, ὥς φησιν Ἐπαφρόδιτος ἐν ταῖς λέξεσι. — τὰς δικαστικὰς ψήφους. εἰσὶ δὲ ὥσπερ κογχύλια λεπτά, οἷς πρότερον ἐχρῶντο ἀντὶ ψήφων οἱ δικασταὶ πρὸ τῆς εὑρέσεως τῶν κυάμων. οἱ δέ φασι καὶ παρὰ τὰς πέτρας αὐτὰς ἔχειν τὴν ὀνομασίαν, ἐξ ὧν ἐκλέγονται τὰ κογχύλια. χοιρίδες δὲ αἱ πέτραι. V.)

333. (ταῦτά σ' εἴργων : Τὸ εἶναι σὺν ἡμῖν καὶ δικάζειν. ὕφεσθε δὲ ὑποχαλᾶτε. ἐκ μεταφορᾶς τῶν πλοίων.)

338. (τοῦ δ' ἐφέξειν : Γράφεται καὶ ὑφέξειν, οἷον τί ὑπισχνούμενός σοι ἐπίσχει σε, ἢ τίνος χάριν; παρὰ δὲ τοῖς τραγικοῖς ἔφεξις ἡ πρόφασις. τί προφασιζόμενος συγκλείει σε; καὶ τὸ παρ' Ὁμήρῳ [Od. Φ, 70] « οὐδέ τιν' ἄλλην μύθου ποιήσασθαι ἐπισχεσίην ἐδύνασθε »). — τίνος ἕνεκεν. R.

341. (ἐγὼ δ' οὐ βούλομαι : Δείκνυσιν ἐντεῦθεν τὸ φιλόδικον αὐτοῦ. χανεῖν δὲ ἀντὶ τοῦ εἰπεῖν.)

342. (ὁ Δημολογοκλέων : Ὁ τύραννος καὶ ἀρχοντιῶν. συνέθηκε τὴν λέξιν ἐκ τοῦ δήμου καὶ τοῦ λόγου καὶ τοῦ Κλέωνος, δηλῶν τὸ ἀρχικὸν, καθάπερ ἐν τῷ δήμῳ ἄρχειν. τοῦτο δὲ εἴρηκε διὰ τὸ τὸν Κλέωνα πολυλόγον εἶναι καὶ τοῖς λόγοις ἐξαπατᾶν τὸν δῆμον. ἐπὶ δὲ τὸ αὐτὸ ἦθος κατενήνεκται, ἐπεὶ ὁ χορὸς τοῦ Κλέωνος ἐτύγχανεν.)

343. (ὅτι λέγεις : Ὅτι ἀληθὲς λέγεις περὶ τῶν τριήρων, οἷον παρρησίαν ἄγεις περὶ τοῦ δήμου. μελετᾷ δὲ ὁ χορὸς κακουργίαν, φάσκων, ἐπειδὴ ὑπὲρ χρησίμου τῆς πόλεως λέγεις, εἰσηγούμενος περὶ τριηραρχίας, ἐγκλείει σε. τινὲς δὲ οὕτως· εἴ τι εἴποις κακὸν περὶ τῶν νεῶν, τοῦτο ἀληθές ἐστι. διαβάλλει δὲ τοῦτον. οὐ γὰρ περὶ νεῶν ἐστιν ὁ λόγος, ἀλλὰ περὶ τοῦ μὴ δικάζειν αὐτόν. ξυνωμότας δὲ ἔλεγον τοὺς ἐπὶ καταλύσει τοῦ δήμου συνερχομένους. δεῦρο δὲ πρὸς ἡμᾶς.)

346. τῶν ἐπὶ καταλύσει τοῦ δήμου. R.

349. (οὕτω κιττῶ : Ἐπιθυμῶ, ἀπὸ τῶν ἀρτίως τικτουσῶν γυναικῶν καὶ ἐπιθυμουσῶν τινῶν. εἴρηται δὲ

ἐκ τοῦ ὀρνέου τῆς κίττης, ὅπερ ἐπιθυμητικῶς ἔχον τῶν ἀκροδρύων ταχέως δυσαρεστεῖται, ἐξ ὧν δ' ἂν ἐσθίοι, καὶ πάλιν ἑτέρων ἐπιθυμεῖ, καὶ μεταβάσεις ποιεῖται εἰς ἕκαστον τῶν δένδρων.

διὰ τῶν σανίδων : Τῶν δρυφάκτων τῶν ταβλωτῶν τοῦ δικαστηρίου, ἵνα λέγῃ ἐπιθυμῶ ἐν τῷ δικαστηρίῳ ἐλθεῖν. ἢ σανίδων φησὶ τῶν περιεχουσῶν τὰ ὀνόματα τῶν εἰσαχθησομένων εἰς τὸ δικαστήριον, ποῖον δεήσει πρῶτον εἰσαχθῆναι καὶ κατὰ τάξιν.)

351. ὅτι τὸ παλλάδιον δι' ὑδρορρόας εἰσῆλθον οἱ περὶ τὸν Ὀδυσσέα. R.

352. οὐδ' εἰ σέρφῳ : (Ὅτι ἐν Ὄρνισι [82] τινὲς τὸ « εὖδει καταφαγὼν μύρτα καὶ σέρφους » ἐξηγοῦνται καρπὸν τὸν σέρφον. ἔστι δὲ θηρίδιόν τι μικρόν. Κράτης δὲ μύρμηκα φησὶ τὸν σέρφον. οἱ δὲ ζωΰφιον κωνωπῶδες, ἀφ' οὗ ἡ παροιμία

ἔνεστι κἀν μύρμηκι κἀν σέρφῳ χολή·

παρεγγυῶσα μηδὲ τῶν μικρῶν καταφρονεῖν.) — σέρφῳ : παροιμία « οὐδὲ μύρμηκι ὁδός ἐστι. » R.

353. (ὁπίαν δ' οὐκ ἔστι : Παρὰ τὴν ὀπὴν τὸ ὄνομα. καὶ τυρὸν δὲ λέγουσι ὀπίαν τὸν τῷ ὀπῷ τῆς συκῆς πηγνύμενον.)

354. (μέμνησαι δῆθ' : Ὑπομιμνήσκει αὐτὸν παλαιᾶς πράξεως τόλμαν.)

355. (ὅτε Νάξος ἑάλω : Τὴν Νάξον ἐπιτετήρηκε πρὸς τὸν γέροντα. ἑάλω γὰρ ἐπὶ Πεισιστράτου. τοῦ δὲ ἑάλω ἐκτείνουσι τὸ α συνήθως. ἔστι δὲ μία τῶν Κυκλάδων νῆσος.)

357. ἰσχυρότερος (ἰσχυρὸς G.) ἐτύγχανον. V.

361. σκοπιωροῦνται : Κατοπτεύουσι καὶ παραφυλάττουσιν. (Ἕρμιππος δὲ καὶ ἐπὶ τοῦ ἀπὸ τῆς σκοπῆς θεωρεῖν.)

364. ἔχοντ' ὀβελίσκους : Τὸ πλῆρες ἔχοντε, δυϊκῶς. δύο γάρ εἰσιν οἱ [ἔχοντες ὀβελίσκους καὶ] τηροῦντες. V. Vict.

365. [ἀλλὰ νῦν ἐκπόριζε : Ἡ ἀμοιβαία αὕτη στροφὴ ἔοικεν εἶναι ἀντιστροφὴ τῆς ἄνω ῥηθείσης ὁμοίας στροφῆς, ἀλλ' ἔστιν ἐλλιπής. στίχων γάρ ἐστι καὶ κώλων ὀκτὼ, ὧν τὸ πρῶτον τροχαϊκὸν τετράμετρον καταληκτικόν. τὸ β' ἰαμβικὸν δίμετρον ἀκατάληκτον καὶ τὸ ς'. τὰ δ' ἄλλα ὅμοια τῷ πρώτῳ. ἐπὶ τῷ τέλει κορωνίς.]

366. (ἕως γὰρ ὦ μελίττιον : Ὄρθρος γὰρ, ὦ προσφιλέστατον μελίττιον. δηλοῦσι γὰρ ὅτι ἡμέρα γέγονεν.)

ἕως : Ἕως ὄρθρος ἡμέρα, ἀπὸ τοῦ ἕως ταύτῃ ἡμᾶς κατακεκλεῖσθαι, ἢ διὰ τὸ ἕεσθαι ἐν αὐτῇ. *Vict.*

368. (ἡ δέ μοι Δίκτυννα : Πρὸς τὴν Ἄρτεμιν τοῦτο, ἐπειδὴ ἀγρευτὶς ἦν. παρὰ δὲ τὸ ὄνομα γελοιάζει. παρὰ γὰρ τὸ δίκτυον ἐπήγαγε τὸ Δίκτυνναν Ἄρτεμιν ἵλαον ἔσεσθαι.)

369. (ἄνοντος : Ἀντὶ τοῦ ἀνύοντος τὰ πρὸς σωτηρίαν καὶ εὑρίσκοντος. τὸ δὲ ἄνοντος γίνεται παρὰ τὸ ἄνω βαρύτονον, οὗ τὸ τρίτον τοῦ παθητικοῦ ἐνεστῶτος ἄνεται. ὡς τὸ [Il. K, 251] « μάλα γὰρ νὺξ ἄνεται. »)

370. (ἔπαγε τὴν γνάθον : Ἀντὶ τοῦ δάκε τῇ γνάθῳ τὸ δίκτυον. τοῖς δικτύοις ἔπαγε τὴν γνάθον καὶ διάκοψον αὐτά.)

374. δακεῖν : Ἀντὶ τοῦ δηχθῆναι καὶ λυπηθῆναι. ἀντὶ τοῦ ἐκφυγεῖν σώσαντα τὴν καρδίαν. *Vict.*

375. (τὸν περὶ ψυχῆς : Ἤγουν ἐκφυγεῖν σώσοντα τὴν ψυχήν.)

376. (ἵν' εἰδῇ μὴ πατεῖν : Καὶ τοῦτο ὡς φιλόδικος. ἔγκλημα δὲ ἦν ὑβρίσαι τὰ μυστήρια. ἢ οὖν πάλιν πλέκει αὐτῷ, ἢ δείκνυσιν ὡς οὐ χρὴ τὰ μυστήρια εὐτελίζειν, οὕτως οὐδὲ ταῦτα ποιεῖν.)

πατεῖν : Ὑβρίζειν. *Vict.*

377. τὰ ταῖν θεαῖν ψηφίσματα : Ἀντὶ τοῦ τὰ ταῖν θεαῖν μυστήρια εἰπεῖν, ψηφίσματα εἶπεν, ὡς δέον οὐχ ἧττον περὶ ταῦτα ἢ περὶ ἐκεῖνα ἐσπουδακέναι. καθίμα δὲ ὑποχύλα.) — ἀντὶ τοῦ ὄργια. R.

379. καθίμα : Χάλα. *Vict.*

380. καὶ τὴν ψυχὴν ἐμπλησάμενος : Ὡς παράστημά τι τοῦ Διοπείθους ἔχοντος μανιῶδες. ἦν δὲ ὁ Διοπείθης ῥήτωρ. (μήποτε δὲ οὗτός ἐστιν ὁ καὶ παρὰ Φρυνίχῳ.)

381. καλαμᾶσθαι : (Ἀναρπάσαι, ἀπὸ τῶν τὴν καλάμην [τῶν σπερμάτων] ἀνασπώντων, ἕνεκα στέγης τῶν οἰκημάτων. ἢ ἀντὶ τοῦ ἀνιμᾶν, ὡς οἱ τοῖς καλάμοις τοὺς ἰχθύας ἀνέλκοντες.) — ἀπὸ μεταφορᾶς τῶν ἰχθύων τῶν ἑλκομένων καλάμοις. R. — (τὸν πρινώδη δὲ τὸν σκληρόν· ἀπὸ τοῦ ξύλου τοῦ πρίνου.) — παρόσον πρίνου καὶ σχοίνου καὶ ἐλαίας θερμότατον πῦρ. R. (μανθάνετε δὲ σκοπεῖτε. τὸ δὲ ἤν τι πάθω, ἀντὶ τοῦ ἐὰν συμβῇ με πεσόντα ἀποθανεῖν.)

385. δράσω τοίνυν : Βούλεται εἰπεῖν τι αὐτοῖς. καὶ μανθάνετε : Ἀντὶ τοῦ οἶδατε τί ποιήσατε. *Vict.*

386. ἀνελόντες καὶ κλαύσαντες : Ἐὰν συμβῇ με πεσόντα ἀποθανεῖν, ἐν τῷ δικαστηρίῳ με θάψατε. δρύφακτοι γὰρ ξύλινοι θώρακες, τὰ διαφράγματα, ἢ τὰ περιτειχίσματα, ἢ κιγκλίδες, περιφράγματα, τὰ νῦν ταβλωτὰ καλούμενα, τὰ τῶν οἰκοδομημάτων ἐξέχοντα ξύλα. ἐνταῦθα δὲ τὰ ταβλώματα τοῦ δικαστηρίου, διὰ τὸ ἐκ σανίδων καὶ ξύλων τῶν ἐκ ὄρους εἶναι κατεσκευασμένα. λέγει δὲ ἀπὸ μέρους τὸ δικαστήριον.)

389. πρὸς τοῖς δικαστηρίοις Λύκος ἥρως ἵδρυτο. ἔθυον δὲ αὐτῷ καὶ ἀπένεμον δικαστικὸν μισθόν. R. (ὦ Λύκε δέσποτα : Παρὰ τοῖς δικαστηρίοις τὸ τοῦ Λύκου ἡρῷον. ὅθεν φασὶν εἰρῆσθαι Λύκου δεκάς. Ἄλλως. Λύκου ἡρῷον πρὸς τῷ δικαστηρίῳ ἦν, ᾧ ἐμέριζον, ὅτε δικαστήρια ἦν, τὸν παρὰ τοῖς λαχοῦσι τῶν Ἀθηναίων δικάζειν δικαστικὸν μισθὸν τριώβολον.)

κεχάρησαι : Χαίρει οἷς καὶ ἐγώ. *Vict.*

390. φευγόντων : Τῶν κατηγορουμένων. *Vict.*

392. παρὰ τὸν κλάοντα καθῆσθαι : Ὡς τῶν καταδικασθέντων εὐθὺ πρὸς τὸ ἡρῷον ἀποκλαόντων. εὐφημότερον δὲ λέγουσιν ἀντὶ τοῦ κλάων καθῆστο.

394. κάννας : (Τὰς ψιάθους. λέγεται δὲ καὶ κάνης καὶ κλίνεται τοῦ κάνητος. ὡς) ψιάθοις δὲ περιπεφρα-

γμένου τοῦ ἡρῴου καὶ ἐστεγασμένου (φησὶν, οὐ παρὰ κάννας οὐρήσω. τουτέστιν οὐκ ἐνυβρίσω σου τὸ ἡρῷον, ἀλλὰ τιμήσω). — Ἄλλως. ὅταν θυσιάσωσι, περιφράσσουσι ψιάθους κανναβίνας. κάννας δὲ ἔφη τὰς ψιάθους. V.

398. (ἀνάβαιν' ἀνύσας : Τῷ οἰκέτῃ φησὶ, διὰ τοῦ ἑτέρου μέρους ἀνάβαινε.)

καὶ ταῖσι φυλλάσι : Ἐπεὶ κλάδοις τισὶ παρακελεύεται παίειν αὐτὸν τοῖς πρὸ τῆς οἰκίας, διὰ τοῦτο ταῖς εἰρεσιώναις εἶπε. τὸ δὲ πρύμναν κρούσασθαι φασί τινες λέγεσθαι, ὅταν μετακαθίσαντες οἱ ἐρέται ἐλαύνωσιν (ὀπίσω) ἐπὶ τὴν πρύμναν, ὅταν εἰς λιμένα εἰσέρχωνται, ἵνα τὴν πρύμναν (εἰς γῆν ἔχωσι νεύουσαν, καὶ τὴν πρῷραν ἔξω, ὅπως ἂν εὐτρεπὴς εἴη εἰς ἔξοδον ἡ ναῦς. τοῦτο οὖν φησι, παῖε αὐτὸν τοῖς κλάδοις, ὅπως ἂν ἀνακρούσηται τὴν πρύμναν, τουτέστιν εἰς τοὐπίσω ἀναδράμῃ. ἀνακρούειν γάρ ἐστι τὰς κώπας τὸ ἐπέχειν τοῦ δρόμου τοῦ εἰς τὸ ἔμπροσθεν τὴν ναῦν. εἰρεσιώναις δὲ ἁπλῶς τοῖς ξηροῖς κλάδοις.)

400. τῆτες : Ἐπ' ἔτος. *Vict.*

401. (ὦ Σμικυθίων : Τοὺς τοῦ χοροῦ ἐξ ὀνόματος καλεῖ. κολαζόμεθα δὲ ἀντὶ τοῦ κολάζομεν.)

404. τὸ τῶν σφηκῶν σύστημα. V.

408. ἀποδυσάμενοι διδόασι τοῖς παιδίοις τὰ ἱμάτια, ἵνα ὀρχήσωνται εὐκόλως. R.

411. ἄνδρα μισόπολιν : Τὸν Βδελυκλέωνα. *Vict.*

412. κἀπολούμενον : ὀφείλοντα ἀπολεῖσθαι. *V. Vict.*

415. [ὦ 'γαθοὶ τὸ πρᾶγμα : Εἴσθεσις διπλῆς ἀμοιβαίας ἐκ στίχων μη', ὧν οἱ πρῶτοι τρεῖς τροχαϊκοὶ τετράμετροι καταληκτικοί. οἱ ἑξῆς δύο ἀντισπαστικοὶ τρίμετροι ἀκατάληκτοι ἐπιμεμιγμένοι ἐπιτρίτοις καὶ διιάμβοις. οἱ ἑξῆς τούτων ὀκτὼ τροχαϊκοὶ τετράμετροι ὅμοιοι τοῖς πρώτοις. οἱ τούτων ἑξῆς β' ἀντισπαστικοὶ τρίμετροι ὅμοιοι τοῖς ῥηθεῖσιν. ὁ β' δὲ τὸν β' ἔχει πόδα πεντασύλλαβον. οἱ ἑξῆς δὲ πάντες τροχαϊκοὶ τετράμετροι καταληκτικοί, ὧν τελευταῖος

εἴπερ ἔτυχον τῶν μελέων Φιλοκλέους βεβρωκότες.

ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα.]

ἀλλὰ μὴ κεκράγατε : Ταῦτα, ἵνα ἀποδὺς ὀρχήσηται ὁ χορὸς καὶ ἀπέλθωσιν οἱ παῖδες.

416. ἐς τὸν οὐρανόν : [Λείπει] κεκράξομαι. *V. Vict.*

418. θεοσεχθρία : Θεομισητία. V. (καὶ Ἄρχιππος ἐν Πλούτῳ « οἶμοι. τί ἔστι; μῶν ἔδωκε; τί σ' ἔδακεν; « κατὰ μὲν οὖν ἔφαγε, κἀπέδρυξε τίς ἡ πανουργία τε « καὶ θεοσεχθρία. » ταῦτα δέ φησιν, ὡς τοῦ Κλέωνος καὶ τοῦ Θεώρου προστατῶν αὐτῶν ὄντων.) — περὶ Θεώρου καὶ Γοργίου ἐν τοῖς πρὸ τούτου εἴρηται. V.

421. (ἐν δίκῃ τὸν Γοργίου : Ἐν τῇ δίκῃ. ἀντὶ τοῦ δικάζοντες. οὗτος δὲ ὁ Γοργίας κωμῳδεῖται ὡς προδότης καὶ βάρβαρος.)

425. (σμῆνος οἷον : Κυρίως τὸ πλῆθος τῶν μελισσῶν. ἐπιτηδείως δὲ καὶ ἐνταῦθα τοῦτο εἶπεν, ὅτι σφηκῶδες τὸ σύστημα τῶν γερόντων.)

427. ἀντὶ τοῦ κέντρα. V.

429. (τὰς χελώνας : Ὅτι μᾶλλον μακαρίσεις τὰς χελώνας τοῦ σοῦ δέρματος. αἱρῇ χελώνης δέρμα ἔχειν, ἵνα μὴ τρωθῇ. ὀστῶδες γὰρ ἔχουσι δέρμα αἱ χελῶναι, ὥστε ἀντέχειν πρὸς τὰς πληγάς.)

433. (ὦ Μίδα καὶ Φρύξ : Ὀνόματα οἰκετῶν.)

435. (εἰ δὲ μὴ 'ν πέδαις παχείαις : Εἰ δὲ μὴ βοηθήσετε, δέον εἰπεῖν, ἐν πέδαις κάμψεσθε, ὁ δὲ εἶπεν, οὐδὲν ἀριστήσετε. ἀντὶ τοῦ δεσμευθέντες οὐδὲν μέλλετε φαγεῖν.)

436. οἶδα θρίων τὸν ψόφον : Ὅτι παρὰ τὴν παροιμίαν

πολλῶν ἐγὼ θρίων ψόφους ἀκήκοα.

τὰ γὰρ θρῖα καιόμενα ψοφεῖ. εἴρηται δὲ ἡ παροιμία ἐπὶ τῶν δι' ἀπειλῆς θόρυβον καὶ κόμπον ἐμποιούντων διακενῆς.

437. ἔν τί σοι : Κέντρον. *Vict.*

438. ὦ Κέκροψ : Ὁ Φιλοκλέων ἑλκόμενος ὑπὸ τῶν οἰκετῶν, τὸν οἰκιστὴν τῆς πόλεως ἐπικαλεῖται. εἰσὶ δὲ οἵ φασι τὸν Κέκροπα διφυᾶ γεγονέναι, καὶ τὰ κάτω ὄφεως ἐσχηκέναι. καὶ διὰ τοῦτο πρὸς τὸ ὄνομα κεχαριέντισται.

439. ἀνδρῶν βαρβάρων : Τῶν οἰκετῶν. *Vict.*

(440). οὓς ἐγὼ 'δίδαξα : Μή ποτε καὶ τοῦτο παροιμιακόν. ἀντὶ δὲ τοῦ εἰπεῖν πέττειν καὶ διαρτίζειν, κλάειν εἶπεν.

ἐς τὴν χοίνικα : Ὅτι εἰς τὴν χοίνικα τέσσαρες μεγάλοι ἄρτοι γίνονται, μικροὶ δὲ ἡ'. δι' ὧν δὲ αὐτοὺς ὑπομιμνήσκει παλαιᾶς εὐεργεσίας, διὰ τούτων αὐτοὺς ἐλέγχει [ὡς μαστιγίας καὶ ἀνδραποδώδεις. οὐ γὰρ μόνον τὸ μέτρον, ἀλλὰ καὶ τὰς πέδας σημαίνει τὸ ὄνομα].

442. τούτω : Δυϊκῶς τὸ τούτω, ἵν' ᾖ ἐπὶ τῶν οἰκετῶν. *Vict.*

443. ἀντὶ τοῦ χειροῦνται. R.

444. (κἀξωμίδων : Ἱμάτια δουλικὰ καὶ ἑτερομάσχαλα.)

445. καὶ κυνᾶς : Ταῖς κυνείαις περικεφαλαίαις πρὸς τὸν ὄμβρον ἐχρῶντο. καὶ ἐν ταῖς Νεφέλαις [268] ὁ Πρεσβύτης τὸν ὄμβρον φοβούμενος

τὸ δὲ μὴ κυνῆν οἴκοθεν ἐλθεῖν ἐμὲ τὸν κακοδαίμον' ἔχοντα.

446. (ὥστε μὴ ῥιγῶν : Ἀντὶ τοῦ ῥιγοῦν. Δώριον δὲ τοῦτο κατακρατῆσαν παρὰ Ἀττικοῖς.)

449. (τοὺς βότρυς κλέπτοντα : Ὡς παλαιῶν ἀναμνήσκων αὐτὸν εὐεργεσιῶν, παρὰ τὴν ὑπόνοιαν αἰκίαν εἰς αὐτὸν γινομένην λέγει, δεικνὺς καὶ ἐν τούτῳ τὸ σκληρὸν αὐτοῦ.)

453. (ἀλλὰ τούτων μέν : Ἀντὶ τοῦ ὑπὲρ τούτων. ἢ δυϊκῶς χωρὶς τοῦ ν ἀντὶ τοῦ οὗτοι.)

455. (κάρδαμα : Ἀντὶ τοῦ ὁριμύτατα. τοιαῦτα γὰρ τὰ κάρδαμα. τῦφε δὲ καίων δίωκε. ὁ γὰρ καπνὸς διώκει τὰς μελίσσας καὶ τοὺς σφῆκας.)

488. σοῦσθε : (Ὁρμᾶσθε, πορεύεσθε.) — τοὺς σφῆκας ἀπελαύνουσι σοῦσθε λέγοντες. R.

459. (καὶ σὺ προσθεὶς Αἰσχίνην : Ἀντὶ τοῦ καπνὸν εἰπεῖν ἢ πῦρ, Αἰσχίνην εἶπεν, ἐπεὶ Καπνὸς ἐκαλεῖτο. Ἄλλως. παίζει παρὰ τὸν Σέλλου Αἰσχίνην, καπνώδη διὰ τὴν ἀλαζονείαν. ἀντὶ δὲ τοῦ εἰπεῖν Σέλλου, ἔπαιξεν ἐπεκτείνας Σελαρτίου, ἵνα πάλιν ὡς καπνὸν κωμῳδήσῃ καὶ ψευδόπλουτον, παρὰ τὸ σέλας. ὁ γὰρ καπνὸς τοῦ σέλαος γέννημα.) — ἐπειδὴ οἱ σφῆκες φοβοῦνται τὸν καπνόν. V.

462. τῶν μελέων Φιλοκλέους βεβρωκότες : Ὡς αὐστηροῦ κατὰ τὴν μελοποιίαν ὄντος. R. (ὡς τοῦ Φιλοκλέους ἀγρίου ὄντος ἐν τῇ μελοποιίᾳ. ὁ Σοφοκλῆς γὰρ ἡδύς· διὸ καὶ μέλιττα ἐκαλεῖτο. ἔπαιξεν οὖν, ὡσεὶ εἶπεν· εἴπερ τὴν πικρίαν αὐτοῦ καὶ τὴν σκληρότητα εἶχον, οὐκ ἂν αὐτοὺς ῥᾳδίως διέφυγες, ὡς τοῦ Φιλοκλέωνος ὄντος σκληροῦ σφόδρα καὶ τραχυτάτου.)

463. (οὐκ αὐτὰ δῆλα : Οὐκ αὐτὴ, φησὶν, ἡ τυραννὶς ἐπιδήλως κατὰ τοῦ δήμου ἐστὶ καὶ καθ' ἡμῶν.)

465. ὑπιοῦσα : Ὑπειserχομένη ἡ τυραννίς. *Vict.*

466. (πονωπόνηρε : Ὦ ἀσκήσει καὶ μελέτῃ πεπονημένε τῆς τυραννίδος. τὸ δὲ Κομηταμυνία συνέθηκεν παρὰ τὸ κομᾶν, ὅπερ ἐστὶ φρονεῖν μέγα· ἐκ δὲ τούτου δηλοῖ τὸ λακωνίζειν, παρόσον μέγα ἐφρόνουν οἱ Λάκωνες εἰς ἀνδρίαν· καὶ παρὰ τὸν Ἀμυνίαν, ὃς διεβάλλετο ὡς μισόδημος. ἀμφότερα οὖν τὰ τῆς συνθέσεως εἰς οὐδὲν τείνει. ἢ ὡς ἐναντίον ὄντα τῆς πόλεως καὶ τύραννον.)

ὡς πονηρὸν ὄντα τὸν Ἀμυνίαν καὶ κομῶντα. R.

467. τοῦ δικάζειν. V.

469. (λόγον εὐτράπελον : Ἀπολογίαν πιθανὴν καὶ εὖ τετραμμένην.)

470. (αὐτὸς ἄρχων : Προκατάρχων τῆς τυραννίδος μόνος. κατοξείας δὲ σφοδρᾶς καὶ ὀξείας.)

471. κατὄξείας : Τῆς σφοδρᾶς καὶ τῆς ὀξείας. *Vict.*

475. (καὶ ξυνὼν Βρασίδᾳ : Ἀντὶ τοῦ λακωνίζων. ὅτι οἱ λακωνίζοντες τοιαῦτα ἐπετήδευον, ὥστε μακρὰ τὰ κράσπεδα φορεῖν, ὅ ἐστι τοὺς κροσσούς. φαίνεται οὖν τὸ λεγόμενον εἶναι ὡς λακωνίζων. καὶ Βρασίδας γὰρ στρατηγὸς Λακεδαιμονίων. ἐκ στεμμάτων δὲ ἀντὶ τοῦ ἐξ ἐρίων. οὐχ ἱμάτια δὲ, ἀλλὰ κράσπεδα στεμμάτων. τοιαῦτα γὰρ φοροῦσιν οἱ Λάκωνες.) — ὅτι ἀρχαῖοι στέφανοι κατὰ τὸ ὄπισθεν μέρος κράσπεδα εἶχον. R.

478. ἐκστῆναι τὸ παράπαν τοῦ πατρός : Ἀντὶ τοῦ μὴ ἔχειν τὸν πατέρα. *V. Vict.*

479. (ναυμαχεῖν : Δέον εἰπεῖν μάχεσθαι.)

480. οὐδὲ μέν γ' οὐδ' ἐν σελίνῳ : (Παροιμία ἐπὶ τῶν μηδὲ κατὰ τοὐλάχιστον διηνυκότων οἷς ἐπέθεντο. μετενήνεκται δὲ ἀπὸ τῶν κήπων. ἐν γὰρ τοῖς λεγομένοις περικήποις τὰ σέλινα καὶ πήγανα κατεφύτευον. βούλεται οὖν λέγειν, οὔπω οὐδὲ ἀρχὴν ἔχεις τοῦ πράγματος, καθάπερ οἱ ἐν τοῖς κήποις εἰσιόντες ἐν τοῖς σελίνοις εἰσίν. Ἄλλως. ἀντὶ τοῦ ἐν γυμνικῷ ἀγῶνι, ἤγουν οὐκ ἐν παιδιᾷ·) παρόσον τὰ βρέφη γεννηθέντα εὐθὺς ἐν σελίνοις ἐτίθεσαν. (τὸ δὲ πήγανον εἶπεν, ἐπειδὴ καὶ σέλινον προέταξεν. ὅθεν καὶ ἡ παροιμία « οὐδ' ἐν σελίνοις εἰσί. » φησὶν οὖν ὅτι οὔπω σοι οὐδὲ ἀρχὴ γέγονε τῶν παρ' ἡμῶν ἐσομένων.)

481. τῶν τριχοινίκων ἐπῶν : Ἀντὶ τοῦ τῶν εὐτελῶν. (τὰ τοιαῦτα παρὰ τὰς φωνὰς παίζει, φορτικοῦ ὄντος ἀγοραίοις, ἐφ' οἷς μάλιστα τῶν ποιητῶν σκώπτουσιν Ἄρχιππον. Ἄλλως. ἀντὶ τοῦ τῶν εὐτελῶν στίχων. τοῦτο δέ φησιν, ἐπεὶ ἐξ εὐτελοῦς παροιμίας ἤρξατο τῆς τῶν κήπων. τριχοινίκων οὖν ἀντὶ τοῦ τριῶν χοινίκων ἀξίων. ξυνήγορος δὲ ῥήτωρ. καταντλῇ δὲ καταχέῃ, κατηγορῇ.)

482. ξυνήγορος : Ὁ ῥήτωρ. *Vict.*

483. (καὶ ξυνωμότας : Ὡς αὐτῶν συνεχῶς λεγόντων ὅτι ταῦτα τυραννίς ἐστι καὶ ξυνωμοσία. οὐδὲν ἄλλο, φησὶ, μεμελέτηται ὑμῖν εἰ μὴ ταῦτα. δέρεσθαι δὲ καὶ δέρειν ἐπὶ τοῦ τύπτεσθαι.)

ξυνωμότας : Πληθυντικὸν ἀντὶ ἑνικοῦ. *Vict.*

486. (ἕως ἄν τί μου : Ἀντὶ τοῦ ἕως ἂν λείψανόν μου ὑπολείπηται.)

ἕως — ἄν τί μου λοιπὸν ᾖ : Ἀντὶ τοῦ ἕως λείψανόν μου ὑπολείπεται. *Vict.*

488. ὅστις ἐπὶ τυραννίδ' ἐστάλης : Ὅστις ἐστάλης ἐπὶ τῷ τυραννῆσαι ἡμῶν. *Vict.*

490. (πεντήκοντ' ἐτῶν : Ἀντὶ τοῦ εἰς πεντηκοστὸν ἔτος καὶ ἐκ πολλοῦ χρόνου οὐκ ἤδειν τοῦτο τὸ ὄνομα τῆς τυραννίδος.)

491. (ἀξιωτέρα : Εὐωνοτέρα καὶ ἐν ἀγορᾷ εἰθισμένη λέγεσθαι. κυλίνδεται δὲ περιφέρεται.)

493. ὀρφῶς : Εἶδος ἰχθύος. τὸ ὀρφὼς καὶ λαγὼς περισπῶσιν Ἀττικοί. R. (ἐν τοῖς πλείστοις ὀρφῶς, ἔν τισι δὲ ὀρφούς. μήποτε δὲ καὶ τὸ ἑνικὸν τοῦ ἰχθύος οὕτως ἔλεγον, ὀρφὼς, ὡς λαγὼς καὶ ταώς. μεμβρὰς δὲ εἶδος ἀφύας.)

496. (ἡδυσμά τι : Πρὸς τὸ γήτειον, ὅτι ἡδυσμά ἐστιν· οὐχ ὡς ἔν τισιν ἀναγραφαῖς τῶν λέξεων, ἀνθερίκῳ τι ὅμοιον. ἐν Ἱππεῦσι δὲ [674] εἴρηται περὶ αὐτοῦ. ἔστι γὰρ εἶδος βοτάνης παρεοικὸς πράσῳ.)

497. (παραβλέψασά φησι : Τῷ ἑτέρῳ ὀφθαλμῷ αὐτόν φησι χαλεπῶς ὑποβλεψαμένη φησὶ, σοῦ ἐστι τοῦτο φαγεῖν, ὡς οὐκ ἄξιον ἡγουμένη τὸν τυχόντα φαγεῖν γήτειον.)

499. (ἢ νομίζεις τὰς Ἀθήνας : Φησὶν ὅτι διὰ σὲ φύουσιν αἱ Ἀθῆναι ἡδύσματα.)

502. (εἰ τὴν Ἱππίου καθίσταμαι : Ἀντὶ τοῦ εἰ καταστῆσαι βούλομαι ἐμαυτῷ τυραννίδα. οὗτος δὲ τύραννος δεινὸς, τοῦ πατρὸς Πεισιστράτου τυραννικώτερος. ὁ δὲ Ἱππίας ἐτυράννησεν, οὐχ ὁ Ἵππαρχος. κοινῶς δὲ πάντες οἱ Πεισιστρατίδαι τύραννοι ἐλέγοντο. παίζει δὲ ἅμα πρὸς τὸ τῆς συνουσίας σχῆμα. Ἄλλως. χαλεπὴ γὰρ ἡ Ἱππίου τυραννὶς ἐδόκει γεγονέναι, πολὺ τῆς τοῦ πατρὸς Πεισιστράτου χείρων. μνημονεύει δὲ αὐτοῦ καὶ ἐν Λυσιστράτῃ [619]. εἰκότως δὲ τεσσάρων ὄντων κατ' ἐνίους τῶν Πεισιστρατιδῶν, τὸν Ἱππίαν παρέλαβεν. πρεσβύτατος γὰρ ἦν αὐτὸς καὶ τὴν τυραννίδα εἶχε, καθὰ καὶ

Θουκυδίδης [1, 20; 6, 54] φησί. δοκεῖ δὲ ἡ τυραννὶς καταστῆναι, ὥς φησιν Ἐρατοσθένης, ἐπὶ ἔτη ν', τοῦ ἀκριβοῦς διαμαρτάνων, Ἀριστοτέλους μὲν τεσσαράκοντα καὶ ἓν φήσαντος, Ἡροδότου δὲ [5, 65] ἓξ καὶ τριάκοντα. κελητίζειν δὲ κυρίως τὸ κέλητα ἐλαύνειν. Ὅμηρος [Il. Ο, 679)

ὡς δ' ὅτ' ἀνὴρ ἵπποισι κελητίζειν εὖ εἰδώς.)

505. ὀρθροφοιτοσύκοφα.. : (Παρὰ τὸ ὀρθρεύειν καὶ φοιτᾶν καὶ συκοφαντεῖν καὶ ἐν δίκαις ταλαιπωρεῖν.) ὑφ' ἓν ὅλον. R.

506. (ζῆν βίον γενναῖον : Πρὸς τοὺς ἀψευδεῖς ποιήσαντάς τι τὸν Μόρυχον τῶν πολιτικῶν πεπoίηκε πραγμάτων, ἀγνοήσαντας ὅτι τρυφερὸς καὶ ἡδύβιος κωμῳδεῖται. ἢ καὶ νῦν ἐν εἰρωνείᾳ. αἰτίαν δὲ μέμψιν καὶ ἔγκλημα.) — εὐγενῆ καὶ τρυφηλόν φασι τὸν Μόρυχον. V. Μόρυχος εἰς ὀψοφαγίαν καὶ ἡδυπάθειαν ἐκωμῳδεῖτο. ἐν Εἰρήνῃ [1008] φησίν. R.

507. (ταῦτα ὁρᾶν : Τὸ ἑξῆς, ἀπαλλαχθέντα τούτων πάντων ταῦτα ὁρᾶν.)

508. (ὀρνίθων γάλα : Παροιμία ἐπὶ τῶν λίαν εὐδαιμονούντων καὶ πάντα κεκτημένων, ὡς καὶ ἐκ τῶν ἀδυνάτων πόρους κομίζεσθαι. ἀδύνατον γὰρ ἐξ ὀρνίθων γάλα ποτὲ λαβεῖν. οἱ δὲ εὐδαιμονοῦντες καὶ τοῦτο, εἰ βουληθεῖεν, πορίσαιντο. βατὶς δὲ εἶδος ἰχθύος. καὶ βατιοσκόποι οἱ ὀψοφάγοι.)

ὀρνίθων γάλα : Οὕτως ἐπὶ τῶν σπανίων ἔλεγον. *Vict.*

510. βατίσιν : Εἶδός ἐστιν ἰχθύων. Vict.

511. (πεπνιγμένον : Δέον εἰπεῖν ἡψημένον, φησὶ πεπνιγμένον. ἀπὸ τοῦ συμβαίνοντος ὑπὸ τῶν δικαστῶν τοῖς δικαζομένοις.)

515. (καταγελώμενος μὲν οὖν : Αἰσθάνῃ καταγελώμενος ὑπ' ἀνδρῶν, οὓς οὐχὶ μόνον τιμᾷς καὶ σέβεις ὡς βελτίους, ἀλλὰ καὶ ὡς δεσπόταις ὑποτάττῃ. λέγει δὲ τοὺς δημαγωγούς, ὧν προστάξει δικάζουσιν, ὑφ' ὧν καὶ τὸν μισθὸν λαμβάνουσιν.) — οὐκ αἰσθάνῃ. περὶ τῶν δημαγωγῶν λέγει ὅτι ὀλίγον τι τῷ λεπτῷ ὄχλῳ μισθοδοτοῦντες τὰ μέγιστα αὐτοὶ ἐκέρδαναν. R.

517. (ἀλλὰ δουλεύων λέληθας : Ὅτι πρὸς τὰς ὑποσχέσεις τῶν δημαγωγῶν ἐδίκαζον καὶ ὑπηρέται ἦσαν αὐτῶν πρὸς τὸ ἐκείνων βούλημα δικάζοντες.)

520. καρπουμένῳ τὴν Ἑλλάδα : (Τοὺς φόρους γὰρ ἐλάμβανον οἱ Ἀθηναῖοι. ὁ δὲ λόγος·) τί σοι ἐκ τούτου Ἀθηναίῳ ὄντι πλέον γίνεται τὸ δικαστικὸν μόνον λαμβάνοντι; (οἱ γὰρ δημαγωγοὶ πάντα λαμβάνουσιν.)

521. τοῖς θεαταῖς (τῷ θεράποντι G.) δικάσαι καὶ ἐγὼ βούλομαι (ἐβουλόμην G.) V. G.

522. (ἄφετε νῦν ἅπαντες : Πρὸς τοὺς σφῆκάς φησιν ὅτι ἄφετε αὐτόν. ἢ πρὸς τοὺς οἰκέτας τοὺς κατέχοντας τὸν Φιλοκλέωνα.)

524. τῇ διαίτῃ : Τῇ κρίσει. *Vict.*

525. (μηδέποτε πίοιμ' : Δέον εἰπεῖν, ἄκρατον ἀγαθοῦ δαίμονος, τὸν μισθὸν εἶπεν, ὑπεμφαίνων τὸ φιλόδικον.

ἀγαθοῦ δαίμονος : Καὶ ἐν Εἰρήνῃ [300] « νῦν γὰρ ἡμῖν πάρεστιν ἁρπάσαι ἀγαθοῦ δαίμονος. » ἔθος δὲ ἦν, ὁπότε μέλλοι ἡ τράπεζα αἴρεσθαι, ἀγαθοῦ δαίμονος ἐπιρροφεῖν, ὡς Θεόπομπός φησιν. ὁ δὲ Ἀπολλόδωρος καὶ ὅτι τὸ ποτήριον μεστὸν πάλιν ἀπεπλήρουν, δεδήλωκεν ἐν τῇ δ' τῶν περὶ Σώφρονος.)

526. (ἐκ θημετέρου : Ἐκ τοῦ ἡμετέρου. τοῦτο δὲ πρὸς τὸν Φιλοκλέα, τὸν ἐκ τῆς αὐτῆς ἡμῖν παλαίστρας.)

527. ὅπως : τὸ πλῆρες τοῦ λόγου φανήσῃ καινόν τι λέγων. R.

528. ὅπως φανήσῃ : Λείπει γενναῖος, ἐγκρατής. *V. Vict.*

529. (ἐνεγκάτω μοι : Ὁ παῖς τοῦτό φησιν, ὡς ἐν τῇ κίστῃ γραμματείου τινὸς ὄντος, ὅπου τὰ κεφάλαια τῶν ὑπὸ τοῦ πατρὸς λεγομένων ἀνεγέγραπτο. ἵνα, φησὶ, λαβὼν χάρτην, ἀναγράψαιμι τῶν λεγομένων τὰ κεφάλαια.)

530. τὰ περὶ τοῦ δεῖν ἐκ παντὸς δικάζειν. R.

531. μὴ οὕτω λέγειν ὡς ὁ νεανίσκος. R.

(μὴ κατὰ τὸν νεανίαν : Τινὲς τοῦτο πρὸς τὰ ἄνω, ὅπως φανήσῃ μὴ κατὰ τόνδε λέγειν, ἀλλὰ δηλονότι πραγματικώτερον αὐτοῦ καὶ βέλτιον.)

538. μνημόσυνα : (Εἰς τὸ μνημονεῦσαι ἀπογράψομαι.) — τὰ κεφάλαια τῶν ὑπὸ τοῦ πατρὸς λεγομένων. R.

539. τὸ τέλειον φατέ, ἐὰν ἥττηθῶ. V.

540. τὸ σύστημα. V.

541. (οὐδ' ἀκαρῆ : Οὐδὲ βραχύ. οὐδὲ τὸ τυχόν.)

542. ὅτι τῷ σκώπτειν ὁμοίως ἡμῖν κέχρηται. οὐδὲν δὲ ἀναγκαῖον· δύναται γὰρ ἀντὶ τοῦ γέλωτα παρέχοντες. V.

544. (θαλλοφόροι : Ἐν τοῖς ὑπομνήμασιν οὕτω γέγραπται. θαλλοφόροι, ἀντὶ τοῦ ἐργάται. [Od. P, 224 :] « θαλλόν τ' ἐρίφοισι φορῆναι. » οἱ γέροντες γὰρ τὰ τοιαῦτα ἐν ἀγρῷ οἰκονομοῦσιν. εὐχερεῖς δέ εἰσι περὶ ὧν μηδὲν ἔσχον εἰπεῖν σαφὲς ἀποσχεδιάζοντες. θαλλοφόρους γὰρ ἔφη, βουλόμενος τοὺς γέροντας δηλῶσαι, ἐπειδὴ ἐν τοῖς Παναθηναίοις οἱ γέροντες θαλλοὺς ἔχοντες ἐπόμπευον. ὡς οὖν εἰς οὐδὲν ὄντων χρησίμων αὐτῶν ἔξω τοῦ θαλλοφορεῖν, οὕτως αὐτοὺς ἐπέσκωψεν. ὁ μέντοι Δικαίαρχος ἐν τῷ Παναθηναϊκῷ οὐκ οἶδα ἐξ ὅτου ποτὲ καὶ τὰς γραῦς ἐν τοῖς Παναθηναίοις ὑπείληφε θαλλοφορεῖν, πολλῶν ἀλλήλοις ὁμολογούντων περὶ τοῦ μόνους τοὺς πρεσβύτας θαλλοφορεῖν, Ξενοφῶντος μὲν ἐν τῷ Συμποσίῳ [4, 17], Φιλοχόρου δὲ ἐν τῇ δευτέρᾳ, ὅς γε καὶ τὸν καταδόντα τὸ ἔθος Ἐριχθόνιον συνίστησι. μνημονεύει τοῦ ἔθους Κρατῖνος μὲν ἐν Δηλιάσι, Φερεκράτης δὲ ἐν Ἐπιλήσμοσιν.

ἀντωμοσιῶν : Τῶν δικῶν. ἀντωμοσίαι δὲ ἐκαλοῦντο, ὅταν ὁ ἐγκαλούμενος περὶ κλοπῆς ἐν τῷ δικαστηρίῳ ὀμωμόκῃ πρὸ δίκης, καὶ ὁ ἐνάγων δὲ αὐτὸν ἀντομωμόκῃ αὐτὸν εἶναι τὸν λῃστήν. καὶ οὗτοι λοιπὸν μάρτυρες ἐκαλοῦντο.) — τὸ ἔγκλημα ἔλεγον ἀντωμοσίαν διὰ τὸ ἀντομνύναι τοὺς ἀδικοῦντας. R.

545. κελύφη : (Ἀντὶ τοῦ καλύμματα δικῶν, ἢ τῶν

ἐγκλημάτων. κελύφη δὲ τὰ τῶν ᾠῶν καλύμματα. ὡσεὶ ἔλεγεν ἀποβλήματα δικῶν.) — τῶν τραγημάτων λεπύριον, ἢ ὄστρακον. R.

546. (ἀλλ' ὦ : Ὁ χορὸς παραθαρσύνων τὸν Φιλοκλέωνα ταῦτά φησι. — ἀντὶ τοῦ ἀρχῆς. V.)

548. (ἀπὸ βαλβίδων : Ἀπ' ἀρχῆς εὐθέως. ἀπὸ μεταφορᾶς τῶν σταδιοδρομούντων. βαλβὶς γάρ ἐστιν ἡ ἀφετηρία. ἣν δὲ αὕτη γραμμὴ ἐφ' ἧς εἱστήκεσαν, ἕως ἂν ἀποσημανθῇ ὁ δρόμος αὐτοῖς.)

551. (τρυφερώτερον : Τρυφῆς δεόμενον. καλῶς δὲ ἡ προσθήκη τοῦ γέροντος. ἀσθενεῖς γὰρ περὶ τὰς ἡδονὰς οἱ γέροντες.)

552. φράγμασι τοῦ δικαστηρίου. V. τοῖς δικαστικοῖς. Rav.

554. ἐμβάλλει μοι τὴν χεῖρα : Ὃ ποιοῦσι τοῖς δικασταῖς οἱ θωπευτικῶς προσιόντες, ἠρέμα ἐφαπτόμενοι τῆς χειρὸς ἐν τῷ ἀσπάζεσθαι, (διὰ τὸ μέλλειν κρίνεσθαι ἐπὶ δημοσίων κλοπῇ προκαταλαμβάνοντες).

555. (οἰκτροχοοῦντες : Οἰκτρῶς χέοντες. καὶ Ὁμηρος [Od. T, 521]

ἥ τε πολὺ τρωχῶσα χέει πολυηχέα φωνήν.)

557. νῦν τὸ ἀγοράζων ὡς ἡμεῖς λέγει. V.

558. (ὃς ἔμ' οὐδ' ἂν ζῶντ' ᾄδει : Ὅστις οὐδ' ἂν λόγου με ἠξίωσεν, εἰ μὴ εὐηργετήθη ὑπ' ἐμοῦ.)

559. (τουτὶ περί : Ἐν τῷ γραμματείῳ ὁ Βδελυκλέων ἀπογράφεται ὅτι ἀντιβολοῦνται οἱ δικασταὶ, ὡς καὶ ἄνω εἴρηκεν, ἵν' ἔχῃ τοῦτο εἰς κατηγορίαν αὐτῶν. ἀπομορχθεὶς δὲ, ἀποβαλών.)

561. (ἔνδον τούτων ὧν φάσκω : Ἀντὶ τοῦ ἃ ἔξωθεν ἐπαγγέλλομαι ποιεῖν, ἔνδον οὐ ποιῶ. τοιοῦτοι γὰρ οἱ δικασταί· παραχρῆμα μὲν ἐπαγγέλλονται, ὕστερον δὲ ἀρνοῦνται.)

565. (κακὰ πρὸς τοῖς οὖσιν : Ἐν σχήματι εἴρηκε μεταβὰς ἀπὸ τοῦ πληθυντικοῦ εἰς τὸ ἑνικόν. ὁ δὲ νοῦς, ἕως ἂν οὗτοι τὰ κακὰ τὰ ἡμέτερα ἀποφήνωσι τοῖς ἑαυτῶν ἴσα. Ἄλλως. ἀντὶ τοῦ τοσαῦτα λέγουσιν, ἕως ἂν ἀποδείξωσιν ἑαυτοὺς πένητας ὡς ἐγώ.)

566. (Αἰσώπου τι γελοῖον : Αἴσωπος τραγῳδίας ἐγένετο ὑποκριτὴς γελοιώδης. — Αἰσχύλου δὲ ἦν ὑποκριτής. V. — προπερισπωμένως δὲ τὸ γελοῖον.)

568. (εὐθὺς ἀνέλκει : Εἰς τὸ βῆμα. διὰ δὲ τὸν οἶκτον οἱ δικαζόμενοι τοῦτο ἐποίουν, ἵνα κἀνταῦθα ἐλεηθῶσιν.)

570. (ἅμα βληχᾶται : Ποιὰν φωνὴν ἀφίησιν ἐλεεινήν. ἐκ δὲ τῆς ἀσήμου φωνῆς δηλοῖ τὴν βραχεῖαν τῶν παίδων ἡλικίαν.)

571. τῆς εὐθύνης ἀπολῦσαι : Τῆς δίκης παρεκβάλλων. V. *Vict.*

572. (εἰ μὲν χαίρεις ἀρνὸς φωνῇ : Παίζει ταῦτα, ἐπεὶ ἐκεῖνοι οὕτως λέγουσιν· εἰ μὲν ἄρσενά τις ἔχει, εἰς τοὺς ἄρσενας ἀπίτω· εἰ δὲ θήλεα, τὰς θηλείας κατοικτειράτω. λείπει δὲ τὸ ἐλέησον καὶ ἀπόλυσον.)

573. (χοιριδίοις : Ἴσως ὅτι χοῖρος προσαγορεύεται τὸ γυναικεῖον αἰδοῖον.)

574. τὸν κόλλοπ' ἀνεῖμεν : Κόλλοπα τὴν νευράν. τὸ τοῦ ταύρου τραχηλιαῖον. σκληρότατον τοῦτο. θέλει οὖν εἰπεῖν τὸ στερεώτατον τῆς ὀργῆς. R. (Ἀντὶ τοῦ τὴν τάσιν τῆς ὀργῆς, ἢ τὸ στερεώτατον τῆς ὁρμῆς, ἀπὸ τοῦ κατὰ τὸν τένοντα κόλλοπος. ἔστι δὲ δέρμα στερεώτατον. ἢ καὶ παρὰ τὸν τένοντα [τῆς χορδῆς] κάλλοπα τὸν κόλλοπα. Ἄλλως. κόλλοπες λέγονται οἱ πασσαλίσκοι τῆς κιθάρας, εἰς οὓς ἀποδεσμοῦνται αἱ νευραὶ, καὶ τείνονται στρεφομένων. ὀργῆς οὖν κόλλοπα ἀντὶ τοῦ τὴν τάσιν τῆς ὀργῆς.) — ὀργῆς ὀλίγον χαλῶμεν. V.

575. (καταχήνη : Κατάγελως, καταφρόνησις.) — γρ. καὶ πλούτου. R.

577. (καὶ τἀγαθά μοι μέμνησο : Καὶ μέμνησο, φησὶν, εἰπεῖν, ἃ ἔχεις φάσκων ἄρχειν τῆς Ἑλλάδος. ἐπειδὴ ἔλεγεν ὁ Φιλοκλέων ὅτι οἱ δικασταὶ ἄρχουσιν τῆς Ἑλλάδος.)

578. (παίδων τοίνυν δοκιμαζομένων : Πρὸς τὸ ἔθος. Ἀριστοτέλης δέ φησιν ὅτι ψήφῳ οἱ ἐγγραφόμενοι δοκιμάζονται οἱ νεώτεροι μὴ ἐτῶν ιη' εἶεν. ἴσως δ' ἂν περὶ τῶν κρινομένων παίδων εἰς τοὺς γυμνικοὺς ἀγῶνας λέγοι, οὐχ ὡς ἐν δικαστηρίῳ κρινομένων, ἀλλ' ὑπὸ τῶν πρεσβυτέρων. Ἄλλως. τῶν γὰρ παίδων τὴν ἡλικίαν δοκιμάζοντες τὰ αἰδοῖα ἐσκόπουν διὰ τὸ δεῖσθαι αὐτῶν εἰς τὸ χρησιμεύειν ἐν ταῖς λειτουργίαις.)

579. κἂν Οἴαγρος : Ὅτι τραγικὸς ὑποκριτὴς (ὁ Οἴαγρος εἴρηται πρότερον. ὡς θαυμάζων δὲ αὐτόν φησιν, ὅτι κἂν ἐκεῖνος ὁ μέγας καταδικασθῇ. ἐκ τῆς Νιόβης δέ. καὶ γὰρ ὑπεκρίθη τὴν Νιόβην ἡ Σοφοκλέους ἢ Αἰσχύλου. ἐπίχειρα δὲ μισθοὺς, τὰ ἀπὸ τῶν χειρῶν κέρδη.)

(582). ἐν φορβειᾷ : Φορβειαί εἰσι τὰ δέρματα τὰ περὶ τὰ στόματα τῶν αὐλητῶν προσδεσμευόμενα, ὅπως ἂν σύμμετρον τὸ πνεῦμα πεμπόμενον ἡδεῖαν τὴν φωνὴν τοῦ αὐλοῦ ποιήσῃ. ὃ δὲ λέγει, τοῦτό ἐστιν· ἐπὰν νικήσῃ αὐλητὴς, ἀντίδοσιν τούτου προπέμπει ἡμᾶς μετὰ τοῦ αὐλοῦ. ἔθος δὲ ἦν ἐν ταῖς ἐξόδοις τῶν τῆς τραγῳδίας χορικῶν προσώπων προηγεῖσθαι αὐλητὴν, ὥστε αὐλοῦντα προπέμπειν, ὅπερ ἔλαβεν εἰς ἰδιότητα τῶν δικαστῶν ὁ Φιλοκλέων, ὅτι οὕτως περὶ τὸ στόμα εἶχον οἱ δικασταί.

583. (ἐπίκληρον : Ἐπίκληρος λέγεται ἡ νῦν μονοκληρονόμος καλουμένη.)

ὁ πατήρ τινι ἐκδοθῆναι καταλιπὼν τὴν θυγατέρα. V.

585. καὶ τῇ κόγχῃ : (Τοῖς σημείοις.) ὡς κόγχας ἐπιτιθέντων ταῖς σφραγῖσιν, ἀσφαλείας ἕνεκα. (κόγχῃ δὲ τῷ κογχυλίῳ τῷ ἐπικειμένῳ ταῖς σφραγῖσι, διὰ τὸ μὴ ἀφανίζεσθαι τοὺς τύπους αὐτῆς.)

586. ἔδομεν ταύτην : Ἐκδίδομεν αὐτήν φησι, τῷ δωροδοκοῦντι ἡμᾶς.)

587. ἀνυπεύθυνοι : Ἔνοχοι, ὑποκείμενοι. *Vict.*

588. (μακαρίζω : Λείπει ἡ κατά. κατὰ τοῦτό σε, φησι, μακαρίζω, τὸ ἀνεγκλήτως πράττειν.)

589. ἀνακογχυλιάζων : Πρὸς τὴν κογχύλην πέπαιχεν. (λέγουσι δὲ βραχέως τὴν δ' συλλαβὴν τοῦ ἀνακογχυλιάσαι. λέγει δὲ ἀντὶ τοῦ καταλύων.)

590. (ἔτι δ' ἡ βουλὴ χὠ δῆμος : Ἡ βουλὴ καὶ ὁ δῆμος, ὅταν ἀπορήσῃ πράγματος, τοῖς δικασταῖς ἐπιτρέπει.)

(592). Εὔαθλος : Εὔαθλος ῥήτωρ συκοφάντης, οὗ μνημονεύει καὶ ἐν Ἀχαρνεῦσι καὶ ἐν Ὀλκάσιν οὕτως « ἔστι « τις πονηρὸς ἡμῖν τοξότης συνήγορος, ὥσπερ Εὔα« θλος. » μνημονεύει δὲ αὐτοῦ καὶ Πλάτων ἐν Πεισάνδρῳ καὶ Κρατῖνος ἐν Θρᾴτταις. κολακώνυμον δὲ εἶπε τὸν Κλεώνυμον. εἴρηται δὲ ὅτι κόλαξ [καὶ ῥίψασπις]. τὸ δὲ οὐχὶ προδώσειν ἡμᾶς, ἐπεὶ λέγουσι τὰ τοιαῦτα οἱ ῥήτορες, ὡς ὑπὲρ ἡμῶν ἀγωνίζομαι καὶ οὐχὶ προδώσω τὴν πόλιν.

594. (κἀν τῷ δήμῳ γνώμην : Ὅτι ὁ δημηγορῶν ἐν τῷ δήμῳ, φησίν, οὐκ ἰσχύει τῆς νίκης τὴν ψῆφον, ἄνευ τῆς κρίσεως τῶν δικαστῶν, εἰ μὴ πρότερον πρὸς μίαν δίκην δικάσαντες οἱ δικασταὶ παρεῖεν καὶ ἐπιτρέψειεν. κἂν μὴ εἴπῃ τὰ δικαστήρια : Οἷον μηκέτι ἔχειν τὴν ἐξουσίαν ἀδικον ποιῆσαι, ἀλλ' ἅπαξ κριθῆναι ὑπὲρ τούτων, καὶ μὴ γενέσθαι ὑπερβόλιμόν τινι ποιήσασθαι ἐπὶ τῶν γνωμῶν καὶ τῶν ψηφισμάτων, ἀλλὰ τὸ ἅπαξ κριθὲν κύριον εἶναι.)

596. (αὐτός : Κατ' ἐξοχὴν τὸ αὐτός. κεκραξιδάμας δὲ ὁ τῇ βοῇ δαμάζων.)

599. (Εὐφημίου : Ὅτι Εὐφήμιος τῶν ἄγαν ἐπὶ κολακείᾳ διαβαλλομένων ἐστὶν, ᾧ παρείκασε τὸν Θέωρον διὰ κολακείαν τὰ ὑποδήματα τῶν δικαστῶν ἀποψῶντα καὶ ἀλείφοντα. μετῆκται δὲ ἀπὸ τῶν ἀγγείων. κυρίως γὰρ περικωνῆσαί ἐστι τὸ πισσῶσαι τὰ κεράμια.

600. περικωνεῖ : Κύκλῳ περιψᾷ. *Vict.*

603. ἔμπλησο : Κορέσθητι. *Vict.*

604. πρωκτὸς λουτροῦ : ἐπὶ τῶν βιαζομένων εἰς κακὸν αὐτοῖς. καὶ παροιμία ἐπὶ τῶν μὴ δυναμένων νίψασθαι τῆς κοιλίας φερομένης συνεχῶς. R. (παροιμιακὸν τοῦτο ἐπὶ τῶν ἐπὶ κακῷ τῷ ἑαυτῶν νικώντων. ἢ ἐπὶ τῶν ἀεὶ μολυνομένων καὶ βιαζομένων καθαίρεσθαι. ὁ γὰρ πρωκτὸς πλυνόμενος περιγίνεται τῆς καθάρσεως, καὶ ἔτι μολύνεται καὶ μᾶλλον ἐν τῇ ῥύσει τῆς γαστρός. εἴρηται δὲ ἀπὸ τῶν τὴν γαστέρα φερομένην ἐχόντων καὶ ἐν τῷ ἀπολούεσθαι νικωμένων τῇ φορᾷ. Ἄλλως. Εὐφρόνιος μὲν, ὡς τῆς εἰκόνος αὐτοῦ ματαίας οὔσης, ὅτι ματαίων ἐπιθυμεῖς. καὶ γὰρ τὸ μέρος ἐκεῖνο πλυνόμενον ἔτι μολύνεται. Καλλίστρατος δέ φησι· παροιμία, πρωκτὸς λουτροῦ περιγίνῃ, ἐπὶ τῶν βιαζομένων εἰς κακὸν ἑαυτούς. ὡς εἴ τις βιάζοιτο μὴ ἀποπλύνεσθαι.)

606. (ὅταν οἰκαδ' ἴω : Ὅτι παλαιὰ ἡ διὰ γυναικῶν τημελία, καὶ οὕτως ἐτημέλουν τοὺς πατέρας καὶ γέροντας, ὥστε μετὰ τὸ νίψαι ἀλείφειν τοὺς πόδας. Εὐφρόνιος δὲ καὶ τοὺς παρ' Ὁμήρῳ λιπαροὺς πόδας οὕτως ἀποδιδόναι τινάς φησι.)

εἰσήκονθ' : Προσιόντα. *Vict.*

609. (ἐκκαλαμᾶται : Ἀποσπᾷ, ἀπὸ τῶν διὰ καλάμου τοὺς ἰχθύας ἀγρευόντων.)

παππάζουσ' : Παππίαν καλοῦσα. *Vict.*

610. (φυστὴν μᾶζαν : Φυστὴ μᾶζα ἡ ἐξ ἀλφίτων καὶ οἴνου. ὀξυτόνως δὲ, ὥς φησιν Ἡρωδιανός.)

612. ἔντραγε : Ἐντρύφησον. *Vict.*

613. παραθήσει — καταρασάμενος : Τὸ ἐπαχθὲς τῶν οἰκετῶν σημαίνει. τονθορύσας : Γογγύσας. ἔστι δὲ ποιὰ φωνή. *Vict.* ἀριστοποιήσῃ. V.

615. τάδε κέκτημαι : Τὰ ἐκ τοῦ δικαστηρίου χρήματα. σκευὴν δὲ ἀντὶ τοῦ πανοπλίαν. βελέων δὲ ἀλεωρὴν σκέπην.

616. τὸν ὄνον : (Εἶδος ἀγγείου. ἴσως δὲ διὰ τὸ διάπλασμα ἔχειν ὄνου μορφήν.) — τινὲς τὸν οἶνον, ἀντὶ τοῦ οἰνηρὸν ἀγγεῖον. R.

617. οὗτος δέ : (Ὁ ὄνος. ἔπαιξε δὲ ὡς πρὸς τὸ ζῷον. βρωμᾶσθαι δέ ἐστι τὸ πεινῶντα τὸν ὄνον ὀγκᾶσθαι. δῖνος δέ ἐστιν ἀγγεῖόν τι κεράμειον οἴνου οἷον πρόχυμα, βάσιν οὐκ ἔχον, ἀλλὰ κάτωθεν ὑπότροχον.) στράτιον δὲ τὸ εἰς πολλοὺς ⟦τῶν στρατευομένων⟧ διῆκον. (ἐχρῶντο γὰρ καὶ κήρυξιν ἐν τοῖς στρατεύμασιν.)

κλίνας : Ἀνακλιθείς. *Vict.*

621. (ἅπερ ὁ Ζεύς : Ἃ τῷ Διὶ εἰώθασι λέγειν.)

626. (κἂν ἀστράψω : Φόβον κατ' ἀρχὴν δείξω. ποππύζουσιν : Ἔθος γὰρ ταῖς ἀστραπαῖς ποππύζειν. παρὰ δὲ τὰ εἰωθότα λέγεσθαι ὑπὸ τῶν ἀνθρώπων ἐπὶ τοῦ ὑπερβάλλοντος φόβου λέγει, ὅτε βρονταὶ καὶ ἀστραπαὶ γίνονται, παίζων.)

631. ἀντὶ τοῦ καλῶς. V.

634. ἀλλ' ἐρήμας : Παροιμία, (οὐκ ἐρήμας τρυγήσεις,) ἐπὶ τῶν ἀδεῶς τι πραττόντων, ὡς μηδενὸς αὐτοῖς ἀντιπράττοντος, ἐρήμας τρυγήσειν. (ἔστι δὲ ἀπὸ τῶν τὰς ἀμπέλους τηρούντων ἀφροντίστως.)

635. (καλῶς γὰρ ᾄδειν : Ἐν εἰρωνείᾳ. τοὐναντίον γὰρ παραδηλοῖ, πειθόμενος οὕτως πιθανώτατα ἔμελλον ἐρεῖν.

ταύτῃ κράτιστος : Τῷ αὐτῷ τρόπῳ ἐν τῷ δημηγορεῖν. ἤτοι ταύτῃ τῇ γνώμῃ, ὅτι τοῦ δικάζειν βέλτιόν ἐστι τὸ ἔνδον καθέζεσθαι. ἢ ἀπὸ μεταφορᾶς τῶν πυκτῶν τῶν κατὰ τὴν ἑτέραν χεῖρα τὴν δύναμιν ἐχόντων.)

636. (ὡς δὲ πάντ' ἐπελήλυθεν : Θαυμάζει ὁ χορὸς τοῦ Φιλοκλέωνος τὴν κατάστασιν.)

639. (δικάζειν : Δέον εἰπεῖν οἰκεῖν, δικάζειν δὲ ἔφασαν ὡς φιλόδικοι.)

δικάζειν : Ἀντὶ τοῦ εἰπεῖν, οἰκεῖν. *Vict.*

642. σκορδινᾶται : Σκορδινᾶσθαι ἐστὶν ὃ ποιοῦσιν οἱ ἐξ ὕπνου ἀνιστάμενοι, (καὶ μετὰ χάσμης τὰ μέλη ἐκτείνοντες. φησὶν οὖν ὅτι χασμᾶται καὶ διατείνεται ὑπὸ τῆς ἀθυμίας.) — οὐκ ἔχει ἑαυτόν. V.

643. σκύτη βλέπειν : Ὅ ἐστι πληγάς σοι ἐμβαλῶ. — καὶ τοῦτο φασι παροιμ. ἐπὶ τῶν ἐγγιζόντων κακῶς τινι. R. (παροιμία δὲ ἐλέγετο ἐπὶ τῶν δειλιώντων. Ἄλλως. μέμνηται τῆς παροιμίας Εὔπολις ἐν Χρυσῷ γένει. φησὶ γὰρ

ἀτεχνῶς μὲν οὖν τὸ λεγόμενον, σκύτη βλέπει.

εἴρηται δὲ ἐπὶ τῶν ὑποψιαστικῶς διακειμένων πρὸς τὰ μέλλοντα κακά. πεπάναι δὲ μαλάξαι, ὑποχαλάσαι.)

647. μὴ πρὸς ἐμοῦ λέγοντι : Ἀντὶ τοῦ μὴ ὑπὲρ

ἐμοῦ, μὴ ἀρέσκοντά μοι λέγοντι. (πάντως γὰρ κατὰ τοῦ δικάζειν ἔμελλε λέγειν.)

648. (μύλην ἀγαθήν : Νεοκατασκεύαστον μύλην. καὶ Ὅμηρος δὲ [Od. Υ, 111] θηλυκῶς λέγει « ἣ ῥὰ μύλην στήσασα. »)

649. κατερεῖξαι : Καταθραῦσαι. (ἀφ' οὗ καὶ τὸ ἐρεικτὸν ἀξιοῦσι τινὲς, ἀπὸ μεταφορᾶς τῶν ἐρεικομένων ὀσπρίων. ὅθεν καὶ τὸ [Il. Ν, 441] « ἐρεικόμενος περὶ δουρί. » εἴρηται δ' ἐν τοῖς Βατράχοις [508].

650. (δεινῆς γνώμης : Ἀντὶ τοῦ μείζονος ἢ κατὰ κωμῳδίαν ἐστὶ τὸ ἰᾶσθαι νόσον πεπαλαιωμένην ἐν τῇ πόλει. λέγει δὲ τὸ φιλόδικον. ἐντετοκυῖαν δὲ ἐγγεννηθεῖσαν, ἢ ἐμφωλεύουσαν.)

652. (μὴ πατέριζε : Πατέρα κάλει. ἔμελλε δὲ εἰπεῖν· σοὶ πάντα δυνατά ἐστιν, ὦ Ζεῦ, καὶ διέκοψεν ὁ Φιλοκλέων.)

654. κἂν χρή : (Κἂν ὡς ἀνδροφόνος λογισθῶ καὶ τῶν θυσιῶν μὴ μεταλάβω. πρὸς τὸ ἔθος δὲ,) ὅτι οἱ ἀνδροφόνοι οὐ μεταλαμβάνουσι θυσιῶν.

655. (χαλάσας : Παυσάμενος τῆς ὀργῆς. ἔθος γὰρ τοῖς ὀργιζομένοις αἴρειν τὰς ὀρρῦς.)

656. μὴ ψήφοις : Ὡς πρὸς τὸ φιλόδικον εἶπεν. φαύλως δὲ ἀντὶ τοῦ ἁπλῶς. R. (πολλαχοῦ δῆλον ὅτι ψήφοις ἐλογίζοντο οἱ παλαιοὶ, ἀφ' οὗ τὸ ψηφίζειν. νῦν δὲ καὶ ταῖς δικαστικαῖς ψήφοις, πρὸς ὃ παίζει. τὸ δὲ φαύλως ἀντὶ τοῦ ἁπλῶς, ἀφελῶς. ὡς φιλόδικος δὲ εἶπε ψήφοις.)

658. κἄζω τούτου : Καὶ τὴν ἔζω διδομένην τοῖς δικασταῖς ὀραχμήν. ἑκατοστὰς δὲ τὰς ὑπὸ τοῦ τέλους χορηγουμένας ἀπὸ τῶν πόλεων. — δικασταί λείπει. R.

659. (πρυτανεῖα : Ἃς κατέβαλλον δεκάτας τῶν χρεῶν οἱ δανεισταὶ ὑπὲρ παραστάσεως τῶν χρεωφειλετῶν, ὅπως ἂν ἀπαιτηθῶσιν ἅπερ ἦσαν τέλη. καὶ τὰ ὑπὲρ τῶν μετάλλων τοῦ ἀργυρίου εἰσοδιαζομενά φησι. καὶ τὰ ἀπὸ τῆς ἀγορᾶς καὶ τῶν λιμένων τέλη ὑπομιμνήσκει.

δημιόπρατα : Ἐδήμευον γάρ τινας καὶ τὰς οὐσίας αὐτῶν κοινὰς ἐποίουν.)

660. τάλαντ' ἐγγύς : Τὸ ἐγγὺς ἀντὶ τοῦ ὁμοῦ. τοῖς ἑξακισχιλίοις γάρ φησιν ἑκατὸν πεντήκοντα τάλαντα τοῦ ἐνιαυτοῦ.

662. οὐ γὰρ πλείους κατενάσθησαν τῶν ἑξ. V.

(663). ἑκατὸν δή που καὶ ν' : Εἰς ι' μῆνας λογίζεται τὸν ἐνιαυτὸν, ὡς τῶν β' εἰς ἑορτὰς προχωρούντων. ἑκάστῳ γὰρ τριώβολον τῆς ἡμέρας, [ιε' τοῦ μηνὸς] τάλαντα ἐποίει, ὡς ἐκ τῶν ἓξ῀ῆς δῆλον γίνεται.

666. ἐς τούτους : (Εὖ τὸ μὴ ὡς ἔτυχεν εἰπεῖν τὸ πλῆθος, ἀλλὰ τὴν ἀταξίαν προσονειδίσαι. περιπεφθεὶς δὲ ἀπατηθεὶς, κολακευθείς.) — εἰς τοὺς δημαγωγοὺς καὶ δικαστὰς καὶ λέγοντας τὸ οὐχὶ προδώσω. ἀπατηθεὶς καὶ κολακευθεὶς καὶ θεραπευθείς. R.

669. οἱ ῥήτορες ἢ οἱ στρατηγοὶ ὅτε δωροδοκοῦσι, οὐκ ὀλίγα λαμβάνουσιν, ἀλλὰ ν' τάλαντα, ἀντὶ τοῦ πολλά. V.

672. τοὺς ἀργελόφους : Τὰ περιττὰ καὶ ἄχρηστα. (ἀργέλοφοι γὰρ τῆς μηλωτῆς οἱ πόδες, οὓς ποδεῶνας καλοῦσι, καὶ οὗτοι ἄχρηστοι.)

674. (ἐκ κηθαρίου : Σύρφακα. τὸ ἱκανὸν πλῆθος τῶν δικαστῶν τὸ συρφετῶδες, ἐξ εὐτελῶν τρεφόμενον. κηθάριον γὰρ πλέγμα ἐστὶ κανισκῶδες, ἐπιτιθέμενον τῇ κληρωτρίδι τῶν ψήφων. λαγαριζόμενον δὲ τὰ λάγαρα ἐσθίοντα, ὅ ἐστιν εὔθραυστα καὶ εὐτελῆ τινα. ἢ κηθάρια τὰ ὀξύβαφα, ἐξ ὧν τοὺς κύβους ἠφίεσαν. πλεκτὰ δὲ ἦν ταῦτα. Ἄλλως. ἐκ κηθαρίου : Τὰ ἐκπέταλα τρύβλια, ἃ Εὐφρόνιος κήθια. μικρὸν οὖν ῥοφοῦντα ἐκ τρυβλίου καὶ τρωγαλίζοντα, οἷον κυάμους καὶ ὅσα τοιαῦτα. οὐκ ἔστι δὲ, ἀλλ' ἀγγεῖον πλεκτὸν, εἰς ὃ τὰς ψήφους καθιᾶσι, τὸ κήθιον, οἷον ὡς ἀπὸ τοῦ ψηφηφορεῖν μόνον. καὶ Χαῖρις δὲ τὸ κήθιον τρυβλίου τι εἶδος. καὶ τὸ λαγαρίζειν, τὸ ἀποτρώγοντα θηλάζειν. μήποτε μέντοι καὶ πρὸς τὴν τῶν κύβων παιδιὰν ὁμοίως ἐχρῶντό τινι βάλλοντες ἐξ αὐτοῦ. καὶ γὰρ Ἑρμιππος ἐν Θεοῖς

καὶ πρὸς κύβους ἔστηκ' ἔχων τὸ κήθιον.

τὸ δὲ λαγαρίζεσθαι ἕτερόν τι ἔοικεν ἐμφαίνειν. Φερεκράτης Μυρμηκανθρώποις. — ἀντὶ τοῦ σιδαλεύειν ἆρα ποθ' ὑμεῖς καὶ τῆς ὀροφῆς τὸν χοῦν κατὰ τῆς κεφαλῆς καταμήσονται λαγαριζόμενοι. V. — ἴσως ἂν οὖν λέγοι ἤτοι ἐκ τῶν ἀγγείων τῆς ψήφου ἀποξύοντα τὸν μισθὸν καὶ ἐξ ἄγγους τινὸς πλεκτοῦ, οἷον ὁ κάρταλος, τρωγαλιζόμενον, ὡς ἂν πένητα. λαγαριζόμενον δὲ ἀντὶ τοῦ ἀποξύοντα, ὡς ἀπὸ τῶν δικαστικῶν ἀγγείων. ταῦτα δὲ ὡς περὶ πενήτων.)

675. Κόννου ψῆφον : Κόννος κιθαρῳδὸς ἦν νέος. (ἔστι δὲ παροιμία ἐπὶ τῶν μηδὲν ἀξίων. Καλλίστρατος δὲ παροιμίαν φησὶ, Κόννου θρῖον· παρ' ἣν παίζει. Εὐφρόνιος δὲ, ὅτι ἐλέχθη διὰ τὸ ἡδύν τινα τὸν Κόννον εἶναι. οἱ δὲ Κόννον λέγουσι τὸν κιθαριστήν. μήποτε δὲ οὐδὲ ὅλως ἔστι Κόννος, ἀλλὰ Κόννας, ὃν προενεκτέον ὡς Μίδας. Κόννου ψῆφος, οἷον τὸ μηδέν. Ἄλλως. Κόννος, εὐτελής. Κόννος γὰρ τὰ πατρῷα κατέφαγε καὶ πένης ἦν. ψῆφον δὲ εἶπε διὰ τὸ περὶ δικαστοῦ λέγειν.)

676. ὄρχας : Κεράμινα ἀγγεῖα, (ὑποδεκτικὰ ταρίχων, δύο ὦτα ἔχοντα.) — τὸν καρπόν φησι. V.

[δάπιδας : Τὰς ψιλὰς καὶ μὴ μαλλωτὰς δάπιδας λέγουσι. καὶ δάπισι τοῖς τάπησιν. ἐν δέ τισι τῶν ἀντιγράφων δάπισιν εὕρηται ἐν τῷ Πλούτῳ [527] « οὐδ' ἐν δάπισιν ἔσται καταβαρθεῖν. » ἀντὶ τοῦ τάπησιν.]

677. ὅρμους : Περιτραχήλιον κόσμον. *Viet.*

678. πιτυλεύσας : Πίτυλος καλεῖται ἡ καταβολὴ τῆς κώπης. (τοῖς ἐψητοῖσι δὲ, τοῖς ἰχθυδίοις.) — τοῖς μικροῖς ἰχθύοις. V.

680. (ἄγλιθας : Αἱ κεφαλαὶ τῶν σκορόδων. ἐξηγεῖται δὲ τὰς ἄγλιθας. προεῖπε γὰρ

οὐδεὶς οὐδὲ σκορόδου κεφαλὴν τοῖς ἐψητοῖσι δίδωσιν.

ἄηθες δὲ καὶ τὸ μετέπεμψα ἀντὶ τοῦ μετεπεμψάμην. Εὐχαρίδης δὲ ὄνομα σκοροδοπώλου.)

681. οὐ φανεροποιῶν. V.

684. (τοὺς τρεῖς ὀβολούς : Τὸν φόρον λέγει, ἀφ' ὧν ἐδίδοτο τὸ τριώβολον. τοῦτο δὲ ἄλλοτε ἄλλως ἐδίδοτο, τῶν δημαγωγῶν τὰ πλήθη κολακευόντων, ὡς φησιν Ἀριστοτέλης ἐν Πολιτείαις. κατάπυγον δὲ πεπορνευμένον.)

687. (Χαιρέου υἱός : Οἷον οὐδὲ γνήσιος πολίτης. τὸν γὰρ Χαιρέαν Εὔπολις ἐν Βάπταις ὡς ξένον κωμῳδεῖ.) — οὐ λέγει τὸ ὄνομα αὐτοῦ. V.

688. (τρυφερανθείς : Ἀντὶ τοῦ μαλακῶς σταθείς.) τρυφερανθείς : Τρυφερωθείς. *Vict.*

689. τοῦ ὡρισμένου καιροῦ. V.

690. τὸ τριώβολον οὐ κομιεῖται : Ὡς ἔθους ὄντος πρὸς σημεῖόν τι ἐκκείμενον ἀθροίζεσθαι τοὺς δικαστάς. (ἐν ᾗθει δὲ ταῦτα.)

691. (αὐτὸς δὲ φέρει τὸ συνηγορικόν : Ὑπὲρ τοῦ συνηγορῆσαι. ἐλάμβανον γὰρ οἱ ῥήτορες δραχμήν, ὅτε συνηγόρουν ὑπὲρ τῆς πόλεως, ἢ ὑπὲρ ἄλλου τινός. ἐκ τούτου δὲ φαίνεται ὅτι μισθοφόρος ἦν ἡ ἀρχή. κληρωτοὺς δὲ γενομένους δέκα συνηγόρους Ἀριστοτέλης φησίν.)

693. κακουργήσαντε. V.

694. (κᾆθ' ὡς πρίονα : Ὡς οἱ πρίζοντες διαφιλονεικοῦσι, τίς πρὸς ἑαυτὸν ἑλκύσει.) — ἐσπουδακότες. V.

695. (σὺ δὲ χασκάζεις : Ἀντὶ τοῦ ἐπιτηρεῖς, πότε ἔλθῃ ὁ κωλακρέτης καὶ ἐνέγκῃ σοὶ τὸ τριώβολον. κωλακρέτης δὲ καλεῖται ὁ κατέχων τὰ χρήματα τῆς πόλεως, ὁ ταμίας τοῦ δικαστικοῦ μισθοῦ καὶ τῶν εἰς θεοὺς ἀναλωμάτων. νόμος δὲ ἦν τὰ ὑπολειπόμενα τῆς θυσίας τοὺς ἱερέας λαμβάνειν, ἃ εἰσιν οἷον δέρματα καὶ κωλαῖ. ἐπιτηρεῖς, φησὶ, τὸν ταμίαν, πότε τὸν μισθὸν λήψῃ.)

696. τὸν θῖνα ταράττεις : Ἐκ βυθοῦ με κινεῖς. ἀντὶ τοῦ τὴν καρδίαν. Εὐφρόνιος δὲ καὶ σεσημειῶσθαί φησιν ὅτι τὸν θῖνα ἀρσενικῶς ὡς καὶ Ὅμηρος εἴρηκεν, παρόσον καὶ ὁ θὶς ἐν βάθει τοῦ πελάγους κεῖται καὶ τὸ θυμικὸν ἐν τῇ καρδίᾳ.) — θῖνα τὴν καρδίαν ὡς ἄνεμος τὴν ἄμμον. R.

697. (κοὐκ οἶδ' ὅτι χρῆμα : Εἰς τί με διαθήσεις. τοῦτο δέ φησιν ὡς ἤδη ἡττώμενος καὶ δεδοικώς, ὅτι ἐπὶ ξίφους τὰ τῆς δημηγορίας ἦν αὐτῷ.)

699. δημιζόντων : Τῶν τὸν δῆμον ἀπατώντων. (ἐγκεκύκλησαι δὲ μεταβέβλησαι.)

701. (πλὴν τοῦθ' ὃ φέρεις : Τοῦτο ὃ φορεῖς ἱμάτιον. ἐκ γὰρ τοῦ τριωβόλου τρεφόμενοι, καὶ εἰς κατασκευὴν ἱματίου θησαυρίζοντες ὀλίγον, διὰ πολλοῦ χρόνου μόγις συνάγουσι τὴν πλήρη τιμὴν τοῦ ἱματίου. τὸ δὲ ἀκαρῆ ἐπίρρημα ἀντὶ τοῦ βραχὺ καὶ οἰκτρόν.

καὶ τοῦτ' ἐρίῳ σοι : Ἀπὸ μεταφορᾶς τῶν τὰ ὦτα ἀλγούντων, καὶ δι' ἐρίου ἐπιστάζομένων ἔλαιον κατὰ βραχύ.)

702. ὥσπερ ἄλευρον : (Ἢ εἰκὼν) ἀπὸ τῶν σφόδρα ἀρρωστούντων. (οἱ γὰρ κατὰ μικρὸν βουλόμενοι βάλλειν ἐρίῳ ἐνστάζουσι.)

704. (τιθασευτήν : Ἔν σ διὰ τὸ μέτρον. τὸν θεραπεύοντά σε καὶ τρέφοντα καὶ κολακεύοντα.)

ἐπισίζῃ : Αυκόφρων καὶ οἱ περὶ Ἐρατοσθένη τὸ ἐπαφιέναι τὰς κύνας ἐπισίζειν. ἀπὸ τῆς ἐπιφθέγξεως οὖν ἐπισίζειν καὶ τὸ ἐπιρρύξαι ἐφορμῆσαι ὁμοίως τῇ φωνῇ.

707. (πόλεις χίλιαι : Ἀντὶ τοῦ πολλαί. τῷ ἀπηρτισμένῳ ἀριθμῷ ἐχρήσατο. ἢ καὶ ἀπὸ ἱστορίας τὸ τοιοῦτον ἔλαβεν.)

709. (δύο μυριάδες : Ἐκ πολλῶν φαίνεται περὶ τοσοῦτον ἀριθμὸν τὸ Ἀθηναίων πλῆθος προϊστασθαι. καὶ Δημοσθένης γάρ φησιν [p. 785, 24] « εἰσὶ δ' ὁμοῦ δισ« μύριοι πάντες Ἀθηναῖοι. »)

ἐν πᾶσι λαγῴοις : Ἐν κρέασι λαγῶν, ἐν ἀγαθοῖς πᾶσι. (τοῦτο γὰρ δηλοῖ τὸ ἐν πᾶσι λαγῴοις. ἀντὶ τοῦ ἐν τρυφῇ.)

710. καὶ πύῳ καὶ πυριάτῃ : (Πυριάτης τὸ πυρίεφθον ὑπό τινων προσαγορευόμενον, ὃ κατασκευάζουσιν ἐκ τοῦ πρώτου γάλακτος μετὰ τὸν τόκον.

πυὸν δαινύμενοι κἀμπιπλάμενοι πυριάτην.

ὅθεν) τισὶν ἔδοξε πυὸν μὲν εἶναι τὸ πρῶτον γάλα (οὕτωσὶ λαμβανόμενον), πυριάτην δὲ τὸ ἑφθὸν γάλα. (ὁ δὲ Παλαμήδης τὸ αὐτὸ λέγων εἶναι γράφει. ἔθος δὲ τοῖς ποιηταῖς παραλλήλαις λέξεσιν ἰσοδυναμούσαις χρῆσθαι. — πύῳ : Πύον τὸ πρῶτον γάλα, ὃ πήγνυται ἑψόμενον. *Vict.*)

711. (τοῦ 'ν Μαραθῶνι : Ἐκεῖ γὰρ οἱ Ἀθηναῖοι ἐνίκησαν τοὺς Μήδους.)

712. ἐλαιολόγοι : Εὐτελεῖς γὰρ οἱ τὰς ἐλαίας (μισθοῦ) συνάγοντες.

713. νάρκη : Νάρκη, μυρμηκίασις, ὀκνηρία. *Vict.*

714. καὶ τὸ ξίφος οὐ δύναμαι : (Ὥσπερ ὁ Μενέλαος.) τοῦτον γάρ φασιν ὁρμήσαντα ἐπὶ τὴν Ἑλένην ἀποβαλεῖν τὸ ξίφος. ἡ δὲ ἱστορία παρ' Ἰβύκῳ (καὶ Εὐριπίδῃ. παίζει δὲ, ἐπειδὴ ξίφος ᾔτησε, καὶ ὁρᾷ ἑαυτὸν κατακρατηθέντα.)

715. (αὐτοὶ τὴν Εὔβοιαν : Οἱ ῥήτορες τῷ λόγῳ καὶ τὴν Εὔβοιαν διδόασιν. Ἄλλως. τὴν Εὔβοιάν φασιν αὐτοὶ κατανενεμηκέναι ὑμῖν καὶ κλῆρον ἑκάστῳ μεδίμνων ν'. ἐν τοιούτῳ σχήματι εἴρηκεν.)

718. (ξενίας φεύγων : Τοιοῦτόν ἐστι, παρόσον ἐν ταῖς διανομαῖς τῶν πυρῶν ἐξητάζοντο πικρῶς οἵ τε πολῖται καὶ μὴ, ὥστε δοκεῖν ξενίας φεύγειν εἰς κρίσιν καθισταμένους. φησὶν οὖν ὁ Φιλόχορος αὖθις ποτὲ τετρακισχιλίους ἑπτακοσίους ξ' ὀφθῆναι παρεγγράφους, καθάπερ ἐν τῇ προκειμένῃ λέξει δεδήλωται. τὰ περὶ τὴν Εὔβοιαν δύναται καὶ αὐτὰ συνᾴδειν ταῖς διδασκαλίαις. πέρυσι γὰρ ἐπὶ ἄρχοντος Ἰσάρχου ἐστράτευσαν ἐπ' αὐτὴν, ὡς Φιλόχορος. μήποτε δὲ περὶ τῆς ἐξ Αἰγύπτου δωρεᾶς ὁ λόγος, ἣν Φιλόχορός φησι Ψαμμήτιχον πέμψαι τῷ δήμῳ ἐπὶ Λυσιμαχίδου μυριάδας τρεῖς, πλὴν τὰ τοῦ ἀριθμοῦ οὐδαμῶς συμφωνεῖ, ἑκάστῳ δὲ Ἀθηναίων πέντε μεδίμνους. τοὺς γὰρ λαβόντας γενέσθαι μυρίους τετρακισχι-

λίους διακοσίους μ'. Ἄλλως. σιτοδείας ποτὲ γενομένης ἐν τῇ Ἀττικῇ, Ψαμμήτιχος ὁ τῆς Λιβύης βασιλεὺς ἀπέστειλε σῖτον τοῖς Ἀθηναίοις αἰτήσασιν αὐτόν. τῆς δὲ διανομῆς γενομένης τοῦ σίτου ξενηλασίαν ἐποίησαν Ἀθηναῖοι, καὶ ἐν τῷ διακρίνειν τοὺς αὐθιγενεῖς εὗρον καὶ ἑτέρους τετρακισχιλίους ἑπτακοσίους ἑξήκοντα ξένους παρεγγεγραμμένους. τοῦτο οὖν φησι, καὶ ἐν τῷ ἐρευνᾶσθαι μόγις ἔλαβες πέντε μεδίμνους, ἐγκαλούμενος ὡς ξένος, καὶ τούτους οὐδὲ ὑφ' ἓν ἐν συντομίᾳ, ἀλλὰ κατὰ μέρος, κατὰ χοίνικα ἕνα, οὐδὲν διαφέροντος τοῦ σίτου κριθῶν, ὡς κακοῦ σίτου διανεμηθέντος. Εἰς τὸ αὐτό. ὡς λιμοῦ γενομένου καὶ τῶν ξένων διακριθέντων, τουτέστι δοκιμαζομένων, εἰ πολίτης εἴη ἢ μή.)

721. στομφάζοντας : Ἀλαζονευομένους εἰς τὸ στομα. R. ἀλαζονευομένους ἢ ἐπεγγελῶντας. V.

722. ἐκ παντὸς τρόπου. V.

724. (κωλακρέτου : Περιφραστικῶς τὸν δικαστικὸν μισθόν. παρ' ὑπόνοιαν δὲ, δέον εἰπεῖν ζῴου τινός.) — πάντα σοι, φησὶ, δίδωμι πλὴν ἀπὸ δημοσίων τροφῆς. Ven.

725. (πρὶν ἂν ἀμφοῖν : Κατὰ τὸ

μηδὲ δίκην δικάσῃς, πρὶν ἂν ἀμφοῖν μῦθον ἀκούσῃς.

ὑγιῶς δὲ νῦν τὸ ἀμφοῖν κεῖται. τοὺς σκίμπωνας δὲ τὰς βακτηρίας. ἀτενὴς δὲ μανικὸς, διὰ τὸ ἀεὶ ἀτενὲς βλέπειν τοὺς μανίᾳ κατεχομένους. ἀτενῆ τὸν μανικὸν νῦν εἴρηκεν. ἠγριωμένοι γάρ εἰσι καὶ ὕφαιμοι τῶν τοιούτων οἱ ὀφθαλμοί.)

728. συγχορευτὰ, ὅ ἐστι συνεργέ. V.

730. ἀτεράμων : (Οἱονεὶ μὴ τεράμων, ἀλλὰ) σκληρός. (ἔνθεν δὲ) καὶ ἀτέραμνα (ὄσπρια φαμὲν), τὰ μὴ ἑψόμενα διὰ σκληρότητα· παρὰ τὸ [Il. Γ, 142] « τέρεν κατὰ δάκρυ χέουσα » (καὶ Πλάτων [Leg. 9, p. 853, D.] κέχρηται τῇ λέξει, κερασβόλους καὶ ἀτεράμνους λέγων τοὺς σκληροὺς διὰ τούτων « μή τις γένηται τῶν πολιτῶν κερασβόλος, ἢ ἀτέραμνος. » φασὶ γὰρ τὰ κατὰ τῶν κεράτων βληθέντα σπέρματα ἀτέραμνα γίνεσθαι.)

734. (ἐμφανής : Ἴσον τῷ ἐναργὴς, οὐχὶ τῷ φαινόμενος.)

737. ὃν ἅλικα Ῥωμαῖοι καλοῦσιν. V.

738. (σισύραν : Σισύρα καλεῖται παρὰ μέν τισιν ἡ βαίτη. ἔστι δὲ περιβόλαιον ἐκ δερμάτων συνερραμμένων προβατείων ἐχόντων τὰ ἔρια. οἱ δὲ ἀκριβέστεροι φασι χλαῖναν παλαιὰν εἶναι ἁπλοΐδα. τὴν αὐτὴν δὲ καὶ σισύραν καλοῦσι καὶ σισύρναν.

740. ὀσφύν : Τὸν παρὰ πλευρὸν διάκενον τόπον. *Vict.*

743. (νενουθέτηκεν αὐτόν : Ὁ χορὸς ἀναδέχεται τὸ πρόσωπον τοῦ Φιλοκλέωνος. μετέγνω, φησὶν, ἐπὶ τοῖς πεπραγμένοις αὐτῷ πάλαι.)

751. (κείνων ἔραμαι : Ἐξ Ἱππολύτου Εὐριπίδου [230].

κεῖθι : Ἐν τοῖς δικαστηρίοις.)

752. τίς ἀψήφιστος : Ἔνθα ἐν ταῖς δημοσίαις δίκαις εἰς ταυτὸ συναγόμενοι οἱ δικασταὶ, τοῦ κήρυκος τὴν κληρωτρίδα προσφέροντος, ἔβαλον τὰς ψήφους. ἔνιοι δὲ ἔσθ' ὅτε ὑπὸ φιλῃδίας κατεῖχον αὐτάς. Ἄλλως. ἐνίοτε μὲν, φησὶν, ἔφερον στάμνον καὶ ἐνέβαλλον καθήμενοι οἱ δικασταὶ τὰς ψήφους, ἐνίοτε δὲ καὶ αὐτοὶ ἐγειρόμενοι ἔβαλλον. τοῦτο οὖν λέγει, ὁ μὴ ἐψηφοφορηκὼς ἐγερθεὶς βαλλέτω.

757. πάρες ὦ σκιερά : Ἀντὶ τοῦ ὦ ἀσθενής. R. παρὰ τὰ ἐκ Βελλεροφόντου παίζει ταῦτα· « πάρες, (ὦ σκιερὰ « φυλλὰς, ὑπερβῶ κρηναῖα νάπη. τὸν ὑπὲρ κεφαλῆς « αἰθέρ' ἰδέσθαι σπεύδω, τίν' ἔχει στάσιν Εἰνοδία. »)

759. (κλέπτοντα : Ἀπειλεῖ καταδικάσειν τὸν Κλέωνα, εἰ λάβοι αὐτὸν ἐγκαλούμενον περὶ κλοπῆς. τὸ δὲ ὅλον βούλεται διαβάλλειν τὸν δικαστικὸν τρόπον ὡς σκληρὸν καὶ ἄπιστον, ὁπότε οὐδὲ τῷ Κλέωνι, ἀφ' οὗ τὸ ὄνομα ἔχει ὁ Φιλοκλέων, πιστόν τι φυλάττει.)

763. (Ἅδης διακρινεῖ : Ἐν Κρήσσαις Εὐριπίδου ὁ Ἀτρεὺς πρὸς τὴν Ἀερόπην. κρινεῖ ταῦτα.)

764. (κεχάρηκας ποῶν : Ἀπὸ ῥήματος περισπωμένου τοῦ χαιρῶ, οὗ ὁ μέλλων χαιρήσω.)

768. ἡ σκιὶς : (Σκιῖδα τὴν κατ' οἶκον θεράπαιναν λέγουσι. καὶ σεσημειῶσθαι τινὰς ὡς ἀπεκδεχομένων τινῶν τὴν σκιῖδα ὄνομα.) — ἡ διάκονος, ἡ θεράπαινα. οἱ δὲ ὄνομα. R.

769. (ταύτης ἐπιβολήν : Λείπει δραχμήν. ταύτης τῆς δίκης μίαν μόνην δραχμὴν ἐπιβολὴν ψηφιεῖ. ἐπιβολὴν δὲ ἐπιτίμιον ζημίαν, παρὰ τὸ ἐπιβάλλειν.)

ψηφιεῖ : Καταδικάσεις. μίαν μόνην : Λείπει δραχμήν. *Vict.*

771. ἐξέχῃ : Ἀνίσχῃ, ἀνατέλλῃ. *Vict.*

772. (εἵλῃ κατ' ὀρθρον : Ἕλῃ ἡ τοῦ ἡλίου αὐγὴ, δασέως, ληφθέντος δὲ διὰ τοῦ ι, ψιλῶς. — καὶ εἱρκτὸν καὶ ἐπὶ τοῦ ὁδὸν καὶ οὐδόν. V. — γράφεται δὲ καὶ κατ' ὀρθὸν ἐν πολλοῖς. καὶ ἐξηγούμενος Καλλίστρατός φησι, κατὰ τὸ ὀρθῶς ἔχον· οὐχὶ ἐν τῷ δικαστηρίῳ. τὸ δ' ἡλιάσῃ (μήποτε δὲ ψιλῶς προενεκτέον) παρὰ τὴν Ἡλιαίαν, πρὸς ἥλιον δικάσειν. ἅμα δὲ παίζει παρὰ τὴν τοῦ ἡλίου ὀνομασίαν. ψυχρῶς δὲ πέπαιχε, φησὶν ὁ Δίδυμος, πρὸς τοὔνομα. ἐπειδὴ γὰρ εἵλῃ λέγεται ἡ τοῦ ἡλίου αὐγὴ, Ἡλιαία δὲ τὸ δικαστήριον, παίζων ἔφησε πρὸς τὸ φιλόδικον ὅτι ἐπειδὰν ἀνάσχῃ ὁ ἥλιος, ἡλιάζειν ἐνέσται σοι. οὕτως δὲ οἱ Ἀττικοὶ διὰ τοῦ ι εἵλην λέγουσιν. οὕτως Δίδυμος. δικάσεις, φησὶ, πρὸς τὸν ἥλιον καθήμενος. ἔπαιξε δὲ παρὰ τὴν Ἡλιαίαν, τὸ μέγιστον δικαστήριον, ὃ ταύτης τῆς ὀνομασίας ἔτυχε διὰ τὸ ἐν ὑπαίθρῳ αὐτὸ ἀναπεπταμένον βάλλεσθαι τῷ ἡλίῳ.)

774. ὄοντος : Ὑοντος τοῦ θεοῦ καὶ νίφοντος, γνώσῃ καθήμενος πρὸς τὸ πῦρ τὴν δίκην.

(κἂν ἔγρῃ : Κἂν βραδέως ἀπὸ τῆς κοίτης ἀναστῇς, οὐδεὶς ἀποκλείσει σε τοῦ δικαστηρίου, ὡς βραδέως ἥκοντα.)

775. θεσμοθέτης : Ὅτι καὶ θεσμοθέτης παρετύγχανε καὶ ἔβλεπε τὰ δικαστήρια. R. V. (Ἄλλως.

ἐπειδὴ θεσμοθέται καὶ δέκατος ὁ γραμματεὺς κληροῦσι τοὺς δικαστὰς τοὺς τῆς αὐτῆς φυλῆς ἕκαστος. Ἄλλως. ἀρχῆς ὄνομα ὧν τοῖς ψηφίσμασιν ἐχειροτονοῦντο οἱ δικασταί. καὶ ἦρχον αὐτῶν οὕτως, ὡς καὶ δύνασθαι ἐκβαλεῖν καὶ μὴ ἐᾶν εἰσιέναι εἰς τὸ δικαστήριον. εἶπε δὲ καὶ ἑκάστη φυλὴ πρὸς ἕνα εἰς τὸ τοὺς νόμους εἰσηγεῖσθαι.)

778. (δάκνων σεαυτόν : Ἐπειδὴ ἐνίοτε ἀπὸ πείνης ὁ δικαστὴς τὸν λέγοντα καταδικάζει.)

779. (πῶς οὖν διαγινώσκειν : Ἐπειδὴ εἶπεν αὐτῷ ὁ Βδελυκλέων, δύνασθαι δικάζοντα ἐπὶ τῆς οἰκίας ἐσθίειν, φησί, πῶς δυνήσομαι ἐσθίων δοκιμάσαι τὰ λεγόμενα;)

783. (ἀναμασώμενοι : Ἀντὶ τοῦ διαλογιζόμενοι. νοούμενον πρὸς τὸ χρειῶδες ἐνταῦθα παρέλαβεν ἐπὶ τοῦ ἐσθίοντος. Ἄλλως. ἐκ μεταφορᾶς τῶν ἀναπεμπαζόντων τὴν τροφὴν ζῴων καὶ αὖθις ἀναμασωμένων τὸ ἀναμασώμενοι εἴρηκεν.)

787. Λυσίστρατος : Σκωπτικός. (καὶ ἐν Ἀχαρνεῦσι [855] « Λυσίστρατός τ' ἐν ἀγορᾷ Χολαργέων ὄνειδος. » ἔστι δὲ καὶ ἕτερος Λυσίστρατος, παῖς Μακαρέως, σκωπτόμενος εἰς κιναιδίαν. Ἄλλως. δυοῖν γὰρ δικασταῖς ἐδίδοτο δραχμὴ μία, καὶ οὕτως ἐμερίζοντο πρὸς τρεῖς ὀβολούς. ὡς τοῦ Λυσιστράτου ἅμα αὐτῷ εἰληφότος δραχμὴν ὑπὲρ τοῦ δικαστικοῦ μισθοῦ, καὶ ἐμπεπιστευμένου κερματίσαι αὐτήν, ὥστε μερίσασθαι, καὶ παρασχόντος αὐτῷ ἀντὶ ἀργυρίου λεπίδας, ἀγαπητῶς ἔχει τὸ μόνος λαμβάνειν τοὺς μισθούς.)

788. (δραχμὴν μετ' ἐμοῦ λαβών : Καθὸ εἰς δύο ἡ δραχμὴ ἐδίδοτο καὶ αὐτοὶ διηροῦντο κερματίζοντες, ἵνα μὴ οἱ κωλακρέται κέρμα εἰσφέρωσιν.)

789. ἐν τοῖς ἰχθύσιν : Ἐν τοῖς ἰχθυοπωλίοις. (ἀπὸ τῶν πωλουμένων τοὺς πωλοῦντας εἶπών. λοπίδας δὲ ἃς ἡμεῖς λεπίδας καλοῦμεν.)

(790). κεστρέων : Κεστρεὺς εἶδός ἐστιν ἰχθύος, [ὁ λεγόμενος κέφαλος,] μεγάλην λεπίδα ἔχον καὶ παχεῖαν, ὡς ὑπόνοιαν αὐτὴν ἔχειν ἀργυρίου.

791. κἀγὼ 'νέκαψα : Ἐνέκαψα, ἐνέθηκα τῷ στόματι, νομίζων εἶναι ἀργύριον. (πολλοῖς γάρ ἐστιν ἔθος ἐν τῷ στόματι φυλάττειν τὸ ἀργύριον.)

(ᾠόμην λαβεῖν : Ὅτι δηλοῖ τὸν λεπτὸν, ὁποῖός τις ἦν. ἦν δὲ ἀργυρᾶ νομίσματα. ὀσφρόμενος δὲ τῆς δυσωδίας αἰσθόμενος.)

794. (ἀλεκτρυόνος μ' ἔφασκεν : Ἐπεὶ πάντα πέττουσιν οἱ ἀλεκτρυόνες θερμοτάτην κοιλίαν ἔχοντες.)

795. (ταχὺ γοῦν καθέψεις : Τοὺς ὀβολοὺς ἀργυροῦς εἴρηκεν, ὡς καὶ ἡμεῖς λέγομεν χαλκοῦς, ἀργύρου ὄντος. ἢ καθότι τρεῖς ὀβολοὶ ὄντες ἀργυροῦν τριώβολον ἐγένοντο.) — ὅτι καὶ ὀβολοὶ ἀργυροῖ ἦσαν. R.

(ἦ δ' ὃς λέγων : Ἀντὶ τοῦ ἔφη. καὶ ἔστιν ἀπὸ τοῦ ἡμί. κέχρηται δὲ αὐτῷ συνεχῶς ὁ Πλάτων ἐπὶ μέλλοντος μόνου· οἱ δὲ κωμικοὶ καὶ ἐπὶ τῶν ἄλλων χρόνων.)

798. (ταῦθ' ἥξω : Τὰ πρὸς τὸ σχῆμα τοῦ δικαστηρίου ἐπιτηδεύει.)

799. ὅρα τὸ χρῆμα : Ταῦτα πρὸς ἑαυτὸν, τοῦ υἱοῦ εἰσελθόντος. οὐκ ἐπ' ἀληθείᾳ δὲ ταῦτά φησιν, ὅτι χρησμὸς ἐδόθη, ἀλλὰ πρὸς τὸ φιλόδικον αὐτῶν παίζει.

τὰ λόγια : Οἱ χρησμοὶ τοῦ Ἀπόλλωνος. V.

804. Ἑκάταιον : (Ἱερὸν Ἑκάτης, ὡς τῶν Ἀθηναίων πανταχοῦ ἱδρυομένων αὐτὴν ὡς ἔφορον πάντων καὶ κουροτρόφον. Ἑκάταιον οὖν Ἑκάτης ἄγαλμα, τὸ Ἑκατήσιον λεγόμενον. τῇ προσῳδίᾳ) Καλλίστρατος ὡς ἐπινίκιον. (ἔν τισι γὰρ εὕρηται Ἑκατεῖον.)

807. (ἀμὶς μέν : Οὐρητρὶς, οὐρηρὸν ἀγγεῖον. οὐρητιάσῃς δὲ οὐρῆσαι βουλήσῃ, ἢ στραγγουρίας περιπέσῃς νοσήματι.)

810. (στραγγουρίας : Φυσικῶς τοῦτο εἶπεν. συμβαίνει γὰρ τοὺς ἐπέχοντας τὰ οὖρα στραγγουριᾶν.)

811. (προσέστηκε φακῇ : Ὥσπερ τὸ συκῇ ἀπὸ συκέα περισπῶσι, καὶ τὸ ἀμυγδαλῇ ἀπὸ τοῦ ἀμυγδαλέα, οὕτω καὶ φακῇ ἀπὸ τοῦ φακέα.)

814. ῥοφήσομαι : Ὡς καὶ φακῆς ῥοφήματος διδομένου τοῖς ἀσθενοῦσιν, (ἔπαιξεν, ἐπεὶ οἱ νοσοῦντες χυλὸν πτισάνης ῥοφοῦσι).

815. (τί τὸν ὄρνιν : Ὡς καὶ ἀλεκτρυόνα ἐξαγαγόντος τοῦ Βδελυκλέωνος.)

817. (ᾄδων : Κυρίως τὸ ᾄδειν ἐπὶ τοῦ ἀλεκτρυόνος, κοκκύζειν δὲ ἐπὶ τοῦ κόκκυγος.)

819. (θηρῶν : Τὸ ἱερὸν τοῦ ἥρωος Λύκου. πάλιν δὲ καὶ τοῦτο ὡς φιλόδικος.)

820. πάρεστι τουτί : Πινάκιον κομίζει, ἐν ᾧ γεγραμμένος ἦν ὁ Λύκος.

821. (χαλεπὸν ἄρ' ἦσθ' ἰδεῖν : Ὡς δυσμόρφου γεγραμμένου τοῦ ἥρωος.)

822. οἷός περ ἡμῖν : (Ἄρρυθμος καὶ μακρός. προείρηται γὰρ ὅτι φαῦλος ἦν τὴν ὄψιν καὶ κακοσύνθετος τὸ σῶμα ὁ Κλεώνυμος. τοῦτο δὲ εἶπε) καθὸ καὶ χαλεπὸς ἦν δημαγωγός. ῥίψασπις δὲ ἦν.

823. (οὐδ' αὐτός : Ἐπειδὴ ῥίψασπις ὁ Κλεώνυμος. εἶχον δὲ καὶ οἱ ἥρωες πανοπλίαν. καὶ ὅῆλον ἐκ τῶν Δαιταλέων.)

830. ἄνευ δρυφάκτου : Δρύφακτος τὸ παρατεινόμενον [ὡς εἴρηται] ξύλον τοῖς δικασταῖς.

831. ὃ πρῶτον ἡμῖν : Ἀπὸ τῶν θυόντων. ἐκεῖνοι γὰρ πρῶτον τὸ ἧπαρ ἐπισκοποῦνται, εἶτα σπλῆνα καὶ τὰ λοιπά. — ἡμῖν τοῖς δικασταῖς. V.

833. (τό γε παρ' αὐτίκ' ἔνδον : Τὸ παραυτὰ εὑρισκόμενον ἀντὶ τοῦ δρυφάκτου.)

834. (τί ποτε τὸ χρῆμα : Τοῦτο ὁ νεανίσκος. φιλοχωρία δὲ,) ὡσεὶ ἔλεγε τὸ ἐπιχωριάζειν. (δεινὸν, φησὶ, τὰ ἐπιχώρια φιλεῖν, ὅπου καὶ οὗτος τὰ ἐν δικαστηρίῳ φιλεῖ πάντα.)

835. (βάλλ' ἐς κόρακας : Ἐξεισιν ὁ οἰκέτης κυνὶ ἐγκαλῶν. λείπει δὲ οὐδεὶς ὤφειλεν, ἢ χαλεπὸν, ἢ δεινόν.)

836. (οὐ γὰρ ὁ Λάβης ἀρτίως : Ἐσωθέν τις τούτων. τῷ δὲ κυνὶ ὄνομα Λάβης ἀπὸ τοῦ λαμβάνειν θηρία. τυρὸν δὲ ἥρπασεν οὗτος. ἀξιοῦσι δέ τινες ὡς παρὰ γράμμα κωμῳδεῖσθαι Λάχητα τὸν στρατηγήσαντα

περὶ Σικελίαν ἐπὶ δωροδοκίᾳ, καὶ τὰ ἑξῆς ἐπὶ ταύτην λέγεσθαι τὴν ὑπόνοιαν. ὅτι δὲ νοσφιστὴς καὶ ὑπὸ ἄλλων κωμῳδεῖται προείρηται. τοῦτο δὲ κομψόν ἐστιν. οὐ πάνυ δὲ οἰκεῖον δοκεῖ, ἐπεὶ κἂν παρεδήλωσεν αὐτό. ἀλλ' ἔοικεν ὁ Λάβης ὠνοματοπεποιῆσθαι ἁπλῶς, καθάπερ ὁ Δάκης ὁ παρὰ Τηλεκλείδῃ ἐν Πρυτάνεσι,

Δάκης τίς ἐστιν ὄντιν' ἀνθρώπων ὁρᾷς.

ἶπνὸς δὲ ὁ φοῦρνος. κυρίως μὲν ἡ κάμινος, ἢ ὁ φανός, καταχρηστικῶς δὲ ἡ ἐσχάρα. καὶ ἴπνια τὰ ἀποκαθάρματα τοῦ ἰπνοῦ. ἢ τὰ πρὸς τὴν κάμινον ἐπιτήδεια καύσιμα. Καλλίμαχος δὲ [fr. 216] τὴν κόπρον τῶν ζῴων,

σὺν δ' ἄμυδις φορυτόν τε καὶ ἴπνια λύματ' ἄειρεν.)

838. τροφαλίδα : Τροφαλὶς κυρίως ὁ κύκλος τοῦ τροχοῦ. πολὺς δὲ τυρὸς ἐν Σικελίᾳ. R. (οἱ μὲν τὸν ἐπιμήκη τυρὸν, οἱ δὲ τροχὸν τυροῦ. πολυθρέμμων δὲ ἡ Σικελία, διὸ τυρὸν πολὺν καὶ κάλλιστον ἔχει.)

841. ἀλλ' ἄτερός φησι κύων : Νῦν τὰ μὲν πρόσωπα τῶν κυνῶν ἐστι, τὰ δὲ πράγματα πολιτικά. εἰσάγει γάρ τινα κλέπτην κατηγορούμενον ὑπὸ πολίτου ἑτέρου. φανεροὶ δὲ ἦσαν τοῖς τότε (ἀφ' ὧν λέγει δήμων). ἅμα δὲ ὡς κυνώδεις αὐτοὺς διαβάλλει.

843. τῷ πατρὶ, ἢ αὐτοὺς τοὺς κύνας. R.

844. χοιροκομεῖόν ἐστιν ἀγγεῖόν τι (καννωτὸν), ὅπου οἱ χοῖροι τρέφονται. (Ἑστίας δὲ, ἐπεὶ ἐπὶ τῆς ἑστίας τρέφουσι χοίρους. εἰσφέρει δὲ τοῦτο ἀντὶ ὀρυφάκτου, ἢ κιγκλίδος. ἐν τῇ Λυσιστράτῃ [1073] κλοιὸν μᾶλλον ἢ πάσσαλον ἐμφαίνει, ὡς καὶ τούτου ὁμοίως λεγομένου, ὅπου ὁ χοῖρος δέδεται. Ἄλλως. ἔξεισιν ὁ ἕτερος τῶν οἰκετῶν ἀντὶ ὀρυφάκτων χοιροκομεῖον ἔχων. ἔστι δὲ τὸ καλούμενον ζωγρεῖον καννωτὸν, ὅπου οἱ χοῖροι τρέφονται.)

846. (ἀφ' Ἑστίας ἀρχόμενος : Ἐν γὰρ ταῖς σπονδαῖς ἀφ' Ἑστίας ἄρχονται, καὶ οὕτως ἐκ τῶν ἄλλων θεῶν. ὡς ἐν κωμῳδίᾳ δὲ ὁ θεράπων παίζει φήσας, ἐπιτρίψω τινά. ἐπὶ γὰρ τοῦ χοιροκομείου μέλλει δικάζειν ὁ Φιλοκλέων καὶ καταδικάζειν ὡς φιλόδικος. ἔστι δὲ παροιμία, ἀφ' Ἑστίας ἄρχου. μετενήνεκται δὲ ἀπὸ τῶν περὶ τὰ ἱερὰ καθημένων. τῇ γὰρ Ἑστίᾳ τὰς ἀπαρχὰς ἔθος ἦν ποιεῖσθαι. — καὶ Σοφοκλῆς ἐν Χρύσῃ « ὦ πρῶρα λοιβῆς Ἑστία κλύεις τάδε; » V. — μῦθον δὲ συνέθηκεν Ἀριστόκριτος οὕτως ἔχοντα. μετὰ γὰρ τὸ καταλυθῆναι τὴν τῶν Τιτάνων ἀρχὴν, τὸν Δία δεξάμενον τὴν βασιλείαν, ἐπιτρέπειν Ἑστίᾳ λαβεῖν ὅ τι βούλοιτο. τὴν δὲ πρῶτον μὲν παρθενίαν αἰτῆσαι, μετὰ δὲ τὴν παρθενίαν ἀπαρχὰς θυομένων αὐτῇ νέμεσθαι πρώτῃ παρὰ τῶν ἀνθρώπων. κέχρηται δὲ τῇ παροιμίᾳ καὶ Πλάτων ἐν Εὐθύφρονι [p. 3, A] « βουλοίμην ἄν, ὦ « Σώκρατες, ἀλλ' ὀρρωδῶ μὴ τοὐναντίον γένηται. ἀτε« χνῶς γὰρ ἀφ' Ἑστίας δοκεῖ μοι ἄρχεσθαι κακουργεῖν « τὴν πόλιν, σὲ ἐπιχειρῶν ἀδικεῖν. ») — τινα : τὸν καταδικασθέντα δηλονότι. R.

847. ἐπειδὴ συνετίμων οἱ δικασταί. R.

848. (τὰς σανίδας : Σανίδας φησὶν ἐν αἷς ἔγραφον τὴν μακρὰν ἢ τὴν βραχεῖαν τῆς δίκης. γραφὰς δὲ νῦν ἀντὶ τοῦ τὸ γραφεῖον ἐν ᾧ ἔγραφον.)

849. (οἷμοι διατρίψεις : Ἐπειγόμενος εἰς τὸ δικάζειν φησὶ, δύναμαι καὶ χωρὶς γραφείου δικάσαι, τοῖς ὄνυξι τὴν τοῦ γραφείου τάξιν ἀποπληρῶν.)

850. ἀλοκίζειν : ἀροτριᾶν. (ἀλοκίζειν τὸ τῷ ὄνυχι γράφειν εἰς τὸ τιμητικὸν πινάκιον, οὕτως εἴρηκεν, οἷον αὔλακας σχίζειν.)

852. (ὁ πρῶτός ἐστιν : Ὁ κατηγορῶν. ὡς φιλόδικος δὲ φαντάζεται εἰσαγωγήν τινος πρώτου.)

853. (ὅτιὴ 'πιλαθόμην : Πάλιν ὑπερθέσεως καιρὸν πορίζων, φησὶν ἐπιλελῆσθαι τοὺς καδίσκους.)

855. ἀρυστίχους : (Ἀρύστιχος καὶ ἄρυστις καὶ ἀρυστὴρ) ἀγγεῖόν ἐστιν ᾧ ἔστιν ἀρύσασθαι, (κοτύλη, ἢ κύαθος. εἶχον δὲ, φησὶν, αὐτοὺς πρὸς τὴν διαψήφισιν. ἀρυστίχους δὲ οὓς ἐνίοτε κοτυλίσκους. Ἄλλως. ἀρυστίχους τοὺς οἰνοχόους εἴρηκεν, ἀπὸ τοῦ ἀρύειν· ἔνθεν καὶ ἀρύταινα. ἔλεγον δὲ καὶ ἔφηβον τὸ τοιοῦτον σκεῦος. ἤβην γὰρ οἱ παλαιοὶ τὸ τέρπεσθαι κατὰ τὰς εὐωχίας προσηγόρευον. καὶ ὁ ποιητὴς τοίνυν ἀπὸ ταύτης τῆς αἰτίας τὴν Ἥβην συνεστήσατο, καὶ διὰ τοῦτο τοῖς θεοῖς οἰνοχοοῦσαν παρεισήγαγεν, οἰκείαν τῇ τεταγμένῃ ὑποθέσει τὴν λειτουργίαν αὐτῇ προσμερίζων.)

857. (κλεψύδρας : Κλεψύδρα κρήνη ἐν τῇ Ἀττικῇ, ἥτις Ἐμπεδῶ προσηγορεύετο. σημαίνει δὲ τὸ σκεῦος νῦν.)

858. ἡδὶ δέ : (Μήποτε) τὸ αἰδοῖον (αὐτῷ) δείκνυσιν (ὁ πρεσβύτης, ὅτι οὔρει ὡς ἡ κλεψύδρα. ἀμὶς γὰρ αὐτῷ παράκειται).

859. κἀπιχωρίως : (Οἷον σκωπτικῶς καὶ φλυάρως.) ἐπιχώριον γὰρ ἦν αὐτοῖς τὸ (σκώπτειν καὶ) παίζειν, (ἐκ πολλῆς εἰδήσεως τοῦ Ἑλληνισμοῦ).

861. (μυρρίνας : Μυρρίναις γὰρ ἐστεφανοῦντο οἱ ἄρχοντες. καὶ μυρρινῶν, ἀρχῆς ἐπιθυμῶν).

862. (ὅπως ἂν εὐξώμεσθα : Ὡς ἐπὶ μεγίστου πράγματος τερατεύεται. οἱ γὰρ ἐπιχειροῦντες εἴς τι πρᾶγμα εἰώθασι τοῖς θεοῖς εὐχὰς ποιεῖν καὶ θυσίας.)

863. [καὶ μὴν ἡμεῖς ἐπὶ ταῖς σπονδαῖς : Ἡ ἀμοιβαία αὕτη περίοδος ἔοικεν ἐκθέσει διπλῆς· διὸ καὶ τὸ παρατέλευτον ἔχει κῶλον. ἔστι γοῦν περιόδων τριῶν, καὶ εἰσὶ τῆς πρώτης περιόδου κῶλα τέσσαρα, ὧν τὸ πρῶτον ἀναπαιστικὸν τρίμετρον ἀκατάληκτον. τὰ ἑξῆς δύο δίμετρα ἀκατάληκτα. τὸ τέταρτον δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς, ὃ καλεῖται παροιμιακόν. μεθ' ὃ ἐν εἰσθέσει ἰαμβικὸς τρίμετρος ἀκατάληκτος. τῆς δευτέρας περιόδου κῶλα ἕξ, ὧν τὸ πρῶτον ὅμοιον, τὸ δεύτερον ἑφθημιμερὲς, τὰ ἑξῆς τρία δίμετρα ἀκατάληκτα, τὸ ἕκτον πενθημιμερές. τῆς τρίτης περιόδου ἀναπαιστικὰ κῶλα δέκα, ὧν τὰ πρῶτα τέσσαρα τετράμετρα καταληκτικὰ, τὸ ε' καὶ ς' τρίμετρα ἀκατάληκτα, τὸ ζ' καὶ τὸ η' δίμετρα ἀκατάληκτα, τὸ θ' ἀναπαιστικὴ βάσις, ὃ καὶ παρατέλευτον ὀνομάζεται, τὸ δὲ ι' τὸ « τὴν ἀκαλήφην ἀφελέσθαι, » δίμετρον καταληκτικόν. ἐφ' ἑκάστῃ πε-

ριόδῳ παράγραφος. ἐπὶ τῷ τέλει αἱ συνήθεις δύο διπλαῖ ἕως νενευκυῖαι.]

865. (φήμην ἀγαθήν : Συνευξόμεθα, ὥστε ταῦτα γενέσθαι.)

867. (καὶ τοῦ νείκους : Ἐκ τῆς φιλονεικίας εἰς φιλίαν ἐτράπητε.)

874. (ἰὴ Παιάν : Ὡς ἐπὶ κακῶν λήξει τὸν Παιᾶνα ὕμνον ᾄδουσιν.)

875. (γεῖτον ἀγυιεῦ : Περὶ τοῦ ἀγυιέως Ἀπόλλωνος Διευχίδας οὕτως γράφει, « ἐν δὲ τῷ ἰατρῷ τοῦτο διαμένει, καὶ ἔτι καὶ νῦν ἐστιν ὡς ἀγυιεὺς τῶν Δωριέων οἰκησάντων ἐν τῷ τόπῳ ἀνάθημα. καὶ οὗτος καταμηνύει ὅτι Δωριέων ἐστὶ τὰ τῶν Ἑλλήνων. τούτοις γὰρ ἐπὶ τὰς στρατιὰς φάσματος οἱ Δωριεῖς ἀπομιμούμενοι τὰς ἀγυιὰς ἱστᾶσιν ἔτι καὶ νῦν τῷ Ἀπόλλωνι. » Ἄλλως. πρὸ τῶν θυρῶν ἔθος εἶχον κίονας εἰς ὀξὺ λήγοντας ὡς ὀβελίσκους ἱδρύειν εἰς τιμὴν Ἀπόλλωνος ἀγυιέως.)

878. (ἀντὶ σιραίου : Μὴ σίραιον, ἀλλὰ μέλι παραμίξας. σίραιον δὲ τὸ ἡψημένον γλεῦκος, βραχὺ δ' ἔχον παράπικρον, ὅταν καθεψηθῇ.)

881. (τὴν ἀκαλήφην : Τὴν λεγομένην κνίδην, ἣν προσφέροντες τῷ σώματι κνηστιᾶν αὐτὸ ποιοῦμεν. Ἄλλως. μεταφορικῶς τὸ τραχὺ καὶ δηκτικόν, ἣν καὶ ἀκαλήφην λέγεσθαί φησι Κράτης ἐν Φοινίσσαις. ἔστι δὲ καὶ θαλάττιος ἰχθὺς οὕτω λεγόμενος ἀκαλήφη.)

886. τῶν παρ' ἡμῶν σοι εἰρημένων, ἢ τῶν παρὰ σοῦ ἡμῖν λεχθέντων (ῥηθέντων *G.*) V.

887. εὖνοι : Προπερισπωμένως, εἴτε τοῦ εὔνους ἐστί. V.

890. (τῶν γενναιοτέρων : Εἰ μὲν γενναιοτέρων, τῶν σπουδαίων· εἰ δὲ νεωτέρων, τῶν ὁμηλίκων.)

891. Βδελυκλέων μιμεῖται τὸν κήρυκα. V.

892. (ὡς ἡνίκ' ἂν λέγωσιν : Ἔθος γὰρ ἦν πρὸ μὲν τῆς καταστάσεως τῶν ῥητόρων κηρύττειν τοὺς δικαστάς, ὁπότε δὲ ἤρχοντο τῶν δικῶν, οὐκέτι εἴων εἰσιέναι τοὺς ὑστεροῦντας δικαστάς. ἁλώσεται δὲ καταδικασθήσεται.) — οὐκ εἰσφρήσομεν : οὐ συγχωρήσομεν εἰσελθεῖν. *R. V. Vict.*

893. ἁλώσεται : Ὡς μέλλων καταδικασθῆναι. *Vict.*

895. (κύων Κυδαθηναιεύς : Ἐπαιξε παρὰ τὸν κύνα, Κυδαθηναιᾶ φάσκων αὐτόν. ὡς ἐπὶ ἀνθρώπων δὲ ποιεῖται τὴν κατηγορίαν.

Κυδαθηναιεὺς : Ἀπὸ δήμου τῆς Πανδιονίδος φυλῆς, Αἰξωνεὺς δὲ ἀπὸ δήμου τῆς Κεκροπίδος.)

897. οὕτω κατεγράφοντο καὶ ἔλεγον τὴν τιμωρίαν. οὗτος δὲ ὡς ἐπὶ κυνὸς εἶπε τὸ κλοιὸς, ὅπερ ἐστὶ τὸ ξύλον τὸ ἐμβαλλόμενον εἰς τὸν τένοντα τοῦ κυνός. V. κλωὸς σύκινος : Οὕτως οἱ Ἀττικοὶ τὸν κλοιὸν κλωὸν ἔλεγον. (σύκινον δὲ διὰ τὸ βραχὺ τοῦ ξύλου. Ἄλλως. τὸ κολλάριον τὸ παρ' ἡμῖν λεγόμενον, ᾧ εἰώθασι τοὺς κύνας προσδεσμεύειν ἐν τοῖς ἀγροῖς. ἔστι δὲ ξύλινον.) — κλωός : Κλοιὸς μέρος τι τῆς νεὼς, ἢ περιτραχήλιος δεσμός. *Vict.*

898. (θάνατος μὲν οὖν κύνειός : Παίζει ὡς ἐν κωμῳδίᾳ καταδικάζων τὸν Λάβητα κυνείῳ θανάτῳ, ἅμα δὲ ὅτι καὶ χαλεπός ἐστιν ὁ τοῦ κυνὸς θάνατος. δυσχερῶς γὰρ ἀφίησι τὸ πνεῦμα.)

900. (ὡς δὲ καὶ κλέπτον βλέπει : Ἀντὶ τοῦ κλεπτικόν. κλέπτον δὲ βαρέως Ἀττικοὶ, καθὰ καὶ Εἰρηναῖός φησιν.)

901. (οἷον σεσηρώς : Οἱ γὰρ κύνες μετὰ τὸ φαγεῖν σεσήρασιν. οἱ δὲ σεσηρότες κύνες.)

σεσηρώς : Σεσηρὼς, κεχηνὼς, διηνοιγμένον, ἀνοικτὸν ἔχων τὸ στόμα. *Vict.*

902. (ποῦ δ' ὀὐδιώκων : Τὸ πλῆρες, ποῦ δὲ ὁ διώκων. ἐκτείνουσι μέντοι καὶ τὸ ὃ ἄρθρον. Εὔπολις Αἰξὶ « τὴν « πανδοκεύτριαν γὰρ ἀνὴρ ὁ γλάμων | ἔχει. »)

903. (αὖ αὖ : Ὁ κύων λέγει ὑπακούων, οἷον ὅτι ὧδε εἰμί. μιμεῖται δὲ τὴν φωνὴν τοῦ κυνὸς διὰ τοῦ αὖ αὖ.

πάρεστιν ἕτερος : Ἀντὶ τοῦ ὁ κατήγορος. ὁ Φιλοκλέων δέ φησι πρὸς τὸν Λάβητα ὅτι πάρεστιν ὁ κατήγορός σου, ἐν ᾗθει.)

904. ὑλακτεῖν : Συνηγορεῖν τῷ κυνί. *Vict.*

905. τῷ Κυδαθηναιεῖ φησι. V.

907. ὁ συνηγορῶν τῷ Κυδαθηναιεῖ. V.

909. καὶ τὸ ῥυππαπαί : (Καὶ τὸ ναυτικόν. διὰ δὲ Χάρητα πάλιν τοῦτο λέγει. ἴσως γὰρ καὶ τὸ ναυτικὸν στράτευμα ἠδίκησεν. ἔστι δὲ ἐπίρρημα τὸ ῥυππαπαὶ ναυτικὸν, ὃ ἐν τῇ κωπηλασίᾳ φασὶν, ὡς ἐγκέλευσμα. Ἄλλως. συμβολικῶς) τὸ ναυτικόν. τοῦτο γὰρ ἐπιφώνημά ἐστι ναυτικόν. (ὡς τῶν ἐρετῶν δὲ καὶ ναυτῶν περὶ πλείστου ποιουμένων τὸν τυρόν.)

911. κατεσικέλιζε : (Τὸν Σικελικὸν κατήσθιεν,) ἐπειδὴ Σικελικὸν ἔφη τὸν τυρόν. (παίζει δὲ ἀντὶ τοῦ ἤσθιε καὶ ἐκορέσθη. ἐν τῷ σκότῳ δὲ, ἐπειδὴ ἐν μέρει τῆς δύσεως ἡ Σικελία. ἐνήργησε δὲ ἠρεύξατο.)

ἐμυκᾶτο, ἔπτυεν. *Vict.*

914. (ὁ βδελυρός : Τὸ ἑξῆς, κατεσικέλιζεν ὁ βδελυρός. ἔνιοι δὲ τὸ ὁ βδελυρὸς τῷ Φιλοκλέωνι διδόασι.)

916. καὶμοὶ — τῷ κυνί : καθὸ δικαστὴς καὶ κυνώδης. πτωχὸς γάρ. *R. Vict.*

917. (οὐδὲ τῷ κοινῷ γέ μοι : Τῷ κοινῷ ἀντὶ τοῦ τῷ κοινωνῷ. οἱ δὲ τῷ κοινῷ ἐπὶ τῶν καλουμένων οὐδὲ μέχρι κοινοῦ λόγου. ἔστι δὲ τὰ μὲν πρὸ τούτων τοῦ θεράποντος, τὰ δὲ τοῦ γέροντος.)

918. (ἧττον τῆς φακῆς : Ἐπαιξεν ὡς ῥοφῶν φακῆν. τὸ δὲ ἄνδρα παίζων εἴρηκεν.)

(924). ὅστις περιπλεύσας : Ἀντὶ τοῦ τὴν Σικελικὴν [θάλασσαν], διὰ τὰς νήσους. παρ' ὑπόνοιαν δὲ εἶπε διὰ τὸν Χάρητα, ὅτι ἐν Σικελίᾳ ὢν τοὺς Σικελιώτας πάντας ἐπραίδευεν. ἀντὶ τοῦ ὅστις περιελθὼν τὸν τυρὸν ἀφείλετο. δέον δὲ εἰπεῖν τὴν θάλασσαν [ἢ τὴν Σικελίαν] ἔπαιξε παρὰ τὴν ὑπόνοιαν. θυεία δὲ ἡ ἴγδις, ἀγγεῖον εἰς ὃ ἐμβάλλοντές τινα ἀρτύματα τρίβομεν καὶ λειοῦμεν, ὡς ἑτέρωθι [Pac. 228] Ἀριστοφάνης

καὶ θυείαν ἐσπέρας
ὑπερφυᾶ τὸ μέγεθος εἰσηνέγκατο,
καὶ τρίβειν ἐν αὐτῇ τὰς πόλεις βουλεύεται.

925. (τὸ σκῖρον ἐξεδήδοκεν : Σκῖρον τὸ ῥυπῶδες τὸ ἐπὶ τῶν τυρῶν, ὡς Εὔπολις Χρυσῷ γένει « λοιπὸς γὰρ « οὐδείς. τροφαλὶς ἐκείνη ἐφ' ὕδωρ βαδίζει σκῖρον ἡμ- « φιεσμένη. » ἀπὸ τούτου καὶ τὰ λίαν προσεχόμενα ἐνεσκιρῶσθαι λέγεται.)

(926). ἐμοὶ δέ γ' οὐκ ἔστ' : Ὅτι λέγεται καὶ γῆ σκιρ- ρὰς, λευκή τις [ὡς γύψος], καὶ Ἀθηνᾷ Σκιρρὰς, ὅτι τῇ λευκῇ χρίεται. πρὸς τὴν ὁμωνυμίαν οὖν. Ἄλλως. ἐμοὶ δέ γε οὐκ ἔστιν, οἷον οὐκέτι ἔχω οὐδὲ ἐκπλάσαι τὴν ὑδρίαν ἐκ τῆς λατύπης, ἀλλὰ πᾶσα ἀνάλωται. εἰώθασι δὲ τὰ ῥήγματα τῶν ὑδριῶν τῇ λατύπῃ διαπλάττειν. ὑδρία δὲ τὸ ἀγγεῖον ἰωτογραφούμενον, ὑδρεία δὲ τὸ ὑδρεύεσθαι διὰ διφθόγγου.

927. (οὐ γὰρ ἄν ποτε τρέφειν δύναιτ' ἄν : Ἀντὶ τοῦ εἰς οἶκος οὐ δύναται τρέφειν τοὺς δύο κύνας. εἴρηται δὲ παρὰ τὴν παροιμίαν, μία λόχμη δύο ἐριθάκους οὐ τρέφει. Ἄλλως. παροιμία, οὐ τρέφει μία λόχμη δύο ἐριθάκους. ἔστι δὲ ὄρνεον ὑπὸ μέν τινων καλούμενον ἐριθεὺς, ὑπὸ δὲ ἑτέρων ἐρίθυλος, ὑπὸ τῶν πλειόνων ἐρίθακος.)

930. (οὐ κεκλάγξομαι : Ἐὰν, φησὶ, μὴ καταδικάσῃς αὐτὸν, οὐκέτι κραυγάσω. διὰ γὰρ τῆς βοῆς οἱ κύνες φρουροῦσιν.)

933. (κλέπτον τὸ χρῆμα : Ἀντὶ τοῦ κλεπτικόν. ἔπαιξε δέ. ἢ ἐν κωμῳδίᾳ εἴρηται τἀνδρὸς καὶ οὐ κυνός.)

934. (ὦ Ἐλεκτρυών : Ὑπέρκειται γὰρ τοῦ δικαστηρίου αὐτοῦ ἀλεκτρυών, ὡς ἐν τοῖς ἄνω ἐδήλωσεν. καταμύει δὲ ἐπινεύει. οὐρῆσαι δὲ θέλων ἀμίδα αἰτεῖ.)

936. (τοὺς μάρτυρας γάρ : Ὅσα ἐν τῷ μαγειρείῳ τυγχάνει ἐργαλεῖα, τοῦ γελοίου χάριν ἅξαι φησὶ ταῦτα εἰς μαρτυρίαν αὐτοῦ. καὶ ὅτι ἐν τῷ μαγειρείῳ ἡρπάγη ὁ τυρός.)

939. προσκεχαυμένα : Τὰ εἰς τὸ καίεσθαι ἐπιτήδεια. *Vict.*

941. (οἶμ' ἐγὼ χεσεῖσθαι : Πρὸς τὸ οὐρῆσαι ἐπήνεγκε τὸ χεσεῖσθαι ποιήσω τὸν Λάβητα. ὡς φιλόδικος δὲ ἀπεῖ- λεῖ καταδικάσαι αὐτόν.)

943. (ἀλλ' ὀδὰξ ἔχει : Οἷον οὐδὲν φθέγγεται, ἀλλὰ τοὺς ὀδόντας δηκτικῶς κατέχει ὁ κύων. Ἄλλως. διασπαράξαι βούλει τοῖς ὀδοῦσι τὸν κύνα, ἵν' ᾖ τὸ ἔχει δευτέρου προσώπου Ἀττικοῦ.)

947. ὅπερ ποτὲ φεύγων ἔπαθεν : (Θουκυδίδην λέγει τὸν Μελησίου) [Ἁλωπεκῆθεν]. τοῦτον δὲ ἐξωστράκισαν Ἀθηναῖοι τὰ ι' ἔτη κατὰ τὸν νόμον· (οὐ ξένον δὲ, ὅτι ἑτέρωθι μὲν ἐξωστρακίσθαι φησὶν αὐτὸν, νῦν δὲ φεύγειν. εἶδος γάρ τι φυγῆς ἐστιν ὁ ὀστρακισμός. ἐν δὲ τοῖς εἴδεσι περιέχεται τὰ γένη. καὶ τὸ μὲν ἐξωστρακίσθαι φεύγειν ἄν τις εἰκότως εἴποι, τὸ δὲ φεύγειν οὐκέτι ἐξωστρακί- σθαι.) διαφέρει γὰρ φυγὴ ὀστρακισμοῦ, καθὸ τῶν μὲν φευγόντων αἱ οὐσίαι δημεύονται, τῶν δὲ ὀστρακισμῷ μεταστάντων οὐκέτι (κύριος ὁ δῆμος. καὶ τοῖς μὲν καὶ τόπος ἀπεδίδοτο καὶ χρόνος, τοῖς δὲ οὐδέτερον τούτων. ὅτι δὲ ὁ Ἀθηναίων δῆμος ἀειφυγίαν αὐτοῦ καταγνοὺς ἐδήμευσε τὴν οὐσίαν, καὶ πρὸς Ἀρταξέρξην ἦκε φεύγων, σαφὲς ποιεῖ Ἰδομενεὺς διὰ τοῦ β' τὸν τρόπον τοῦτον, « οἱ « μέντοι Ἀθηναῖοι αὐτοῦ καὶ γένους ἀειφυγίαν κατέγνω- « σαν, προδιδόντος τὴν Ἑλλάδα, καὶ αὐτοῦ ἡ οὐσία ἐδη- « μεύθη. » Ἄλλως. Θουκυδίδης Μελησίου υἱὸς Περικλεῖ ἀντιπολιτευσάμενος. τέσσαρες δέ εἰσι Θουκυδίδαι Ἀθηναῖοι, ὁ ἱστοριογράφος καὶ ὁ Γαργήττιος καὶ ὁ Θετ- ταλὸς καὶ οὗτος ῥήτωρ ἄριστος τυγχάνων, ὃς κατηγο- ρηθεὶς ἐν τῷ δικάζειν οὐκ ἠδυνήθη ἀπολογήσασθαι ὑπὲρ ἑαυτοῦ, ἀλλ' ὥσπερ ἐγκατεχομένην ἔσχε τὴν γλῶτταν, καὶ οὕτω κατεδικάσθη, εἶτα ἐξωστρακίσθη. Ἄλλως. πρὸς τὴν ἱστορίαν. μήποτε ὁ Περικλεῖ ἀντιπολιτευσά- μενος. τοῦτο δὲ Φιλόχορος μὲν ἱστορεῖ. ὃς οὐδὲ πάντη γνώριμος ἐγένετο· ἀλλ' οὐδὲ παρὰ τοῖς κωμικοῖς, διὰ τὸ ἐπ' ὀλίγον στρατείας ἀξιωθέντα μετὰ Κλέωνος ἐπὶ Θρᾴκης φυγῇ καταψηφισθῆναι. ἔνιοι δὲ, ὧν καὶ Ἀμ- μώνιος τοῦ Στεφάνου, * * * καὶ τοῦτο δὲ ὑπίδοι τις, ὥσπερ προείρηται. ὁ γενόμενος ὀστρακισμὸς ἐμφαίνει τὸν Μελησίου καὶ τὸν ὀστρακισθέντα. Θεόπομπος μέν- τοι ὁ ἱστορικὸς τὸν Πανταίνου φησὶν ἀντιπολιτεύσασθαι Περικλεῖ, ἀλλ' οὐκ Ἀνδροτίων, ἀλλὰ καὶ αὐτὸς τὸν Μελησίου.)

948. δέον εἰπεῖν τὴν γλῶσσαν. V.

949. (πάρεχ' ἐκποδών : Λακτίσας τὸν κύνα, φησὶν, ἀναχώρει.) τοὺς συκοφάντας λύκους καλεῖ.

953. (ξυνωμότης : Προδότης. ὡς ἐπὶ ἀνθρώπου δὲ εἶ- πεν.)

955. (οἷός τε : Δυνατός ἐστι, φησὶ, προβάτων προ- ΐστασθαι.)

956. τὸν τυρὸν εἰ κατεσθίει : Ἄλλῳ τρόπῳ, φησὶ, βλάπτει. *Vict.*

959. κιθαρίζειν γὰρ οὐκ ἐπίσταται : (Ὡσεὶ εἶπεν· οὐδὲν ἄλλο ἐπίσταται πλὴν τὸ κλέπτειν.) παρὰ τὴν πα- ροιμίαν « πεζῇ βαδίζω, νεῖν γὰρ οὐκ ἐπίσταμαι. » (οὐδὲν δὲ πρὸς ἔπος. δέον γὰρ εἰπεῖν ὑπὸ πείνης τοῦτο ποιεῖ, ὁ δὲ παρ' ὑπόνοιαν τοῦτο ἐπήγαγεν.)

960. ἀπὸ κοινοῦ τὸ ἐπίστασθαι. V.

961. κακουργῶν ἐνέγραψ' ἡμῖν : ὡς γραπτὸν δεδω- κότος λόγον τοῦ ἀπολογουμένου κυνός. *R. V. Vict.*

962. (τῶν μαρτύρων : Ἀπολογουμένων δηλονότι.)

963. τυρόκνηστι : Τὴν ἀπολογίαν. V. (ὡς πρὸς τὸν Χάρητα πάλιν καὶ τοῦτο, ὡς ἐν κωμῳδίᾳ.)

964. (ταμιεύουσα : Ἐν τῷ ταμείῳ οὖσα. ἐν τούτοις καὶ ὅλῳ τῷ τρόπῳ τῆς δίκης ἐχαρακτήρισε τὰς ἐν ταῖς εὐθύναις τῶν ἀρχόντων ἀπολογίας.)

965. (κατέκνησας : Ἀντὶ τοῦ ἔτεμες, ἐμέρισας τοῖς στρατιώταις, ἃ ἔλαβες τυρία. ὡς ἐπὶ δημοσίου δὲ πράγματος ἀξιοπιστίαν περιποιεῖται τῇ μαρτυρίᾳ, διὰ τοῦ στρατιώταις εἰπεῖν τετμηκέναι.)

968. (καὶ τραχήλι' ἐσθίει : Τὰ ἄκρα καὶ τὰ εὐτελῆ κρέα. ἐν τοῖς ὑπομνήμασι δὲ γέγραπται περὶ τῶν τρα- χηλίων οὕτως· τὰ ἀποβαλλόμενα τῶν ὄψων, ὡς μικρὰ κλέπτοντος αὐτοῦ. πεπλάνηται δέ. ἔστι δὲ τραχήλιόν τι βραχὺ τελέως, παραπλήσιον τοῖς κυρηβίοις, τουτέστι πιτύροις, τοῖς ἀπὸ τῶν κριθῶν ἀποβρέγμασι, τοῖς ἀχύ- ροις. λέγονται δὲ καὶ ἀρσενικῶς οἱ τράχηλοι. ἔστι δὲ

εὐτελὲς προσόψημα ἐν λοπαδίσκοις σκευαζόμενον. Ἄλλως. τὰ κεφάλαια τῶν ἰχθύων, ὡς ἀκανθώδη. καὶ Φερεκράτης ἐν Ἐπιλήσμοσιν « ὅστις παρέθηκε κράνην. » χαρακτηρίζει δὲ τοὺς μικροκλέπτας ἐν τοῖς ἑξῆς. τοὺς οἴκοι μένοντας τῶν πολιτῶν, καὶ ἁρπάζοντας.)

969. (καὶ τὰς ἀκάνθας : Ἅμα μὲν ἐπὶ τοῦ κυνὸς, εὐτελέσι τε χρωμένου καὶ πανταχῆ φοιτῶντος, ἅμα δὲ καὶ ὡς ἐπὶ στρατηγοῦ προϊόντος. καὶ Λάχης γὰρ εἷς τῶν ἐξιόντων στρατηγῶν ἐγένετο ἐν ταῖς ἐξόδοις.)

970. (ὁ δ' ἕτερος οἷός ἐστιν : Ὁ κατήγορος. εἴη δ' ἂν ὁ Κλέων, ὃν φησιν ἐνδομυχοῦντα τὰ τῆς πόλεως κατεσθίειν. τοὺς οἴκοι οὖν μένοντας τῶν πολιτῶν καὶ ἁρπάζοντας χαρακτηρίζει.)

973. (αἰβοῖ : Ὡς μαλαχθεὶς ὁ γέρων δυσαρεστεῖται, κακόν τι νομίζων αὐτὸ εἶναι, διὰ τὸ ἄηθες εἶναι αὐτῷ.)

975. οἰκτείρατ' αὐτόν : Τὸν γέροντα. ὦ πάτερ : Ὡς πρὸς δικαστήριον ὁ λόγος. *Vict.*

976. καὶ μὴ διαφθείρητε : Ὡς πρὸς τὸ δικαστήριον ὁ λόγος καὶ τὸν γέροντα.

(ποῦ τὰ παιδία : Ὅτι καὶ τὰ παιδία κλαίει ἐν τοῖς δικαστηρίοις τῶν κατηγορουμένων. καὶ ἀνωτέρω δὲ εἶπεν.)

977. (κνυζόμενα : Παρακλαίοντα. ὡς ἐπὶ κυνῶν δὲ εἶπε. κνυζηθμὸς γὰρ λέγεται ποιά τις ἐπὶ κυνῶν φωνή.)

979. κατάβα κατάβα : Ὅτι συνήθως οὕτως ἔλεγον ἐν τοῖς δικαστηρίοις κατάβηθι. R. (εἰώθασι γὰρ λέγειν οἱ δικασταὶ, ὅταν ἀπολύωσι καὶ πείθωσι τοῖς λόγοις, μηκέτι λέγε. πολλάκις γὰρ εἰπόντες τὸ κατάβα ἐξηπάτησαν.)

982. ἀντὶ τοῦ λόγων ἀκοῦσαι καὶ ἐλεῆσαι εἶπε ῥοφῆσαι. V.

983. ἐγὼ γὰρ ἀπεδάκρυσα : (Κοινόν τι παθὼν ὁ πρεσβύτης, καὶ ἐπιδακρύσας τῷ τῶν παίδων ὀδυρμῷ, αἰτιᾶται ὡς ἐκ τῆς φακῆς τοῦτο πεπονθὼς, καὶ οὐκ ἐξ ἰδίας προαιρέσεως.) φησὶν οὖν ὅτι τὸ ῥοφεῖν κακοῦ μοι ἐγένετο αἴτιον. ἠμβλύνθην γὰρ τῆς ὁρμῆς. (οὐδέποτε γὰρ τὴν γνώμην μου οὐδενὶ εἶπον, εἰ μὴ νῦν, ὅτι ἐρρόφησα τὴν φακῆν. ἅμα δὲ καὶ ὅτι οἱ ἐσθίοντες τὴν φακῆν ἀβουλήτως δακρύουσι θερμῆς οὔσης αὐτῆς.)

(ἀπεδάκρυσα : Διὰ τὴν θερμασίαν. ἐδάκρυσα, φησὶν, ὅτι παρὰ τὸ ἔθος ἐποίησα, ἢ ὑπεχάλασα τῆς ὀργῆς καὶ γνώμην ἐμὴν εἶπον.)

γνώμην ἐμήν : ἀντὶ τοῦ κατὰ γνώμην ἐμήν. *R. Vict.*

985. (χαλεπὸν εἰδέναι : Οὐκ οἶδα ἀκριβῶς.)

986. (ἐπὶ τὰ βελτίω : Εἰς τὸ ἐλεῆσαι μᾶλλον ἢ καταδικάσαι.)

987. τηνδὶ λαβὼν τὴν ψῆφον : Τὴν τετρυπημένην αὐτῷ δείκνυσι ψῆφον. δύο γὰρ ἀμφορεῖς εἰσὶν, ὧν ὁ μὲν κύριος λεγόμενος χαλκοῦς, εἰς ὃν τὴν κυρίαν ψῆφον καθίεσαν οἱ δικασταὶ, ἢ καταδικάζοντες, ἢ ἀπολύοντες. ὁ δὲ ἕτερος ξύλινος, εἰς ὃν τὰς ἀκύρους καθίεσαν. ὁπότε δὲ πάντες διεψηφίσαντο, εἰς τὸν χαλκοῦν κάδον διηριθμοῦντο αἱ ψῆφοι, καὶ κατεδίκαζον μὲν αἱ τετρυπημέναι, ἀπέλυον δὲ αἱ πλήρεις. δεῖται οὖν αὐτοῦ, ἵνα τὴν τετρυπημένην εἰς τὸν ὕστερον τὸν ἄκυρον καταθῇ καὶ ἀπολύσῃ τὸν ἀπολογούμενον. φαίνονται δὲ συνήθως καλοῦντες τὸν κύριον ἀμφορέα πρότερον, τὸν δ' ἕτερον ἄκυρον (ὕστερον. Ἄλλως. εἰς τὸν ὕστερον δὲ καδίσκον τὴν ἀποδοκιμάζουσαν ἐνέβαλον ψῆφον.)

988. (μύσας παρᾷξον : Ἐπειδὴ παρὰ τὴν προαίρεσιν αὐτοῦ ἀναπείθει αὐτὸν ῥῖψαι τὴν ψῆφον εἰς τὸν ἄκυρον κάδον, φησὶν αὐτῷ· μύσας τοῦτο ποίησον, ὡς ἀτόπου αὐτῷ τούτου φαινομένου.)

990. πρὸς τὴν ψῆφον. R.

991. ὃδ' ἔσθ' ὁ πρότερος : (Ὁ καδίσκος, ὅπου αἱ τῶν καταδικαζομένων ψῆφοι ἐβάλλοντο. Ἄλλως. ἐναλλάσσει τὰς χεῖρας, περιφέρων τὰς ὑδρίας, ἵνα ἀγνοήσας ἀποδοκιμάσῃ εἰς τὸν ὕστερον καδίσκον τὴν ἀποδοκιμάζουσαν ἐμβαλὼν ψῆφον. Ἄλλως.) μιμεῖται τοὺς ἐν τῷ δικαστηρίῳ πολλάκις ἀπατῶντας. (ἑστῶτος γὰρ τοῦ τε κατηγοροῦντος καὶ τοῦ ἀπολογουμένου, ῥάβδον κατέχει παρεστὼς ὁ κῆρυξ, ἣ θεσμοθέτης, καὶ τούτῳ ἐπιτίθησι τοὺς καταψηφισθέντας, ἵνα μὴ ἕτερος ἀνθ' ἑτέρου ἀπαχθῇ. Ἄλλως. βάλλων ὁ Φιλοκλέων τὴν ψῆφόν φησι· καθῆκα δὲ εἰς τὸν πρότερον.)

(αὕτη 'ντευθενί : Δύο καδίσκοι τῶν ψήφων ἦσαν, εἷς μὲν ὁ ἐλέου, ὁ ὀπίσω, ἕτερος δὲ, ὁ ἔμπροσθεν, θανάτου. παρασκευάζεται οὖν εἰς τὸν τοῦ ἐλέου ἐμβαλεῖν τὴν ψῆφον. ἀλλάσσει γὰρ τοὺς τόπους αὐτῶν ὁ Βδελυκλέων, ἵνα ἀπατηθεὶς ὁ πατὴρ βάλῃ εἰς τὸν τοῦ ἐλέου.)

993. (φέρ' ἐξεράσω : Ἀντὶ τοῦ εἰς τὴν γῆν μεταβαλῶ τὰς ψήφους. ἔρα γὰρ ἡ γῆ. βούλεται δὲ ἀριθμῆσαι τὰς ψήφους.)

994. (ἐκπέφευγας ὦ Λάβης : Ὡς ἀριθμηθεισῶν τῶν ψήφων καὶ τῶν ἀπολυουσῶν πλειόνων οὐσῶν.)

995. ποῦ 'σθ' ὕδωρ : Ὡς παρειμένου αὐτοῦ ψυχρὸν ὕδωρ αἰτεῖ. (ἀκούσας γὰρ τὸ ἐκπέφευγας ὁ Φιλοκλέων ἐλιποψύχησεν. ὅσον γὰρ ἐπ' αὐτῷ ἦν καταδικασθείς.)

997. (ὄντως ἀπέφυγεν : Ὑπεξελύθη, γενόμενος ἐκτὸς τιμωρίας τοῦ φεύγοντος.)

999. ξυνείσομαι : Συγγνῶ. *Vict.*

1001. (σύγγνωτέ μοι : Ὡς μέγα τι ἀτόπημα πράξας ἀπολογεῖται τοῖς θεοῖς.)

1005. (ἐπὶ δεῖπνον, εἰς ξυμπόσιον : Ἔν ἐστιν ἐπὶ δεῖπνον εἰς συμπόσιον. οὕτω γὰρ ἐκάλουν, ὥστε μόνον εἶναι τὸν οἶνον κοινὸν, τὰ δὲ λοιπὰ ἑαυτοῦ κομίζειν οὕτω κληθέντα. πανθοινίαν δὲ ἔλεγον, ὥς φησιν Εὐφρόνιος, ὁπότε εἰς κοινὸν κατατιθέντες τὰ κομισθέντα δεῖπνα πάντες ἀπέλαυον.)

1007. κοὐκ ἐγχανεῖται : (Οὐκ ἐγγελάσει σοι, φησὶν, ὁ Ὑπέρβολος, ὁρῶν σε ταπεινόν τε καὶ οἰκτρὸν ἐκ τοῦ δικάζειν καὶ τρεῖς ὀβολοὺς λαμβάνειν καὶ ἀεὶ πένεσθαι.) ὑπὲρ τῆς πονηρίας δὲ Ὑπερβόλου εἴρηται. (καὶ νῦν δὲ ὀλίγα παραγράψομεν. Ἀνδοκίδης φησὶ τοίνυν « περὶ Ὑπερβόλου λέγειν αἰσχύνομαι· οὗ ὁ μὲν πατὴρ

« ἐστιγμένος ἔτι καὶ νῦν ἐν τῷ ἀργυροκοπείῳ δουλεύει « τῷ δημοσίῳ, ὡς δὲ ξένος ὢν καὶ βάρβαρος λυχνο- « ποιεῖ. » Θεόπομπος δέ φησι καὶ τὸν νεκρὸν αὐτοῦ καταποντωθῆναι, γράφων ὅτι « ἐξωστράκισαν τὸν « Ὑπέρβολον ἔξ ἔτη· ὁ δὲ καταπλεύσας εἰς Σάμον καὶ « τὴν οἴκησιν αὐτοῦ ποιησάμενος, ἀπέθανε. καὶ τούτου « τὸν νεκρὸν εἰς ἀσκὸν ἀγαγόντες εἰς τὸ πέλαγος κα- « τεπόντωσαν. »)

1009. [ἀλλ' ἴτε χαίροντες : Τοῦτο κομμάτιον καλεῖται, ὅπερ ἐστὶ προκήρυγμα τῆς παραβάσεως. ἔστι δὲ κώλων χοριαμβικῶν ἐπιμεμιγμένων ἐπιτρίτοις καὶ βακχείοις καὶ παλιμβάκχοις ζ', ὧν τὸ πρῶτον τρίμετρον καταληκτικόν, τὸ δεύτερον δίμετρον ἀκατάληκτον, τὸν πρῶτον ἔχον πόδα πεντασύλλαβον· τὸ τέταρτον δίμετρον ἀκατάληκτον, ὅμοιον τῷ β', τὸ ε' ὅμοιον τῷ πρώτῳ. τὰ δὲ λοιπὰ ὡς τὸ δεύτερον. ἐπὶ τῷ τέλει παράγραφος.]

1013. (μὴ πέσῃ φαύλως : Φυλάττεσθε, φησὶ, μὴ ἐκφαυλισθῆναι τὴν διδασκαλίαν τοῦ δράματος τούτου. καὶ πρὸ ἑνὸς γὰρ ἑνιαυτοῦ τὰς πρώτας Νεφέλας διδάξας ἀπεκρίθη. — μὴ εὐτελῶς ὀφθείη ἢ ματαίως ῥηθῇ. ὑπὲρ τοῦ ποιητοῦ δὲ ὁ χορός φησι. V.)

1015. (εἴπερ καθαρόν : Παρρησιαστικὸν, εἰλικρινὲς, γνήσιον.)

1017. (πολλ' αὐτοὺς εὖ πεποιηκώς : Διὰ τὸ ἐν τοῖς δράμασιν αὐτοῦ ἐλέγχειν τὰς κλοπὰς ἑκάστου.)

1018. (τὰ μὲν οὐ φανερῶς : Οὐκ ἐκ τοῦ φανεροῦ, φησὶν, ἐπικουρεῖ ὁ ποιητὴς τοῖς θεαταῖς ὑμῖν, ἀλλὰ δι' ἑτέρων ποιητῶν λάθρα, ἐπειδὴ διὰ Φιλωνίδου καὶ Καλλιστράτου καθίει τινὰ τῶν δραμάτων. πρῶτον γὰρ δρᾶμα δι' ἑαυτοῦ καθῆκε τοὺς Ἱππέας.)

1019. τὴν Εὐρυκλέους μαντείαν : Εὐρυκλῆς μάντις δι' ἑτέρων ἑαυτὸν ποιῶν κατάδηλον. φασὶν οὖν ὅτι ὥσπερ Εὐρυκλῆς οὕτως κἀγὼ ἐδίδουν ἑτέροις. R. (οὗτος ὡς ἐγγαστρίμυθος λέγεται Ἀθήνησι τἀληθῆ μαντευόμενος διὰ τοῦ ἐνυπάρχοντος αὐτῷ δαίμονος. τοιοῦτον οὖν, φησὶ, καὶ ὁ ποιητὴς τρόπον ἐποίησεν εἰς τὰ δράματα, ἑτέροις διακόνοις χρώμενος, ὡς εἰ εἶπεν ἔργον ποιήσας τῶν ἐχόντων ἀγαθὸν δαίμονα. ἐγγαστρῖται δὲ καὶ Εὐρυκλεῖδαι ἐκαλοῦντο ἐντεῦθεν πάντες οἱ μαντευόμενοι, ἀπὸ Εὐρυκλέους [πρῶτον] τοῦτο ποιήσαντος. τὸ δὲ, εἰς ἀλλοτρίας γαστέρας ἐνδὺς, ἀντὶ τοῦ εἰπεῖν, ὅτι πρότερον ἄλλοις ἐδίδου τὰς κωμῳδίας.)

1021. (κινδυνεύων καθ' ἑαυτόν : Διὰ γὰρ τὸν κίνδυνον οὐδεὶς ὑπεκρίθη τοὺς Ἱππέας.)

1024. (οὐκ ἐκτελέσαι φησίν : Οἷον, οὐ τέλεον ἐπαρθῆναι, φησὶν, ἠθέλησε καὶ οὐκ ἐπὶ τέλος ἔδοξεν αὐτῷ ἐλθεῖν οὔτε τῆς ποιήσεως οὔτε τῶν ἐπαίνων.)

(1025). οὐδὲ παλαίστρας : Οὐδὲ εἰ προσῆλθεν αὐτῷ τις ἐξώλης, ἀναστραφεὶς καὶ δεόμενος μὴ κωμῳδεῖσθαι ἐμαλάττετο οὐδὲ ἐπείθετο. Ἄλλως. δι' Εὔπολιν. ἐν Αὐτολύκῳ δὲ τοιαῦτά φησι. [τοῦτο δὲ καὶ ἐν Εἰρήνῃ (762) οὕτω·] περιῄει τὰς παλαίστρας σεμνυνόμενος, καὶ τοῖς παισὶν ἑαυτὸν ὤνιον ποιῶν τῆς νίκης ἕνεκα.

1026. (παιδικὰ ὀξυτόνως. ἔστι δὲ οὐδέτερον πληθυντικόν. τοῦτο δέ τινες ἐπ' ἀγαθοῦ ἔρωτος, τινὲς ἐπ' αἰσχροῦ λαμβάνουσι. τὸ δὲ παιδικὰ ἐρώμενον.)

1028. (ἵνα τὰς Μούσας : Τουτέστι τὰ δράματα. εἰ γὰρ μὴ καταδήλους ποιήσῃ τοὺς τοιούτους, ἀλλ' ἐπικρύψῃ, οἱονεὶ μαστροποὶ τῶν τοιούτων εὑρεθήσονται.)

1029. (ἀνθρώποις : Ἀλλὰ τέρασι, φησὶ, καὶ δαίμοσιν. ὀργὴν δὲ γενναῖον φρόνημα.)

1031. (τοῖς μεγίστοις ἐπιχειρῶν : Δηλοῖ ὅτι αἱ διδασκαλίαι ἴσως φέρουσι τοὺς Ἱππεῖς πρώτους ὑπ' αὐτοῦ καθιεμένους. περὶ Κλέωνος γὰρ αἰνίσσεται.)

1031. (ξυστάς : Ὡς ἐπὶ τῶν παλαιόντων.) — τῷ Κλέωνι λέγει. V.

1032. Κύννης : Κύννα πόρνη. [Eq. 765 :] « μετὰ Κύνναν καὶ Σαλαβακχώ. » Ἐρατοσθένην δὲ ἀγνοήσαντα τὴν Κύνναν ὅτι πόρνη, (οἱ μέν τινες προφέρεσθαί φασι κυνὸς, ὡς ἐπ' ἀναιδοῦς, οἱ δὲ πυρός· οὐκ εὖ. θέλων οὖν παραβαλεῖν τὸν Κλέωνα κυνὶ διὰ τὸ ἀναιδὲς, ἑτέρως ἐσχημάτισεν. ἐλιχμῶντο δὲ ἔλειχον.)

1034. (φωνὴν δ' εἶχε χαράδρας : Ἐπειδὴ πλέον τι τοῦ χειμάρρου εἰς τραχύτητα καὶ ἀνωμαλίαν εἶχεν. Φερεκράτης ἐν Ἐπιλήσμοσι « κἂν μὲν σιωπῶ, φέρεται, « πνίγεται, καὶ φησὶ, τί σιωπᾷς; ἂν δ' ἀποκριθῶ, οἴ- « μοι τάλας, φησὶ, χαράδρα κατελήλυθεν. »)

1035. (φώκης δ' ὀσμήν : Εἰς κακοσμίαν αὐτὸν διαβάλλει, διὰ τὸ βυρσοδέψην αὐτὸν εἶναι. Ὅμηρος [Od. Δ, 442]

φωκάων ἁλιοτρεφέων ὀλοώτατος ὀδμή.

καὶ [406]

πικρὸν ἀποπνείουσαι ἁλὸς πολυβενθέος ὀδμήν.

Λαμίας ὄρχεις : Λάμια θηρίον, ἀπὸ τοῦ ἔχειν μέγαν λαιμὸν, λαίμιά τις καὶ λάμια. δραστικοὶ δὲ οἱ ὄρχεις. εἰδωλοποιεῖ δέ τινας ὄρχεις Λαμίας. θῆλυ γάρ. Δοῦρις δ' ἐν β' Λιβυκῶν ἱστορεῖ γυναῖκα καλὴν γενέσθαι τὴν Λάμιαν, μιχθέντος δὲ αὐτῇ Διὸς, ὑφ' Ἥρας ζηλοτυπουμένην ἃ ἔτικτεν ἀπολλύναι. διόπερ ἀπὸ τῆς λύπης δύσμορφον γεγονέναι, καὶ τὰ τῶν ἄλλων παιδία ἀναρπάζουσαν διαφθείρειν.

πρωκτὸν δὲ καμήλου : Θερμόπρωκτος γὰρ ἡ κάμηλος καὶ λάγνος. κάμιλος δὲ τὸ παχὺ σχοινίον διὰ τοῦ ι.)

1036. δωροδοκηθῆναι ὑπὸ τοῦ Κλέωνος. V.

1037. ἀντὶ τοῦ Κλέωνος. οὐχ ἅμα δὲ ἐκωμῴδησεν ἐκεῖ λέγων ἐν ταῖς Νεφέλαις. ἠπιάλους δὲ τοὺς φιλοσόφους φησίν. ἠπίαλοι δέ εἰσιν οἱ ῥιγοπύρετοι. V.

1038. (τοῖς ἠπιάλοις : Ἠπίαλος τὸ πρὸ τοῦ πυρετοῦ κρύος. Ἀριστοφάνης Νεφέλαις καὶ Θεσμοφοριαζούσαις [fr. 315] « ἅμα δ' ἠπίαλος πυρετοῦ πρόδρομος. » Δίδυμος δέ φησι, δαίμων, ὃν Ἠπιάλην καὶ Τῖφυν καὶ Εὐόπαν καλοῦσι. τὸ δὲ πυρετοῖσιν ἐπήνεγκεν ἀπὸ τοῦ πάθους. Ἄλλως. τοὺς βλάπτοντας τὴν πόλιν λέγει ἠπιάλους καὶ πυρετούς. ταῦτα δὲ εἶδη πυρετῶν. ὥσπερ οὖν οὗτοι βλάπτουσι τὰ σώματα, οὕτω καὶ οὗτοι τὴν πόλιν.)

(πέρυσιν : Πέρυσι γὰρ τὰς Νεφέλας ἐδίδαξεν, ἐν αἷς τοὺς περὶ Σωκράτην ἐκωμῴδησεν. ἠπιάλους δὲ αὐτοὺς ὠνόμασεν, ὡς ὠχρότητα παρασκώπτων. ἐν δὲ τοῖς Ἱππεῦσι τὸν Κλέωνα, οὓς πρὸ τῶν Νεφελῶν καθῆκε. τὸ δὲ τοὺς πατέρας ἧττον λέγει διὰ τὸν ἧττονα λόγον, τὸν πατραλοίαν. ἢ διὰ τὸν ὑπ' αὐτοῦ, ὥς φησι, πέρυσιν εἰσαχθέντα ἐν Νεφέλαις τύπτοντα τὸν πατέρα αὐτοῦ.) — τοῦτο πρὸς τὸν ὑπ' αὐτῶν ἧττονα λόγον, ᾧ πατραλοίας χρώμενος εἰσάγεται ἐν Νεφέλαις. V.

1039. ὅτι νύκτωρ ἐσκέπτοντο. V.

1041. προκλήσεις : [Παρὰ τὸ προκαλεῖσθαι, ὅπερ ἐστὶν εἰς συμβάσεις καὶ συνθήκας καὶ διαλλαγὰς παρακαλεῖν.] ἐπὶ τῷ προκαλεῖσθαι εἰς δίκας. R.

1042. (ὡς τὸν πολέμαρχον : Ὄνομα ἀρχῆς. οὐ τοῖς πολίταις τοῦτο προσῆψεν, ἀλλὰ τοῖς ξένοις. αἱ γὰρ ξενικαὶ δίκαι ἐπὶ τοῦ πολεμάρχου εἰσήγοντο. οἱ δὲ καὶ βοηθείας δεόμενοι ἐπὶ τὴν ἀρχὴν κατέφευγον τοῦ πολεμάρχου. ἀλλὰ καὶ οἱ κατηγοροῦντες γονέων κακώσεως πρὸς τὸν πολέμαρχον ἐδικάζοντο, κἀκεῖνος ἔκρινεν. Ἄλλως. πολέμαρχος, ἄρχων, πρὸς ὃν κατηγγυῶντο τοὺς ξένους.)

1044. (πέρυσι καταπρούδοτε : Ὅτι πέρυσι διδάξας τὰς πρώτας Νεφέλας ἠττήθη. περιττὴ δὲ ἡ κατά.)

1045. (ἃς ὑπὸ τοῦ μή : Τὰς καινὰς διανοίας ἀγνοήσαντες, ὑπὸ τοῦ μὴ νοεῖν, παρεκρίνατε. ἀναλδεῖς δὲ ταπεινὰς, ἀσθενεῖς.) — ἀφανεῖς, ξηράς. R.

(1050). εἴπερ ἐλαύνων τοὺς ἀντιπάλους : Ἀντὶ τοῦ ἐπιχειρῶν καὶ ἐπιτρέχων. τὸ δὲ συνέτριψεν ἀπὸ τῶν ἐρετῶν ἐπήγαγε, τῶν ὑπὸ ῥύμης συντριβόντων τὰς κώπας. [νικήσας, φησὶ, τοὺς ἀντιπάλους, τὴν ἐλπίδα τῆς νίκης ἀπώλεσε, τοῦτο γὰρ ἐπίνοιαν λέγει, παρακριθεὶς ὑπὸ τῶν κακῶς κρινάντων.] ὃ δὲ βούλεται εἰπεῖν, ὅτι οὐ χεῖρον ἐπαινεθήσεται παρὰ τοῖς σοφοῖς τοὺς ἀνταγωνιζομένους αὐτῷ νικῶν. ἔνιοι δέ φασιν ὡς ἀπὸ τῶν ἀτυχῶς ἡνιοχούντων καὶ συντριβόντων τὰ ἅρματα τὴν μεταφορὰν ἐδέξατο, ἐπειδὴ πρὸς τὸ παρελαύνων ἐπήνεγκε τὸ ξυνέτριψε. τὰ νοήματα δὲ τὰ ἐπινοήματα τῶν δραμάτων.

1051. πνῖγος τὸ καὶ μακρόν. V.

1053. κἀξευρίσκειν : καινὰς ἐπινοίας καὶ ὑποθέσεις. *V. Vict.*

1057. (μετὰ μήλων : Εἰώθασι γὰρ μῆλα εἰς τὰς κιβωτοὺς βάλλειν ὡς χάριν εὐοσμίας.) — Ἀττικὸν τὸ σχῆμα ἀντὶ τοῦ ἱμάτια. V.

1059. (δεξιότητος : Δεξιοὶ δόξετε εἶναι. ἀντὶ τοῦ εἰπεῖν δὲ, ὀσμῆς, δεξιότητος εἶπεν, ὡς πρὸς τὸ πρᾶγμα.)

1060. ὦ πάλαι ποτ' : (Ὁ χορὸς πρὸς ἑαυτὸν,) παρὰ τὸ

πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι.

1062. ἐν τούτῳ τῷ πολεμεῖν. V.

1063. (πρὶν ταῦτα : Τὰ πρὶν κατορθώματα ἀπώλετο. Δίδυμός φησιν ὡς παρῴδησε ταῦτα ἐκ τῶν τοῦ Τιμοκρέοντος τοῦ Ῥοδίου.)

1065. (αἰὸ' ἐπανθοῦσι τρίχας : Ἢ τότε αὐτοὺς δείξουσιν οὗτοι τοὺς κροτάφους. οἱ δὲ διαιροῦσιν ἀπ' ἄλλης ἀρχῆς τοῦτο, οἷδ' ἐπανθοῦσι τρίχας, ἵν' ᾖ περὶ τῶν νεωτέρων ὁ λόγος. καὶ γὰρ τὰ ἑξῆς περὶ αὐτῶν φησι.)

1066. ἐκ τοῦ ὑπολοίπου τοῦ γήρους. V.

1068. (γῆρας εἶναι κρεῖττον : Διαβάλλει τοὺς νέους ὁ ποιητὴς μὴ δυναμένους κατὰ τοὺς ἀρχαίους κωμῳδεῖν. κικίννους δὲ ἔλεγον τὰς περιεστεμμένας καὶ τετημελημένας τρίχας. σχῆμα δὲ τὴν σκευὴν καὶ τὸν κόσμον.)

1071. (εἴτις ὑμῶν ὦ θεαταί : Τοῦτό ἐστιν ἐπίρρημα. τὸ δὲ ἐπίρρημα ὡς ἐπίπαν ὀκτωκαίδεκα στίχων ἢ ιϛ' ἢ ις'. ἐνθάδε δὲ εἴκοσι.)

1072. διεσφηκωμένον : Εἰς σφῆκας διεσκευασμένον. ταῦτα δὲ πρὸς τὴν σκευὴν, ἣν περιέθετο ὁ χορὸς, τὴν τῶν σφηκῶν ποικιλίαν μιμούμενος, περὶ τοῦ σχήματος ἀπολογούμενός φησιν. Ἄλλως. διαδεδεμένον. (κρεῖττον δὲ μέσον σφήκωμα φαινόμενον. ἔχουσι γὰρ κεντρίδας, ὡς εἰς σφῆκας σχηματιζόμενοι.)

1073. τοῦ κέντρου. V.

1074. (ῥᾳδίως ἐγὼ διδάξω : Ὁ στίχος Εὐριπίδου ἐκ Σθενεβοίας. τὸ δὲ ἦ [v. 1091] ἀντὶ τοῦ ἦν Ἀττικὸν, ὡς τὸ « ἦ παρεσκευασμένος » ἐν Πλούτῳ [77]. τοὐρροπύγιον δὲ τὸ ἐγκεκεντρωμένον λέγει.)

1078. (ὁ βάρβαρος : Τὴν ἐν Μαραθῶνι κατὰ τοῦ Δαρείου νίκην λέγει.) — συνεχῶς εἰσάγονται τῶν Μηδικῶν μεμνημένοι, ὥστε τὰ γενόμενα παίδων ὄντων ἑαυτοῖς ἀνατιθέναι ἐπὶ τῷ τοὺς νέους καταπλήττεσθαι. V.

1080. τἀνθρήνια : Νῦν τὰ τῶν σφηκῶν κηρία. (κυρίως δὲ τὰ τῶν ἀνθρηνῶν σμήνη.) ἀνθρήνας δὲ οἱ μὲν τὰς μελίσσας, οἱ δὲ ἕτερον ζῷον κηροποιὸν παραπλήσιον σφηκί. (Ἄλλως. οἱ τόποι ὅπου κατοικοῦσιν οἱ σφῆκες. δέον δὲ ἦν εἰπεῖν τὰς οἰκίας.) — μενοινῶν : Φροντίζων, μεριμνῶν, προθυμῶν. *Vict.*

1081. τὸ τοῦ Ἀχαιοῦ ἀπὸ Μώμου δράματος. V.

1082. (θυμὸν ὀξίνην : Ἀντὶ τοῦ ὁριμεῖαν ὀργήν.)

1083. τὴν χελύνην ἐσθίων : Ἀντὶ τοῦ τὰ χείλη. οἱ γὰρ ὀργιζόμενοι ἐνδάκνουσι τὰ χείλη.

(1084). ὑπὸ δὲ τῶν τοξευμάτων : Τῶν πεμπομένων ὑπὸ τῶν βαρβάρων. τῷ γοῦν ἀπαγγείλαντι, [ὡς ὑπὸ τῶν τοξευμάτων τῶν βαρβάρων οὐκ ἦν ἰδεῖν τὸν οὐρανὸν,] Λεωνίδας ὁ τῶν Λακεδαιμονίων στρατηγὸς εἶπεν· ἀγαθὰ ἀγγέλλεις, ὦ ξένε, εἰ ὑπὸ σκιὰν μαχούμεθα.

1086. γλαῦξ : Τὸ γλαῦξ ὄνομα, φησὶν Εὐφρόνιος, οἱ Ἀττικοὶ μὲν περισπῶσιν, οἱ δὲ Δωριεῖς ὀξύνουσιν. γλαῦκα δὲ τὴν Ἀθηνᾶν καλεῖ. (Ἄλλως. φασὶ κατὰ τὸ ἀληθὲς γλαῦκα διαπτᾶσθαι τὴν νίκην τοῖς Ἀθηναίοις ἀπαγγέλλουσαν.)

1087. θυννάζοντες : Κεντοῦντες (ὡς τοὺς θύννους τοῖς τριόδουσι, μεταφορικῶς).

θυλάκους : Θυλάκους φασὶν εἶναι τὰ περὶ τοῖς σκέλεσι καὶ τοῖς μηροῖς Περσικά. (εἶδη βρακίων παρὰ Πέρσαις. θυννάζοντες εἰς τοὺς θυλάκους, ἀντὶ τοῦ εἰσπηδῶντες εἰς τὰς ἀναξυρίδας.)

1088. (κεντούμενοί : Τοῦτο πρὸς τὴν ὁμοιότητα τῶν σφηκῶν.)

1091. (ἆρα δεινός : Ἡ ἀντῳδὴ καὶ ἀντιστροφὴ ὁμοία ἐστὶ τῇ ᾠδῇ. καὶ αὕτη γὰρ κώλων ἐστὶ καὶ στίχων ια′, καὶ τὰ μὲν τροχαϊκὰ, τὰ δ' ἔχει ἰαμβικὰ, πλὴν ἐν τῷ ζ′ κώλῳ τὸν τρίτον ἔχει πόδα χορεῖον. ἐπὶ τῷ τέλει αἱ συνήθεις δύο διπλαῖ. τὸ δὲ ἢ κἀνταῦθα ἀπὸ τοῦ ἔα κατὰ κρᾶσιν ἢ ἀντὶ τοῦ ὑπῆρχον ἐγώ.)

1094. (οὐ γὰρ ἦν ἡμῖν : Τὸ φροντὶς ἐνταῦθα συνάπτεται.)

1095. (ῥῆσιν εὖ λέξειν : Ὡς οἱ νῦν ἀσκοῦσι μόνον τὸ εὖ λέγειν, οὐ τὰ πολεμικά.)

1098. (πολλὰς πόλεις : Ἴσως ὑπὸ Μήδους γενομένας Ἀθηναίων.)

1101. [πολλαχοῦ : Τὸ ἀντεπίρρημα ὅμοιόν ἐστι τῷ ἐπιρρήματι, καὶ τοῦτο ἐκ τῶν εἰωθότων στίχων τροχαϊκῶν, ὑφ' ὃ διπλῆ ἔξω νενευκυῖα.]

1108. οἱ δὲ παρὰ τοὺς ἕνδεκα : (Ἐτήρουν οἵδε τοὺς δεδεμένους. οὗτοι δὲ νῦν θεσμοφύλακες καλοῦνται. Ἄλλως.) ἡ τῶν ἕνδεκα ἀρχὴ τοὺς μὲν ὁμολογοῦντας καὶ ἀνδραποδιστὰς καὶ λωποδύτας θανάτῳ ἐκόλαζον, τοὺς δὲ ἀρνουμένους εἰς δικαστήριον εἰσῆγον. (εἰσῆγον δὲ καὶ τὰς ἐνδείξεις.) ἔνδειξις δέ ἐστι δίκη, ὥς φησιν ὁ Παλαμήδης, κατὰ τῶν τὰ δημόσια πωλούντων.

1109. (οἱ δ' ἐν ᾠδείῳ : Ἔστι τόπος θεατροειδὴς, ἐν ᾧ εἰώθασι τὰ ποιήματα ἀπαγγέλλειν, πρὶν τῆς εἰς τὸ θέατρον ἀπαγγελίας. τοῦτο δέ φησι δεικνὺς ὅτι εἰς πάντα τόπον εὑρήσει τις δικαστὰς ἐν τῇ Ἀττικῇ. Ἄλλως. τοῦτο οὐ πρὸς ἀλήθειαν, ἀλλὰ πρὸς τὸ πλῆθος τῶν δικῶν. τάχα δὲ καὶ τὰς διαίτας δηλοῖ.)

1110. (συμβεβυσμένοι : Πυκνώσαντες ἑαυτοὺς καὶ κάμψαντες διὰ τὸ γῆρας. Ἄλλως. τὸ πυκνὸν πρὸς τὸ ξυμβεβυσμένοι. παίοντες δὲ μόλις τῇ βακτηρίᾳ, ὡς ἂν γέροντες. ἢ ὑπὸ τοῦ συμπεπυκνῶσθαι. ἐδίδοντο δὲ καὶ βακτηρίαι τοῖς δικασταῖς ὁμόχροοι τοῖς δικαστηρίοις, ὅπου ἑκάστους εἰσελθόντας δικάζειν ἔδει, ἵνα τὸν διαμαρτάνοντα ἀπελέγξῃ τὸ χρῶμα.)

1111. (ὥσπερ οἱ σκώληκες ἐν τοῖς κυττάροις : Τουτέστιν ἠρέμα, ὡς οἱ σκώληκες, διὰ τὸ γῆρας. κύτταροι δὲ αἱ τῶν κηρίων κοιλότητες. ἔστι δὲ ἡ πυελὶς ἡ περικειμένη ταῖς βαλάνοις. Ἄλλως. καὶ τῶν σφηκῶν τὰ κοῖλα καὶ τὰ τῆς πεύκης καὶ τὰ τῆς πίτυος προανθοῦντα στροβίλια, καὶ ὁ πυθμὴν, καὶ ἡ κατάτρησις. οἱ δὲ καὶ τὰ ἐν τοῖς κηροῖς τρήματα, ἢ τὰ κοῖλα ἄγγη, καὶ τῶν αἰδοίων τοὺς βαλάνους.)

1114. (ἀλλὰ γὰρ κηφῆνες : Τοὺς ἐπὶ τοῦ βήματος λέγει ῥήτορας. κηφῆνες δέ εἰσιν οἱ ἄρσενες τῶν μελισσῶν, οἵτινες οὔτε κέντρα ἔχουσιν, οὔτε κηρία ἐργάζονται, ἀλλὰ τὰ τῶν μελισσῶν ἔργα ἐσθίουσιν. Ἡσίοδος [Op. 302]

κηφήνεσσι κοθούροις ἴκελος ὁρμὴν,
οἵτε μελισσάων κάματον τρύχουσιν ἀεργοὶ
ἔσθοντες.)

1116. ὡσανεὶ ἔφη τὸν γόνον τῶν μελισσῶν. R.

1119. (φλύκταιναν : Φύσκαν ἐν τῇ χειρὶ ἐκ τοῦ κωπηλατεῖν.)

1120. ἔμβραχυ : Καθάπαξ, ἢ παντάπασι τὸ ἔμβραχυ, Ἀττικὴ συνήθεια, (οὐδὲν πλέον δηλοῦσα ἢ τὸ βραχὺ, ὡς ἐμφαγεῖν τὸ φαγεῖν. καὶ παρ' Εὐριπίδῃ [Phœn. 739] τὸ ἐνδυστυχῆσαι ἀντὶ τοῦ δυστυχῆσαι).

1122. οὗτοι ποτὲ ζῶν : (Καυνάκην ἀμφιάσαι βούλεται τὸν πατέρα ὁ υἱὸς, ἀφελόμενος τὸ τριβώνιον.) φησὶν οὖν ὅτι τὸν τρίβωνα οὐκ ἀφαιρῶ (ἐμαυτοῦ. τὸν γὰρ τρίβωνα περισπάσας θέλει αὐτὸν καυνάκην ἐνδῦσαι. καυνάκης δὲ χλαῖνα Περσικὴ ἀλεεινὴ, παρὰ τὸ ἀλεαίνεσθαι. ὁ δὲ Παλαμήδης φησίν· καυνάκης ἐστὶ Περσικὸν ἱμάτιον, ἔχον ἐκ τοῦ ἑτέρου μέρους μαλλούς.) [Ἄλλως. καυνάκης εἶδος ἱματίου, ὅπερ καὶ περσίδα καλοῦσιν. οἱ δὲ σισύραν Θυμαιτίδα, ὅπερ ἔοικε Μορύχου σάγματι. σάγμα δὲ ἡ θήκη τοῦ ὅπλου, ὡς ἐν τοῖς ἑξῆς. ἐπεστρατεύσατο δὲ, σφοδρῶς ἐπῆλθε τοῖς ἡμετέροις μαχεσόμενος σώμασι.] μήποτε τὸν πνεύσαντά φησι βορέαν ἐπὶ τῷ Ἀρτεμισίῳ καὶ διαφθείραντα τὸν τῶν βαρβάρων στόλον. καλῶς δὲ ἐπεστρατεύσατο. πολὺς γὰρ ἐπελθὼν κατέδυσεν αὐτῶν τὰ σκάφη, (βοηθῶν Ἀθηναίοις).

1126. οὐδαμῶς μοι ξύμφορον : Οὐ λυσιτελεῖ μοι, φησὶ, πολυτελῆ ἀμφιέννυσθαι. (καὶ γὰρ πρώην ἰχθύδια ἐσθίων ὀπτὰ, καταστάξαντος ζωμοῦ ἐπὶ τὸ ἱμάτιον, τριώβολον ἔδωκα τῷ γναφεῖ μισθὸν, τουτέστι τῷ πλύνοντι τὰ ἱμάτια.)

1128. ἐπὶ τὸ ἱμάτιον. R.

1132. (τριβωνικῶς : Ἐὰν μὲν τριβωνικῶς, ὥσπερ τριβώνιον τετριμμένῳ καὶ ἀσθενήσαντι. ἐὰν δὲ γεροντικῶς,) ὡς πρέπει γέροντι.

1133. (φυτεύειν : Γεννᾶν.)

1134. ἀποπνῖξαι : (Διὰ τὸ καῦμα τὸ ἀπὸ τῆς καυνάκης.) — ὑπὸ κρύους δηλονότι παρὰ τὴν ὑπόνοιαν. καινὸν δὲ λαμβάνει ἱμάτιον. R.

1136. (τουτὶ τὸ κακόν : Τὸ καινὸν παρ' ὑπόνοιαν. ἐπεὶ καινὸν παραλαμβάνει ἱμάτιον.)

1137. (οἱ δὲ καυνάκην : Ἔοικε τὸ βαρβαρικὸν εἶναι φόρημα.)

1138. ἐγὼ δὲ σισύραν : Ἀπὸ δήμου. φαίνεται καὶ ἡ σισύρα βαπτή. R. (σισύραν εἶπε οὐ τὸ μαλλωτὸν στρῶμα, ἀλλὰ βαίταν. ἔστι δὲ ἡ ἀπὸ δερμάτων συρραπτομένη χλανίς. Θυμαιτίδα δὲ εἶπεν ἀπὸ δήμου τῆς Ἱπποθοωντίδος φυλῆς, ὡς ἐκεῖ τῶν βαιτῶν γινομένων, ἀπὸ Θυμοίτου ἥρωος. μήποτε δὲ γραπτέον Θυμοιτίδα.)

1139. (εἰς Σάρδεις : Εἰς Σάρδεις γὰρ ἐπωλεῖτο τὰ Περσικὰ ἱμάτια. Σάρδεις δὲ πόλις Λυδίας ὑπὸ Πέρσαις, ἀναγκαίως οὖν Περσικὰ ἐφόρουν.)

1141. (οὐ τοίνυν γ', ἀτάρ : Οὐκ ἦλθον εἰς Σάρδεις.)

1142. (Μορύχου σάγματι : Μόρυχος ὠχρός. σάγματι δὲ τῷ μαλλωτῷ σάγῳ, ᾧ ἐχρῆτο ὡς τρυφερὸς πλείονι θάλπει χρώμενος. Ἄλλως. τῶν περὶ τρυφὴν ἐσπουδακότων ὁ Μόρυχος. σάγματι δὲ, ἐπεὶ παχέα. ἴσως ὡς ἐκείνου παχεῖ σάγματι χρωμένου. Ἐκβάτανα δὲ πόλις

Περσῶν. κρόκη δὲ ῥοδάνη καὶ κροκύφαντος, ὅτι διὰ κρόκης ὑφαίνεται.)

1144. (χόλιξ : Χόλιξ λέγεται τὸ τοῦ βοὸς ἔντερον μαλλωτὸν, ὅ ἐστιν ὁ ἐκ κρόκης μαλλός. Ἄλλως. τὰς ἐξοχὰς τῶν κρόκων εἰκάζει χόλικι. τοῦτο δὲ Ἀρτεμίδωρος λέγει, τὰς ἐπὶ τῆς κοιλίας λεγομένας χολάδας. Εὐφρόνιος δὲ οὐ τὰ ἔντερα καθ' αὑτὸ, ἀλλὰ πᾶν σὺν τῷ λίπει καὶ τοῖς ὑμέσιν.)

1148. ἐριώλην : Ἐρίων ἀπώλειαν, (παρὰ τὸ τὰ ἔρια ἀναλῶσαι).

1151. (κατήρυγε : Κατέπνευσεν, ὡς ἐπὶ τῶν μετὰ τροφὴν ἐρευγομένων.)

1156. (διερρυηκέναι : Πρὶν συμπεσεῖν ἀπὸ τῆς ὀπτήσεως τὰ κρέα μου. ἐμβάδας τὰ δικαστικὰ ὑποδήματα.)

1158. τὰς Λακωνικάς : ἀστειότεραι γὰρ αὗται. R. (ἀνδρεῖα ὑποδήματα. ἢ ἀστειότερα· ὡς αὐτὸς Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις [142]

ποῦ τὸ πέος ; ποῦ χλαῖνα ; ποῦ Λακωνικαί ;

ὁ δὲ Φιλοκλέων ἀποσείεται αὐτὰς, ὡς ἐχθρῶν Ἀθηναίοις τῶν Λακεδαιμονίων. καττύματα δὲ δέρματά τινα ἰσχυρὰ καὶ σκληρὰ, ἅπερ τοῖς σανδαλίοις καὶ ἄλλοις ὑποδήμασιν ὑποβάλλεται.)

1161. (ἔνθες : Ἔνθες τὸν πόδα σου εἰς τὴν Λακωνικὴν ἀνύσας, καὶ περιπάτει ἐρρωμένως. ἔνθες ἀντὶ τοῦ ὑπόδυσαι. ἅμα μὲν πρὸς τὸ ὑπόδημα, ἅμα δὲ πρὸς τὴν χώραν.)

1163. εἰς τὴν πολεμίαν : ἅμα μὲν πρὸς τὸ ὑπόδημα, ἅμα δὲ πρὸς τὴν χώραν. R. (ὁ μὲν εἶπε τὴν Λακωνικὴν ἐμβάδα, ὁ δὲ ὑπενόησε λέγειν αὐτὸν τὴν χώραν.)

1167. (χίμετλον : Ὅτι κυρίως νῦν τὸ ἀπὸ τοῦ ψύχους ἐπὶ τῶν δακτύλων τραῦμα. λέγεται δὲ καὶ μέρος τι τοῦ ποδὸς, περὶ ὃ τὸ πάθος. καὶ ὅτι χίμετλον οὐ λέγουσιν ἑνικῶς, πληθυντικῶς δὲ χίμετλα. παρ' ὑπόνοιαν δὲ ἀντὶ τοῦ εἰπεῖν ἀγαθὸν οὐδὲν λήψομαι. ὅστις τὰ τῶν γερόντων οὐ λήψομαι.)

1169. διασαλακώνισον : (Ἀβρύνθητι καὶ διαθρύφθητι.) οἱ δὲ λυκώνισον ἀπὸ Λύκωνος μαλακοῦ, τοῦ Αὐτολύκου πατρός. (Ἄλλως. ἔοικεν ἐμφαίνεσθαι τῷ ὀνόματι τὸ σαλακωνεύεσθαι, τουτέστι τὸ σαλεύειν τὸν πρωκτόν. ἔν τισι μὲν διαλυκώνισον. ἐν δὲ τῇ Ἀρτεμιδώρου συναγωγῇ διαλακώνισον. αἰτία δὲ τοῦ λεξειδίου ἡ συνήθεια. μήποτε γὰρ καὶ πεποίηται ὑπ' αὐτοῦ. εἰ δὲ μὴ ἀπεσχεδίασται τὸ διαλυκώνισον, τάχα ἂν λέγοιτο ἀπὸ Λύκου πεντάθλου. φαίνεται γάρ τις καὶ μαλακώτερος γενέσθαι. Ἀμειψίας « εἰ μὴ θανοῦσιν ἐστί τις τιμὴ καταβῶμεν. » οἱ μὲν τὸν πένταθλον αὐτὸν Λύκωνα. ὁμοίως δ' ἐστὶ καὶ παρ' Ἑρμίππῳ ἐν τοῖς Τετραμέτροις « ὕστερον δ' αὐτὸν « στρατηγὸν, οὓς ἀνειλωτημένην | καὶ κασαλβάζουσαν « εἶδον καὶ σεσαλακωνισμένην. » Ἄλλως. ἁβρῶς καὶ μαλθακῶς σαυτὸν διακίνησον. ἀπό τινος Σαλάκωνος τρυφηλοῦ. τινὲς δὲ σαλακωνίσαι φασὶ τὸν πρωκτὸν αἰσχρῶς κινῆσαι. σαῦλον δὲ καλεῖται τὸ φαῦλον καὶ διερρυηκός.)

1172. ὅτῳ δοθιῆνι : Ἀπροσλόγως παίζει. (καὶ τοῦτο τῷ διασαλακωνίσαι ὅμοιον. ἢ πρὸς τὸν πατέρα ἁμόρφως ἠμφιεσμένον τὴν καυνάκην καὶ ἀναρμόστως, ὡς καὶ τὸ σκόροδον τῷ δοθιῆνι ἀνάρμοστον ὡς εἰς θεραπείαν. δοθιὴν δὲ φῦμα φλυκταίνῃ ἐοικός.)

1173. σαυλοπρωκτιᾶν : Σαλεύειν τὸν πρωκτόν. σαῦλον δὲ τὸ κοῦφον.

1177. πρῶτον μὲν, ὡς ἡ Λάμια : Ὅτι οὐκ οὖσαν τὴν Λάμιαν ὑποτίθεται. (διὸ τὸ χ.) τοῦτο δὲ ἐν μύθῳ λέγεται.

1178. (Καρδοπίων : Καὶ τοῦτο ἀρχὴ μύθου. Δίδυμος· ὁ Καρδοπίων ζητητέος. οὐδαμοῦ κωμῳδεῖται. ἀλλ' Ἀγκυλίων, ἐπὶ τῷ τὴν μητέρα διατιθέναι. λείπει δὲ ἔτυψεν.) — ὡς ὁ Καρδοπίων τὴν μητέρα : Λείπει ἐτύπτησεν. *Vict.*

1182. μῦς καὶ γαλῆ : (Πρὸς τὴν συνήθειαν, ὅτι τὸν μῦθον προέταττον οὕτως, οἷον, ἦν οὕτω γέρων καὶ γραῦς. καὶ Πλάτων ἐν Φαίδρῳ [p. 237, B] « ἦν οὕτω δὴ παῖς, « μᾶλλον δὲ μειρακίσκος· τούτῳ δ' ἦσαν ἐρασταὶ πάνυ « πολλοί. » Ἄλλως.) ἀρχὴ μύθου μῦς καὶ γαλῆ. (τοῦτο δὲ πρὸς τὸ κατ' οἰκίαν εἰρημένον τῷ Βδελυκλέωνι, οἰόμενος περὶ μυθαρίων αὐτὸν λέγειν.)

1183. Θεογένης : (Ὁ Θεογένης οὗτός ἐστιν) ὁ Ἀχαρνεὺς, ὃν καὶ ἐπὶ τῷ μεγάλα ἀποπατεῖν κωμῳδοῦσιν. — δῆλον δὲ ἐν ταῖς Ὥραις. V.

1184. τῷ κοπρολόγῳ : Μεγαλοφυὴς γὰρ ὢν καὶ ἁλαζὼν παρῃτεῖτο ὡς μικρὰ ταῦτα ἀκοῦσαι.

1187. (ὡς ξυνεθεώρεις : Ἐμφαίνει μὲν ὡς περὶ γεναίων τινῶν καὶ λαμπρῶν. Ἀνδροκλέα δὲ Κρατῖνος Σεριφίοις φησὶ δοῦλον καὶ πτωχὸν, ἐν δὲ Ὥραις ἡταιρηκότα Ἀριστοφάνης τὸν αὐτόν· Τηλεκλείδης δὲ ἐν Ἡσιόδοις καὶ Ἐκφαντίδης βαλλαντιοτόμον. ὁ δὲ Κλεισθένης ἐπὶ μαλακίᾳ γνωριμώτατος, ἕτερος δὲ γενναῖος ἡ λαμπρὸς Κλεισθένης οὐ πάνυ. Ἄλλως. δέον αὐτὸν εἰπεῖν ἐπίσημα ὀνόματα, τούτους εἶπεν, ἵνα αὐτοὺς διαβάλῃ.)

1189. πλὴν ἐς Πάρον : Ἐπαιξεν ἀντὶ τοῦ ὅτε εἰς Πάρον ἐστρατευσάμην. R. (ἀντὶ τοῦ μισθωτὸς ὢν στρατιώτης. τὸ δὲ Πάριον τοῦ Πόντου πόλις. καὶ παροιμία

ἐν Παρίῳ ψυχρὸν μὲν ὕδωρ, καλαὶ δὲ γυναῖκες.)

(δύ' ὀβολὼ φέρων : Ἀντὶ τοῦ μισθοφορῶν τοσούτου. Πάρον δὲ οἱ μὲν τόπον, οἱ δὲ κατὰ παιδιὰν εἰρῆσθαι κωμικὴν τὴν Πάρον. ἰκρίοις δὲ θεωροῦντες τοὺς δύο ὀβολοὺς παρεῖχον τοῖς ἀρχιτέκτοσιν.)

1191. Ἀσκώνδα καλῶς : (Τὸ χ',) ὅτι περὶ τοῦ Ἐφουδίωνος [ὡς] ἀληθῶς ἱστορεῖ. (Ἄλλως. ὅτι κατεψευσμένοι φαίνονται οὗτοι παγκρατιασταὶ ἐπὶ παιδιᾷ. ὁ δὲ Ἀσκώνδας καὶ ἐξ αὐτοῦ τοῦ ὀνόματος. εἰ μὴ ἄρα ὁ Ἐφουδίων ἐστὶν ὁ ἐν ταῖς Ὀλυμπιάσι φερόμενος Ἐφουδίων Μαινάλιος οθ'.)

1195. θώρακ' ἔχων : Τὸν πολεμικὸν ὑπενόησε [χιτῶνα, τοῦ Βδελυκλέωνος τὸ στῆθος εἰπόντος. θώραξ γὰρ καὶ τὸ στῆθος δηλοῖ, παρὰ τὸ τὸ θεῖον ὠρεῖν, του-

τέστι φυλάττειν τὸ διανοητικὸν, ὅ ἐστιν ἐν ἡμῖν θεῖον. ὅθεν καὶ τὸ θωρήξασθαι, ὡς ἐν Ἀχαρνεῦσιν [1132] εἴρηται, οὐ μόνον τὸ καθοπλισθῆναι, ἀλλὰ καὶ τὸ μεθυσθῆναι σημαίνει, διὰ τὸ θερμαίνειν τὸ στῆθος. καὶ ἀκροθώρηκας τοὺς ἀκρομεθύσους ἐκάλουν. φησὶν οὖν, πῶς ἂν μαχέσαιτο παγκράτιον καθωπλισμένος; ἐπειδὴ νόμος ἦν τοὺς γυμναστὰς γυμνοὺς εἰς τὸν ἀγῶνα εἰσέρχεσθαι.]

1197. (παρ' ἀνδράσι ξένοις: Ἔθος γὰρ ἐπὶ τοῖς ξένοις καυχᾶσθαι.)

1198. (σεαυτοῦ: Ὃ αὐτὸς σεαυτῷ περιεποιήσω.)

1201. Ἐργασίωνος: Γεωργοῦ. θηλυκῶς δὲ ἐπὶ τῶν ἀμπέλων (ἡ χάραξ, ἀρσενικῶς δὲ ἐπὶ τῶν πρὸς πολιορκίαν. χάραξ δέ ἐστι τὸ λεπτὸν ξύλον, ᾧ προσδεσμοῦσι τὴν ἄμπελον, ἵνα μὴ ὑπὸ τῶν ἀνέμων συντριβῇ.)

1203. λαμπάδα ἔδραμες: (Εἰ οἶδας σεαυτὸν λαμπαδοδρομήσαντα.) ὅτι γὰρ καὶ ἠγωνίζοντο δρόμῳ λαμπάδας ἔχοντες ἐν τῷ Κεραμεικῷ φανερόν.

1206. (Φάϋλλον: Εἴρηται περὶ Φαύλλου ἐν τοῖς Ἀχαρνεῦσιν [213]. ὁ βούπαις δὲ ἡλικίας ὄνομα, ὁ νέος ἐφῆλιξ.)

1207. (εἶλον διώκων: Ἀντὶ τοῦ εἰπεῖν ὅτι ἐνίκησα δρόμῳ, πάλιν περὶ δίκης φησί. δρομεὺς δὲ ἄριστος ὁ Φάϋλλος. ξυνουσιαστικὸς δὲ κοινωνικός.)

1211. ὠδὶ κελεύεις: Νεανικῶς. φαίνεται ὅτι πρὸς τῷ στόματι τὰ γόνατα ἔχων κατεκλίθη. (γυμναστικῶς δὲ, παλαιστρικῶς. χύτλασον δὲ, διάχυσον σεαυτὸν, ὑγρῶς ἄλειψαι. χυτλάζειν δὲ τὸ μιγνύναι καὶ διαχεῖν. χύτλα δὲ κυρίως τὸ ὑγροῦ ἔτι ἀπὸ ὕδατος ὄντος τοῦ σώματος ἀλείψασθαι. καὶ χύτλον τὸ ὑδρέλαιον.)

1214. (ἐπαίνεσόν τι τῶν χαλκωμάτων: Ὡς οἱ ἐν συμποσίοις ἀνακείμενοι πρὸ τοῦ προσφάγια εἰσενεχθῆναι ἐπαινοῦσι τὰ ἐν τῇ οἰκίᾳ σκεύη, καὶ τὴν οἰκίαν, καὶ τὰ ἐν τῇ αὐλῇ.)

1215. κρὲξ ὄρνεον παραπλήσιον γεράνῳ. R.

1216. (ὕδωρ κατὰ χειρός: Λείπει τὸ αἴτησον. οὕτως δὲ ἔθος λέγειν, ὕδωρ κατὰ χειρὸς, πρὸ τοῦ εἰσαχθῆναι τὴν τράπεζαν· μετὰ δὲ τὸ δειπνῆσαι, ἀπονίψασθαι δὸς ὦ παῖ.)

1219. (ἐνύπνιον ἑστιώμεθα: Ὅτι εἴρηται μὲν τὰ ἐν συμποσίῳ, οὐ μὴν γεγένηται, ὡς ὄνειρόν φησιν ἑορακέναι.)

1221. Ἀκέστορος: Ἐπεὶ καὶ αὐτὸν τὸν Ἀκέστορα ξένον κωμῳδοῦσι τὸν τραγικὸν, (ὃς ἐκαλεῖτο Σάκας. Θεόπομπος Τισαμενῷ οὐ κοινῶς ξένον, ἀλλὰ Μυσόν·

τὸν δὲ Μύσιον
Ἀκέστορ' ἀναπέπεικεν ἀκολουθεῖν ἅμα.

καὶ Μεταγένης Φιλοθύτῃ ὁμοίως

ὦ πολῖται, δεινὰ πάσχω. τίς πολίτης δ' ἐστὶ νῦν
πλὴν ἄρ' ἢ Σάκας ὁ Μυσὸς καὶ τὸ Καλλίου νόθον;

1222. (τὰ σκόλι' ὅπως δέξῃ καλῶς: Ἀρχαῖον ἔθος ἑστιωμένους ᾄδειν ἀκολούθως τῷ πρώτῳ, εἰ παύσαιτο τῆς ᾠδῆς, τὰ ἑξῆς. καὶ γὰρ ὁ ἐξ ἀρχῆς δάφνην ἢ μυρρίνην κατέχων ᾖδε Σιμωνίδου ἢ Στησιχόρου μέλη ἄχρις οὗ ἤθελε, καὶ μετὰ ταῦτα ᾧ ἐβούλετο ἐδίδου, οὐχ ὡς ἡ τάξις ἀπήτει. καὶ ἔλεγεν ὁ δεξάμενος παρὰ τοῦ πρώτου τὰ ἑξῆς, κἀκεῖνος ἐπεδίδου πάλιν ᾧ ἐβούλετο. διὰ τὸ πάντας οὖν ἀπροσδοκήτως ᾄδειν καὶ λέγειν τὰ μέλη, σκολιὰ εἴρηται, διὰ τὴν δυσκολίαν. Ἄλλως. ὅπως παραδέξῃ. ἐν κύκλῳ γὰρ ᾖδον τὰ σκολιὰ, ἃ εἰσὶ παροίνιοι ᾠδαί.)

1223. (ὡς οὐδείς γε Διακρίων: Ὡς εἰς ταύτην ἑαυτὸν ἀναπέμπων τὴν τάξιν τοῦ πολιτεύματος. κατὰ γὰρ τοὺς Σόλωνος νόμους τρεῖς ἦσαν αἱ τάξεις, μία μὲν τῶν Παραλίων, ὧν προειστήκει Μεγακλῆς, ἑτέρα δὲ τῶν Πεδιέων, ὧν προειστήκει Λυκοῦργος, τρίτη δὲ τῶν Διακρίων, ὧν προειστήκει Πεισίστρατος. τὴν δὲ χώραν τὴν Διακρίαν Πανδίονά φασι τοῖς υἱοῖς διανείμαντα τὴν ἀρχὴν Αὐκῳ δοῦναι, Αἰγεῖ δὲ τὴν περὶ τὸ ἄστυ, Πάλλαντι δὲ τὴν παραλίαν, Νίσῳ δὲ τὴν Μεγαρίδα.)

1227. (οὐχ οὕτω γε πανοῦργος: Τοῦτο εἶπεν, ὡς διαδεχόμενος αὐτὸν κατὰ τὴν τάξιν τῶν τὰ σκόλια λεγόντων. οὐδὲν δὲ τοῦτο πρὸς τὸ ἑξῆς τοῦ σκολίου, ἀλλ' εἰς τὸν ὅθεν λέγοντα Κλέωνα αἰνίττεται.)

1234. (ἄνθρωφ' οὗτος ὁ μαινόμενος: Παρὰ τὰ Ἀλκαίου « ὤνηρ οὗτος ὁ μαιόμενος τὸ μέγα κράτος, ἀν-
« τρέψει τάχα τὰν πόλιν· ἁ δ' ἔχεται ροπᾶς. » ἀντὶ τοῦ ζητῶν μέγα κράτος. οὕτω δὲ Αἰολεῖς.)

1235. (ἀνατρέψεις: Ἀνατρέψεις ταχέως τὴν πόλιν, ἥτις πρὸς τοῦτο ῥέπει. ἐκ τῶν Ἀλκαίου δὲ παρῳδεῖ εἰς Κλέωνα ὡς μαινόμενον.)

1239. Ἀδμήτου λόγον: Καὶ τοῦτο ἀρχὴ σκολίου. (ἑξῆς δέ ἐστι)

τῶν δειλῶν ἀπέχου γνοὺς ὅτι δειλῶν ὀλίγα χάρις.

(καὶ ἐν Πελαργοῖς

ὁ μὲν ᾖδεν Ἀδμήτου λόγον πρὸς μυρρίνην,
ὁ δ' αὐτὸν ἠνάγκαζεν Ἁρμοδίου μέλος.

Ἡρόδικος δὲ ἐν τοῖς κωμῳδουμένοις καὶ τὸν Ἄδμητον ἀναγέγραφε παραθεὶς τὰ τοῦ Κρατίνου ἐκ Χειρώνων

Κλειταγόρας ᾄδειν, ὅταν Ἀδμήτου μέλος αὐλῇ.

Ἀπολλώνιος δὲ ὁ Χαίριδος, ὡς Ἀρτεμίδωρός φησι, περὶ μὲν τῆς Κλειταγόρας τῆς ποιητρίας, ὅτι ὡς ἀνδρώνυμον ἀναγέγραφε Κλειταγόραν, Ἀμμώνιος ἀπελέγχει αὐτὸν, περὶ δὲ τοῦ Ἀδμήτου παρεῖχεν. αὐτὸς δέ φησι Φανόδημον λέγειν, ὅτι φυγὰς ἐκ Φερῶν Ἄδμητος ἦλθε πρὸς Θησέα μετ' Ἀλκήστιδος καὶ Ἱππάσου τοῦ νεωτάτου τῶν παίδων καὶ κατῳκίσθη παρ' αὐτοῦ ἐν τῇ αὐτοῦ χώρᾳ· εἰς ὃν τὸ σκόλιον.) [τινὲς δέ φασιν ὡς Ἀλκήστιδος ὑπεραποθανούσης Ἀδμήτου τοῦ ἀνδρὸς αὐτῆς, σκόλια καὶ πενθήρη πρὸς αὐτὸν ᾖδοντο μέλη, μέχρις ἂν ἡ Κόρη ἀνέπεμψεν Ἄλκηστιν· ὡς δ' Εὐριπίδης, Ἀδῆ μαχεσάμενος Ἡρακλῆς. οἱ δέ φασιν ὡς ἔθος ἦν τὸν μὴ δυνάμενον ἐν τοῖς συμποσίοις ᾆσαι δάφνης κλῶνα ἢ μυρρίνης λαβόντα πρὸς τοῦτον ᾄδειν. ἔνιοι δέ φασιν

ὡς ἐκ τοῦ ἐναντίου προσηγορεύθησαν σκολιὰ τὰ παροίνια μέλη. ἁπλᾶ γὰρ αὐτὰ ἐχρῆν εἶναι καὶ εὔκολα, ὡς παρὰ πότον ᾀδόμενα. οὐκ εὖ δὲ τοῦτο· τὰ γὰρ δύσφημα ἐπὶ τὸ εὐφημότερον μεταλαμβάνεται, οὐ μὴν τοὔμπαλιν· ἀλλ' ὅτι οὐκ ἀπὸ τοῦ ἑξῆς ἡ λύρα τοῖς συμπόταις ἐδίδοτο, ἀλλ' ἐναλλάξ, διὰ τὴν σκολιὰν τῆς λύρας περιφορὰν σκολιὰ ἐλέγετο.]

1240. (τούτῳ τι λέξεις σκολιόν : Κολακικὸν τὸ σκολιὸν καὶ παρὰ Θεώρου. τοῦτο οἱ μὲν Ἀλκαίου, οἱ δὲ Σαπφοῦς· οὐκ ἔστι δὲ, ἀλλ' ἐν τοῖς Πραξίλλης φέρεται παροινίοις.)

1241. (ἀλωπεκίζειν : Πανουργεῖν, κολακεύειν. οὐδὲν δὲ τοῦτο πρὸς τὸ σκολιὸν τὸ εἰρημένον ὑπὸ Θεώρου, ἀλλ' ὡς κόλακα διαβάλλει αὐτόν.)

1244. (ἀνὴρ σοφός : Ὡς εἰ μὴ σοφὸς, οὐδὲ μουσικός.)

1245. Κλειταγόρᾳ τε : (Κλειταγόρας μέλος λέγουσι τὸ εἰς αὐτὴν) Κλειταγόραν, ἥτις ἐγένετο ποιήτρια, (Θετταλή τις γυνή. Ἁρμοδίου μέλος τὸ εἰς Ἁρμόδιον, καὶ Ἀδμήτου τὸ εἰς Ἄδμητον. ἐκ σκολιοῦ τινός ἐστιν. Ἀθηναίοις δὲ Θετταλοὶ συνεμάχησαν ἐν τῷ πρὸς τοὺς τυράννους πολέμῳ.)

1246. (πολλὰ δὲ διεκόμισας : Τοῦτο, φησὶν, ἐπάζω πρὸς τὸ σκολιὸν Αἰσχίνου, ἐπεὶ κομπαστὴς ἦν.)

1250. (εἰς Φιλοκτήμονος : Φιλοκτήμων ἄσωτος οὗτος καὶ συνεχῶς δεῖπνα ἐποίει.)

1251. τὸ δεῖπνον Χρυσέ : Μεταβαλεῖν θέλει τοὺς τρόπους τὸν πρεσβύτην. (εἰ γάρ πού τις ἐκαλεῖτο εἰς ἄριστον, ἢ εἰς δεῖπνον, τὸ ἄριστον ἢ τὸ δεῖπνον ἑαυτοῦ ἔφερε.) τὸ ὄνομα δὲ τοῦ θεράποντος Χρυσός. (πατάξαι : γράφεται καὶ καταράξαι ἀντὶ τοῦ καταβαλεῖν τὴν θύραν.)

1256. οὐδὲν πείσει ἂν συνῆς (ἀνδράσιν addit G.) ἀστείοις. R. V.

1257. παρῃτήσαντο : Οἷον παρεμυθήσαντο τὸν ἀδικηθέντα, (ἢ ἐρρύσαντο τῆς δίκης, καὶ ἀπέλυσαν τῆς αἰτίας. καὶ παρῃτεῖτο ἀντὶ τοῦ ἐλιπάρει, παρεκάλει, παρ' Ἡροδότῳ [5, 33] « ὁ δὲ ἐλθὼν παρῃτεῖτο τὸν Πέρ- « σην· τυγχάνων δὲ οὐδενὸς ὢν ἐδέετο, αὐτὸς ἔλυ- « σεν. »)

1259. (Αἰσωπικὸν γέλοιον : Μῦθοι οὗτοι ἐγένοντο. καὶ οἱ μὲν Αἰσωπικοὶ περὶ τῶν τετραπόδων ἦσαν, οἱ δὲ Συβαριτικοὶ περὶ τῶν ἀνθρωπίνων. οὗτοι δὲ οἱ μῦθοι πολιτικοὶ ἦσαν. τὸ δὲ ἑξῆς· ἔλεξας ἐν τῷ συμποσίῳ λόγον, ὃν ἔμαθες, Αἰσωπικὸν ἢ Συβαριτικόν. ἀφεὶς δὲ, ὁ παθὼν δηλονότι.)

1264. ἀπαλλάττονται. V.

1265. (πολλάκις δὴ ᾤοξα : Ὁ ποιητὴς ταῦτα λέγει ἀπὸ προσώπου τοῦ χοροῦ. παραβατικὰ δὲ τὰ μελύδρια.) παραβατικά. εἶτα τὸ ἀντεπίρρημα. R.

1267. ἀλλ' Ἀμυνίας : Κομήτης ὁ Ἀμυνίας, (Προνάπου υἱός. ὁ γὰρ Σέλλος οὐκ ἦν αὐτοῦ πατὴρ, ἀλλ' Αἰσχίνου. ἵνα οὖν καὶ τὸν Ἀμυνίαν καὶ τὸν Αἰσχίνην κωμῳδήσῃ ὡς πένητας, τοῦτο εἶπεν. ὁ δὲ κρωβύλος ἐστὶν εἶδος πλοκῆς ἐπ' ἀνδρῶν εἰς ὀξὺ λῃγούσης. ἐκ τοῦ προειρημένου δὲ προσληπτέον τὸ σκαιός μοι ἔδοξε. Σέλλου δὲ εἶπεν, ἐπειδὴ πένης Αἰσχίνης ὁ Σέλλου. ἐκ τῶν κρωβύλου δὲ, ὅτι κομήτης, ὡς ἔμπροσθεν εἶπε.) — κατὰ κοινοῦ τὸ σκαιός. V.

1268. (ἀντὶ μήλου καὶ ῥοιᾶς : Τῶν ἐπὶ τῶν δαψιλῶν ὄψων. οἷον, ὅτι οὐκ εἶχον ταῦτα, καὶ ἀντὶ τούτων αὐτὸν εἶδον.)

1270. (ἥπερ Ἀντιφῶν Ἀντιφῶν : τοῦ Ἀνδοκίδου, περὶ οὗ προείρηται. καὶ οὗτος δὲ πένης ἦν ὁ Ἀντιφῶν.)

1271. (ἐς Φάρσαλον : Φάρσαλος πόλις Θεσσαλίας. καὶ Εὔπολις ἐμφαίνει τὴν πρεσβείαν ἐν ταῖς Πόλεσιν « χἀμυνίας ἐκεῖνος ἀμέλει κλαύσεται, | ὅτι ὢν ἄγροι- « κος ἵσταται πρὸς τῷ μύρῳ· | ὅτι θεῶν ἕνεκα ἔπλευσε « κακὸς ὢν εἴσεται. » Πενέστας δὲ λέγεσθαί φασι τὸ θητικὸν παρὰ τοῖς Θετταλοῖς. ἔθνος δὲ ἦν πάλαι ἀπὸ Πενέστου τὴν ἐπωνυμίαν ἔχον, ὃς ἀνέφερε τὸ γένος εἰς Θεσσαλὸν τὸν Ἡρακλέους. δέον οὖν εἰπεῖν μετὰ τῶν πολιτευομένων συνῆν, εἶπε μετὰ τῶν Πενεστῶν, ἀντὶ τοῦ μετὰ τῶν πενήτων. καταλελυμένον γὰρ ἦν ἐκεῖνο τὸ σύστημα τῶν Πενεστῶν, καὶ λοιπὸν οἱ πένητες καὶ οἱ Θῆτες Πενέσται ἐκαλοῦντο.)

1275. (ὦ μακάρι' Αὐτόμενες : Ὁ Αὐτομένης ἔσχε τρεῖς υἱοὺς, τὸν μὲν κιθαρῳδὸν, τὸν δὲ ὑποκριτὴν, τὸν δὲ τῷ στόματι αἰσχρουργοῦντα.)

1276. ὅτι χειρ. : Μάλιστα. *Vict.*

1278. (κιθαραοιδότατον : Τῇ λέξει καὶ Εὔπολις κέχρηται ἐν Χρυσῷ γένει « ὦ κατάλαβ', ὦ κιθαραοιδότατε. »)

1279. (τὸν δ' ὑποκριτήν : Οὐκ ἔστι σαφὲς τίς τῶν ὑποκριτῶν Αὐτομένους ἐστὶν υἱός.

ἀργαλέον ὡς σοφόν : Ἀντὶ τοῦ δυσχερὲς εἰπεῖν, ὅπως ἦν σοφός.)

1280. θυμοσοφικώτατον : (Θυμόσοφοι λέγονται) ὅσοι ἀφ' ἑαυτῶν εὐφυεῖς εἰσιν.

1272. (ὅν ποτ' ὤμοσε : Τίς ὤμοσεν, εἰ μὴ ἄρα ὁ πατήρ. Ἀρίγνωτον δὲ λέγει τὸν κιθαρῳδόν. δῆλον δὲ ἐκ τοῦ Ἀριφράδην λέγεσθαι υἱὸν Αὐτομένους καὶ ἀδελφὸν Ἀριγνώτου.) — ὅτι δὲ φίλως ἐῴκει ἔχειν πρὸς τὸν Ἀρίγνωτον, ἐν τοῖς Ἱππεῦσι [1278] δῆλον. ὁ πατὴρ αὐτῶν Αὐτομένης. ἔστρεφε τὸν λόγον. V.

μετὰ τοῦτο διάλειμμα στίχων ἀνάστατον εἶναι. τῶν πλείστων δὲ εὗρον ἕνδεκα. μετὰ τὸ διάλειμμα ἐν πολλοῖς φέρεται στίχου ἑνὸς καὶ τρίτου ὁμοσου προσπίπτει. Ἡλιόδωρος, μετὰ τὸν στίχον τὸν « γλωττοποιεῖν εἰς τὰ πορνεῖ' εἰσιόνθ' ἑκάστοτε » εἰσὶ τόποι ἑπτὰ ἔχοντες στιγμὰς, καὶ ἀλόγως, ὧν ἐκ προχείρου μὲν εὑρεῖν τὸν λόγον οὐκ ἔστι. τὰ δὲ τοιαῦτα πολλάκις εἶπον ὅτι ὑπολαμβάνω ἐν τοῖς πρώτοις ἀντιγράφοις φθαρέντα, ὅτι μὲν τοσαῦτα ἦν τὸν ἀριθμὸν γνωσθῆναι, οὐ μὴν τίνα. V.

1284. (εἰσί τινες : Ἄδηλον πότερον τῆς Καλλιστράτου εἰς τὴν βουλὴν εἰσαγωγῆς καὶ νῦν μιμνήσκεται, ὅτι αὐτὸν Κλέων εἰσήγαγεν, ἢ ἑτέρας κατ' αὐτοῦ γενομένης Ἀριστοφάνους, καὶ μὴ εἰσαγωγῆς, ἀλλὰ ἀπειλῆς

τινος, ὅπερ καὶ μᾶλλον ἐμφαίνεται. ἐκεῖνά τε γὰρ ἀναπολεῖν ἀρχαιότερα ἔσται, νῦν τε ὡς περὶ αὐτοῦ λέγει. ἔκνισεν ἀντὶ τοῦ ἐκάκισεν.) — ἐλύπησεν. *Vict.*

1285. (ἡνίκα Κλέων : Ἐπέκειτο γὰρ αὐτῷ ὁ Κλέων ὅτι ἐκωμῳδεῖτο ὑπ' αὐτοῦ. ἄδηλον δὲ εἰ μετὰ τὸ διδάξαι τοὺς Ἱππέας λέγει.)

1288. ὅσον δὲ μόνον εἰδέναι : Ἀντὶ τοῦ τοσοῦτον δὲ μόνον προεῖδον, εἴ ποτε θλιβόμενος ὑπὸ Κλέωνος σκώψω αὐτόν.

1290. ὑπό τι μικρὸν ἐπιθήκισα : (Ταῦτα ἐννοῶν φησιν, ὅτι τύπτομαι ὑπ' αὐτοῦ, καὶ οὐδενὶ μέλει, μικρὸν αὐτὸν ἐκολάκευσα.) — ἰδὼν ὅτι βοηθεῖν οὐδεὶς, γελάσαι δὲ μόνον σπεύδουσιν, ἐπιθήκισα καὶ ὑπῆλθον αὐτόν. R.

1291. ἐξηπάτησεν ἡ χάραξ : (Παροιμία, ὅταν ὑπὸ τοῦ σωζομένου τὸ σῶζον ἀπατηθῇ, ἢ ὅταν ἐξαπατηθῇ τις πιστεύσας. ἔστιν οὖν παροιμία ἀπὸ τῶν καλάμων τῶν προσδεσμουμένων ταῖς ἀμπέλοις, οἳ ἐνίοτε ῥιζοβολήσαντες ὑπεραύξονται τῶν ἀμπέλων. νυνὶ δὲ ἠπάτησα ὑπὲρ τοῦ ποιῆσαι λέγεσθαι τὰς κωμῳδίας.) ἐψηφίσατο γὰρ ὁ Κλέων μηκέτι δεῖν κωμῳδίας ἐπὶ τῷ θεάτρῳ εἰσάγεσθαι, ὅτι δὴ ξένων παρόντων πολίτας ἔσκωπτον. (Ἄλλως. ὅτι πολλάκις τὰ μεγάλα ἀπεσφάλη τῆς ἰδίας δόξης, πιστεύσαντα ἑαυτὰ τοῖς μικροῖς.)

1292. ἰὼ χελῶναι : (Ὁ οἰκέτης ἐξέρχεται τυπτηθεὶς ὑπὸ Φιλοκλέωνος.) — ἀποδέχεται τὰς χελώνας ὡς παχυδέρμους καὶ μὴ αἰσθανομένας πληγῶν, ἑαυτὸν δὲ θρηνεῖ ὡς λεπτόδερμον. Ἄλλως. ὅτι κοινῶς καὶ τὸ ὄστρακον δέρμα ἔλεγεν, καθὸ καὶ ὀστρακόδερμα καλοῦσιν αὐτὰ οἱ περὶ Ἀριστοτέλη. V.

1294. καὶ νουθυστικῶς : Ἀντὶ τοῦ συνετῶς, (νοῦ πεπληρωμένως, παρὰ τὸ νοῦς καὶ τὸ βῦσαι, ὅ ἐστι πληρῶσαι. [Od. Δ, 134 :]« νήματος ἀσκητοῖο βεβυσμένον. » κεῖται καὶ ἐν Ἐκκλησιαζούσαις [441].)

1295. (κεράμῳ τὸ νῶτον : Ὡς περὶ ὀρόφου στέγης διαλέγεται. ἔνιοι δὲ στιζόμενος γράφουσιν, οἷον κεντούμενος. ἐὰν δὲ σταζόμενος γράφηται, καὶ οὕτως ἔσται παρὰ τῶν ψακάδων· οὕτως πυκνὰ τυπτόμενος.) — τὸ δὲ στιζόμενος ἀντὶ τοῦ κεντούμενος. R. (στέγειν δὲ ἀντὶ τοῦ συνέχειν. ὅθεν καὶ ἡ στέγη ἡ περιέχουσα.)

1297. κἂν ᾖ γέρων : Ὡς γέροντος ὄντος τοῦ οἰκέτου. *Vict.*

1302. (οἱ περὶ Φρύνιχον : Τῶν κολάκων ἂν εἴη Φρύνιχος ὁ ποιητής. ὁ δὲ Σύμμαχός φησιν, εὐλογώτατον ἂν εἴη τὸν τραγικὸν ὑποκριτὴν Φρύνιχον.)

1306. (ὥσπερ καχρύων : Ὥσπερ ὄνος κριθῶν κορεσθείς. — ὅτε γὰρ κορέννυνται, μᾶλλον σκιρτῶσιν. V.)

1309. (ἔοικας ὦ πρεσβῦτα : Δίδυμός φησιν ὅτι ἀδιανόητα σκώπτει ἐνταῦθα. τὸ δὲ τρυγί ὡς πρὸς γεγηρακότα λέγει.)

1310. (κλητῆρί τ' : Διὰ τὸ φιλοδικαστὴν εἶναι, καὶ ὅτι ὡς ἐπίπαν γέροντας παρελάμβανον κλητῆρας. τὸ δὲ λοιπὸν παιδιᾶς ἕνεκεν, ἢ οὐδὲν πρὸς ἔπος, παρὰ τὴν παροιμίαν, ὄνος εἰς ἀχυρῶνα ἀπέδρα. ὁ δὲ ἀχυρὸς παρ' Εὐπόλιδι ἐν Χρυσῷ γένει, ὅπου καὶ τὸ Πλάτωνος παράκειται ἐξ Ἀδώνιδος.)

1311. (ὁ δ' ἀνακραγών : Καὶ ταῦτα ἀπρόσλογα, ἐπεὶ καὶ τῷ ἀποδεδρακότι ἀπρόσλογον ἐκεῖνος εἶπεν.)

1312. τὰ θρῖα τοῦ τρίβωνος : Ἐπεὶ ἐνίοτε ὥσπερ φύλλα ἐμποικίλλουσι. Σθένελος δὲ τραγικὸς, ὃς διὰ πενίαν τὴν τραγικὴν ἀπέδοτο σκευὴν κακῶς πράττων ἐν τῇ τέχνῃ. (περὶ τούτου γέγραπται ἐν Γηρυτάδῃ· « καὶ « πῶς ἐγὼ Σθενέλου φάγοιμ' ἂν ῥήματα; εἰς ὄξος ἐμ- « βαπτόμενος, ἢ ξηρὸς ἅλας. » — Πλάτων Σκευαῖς « ἄψαι μόνον οὐκ ἂν ἄκρῳ τῇ μορσίμῳ, ἵνα σου πα- « τήσω τὸν Σθένελον μάλ' αὐτίκα. » V. — οὗτος δ' ἐλαύνων ἐπὶ τοῖς τείχεσιν ἐνδεικνύμενος διεχλεύαζεν. διακεκαρμένῳ δὲ ἀφῃρημένῳ, πωλήσαντι. διεμύλλαινε δὲ ἀντὶ τοῦ ὑπερηφάνως τὰ χείλη διέστρεφεν ὡς χλευάζων καὶ μὴ ἡσθεὶς τῷ λελεγμένῳ.)

1317. ἐπὶ τῷ κομᾷς : Ἐπεὶ κομήτης ὁ Θούφραστος. ἔστι δὲ καὶ τῶν κολάκων. (ἢ μέγα φρονεῖς. ἐν μέρει δὲ, καθ' ἕκαστον.)

1321. (οὐδὲν εἰκότας : Οὐδὲν ἁρμόζοντας τῷ πράγματι.)

1324. δδὶ δὲ δὴ σφαλλόμενος : Κινούμενος ὑπὸ μέθης.

1326. ἄνεχε, πάρεχε : (Μετὰ λαμπάδων ἔρχεται καὶ μετὰ αὐλητρίδος, ἀποστάσας αὐτὴν ἐκ τοῦ συμποσίου. ὁ δὲ νοῦς παρὰ τὴν ἐν Τρῳάσι [309] Κασάνδραν « ἄνεχε, πάρεχε, φῶς φέρω, σέβω, φλέγω. » οὕτω πάντες. ὅμως ὑστερεῖ ἡ τῶν Τρῳάδων κάθεσις ἔτεσιν ἑπτά.) — ἐκ Τροιάδων Εὐριπίδου. Κασάνδρα φησὶν « ἄνεχε πάρεχε, φῶς φέρω, φλέγω, σέβω. » R.

1328. (ἑπακολουθούντων ἐμοί : Ἠκολούθουν γὰρ αὐτῷ τινες τῶν τυφθέντων ὑπ' αὐτοῦ.)

1329. (εἰ μὴ ῥήσεσθε : εἰ μὴ ἀναχωρήσετε. τὸ ὑμᾶς δὲ πρὸς τὸ φρυκτούς. τὸ δὲ οἷον ἀντὶ τοῦ οἷως. τὸ δὲ ἑξῆς, οἷως ὑμᾶς ὡς ἰχθύδια πεφρυγμένα τῇ δαΐδι φρυκτοὺς σκευάσω ὀπτήσας. προσκαλούμενοι, εἰς τὸ δικαστήριον δηλονότι.)

1335. (ἰῆ ἰεῦ : Χλευαστικὸν ἐπίρρημα τοῦτο. καταφρονεῖ λοιπὸν καὶ τῶν δικαστικῶν ῥημάτων. τὸ γὰρ καλούμενοι ἀπορρίπτει.)

1339. (βάλλε κημούς : Βάλλε ἐς κόρακας τὰ δικαστικὰ σκεύη.)

1341. ἀνάβαινε δεῦρο : Ἑταίρα τις ἠκολούθει αὐτῷ, ἣν ἔλαχεν ἐκ τοῦ συμποσίου, ἣ καὶ προσβάλλει καὶ πειρᾶν ἄρχεται.

χρυσομηλολόνθιον : Ἐπί τινος μετεώρου ὁ γέρων ἐφεστὼς προσκαλεῖται προσκοριζόμενος τὴν ἑταίραν. χρυσομηλολόνθιον δὲ ζωΰφιόν ἐστι κατὰ κάνθαρον, ξανθὸν, ὃ καὶ κατέχοντες οἱ παῖδες δεσμεύουσιν ἐκ τοῦ ποδὸς καὶ ἀφιᾶσι [πρὸς τὸν ἀέρα]. (Ἄλλως. πρὸς τὴν ἑταίραν ὁ γέρων, παρὰ τὸ μηλολόνθιον χρυσίζοντα ἔχειν τὰ πτερά. οὐ γὰρ οἶμαι τὸ χρυσόμηλον γνωρίζεσθαι, εἰ δὲ μή, σύνθετον ἂν εἴη ἐκ τούτων.)

1342. σχοινίου : (Ἴσως τοῦ πέους. παίζει δέ. σαπρὸν

δὲ παλαιόν. γέρων γὰρ ἦν. ὑφειλόμην δὲ, ἔκλεψα ἐκ τῶν συμποτῶν.) — τοῦ αἰδοίου. R.

1346. μέλλουσαν ἤδη λεσβιεῖν : Τὸ λεσβιεῖν ἐπὶ τοῦ αἰσχροῦ τάττεται, (ἐπειδὴ οἱ Λέσβιοι αἰσχρουργοῦσι τῷ στόματι μολυνόμενοι). παρὰ τὸ ἱστορούμενον, ὅτι παρὰ Λεσβίοις τοῦτο πρῶτον γυνὴ ἔπαθε. (καὶ παρὰ Θεοπόμπῳ ἐν Ὀδυσσεῖ « ἵνα μὴ τὸ παλαιὸν τοῦτο καὶ « θρυλούμενον | δι' ἡμετέρων στομάτων | εἴπω σό- « φισμ' ὅ φασι παῖδας Λεσβίων | εὑρεῖν. » Στράττις ἐν Τρωΐλῳ « ἦ μήποτ', ὦ παῖ Ζηνός, ἐς ταυτὸν μόλῃς· | « ἀλλὰ παραδοὺς τοῖς Λεσβίοις χαίρειν ἔα. » καὶ ἐν Ηυτίσῳ « ἐγὼ δ' ἄτ' ἐλπίνικος, ὀργισθεὶς ἔφη, | τῷ « στόματι δράσω τοῦθ', ὅπερ * * *. »)

1348. φιαλεῖς : (Τῷ ἔργῳ ἐπιβαλεῖς. Ὅμηρος [Od. X, 49] « αὐτὸς γὰρ ἐπίηλεν τάδε ἔργα. » ἀντὶ τοῦ ἐπεβάλλετο. — Φρύνιχος Ἐφιάλτῃ « ὄνομα δέ τῳ τοῦτ' « ἦν ἔσωθεν γῆν τε μὴ ἔστω φιάλτης ἀνδραγαθίας οὗ- « νεκα ἔτι ἐπιαλὰς χρηστὰ λᾳ ἀπωλόμην. » ἐν δὲ Τριφάλητι Ἀριστοφάνης « κοὐδέν' ἄνδρ' εἰς ἄτοπον οὐδ' ἂν « ἐπιήλαμεν. » δύναται καὶ τὸ προθυμεῖσθαι. « οὐ γὰρ ἐπίηλε τάδε ἔργα » ἀντὶ τοῦ προεθυμήθη. V. — καὶ φιαλοῦμεν τουτέστι τῷ ἔργῳ ἐπιβαλοῦμεν, ἐπὶ τοῦτο ὁρμήσομεν· φιαλεῖν γὰρ τὸ ἄρχεσθαι τοῦ πράγματος. ὁ αὐτὸς Ἀριστοφάνης [Pac. 431] « ἄγε δὴ σὺ ταχέως ὅπεχε « τὴν φιάλην, ὅπως | ἔργῳ φιαλοῦμεν, εὐξάμενοι « τοῖσιν θεοῖς. Ἄλλως. ») φιαλεῖν μὲν κυρίως τὸ τῇ φιάλῃ πίνειν, νῦν δ' ἴσως καὶ κακεμφάτως.

1349. ἐγχανεῖ ἐπὶ τῶν καταγελώντων. ἅμα δὲ καὶ κακεμφάτως. V.

1350. (πολλοῖς γὰρ ἤδη χἀτέροις : Ἤτοι τὸ αἰσχρὸν χἀτέροις εἰργάσω, ἢ ἐκφεύγεις ἐμέ. καὶ γὰρ ἄλλοις αὐτὸ ἐποίησας.)

1351. ἐὰν δὲ γένῃ : Μιμεῖται τοὺς νεαγίσκους λέγοντας [πρὸς τὰς ἑταίρας καὶ ὀμνύντας], ἐάν μου ὁ παῖδ τὴρ ἀποθάνῃ, δώσω σοι πάντα [καὶ συνοικήσω μετὰ σοῦ].

1353. λυσάμενος ἔξω : (Ἀντὶ τοῦ ἐλευθερώσας ἐν τοῦ πορνοβοσκείου.) τὰ γυναικεῖα αἰδοῖα χοίρους λέγουσιν.

1355. καὶ φυλάττομαι σφόδρα : Καθὸ δὶς παῖδες οἱ γέροντες. (ἢ παρ' ὑπόνοιαν οἱ παῖδες ταῦτα λέγουσιν.) ἀπὸ τοῦ υἱοῦ υἴδιον ὡς ἀπὸ τοῦ πατρὸς πατρίδιον.

1357. κυμινο. : Παίζει ἐνταῦθα, σμικρολόγον αὐτὸν καὶ ὀξύθυμον λέγων. κυμινοπρίστας γὰρ τοὺς φειδωλοὺς καὶ σμικρολόγους ἐκάλουν. συνέθηκε δὲ τὴν λέξιν μετὰ τοῦ καρδάμου διαβάλλων αὐτὸν ὡς ὀξύθυμον. — παίζει παρὰ τὸ κύμινον, ὅ ἐστι δριμύτατον, καὶ τὸ σμικρολόγον, πρίστας γὰρ τοὺς μικρολόγους ἐκάλουν, καὶ παρὰ τὸ κάρδαμον, ὅπερ ἐστὶ δριμὺ, τὴν σύνθεσιν ποιήσας, εἰς μικρολογίαν διαβάλλων αὐτὸν καὶ ὡς ὀξύθυμον. V.

1358. (περί μου δέδοικε : Δι' ἐμοῦ φειδωλός ἐστιν, ἵνα μὴ ἐν ἐξουσίᾳ ἔχων τὰ χρήματα διαφθείρω.)

1359. πατὴρ γὰρ οὐδείς : Ἀστείως. (εἰώθασι γὰρ οἱ παῖδες λέγειν, μόνος εἰμὶ τῷ πατρί. ἀντὶ δὲ τοῦ εἰπεῖν υἱὸς εἶπε πατὴρ παίζων.)

1361. δετάς : Τὰς λαμπάδας. (ὡς ἀπὸ τοῦ δέω δετή ῥηματικῶς, [ἡ συνδεδεμένη ἐκ παπύρων]. καὶ Ὅμηρος [Il. A, 554] « καιόμεναί τε δεταί. » τωθάσω δὲ σκώψω· πρὸ τῶν μυστηρίων δὲ ὅτι οἱ μεμυημένοι τοὺς μέλλοντας μυεῖσθαι δεδίττονται.) — τοῖς γὰρ μυστηρίοις ἐσκώπτοντο. τοὺς γὰρ μέλλοντας μυεῖσθαι προλαβόντες δεδίττονται. R. V.

1364. τυφεδανέ : (Ἐπεὶ) τυφογέροντας εἰώθασι λέγειν τοὺς παραληροῦντας καὶ ἀξίους τετύφθαι. χοιροθλίψ δὲ ὁ τὸ γυναικεῖον αἰδοῖον ἀποθλίβων. (ἢ παρὰ τὰς χοιρίνας, ὡς φιλοδικαστὴν τὰς χοιρίνας πιέζοντα κωμῳδῶν.)

ταναντία λοιδορεῖται ὁ γέρων τῷ υἱῷ. R. V.

1365. ὡραίας σοροῦ : (Παρὰ τὴν ὑπόνοιαν οἷον κόρης.) καὶ τοῦτο δὲ ἀντεστραμμένως εἰς γέροντά τὴν αὐλητρίδα [πειρῶντα].

1367. (ἓξ ὄξους δίκην : Ἀντὶ τοῦ εἰπεῖν κρέα, ἢ ἕτερόν τι, δίκην εἶπε. μισῶν οὖν τὰς δίκας λοιπὸν αὐτὸς ὁ Φιλοκλέων, ὡς εἰς ὕβρεις ταῦτα λέγει τῷ υἱῷ.)

1368. (τὴν αὐλητρίδα : Τὸ γένος τοῦ γελοίου παρὰ Ἀριστοφάνους ἐντεῦθεν ἀρξάμενον.)

1370. ἀπὸ τύμβου πεσών : Καὶ τοῦτο ὡς εἰς γέροντα, ἀντὶ τοῦ, ἀπὸ νοῦ καταπεσών. (Ἄλλως. ἐπεὶ ὡς νέος διαλέγεται. εἰώθασι δὲ οἱ νέοι γέρουσι τοῦτο λέγειν.)

1371. (ἡ Δαρδανίς : Ἐπεὶ ἀπὸ Δαρδανίας φέρονται αἱ αὐλητρίδες.)

1372. ταύτῃ δὲ παρὰ τοῦ γέροντος εἵληφε τὰς δᾷδας. Ven.

1373. ἐστιγμένην : Ἐστιγμένην (λέγει τὴν δᾷδα) ἐζωγραφημένην· ἔγραφον γὰρ καὶ ἐκόσμουν τὰς λαμπάδας. — παρὰ τοῦ γέροντος εἵληφε τὰς δᾷδας. διεστιγμένης, διερρηγμένης περὶ τοῦ γυναικείου αἰδοίου. R. (ἢ ὡς Θρᾷσσαν καὶ Δαρδανίδα τὴν αὐλητρίδα φησὶν ἐστιγμένην, διὰ τὸ κεκαλλωπισμένην εἶναι, καὶ διὰ τὸ κατέχειν δᾷδας.)

1374. (τί δὲ τὸ μέλαν : Περὶ τοῦ γυναικείου αἰδοίου ἐρωτᾷ τετριχωμένου.)

1375. (ἡ πίττα : Ἐπεὶ καὶ αἱ δᾷδες καιόμεναι πίτταν ἀποτελοῦσιν.)

1377. ὄζος : (Κλάδος. ἅμα καὶ) παρὰ τὸ ὀδωδέναι.

1378. ἀπὸ τοῦ εἶμι τὸ εἶ. R. V.

1382. Ὀλυμπίασιν : Νῦν προπαροξύνεται. λέγει γὰρ περὶ τοῦ τόπου. [ἐὰν περὶ πράγματος ᾖ δηλοῦσα ἡ λέξις, οἷον ὡς εἰ λέγοι τις, δέκα Ὀλυμπιᾶσιν ἐφεξῆς ἐνίκησεν ὁ δεῖνα, προπερισπᾶται. γίνεται γὰρ τὸ μὲν ἀπὸ τοῦ Ὀλυμπία Ὀλυμπίασι, τὸ δὲ ἀπὸ τοῦ Ὀλυμπιὰς Ὀλυμπιᾶσι. καὶ ὅτι τὰ εἰς ι λήγοντα τῶν ἐπιρρημάτων ζητεῖ τὸν πρῶτον τοῦ ὀνόματος τόνον, οἷον Ὀλυμπιὰς Ὀλυμπιᾶσι, πλὴν τῶν διὰ τοῦ οθεν. ἐκεῖνα γὰρ ἐνήλλαξεν, οἷον ἵππος ἱππόθεν. σεσημείωται τὸ οἴκοθεν.] — ἄρχεται κατὰ τὰ προστάγματα τοῦ υἱοῦ σοφίζεσθαι. V.

1383. ἐπεὶ παρήνεσεν αὐτῷ ὁ υἱὸς πρότερον διηγηματικὸς εἶναι. R. V.

1386. (ὑπώπια : Τὰ εἰς τὴν ὄψιν πλήγματα ἐνταῦθα. εἴρηται δ' ἐν ἄλλοις [ad Acharn. 551, Pac. 541] ἀκριβέστερον.)

1388. ἴθι μοι παράστηθ', ἀντιβολῶ : Γυνή τις ὑβρισμένη ὑπὸ τοῦ γέροντος δεῖται τοῦ υἱοῦ (βοηθῆσαι αὐτῇ. Δίδυμος δὲ ἀρτόπωλις λέγει). — γυνή τις πρὸς μάρτυρα. R.

1391. κἀπιθήκην : Τοὺς ἔξωθεν τοῦ φορτίου προσθήκην ὄντας.

1394. (λόγοι διαλλάξουσιν : Μιμεῖται τὰ εἰρημένα ὑπὸ τοῦ υἱοῦ.)

1396. (καταπροΐξει : Οὐ μὴ καταφρονήσεις, παρὰ τὴν προῖκα. τουτέστιν οὐ δωρεάν μου ἐγχανῇ. καὶ τοῦτο δὲ ἐν ἄλλοις [ad Nub. 1240, Eq. 435].) — ὄνομα. R. V.

1397. (θυγατέρος : Ὅτι οὐκ Ἀττικῶς εἴρηται τὸ θυγατέρος, ἀλλ' Ἰωνικῶς. τὰ φορτία δὲ τοὺς ἄρτους.)

1402. γυνή. R.

1403. (ὦ κύον κύον : Τὴν ἀρτόπωλιν κύνα εἶπεν. ὀλακτούσης σου, φησίν, οὐ φροντίζω, ὦ κύον. πυροὺς δὲ σίτους, ὥστε ἄρτους ποιῆσαι. ἐπεὶ ἀρτόπωλις.)

1407. (πρὸς τοὺς ἀγορανόμους : Τοὺς ἐπισκοποῦντας τὰ τῆς πόλεως ὤνια, καὶ διοικοῦντας αὐτὰ, ὡς ἐν Ἀχαρνεῦσιν [728].) — τοὺς τῶν ὠνίων προστάτας. V.

1408. (κλητῆρα : Μάρτυρα. τουτέστι τὸν εἰς τὸ δικαστήριον καλοῦντα ὑπηρέτην. Χαιρεφῶντα δὲ τὸν) πύξινον Σωκράτους ἑταῖρον (τὸν φιλόσοφόν φησι. πάλιν δ' αὐτὸν εἰς ὠχρότητα διαβάλλων εἰσάγει μαρτυροῦντα τῇ ἀρτοπώλιδι.)

1410. Ἑρμιονεὺς μελοποιὸς Λᾶσος. V. μελοποιὸς ὁ Λᾶσος. R.

1411. ἀντὶ τοῦ οὐδέν μοι μέλει τοῦ Σιμωνίδου. V.

1413. ἵν' ἦ ὠχρᾷ, ὡς οἱ κεχρημένοι θάψῳ. εἰσήγαγε δὲ Εὐριπίδης τὴν Ἰνὼ ὠχρὰν ὑπὸ τῆς κακοπαθείας. καὶ ὁ Χαιρεφῶν δὲ τοιοῦτος ἄλλος ἔοικε θαψίᾳ. ὠχρὸς γὰρ ὁ Χαιρεφῶν καὶ ἡ θάψος τοιαύτη. ἀλλὰ καὶ παρὰ τὸ θάπτεσθαι καλῶς πέπαικται. V. [θαψίνῃ : Ὠχρᾷ. τοιαύτη γὰρ ἡ θάψος, ὅπερ παρ' ἡμῖν χρυσόξυλον λέγεται. Θεόκριτος [2, 88]

καί μευ χρὼς μὲν ὁμοῖος ἐγίνετο πολλάκι θαψῷ.

παρὰ δ' Εὐριπίδῃ γέγραπται ἡ Ἰνὼ κρεμαμένη καὶ ὠχρὰ ὑπὸ τῆς κακοπαθείας. πέπαικται δὲ καλῶς παρὰ τὸ θάπτεσθαι.]

1414. ἀντὶ τοῦ ὑπὸ Εὐριπίδου ἐκ τῶν ποδῶν ἡ Ἰνὼ κρέμαται. R. V.

1417. ὤμοι κακοδαίμων : (παραγίνεταί) τις ἀνὴρ Εὐριπίδης (ὠνομασμένος, κατηγορῶν τοῦ Φιλοκλέωνος ὕβρεως, καὶ κατήγορον ἐπαγόμενος).

1429. (οὐ τρίβων : Οὐκ ἔμπειρος. καὶ ἐν Νεφέλαις [869]

καὶ τῶν κρεμαθρῶν οὐ τρίβων τῶν ἐνθάδε.)

1431. Ἤρδρι τίς : (Ἕκαστος, φησὶν, ἣν οἶδε τέχνην ἐργαζέσθω.) καὶ ταῦτα δὲ ἐν ταῖς παροιμίαις φέρεται.

(1432). εἰς τὰ Πιττάλου : Εἰς ἰατροῦ, [φησὶν, ἀπότρεχε] θεραπευθησόμενος τὰς πληγάς. ἰατρὸς γὰρ ὁ Πίτταλος.

1433. (ὅμοιά σου : Ὁ Βδελυκλέων ταῦτά φησι πρὸς τὸν κατήγορον.)

1434. (ἃ 'ν : Τὸ ἐντελὲς ἃ ἄν.)

1436. κατέαξ' ἐχῖνον : Χύτρας εἶδος ὁ ἐχῖνος. V. [ἄγγος τι χαλκοῦν, ἢ καὶ ἐκ κεράμου, εἰς ὃ καθιᾶσιν οἱ διαιτηταὶ τὰ γραμματεῖα τῶν μαρτυριῶν, ἅ τινες ἐμαρτύρησαν, καὶ κατασημηνάμενοι μετὰ ταῦτα, εἰ ἐγκληθείη ἡ δίαιτα, τοῖς δικασταῖς ἐπεδίδουν. τοῦ δ' ἄγγους τούτου καὶ Δημοσθένης μνημονεύουσι καὶ Ἀριστοτέλης. ἔστι δέ τι καὶ ζῷον χερσαῖον καὶ θαλάττιον ὄστρεον. καὶ μὲν δὴ καὶ ἡ γαστὴρ τοῦ βοός.]

1438. ναὶ τὰν Κόραν : (Τὴν Περσεφόνην.) [τουτέστι τὸν κόρον, τὴν πρὸς τὸ τρέφεσθαι μέχρι κόρου ὕλην. τοῖς δὲ περὶ Σικελίαν τὸ κατὰ Κόρης ὀμνύειν ἐνεφιλοχώρει. ἐντεῦθεν γὰρ ὁ Ἅδης αὐτὴν ἁρπάσαι μυθεύεται, ὡς οἱ τὰ τοιαῦτά γε ἀλληγορῆσαι δεινοὶ, διὰ τὸν γινόμενον ἐπὶ χρόνον τινὰ τῶν σπερμάτων κατὰ γῆς ἀφανισμόν.] δωρίζει δὲ ἐπίτηδες. [ἐπίδεσμον δὲ τὸν ἐπὶ τῇ πληγῇ δεσμόν.]

1440. (καὶ τὰ) ἕλκη ἐπέδησας. R. V.

1445. (κλητῆρες ἐπιλείψουσι : Ἐπιλείψουσι μάρτυρες τοὺς κατηγοροῦντας.)

1446. Αἴσωπον οἱ Δελφοί : (Ὁ μὲν Βδελυκλέων ἀράμενος τὸν πατέρα αὐτοῦ Φιλοκλέωνα, εἴσω κομίζει. ὁ δὲ φερόμενος πλάττει μῦθον. διηγεῖται γὰρ τὸν περὶ Αἰσώπου λόγον·) ὃν φασιν ἐλθόντα ποτὲ εἰς τοὺς Δελφοὺς ἀποσκῶψαι αὐτοὺς, ὅτι μὴ ἔχοιεν γῆν, ἀφ' ἧς ἐργαζόμενοι διατρέφοιντο, ἀλλὰ περιμένοιεν ἀπὸ τῶν θεοῦ θυμάτων διαζῆν. οἱ δὲ Δελφοὶ χαλεπήναντες φιάλην ἱερὰν τοῖς Αἰσώπου σκεύεσιν ὑπέβαλον. ὁ μὲν δὴ οὐκ εἰδὼς τὴν ἐς Φωκίδα φέρουσαν ὥρμησεν ὁδόν. οἱ δ' ἐπιδραμόντες, καὶ φωράσαντες, ἱεροσυλίας αὐτοῦ κατηγόρουν. ὁ δ' ἐπὶ πέτραν οὐ πάνυ πόρρω τοῦ ἱεροῦ καὶ τῆς πόλεως ἀγόμενος, ἀφ' ἧς νόμιμον ἦν τοὺς ἱεροσύλους ῥιπτεῖσθαι, τὸν περὶ τοῦ κανθάρου μῦθον αὐτοῖς διηγήσατο· οὗ γε καὶ ἐν Εἰρήνῃ [129] μέμνηται διὰ τούτων ὁ ποιητὴς

ἐν τοῖσιν Αἰσώπου λόγοις ἐξηυρέθη
μόνος πετεινῶν εἰς θεοὺς ἀφιγμένος.

ἐκεῖ δὲ τὰ εἰκότα λεχθήσεται.

1449. ὡς κάνθαρος ἀνῆλθεν ὡς καὶ ἐν Εἰρήνῃ. R.

1441. [ζηλῶ σε τῆς εὐτυχίας : Τὰ τοιαῦτα εἴδη καλεῖται κατὰ σχέσιν. ἔστι γοῦν ἡ παροῦσα στροφὴ κώλων χοριαμβικῶν ἐπιμεμιγμένων ἐπιτρίτοις διτροχαίοις διαμβοις δισπονδείοις ἰωνικοῖς καὶ παίωσι ιϐ'. καὶ ἡ ἀντιστροφὴ τοσούτων, ὧν τὸ μὲν δεύτερον καταληκτικὸν ἤτοι ἐφθημιμερὲς, τὰ δὲ λοιπὰ πάντα δίμετρα ἀκατάληκτα, τὰ μὲν τετρασυλλάβους ἔχοντα πόδας, τὰ δὲ πεντασυλλάβους. διαλύονται γὰρ αἱ μακραὶ συλλαβαὶ

ὥσπερ ἐπὶ τῶν ἰάμβων καὶ τροχαίων, ὡς εἴρηται, εἰς δύο βραχείας, οὕτω καὶ ἐπὶ τῶν τετρασυλλάβων ποδῶν. εὕρηται γὰρ καὶ χορίαμβος πεντασύλλαβος, καὶ διίαμβος, καὶ διτρόχαιος, καὶ ἰωνικὸς, καὶ παίων. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος, τῆς δὲ ἀντιστροφῆς κορωνίς.]

1455. (ἐπὶ τὸ τρυφερόν : Οἷον ἐπὶ τὸ τρυφᾶν μαλακῶς.) — μεταπείσεται τὸ τρυφᾶν καὶ μαλακὸν καὶ ἐπιμάλακον. V.

1460. (γνώμαις ἑτέρων : Οἷον, μεταπεισθέντες ἐκ παραινέσεως ἑτέρων.)

1465. (φιλοπατρίαν : Διὰ τὸ ὑπὲρ τῆς πατρίδος ἠγωνίσθαι, ἢ τοῦ πατρός.)

1467. (ἀγανῷ : Ἱλαρῷ, καλῷ καὶ ἀγαθῷ· οἱ δὲ ἀθανάτῳ. ἔνθεν καὶ ἀγανοφροσύνη, προσήνεια, πραότης. Ὅμηρος [Il. B, 164] « σοῖς ἀγανοῖς ἐπέεσσιν. »)

1473. γρ. κατακηλῆσαι, ἵνα σημαίνῃ τὸ ἐξαπατῆσαι μεταπεισθέντας ἐπὶ τὸ βέλτιον. V.

1475. (εἰσκεκύκληκεν : Εἰσήνεγκεν, εἰσήγαγεν.)

1478. (οὐδὲν παύσεται : Ἀντὶ τοῦ οὐ παύσεται, ὡς παρ' Ὁμήρῳ [Il. A, 412] « ὅτ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισεν » ἀντὶ τοῦ οὐκ ἔτισεν.)

1479. (Θέσπις : Ὁ κιθαρῳδός. οὐ γὰρ δὴ ὁ τραγικός.)

1480. κρόνους : (Ἀρχαίους, μωροὺς, λήρους, ἀναισθήτους.) — τὸν νοῦν πρὸς τὸν Κρόνον ἀποδείξειν ἀρχαίους τὴν ἐπίνοιαν. R. V.

1482. τίς ἐπαυλείοισιν : Ὀρχούμενος ὁ γέρων παρατραγικεύεται. σχήματος δὲ τοῦ τραγῳδικοῦ.

1487. τινὲς ἀπὸ τοῦ πλευρὰν λυγίσαντος Φιλοκλέωνα λέγειν ἕως τοῦ σφόνδυλος ἀχεῖ. V.

(λυγίσαντος : Συστρέψαντος, περιαγαγόντος. ἡ μεταφορὰ ἀπὸ τῶν παλαιόντων.) [Θεόκριτος [1, 97]

τὸ θὴν τὸν ἔρωτα κατεύχεο Δάφνι λιγυξεῖν;
ἆρ' οὐκ αὐτὸς ἔρωτος ὑπ' ἀργαλέω ἐλιγύχθης;]

1489. σφόνδυλος : Τράχηλος. *Vict.*

(σφόνδυλος : Ἴσως αἰσχρόν τι πεποίηκε.

πῖθ' ἐλλέβορον : Ἐπισημειοῦται τὴν λέξιν κἀνταῦθα τὸ χ, ὅτι τὸ μὲν πῖθι ἐπὶ φαρμάκου λέγουσι. καὶ

λαγὼν ταράξας πῖθι τὸν θαλάσσιον.

τὸ δὲ πίε ἐπὶ τοῦ ποτοῦ. ἐκ δὲ τοῦ ἐλλεβόρου καὶ ἐλλεβοριᾶν, τὸ ἐλλεβόρου δεῖσθαι, ὡς Καλλίας φησὶ, καὶ ἐλλεβορίζειν.)

1490. πτήσσει Φρύνιχος : Παροιμία ἐπὶ τῶν κακόν τι πασχόντων, ἀπὸ Φρυνίχου τοῦ τραγικοῦ. ὑποκρινόμενον γὰρ αὐτὸν τὴν Μιλήτου ἅλωσιν οἱ Ἀθηναῖοι δακρύσαντες ἐξέβαλον δεδοικότα καὶ ὑποπτήσσοντα. [πτήσσειν δὲ κυρίως τὸ φεύγειν καὶ φοβεῖσθαι. λέγεται δ' ἐπὶ τῶν ὀρνίθων.]

1491. τάχα βαλλήσεις : (Ῥίψεις, λίθους δηλονότι, ὀρχούμενος.) — ἀντὶ τοῦ βληθήσῃ, νικηθήσῃ. R.

1492. σκέλος : Ὑψηλὴν φοράν. R. V. καὶ παρ' Εὐπόλιδι ἐκλακτίζειν. V.

(σκέλος οὐράνιον : Ὡς αὐτοῦ ἐπάραντος τὸ σκέλος καὶ ἐπιδείξαντος τὸν πρωκτόν.) — εἰς ὕψος. R.

1495. (κοτυληδών : Εὐκίνητος ἡ κοτύλη μου στρέφεται.)

1497. ἀλλὰ μανικὰ πράγματα : Εἰπόντος αὐτοῦ ὅτι νῦν δὴ ἐκλέλυμαι, χαλαρᾶς γενομένης τῆς κοτύλης, ἐπάγει ὁ παῖς ὅτι οὐκ ἐκλύσεως, ἀλλὰ μανίας ἐστὶ πράγματα.

1499. ἀντὶ τοῦ εἰς ὄρχησιν ἀγωνισάμενος. V.

1502. (ὁ μέσατος : Οὐ τὸν τραγικὸν λέγει Μέσατον. Ἄλλως. ἀντὶ τοῦ μέσος, καὶ Μένανδρος Καρχηδονίῳ. ἀκριβῶς δὲ ἔοικε λέγειν. τέσσαρες μὲν δή εἰσιν· ἀλλ' οἱ τρεῖς χορευταὶ, Ξενοκλῆς δὲ ποιητής. καταλέγει αὐτοὺς σαφῶς Φερεκράτης. τῶν τριῶν οὖν μέσος.)

1503. (ἐμμελείᾳ κονδύλου : Ἐμμέλεια τραγικὴ ὄρχησις. ὡς εἰ ἔλεγεν ἐμμέλεια ᾠδῆς· εἶπε δὲ κονδύλου. δίδωμι αὐτῷ, φησὶ, κόνδυλον, καὶ ἀπολῶ αὐτόν. μικρὸς γάρ ἐστι καὶ λεπτός.)

1504. (ἐν τῷ ῥυθμῷ γάρ : Ἀντὶ τοῦ οὐδὲν οἶδε τοῦ ῥυθμοῦ. Καρκινίτης δὲ υἱὸς Καρκίνου. ὠψώνηκα δὲ εἶπεν, ὡς ὀψοφάγον αὐτὸν διαβάλλων.)

(1507) πλήν γε Καρκίνους : Παρὰ τοὺς καρκίνους τοὺς [λεγομένους] παγούρους.

1508. καὶ ὁ ποιητὴς αὐτῷ. V.

1509. (ὀξὶς ἡ φάλαγξ : Εἶδος ἀγγείου ὀξηροῦ ἡ ὀξίς. Ἄλλως. εἰς σμικρὸν τὸν Ξενοκλέα. καὶ τὸ φαλάγγιον μικρὸν καὶ συνεστραμμένον. ὅλον δὲ ἐκ τῶν Φερεκράτους Ἀγρίων « καὶ καρκίνος μέν τις ἦν ὁ Θωρυκίου « υἱός. ἦσαν δὲ αὐτῷ τρεῖς τινες μικροὶ, κομῆται τότε « καὶ νῦν εἰσὶ μικροὶ καὶ κομῆται. φίλαρχοι τότε παῖδες « ἦσαν ὄντες νῦν φιλαρχικώτεροι. μὰ τὸν Δί' οὐ τρεῖς « τε ἐκεῖνοί εἰσιν οἱ τέτταρες. »)

1510. ὁ πιννοτήρης : Περὶ Ξενοκλέους ὁ λόγος. διαβάλλει αὐτὸν ὡς ἀδηφάγον. (πιννοτήρης δὲ οὐκ ἄλλως, ἀλλ' ἐπεὶ καρκινιόν τί ἐστι σύννομον καὶ ἀεὶ ταύτῃ προσδεχόμενον. Σοφοκλῆς Ἀμφιαράῳ

ὁ πιννοτήρης τοῦδε μάντεως χορού.

Ἄλλως.) πίννα ὄστρεόν ἐστι. (τοῦτο ὑποδέχεται καρκίνος· καὶ ὅταν εἰσέλθῃ μικρὸν ἰχθύδιον, δάκνει τὴν πίνναν, καὶ συστέλλει τὸ ὄστρακον, καὶ ἐναποκλείει τὸ ἰχθύδιον. — Ἄλλως. οἱ μὲν ζῷόν τι λέγουσι σύννομον τῷ καρκίνῳ τὸν πιννοτήρην, οἱ δὲ αὐτὸν τὸν καρκίνον, ὡς ἐπιτηροῦντα τὴν πίνναν. φασὶ γὰρ ὅτι ἡ μὲν πίννα πρὸς τὰς ἀκτῖνας πεσοῦσα τοῦ ἡλίου ἀνοίγνυσι τὸ ὄστρακον καὶ τὴν θέρμην εἰσδέχεται, ὁ δὲ ἐπιτηρῶν εἰσέρχεται καὶ δάκνει αὐτὴν, ἡ δὲ συστέλλει τὸ ὄστρακον καὶ βιβρώσκεται ὑπ' αὐτοῦ.)

1513. τῶν ὀρχίλων : Ὀρχίλος εἶδος ὀρνέου μικροῦ. ἐκ τούτου δ' αὐτῶν ὑπεμφαίνει τὸ βραχὺ καὶ κατωφερές. (ἅμα μὲν πρὸς τὴν λαγνείαν, ἅμα δὲ καὶ πρὸς τὴν ὄρχησιν. ἐμφαίνει δὲ αὐτοὺς καὶ μεγάλα αἰδοῖα ἔχοντας.)

1515. ἅλμην κύκα : Ὡς πρὸς ἰχθῦς ὁ λόγος· ὅτι ἅλμη, ὅτι πάντως ζωμός. καὶ τοῦτο πρὸς τὸ πολυφάγον αὐτῶν. ἵνα γὰρ τὰ κρέα μὴ σήπηται μένοντα, πάττεται τῇ

ἅλμη. (Ἄλλως. ἐπειδὴ ἅλμην παρασκευάζουσιν ἐπὶ τῷ φαγεῖν ἰχθύδια, ἢ καρκίνους. ὡς καρκίνοις οὖν αὐτοῖς χρώμενός φησιν, ὅτι παρασκεύασον ἅλμην, ἵνα ἐὰν αὐτοὺς νικήσω, ὀπτήσω αὐτοὺς καὶ φάγω.)

1516. ἐπ' ὀλίγον συσταλῶμεν. R.

1517. βεμβικίζωσιν : (Διακινήσωσιν. ὡς καρκίνοις δ' ὁ χορὸς αὐτοῖς διαλέγεται.) — περιάγωσιν. R.

1524. (καὶ τὸ Φρυνίχειον : Δῆλον ὡς σημειῶδές τι ἦν τὸ Φρυνίχειον, τὸ εἰς ὕψος ἐν τῇ ὀρχήσει ἐκλακτίζειν.) — καὶ οὐκ ἄλλως αὐτὸ Εὔπολις εἶπεν. V.[τὸ δὲ ὥζωσιν ἀντὶ τοῦ θαυμαστικόν τι λέγωσι. σύνθετον δέ ἐστιν ὡς τὸ οἰμώζειν καὶ κλώζειν, ἀπὸ τοῦ ω θαυμαστικοῦ.] — τὸ δὲ ὥζειν τῶν παρηγμένων ἐστὶν ὧ λέγειν, καὶ τὸ οἰμώζειν καὶ κλώζειν. ἐπίφθεγμα θαυμαστικὸν λέγωσιν οἱ θεαταὶ, ὡς παρὰ τὸ οἶμοι οἰμώζω. V.

1529. πλῆξον σεαυτὸν εἰς τὴν γαστέρα, ὃ ποιοῦσι πηδῶντες. V.

1530. ῥῖπτε σκέλος : Εὐφρόνιος οὕτω φησὶν ὀνομάζεσθαι σχῆμά τι τραγικῆς ὀρχήσεως. (βέμβικες δὲ περιφοραὶ, περιαγωγαί.)

1531. (καὐτὸς γὰρ : Ὁ Καρκίνος, φησὶ, προσέρχεται. πρὸς τοῦτο γὰρ καὶ τὸ Ποντομέδων.)

1534. τοῖσι τριόρχαις : (Ἐπαιξε διὰ τὸ τρεῖς εἶναι. ἔστι δὲ ὁ τριόρχης ὄρνεον.)

1535. (ἐξάγετ', εἴ τι φιλεῖτε : Ἐξάγετε, φησὶν, ἑαυτοὺς ἔξω.) — εὐχερῶς δὲ, ὡς ἐν τέλει, τὴν ἔξοδον τῶν προσώπων βούλεται ποιῆσαι. V.

1536. (οὐδείς πω πάρος : Εἰσέρχεται γὰρ ὁ χορὸς ὀρχούμενος, οὐδαμῶς δὲ ἐξέρχεται.)

ΕΙΡΗΝΗ.

ΥΠΟΘΕΣΕΙΣ.

I.

(Τρυγαῖος ἀγροικος πρεσβύτης Ἀθήνησιν ὀχούμενος ἐπὶ κανθάρου ὑπὲρ τῆς Ἑλλάδος εἰς τὸν οὐρανὸν ἀναφέρεται. γενόμενος δὲ κατὰ τὴν τοῦ Διὸς οἰκίαν ἐντυγχάνει τῷ Ἑρμῇ, καὶ ἀκούει ὅτι μετοικισαμένων τῶν θεῶν εἰς τὰ τοῦ οὐρανοῦ ἀνωτάτω διὰ τὴν τῶν Ἑλλήνων ἀλληλοκτονίαν, ἐνοικισάμενος ὁ Πόλεμος εἰς ἄντρον τὴν Εἰρήνην εἵρξας λίθους ἐπιφορήσειε, καὶ νῦν μέλλει τὰς πόλεις ἐμβαλὼν ἐν θυείᾳ τρίβειν. καὶ μέχρι μέν τινος ἐναγώνιος γίνεται· ἐπεὶ δὲ μεταπεμπομένου τοῦ Πολέμου παρὰ Ἀθηναίων δοίδυκα Κλέωνα καὶ παρὰ Λακεδαιμονίων Βρασίδαν ἑκάτεροι χρήσαντες ἀπολωλεκέναι εἰς Θράκην ἔφασαν, ἀναθαρρεῖ· καὶ ἐν ᾧ περὶ κατασκευὴν δοίδυκος ὁ Πόλεμος γίνεται, κηρύττει τοὺς δημιουργούς, ἔτι δὲ καὶ ἐμπόρους ἅμα μοχλοὺς καὶ σχοινία λαβόντας παραγενέσθαι. συνδραμόντων δὲ πολλῶν ἐν χοροῦ σχήματι προθύμως ἀφέλκει τε τοὺς λίθους ἀπὸ τοῦ ἄντρου, καὶ καθικετεύσας τὸν Ἑρμῆν συλλαβέσθαι ἐξάγει πρὸς τὸ φῶς τὴν Εἰρήνην. ἀσμένως δὲ τῆς θεοῦ πᾶσιν ὀφθείσης, καὶ παρ' αὐτὴν εὐθέως Ὀπώρας τε καὶ Θεωρίας ἀναφανεισῶν, συμπαρὼν ὁ Ἑρμῆς ἀνιστορούσης τι τῆς Εἰρήνης καὶ πυνθανομένης τὰ περὶ τὸν Τρυγαῖον διασαφεῖ τὰ δέοντα· πάλιν ἀποφαινομένης πρὸς τοῦτο μηνύει, προδιελθόντος αὐτοῦ καὶ περὶ τῆς ἀρχῆς τοῦ πολέμου καὶ δι' ἃς αἰτίας συνέστη, Φειδίου τε καὶ Περικλέους μνησθέντος. τὰ λοιπὰ τοῦ δράματος ἐπὶ τῆς γῆς ἤδη περαίνεται, καὶ ὁ μὲν χορὸς περὶ τῆς τοῦ ποιητοῦ τέχνης χἀτέρων τινῶν πρὸς τοὺς θεατὰς διαλέγεται, ὁ δὲ Τρυγαῖος, καθὰ συνέταξεν ὁ Ἑρμῆς, τὴν μὲν Θεωρίαν τῇ βουλῇ συνέστησεν, αὐτὸς δὲ τὴν Ὀπώραν γαμεῖν διαγνοὺς τὴν Εἰρήνην ἱδρύεται, καὶ οὖσα ἐν τῷ προφανεῖ πρὸς εὐωχίαν τρέπεται. τοὐντεῦθεν οἵ τε τῶν εἰρηνικῶν ὅπλων δημιουργοὶ χαίροντες καὶ οἱ τῶν πολεμικῶν τοὔμπαλιν κλάοντες. εἰσάγεται δὲ καὶ ἐπὶ τέλει τοῦ λόγου παιδία τινὰ τῶν κεκλημένων ἐπὶ τὸ δεῖπνον λέγοντα ῥήσεις γελωτοποιούς. τὸ δὲ δρᾶμα τῶν ἄγαν ἐπιτετευγμένων. τὸ δὲ κεφάλαιον τῆς κωμῳδίας ἐστὶ τοῦτο· συμβουλεύει Ἀθηναίοις σπείσασθαι πρὸς Λακεδαιμονίους καὶ τοὺς ἄλλους Ἕλληνας. οὐ τοῦτο δὲ μόνον ὑπὲρ εἰρήνης Ἀριστοφάνης τὸ δρᾶμα καθῆκεν, ἀλλὰ καὶ τοὺς Ἀχαρνεῖς καὶ τοὺς Ἱππέας καὶ Ὁλκάδας, καὶ πανταχοῦ τοῦτο ἐσπούδακεν, τὸν δὲ Κλέωνα κωμῳδῶν τὸν ἀντιλέγοντα καὶ Λάμαχον τὸν φιλοπόλεμον ἀεὶ διαβάλλων. διὸ καὶ νῦν διὰ τούτου τοῦ δράματος εἰρήνης αὐτοὺς ἐπιθυμεῖν ποιεῖ, δεικνὺς ὅπόσα μὲν ὁ πόλεμος κακὰ ἐργάζεται, ὅσα δὲ ἀγαθὰ ἡ εἰρήνη ποιεῖ. οὐ μόνος δὲ περὶ εἰρήνης συνεβούλευσεν, ἀλλὰ καὶ ἄλλοι πολλοὶ ποιηταί. οὐδὲν γὰρ συμβούλων διέφερον· ὅθεν αὐτοὺς καὶ διδασκάλους ὠνόμαζον, ὅτι πάντα τὰ πρόσφορα διὰ δραμάτων αὐτοὺς ἐδίδασκον. ἐνίκησε δὲ τῷ δράματι ὁ ποιητὴς ἐπὶ ἄρχοντος Ἀλκαίου ἐν ἄστει. πρῶτος Εὔπολις Κόλαξι, δεύτερος Ἀριστοφάνης Εἰρήνῃ, τρίτος Λεύκων Φράτορσι. τὸ δὲ δρᾶμα ὑπεκρίνατο Ἀπολλόδωρος, ἡνίκα ἑρμῆν λοιοκρότης.)

II.

Ἤδη τῷ Πελοποννησιακῷ πολέμῳ κεκμηῶτας τοὺς Ἀθηναίους καὶ τοὺς σύμπαντας Ἕλληνας Ἀριστοφάνης ἰδὼν, ἱκανὸς γὰρ διιππεύκει πολεμούντων αὐτῶν χρόνος, τὸ δρᾶμα συνέγραψε τοῦτο, προτρέπων τὰς πόλεις καταθέσθαι μὲν τὴν πρὸς αὐτὰς φιλονεικίαν, ὁμόνοιαν δὲ καὶ εἰρήνην ἀντὶ τῆς πρότερον ἔχθρας ἑλέσθαι. παρεισάγει τοίνυν γεωργὸν, Τρυγαῖον τοὔνομα, μάλιστα τῆς εἰρήνης ἀντιποιούμενον. ὃς ἀσχάλλων ἐπὶ τῷ πολέμῳ εἰς οὐρανὸν ἀνελθεῖν ἐβουλεύσατο πρὸς τὸν Δία, πευσόμενος παρ' αὐτοῦ δι' ἣν αἰτίαν οὕτως ἐκτρύχει τὰ τῶν Ἑλλήνων πράγματα, τοσοῦτον ποιήσας πόλεμον αὐτοῖς. ὃν δὴ διαποροῦντα τίνα τρόπον τὴν εἰς οὐρανὸν πορείαν ποιήσει, παρεισάγει τρέφοντα κάνθαρον ὡς ἀναπτησόμενον εἰς οὐρανὸν δι' αὐτοῦ, Βελλεροφόντου δίκην. προλογίζουσι δὲ οἱ δύο θεράποντες αὐτοῦ, οἷς καὶ ἐκτρέφειν προσετέτακτο τὸν κάνθαρον, δυσφοροῦντες ἐπὶ τοῖς αὐτοῦ σιτίοις. ἡ δὲ σκηνὴ τοῦ δράματος ἐκ μέρους μὲν ἐπὶ τῆς γῆς, ἐκ μέρους δὲ ἐπὶ τοῦ οὐρανοῦ. ὁ δὲ χορὸς συνέστηκεν ἔκ τινων ἀνδρῶν Ἀττικῶν γεωργῶν.

III.

Φέρεται ἐν ταῖς διδασκαλίαις δεδιδαχὼς Εἰρήνην ὁμωνύμως ὁ Ἀριστοφάνης. ἄδηλον οὖν, φησὶν Ἐρατοσθένης, πότερον τὴν αὐτὴν ἀνεδίδαξεν, ἢ ἑτέραν καθῆκεν, ἥτις οὐ σώζεται. Κράτης μέντοι δύο οἶδε δράματα γράφων οὕτως « ἀλλ' οὖν γε ἐν τοῖς Ἀχαρνεῦσιν, ἢ « Βαβυλωνίοις, ἢ ἐν τῇ ἑτέρᾳ Εἰρήνῃ. » καὶ σποράδην δέ τινα ποιήματα παρατίθεται, ἅπερ ἐν τῇ νῦν φερομένῃ οὐκ ἔστιν.

IV.

(ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΓΡΑΜΜΑΤΙΚΟΥ.

Τῷ Διὶ φράσαι σπεύδων τὰ κατ' ἀνθρώπους * *
Τρυγαῖος θέλων * * ὡς τοὺς θεοὺς
ἐξέτρεφεν ὄρνιθας· ὡς δ' ἀνέπτη, κατέλαβεν
Ἑρμῆν μόνον ἄνω. κἄτ' ἐπιδείκνυσιν φράσας
τὸν πόλεμον βρύθηται ἀπηρτημένον
ἀέριος ἕτοιμόν τ' ὄντα πρὸς κακουχίαν,
τὴν πρότερον Εἰρήνην δὲ κατορωρύγμένην
ἱκέτευσαν οἱ κατ' ἀγροὺς ἀνάπαλιν ποεῖν.
τὸ μέλ βαδ' ἐπένευσε, καὶ τότε
ἀπάγουσιν αὐτὴν τὴν ἐκ βερέθρου καὶ τἀγαθά.)

SCHOLIA IN PACEM.

[Ἡ εἴσθεσις τοῦ δράματος ἐξ ἰαμβείων π' συνήθων. τὸ μέντοι ξ' μονόμετρον ἀκατάληκτον. ἐπὶ ταῖς ἀποθέσεσι καὶ τῷ τέλει παράγραφος.]

Τοῦ δράματος πρῶτοι τρίμετροι ἴαμβοι ἀκατάληκτοι π', ὧν τελευταῖος «ἱππηδὸν ἐς τὸν ἀέρ' ἐπὶ τοῦ κανθάρου.» μετὰ δὲ πεντήκοντα ὀκτὼ ἔστι προαναφώνημα τὸ ἔα ἔα, καὶ τὰ ἑξῆς ἰαμβικά. V.

1. αἶρε ἀντὶ τοῦ φέρε. καὶ παρ' Ὁμήρῳ [Il. ζ, 264] ἀξιοῦσι τὸ αἶρε ἀντὶ τοῦ διδόναι καὶ προσφέρειν λέγεσθαι ἐν τῷ «μή μοι οἶνον ἄειρε.» R. V. δύο δέ εἰσιν οἰκέται. ὧν ὁ μὲν τρέφει τὸν κάνθαρον, ὁ δὲ ἕτερος μάττει. ὁ τρέφων οὖν λέγει πρὸς τὸν μάττοντα. — ἐπαναδίπλωσις δὲ τὸ σχῆμα τοῦ λόγου· διὰ γὰρ τῆ αὐτῆ λέξει κέχρηται. V.

μᾶζαν : Μᾶζα κυρίως ἡ τροφὴ ἡ ἀπὸ γάλακτος καὶ σίτου, παρὰ τὸ μάζεσθαι. τὸ δὲ μᾶζαν προπερισπαστέον, τουτέστι τροφήν. καταχρηστικῶς δὲ τῇ λέξει κέχρηται· οὐ γὰρ τὴν ἐξ ἀλφίτων φυραθεῖσαν νῦν θέλει δηλοῦν· οὐ γὰρ αὕτη κανθάρων τροφή· ἀλλὰ τὸ ἀποπάτημα, λέγω δὴ τὴν κόπρον· τοιαύτη γὰρ ἡ τῶν κανθάρων τροφή. πίτυρα δέ τινα ῥυπαρὰ μάττουσιν οἱ οἰκέται. κόπρον γὰρ φυρᾶν ἀπίθανον.

ὡς τάχιστα : Ἡ τάχος, ἢ διὰ ταχέων. — διὰ δὲ τοῦ σπουδαίου τοῦ παρὰ τῶν οἰκετῶν πρὸς τὸν κάνθαρον ἐμφαίνει τὴν περὶ αὐτὸν τοῦ δεσπότου μεγίστην φροντίδα. R. V. κάνθαρος δὲ εἶδος ζῴου παρὰ τὰς σίλφας τὸ μέγεθος. — ἀναβιβαστέον δὲ τὸν τόνον· οὕτω γὰρ Ἀττικοί. R. V.

2. (ἰδού : Παρεπιγραφή· ὁ γὰρ ἕτερος τῶν οἰκετῶν τὸ προσταχθὲν ποιῶν αὐτῷ παραφέρει καὶ ἐπιδίδωσι τὴν τροφήν.

τῷ κάκιστ' ἀπολουμένῳ : Διὰ γὰρ τὸ ἀνάγκην ἔχειν ἅπτεσθαι καὶ ψηλαφᾶν τῆς κόπρου ἀπεχθάνεται πρὸς τὸν κάνθαρον.)

3. μήποτ' αὐτῆς μᾶζαν : Οὐχ ὡς ὄντως τρώγοντος, ἀλλὰ πρὸς τὸ μυθευόμενον ἔπαιξεν. ὡς ἐπίτηδες γὰρ πεπλασμένα ἐστὶ τὰ τῶν ὄνων ἀποπατήματα.

5. νῦν δὴ : οὕτως Ἀττικοὶ ἀντὶ τοῦ ἀρτίως. (ἐν ἐρωτήσει τὸν λόγον νῦν προσάγει. ἐκείνου γὰρ αἰτήσαντος μᾶζαν ἑτέραν, φησὶν αὐτὸς, ἦν γὰρ νῦν αὐτῷ προσφέρες οὐ κατέφαγεν; ὥστε πῶς; διόπερ ἐκείνου ἀρνουμένου μὴ βεβρωκέναι τὸν πρότερον πέλεθον, τὸν κάνθαρον προστίθησι καὶ τὴν αἰτίαν, ὡς περικυλίσας ἐνέκαψεν.)

6. ἄλλο φαγεῖν καὶ ἄλλο καταφαγεῖν καὶ ἄλλο καταπιεῖν. φαγεῖν μὲν γὰρ τὸ τάξει, καταφαγεῖν δὲ τὸ ἀθρόως, καταπιεῖν δὲ τὸ μηδὲ μασώμενον ἐσθίειν. τὸ οὖν ἀδηφάγον τοῦ ζῴου δεικνὺς λέγει ὅτι οὐ κατέφαγεν ἀλλὰ κατέπιεν μηδὲ μασησάμενος.

7. περικυλίσας : (Περιελκύσας καὶ περισύρας. ἔθος δὲ τοῖς κανθάροις τὰς ὀνίδας περικυλίειν.) λέγεται ὁ κάνθαρος εἰς ὄνθον ἀποσπερματίζειν καὶ οὕτω περιστρέφειν τοῖς ποσὶν, ἕως ὅταν ἐγγυμνασθὲν τὸ σπέρμα ἀποδοθῇ καὶ ἐγγεννήσῃ. θῆλυς γὰρ κάνθαρος οὐ γίνεται, ἀλλὰ πάντες ἄρρενες γεννῶνται.

τοῖν ποδοῖν : Πρὸς τὴν τάξιν τῶν ποδῶν ἀκολούθως τὸ δυϊκόν. — καὶ ἐν Νεφέλαις [150] ἐπὶ τῆς ψύλλης «ἐνεδάψεν εἰς τὸν κηρὸν αὐτῆς τὼ πόδε.» καὶ παρὰ τῷ ποιητῇ τεσσάρων ἵππων ὄντων τῷ Ἕκτορι, δύο μὲν δεξιῶν, δύο δὲ ἀριστερῶν, πρὸς σύνταξιν ἀκολούθως ἐπήνεγκε [Il. Θ, 189] «νῦν μοι τὴν κομιδὴν ἀποτίνετον.» R. V.

9. (κοπρολόγοι : Τοῦτο ἤτοι πρὸς τοὺς ἄλλους ῥήτορας καίτοι χαριεντιζόμενος ἀποτείνεται, διαβάλλων αὐτοὺς ὡς μυσαροὺς καὶ λοιδόρους, ἢ διότι τὰς κόπρους τοῖς οἰκέταις προσετέτακτο βαστάζειν εἰς τροφὴν τοῦ κανθάρου. τοὺς συνεργοὺς οὖν τῶν ὁμοδούλων εἰς ἐπικουρίαν καλεῖ.

προσλάβεσθε : Βοηθήσατε. συνέχει γὰρ τῇ μιᾷ τὴν ῥῖνα, τῇ δὲ ἑτέρᾳ μάττει. ζητεῖν οὖν ἔοικε τοὺς διαδεξομένους.)

10. ἀποπνιγέντα : Συνέχει γὰρ τὰς ῥῖνας διὰ τὸ φυρᾶν τὴν κόπρον ὑπὲρ τοῦ μὴ ὀδωδέναι αὐτῷ. μήτε οὖν διεξιόντος ἔτι τοῦ πνεύματος μήτε τοῦ ἔζωθεν ἀέρος σπωμένου, ἀλλ' ἀποκεκλειμένων τῶν ῥινῶν τῇ θλίψει τῶν δακτύλων, ἀνάγκη στενοχωρουμένου τοῦ πνεύματος πνίγεσθαι αὐτόν.

11. ἑτέραν ἑτέραν : (Οἱ Ἀττικοὶ καὶ ἐπὶ πολλῶν λέγουσι τὸ ἑτέραν. ἡμεῖς δὲ ἐπὶ δευτέρας μόνης.) ἐπὶ τῆς τρίτης ἑτέραν εἶπεν. (ὅλως δὲ ἡ παρατετηρημένη ἐπί τε τοῦ ἑτέρου καὶ ἄλλου διαφορὰ παρ' Ἀττικοῖς οὐκ ἔστιν.)

ἡταιρηκότος : Ἐπειδὴ ἐκείνων δοκεῖ ἡ κόπρος τετρίφθαι ὡς ἡταιρηκότων. ἐκ δὲ τοῦ ἑτοίμως καὶ προχείρως προσενεγκεῖν διαβάλλει τοὺς Ἀθηναίους, ὡς πολλῶν καὶ ποιούντων [τοιαῦτα] παρ' αὐτοῖς καὶ πασχόντων.

ἴσως ἵνα τοῦ τρίβειν ἀπαλλαγῇ διὰ τὸ τὴν τῶν παίδων τετριμμένην εἶναι καὶ ἑτοίμην ἐκ τῶν χρωμένων. R. V.

13. (ἑνὸς μὲν ὤνδρες ἀπολελύσθαι : Τοῦ τρίβειν καὶ φυρᾶν τὴν κόπρον. ἐκέρδανα, φησὶ, διὰ τὸ μὴ ἴσως χρῄζειν ἔτι τοιούτου πόνου τὴν τοῦ ἡταιρηκότος τούτου παιδὸς κόπρον, ἀλλ' ὥσπερ ἑτοίμην καθεστηκέναι τρίβειν καὶ ἀνατετρίφθαι ὑπὸ τῶν χρωμένων.)

(14). οὐδεὶς φαίη : Οὐ γὰρ ἄν τις ὑποπτεύσειε διὰ τὸ φυρᾶν ἐμὲ ἤδη καὶ τὴν κόπρον ἐσθίειν. — δυοῖν οὖν ὄντων τῶν περὶ ἐμὲ δυσχερῶν, τῆς τε δυσωδίας ἣν ἀπὸ τοῦ μαλάσσειν καὶ φυρᾶν τὴν κόπρον συνέβαινε πάσχειν, καὶ τῆς περὶ τῆς τροφῆς ὑποψίας, ἤδη φανερῶς τοῦ ἑνὸς ἀπαλλαγείς, τοῦ μηκέτι καταναγκάζεσθαι φυρᾶν τὴν κόπρον, ἡγοῦμαι ἀπηλλάχθαι φησὶ καὶ τῆς ὑπονοίας τῆς ἐπὶ τῇ τροφῇ· οὐδένα γὰρ ὑμῶν πιστεύειν οἶομαι ὅτι ἔτι μάττων καὶ φυρῶν ἤδη καὶ ἐσθίω. δῆλον δὲ ὅτι πίτυρα ἦν· ἀπίθανον γὰρ κόπρον μάττειν. Ἄλλως. V. εἰώθασι γὰρ ἅμα τῷ μάττειν ἐσθίειν· — ἀφ' οὗ καὶ τὴν παυσικάπην ἐπενόησαν, τροχοειδές τι, δι' οὗ τὸν τράχηλον εἶρον πρὸς τὸ μὴ δύνασθαι τὴν χεῖρα προσάγειν. μέμνηται δὲ ἐν Ἥρωσιν Ἀριστοφάνης· « παύσειν ἔοιχ' ἡ παυσικάπη κάπτοντά σε. » V.

17. ὑπερέχειν : Ἀντὶ τοῦ ἀντέχειν καὶ περιγίνεσθαι τῆς ὀσμῆς. ἀπὸ μεταφορᾶς τῶν πλοίων, ἅπερ κινδυνεύει τῆς ἀντλίας πληρωθείσης. βούλεται δὲ εἰπεῖν ὅτι νικῶμαι μάττων. — Ἄλλως. μεταφορικῶς ἀπὸ τοῦ τόπου τῆς νεὼς ἐξ οὗ τὸ ὕδωρ ἀρύουσιν. φησὶν οὖν ὅτι οὐ δύναμαι ὑποφέρειν, ὡς καὶ αὐτοῦ τοῦ ὕδατος ὑπεράνω μου γεγενημένου. διὰ δὲ τούτου τὴν ἀδηφαγίαν τοῦ κανθάρου δηλοῖ, ὡς ὑπερκεράσαντος ὕδατος τῆς ἀντλίας. V.

18. ἀντὶ τοῦ τὴν σκάφην. ταῦτα δὲ εἰπὼν προσφέρει τὸ ἀγγεῖον ἔνθα ἐφύρα. R.

19. ἀπόφερε τὴν ἀντλίαν καὶ σεαυτόν. R. V.

20. (ὑμῶν δέ γ' εἴ τις : Πρὸς τοὺς ἀκροατὰς τὸν λόγον ὁ ποιητὴς ἄγαν εὐφυῶς ποιεῖται.)

21. μὴ τετρημένην : Διὰ τὸ μὴ ὀσφραίνεσθαι τῆς κόπρου τῶν μυκτήρων ἀποκεκλεισμένων.

24. ὗς καὶ κύων. κοπροφάγα τὰ ζῷα. R.

ὥσπερ ἂν χέσῃ τις : Ἀντὶ τοῦ ἄτριπτον. ἀνθρώπων δηλονότι. ὥσπερ ἂν χέσῃ τις, φησὶν, οὕτως ἐσθίει τὰ ἀποπατήματα καὶ ὗς καὶ κύων, μὴ δεόμενοι τοῦ μάττεσθαι αὐτά.

25. φαύλως ἐρείδει : ἁπλῶς καὶ ἀπεριέργως μασᾶται. (ἢ συντόνως ἐσθίει. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐρεττόντων καὶ ἐπερειδομένων ταῖς κώπαις. ἐρείδειν δέ φασιν οἱ Ἀττικοὶ πᾶν ὁτιοῦν συντόνως γινόμενον. τὸ δὲ βρενθύεται,) ἀντὶ τοῦ σεμνύνεται καὶ ἐπαίρεται (Ald. V. μέγα φρονεῖ.) — οἱ μὲν ἀπὸ βρένθους τοῦ φυτοῦ, οἱ δὲ μύρου εἶδος, ᾧ χρίονται αἱ γυναῖκες καὶ ἐπ' αὐτῷ μέγα φρονοῦσιν. V.

28. ὥσπερ γυναικὶ γογγύλην : Αἱ γὰρ γυναῖκες, ἵνα μὴ δοκοῖεν πολυφάγοι εἶναι, ἐκ τῆς πυκνότητος τῆς μάζης, μικρᾶς εἶναι δοκούσης, ὀλιγοφαγίας δόξαν ἐμφαίνουσι, στρογγύλας αὐτὰς ποιοῦσαι τὰς μάζας. (γογγύλη δὲ παρείκασεν αὐτὰς, ἐπειδὴ καὶ αἱ γογγύλαι στρογγύλαι παρ' αὐτοῖς. ἔστι δὲ λαχάνου εἶδος, ὃ παρά τισι ῥάφανον καλεῖται. — Ἄλλως. ὡς τῶν γυναικῶν ἑαυταῖς ἐπιμελέστερον τριβουσῶν, ὥστε μὴ διακεχύσθαι τὴν μᾶζαν διὰ τὸ ἄτριπτον εἶναι, ἀλλὰ συνεστράφθαι. παρατετήρηκε δὲ ταῦτα καὶ Σώφρων καὶ Καλλίμαχος. V. γόγγυλος ἐστὶ λίθος.)

(29). ἀλλ' εἰ πέπαυται : Εἰ τῆς τροφῆς ἐπαύσατο δηλονότι κορεσθεὶς ὑπ' αὐτῆς. — νῦν δὲ τῇ ἐδωδῇ ἐχρήσατο παρὰ τὸ ὀδωδέναι τὴν κόπρον. πρὸς τὸν κάνθαρον λέγει πιθανῶς διὰ τὸ θαυμάζειν μὴ ὁρῶσι τοῖς θεαταῖς παρίστησι. V. παρὰ τὸ ὀδωδέναι ἐχρήσατο. R.

30. (παροίξας : Ὀλίγον διανοίξας τὴν θύραν, ὥστε ἰδεῖν μὲν τὰ ὑπ' αὐτοῦ πραττόμενα, μὴ ὁραθῆναι δὲ ὑπ' αὐτοῦ. δῆλον δὲ ὅτι καὶ τοῦτο παρεπιγραφή ἐστι· δεῖ γὰρ αὐτὸν ἠρέμα ἀνοῖξαι καὶ κατανοῆσαι εἴτε ἐσθίει ὁ κάνθαρος εἴτε πέπαυται.)

31. ἔρειδε : Ἡ μεταφορὰ ἀπὸ τῶν ἐρεττόντων, ὅταν προσερείδωσι σφοδρῶς τῇ θαλάττῃ τὰς κώπας. V.

32. τέως ἕως : Ὅτι ἐκ παραλλήλου κεῖται τὸ ἕως καὶ τέως, καὶ ὅτι εἰς ὑπόδειγμα χρήσιμον. Ἄλλως. παρατηρητέον ὅτι ἐνταῦθα διαφόρως ἐχρήσατο τέως καὶ ἕως. ἔστι δὲ χρήσιμα εἰς ὑπόδειγμα. V.

33. οἷον δὲ κύψας : Οἷον ἐγκύψας. διὰ δὲ τοῦ σχήματος τὴν ἀδηφαγίαν αὐτοῦ δηλοῖ. — καὶ γὰρ τῶν ἀνθρώπων καὶ τῶν θρεμμάτων οἱ μάλιστα τοῖς ἐδέσμασιν ἐγκεκυφότες καὶ προσκείμενοι δοκοῦσιν ἀπλήστως καὶ περισπουδάστως ἐσθίειν. V.

34. (ὥσπερ παλαιστὴς : Τῇ μεταφορᾷ ἐχρήσατο καὶ διὰ τὸ τοὺς κανθάρους μιμεῖσθαι τοὺς παλαιστὰς διαιρουμένους ἐν τῷ κυλίειν τὴν κόπρον. — Ἄλλως. ὁμοῦ μὲν ὡς τῶν παλαιστῶν ἀδηφαγούντων, ὁμοῦ δὲ τὸ ἐπιφερόμενον οἰκείως τῶν παλαιστῶν ἐμνημόνευσε καὶ τῇ εἰκόνι ἐχρήσατο. δοκοῦσι γὰρ οἱ κάνθαροι, ἐπειδὴ ἐφέλκονται τὰς κόπρους, τῶν παλαιστῶν μιμεῖσθαι τὸ σχῆμα, ᾧ ἐν ἀρχῇ χρῶνται τῆς πάλης. V. παραβαλὼν δὲ) ἀντὶ τοῦ χαλάσας τοὺς ἐμπροσθίους ὀδόντας, ὥσπερ καὶ χαλάσαι κώπην λέγουσι παραβαλεῖν.

36. ὥσπερ οἱ τὰ σχοινία : (Οὕτως ἐστὶ, φησὶ, κινούμενος, ὥσπερ οἱ ἐργαζόμενοι τὰ σχοινία τὰ μεγάλα τῶν πλοίων, ὅτι ἐργαζόμενοι τῷ σώματι καὶ ὅλῃ τῇ ψυχῇ καὶ τῇ δυνάμει ἐργάζονται ἐν τῷ πλέκειν· οὕτως ὅλῃ τῇ δυνάμει ὁ κάνθαρος, φησὶν, ἐσθίει κινούμενος. Ἄλλως. ἐπεὶ οἱ σχοινοπλόκοι συμπεριάγονται τῇ τῶν σχοινίων συμπλοκῇ διὰ τῆς τροχιλίας. παρέλκων· καὶ γὰρ ἐκεῖνοι δεῦρο κἀκεῖ ἐν τῇ πλοκῇ περιφέρουσι τὴν κεφαλήν. Ἄλλως.) κινῶν γὰρ καὶ μεταβάλλων ἐσθίει ὁ κάνθαρος, ὥσπερ οἱ τὰ ὄργανα στρέφοντες τῶν σχοινίων. V. R.

τὸν αὐτὸν τρόπον, ἢ οὕτως, ὁμοίως ἐλίσσων τὰς χεῖρας.

διὰ δὲ τὸ ἐφέλκεσθαι αὐτοὺς τὰς κόπρους ἀνάγκη τὸ σχῆμα τοῦτο ποιεῖν καὶ ἑνὶ παρ' ἑνὶ ἐφέλκεσθαι τῶν ποδῶν. χεῖρας δὲ ἐκάλεσε τοὺς ἐμπροσθίους πόδας. V.

(37). συμβάλοντες : Συμπλέκοντες (συνδέοντες V.).

τούτους δὲ ἑκάλουν καὶ σχοινιοσυμβόλους (σχοινιοσυνδέτας V.).

38. καὶ κάκοσμον : Δικαίως τὰ τοιαῦτα ἑστιώμενα κάκοσμά ἐστι. — βορόν : οὕτως ὀξυτόνως ἀντὶ τοῦ ἀδηφάγον. R. V.

39. χὤτου ποτ' ἐστὶ : Ἐπεὶ ἓν ἕκαστον τῶν ὀρνέων ἀνάκειται θεῷ τινί, ὡς ἀετὸς τῷ Διὶ καὶ ἡ γλαὺξ τῇ Ἀθηνᾷ, (τίνος οὗτός ἐστιν;) οὐκ ἔστιν οὖν, φησὶ, τῆς Ἀφροδίτης, ἐπεὶ αὕτη μὲν μύροις χαίρει, ὁ δὲ ὑσσώδης ἐστίν.

ἀναφρόδιτον γὰρ τὸ ζῷον. V.

προσβολὴ : Ἡ ζημία, ἡ τοῦ δαίμονος ὀργή. ἀντὶ τοῦ ζῷον εἰπεῖν, ζημίαν εἶπε, καταρώμενος ἑαυτῷ.

40. μύροις μὲν γὰρ ἡ θεὸς ἥδεται. διὸ καὶ τοὺς ὕας ἀλλοτρίους εἶναί φαμεν τῆς θεοῦ, βορβορώδεις γὰρ, προσφιλεῖς δὲ τὰς πελειάδας διὰ τὸ τιθασὸν καὶ καθαρὸν αὐτῶν. R. V.

41. ἑξῆς δὲ μετὰ τὴν Ἀφροδίτην τῶν Χαρίτων ἐμνημόνευσε. δοκεῖ γάρ πως κοινωνία εἶναι τούτων τῶν θεῶν· οὐδὲν γὰρ ἐπαφρόδιτον, ὃ μή ἐστι Χαρίτων. V.

Ἀφροδίτης μὲν γὰρ καὶ Χαρίτων πολλὴ κοινωνία. R.

τίνος ἄρα. V.

42. Διὸς καταιβάτου : Ἀντὶ τοῦ Διὸς ἂν εἴη. καταιβάτης δὲ τιμᾶται ὁ Ζεὺς παρὰ τοῖς Ἀθηναίοις, παρὰ τὸ καταβιβάζειν τοὺς κεραυνούς. ἢ ἀπὸ τῶν κεραυνῶν τῶν ἄνωθεν πιπτόντων. ἢ ἀπὸ τοῦ καταβαίνειν δι' ἔρωτα τῶν χθονίων γυναικῶν. παίζει δὲ καταιβάτην αὐτὸν καλῶν, ἐπεὶ σκάτοις τρέφεται ὁ κάνθαρος.

43. οὐκοῦν ἂν ἥδη τῶν θεατῶν : Ἐνταῦθα θέλων τὴν ὑπόθεσιν δηλῶσαι, σκώπτει τοὺς Ἀθηναίους ὡς φιλολοιδόρους. φησὶ γὰρ, πάντως τις τῶν θεατῶν βλέπων τὸν κάνθαρον, ἀνίσταται λέγων πρὸς τί τὸν κάνθαρον πεποίηκεν Ἀριστοφάνης; (εἶτα ἄλλος ἐλλόγιμος εἶναι δοκῶν, λέγει, πάντως τὸν Κλέωνα θέλει σκῶψαι ὁμοίως ὄζοντα αὐτῷ. ταῦτα δὲ λέγει τοὺς θεατὰς διαλέγεσθαι πρὸς ἀλλήλους πρὶν μαθεῖν τὴν ὑπόθεσιν. ἰστέον δὲ ὡς βυρσοπώλης ἦν ὁ Κλέων, αἱ δὲ βύρσαι δύσοσμοι.)

45. πρὸς αὐτόν τις. V.

46. Ἑλληνικὸς, Ἀθηναῖος. Ἴων γὰρ ἀρχαῖος Ἀθηναῖος. R.

47. διὰ τὸ δύσοσμον. καὶ γὰρ αἱ βύρσαι δύσοσμοι. βυρσοπώλης δὲ ὁ Κλέων. ἐπειδὴ οἱ βυρσοδέψαι κάκιστον ὀδώδασιν. αἰνίττεται δὲ ἀντὶ τοῦ δηλοῖ. ἰδίως δὲ τὸ αἰνίττεσθαι δηλοῖ τὸ λελησθότως περί τινος λέγειν. R. ἐξ ἀφορμῆς θέλει εἰπεῖν τὴν ὑπόθεσιν διὰ τὸ δύσοσμον. καὶ γὰρ αἱ βύρσαι δύσοσμοι. βυρσοπώλης δὲ ὁ Κλέων. V.

48. τὴν σπατίλην ἐσθίει : Ἀντὶ τοῦ ἤσθιεν· ἀποθανὼν γὰρ ἦν ὁ Κλέων· σπατίλη δὲ λέγεται ἡ ἀνθρωπίνη κόπρος. διαβάλλει οὖν τὸν Κλέωνα ὡς σκατοφάγον.

Ἄλλως. τὰ μικρὰ ξύσματα τὰ ἐκβαλλόμενα ὑπὸ τῶν σκυτέων. πῶς δὲ ἤσθιεν ὁ Κλέων ἤδη τεθνηκώς; Ἐρατοσθένης γὰρ ἐπὶ Θρᾴκης τὸν θάνατον Βρασίδου καὶ Κλέωνος ὀκτὼ μησὶ προγεγονέναι φησί· καὶ αὐτὸς δὲ ἐν τούτοις [v. 269] φησίν « ἀπόλωλεν Ἀθηναίοις ἀλετρίβανος. » ῥητέον οὖν ὅτι τὸ ἐσθίει ἀντὶ τοῦ ἤσθιεν. Ἄλλως. σπάτος τὸ δέρμα, σπατίλη δὲ ὁ ῥύπος τοῦ δέρματος. V.

49. οὐχ ὡς πίνοντος τοῦ κανθάρου, ἀλλ' ὡς ἐπὶ ἱπποτροφίας. R.

52. τοῖς ὑπερβαίνουσι τὴν τῶν ἀνδρῶν ἡλικίαν. ἢ τοῖς ὑπερηφάνοις. ἢ τοῖς τούτων ἰσχυροτέροις καὶ μᾶλλον ἀκμάζουσι. καὶ Ὅμηρος ἠνορέῃ. V.

53. οὐχ ὕνπερ ὑμεῖς : Διαβάλλει αὐτοὺς ὡς μαινομένους μανίαν δικανικήν.

59. τὸ κόρημα : Τὸ κόσμητρον, τὸ σάρον, (ᾧ εἰώθασιν ἀποκαθαίρειν τὸ πλῆθος τῶν ἐν τοῖς οἴκοις ῥύπων). μηκκόρει δὲ ἀντὶ τοῦ παῦσαι ἔρημον οἰκητόρων ποιῶν διὰ τῶν πολέμων. — ἦν δὲ καὶ ἀρά τις αὕτη τοῖς ἀρχαίοις, ὥς που καὶ ὁ Μένανδρός φησι « πολλάκις ἐκχορηθείης σύ γε, » βουλόμενος τὸ ἄρδην ἀπολέσθαι σημᾶναι. R. V.

62. τί δρασείεις : Ἀντὶ τοῦ ὁρᾶν διανοῇ. [εἰσιὼν δὲ ταῦτά φησιν ὁ Τρυγαῖος. τοῦτο δὲ ὄνομα κύριον, ὃ ὁ μὲν Ἡρωδιανὸς προπερισπᾷ, οἱ δὲ λοιποὶ ὡς τὸ Τίμαιος προπαροξύνουσι.]

Τρύγαιος (ὄνομα κύριον) ἀπὸ ῥήματος τῆς δευτέρας συζυγίας τῶν περισπωμένων. καὶ προαναπέμπει τὸν τόνον. ὡς ἀπὸ τοῦ τιμῶ Τίμαιος, οὕτως ἀπὸ τοῦ τρυγῶ Τρύγαιος. ὁ δὲ Ἡρωδιανὸς προπερισπᾷ τὸ Τρυγαῖος. R. V.

63. λήσεις σεαυτὸν : Ἀντὶ τοῦ, ἀγνοεῖς τέλεον ἀπολέσας τὰς πόλεις. ἐκκοκκίσας δὲ ἀντὶ τοῦ ἐρημώσας καὶ ἀφανίσας. ἀπὸ μεταφορᾶς τῶν ῥοιῶν τῶν τοὺς κόκκους ἐκβαλλουσῶν. — ὥσπερ (γὰρ) αἱ πόλεις σκέπαι τῶν ἀνθρώπων εἰσὶν, οὕτω καὶ αἱ ῥοιαὶ τῶν κόκκων. καλῶς οὖν ἐχρήσατο τῇ μεταφορᾷ, καὶ μάλιστα ἄγροικος ὢν (ὡς πρέπον ἑαυτῷ τοῦτο εἴρηκεν). R. V. (Τρυγαῖος δέ ἐστιν ὁ ταῦτα λέγων ἄνθρωπος γεωργός.)

65. τῶν μανιῶν : Ἀντὶ τοῦ, τῆς μανίας. — καὶ ἐν Νεφέλαις [832] « σὺ δ' εἰς τοσοῦτον τῶν μανιῶν ἐλήλυθας. » R. V. (λέγεται δὲ καὶ ἑνικῶς ἡ μανία μ' ἐπέρχεται, ὡς ἐπιτοπλεῖστον δὲ πληθυντικῶς.)

68. εὐθὺ τοῦ Διός : Ἀντὶ τοῦ πρὸς τὸν Δία. καὶ διὰ τούτου τὴν ὑπερηφανίαν αὐτοῦ δηλοῖ. — οὐκ ἀρκεῖ ὅτι ἐπὶ κανθάρου ἐπιβῆναι τοῦ οὐρανοῦ προσδοκᾷ, ἀλλὰ καὶ εὐθὺ τοῦ Διὸς ἐβούλετο ἐλθεῖν, ὅ ἐστι πρὸς τὸν Δία, ὥσπερ εἰς ὡρισμένον τινὰ διατρίβοντος αὐτοῦ τόπον καὶ μὴ πάντα πληροῦντος τὸν οὐρανόν. R. V.

70. [ἀνερριχᾶτο : Τὸ πρὸς τοίχους ἀναβαίνειν καὶ χερσὶ καὶ ποσὶν, ἀναρριχᾶσθαι φασί. γίνεται δὲ ἐκ τοῦ ἀράχνης ἀραχνιῶ, καὶ ἐν ὑπερβιβασμῷ ἀναρριχῶ.]

πρὸς τὸ ὕψος ἀνέβαινε. πρὸς δένδρα καὶ τοίχους ἢ σχοίνιον ταῖς χερσὶ καὶ τοῖς ποσὶν ἀναρριχᾶσθαι λέγε-

ται. (φησὶ δὲ Ἐρατοσθένης Κυρηναίους οὕτω λέγειν.) εἴρηται δὲ ἀπὸ τῶν ἀρρίχων· εἶδος γάρ ἐστι κοφίνων, οὓς εἰώθασι διὰ σχοινίων ἀνιμᾶν. ἢ ἀπὸ τῶν ἀραχνῶν, καὶ ἔστιν οἷον ἀραχνᾶσθαι. αἱ δὲ ἀράχναι πολλάκις νήθουσι κατὰ τὰς ἐναερίους ὁδούς. R. V. Ἄλλως. καὶ τὸ ἀναρριχᾶσθαι δὲ τοῖς Ἀττικοῖς παρὰ τὸ ἀρχαῖόν ἐστι γενόμενον ἀραχνιῶ, καὶ ἐν ὑπερθέσει τῶν στοιχείων ἀναρριχῶ, τοῦ μὲν ν εἰς τὴν χώραν τοῦ ρ τεθέντος, τοῦ δὲ ι ἀμοιβαίως, καὶ τοῦ ρ εἰς τὴν χώραν τοῦ ν, τοῦ δὲ χ πλησίον τοῦ ω. ταῦτα Ἡρωδιανὸς ἐν τῷ ς' τῆς καθόλου. Ἄλλως. τὸ ταῖς χερσὶ καὶ τοῖς ποσὶ βιαζόμενον εἰς ὕψος ἀναβαίνειν ἀναρριχᾶσθαι ἔλεγον. Ἑλλάνικος « ἀναρριχῶνται δὲ ὥσπερ οἱ πίθηκοι ἐπ' ἄκρα τὰ δένδρα. » Ἄλλως. ἀνιέναι ἐπειρᾶτο εἰς τὸν οὐρανόν. ἐναργεῖ δὲ λέξει ἐχρήσατο τῷ ἀναρριχᾶται, ἐπεὶ διὰ τῶν χειρῶν δοκοῦσι μάλιστα ἀνέρχεσθαι ἐρειδόμενοι αὐταῖς καὶ ἑλισσόμενοι οἱ διὰ κλιμάκων τὴν ἄνοδον ποιούμενοι. V.

71. τῆς κεφαλῆς : Παρατετήρηται τοῦτο πολλάκις τὸ σχῆμα· Ἀττικοὶ γὰρ ἐπὶ γενικῆς τάττουσιν. V.

72. ἐκφθαρεὶς : Ἐξελθών. οὕτω δὲ ἔλεγον τὸ ἐπὶ κακῷ ἐξελθεῖν που.

(73). Αἰτναῖον μέγιστον κάνθαρον : Ὑπερμεγέθη· μέγιστον γὰρ ὄρος ἡ Αἴτνη. ἢ ὅτι διάφοροι κάνθαροι ἐκεῖ εὑρίσκονται. — Ἄλλως. μεγάλοι λέγονται εἶναι κατὰ τὴν Αἴτνην κάνθαροι. μαρτυροῦσιν δὲ οἱ ἐπιχώριοι. Ἐπίχαρμος ἐν Ἡρακλεῖ τῷ ἐπὶ τὸν ζωστῆρα « Πυγμαρίων λοχαγὸς ἐκ τῶν κανθάρων τῶν μειζόνων, « οὓς φασι τὴν Αἴτνην ἔχειν. » τρόπον δέ τινα καὶ Αἰσχύλος ἐπιχώριος· λέγει δὲ ἐν Σισύφῳ πετροκυλιστῇ « Αἰτναῖός ἐστι κάνθαρος βίᾳ πόνων. » Σοφοκλῆς Δαιδάλῳ « ἀλλ' οὐ μὲν δὴ κάνθαρος τῶν Αἰτναίων πάντως. » λέγει δὲ πάντως εἰκάζων εἰς μέγαν. Πλάτων ἐν Ἑορταῖς « ὡς μέγα μέντοι πάνυ τὴν Αἴτνην ὄρος εἶναί φασι « τεκμαίρου, ὅθεν τρέφεσθαι τὰς κανθαρίδας τῶν ἀν« θρώπων ἐστὶν λόγος οὐδὲν ἐλάττους. » V. ἢ ἀντὶ τοῦ μέγαν ὡς τὴν Αἴτνην. ἢ ὅτι οἱ Αἰτναῖοι ἵπποι διαβόητοι καὶ τὸν ὁρόμον ἀξιόλογοι καὶ τὰ ζεύγη ἐπαινετοί. — καὶ Πίνδαρός φησιν [fr. 33] « ἀλλ' ἀπὸ τῆς ἀγλαοκάρπου Σικελίας ὄχημα. » V.

75. καταψῶν : (Καταπραΰνων, ὥσπερ πῶλον καταψῶντες ταῖς χερσὶν ὁμαλίζομεν.) — ἀντὶ τοῦ κολακεύων, πραΰνων. R.

πωλίον : (Πῶλος καὶ ἵππος. πῶλοι δὲ κυρίως τὰ γενήματα τῶν ἵππων καὶ τῶν ἄλλων κτηνῶν. ἅπερ ἔθος ἔχομεν ψηλαφᾶν καὶ κολακεύειν οἱ ἄνθρωποι.) — ὑποκοριστικῶς. R.

76. ὦ Πηγάσιον : Παρὰ τὰ ἐκ Βελλεροφόντου Εὐριπίδου. ἐκεῖνος γὰρ διὰ Πηγάσου τοῦ πτερωτοῦ ἐπεθύμει εἰς τὸν οὐρανὸν ἀνελθεῖν. « ἄγ' ὦ φίλον μοι Πηγάσου πτερόν. »

διὰ τούτων τὴν περὶ τὸν δεσπότην πλέον ἄνοιαν καὶ μανίαν δείκνυσι, τιμίῳ ἵππῳ παραβάλλοντα αὐτὸν ἀποφαινόμενος τὸν κάνθαρον. καὶ χάριν περιποιεῖ πολλὴν τῷ ποιήματι. V.

78. (διακύψας ὄψομαι : Βούλεται παραγενέσθαι καὶ θεάσασθαι. δῆλον δὲ ὅτι ἐκ τοῦ παρακῦψαι καὶ ἰδεῖν τὸ λοιπὸν μετέωρον αἰρόμενον πρὸς τὸν δεσπότην ταῦτά φησιν ὡς φοβούμενος.)

80. μετέωρος δὲ αἴρεται ἐπὶ μηχανῆς. τοῦτο δὲ καλεῖται ἐώρημα. ἐν αὐτῇ δὲ κατῆγον τοὺς θεοὺς καὶ τοὺς ἐν ἀέρι λαλοῦντας. V.

81. ἐπὶ τοῦ κανθάρου : Τῇ ἐπαγωγῇ τοῦ κανθάρου τὸ γελοῖον μᾶλλον ἔδειξε καὶ τὸ ἀπίθανον ἤλεγξεν· οὐ γὰρ οἷόν τε ἱππεύειν ἐπὶ κανθάρου.

82. [Ἡσυχος : Τὰ ἑξῆς ιθ' κῶλα ἀναπαιστικά, πλὴν τοῦ ι', δίμετρα ἀκατάληκτα. ἐπὶ τῷ τέλει παράγραφος. ὁ δὲ Τρυγαῖος ἐπιβεβηκὼς τῷ κανθάρῳ ταῦτά φησιν.]

διπλῆ καὶ εἴσθεσις εἰς περίοδον ἀναπαιστικὴν τῶν ὑποκριτῶν Τρυγαίου καὶ τοῦ οἰκέτου ἐννεακαιτριακοντάμετρον εἴκοσι κώλων. ἔχει μονόμετρον τὸ δέκατον. Ἄλλως. V. ἀναγκαίως αὐτῷ παραινεῖ μὴ διώκειν εὐθὺς ἀπ' ἀρχῆς τὰ μετέωρα τῶν ἀερίων, ἀλλ' ἱδρώσαντα πρῶτον, ἵνα τὸ πυρῶδες κατάστημα τοῦ αἰθέρος ὑπομεῖναι δυνηθῇ τῇ νοτίδι παραμυθούμενος. R. V.

ἠρέμα κάνθων : (Κάνθων κυρίως ὁ ὄνος, νῦν δὲ ὑποκοριστικῶς ὦ κάνθαρε. ὁ Τρυγαῖός ἐστιν ἔνδοθεν ταῦτα λέγων καὶ παρακελευόμενος, ἐπιβεβηκὼς ἤδη τῷ κανθάρῳ καὶ μετέωρος ἀρθείς, ὥσπερ εὐλαβούμενος μὴ ἐξαρπάσῃ αὐτόν. καὶ τοῦτο δὲ γελοίου χάριν παρείληπται τῷ ποιητῇ. φησὶν οὖν ἀτρέμα μοι πέτου, ὦ κάνθων, ὡς δεδιώς. κάνθωνας δὲ ἔλεγον τοὺς ὄνους, νῦν δ' ἔπαιξε τὸ κάνθων παρὰ τὸν κάνθαρον.) κάνθαρος λέγεται παρὰ τὸν κάνθωνα, τουτέστι τὸν ὄνον καὶ παρὰ τὸν ὁρὸν τουτέστι τὸ σπέρμα. φασὶ γὰρ ὅτι ὁ κάνθαρος οὕτω τίκτεται· ἐπὰν εὕρῃ ὄνου κόπρον στρογγύλην, μένει κυλίων τοῖς ποσὶ καὶ ἐν τῷ κυλίειν ἀποσπερμαίνει, καὶ ἐκ τούτου ὁ κάνθαρος ζῷον γίνεται. — ὅθεν καὶ τὴν ὀνομασίαν ἔχει παρὰ τὸν κάνθωνα τὸν ὄνον καὶ παρὰ τὸν ὁρὸν τὸ σπέρμα, κάνθορός τις ὤν. ἢ παρὰ τὸν θορὸν, ὃ δηλοῖ τὸ σπέρμα. ἢ ὁ θορὼν παρὰ τὸν κάνθωνα ἀντὶ τοῦ παρὰ τὴν κόπρον τοῦ ὄνου. ἢ ἐκ τοῦ κάνθωνος ὀρούων.

83. μή μοι σοβαρῶς : (Μὴ ἐκθύμως ἄγαν μηδὲ σπουδαίως. τὰ δὲ τῶν ἵππων πλεονεκτήματα περιτίθησι τῷ κανθάρῳ· ἁβρύνεσθαι γὰρ καὶ γαυριᾶν αὐτὸν, ὃ μάλιστα τοῖς καλλιστεύουσι τῶν ἵππων ἔθος.) — Ὅμηρος [Il. Z, 506] « ὡς δ' ὅτε ἵππος ἀκοστήσας ἐπὶ φάτνῃ » καὶ [509] « κυδιόων, ὑψοῦ δὲ κάρη ἔχει. » οὕτως οἱ σοβαροὶ θέουσιν ἵπποι. τοῦτο καὶ ἱππικῆς ἔμπειρος οὐ βούλεται αὐτὸν ἀθρόως διαδραμεῖν. V. ἐπιβεβηκὼς τῷ κανθάρῳ τοῦτο λέγει. τὸ δὲ εὐθὺς ἀπ' ἀρχῆς λέγει ὡς ἵππους ἔμπειρος οὐ βούλεται αὐτὸν ἀθρόως διαδραμεῖν. R.

σοβαρῶς : Σεσοβημένος βαρέως. καὶ ἐν Νεφέλαις [406] ἐπὶ τοῦ κεραυνοῦ « σοβαρῶς χωρεῖ διὰ τὴν πυκνότητα. » V.

85. πρὶν ἂν ἰδῇς : Ἀντὶ τοῦ πρὶν ἱδρῶσῃς. Ὅμηρος [Od. Υ, 304] — « ἴδιον ὡς ἐνύησα. » καὶ τὸ καῦμα ἱδάλιμον, ἱδρῶτος περικαυστικόν. V. οἱ γὰρ ἵπποι ἐν μὲν τῇ ἀρχῇ οὐκ εἰσὶν ὀξεῖς ἐν τῷ δρόμῳ. καμόντες δὲ καὶ ἱδρώσαντες διαλυθέντων τῶν μελῶν ὀξύτεροι γίνονται. — τὸ δὲ σοβαρῶς μὴ ἄγαν σπουδαίως πέτου. R.

87. καὶ μὴ πνεῖ μοι : Μὴ βδέσῃς. ἐκ γὰρ τῆς ἄνω πνοῆς καὶ τοῦ ἱδρῶτος ἡ δυσωδία μᾶλλον ηὔξετο τοῦ κανθάρου. (δῆλον δὲ ὅτι καὶ αὐτὸ πρὸς τὰς τροφὰς αἰνίττεται.)

90. ὦ δέσποτ' ἄναξ : Διὰ τὸ μετάρσιον αὐτὸν ἦρθαι καὶ προσδοκᾶν ἐπιβήσεσθαι τοῦ οὐρανοῦ θειοτέρᾳ αὐτὸν ἐτίμησε φωνῇ ἄνακτα εἰπών.

92. μετεωροκοπεῖς : (Ποῦ δὴ) περὶ τὰ μετέωρα πέτει, καὶ μάτην καὶ ὡς ἔτυχε κάμνεις. μετεωροκοπεῖν δέ ἐστι κυρίως τὸ τῷ πλάτει τῆς κώπης ματαίως τὴν θάλατταν τύπτειν. — ἔφη δὲ καὶ ἐν ταῖς Νεφέλαις [360] μετεωρολέσχας τοὺς φιλοσόφους, ὅτι τὰ οὐράνια περινοοῦσιν. μετενήνεκται δὲ ἡ λέξις παρὰ τὸ [Eq. 830] « τί θαλασσοκοπεῖς καὶ πτερυγίζεις; » V.

94. (παλαμησάμενος : Μηχανησάμενος καὶ ἐγχειρήσας, ἀπὸ τῆς παλάμης, ᾗ τὰ πολλὰ κατασκευάζομεν.)

95. τί πέτει : Παρὰ προσδοκίαν, ὡσανεὶ ἔλεγε τί κάμνεις. ἀπὸ κοινοῦ δὲ τὸ μάτην, ἵν' ᾖ τί μάτην πέτει.

96. φλαῦρον : Ἀντὶ τοῦ φλύαρον, ἀηδές, δύσφημον.

97. ὀλολύζειν : Τὸ μετὰ κραυγῆς εὔχεσθαι. — Ὅμηρος [Il. Ζ, 301] « αἱ δ' ὀλολυγῇ πᾶσαι. » Ἄλλως. εὔχεσθαι. καὶ Εὐριπίδης Ἐρεχθεῖ « ὀλολύζετ', ὦ γυναῖκες, ὡς ἔλθῃ θεὰ χρυσῆν ἔχουσα γοργόν' ἐπίκουρος πόλει. » V.

99. λαύρας : Λαύρας ἐκάλουν τὰς στενὰς ῥύμας, ἔνθα πᾶσα ἀκαθαρσία ἐστίν, ἢ τοὺς ῥυπαροὺς τόπους. ἀποφράξαι οὖν παρακελεύεται καὶ πάντας τοὺς κοπρῶνας, ἵνα μὴ προσπνέοντα ἐρεθίσωσι τὸν κάνθαρον. μετέωρος δὲ ὢν ἐπὶ τοῦ κανθάρου ταῦτά φησι.

102. [οὐκ ἔσθ' ὅπως : Τὰ ἑξῆς ιϑ' ἰαμβεῖα, ὧν ἐπὶ τῷ τέλει παράγραφος.]

107. γράψομαι : Ἀντὶ τοῦ κατηγορήσω. παίζει δὲ διὰ τὸ φιλόδικον τῶν Ἀθηναίων, λέγων καὶ τοῦ Διὸς κατηγορήσω ὡς προδιδόντος τὴν Ἑλλάδα τοῖς Πέρσαις. τοῦτο δὲ λέγει, ὅτι Λακεδαιμονίοις ἐβοήθουν οἱ Πέρσαι ἐν τῷ πολέμῳ τῷ Πελοποννησιακῷ. — ταῦτα δ' ἂν εἴη λέγων διὰ τοὺς αὐτομολοῦντας τῷ Μήδῳ καὶ ἀπαγγέλλοντας τὰ τῶν Ἀθηναίων πράγματα, οὓς καὶ λαμβάνοντες ἐκόλαζον. R. V.

(108). Μήδοισιν αὐτὸν : Ἀεληθότως τῶν Ἑλλήνων καθάπτεσθαι βούλεται, ὡς συνορώντων μὲν τὴν βλάβην, καὶ ὅτι ὑπὲρ τῶν πολεμίων ἐστὶ, διαφθείρεσθαι δὲ αὐτοὺς ἐώντων. ἄλλως τε καὶ φοβεῖν αὐτοὺς βούλεται, δεικνὺς ὅτι ἐφεδρεύοντας ἔχουσι πολεμίους τοὺς βαρβάρους, — καὶ ὅτι περ μετὰ πολλῶν χρημάτων καὶ πόνων ποιεῖν ἐκείνους ἔδει, ὥστε ἐμβαλεῖν εἰς φιλονεικίαν καὶ διάστασιν τὸ Ἑλληνικὸν, ταῦτα ἐπ' οὐδενὶ κέρδει ποιοῦσιν ἑαυτοῖς. ἃ γὰρ ὑπὲρ τῶν πολεμίων πράττεται, ταῦτα οὐκ ἄδηλον ὅτι κατὰ τῶν πραττόντων γίνεται. V.

109. (οὐδέποτε ζῶντος ἐμοῦ : Οὔτε πορεύσῃ οὔτε γράψῃ ζῶντος ἐμοῦ.)

111. (οὐκ ἔστι παρὰ ταῦτα : Οὐκ ἔστιν ἄλλως γενέσθαι, εἰ μὴ ἀνελθεῖν εἰς οὐρανούς.)

110. [ὦ παιδία : Διπλῆ καὶ εἴσθεσις εἰς περίοδον.]

(ἀπέρχεται : Δηλονότι ἀπέπτη. ὁ δὲ οἰκέτης πρὸς τοὺς παῖδας ἐκείνου λέγει, πῶς καὶ αὐτοὶ δυνηθεῖεν πεῖσαι τὸν πατέρα μὴ ἀναπτῆναι.)

114. ὦ πάτερ : Σύστημα ἕτερον εἰς δύο διῃρημένον περιόδους. ἔστι δὲ τετράκωλον, καὶ ἕκαστον δακτυλικὸν, τὸ μὲν πρῶτον καὶ δεύτερον καταληκτικὸν, τὸ δὲ τρίτον καὶ τέταρτον ἀκατάληκτον. ἀναπαιστικὸν δὲ αὐτὸ οὐ φαμεν, ἐπεὶ ἀπό τινος τύχης οὐδὲ ἀνάπαιστον ἔσχεν, ἀλλὰ πάντας δακτύλους πλὴν τριῶν συλλαβῶν. V. [καὶ εἰσὶ τῆς μὲν πρώτης περιόδου δακτυλικὰ τετράμετρα τέτταρα, καὶ ἐν ἐκθέσει ἐπικὸν ἕν, μεθ' ὃ τὰ τῆς δευτέρας περιόδου ὅμοια πέντε. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος.] τὰ τοιαῦτα παραχορηγήματα καλοῦσιν, οἷα νῦν τὰ παιδία ποιεῖ καλοῦντα τὸν πατέρα. εἶτα πρὸς οὐδὲν ἔτι τούτοις χρήσεται. — τὸ δὲ ἦ ῥ' ἔτυμός γε εἴρηται παρὰ τὰ ἐξ Αἰόλου Εὐριπίδου « ἆρ' ἔτυμον φάτιν ἔγνων, Αἴολον εὐνάζειν τέκνα φίλτατα. » R. V.

117. ἐς κόρακας : Δέον εἰπεῖν εἰς οὐρανόν. οἱ δὲ, ἀντὶ τοῦ μετὰ τῶν ὀρνέων. ἅμα δὲ καὶ ἐφ' ὕβρει. ἐδόκει γὰρ ἀνωφελῶς ἀπιέναι, ὥσπερ οἱ εἰς τὸ σκότος ἀπιόντες. — Ἄλλως. πολλάκις εἴπομεν ὅτι εἰς κόρακας ἔλεγον οἱ παλαιοὶ, καὶ τὴν ἐπὶ τούτῳ ἱστορίαν διηγησάμενοι [ad Nub. 133]. ἀστείως δὲ, ἐπειδὴ δοκεῖ νῦν ἀναπτῆσθαι αὐτοῖς. τὸ δὲ μεταμώνιος οἱ μὲν ἐξεδέξαντο ματαίως καὶ πρὸς οὐδὲν χρήσιμον, οἱ δέ φασιν ἰδίως μεταμώνιον τὸν ἑτέρωθεν μετέωρον σημαίνειν, πιστούμενοι τοῦτο παρὰ Σιμωνίδου οὕτως εἰπόντος « κονία δὲ παρὰ τροχὸν μεταμώνιος ἠέρθη. » V. ματαίως, πρὸς οὐδὲν χρήσιμον. παρὰ τὴν ὑπόνοιαν δὲ ἐπήγαγεν. R. Ἄλλως. γελοίως, ἐπειδὴ ἤμελλε πρὸς τοὺς ὄρνιθας πορεύεσθαι. V. R. μεταμώνιος : Μάταιος ἀνεμοφόρητος, ἀχρεῖος. *Vict.*

119. καὶ τοῦτο πρὸς τὸ ἐξ Αἰόλου Εὐριπίδου ἔπος « δοξάσαι ἔστι, κόραι· τὸ δ' ἐτήτυμον οὐκ ἔχω εἰπεῖν. » R. V. δοξάσαι οὖν ἀντὶ τοῦ ὑπονοῆσαι, εἰκάσαι.

121. ψακὰς : Τὸ σμικρότατον, ὃ καὶ νιφὰς καλεῖται. Ἄλλως. μηδὲ ὁδολοῦ ὄντος ἡμῖν διὰ τὸν πόλεμον. — γεωργὸς γάρ ἐστι· διὸ καὶ τῇ ψακάδι ἀριθμίως ἐχρήσατο. R. V.

(123). κολλύραν : Κολλύρα τὸ ἔλαττον τοῦ ἄρτου, [τινὲς δὲ τὴν κολλύραν εἶδος ἄρτου], ὃ τοῖς παιδίοις διδόασιν. ἔπαιξε δὲ παρὰ τὸ λεγόμενον « εἰ δὲ οἶνον αἰτεῖ, κόνδυλον αὐτῷ δός, » ὑπὲρ τοῦ ἐθίζειν τοὺς παῖδας μηδέν τι περιττὸν ζητεῖν. — καὶ πρὸς τῇ κολλύρᾳ ἀντὶ τοῦ ὄψου κόνδυλον. ἔπαιξε δὲ παρὰ τὸ λεγόμενον. Ἄλλως. V. φαίνεται τὸ ἐπὶ τῶν παιδίων λεγόμενον ἀρχαῖον ὄν· ἦν δ' οἶνον αἰτῇ, κονδύλους αὐτῷ δίδου, ὑπὲρ τοῦ ἐθίζειν τοὺς παῖδας μηδέν τι περιττὸν αἰτεῖν.

(Δημήτριος ὁ Ζηνοδότειος μεταγράφει κάνδυλον.) εἶδος δέ ἐστι πλακοῦντος. ἀλλὰ διὰ τὸ ὄψον περιττὴ ἡ μεταγραφή. R. V.

124. [καὶ τίς πόρος σοι : Εἴσθεσις διπλῆς ἀμοιβαίας ἰαμβείων λ′ διπλῆ ἕξω νενευκυίᾳ περατουμένων.]

διπλῆ καὶ εἴσθεσις εἰς στίχους ἰαμβικοὺς τριμέτρους ἀκαταλήκτους κε′. V. πόρος ἀντὶ τοῦ διάβασις. R.

125. ναῦς μὲν γὰρ : Ἀμηχανοῦμεν, φησὶν, ἐνθυμούμεναι πῶς εἰς οὐρανὸν παραγενήσῃ· οὐ γὰρ νεὼς ἐπιβᾶς εἰς οὐρανὸν ἀνέλθῃς.

ὁ λόγος ἐκ Σθενεβοίας Εὐριπίδου. τινὲς δὲ οἴονται ἐκ Βελλεροφόντου παρῳδῆσαι. ἔστι δὲ ἐν Σθενεβοίᾳ παρὰ [τῷ] τραγικῷ οὕτως « πέλας δὲ ταύτης δεινὸς ἵδρυται κράτος ἔνθηρος ἢ ληστὴς φρουρεῖται κλύδωνι δεινῷ καὶ βροτοστόνῳ βρέμει πτηνὸς πορεύσει. » V.

126. οὐ ναυσθλώσομαι : Οὐ νεὼς ἐπιβήσομαι. κυρίως δὲ τὸ ναῦν μισθώσασθαι. (λέγεται δὲ καὶ πετεινὸν καὶ πτηνόν. πῶλον δὲ λέγει τὸν κάνθαρον.) — διχῶς δὲ ἡ ἀνάγνωσις. ἢ ἀρνητικῶς, οὐ πλεύσομαι· ἢ οὕτως, ποῦ δὲ περαιωθήσομαι, ὡς εἰς ναῦν. R. V.

129. (ἐν τοῖσιν Αἰσώπου : Τοῦ μυθοποιοῦ. φέρεται γὰρ αὐτοῦ μῦθος, ἐχθρεῦσαι ἀετὸν καὶ κάνθαρον ἐκ τοῦ ἑκάτερον αὐτῶν θατέρου τὰ ᾠὰ διασπᾶν.)

130. μόνος πετεινῶν : Ὁ λόγος τοιοῦτός ἐστιν. ἁρπάζοντος τοῦ ἀετοῦ τοὺς νεοττοὺς τοὺς τοῦ κανθάρου, καὶ ὁ κάνθαρος τὰ ᾠὰ τοῦ ἀετοῦ ἐκκλέψας ἐξεκύλισεν ἕως τοσούτου, ἕως ἦλθε πρὸς τὸν Δία. κατηγοροῦντος δὲ τοῦ ἀετοῦ προσέταξεν ὁ Ζεὺς τῷ ἀετῷ ἐν τῷ αὐτοῦ (τοῦ Διὸς) κόλπῳ νεοττεύειν. ἐπειδὴ δὲ τὰ ᾠὰ εἶχεν ὁ Ζεὺς, περιίπτατο τὸν Δία ὁ κάνθαρος, ὁ δὲ ἐκλαθόμενος ἀνέστη ὡς σοβήσων ἐκ τῆς κεφαλῆς αὐτὸν, καὶ κατέαξε τὰ ᾠά. — ὁ δὲ λόγος πρὸς τοὺς ἀδίκους ἐστὶν, ὅτι οὐδεμία ἐστὶν αὐτοῖς ἀσφάλεια, οὐδ' ἂν εἰς τὸν κόλπον τοῦ Διὸς καταφύγωσι, διαφεύξονται τὴν τιμωρίαν. R. V.

134. (ὦ' : Τὸ πλῆρες ᾠά.

κἀντιτιμωρούμενος : Ὁ κάνθαρος· πρῶτος γὰρ ὁ ἀετὸς ἠδίκησεν αὐτὸν φαγὼν τὰ νεοττία.)

136. τραγικώτερος : Πρακτικώτερος ἢ ἀξιοπιστότερος, [ἢ ἀτυχέστερος]. αἰνίττεται δὲ εἰς τὸν Πήγασον καὶ τὸν Βελλεροφόντην Εὐριπίδου.

137. ὦ μελέα : Δυϊκῶς. λέγει δὲ πρὸς ἄμφω τὰ παιδία. — τοῦτο δὲ λέγει, ὅτι εἰ εἶχον τὸν Πήγασον, δύο τροφῶν εἶχον φροντίζειν, τῆς τε ἐκείνου καὶ τῆς ἐμῆς. τὰ γὰρ ἐμὰ ἀφοδεύματα ἐσθίων τρέφεται ὁ κάνθαρος. V.

141. ἐξολισθεῖν : [Πῶς διανήξασθαι δυνήσεται,] ἐπεὶ τὰ πλεῖστα τῶν ὀρνέων ἐμπεσόντα εἰς ὕδωρ ἐννήχεσθαι οὐ δύναται. — διὰ τοῦτο καὶ τὰ πλεῖστα οὐ κολυμβᾷ. — Ἄλλως. τοὺς τραγικοὺς παίζει διὰ τὰ περὶ Ἰκάρου λεγόμενα. ἢ ἐπεὶ δοκεῖ ὁ Βελλεροφόντης τὴν τοῦ Προίτου γυναῖκα μετὰ τὴν τῆς Χιμαίρας ἀναίρεσιν ἐπανελθὼν εἰς Κόρινθον ἀπατῆσαι ὡς ἕξων γυναῖκα, καὶ ἐπιβιβάσας τοῦ Πηγάσου εἰς μέσην βῦψαι τὴν θάλασσαν. V.

142. πηδάλιον : Τὸ αἰδοῖον δείκνυσι παίζων. — πηδάλιον δέ ἐστι τὸ νῦν καλούμενον αὐχένιον. R. V.

143. Ναξιουργὴς κάνθαρος : Στοχάσασθαι ἔστιν οὐδὲν πλέον ἢ ὅτι πλοῖα ἦν οὕτω λεγόμενα, κάνθαροι, ἐν Νάξῳ γινόμενα, ὡς νῦν σίλφας τινὰ λέγουσιν ἀκατίων εἴδη. ἀλλὰ καὶ Σαμιακὸν τρόπον φησὶν ὁ Κρατῖνος. καὶ ὅτι θαλασσοκρατοῦντές ποτε Νάξιοι ἐχρῶντο αὐτοῖς τοῖς κανθάροις ἐπὶ πλέον. μᾶλλον δὲ οὕτω δεκτέον. κάνθαρον μὲν πρὸς τὰ προκείμενα εἴρηκεν, τὸ δὲ Ναξιουργὴς οὕτως. τῶν γὰρ πλοίων τὰς εὐρούσας πόλεις τὰς ἀρχιτεκτονίας ἐκάλουν οἱ πρότεροι ἐπωνύμους, οἷον τοὺς νῦν λέμβους Ναξιουργεῖς ὠνόμαζον. ἐκ τοῦ αὐτοῦ δὲ εἶναι καὶ τὸ Κνιδιουργεῖς καὶ τὸν κέρκυρον ἀπὸ Κερκύρας καὶ τὸν πάρωνα ἀπὸ Πάρου. ἄντικρυς δὲ Μένανδρος ἐν Ναυκλήρῳ κάνθαρον εἶπε πλοῖον εἶναι. ἔστι δὲ καὶ εἶδος ποτηρίου. — Ἄλλως. V. εἶδος πλοίου ὁ κάνθαρος, ὡς αἱ τριήρεις. διὰ τούτων δὲ βούλεται δεῖξαι ὡς πανταχοῦ χρειώδης αὐτῷ ὁ κάνθαρος. R. V.

145. ἐν Πειραεῖ : Ἀπὸ Κανθάρου ἐπιχωρίου ἥρωος οὕτω λιμὴν ἐκαλεῖτο ἐν τῷ Πειραεῖ. ἔχει δὲ Πειραεὺς λιμένας γ′. R. (ὁ Πειραεὺς λιμένας ἔχει τρεῖς, πάντας κλειστούς.) εἷς μὲν οὖν ὁ Κανθάρου λιμὴν (οὕτω) καλούμενος (ἀπό τινος ἥρωος Κανθάρου), ἐν ᾧ τὰ νεώρια, εἶτα τὸ Ἀφροδίσιον, εἶτα κύκλῳ τοῦ λιμένος στοαὶ ε′. — μέρος τοῦ Πειραιῶς, ὡς Καλλικράτης φησὶν ἢ Μενεκλῆς ἐν τῷ περὶ Ἀθηνῶν γράφων οὕτως « ἔχει δὲ ὁ Πειραιεὺς λιμένας τρεῖς, πάντας κλειστούς. εἷς μέν ἐστιν ὁ Κανθάρου λιμὴν καλούμενος, ἐν ᾧ τὰ νεώρια ἑξήκοντα, εἶτα Ἀφροδίσιον, εἶτα κύκλῳ τοῦ λιμένος στοαὶ πέντε. » Ἄλλως. μήποτε ὅπου ἡ τῶν τοιούτων πλοίων στάσις ἦν, οὕτως ἐκράτησε καλεῖσθαι. τῷ ὄντι γὰρ ἔστιν ἐν τῇ Ἀττικῇ κώμη λεγομένη οὕτως, κανθάρου λιμὴν, οὐχὶ κάνθαρος, ὡς Φιλόχορος ἱστορεῖ, ἀπὸ ἥρωος ἐπιχωρίου τινός. οἰκείως δὲ τούτου ἐμνημόνευσε, καίτοι πλέονας λιμένας ἔχοντος τοῦ Πειραιῶς, διὰ τὸ ζῷον ᾧ ἐπωχεῖτο. V.

147. πρὸς τοὺς θεατὰς ὁ λόγος. V. λόγος ἡ ὑπόθεσις. λέγει δὲ περὶ Φιλοκτήτου (καὶ Βελλεροφόντου). κωμῳδεῖ δὲ τὸν Εὐριπίδην ὡς χωλοποιόν. R. V. — Ἄλλως. τοῦτο πρὸς Εὐριπίδην ἀποτείνεται, ἐπειδὴ ἐκεῖνος δρᾶμα ἐποίησε τὸν Βελλεροφόντην, ἐν ᾧ χωλὸν εἰσήγαγεν αὐτὸν διὰ τὸ πεπτωκέναι ἀπὸ τοῦ Πηγάσου, βουλόμενον εἰς οὐρανὸν ἀνελθεῖν. δεῖ σε οὖν, φησὶ, προσέχειν μὴ πεσὼν διαθραυσθῇς καὶ γένῃ τραγῳδία.

152. ὀσφρήσεται : Διασύρων τὴν ὅλην τοῦ κανθάρου πραγματείαν τοῦτό φησι. ποῖαι γὰρ ῥῖνές εἰσι κανθάρου, ἵνα καὶ ὀσφρανθῶσιν; R. V.

153. κατωκάρα : [Κατωφερῶς.] ὅτι τὸ ἐπὶ τῆς κεφαλῆς πεσεῖν οὕτω λέγουσιν Ἀττικοί, (οὐ διηρημένως ἀλλ') ὑφ' ἕν. — Πίνδαρος [fr. 134] « οἱ μὲν κατωκάρα δεσμοῖσι δέδενται. » — Ἄλλως. ἐπίρρημά ἐστι σύνθετον, καὶ σὺν τῷ ι γράφει Ἡρωδιανός. οἱ δὲ, τὴν κεφαλὴν κάτω ποιήσας ῥίψει με βουκοληθεὶς καὶ δελεασθεὶς τῇ ὀδωδῇ τῶν ἀποπατημάτων. τοῦτο δὲ ἀπὸ τῶν ἵππων εἴληπται·

πολλοὶ γὰρ αὐτῶν τὸν τρόπον τοῦτον εἰώθασι ποιεῖν, ἀποσείεσθαι τοὺς ἐπιβάτας. V.

(154). ἀλλ' ἄγε Πήγασε : Μετὰ τὸ παρακελεύσασθαι τῷ ὄχλῳ καὶ τοῖς ἑαυτοῦ παιδίοις κατὰ μηδὲν ἐρεθίσαι τὸν κάνθαρον, τότε παρακελεύεται αὐτῷ. — καὶ τάδε ἐκ τοῦ Βελλεροφόντου « ἴθι χρυσοχάλιν', αἴρων πτέρυγας. » τὸν κάνθαρον τῷ Πηγάσῳ ἀπεικάζων. διπλῆ καὶ εἴσθεσις εἰς περίοδον ἀναπαιστικὴν τοῦ πρεσβύτου ὀκτωκαιτριακοντάμετρος ιθ' κώλων. V. [εἴσθεσις δὲ τῆς διπλῆς ἐκ στίχων ἀναπαιστικῶν διμέτρων ἀκαταλήκτων, πλὴν τοῦ τελευταίου. τοῦτο γὰρ ἐφθημιμερές. ὑφ' ὃ αἱ συνήθεις δύο διπλαῖ. ἐν ἐκθέσει δὲ ἰαμβεῖα ζ'. ἐπὶ τῷ τέλει κορωνίς.]

155. ψαλίων : Τῶν χαλινῶν. — στομίων, χαλινῶν. R.

156. (φαιδροῖς ὠσὶν : Πραέσι, μὴ ὀρθοῖς. τοῦτο γὰρ πάσχουσιν οἱ ἵπποι, ὥσπερ παροξυνόμενοι εἰς ἄκρατον δρόμον.)

159. ῥύμας, τόπους. R.

162. κάκκης : Ἀντὶ τοῦ κακίας. ἔχει καὶ τὸ κακέμφατον. παρατηρητέον δὲ ὅτι καὶ οἱ ἀρχαῖοι τὴν ἀκαθαρσίαν κάκκην ἔλεγον, καὶ μάλιστα τὸ δύσοσμον ἀποπάτημα.

163. ἀντὶ τοῦ θνητῶν καὶ ἐπιγείων πάντων. R.V.

165. παρὰ ταῖς πόρναις : Πορνεῖον γὰρ ἦν ἐκεῖσε. ἐμπόριον γάρ ἐστιν, καὶ διὰ τὸ κατωφερὲς τῶν ναυτῶν ἐκεῖσε ἔτρεχον αἱ πόρναι.

166. οὐ κατορύξεις : Ἀντὶ τοῦ οὐ συγχώσεις καὶ ἀποκρύψεις (τὴν σαυτοῦ κόπρον). — ἐπιφορήσεις δὲ, ἐπάξεις καὶ ἐπιβαλεῖς. λείπει κόνιν. R. Ἀττικῶς ἐν σχήματι εἶπεν. ἢ λείπει κόνιν. V.

168. ἔρπυλλον : Εἶδος ἄνθους σαμψύχῳ ὅμοιον. μάλιστα δὲ παρὰ τοῖς ὕδασι θάλλει. — μέμνηται καὶ Θεόφραστος. R.V. Ἄλλως. βοτάνη εὔοσμος, ἣν εἰώθασι παρὰ τοὺς τάφους φυτεύειν. Ἄλλως. εἶδός τι πολύρριζον φυταρίου. τοῦτό φασι καὶ λέγεσθαι ἔρπυλλον παρὰ τὸ ἕρπειν ταῖς ῥίζαις. τοῦτο δὲ συμβουλεύει ἐπιφυτεῦσαι τῷ ἀποπατήματι ὡς δυνάμενον διὰ τῶν ῥιζῶν περικαλύψαι αὐτὸ καὶ ἀφανίσαι τὴν δυσωδίαν ὑπὸ τῆς εὐωδίας. ἐστὶ γὰρ καὶ εὐωδές. V.

169. καὶ μύρον ἐπιχεῖς : Καὶ ἐπιβάλλεις μύρον εἰς αὔξησιν. διὰ τὸ τελέως ἀφανισθῆναι τὴν ὀσμήν. — παρείληφε τοῦτο, διόπερ οὐδ' ἀτελῶς ἠρκέσθη ὀλίγον τῆς γῆς ἐπιβαλεῖν, ἀλλ' ἐπήγαγεν ἐκ πολλῶν. V.

171. ἡ πόλις ἡ Χίων : Ἅμα μὲν ὡς Χίων διὰ μαλακίαν εὐρυτέρων ὄντων καὶ ἑτοίμων πρὸς τὸ ἀποπατεῖν, ἅμα δὲ ὡς ἐκ πάσης προφάσεως τῶν Ἀθηναίων συκοφαντούντων καὶ ζημιούντων τὰς πόλεις, καὶ λεγόντων ὅτι Χῖος ἦν ὁ ἀποπατῶν, καὶ διὰ τοῦτο ὁ κάνθαρος ἔπεσεν ἐπὶ τὴν ὀσμήν. ἢ μᾶλλον αὐτὸς κωμῳδεῖ διὰ τὸ ὑπονοεῖν αὐτοὺς ἀποστήσεσθαι τῶν Ἀθηναίων. — Ἁλλως. τούτους ὡς ἀκρασίαν μαλακίας ἔχοντας σκώπτει. καὶ οἱ πάντες δὲ Ἴωνες τοιοῦτοί εἰσιν, οἱ δὲ Χῖοι ἐξαιρέτως. V.

174. πρόσεχε τὸν νοῦν : (Τουτέστιν ἀληθῆ λέξω, ἐπεὶ τὰ πρῶτα διασύρων δοκεῖ τὸν Βελλεροφόντην.) πρὸς δὲ τὸν ἐν τῷ θεάτρῳ μηχανοποιόν φησι.

175. γρ. καὶ πρᾶγμα. λέγει δὲ τὴν γαστέρα. R.V.

180. [πόθεν βροτοῦ : Κορωνὶς καὶ εἴσθεσις ἀμοιβαία ἐξ ἰαμβείων νς'. ἐπὶ τῷ τέλει κορωνίς.]

διπλῆ καὶ εἴσθεσις εἰς ἰάμβους τριμέτρους ρκς', ὧν τὸ τελευταῖον « καὶ νησιώτας· δεῦρ' ἴτ' ὦ πάντες λεώ. » ἐπ' ἐνίοις δὲ ἀντιγράφοις μετὰ στίχους να' ἐστὶ κωλάριον τόδε « τί φησι; » καὶ μετ' ἄλλους λη' [v. 268] τόδε « ἰὴ ἰή. » V.

πόθεν βροτοῦ με : (Ἀντὶ τοῦ αἴσθησις ἀνθρώπου εἰσελήλυθεν, ἢ ὀσμὴ, ἢ φωνὴ, ἐλλειπτικῶς κατὰ τοὺς Ἀττικούς. ὁ δὲ Ἑρμῆς ἐστὶν ὁ ταῦτα λέγων, ἤδη Τρυγαίου προσπεπελακότος τῷ οὐρανῷ.) — θεασάμενος τὸν κάνθαρον ὁ Ἑρμῆς καὶ ἐκπλαγείς φησι τὸ ἄναξ Ἡράκλεις. λείπει ὀσμὴ ἢ φωνή. R.V.

181. ἱπποκάνθαρος : Ἔπαιξε παρὰ τὸ ἱπποκένταυρος. R.V.

185. τοῦτο μάλιστα μὲν πρὸς τὸ ὑπὸ τοῦ Ἑρμοῦ εἰρημένον « ὦ μίαρε καὶ παμμιαρὲ καὶ μιαρώτατε » δοκεῖ ἐξ ἐκείνων λελέχθαι, τὸ δὲ ἀληθὲς τὴν ἀφορμὴν ἐκ τοῦ Σκείρωνος παρ' Ἐπιχάρμου ἔχει, ἐπεὶ κἀκεῖνος πεποίηκε τὸν φορμὸν ἐρωτηθέντα « τίς ἐστι μήτηρ » ἀποκρινόμενον ὅτι σηκὶς, καὶ « τίς ἐστι πατήρ » εἰπόντα σηκὶς, καὶ « τίς ἀδελφός » ὁμοίως σηκίς. ἀλλ' ἐκεῖνος μὲν ἔδοξε πρὸς τὸ ἐρωτώμενον καὶ τὸ ἐξῆς ἀποκρίνεσθαι· ἔστι γάρ τις τοῖς φορμοῖς συγγένεια πρὸς τὰς σηκίδας. ἐνταῦθα δὲ οὐκέτι κατὰ τὸ συγγενὲς οὗτος ἀπεκρίθη. V.

190. Τρυγαῖος Ἀθμονεὺς : Τὸ μὲν ὄνομα Τρυγαῖος παρὰ τὸ τρυγᾶν πεποίηται, ἁρμόζον γεωργῷ. τὸ δὲ Ἀθμονεὺς ἀπὸ δήμου Ἀττικῆς. — οἱ δὲ τῆς Ἀτταλίδος φυλῆς, οἱ δὲ τῆς Κεκροπίδος. V.

δεξιὸς : Ἐδόκουν γὰρ οἱ γεωργοὶ καὶ μάλιστα οἱ δεξιοὶ, ἀπραγμοσύνην ἀσπάζεσθαι.

192. τὰ κρέα : Ὅτι κατὰ συστολὴν ἔλεγον, οὐ μόνον, ὥς φασί τινες, ἐν ἐκτάσει τὰ κρέα. ὡς πρὸς λίχνον δὲ τὸν Ἑρμῆν ταῦτα λέγει.

193. δειλακρίων : Ἀπὸ τῶν κρεῶν συνῆψε τὸ ὄνομα, οἷον ὦ ἄκρως δειλὲ, ἤγουν ἐπίπονε. (ἰδὼν γὰρ τὰ κρέα καὶ λαβὼν αὐτὰ εὐθὺς κατακέκλασται, καὶ τὴν ὀργὴν μεταβαλλόμενος ἐλεεῖ αὐτόν.) — συνέπλεξεν οὖν τοῖς κρέασι τὸ δειλόν. ἀπὸ τῶν κρεῶν. V.

γλίσχρον : ἀντὶ τοῦ ἐπιθυμητὰ, ἀπὸ τοῦ γλίχεσθαι. (γλίσχρωνας δὲ τοὺς ἀτυχεῖς εἰώθασι λέγειν, καὶ γλισχρίαν τὴν ἀτυχίαν, [καὶ γλίσχρως ὀλισθηρῶς]. νῦν οὖν ἀντὶ τοῦ ἐπίπονε.)

194. ὡς οὐκέτ' εἶναί σοι δοκῶ : Ὅτι φιλοτίμως εἰς τὸν οὐρανὸν ἀνέβην.

195. ἰὴ ἰὴ : Τὸ μῆκος σημαίνων τοῦτό φησι. πρόσφθεγμα δέ ἐστι καταφρονοῦντος.

196. ὅτ' οὐδὲ μέλλεις : Οὐ μόνον, φησὶν, οὐκ εἶ πλησίον τῶν θεῶν, ἀλλ' οὐδὲ μέλλεις. μετῴκησαν γὰρ δι' ὑμᾶς, (ὅτι οὐ βλέπετε εἰρήνην).

198. ἰδοὺ γῆς : Χλευάζων φησὶν ὅτι εἶπε ποῖ γῆς, ἐν οὐρανῷ αὐτῶν οἰκούντων.

199. κύτταρον : (Κυττάρους καλοῦσι τὰς τῶν σφηκῶν κατατρήσεις. μεταφορικῶς δὲ τὸ κοιλότατον καὶ μυχαίτατον εἶπε τοῦ οὐρανοῦ. ὁ δὲ λόγος εἰς τὰ ἔσχατα καὶ ἀπόκρυφα μέρη τοῦ οὐρανοῦ.) — τινὲς δὲ κύτταρόν φασι τὸ ὑψηλότατον τοῦ οὐρανοῦ. λέγουσι γὰρ κοῖλον εἶναι τὸν οὐρανὸν ὥσπερ τοῦ ᾠοῦ τὴν λεπίδα. R. V. Λυκόφρονά φησιν Ἐρατοσθένης τὸ κύτταρον λέγειν ἐν ᾧ αἱ ψηγοὶ ἐγκάθηνται, οὐκ ὀρθῶς. κυττάρους γὰρ καλοῦσι τὰς τῶν κηρίων καὶ σφηκῶν κατατρήσεις, ὡς καὶ ἐν τοῖς Σφηξὶν [1111] εἴρηκεν « ὥσπερ οἱ σκώληκες ἐν τοῖς κυττάροις κινούμενοι. » Θεόφραστος δὲ [H. Pl. 3, 3, 8] κυρίως λέγει προάνθησίν τινα τῆς πεύκης καὶ τῆς πίτυος, ἥτις ἐστὶν ὥσπερ στάχυς μικρὸς ἐκ μεγάλων πυρῶν ξηραινόμενος δὲ θυλακοῦται καὶ ἀποπίπτει. οἷον οὖν ἀγγειῶδες. κύτταρον δὲ οὐρανοῦ λέγοι ἂν νυνὶ μεταφορικῶς τὸ κοιλότατον καὶ μυχαίτατον· προεῖπε γὰρ ὅτι πόρρω πάνυ ἀπῳκισμένοι εἰσὶν οἱ θεοί. ὁ δὲ λόγος, εἰς τὰ ἔσχατα καὶ ἀπόκρυφα μέρη ἀπεληλύθασι τοῦ οὐρανοῦ. V.

202. χυτρίδια : Καὶ ταῦτα γελοίου χάριν. (καὶ ἐπιδιασύρων ταῦτά φησιν.) — μέγας γὰρ δὴ πλοῦτος, εἰ ἐν σκευαρίοις ἐστὶ τοῖς θεοῖς ἡ περιουσία. R. V. — ἀμφορεῖς δὲ ἐκάλουν τὰ μέτρα.

206. (ἵν' ἦσαν αὐτοὶ : Ὅπου ᾤκουν πρότερον καὶ διέτριβον οἱ θεοί, κατῴκισαν τὸν πόλεμον.)

206. τῷ πολέμῳ δηλονότι. R.

207. (ἀνῳκίσαντο : Ἀντὶ τοῦ ἀπῳκίσαντο καὶ ἀνεχώρησαν, ὡς ἂν μὴ παρεῖεν αὐτοῖς τὰ δυσχερῆ.)

ἀνωτάτω : Ἀντὶ τοῦ ἁπάντων ἀνωτάτω ὅσον δυνατὸν ἦν.

210. (τοῦ δ' εἵνεχ' ἡμᾶς : Τίνος χάριν καθ' ἡμῶν τοσαύτην ἔσχον ὀργήν.)

211. ἐκείνων πολλάκις : (Τῶν θεῶν ἢ) τῶν Λακεδαιμονίων. (ὅτι πολλάκις Λακεδαιμόνιοι βουλόμενοι εἰρήνην ἦλθον καὶ οὐκ ἐδέξασθε.)

212. σπονδὰς ποιούντων : (Τῶν θεῶν πρυτανευόντων ὑμῖν τὴν εἰρήνην ἀεί. — σφόδρα δὲ Ὁμηρικῶς τῶν μὲν ἀγαθῶν καὶ τῆς εἰρήνης δοτῆράς φησι τοὺς θεούς, τοῦ δὲ πολέμου οὐκέτι. [Od. A, 32 :] « οἷον δὴ νῦν βροτοὶ θεοὺς αἰτιῶνται· ἐξ ἡμέων γάρ φασι κάκ' ἔμμεναι, οἱ δὲ καὶ αὐτοὶ σφῇσιν. » V. ἢ ἐπειδὴ ἐν ταῖς σπονδαῖς ἐπιμαρτύρονται τοὺς θεούς. R. V. οἱ λακωνικοὶ : Ὡς φιλοπολέμων ὄντων τῶν Λακωνικῶν καὶ τὴν εἰρήνην οὐ προσιεμένων πρώτων ἐμνήσθη.

ἐκ πολλῶν μὲν καὶ ἄλλων δῆλον ὅτι παρὰ τὸν Πελοποννησιακὸν πόλεμον συνετάχθη τοῦτο τῷ ποιητῇ τὸ δρᾶμα· δῆλον δὲ μάλιστα τοῦτο πεποίηκε νῦν φανερῶς τοῦ πολέμου τούτου μνημονεύσας. χρησίμως δὲ τῶν Λακώνων πρῶτον εἰς ἀδικίαν ἐμνημόνευσεν ὡς φιλοπολέμων ὄντων ἐκείνων ἀεὶ καὶ τὴν εἰρήνην οὐ προσιεμένων. εἰ γὰρ ἔτυχε τοὺς Ἀθηναίους προτάξας, πρῶτον μὲν εὐθὺς ἀπῄχθετο τοῖς ἀκούουσιν, ἔπειτα διαβολὴν ἂν ἀπειργάσατο κατὰ τῆς πόλεως οὐ τὴν τυχοῦσαν. καὶ γὰρ εἰ μετὰ ταῦτα μνημονεύει καὶ τῶν Ἀθηναίων ὡς καὶ αὐτῶν ἀποπεμπομένων τὴν εἰρήνην, ὁπότε κρατήσειαν, ἀλλ' οὖν ἧττων ἡ διαβολή, μάλιστα τῷ τὸν πρῶτον λόγον λεχθέντα τῶν ἀκουόντων πλήττειν τὰς ἀκοάς. ἔπειτα τὸ ἀμύνεσθαι τοῖς ἴσοις τοὺς προηδικηκότας συγγνωστὸν παρὰ πᾶσι, κἀν τούτῳ τὴν αἰτίαν δικαίως ἀποφερομένων τῶν προηδικηκότων. τὸ αὐτὸ δὲ δὴ καὶ τὸ « Θουκυδίδης συνέγραψε τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων, » ἵνα αὐτῶν μᾶλλον τὸ ἔργον ᾖ. V.

214. ναὶ τὼ σιώ : Τοὺς Διοσκούρους οἱ Λακεδαιμόνιοι σιοὺς ἔλεγον, ὡς Ἀθηναῖοι θεὼ Δήμητραν καὶ Περσεφόνην. — ἔθος δὲ τοῖς Λακεδαιμονίοις ἐπὶ τοῦ νὴ τὼ θεὼ τρέπειν τὸ θ εἰς τὸ σ καὶ τὸ ε εἰς τὸ ι. R. V.

(νῦν ἀττικίων : Ἀντὶ τοῦ τοιοῦτό τι ἔλεγον. ἐὰν μὲν γὰρ οἱ Λακεδαιμόνιοι μικρὸν ἐν τῇ μάχῃ κρατήσωσιν, εὐθέως λέγουσι, νὴ τοὺς θεούς, νῦν οἱ Ἀθηναῖοι δώσουσι δίκας. καὶ πάλιν ἐὰν οἱ Ἀθηναῖοι νικήσωσιν, εἶτα Λακεδαιμόνιοι ἔλθωσιν εἰρήνην ποιῆσαι βουλόμενοι, εὐθέως ἀντιλέγουσιν Ἀθηναῖοι, ἐξαπατῆσαι ἡμᾶς βούλονται, ἵνα ποιήσωμεν εἰρήνην, ἐπειδὴ νικῶμεν· διὸ οὐ δεῖ πεισθῆναι ἡμᾶς. σκώπτει δὲ τὸ ὑπερήφανον τῶν Ἀθηναίων.)

215. (ἀττικωνικοί : Οὕτως ἔλεγον ἐνυβρίζοντες καὶ εὐτελίζοντες καὶ εἰς ἧττον φέροντες ὑποκοριστικῶς τοὺς Ἀθηναίους ἐν τῷ ὀνόματι, ἐν ᾧ καὶ Ἴωνες ἔγκεινται. παίζει δὲ, ἐπειδὴ εἶπεν ἄνω Λακωνικοὶ ὑποκοριστικῶς· διὰ τοῦτο καὶ Ἀττικωνικοί.)

218. (νὴ Δί' οὐχὶ πειστέον : Ἐχρῆν μᾶλλον αὐτοὺς τὴν πάτριον ὀμόσαι, λέγω δὲ τὴν Ἀθηνᾶν· καὶ γὰρ τοὺς Λακεδαιμονίους τοὺς πατρίους αὐτῶν ἐποίησεν ὀμόσαντας θεούς. πλὴν εἰδέναι δεῖ, διὰ τοῦτο πεποίηκεν ὀμνύντας αὐτοὺς διὰ τὸ αὔξειν καὶ ἀποσεμνύνειν τὰ τῶν Ἀθηναίων πράγματα καὶ ἐν τούτῳ ἐπαίρων τοὺς Ἀθηναίους, ὡς οὐκ Ἀθηνᾶ μόνῃ χρήσαιντο συμμάχῳ, ἀλλὰ καὶ Διί.)

219. κἢν ἔχωμεν τὴν πόλιν : Οἱ μὲν πολλοὶ ταύτην ἐξέβαλον τὴν ἀνάγνωσιν, ἵν' ᾖ δηλούμενον, καὶ πάλιν ἥξουσι τῆς εἰρήνης δεόμενοι τυχεῖν οἱ Λακεδαιμόνιοι, ἐὰν ἀσφαλῶς κατέχωμεν τὴν πόλιν. ἔστι δὲ ἀμφίβολος ἡ ἐξήγησις αὕτη, ποίαν πόλιν βούλεται, πότερον τῶν Λακεδαιμονίων ἢ τὰς Ἀθήνας. ἐν ἀντιγράφῳ δὲ εὗρόν ποτε « ἢν ἔχωμεν τὴν Πύλον, » καὶ οὐκ ἄκαιρος αὕτη ἡ γραφὴ, ἐπεὶ καὶ ἀληθείας ἔχεται κατὰ πάντα, καὶ διὰ τοὺς ληφθέντας τριακοσίους ἐν Σφακτηρίᾳ, καὶ διὰ τὸ ἐπιτείχισμα ὅπερ Ἀθηναῖοι κατέστησαν ἐν Πύλῳ, καὶ ὅτι ληφθείσης αὐτῆς περὶ εἰρήνης πρῶτοι Λακεδαιμόνιοι πρὸς Ἀθηναίους ἐπρέσβευσαν. Ἄλλως. οὐχ ὡς ὡρισμένην τινὰ πόλιν, ἀλλ' ὡς, ἐπειδὰν πόλιν τῶν Πελοποννησίων προσκείμενοι πιέζωσι, ταῦτα λεγόντων αὐτῶν. V.

220. ἡμεδαπὸς ἀντὶ τοῦ ἡμέτερος. R.

225. ἐπέβαλεν, ἐπεσώρευσεν. ὅπλον γὰρ πολέμου καὶ ὁ λίθος. R. ἐπεφόρησεν, ἐπεσώρευσεν.

228. Θυεία ἀγγεῖον εἰς ὃ ἐμβάλλοντες τινὰ (ἀρτύματα) τρίβομεν καὶ λειοῦμεν. — τὸ δὲ τρίβειν ἀντὶ τοῦ ἐν πολέμῳ βούλεται τὰς πόλεις ἐπὶ πολὺ διατρίβειν, καὶ ἅμα μὲν παρὰ τὸ τρίβειν ἐν θυείᾳ μυττωτὸν, ἅμα δὲ παρὰ τὸ ἐπιτρίβειν καὶ ὥσπερ αὐτοὺς δαπανᾶν. R. V.

232. καὶ γὰρ ἐξορμᾶν κατ' ἐμὴν γνώμην καὶ ὡς οἶομαι ἑτοίμως ἔχει. εἰώθασι γὰρ καὶ πληθυντικῶς τῇ συντάξει χρῆσθαι ταύτῃ· καὶ γὰρ ἐξιέναι μέλλει κατὰ γνώμας τὰς ἐμάς. V.

234. φέρ' αὐτὸν ἀποδρῶ : Νοεῖν δεῖ τὸν Τρυγαῖον ἀποβεβηκότα τοῦ κανθάρου ἐπὶ τῆς σκηνῆς ταῦτα λέγειν. — ἔστι δέ τι καὶ ἄντρον ἐπὶ τῆς σκηνῆς. R.

235. θυείας : Ἀντὶ τοῦ εἰπεῖν σάλπιγγος, θυείας εἶπεν.

236. ἰὼ βροτοί : [Κορωνὶς ἑτέρα ἑτέρων εἰσιόντων ὑποκριτῶν. οἱ δὲ στίχοι ὅμοιοι τοῖς προφθάσασι ξγ'. καὶ ἐν ἐκθέσει τροχαϊκοὶ τοῖς ἑξῆς ὅμοιοι δύο. ἐπὶ τῷ τέλει κορωνὶς, ἐξιόντων τῶν ὑποκριτῶν.] ὁ Πόλεμος ἐξέρχεται θέλων τρίψαι μυττωτόν. σκευὴ δὲ αὕτη ἐκ τυροῦ καὶ σκορόδου καὶ μέλιτος (καὶ πράσου). — τινὲς δέ φασι τὸν Δία ταῦτα λέγειν. V.

237. τὰς γνάθους ἀλγήσετε : Ἢ τριβόμενοι ἐν τῇ θυείᾳ, ἢ τὸν μυττωτὸν ἐσθίοντες, ὃν τρίβειν παρασκευάζεται ὁ Πόλεμος. ἐπειδὴ ἀπὸ τοῦ δικαστηρίου ἐσθίουσιν, (πολέμου δὲ ὄντος ἀργεῖ τὰ δικαστήρια. λέγει οὖν ἀντὶ τοῦ εἰπεῖν λιμώττοντες). — διὰ τὸν πόλεμον τοῦτό φησιν· ἐν γὰρ τῷ πολέμῳ λιμώττουσι καὶ διὰ χρόνου ἐσθίουσι, καὶ συμβαίνει ἐκ τῆς ἀργίας τοῦ μὴ ἐσθίειν πάσχειν αὐτοὺς τὰς γνάθους ὕστερον ἐσθίοντας. V.

241. ὁ δεινὸς : Συμβολικὸν ἀπὸ τῶν διὰ δειλίαν ἀποπηδώντων. ταῦτα δέ φησι θεασάμενος τὸν Πόλεμον μείζονα τὴν ὑπόνοιαν ἔχοντα τῆς πείρας τῆς διὰ τῆς ὄψεως.

(ταλαυρίνος : Ὑπομονητικὸς, καρτερικὸς ἐν τῇ μάχῃ.)

242. Πρασιαὶ : Πόλις Λακωνική. ἅμα δὲ πράσα ἐμβάλλων ταῦτά φησιν. — ἔστι δὲ καὶ τῆς Ἀττικῆς ἐπίνειον, ὥς φησι Θουκυδίδης [7, 18; 8, 95] καὶ Φιλόχορος. μή ποτε δὲ οὐχ οὕτως ἔχον· οὐκ ἂν γὰρ ἔλεγεν ἑξῆς « οὐδὲν πρὸς ἡμᾶς αἱ Πρασιαί. » V.

πεντάκις : Ἀντὶ τοῦ πολλάκις. V.

245. οὐδὲ ἡμῖν πρᾶγμα : Πρὸς τὴν ὁμωνυμίαν φησὶ τῶν ἐν τῇ Λακωνικῇ Πρασιῶν, ὅτι ἡμεῖς τοῦ κακοῦ τούτου ἀλλότριοι ἐσμέν.

246. ὦ Μέγαρα : (Σκόροδα ἐμβάλλων ταῦτά φησιν.) ἡ γὰρ Μεγαρικὴ γῆ σκοροδοφόρος. σύμμαχοι δὲ Λακεδαιμονίων Μεγαρεῖς. καὶ ὅτι πᾶσα ἡ τοῦ πολέμου πρόφασις δι' αὐτοὺς δοκεῖ γεγονέναι (χάριν τοῦ τὸ πινάκιον συνθέντος τὸ κατ' αὐτῶν εἰς τὴν Περικλέους χάριν, ὥστε μήτε γῆς μήτε λιμένων Ἀττικῶν ἐπιβαίνειν τοὺς Μεγαρεῖς. εἰκότως οὖν εἰς τὸ κεχαρισμένον τοῖς Ἀθηναίοις τοὺς τούτων ἐχθροὺς παρεισάγει ἐκ τοῦ πολέμου συντριβομένους εἰς τέλεον.) ἅμα δὲ ταῦτα λέγων ὁ Πόλεμος, σκόροδα βάλλει εἰς τὴν θυείαν, ὅθεν καὶ τὸ ἑξῆς οἰκείως ἐπαχθήσεται, τὸ ἀπαξάπαντα (καταμεμυττωτευμένα).

248. βαβαὶ βαβαιάξ : Σχετλιαστικὸν ἀντὶ τοῦ φεῦ φεῦ. δέον δὲ εἰπεῖν τὰ σκόροδα, παρ' ὑπόνοιαν εἶπε τὰ κλαύματα.

249. κλαύματα : Ἀντὶ τοῦ σκόροδα. (οὕτω δὲ εἶπε προσκαταρώμενος.) τοῖς δὲ ἐσθίουσι τὰ σκόροδα δάκρυα ἔπεισι διὰ τὴν δριμύτητα. διό φησιν « ὡς δριμέα τοῖσι Μεγαρεῦσι. »

250. Σικελία : Ταῦτα πάντα παρεπιγραφή ἐστι. τυρὸν δὲ ἐμβάλλων Σικελίας μέμνηται· πολὺς γὰρ ἐκεῖ τυρός. οὐκ ἄδηλον δὲ ὅτι καὶ ταύτης τὸ πλέον μέρος πολέμιον ἦν τοῖς Ἀθηναίοις. ἔνθα καὶ τὴν μεγάλην ἐδυστύχησαν ἧτταν.

251. ὅτι πόλιν εἶπε τὴν Σικελίαν νῆσον οὖσαν. καὶ Ὅμηρος πολλάκις τὰς νήσους πόλεις καλεῖ, ὡς τὸ [Il. Ξ, 230] « Λῆμνον δ' εἰσαφίκανε πόλιν θείοιο Θόαντος. καὶ Πίνδαρος δὲ [Nem. 7, 13] περὶ τῆς Αἰγίνης « ἁ μὲν πόλις Αἰακιδᾶν. » καὶ Εὐριπίδης [Ion. 297] Εὔβοι' Ἀθήναις ἐστί τις γείτων πόλις. » V.

διακναισθήσεται : Ἀντὶ τοῦ διαφθαρήσεται. (ὡς ἐπὶ τυροῦ τοῦτο. Ὅμηρος [Il. Λ, 639] « ἐπὶ δ' αἴγειον κνῆ τυρὸν κνήστι χαλκείῃ. ») διακναίειν δέ ἐστι κυρίως τὸ ξύειν τυρὸν τῇ κνήστιδι. — δεῖ δὲ νοεῖν ὅτι πάλιν ἐνταῦθα τυρὸν ἐπιξύων καὶ εἰς τὴν θυείαν ἐμβάλλων ταῦτα λέγει. V.

252. φέρ' ἐπιχέω : Εὐφυέστατα τοῖς Ἀθηναίοις χαρίζεται, σεμνολογῶν τὰ κατ' αὐτούς. ὅσῳ γὰρ μέλι τιμιώτερον τῶν σκορόδων καὶ τῶν πράσων, τοσούτῳ ἀμείνων καὶ ἡ τοῦτο γεωργοῦσα γῆ. εἰπὼν δὲ τοῦτο ὁ Πόλεμος μέλι εἰς τὴν θυείαν βάλλει. — Ἄλλως. θέασαι ὅτι καὶ ἡμεῖς εὐφυῶς, εἴγε μὴ σφαλῶμεν, παρετηρήσαμεν ἐν τοῖς προλαβοῦσι τὴν ἐξήγησιν, εἴγε μειοῦν μὲν ἐν παντὶ σπουδάζει τὰ Λακωνικὰ, αὔξειν δὲ τὰ Ἀττικά. ἀμέλει κἀνταῦθα ποιῶν τοῦτο φαίνεται. διὸ τοῖς τε Λακεδαιμονίοις καὶ τοῖς ἐκείνων συμμάχοις ἐπαρώμενός τι φαῦλον, οἷον ἐπὶ μὲν τῶν Πρασιῶν « ἰὼ Πρασιαὶ τρισάθλιαι καὶ πεντάκις καὶ πολλάκις, ὡς ἀπολεῖσθε τήμερον, » καὶ ἐπὶ τῶν Μεγάρων « ὡς ἐπιτρίψεσθε αὐτίκα » καὶ « ἰὼ Σικελία καὶ σὺ δὲ ὡς ἀπόλλυσαι » καὶ « οἷα πόλις τάλαινα διακναισθήσεται· » ὁπότε περὶ Ἀθηνῶν δὲ λέγει, μηδὲν δυσχερὲς μηδὲ βλάσφημον ἐπήγαγέν τι, ὁποῖον περὶ ἐκείνων φασὶν αὐτὸν εἰρηκέναι. V.

253. παραινῶ σοι : Ἐν πολλοῖς κεῖται τὸ σοί. τάχα δὲ οὐκ ὠφελεῖ διὰ τὸ μέτρον εἶναι, εἰ μὴ ἄρα τὴν αι κοινὴν λάβοιμεν. V.

254. (τετρώβολον : Ἀντὶ τοῦ πολυτίμητον. οὕτω δὲ λέγουσι τὸ τετρωβολιαῖον, τουτέστι τὸ τετρωβόλου πωλούμενον.)

(φείδου τἀττικοῦ : Οἷον φειδώ τινα καὶ πρόνοιαν ποίει

τοῦ Ἀττικοῦ.) — τουτέστι συντήρει καὶ διαφύλαττε τὸ Ἀττικόν. οὐκ ὀκνεῖν γὰρ ἔδει καὶ δεῖσθαι ὑπὲρ αὐτοῦ τοῦ θεοῦ. V.

256. (οὗτοσὶ γὰρ κόνδυλος : Παρεπιγραφή· ἅμα γὰρ τῷ εἰπεῖν δίδωσιν αὐτῷ τὸν κόνδυλον.)

258. ἀντὶ τοῦ δριμύ. R.

(259). ἀλετρίβανον : Οἱ μὲν δασέως παρὰ τὸ τοὺς ἅλας τρίβειν, οἱ δὲ ψιλῶς παρὰ τὸ ἀλεῖν. [καὶ δοῖδυξ μὲν Ἀττικὸν, ἀλετρίβανος δὲ Ἀσιανόν. λέγεται δὲ καὶ ἁλότριψ, ὡς ἐν ἐπιγράμματι (Aristonis Anth.Pal.6, 306) « καὶ τοῦτον δικάρανον ἁλότριβα. » καὶ ἀλετρὶς ἡ μυλωθρὸς παρὰ Καλλιμάχῳ (fr. 232).] — Κράτης παρατηρεῖν ἀξιοῖ πρὸς τοὺς λέγοντας ὅτι ὁ μὲν δοῖδυξ Ἀττικὸς, ὁ δὲ ἀλετρίβανος Ἀσιανὸς, καὶ σκυτοδέψης μὲν Ἀττικὸς, βυρσοδέψης δὲ Ἀσιανός. V.

260. χθὲς εἰσῳκίσμεθα : Συμβαίνει γὰρ τοῖς νεωστὶ εἰσῳκισμένοις μὴ εὐπορεῖν πάντων τῶν ἀναγκαίων.

261. οὐκοῦν παρ' Ἀθηναίους : Πάλιν λελῃθότως σεμνολογεῖ τοὺς Ἀθηναίους ὡς αὐτόχθονας (καὶ γηγενεῖς), ἐκ τοῦ εὑρίσκεσθαι παρ' αὐτοῖς τὰ τῶν πάλαι εἰσῳκισμένων, ὧν ἠπόρουν οἱ νεωστὶ εἰσῳκισμένοι.

263. (ἀνθρώπια : Ὑποκοριστικῶς. τοῦτο πρὸς τὴν παροῦσαν συμφορὰν μειῶν αὐτούς.)

267. ἀλλ' ὦ Διόνυσ' : Ὡς οἰκείῳ θεῷ εὔχεται τῆς Ἀττικῆς, καὶ κυρίῳ τῶν ἐν τῷ θεάτρῳ καὶ τῶν ἐν τῇ εἰρήνῃ ἀγομένων.

268. (τὸ δεῖνα γὰρ ἀπόλωλ' : Διὰ τούτου τὸ ῥηθησόμενον ἀηδὲς ἐκφεύγει εὐθέως λέγειν. ὅτε γάρ τι δυσχερὲς μέλλομεν λέγειν, εἰώθαμεν τοῦτο προτάσσειν, ὡς μὴ εὐθυρημονοῦντες.)

270. ὁ βυρσοπώλης : (Τοῦτο αἰνίττεται πρὸς τὸν Κλέωνα, καὶ) ὅτι μετὰ τὴν Κλέωνος τελευτὴν εἰσῆκται τὸ δρᾶμα· ἤδη γὰρ τεθνήκει. (ὡς δὴ αἴτιον τοῦ πολέμου καὶ ὡς αὐτὸν συνέχοντα τὸν πόλεμον, ὡς καὶ Θουκυδίδης ἱστορεῖ.)

271. εὖ γ' ὦ δέσποινα : (Οὕτως τὴν θεόν. τὰς δὲ γυναῖκας Ἀττικὰς, ἵνα μὴ ὁμωνύμως. Ἄλλως. ταύτῃ εὔχεται ὅτι τῶν Ἀθηναίων ἱερὰ ἡ θεός.) τὸ δὲ ἑξῆς, εὖ γε ποιῶν ἀπώλετο ἐκεῖνος, εἴπερ πρὸ τοῦ ἀπολέσαι τὰ πράγματα ἡμῶν ἀπώλετο.

272. τῷ χρησίμῳ τῇ πόλει. R.

273. ἢ πρίν γε τὸν μυττωτὸν : Ἀντὶ τοῦ πρὶν ἡμῖν τὸν πόλεμον ἐπεγεῖραι. ὡς αἴτιον δὲ αὐτὸν τοῦ πολέμου διαβάλλει. — ὡς καὶ Θουκυδίδης ἱστορεῖ. R.

275. (ἀνύσας τι : Ἀπελθὼν ὁ Κυδοιμὸς ἐπανῆλθε, καὶ οὕτως τὴν ἐρώτησιν αὐτῷ προσφέρει ὁ Πόλεμος.

ἀνύσας τι : Ἀντὶ τοῦ ἤνυσάς τι καὶ διεπράξω καὶ φέρων ἥκεις.)

276. τί πεισόμεσθα : Τί ἄρα παθεῖν μέλλομεν. ἢ ἐν ποίῳ κινδύνῳ καθεστήκαμεν.

277. ἐν Σαμοθράκῃ : Ἐν Σαμοθράκῃ ἦσαν τελεταί τινες, ἃς ἐδόκουν τελεῖσθαι πρὸς ἀλεξιφάρμακά τινα κινδύνων. ἐν δὲ τῇ Σαμοθράκῃ τὰ τῶν Κορυβάντων ἦν μυστήρια καὶ τὰ τῆς Ἑκάτης. καὶ διαβόητον ἦν τὸ Ζήρινθον ἄντρον, ἔνθα τὴν Ἑκάτην ὀργιάζειν ἐλέγετο, καὶ τελετὰς ἦγον αὐτῇ τινὰς καὶ κύνας ἔθυον. (καὶ ὁ τὴν Ἀλεξάνδραν πεποιηκὼς [v. 77] μέμνηται « Ζήρινθον ἄντρον καὶ κυνοσφαγοῦς θεᾶς λιπὼν ἐρυμνὸν κτίσμα Κυρβάντων Σάον. » ἐν κινδύνοις δὲ γενόμενοι ἐπεκαλοῦντο τοὺς δαίμονας, οἷς ἐδόκουν μεμυῆσθαι, ἐπιφανῆναι καὶ ἀλεξῆσαι.)

278. μεμυημένος : Τὰ μυστήρια τῶν Καβείρων. δοκοῦσι δὲ οἱ μεμυημένοι ταῦτα (δίκαιοί τε εἶναι καὶ) ἐκ δεινῶν σώζεσθαι καὶ ἐκ χειμώνων.

279. ἀποστραφῆναι : (Ὁ ἡμεῖς) διαστραφῆναι (λέγομεν. ἀντὶ τοῦ) κλασθῆναι τοῦ μετιόντος τὸν δοίδυκα. — Ἄλλως. ἐναντίαν αὐτῷ τὴν εἰς τὸ δεύτερον γενέσθαι ὁδὸν, ὥστε μηκέτι αὐτὸν ὑποστρέψαι. Ἄλλως. εὐξώμεθα οὖν, φησὶ, τοῦ Κυδοιμοῦ τοὺς πόδας, ὥστε μὴ δυνηθῆναι ἐπανελθεῖν αὐτὸν μηδὲ χωλεύοντα, μηδὲ κομίσαι τὸν ἀλετρίβανον. V.

280. καὶ πάλιν. ἦλθεν γὰρ μηδὲν ἀγόμενος, δι' ὃ ἀσχάλλει. R. V.

282. καὶ τοῖς Λακεδαιμονίοισιν : Ὁ Βρασίδας ὁ Τέλλιδος παῖς, ὃς ἦν Λακεδαιμονίων στρατηγός. καὶ οὗτος δὲ ἀνθίστατο τῇ εἰρήνῃ. ἐτελεύτησε δὲ ἐν Θράκῃ.

283. (εἰς τἀπὶ Θράκης χωρία : Καὶ γὰρ εἰς συμμαχίαν πεμφθεὶς ὁ Βρασίδας ἐπὶ Θράκην, κατὰ τὸν αὐτὸν χρόνον Κλέωνι τελευτᾷ.)

284. χρήσαντες : Ἐν Ἀμφιπόλει γὰρ τῆς Θράκης μονομαχήσαντες ὅ τε Κλέων καὶ ὁ Βρασίδας ἀλλήλους ἀνεῖλον.

285. Διοσκόρω : Οὗτοι παρὰ τοῖς Λακεδαιμονίοις ἐτιμῶντο. διὸ νῦν αὐτῶν μέμνηται, ὅτι Βρασίδου τοῦ Λακεδαιμονίου ἐμνήσθη, ἐπὶ δὲ Κλέωνος τῆς Ἀθηνᾶς.

288. ἐγὼ δὲ δοίδυκ' εἰσιὼν : Ἐγὼ ἀλετρίβανον εἰσιὼν ποιήσομαι.

289. τὸ Δάτιδος μέλος : Δᾶτις σατράπης Περσῶν, εὐδοκιμήσας κατά τινα χρόνον (πολεμῶν), ἑλληνίζειν δὲ βουλόμενος εἶπεν ἥδομαι καὶ χαίρομαι, καὶ ἐβαρβάρισεν· ἔδει γὰρ εἰπεῖν χαίρω. ἅμα δὲ οὗτος εἶπε πρὸς τὸ ὁμοιοκατάληκτον. [οὐκ εἴρηται δὲ τὸ χαίρομαι· αὐτὸ γὰρ τὸ χαίρω αὐτοπαθὲς ὂν προϋφήρπασεν αὐτοῦ τὸ σημαινόμενον. λέγεται δὲ τὸ τοιοῦτο ὀατισμός.] — στοχάζεται ὅτι εἴη ἂν διαμνημονευόμενος περὶ Δάτιδος τοῦ Πέρσου, ὅτι εἶπέ ποτε παρά τινα συνουσίαν ἥδομαι καὶ χαίρομαι, ἑλληνίσαι τι θέλων. καὶ γὰρ καὶ παρὰ παλαιοτέρου τινὸς ἐμφαίνεται. εἴη δὲ ὕπαρχος τοῦ βασιλέως τῶν ἐλθόντων ἐπὶ Μαραθῶνα, ὃν καὶ φυγεῖν φασὶ πολὺν χρυσὸν καταλιπόντα. Ἄλλως. Δᾶτις τῶν ἐν Μαραθῶνι παρατεταγμένων Ἀθηναίοις στρατηγὸς Δαρείου, ὃν φασιν ἀντιποιήσασθαι τῆς Ἀττικῆς ὡς ἰδίας· ἀπὸ Μήδου γὰρ τοῦ Μηδείας καὶ Αἰγέως ἐδόκει εἶναι. Ἄλλως. Δᾶτις σατράπης Περσῶν βασιλέως, ὅστις συνεχέστερον πρεσβευόμενος εἰς Ἀθήνας ἠράσθη τῆς αὐτῶν πολιτείας, καὶ μείνας ἐκεῖ ἐβούλετο ἑλληνίζειν τῇ ὁμιλίᾳ, καὶ ἐβαρβάριζεν καὶ τοὺς τρόπους καὶ τοὺς λόγους. V. τι-

νὲς (δὲ) Δᾶτιν λέγουσι τὸν τραγικὸν, κακῶς ὑπονοοῦντες· ἐκεῖνος γὰρ υἱὸς ἦν Καρκίνου οὗτος δὲ ὕπαρχος Περσῶν. R. V.

295. ἀντὶ τοῦ στρατηγόν. R.

296. καλῶς τοὺς χρήζοντας τῆς εἰρήνης καλεῖ εἰς συμμαχίαν. δημιουργοὶ δὲ λέγονται κοινῶς οἱ δημόσιά τινα ἐργαζόμενοι· νῦν δὲ τοὺς ἀρχιτέκτονας λέγει, ἵνα ἐντέχνως ἑλκυσθῇ ἡ Εἰρήνη. Ἄλλως. V. πάντες γὰρ οὗτοι τῶν ἔργων ἐκωλύοντο πολέμου ὄντος καὶ ἠδικοῦντο, οἱ μὲν γεωργοὶ κωλυόμενοι γεωργεῖν, οἱ δὲ ἔμποροι ὑφ' ὧν ἂν περιέτυχον πονηρῶν, οἱ δὲ τέκτονες ἀναγκαζόμενοι ναυπηγεῖν τριήρεις, οἱ δὲ δημιουργοὶ στρατεύεσθαι καὶ φρουρεῖν ἀναγκαζόμενοι, οἱ δὲ μέτοικοι εἰσπραττόμενοι μετοίκιον, καὶ οἱ ξένοι ἀπελαυνόμενοι, καὶ οἱ νησιῶται τοὺς φόρους εἰσπραττόμενοι καὶ ναῦς παρέχοντες. ἡ οὖν τούτων χάριν ἐμνημόνευσεν αὐτῶν, ἢ βουλόμενος δεῖξαι ὅτι ἐπιβλαβὴς καθόλου ὁ πόλεμος. R. V.

299. ἐργαλείων ἐμνημόνευσεν ἐπίτηδες εἰς τὸ ἀνελκύσαι τοὺς λίθους τοὺς ἐπὶ τῷ ὀρύγματι, ἐν ᾧ ἦν Εἰρήνη, ὡς ἔφη ὁ Ἑρμῆς, (ἵνα ἐλευθερώσῃ αὐτήν). R. V. (ἅμας δὲ τὰς πυράμας. ἐργαλεῖά τινα ἐπιτήδεια πρὸς τὸ ἀνορύττειν.) [καὶ παροιμία « ἅμας ἀπῄτουν, οἱ δ' ἀπηρνοῦντο σκάφας. »]

(300). ἀγαθοῦ δαίμονος : Φασὶ γὰρ ὅτι δειπνήσαντες μὲν ἐπερρόφουν ἀγαθοῦ δαίμονος, ἀπαλλάττεσθαι δὲ μέλλοντες ἔπινον Διὸς σωτῆρος. ὡσεὶ ἔλεγε, νῦν γὰρ σπεῖσαι ἢ πιεῖν πάρεστιν ἡμῖν ἀγαθοῦ δαίμονος πόμα. — Ἄλλως. ἀντὶ τοῦ νῦν γὰρ ἔστιν ἡμῖν ὑπὲρ ἀγαθῆς τύχης καμεῖν καὶ ἁρπάσαι τὴν Εἰρήνην. V.

301. [δεῦρο πᾶς χώρει : Εἴσθεσις διπλῆς ἀμοιβαίας. οἱ δὲ στίχοι εἰσὶ τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ λη'. καὶ ἡ ἔκθεσις ταύτης κώλων ὁμοίων τροχαϊκῶν ζ'. ὧν τὰ ε' δίμετρα ἀκατάληκτα. τὸ ς' παρατέλευτον. τὸ ζ' ἐφθημιμερὲς ἰαμβικόν. ὑφ' ὃ αἱ συνήθεις δύο διπλαῖ.]

διπλῆ καὶ εἴσθεσις εἰς στίχους τροχαϊκοὺς τριμέτρους καταληκτικοὺς β', οὓς ἔτι ὁ πρεσβύτης λέγει. ὑφ' οὓς κορωνὶς τοῦ χοροῦ εἰσελθόντος, καὶ στίχοι ὁμοίως τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ λς', ὧν τελευταῖος « μᾶλλον ἢ τὸ γῆρας ἐκδύς. » V.

302. ὦ Πανέλληνες : Λεληθότως εἰς ὁμόνοιαν αὐτοὺς περιάγει, (ὁμοφρονῆσαι πάντας τοὺς Ἕλληνας ἀξιῶν καὶ ὁμοθυμαδὸν τῆς εἰρήνης ἀντιλαβέσθαι. διὰ τοῦτο καὶ μιᾷ προσηγορίᾳ αὐτοὺς περιέλαβε, δηλῶν τὸ συγγενὲς, καὶ δυσωπῶν αὐτοὺς ὡς οὐδὲ τῇ ὀνομασίᾳ διακεχριμένοι πολεμοῦσι πρὸς ἑαυτούς.)

(303). καὶ κακῶν φοινικικῶν : Οἷον αἱματωδῶν, ἀπὸ τῆς τοῦ αἵματος χροιᾶς. Ὅμηρος « φοινίσσετο δ' αἵματι γαῖα. » λείπει δὲ τὸ ἡσυχάσομεν. Ἄλλως. τῶν πολεμικῶν· φοινικὶς δὲ χλαμὺς πολεμική. — ἢ ἀντὶ τοῦ ναυμαχικῶν· Φοίνικες γὰρ λέγονται κρατεῖν ἐν ταῖς ναυμαχίαις. V.

304. μισολάμαχος : Ἀλλοτρία τῶν Λαμάχου τρόπων· φιλοπόλεμος γὰρ οὗτος, ὡς καὶ ἐν Ἀχαρνεῦσί φησιν. V.

308. φιλαμπελωτάτην : Συντόμως ἐκ τῆς ἀμπέλου τὴν περὶ τὰς γεωργίας ἐπιμέλειαν ἐδήλωσεν εἰρήνης οὔσης· πολέμου γὰρ ὄντος τὸ ἐναντίον ἠμελοῦντο. R. Ven.

310. ἐκζωπυρήσετε : Ἀντὶ τοῦ ἀνάψετε τὸν πόλεμον ἤδη κατεσβεσμένον. ἐκζωπυρῆσαι δέ ἐστι κυρίως τὸ ἐκ μικροῦ πυρὸς φυσῶντα μεγάλην φλόγα κινῆσαι. — (Ἄλλως. ἀνεγείρητε.) ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἀνθράκων· καὶ ὁ πόλεμος γὰρ καυστικός. R. V.

312. οὐ γὰρ ἦν ἔχοντας ἥκειν : Οὐ γὰρ, φησὶ, πολεμικὸν ἦν τὸ κήρυγμα, ἀλλ' εἰρηνικόν. ἐκ τοῦ παρακολουθοῦντος δὲ τὸν πόλεμον δηλοῖ. — ἀντὶ τοῦ πολεμεῖν. οἱ γὰρ πολεμοῦντες πρὸς τρεῖς ἡμέρας λαμβάνουσι σιτία εἰς τὸν πόλεμον. ἔθος γὰρ ἦν τοῖς στρατηγοῖς ἀναλογιζομένοις πόσας ἡμέρας ἔμελλον πολέμῳ σχολάζειν καὶ ἔξω κατέχειν τὸν στρατὸν, κηρύσσειν τοσούτων ἡμερῶν σιτία ἐπάγεσθαι, τριῶν μόνων ἡμερῶν ἐκ δημοσίων αὐτοῖς χορηγούντων. R. V.

313. (εὐλαβεῖσθε : Νῦν πρὸ ὀφθαλμῶν ἔχετε, φησὶ, καὶ δεδίττεσθε τὸν Κλέωνα, μὴ ἐμποδὼν τῇ εἰρήνῃ γένηται.) — καὶ Πλάτων δὲ ὁ κωμικὸς Κέρβερον αὐτὸν ὠνόμασεν. V.

φασὶ χωρὶς τοῦ ν τὸ κάτωθεν ἐπίρρημα λέγεσθαι, ἵνα ᾖ Δωριέων μᾶλλον οἰκεῖον. χρῆται δὲ τῷ ὁμοίῳ καὶ Πίνδαρος [Pyth. 4, 180] « ἄντροθε γὰρ νέομαι παρὰ Χαρικλοῦς καὶ Φιλίνας. » V.

314. μὴ παφλάζων : Παφλάζειν ἐστὶ τὸ λαλοῦντά τινα κρατεῖσθαι καὶ ἀνακόπτεσθαι. ὡς οὖν τοῦ Κλέωνος οὕτω διαλεγομένου τοῦτό φησιν. ἢ διὰ τὸ ταραχῶδες τοῦ Κλέωνος ἐχρήσατο τῷ παφλάζειν, κυρίως σημαίνοντι τὴν κεκινημένην θάλατταν.

ἐνθάδ' ἦν : Τουτέστιν ὅτε ἔζη, (ὀπηνίκ' ἦν σὺν ἡμῖν).

315. μὴ ἑλκύσαι : Ὅτι περιττὸν τὸ μή. ἤρκει γὰρ εἰπεῖν ὅτι ἐμποδὼν γένηται ὥστε ἑλκύσαι. ὅμοια καὶ τὰ τοιαῦτα, ἀπαγορεύω σοι μὴ ἐξιέναι.

317. [ἰοὺ ἰού : Ἡδομένων ἐστὶ τοῦτο, διὸ περισπᾶται. ὡς τοῦ χοροῦ τοῦτο λέγοντος.]

τὸ ἰοὺ ἰού τινες τοῦ χοροῦ φασὶν εἶναι, κατὰ στίχον εἶναι φάσκοντες τὸ ἀμοιβαῖον· καὶ οὕτω καὶ τῶν ἡδομένων ἐστὶ τὸ λέγειν αὐτό. ἐὰν οὖν εἴη τοῦ χοροῦ, περισπᾶται. R. V.

324. οὐ σχηματίζειν : Οὐ κατὰ τὴν ἐμὴν προαίρεσιν, φησὶν, ἡ ὄρχησις γίνεται, ἀλλ' ἥδη διὰ τὴν ἄσχετον ἡδονὴν αὐτόματα χορεύει μου τὰ σκέλη. — χρησίμως δὲ πρὸς τὸ πεῖσαι αὐτοὺς τὴν εἰρήνην ἐλέσθαι οὕτως ὑπεράγαν αὐτῇ χαίροντα πεποίηκε τὸν χορόν. R. V.

328. (ἓν μὲν οὖν τουτί μ' ἔασον : Ἓν σκέλος, δεικτικῶς. ὑφ' ἡδονῆς δὲ ὁ χορὸς εἰς ὄρχησιν ἐτράπη. ἓν μόνον, φησὶν, ἔασόν με σχῆμα ποιῆσαι.)

333. (ὥστε μὴ λυπεῖν : Ἐμὲ δηλονότι. συγχωρῶ,

φησὶ, τοῦτο ὑμῖν, ὥστε μετὰ τοῦτο μηκέτι ἐνοχλεῖσθαί μοι.)

335. πέπορδα : Ἡ μεταφορὰ ἀπὸ τῶν ὄνων· χαίροντες γὰρ πέρδονται.

336. ἢ τὸ γῆρας ἐκδὺς : Ἥδομαι, φησὶν, ἐκφυγὼν τὴν ἀσπίδα ἢ ἐκδὺς τὸ γῆρας. ἡ μεταφορὰ ἀπὸ τῶν ὄφεων.

342. (ἐς πανηγύρεις θεωρεῖν : Πέμπεσθαι θεωροὺς ἐς τὰς πανηγύρεις. θεωροὺς δὲ ἐκάλουν τοὺς ἀπὸ τῶν πόλεων δημοσίως ἐκπεμπομένους συνθύσοντας καὶ συμπανηγυρίσοντας.)

343. κοτταβίζειν : (Παίζειν. εἰς χαλκᾶς δὲ φιάλας, αἳ καλοῦνται λάταγες, ἀνέρριπτον ἐμβάλλοντες τὸ πόμα. καὶ εἰ ἐγένετο μείζων ψόφος, ἐδόκουν ὑπὸ τῶν ἐραστῶν ἐρᾶσθαι. — κόττανος λέγεται τὸ λεῖμμα τοῦ ποτηρίου, ὃ ἐμβάλλουσιν εἰς τὰς λάταγας. V. Ἄλλως. κόττανος) παίγνιον ἦν παρὰ Ἀθηναίοις τοιοῦτον. ῥάβδος ἦν μακρὰ πεπηγμένη ἐν τῇ γῇ, καὶ ἑτέρα ἐπάνω αὐτῆς κινουμένη ὡς ἐπὶ ζυγίου. εἶχε δὲ πλάστιγγας δύο ἐξηρτημένας καὶ κρατῆρας δύο ὕδατος ὑποκάτω τῶν πλαστίγγων, καὶ ὑπὸ τὸ ὕδωρ ἀνδριὰς ἦν χαλκοῦς κεχρυσωμένος. τοῦτο δὲ ἦν ἐν τοῖς συμποσίοις. καὶ πᾶς τῶν παιζόντων ἀνίστατο ἔχων φιάλην γέμουσαν ἀκράτου, καὶ μηκόθεν ἱστάμενος ἔπεμπεν ὅλον τὸν οἶνον ὑπὸ μίαν σταγόνα εἰς τὴν πλάστιγγα, ἵνα γεμισθεῖσα βαρυνθῇ καὶ κατέλθῃ καὶ κατελθοῦσα κρούσῃ εἰς τὴν κεφαλὴν τοῦ ἀνδριάντος τοῦ ὑπὸ τὸ ὕδωρ κεκρυμμένου, καὶ ποιήσῃ ἦχον. καὶ εἰ μὲν μὴ ἐκχυθῇ ἐκ τοῦ οἴνου, ἐνίκα καὶ ᾔδει ὅτι φιλεῖται αὐτὸς ὑπὸ τῆς ἐρωμένης· εἰ δὲ μὴ, ἡττᾶτο. ἐλέγετο δὲ ὁ ἀνδριὰς ὁ ὑπὸ τὸ ὕδωρ κεκρυμμένος μάνης.

344. συβαρίζειν : Ἀντὶ τοῦ τρυφᾶν, ἀπὸ τῆς Συβαριτικῆς τρυφῆς· (φασὶ γὰρ τοὺς Συβαρίτας πολυτελέσι χρῆσθαι τραπέζαις. ἔστιν οὖν ἀντὶ τοῦ τρυφᾶν. ἢ παρὰ τὰ Συβάρεια ἐπιφθέγματα, ἅπερ ἐστὶ παρ' Ἐπιχάρμῳ.) — Καλλίστρατος τρυφᾶν, ἀπὸ τῆς Συβαριτικῆς τρυφῆς· Ἀρτεμίδωρος ἁπλῶς θορυβεῖν. καὶ Φρύνιχος « πολὺς δὲ συβαρισμὸς αὐλητῶν ἦν. » φασὶ δὲ τοὺς Συβαρίτας εἰς τοσοῦτον τραπέζῃ πολυτελεῖ χρῆσθαι, ὥστε καὶ εἰς παροιμίαν φέρεσθαι ἐκνενίκηκεν ἡ Συβαριτικὴ τράπεζα, ἡ πολυτελὴς καὶ δαψιλής. V.

(346). εἰ γάρ μοι γένοιτο : [Κορωνὶς καὶ εἴσθεσις χοροῦ μονοστροφικὴ στίχων καὶ κώλων ιε'. ὧν ὁ πρῶτος τροχαϊκὸς τετράμετρος καταληκτικός. τὸ β' ἐφθημιμερές. ὁ τρίτος παιωνικὸς τετράμετρος ἀκατάληκτος ἐκ παιώνων καὶ κρητικῶν. καὶ ὁ ι' καὶ ιγ'. οἱ ἑξῆς δύο ὅμοιοι τῷ πρώτῳ. τὸ ς' δὲ καὶ η' τῷ β'. τὸ ζ' παιωνικὸν δίρρυθμον. καὶ τὸ θ' καὶ τὸ ιθ' καὶ ιδ'. τὸ δὲ ια' δίμετρον τροχαϊκόν. τὸ τελευταῖον παιωνικὸν τρίρρυθμον. ὑφ' ὃ κορωνίς.] — διπλῆ καὶ εἴσθεσις τῶν ὁμοίων ἑκκαίδεκα κώλων, ὧν ὁ μὲν πρῶτός ἐστι στίχος τροχαϊκὸς ἐκκείμενος, καὶ δεύτερος ἐν ἐκθέσει κώλων παιωνικῶν τετράρρυθμος ἀκαταλήκτος, κἂν ἐπεχθέσει τροχαϊκοὶ β' τετράμετροι καταληκτικοὶ κῶλα ς', ὧν τὰ β' παιωνικὰ δίρρυθμα, τὸ δὲ τρίτον τροχαϊκὸν ἐφθημιμερὲς, τὰ δὲ λοιπὰ τοῖς τρισὶν ὅμοια ἕκαστος ἑκάστῳ. εἶτα ἐν ἐκθέσει στίχος τροχαϊκὸς ὁ « ἐς Λύκειον κἀς Λυκείου σὺν δορὶ σὺν ἀσπίδι, » κἀν ἐκθέσει κῶλα δ' παιωνικὰ τρίμετρα δίρρυθμα, τὸ δὲ δ' τρίρρυθμον τὸ « εἶλετ' ἀγαθή τις ἡμῖν τύχη. » διπλῆ· ἕπεται γὰρ μέλος, οὗ ἡ μὲν προῳδός ἐστιν ἐκ διστιχίας ὁμοίως ἐκκειμένης καὶ ἐν ἐκθέσει κώλων λζ' τροχαϊκῶν μετὰ διμέτρων ἀκαταλήκτων ε'. καταληκτικὰ δὲ τὰ τελευταῖα, μονόμετρον δὲ τὸ τελευταῖον. ἔστι δὲ τὸ τέλος « ἰοὺ ἰοὺ κεκραγέναι. » V.

εἰκότως εἰπὼν ὅσα αὐτοῖς ἀγαθὰ ἐκ τῆς εἰρήνης ὑπάρχει, πάλιν ἐπανέδραμεν εἰς τὰ τοῦ πολέμου δυσχερῆ, προτρεπόμενος αὐτοὺς εἶξαι τῷ Τρυγαίῳ. V.

(347). στιβάδας ἃς ἔλαχεν : Ἰδίως στιβάδας τὰς χαμευνίδας ἐκάλουν οἱ παλαιοί. ὅπερ ἦν πάσχειν ἐπάναγκες τοῖς πολεμοῦσιν, ὑπαιθρίους ταλαιπωρεῖν καὶ χαμαικοιτεῖν. στιβάδας οὖν, ἐπεὶ οἱ στρατιῶται χαμαικοιτοῦσι. λέγεται δὲ ὁ Φορμίων νικῆσαι ναυμαχίαις β' Λακεδαιμονίους στρατηγήσας. λιτὸς δὲ οὗτος καὶ στρατιωτικός. τὸ δὲ ἃς ἔλαχεν, ἀντὶ τοῦ ἃς ὑπέμεινε Φορμίων. — φιλοπόλεμος γὰρ καὶ αὐστηρὸς ὁ Φορμίων. στιβάδας δὲ, ἐπεὶ οἱ στρατιῶται χαμαικοιτοῦσιν. ἀναγράφεται δὲ ὁ Φορμίων δυσὶ ναυμαχίαις νικῆσαι Λακεδαιμονίους στρατηγήσας. λιτὸς δὲ οὗτος καὶ στρατιωτικός. διὸ καὶ στιβάδας εἶπε Φορμίωνος. οἱ γὰρ τὰ πολεμικὰ ἐξασκησάμενοι ὑπὸ γυμνασίων καὶ πόνων εἰώθασι χαμαικοιτεῖν. καὶ Διονύσιος ἐν Ταξιάρχοις παρ' Εὐπόλιδι μανθάνων παρὰ τῷ Φορμίωνι τοὺς τῶν στρατηγῶν καὶ πολέμων νόμους φησὶν, « ὡς οὐκέτ' ἂν * * φάγοιμι στιβάδας ἐξ ὅσου ᾽φυγον. » ὁ Φορμίων δὲ οὗτος Ἀθηναῖος τῷ γένει, υἱὸς Ἀσωπίου, ὃς καθαρῶς στρατηγήσας πένης ἐγένετο. ἀτιμωθεὶς δὲ τῷ μὴ δύνασθαι τὰς ρ' μνᾶς τῆς εὐθύνης ἀποδοῦναι, ἐν ἀγρῷ διέτριβεν, ἕως Ἀχαρνᾶνες στρατηγὸν αὐτὸν ᾑροῦντο. ὁ δὲ οὐχ ὑπήκουσε, φάσκων μὴ ἐξεῖναι τοῖς ἀτίμοις. ὁ δὲ δῆμος βουλόμενος λῦσαι τὴν ἀτιμίαν ἀπεμίσθωσεν αὐτὸν τῶν ρ' μνῶν τοῦ Διονυσίου, ὡς Ἀνδροτίων ἐν γ' Ἀττικῶν. αὐτοῦ μέμνηται ὁ κωμικὸς ἐν Ἱππεῦσι [565] καὶ Νεφέλαις [Lysistr. 804] καὶ Βαβυλωνίοις, Εὔπολις Ἀστρατεύτοις. ὁ δὲ δεύτερος ἦν κωφός· μέμνηται. καὶ Στράττις Ἀταλάντῃ. τρίτος μοιχός· Κρατῖνος * * *. τέταρτος Κροτωνιάτης ἀρχαῖος· Κρατῖνος Τροφωνίῳ. πέμπτος ἀρχαῖος Ἀθηναῖος, μετὰ Σόλωνα ἄρξας· Εὔπολις ἐν Δήμοις. Ἄλλως. ἃς ὑπέμεινε Φορμίων. πολλάκις δὲ εἴρηται περὶ τούτου ὅτι ἀγαθὸς ἐγένετο στρατηγός. ἐν δὲ τοῖς Ταξιάρχοις φέρεται ὡς ἐπίπονος. V.

352. (πολὺ νεώτερον : Ἐπειδὴ γέρων ὁ χορὸς, οἱ δὲ γέροντες πραγμάτων καταδεέστεροι. λέγει δὲ ὅτι πολὺ νεώτερον ἔχοντα τρόπον θεάσῃ με, ὅ ἐστι παίζοντα.)

353. ἱκανὸν χρόνον : ιγ' γὰρ ἔτη εἶχον πολεμοῦντες. (πολλὴν, φησὶ, θλῖψιν ὑπεμείναμεν εἰς τὸ Λύκειον

εἰσιόντες καὶ συναγόμενοι, καὶ πάλιν ἐξιόντες ἐκ τοῦ Λυκείου καὶ ἀπιόντες εἰς τὸν πόλεμον.) τὸ Λύκειον δὲ γυμνάσιον Ἀθήνησιν, ὅπου πρὸ τοῦ πολέμου ἐδόκουν γυμνάζεσθαι. — πρὸ γὰρ τῶν ἐξόδων ἐξοπλίσεις τινὲς ἐγίνοντο ἐν τῷ Λυκείῳ διὰ τὸ παρακεῖσθαι τῇ πόλει καὶ ἀποδείξει τῶν μᾶλλον πολεμικῶν ἀνδρῶν. R.V. τὸ δὲ σὺν δόρει σὺν ἀσπίδι Ἀχαιοῦ ἐστιν ἐκ Μώμου. οὐδὲν δὲ χεῖρον ὁλόκληρον θεῖναι τὸ ἰαμβεῖον, ὅπερ οὕτως ἔχει « Ἄρης ὁ λῃστὴς σὺν δόρει σὺν ἀσπίδι. » V.

361. [φέρε δὴ κατίδω : Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς ἰαμβείων κϐ'. ἐπὶ τῷ τέλει παράγραφος.]

362. ὦ μιαρὲ καὶ τολμηρὲ : Ὁ Ἑρμῆς ἐλθὼν καὶ καταλαβὼν τὴν Εἰρήνην ὡς δῆθεν ἀνασπωμένην καὶ ἐπὶ τούτῳ χαλεπαίνων λέγει τί τοῦτο τολμᾷς;

363. Κιλλικῶν : [Τὴν νῆσον Μίλητον τοῦτόν φασι προδεδωκέναι τοῖς Πριηνεῦσι. πυνθανομένων δὲ πολλάκις αὐτοῦ τινῶν τί μέλλει ποιεῖν, ἔλεγε πάντα ἀγαθά. Θεαγένη δέ τινα ἄνδρα Σύριον τῆς νήσου ταύτης ὑπὸ Κιλλικῶντος προδοθείσης, μετοικήσαντα εἰς τὴν Σάμον κρεοπωλεῖν. ἐπιστάντος οὖν τοῦ Κιλλικῶντος ὠνήσασθαι παρ' αὐτοῦ κρέας, δοῦναι κρατεῖν αὐτῷ, ἵνα ἀποκόψῃ τὸ περιττὸν, καὶ ἀποτεινάμενον τὴν κοπίδα κόψαι τὴν χεῖρα αὐτοῦ τοῦ Κιλλικῶντος, καὶ εἰπεῖν ὡς ταύτῃ τῇ χειρὶ ἑτέραν οὐ προδώσεις πόλιν.]

Οὐκ οἶδ' ὅπως φησὶν οὐδὲν πονηρὸν ποιεῖν ταῦτα πράττειν εἶναι ἅπερ καὶ Κιλλικῶν. ὁ γάρ τοι Κιλλικῶν ἐπὶ πονηρίᾳ διαβόητός ἐστι. φασὶ γὰρ αὐτὸν οἱ μὲν Σάμον ἢ Μίλητον προδοῦναι Πριηνεῦσι. Θεόφραστος [Theopompus] δὲ ἐν τῷ ιγ' τῶν ἱστοριῶν τῶν ἑαυτοῦ Σύρον φησὶν αὐτὸν τὴν νῆσον προδεδωκέναι Σαμίοις. πυνθανομένων δὲ πολλάκις αὐτοῦ τινῶν τί μέλλοι ποιεῖν, ἔλεγε πάντα ἀγαθά. πάντα οὖν ἀγαθὰ φησι ποιῶν, ὡς ἔφη καὶ Κιλλικῶν. τῆς δὲ προδοσίας τοιαύτην ὑποσχεῖν τιμωρίαν. Θεαγένην τινὰ ἄνδρα Σύριον, τῆς νήσου τῆς ὑπὸ τοῦ Κιλλικῶντος προδοθείσης πολίτην, πρὸ πολλοῦ μετοικήσαντα εἰς τὴν Σάμον κρεοπωλεῖν καὶ οὕτως ἀπάγειν τὸν ἑαυτοῦ βίον. ἀγανακτήσαντα δὴ ἐπὶ τῇ προδοσίᾳ τῆς πατρίδος, ἐπιστάντος τοῦ Κιλλικῶντος ὠνήσασθαι παρ' αὐτοῦ κρέας, δοῦναι κρατεῖν αὐτῷ, ἵνα ἀποκόψῃ τὸ περιττόν. τοῦ δὲ πεισθέντος καὶ κρατοῦντος, τοῦ Κιλλικῶντος, προφάσει τοῦ πλεονάζον ἀποκόψαι τὸ κρέας, ἐπανατεινάμενον τὴν κοπίδα κόψαι τὴν χεῖρα τοῦ Κιλλικῶντος, καὶ εἰπεῖν ὡς ταύτῃ τῇ χειρὶ ἑτέραν οὐ προδώσεις πόλιν. μέμνηται δὲ Καλλίμαχος [fr. 227] « μὴ σύ γε, Θειόγενες, κόψῃς χεῖρα Κιλλικώντος. » ἱστορεῖ δὲ καὶ Λέανδρος ἐν δευτέρῳ Μιλησιακῶν προδοῦναι Μίλητον, καὶ ὅτε ἀνέῳξε τὰς πύλας, τῶν πολεμίων πυνθανομένου τινὸς ὅτι τοῦτο ἐποίησεν, ἀποκρίνασθαι ἀγαθὰ Κιλλικῶν. Ἄλλως. παρὰ τὴν πονηρίαν· ἐπὶ γὰρ πονηρίᾳ διαβάλλεται. Ἀπολλώνιος δὲ ὄνομα μὲν αὐτῷ φησὶν εἶναι Ἀχαιὸν παρωνύμως Κιλλικῶντα, τὸ γένος Μιλήσιον. οὗτός ἐστιν ὁ προδοὺς Μίλητον Πριηνεῦσιν. Ἄλλως. οὗτος Ἀχαιὸς ἐκαλεῖτο, Μέροπος υἱὸς, Μιλήσιος γένος, προδοὺς τὴν πατρίδα τοῖς Πριηνεῦσι. Κιλλικῶν δὲ ἐκλήθη ἀπὸ Κιλίσσης τροφοῦ. Ἄλλως. V. ὅτι πονηρός. ἄδηλον δὲ πότερον κύριον ὄνομα ἢ ἐπώνυμον. Ἀμμώνιος δὲ ὄνομα ἀναγράφει, καί φησιν ὅτι Λάκων καὶ Κιλλικῶν ἐκαλεῖτο, ὃς προδέδωκε Σάμον· οἱ δὲ Μίλητον. εἰπὼν δὲ οὐδὲν πονηρὸν, παρὰ προσδοκίαν ἐπήγαγε τὸ ἀλλ' ὅπερ καὶ Κιλλικῶν, ὡς εἰ εἶπεν οὐδὲν κακὸν ποιῶ ἀλλ' ἱεροσυλῶ. R. V.

364. οὐκοῦν ἦν λάχω : (Παίζει πρὸς τὸν Ἑρμῆν, ἐπειδὴ ὅτε πολλοὺς κατεδίκαζον οἱ Ἀθηναῖοι ἀποθανεῖν, οὐκ εἰς μίαν ἡμέραν πάντες ἐφονεύοντο, ἀλλ' ἕκαστος ἐκληροῦτο καθ' ἡμέραν, καὶ τῷ κληρωθέντι θάνατος ἐπῆει. καθ' ἡμέραν οὖν εἷς μόνος ἐτελεύτα. ἔστι γὰρ ὅτε μετεμελοῦντο καὶ τοὺς λοιποὺς ἔσωζον. ἐπεὶ οὖν οἱ κλῆροι Ἑρμοῦ, παίζων τοῦτο λέγει. — παίζει λέγων ἀποθνήσκω, ἐὰν) λάχῃ μοι, ὡς ἐπὶ τῶν καταδικαζομένων. οἶδα γὰρ ὅτι ὡς Ἑρμῆς ὑπάρχων ποιήσεις με κληρῶσαι. R. V.

365. (Ἑρμῆς γὰρ ὤν : Εἰ ὥρισται, φησὶ, πάντως ἀποθανεῖν, κληρωθῆναι πρότερόν με δεῖ. οἱ γὰρ κλῆροι τοῦ Ἑρμοῦ ἱεροὶ δοκοῦσιν εἶναι, ὅθεν καὶ τὸν πρῶτον κληρούμενον Ἑρμῆν φασι δεῖν καλεῖν.)

367. (ἡμπόληκά πω : Ἐνεπορευσάμην. ἐμπολὴ δὲ φορτίον, ἢ τὸ τῆς πραγματείας κέρδος, ἡ συναγωγὴ τοῦ κέρδους. τὸ δὲ ῥῆμα ἐμπολᾶν.)

368. ὡς ἀπολούμενος : (Ὅρα ὅτι οὕτως ὑπήκουσεν ὡς εἰρηκότος αὐτοῦ ὅτι στρατεύει ἢ ἀποδημεῖς. οὐδὲν οὖν, φησὶν, ὠνησάμην ὡς ἀποδημήσων. Ἄλλως.) ὡσεὶ ἔφη, ἀποδημῶν ἢ στρατευόμενος. χαριέντως δὲ καὶ παρ' ὑπόνοιαν εἶπε τὸ ὡς ἀπολούμενος. οἱ γὰρ στρατευόμενοι τυρὸν καὶ ἅλφιτα ἑαυτοῖς ὠνοῦντο.

369. ἐπιτέτριψαί γε : (Τοῦτο) τὸ ἐπιτέτριψαι ποτὲ μὲν ἐπὶ ὑπερηφανίᾳ τάττεται, ποτὲ δὲ ἐπὶ κατάρᾳ, ἐφ' ᾗ καὶ νῦν.

370. οὐκ ᾐσθόμην : (Πάλιν ἐνταῦθα τῇ ἀστειότητι ἐχρήσατο, καὶ ὥσπερ χαριεντίζεται τὸν θεὸν, τῷ γελοίῳ αὐτοῦ τὴν ὀργὴν καταπραΰνειν πειρώμενος. παίζων οὖν εἶπεν τὸ ἀγαθὸν τοσουτονὶ λαβών.) — πάλιν ἀστειεύεται τοῦ θεοῦ τὴν ὀργὴν καταπραῦναι διὰ τούτου βουλόμενος. R.

371. (ὅτι προεῖφ' ὁ Ζεὺς : Ἀντὶ τοῦ ὥρισε. κατ' ἐρώτησιν.)

374. ἐς χοιρίδιον : Ὅτι ἡ Δημήτηρ χοιροκτόνος ἦν, ἢ ὅτι τοῖς μυουμένοις ἐστὶν ἔθος χοιρίδιον θύειν ἐξ ἀνάγκης, ἐπεὶ δοκοῦσιν οἱ μεμυημένοι ἐν Ἅιδου πλέον ἔχειν τῶν ἀμυήτων. ὥσπερ οὖν κἀν τοῖς Βατράχοις [454] αὐτὸ λέγει· πρὶν μὲν οὖν ἀποθνήσκειν μυηθῆναι βούλομαι. καὶ πολλοὶ καὶ τοῦτο ἱστοροῦσι. V. ἢ ὅτι Δημήτηρ χοιροκτόνος, ἢ ἐπεὶ οἱ μυούμενοι χοῖρον ἔθυον. δοκοῦσι δὲ οἱ μυούμενοι εἰς τοὺς εὐσεβεῖς τάττεσθαι, ὡς καὶ ἐν Βατράχοις λέγει. R.

376. ὦ Ζεῦ κεραυνόβροντα : Τοῦτο ὁ Ἑρμῆς φησὶν ἐπιβοώμενος τὸν Δία διὰ τὸ ἐπ' αὐτοφώρῳ καταλαβεῖν τοὺς ἀνασπῶντας τὴν Εἰρήνην.

378. ναὶ πρὸς τῶν κρεῶν : Γέλωτος χάριν τοῦτο, ἵνα δείξῃ καὶ τοὺς θεοὺς ἡττωμένους ὑπὸ λήμματος.

380. ἀμαλδυνθήσομαι : Εἰ μὴ κατείπω ταῦτα τὰ πραττόμενα οὕτως ὑμῖν καὶ διαβάλω. τορῶς γὰρ, σαφῶς καὶ ἀκριβῶς. ἐπίτηδες δὲ τραγικαῖς λέξεσιν ἐχρήσατο, τῷ τετορήσω καὶ λακήσομαι. τὸ δὲ ἀμαλδυνθήσομαι ἀντὶ τοῦ ἀφανισθήσομαι. παρατηρητέον οὖν πρὸς τοὺς παρ' Ὁμήρῳ [Il. M, 32] ἐξηγουμένους « τεῖχος ἀμαλδύνας, » ἀντὶ τοῦ ὁμαλίσας.

383. [εἰπέ μοι : Τὰ τοιαῦτα εἴδη καλεῖται ἑτερόστροφα καὶ εἰσὶ στίχων καὶ κώλων ιζ'. ὧν οἱ πρῶτοι δύο καὶ ὁ τῆς στροφῆς α' τροχαϊκοὶ τετράμετροι ἀκατάληκτοι. τὸ β' παιωνικὸν δίμετρον καταληκτικόν. ὁ γ' παιωνικὸς τετράμετρος ἀκατάληκτος. ὁ δ' καὶ ὁ ἑξῆς καὶ οἱ α', ς' τῆς δευτέρας στροφῆς ὅμοιοι τῷ πρώτῳ. τὰ δ' ἄλλα παιωνικὰ δίρρυθμα. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τελευταίῳ κώλῳ, τῷ « δέσποτ' ἀγαλοῦμεν ἀεί, » δύο διπλαῖ ἔξω νενευκυῖαι, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος.]

Διπλῆ καὶ ἐν ἐκθέσει στίχων τροχαϊκῶν τριμέτρων ἀκαταλήκτων β', ὑφ' οὓς διπλαῖ β'. ἕπεται γὰρ ἡ ἀντιστρέφουσα τῇ ἑκκαιδεκακώλῳ, ἧς πρῶτος « μηδαμῶς ὦ δέσποθ' Ἑρμῆ. » τέλος δὲ « ἀγαλοῦμεν ἡμεῖς. » V.

384. ὦ πόνηροι : Ὦ ἐπίμοχθοι. ἐπιτιμᾷ δὲ αὐτοῖς ὡς νῦν σιωπῶσι, δέον αὐτοὺς ἐν καιρῷ λαλεῖν.

386. (εἴ τι κεχαρισμένον : Παρὰ τὸ Ὁμηρικὸν [Il. A, 39] « εἴποτέ τοι χαρίεντ' ἐπὶ νηὸν ἔρεψα. »)

387. τοῦτο μὴ φαῦλον : (Μὴ εὐτελὲς νομίζων τοῦ χοιριδίου τυχεῖν) ἐν τῷ λαβεῖν (ἡμᾶς) τὴν εἰρήνην.

389. μὴ γένῃ παλίγκοτος : Ἀντὶ τοῦ ἐναντίος. μὴ ἐξ ὑποστροφῆς ὀργισθῇς πάλιν καὶ μετανοήσῃς, ἐφ' οἷς ἡμᾶς εὐεργετῆσαι προθυμῇ τε καὶ διανοῇ.

394. εἴ τι Πεισάνδρου : Ἴσως εἰρωνεύεται. ἐπὶ δειλίᾳ γὰρ ἐσκώπτετο παρὰ πολλοῖς. — οὗτος φιλοπόλεμος ἦν καὶ πολεμοποιὸς κερδῶν ἰδίων ἕνεκεν. ἦν δὲ δειλὸς καὶ μέγας, καὶ ἐκαλεῖτο ὀνοκίνδιος. ἐχρῆτο δὲ τριλοφίᾳ καὶ ὅπλοις ἐπισήμοις ὑπὲρ τοῦ δοκεῖν ἀνδρεῖος εἶναι μὴ ὤν. καὶ ἐν ἄλλοις δὲ ἐπαχθῶς αὐτοῦ ἐπιλαμβάνεται. R. V.

398. (ἀγαλοῦμεν ἡμεῖς ἀεί : Ὅτι περισσὸν τὸ ἀεί, ἤρκει γὰρ εἰπεῖν τὸ διὰ παντός. ἀγαλοῦμεν δὲ, ἐπικοσμήσομεν. ἴσως δὲ ταυτολογίᾳ ἐχρήσατο, τὴν ἀείμνηστον εὐεργεσίαν δεῖξαι θέλων.)

400. [τὸ' ἀντιβολῶ σε : Σύστημα ἕτερον κατὰ περικοπὴν ἀνομοιομερὲς ἐκ στίχων ἰαμβείων κς'. ἐπὶ τῷ τέλει παράγραφος.]

(ἐλέησον αὐτῶν τὴν ὄπα : Ἀντὶ τοῦ ἐποίκτειρον αὐτῶν τὰς εὐχὰς καὶ τὰς λιτὰς, καὶ ἐπάκουσον ἡμῶν ὦ φιλανθρωπότατε.)

402. κλέπται γὰρ νῦν εἰσιν : Παρ' ὑπόνοιαν. ἔπαιξε δὲ ὡς τοῦ Ἑρμοῦ χαίροντος ταῖς κλοπαῖς. οὕτως γοῦν σε τιμῆσαι προαιρούμεθα, φησὶν, ὅτι ζηλωταὶ τῶν ἐπιτηδευμάτων ἐσόμεθα τῶν σῶν, καὶ μᾶλλον ἢ πρότερον ἐν ταῖς κλοπαῖς προσέξομεν. ἐν δὲ τῷ προσθεῖναι μᾶλλον ἢ πρὸ τοῦ, ἐπ' ἀμφοτέροις διέβαλεν, ὅτι καὶ πρότερον ἔχαιρον καὶ νῦν ἐπιδώσουσι μᾶλλον. Ἄλλως. αἰνίττεται εἰς τοὺς Ἀθηναίους ὡς πολλὰ κλέπτοντας.

404. τοῖς θεοῖς ἅπασιν ἐπιβουλεύεται : Ἀντὶ τοῦ ἐπὶ τοῖς θεοῖς βουλεύεται.

406. ἡ γὰρ Σελήνη χὠ πανοῦργος : (Τοῦτο λέγει) διὰ τὰς ἐκλείψεις καὶ τὰς ἄλλας διοσημίας τὰς κατὰ τὸν πόλεμον τὸν Πελοποννησιακὸν γενομένας. — βαρβάροισι δὲ, εὐφυῶς πάλιν εἰς ὁμόνοιαν αὐτοὺς προτρεπόμενος δείκνυσιν ὅτι ὑπὲρ τῶν βαρβάρων ἐστὶ τὸ τοὺς Ἕλληνας διὰ τὰς στάσεις ἀλλήλους διαφθείρειν. R.

407. (ταῖς βαρβάροισι προδίδοτον : Δοκοῦσι γὰρ οἱ βάρβαροι τούτους μάλιστα θεραπεύειν τῶν θεῶν. σοφῶς δὲ ὑποβολῇ προσώπων εἰς ὁμόνοιαν προσάγει τοὺς ἀκούοντας. λελῃθότως δὲ δείκνυσι πάλιν ὅτι ὑπὲρ τῶν βαρβάρων ἐστὶ τὸ τοὺς Ἕλληνας τῇ οἰκείᾳ διαφθείρεσθαι στάσει.)

410. τούτοισι δὲ : Οἱ βάρβαροι τὸν ἥλιον καὶ τὴν σελήνην τιμῶσιν, ὡς Ἡρόδοτος ἱστορεῖ. ἐπιεικῶς δὲ οἱ βάρβαροι τόν τε ἥλιον καὶ τὴν σελήνην θεῶν μᾶλλον πάντων σέβουσι. διὰ τοῦτο καὶ τὴν Δῆλον καὶ τὴν Ἔφεσον οὐ διελυμήναντο· ὁ μὲν γὰρ ἥλιος Ἀπόλλων ἐνενόμιστο, ἡ δὲ Ἄρτεμις σελήνη.

413. ἵνα τὰς τελετὰς αὐτοὶ λάβοιεν : Ἡμῶν ἀπολλυμένων καὶ τῶν βαρβάρων αὐτοῖς θυόντων. (παρατηρητέον δὲ ὅτι ἀντὶ τοῦ τὰς θυσίας κεῖται τὸ τελετάς.)

414. ταῦτ' ἄρα πάλαι : (Συντίθεται ὁ Ἑρμῆς, καὶ φησὶν ὅτι ὁ μὲν ἥλιος παρέκλεπτε τῶν ἡμερῶν, ἡ δὲ σελήνη τοῦ κύκλου.) ἐπὰν γὰρ ἴσαι αἱ ἡμέραι καὶ οἱ μῆνες γένωνται, ἔκλειψις γίνεται. τὸ φύσει οὖν γινόμενον κλέπτετον εἶπε παίζων.

415. ὑφ' ἁρματωλίας : (Οὕτως ἡ γραφή. μέμνηται Ἡρωδιανὸς ἐν τῇ ια' καὶ Φρύνιχος ἐν τῇ σοφιστικῇ παρασκευῇ οὕτω τίθησι τὴν λέξιν. δέον δὲ εἰπεῖν ὑπὸ ἁμαρτίας, ἀντὶ τοῦ ἁμαρτάνοντες, εἶπεν ὑφ' ἁρματωλίας, ἀντὶ τοῦ φειδόμενοι τῶν ἁρμάτων αὐτῶν. Ἄλλως.) τῆς τῶν ἁρμάτων ἡνιοχείας.

418. καὶ σοὶ τὰ μεγάλα : Οὐχ ὡς καὶ μικρῶν ὄντων τοῦτό φησιν, ἀλλ' αὔξων τὴν χάριν. τῇ δὲ Ἀθηνᾷ ἦγοντο διὰ πέντε ἐτῶν, ὅτε καὶ ἡ ναῦς ἐπὶ γῆς πλέει παρ' αὐτοῖς. (σοὶ, φησὶν, ἄξομεν τὰ Παναθήναια) καὶ οὐ τῇ Ἀθηνᾷ, ἐὰν τῆς εἰρήνης τύχωμεν διὰ σοῦ.

419. (πάσας τε τὰς τελετὰς : Καὶ τοῦτο πρὸς τὰς ἄλλας τελετάς. σαφέστερον δὲ ἐν τούτοις μᾶλλον, ὅτι οὐ περιεγεγραμμένως ἐπὶ τῶν θυσιῶν εἴρηκε.)

τὰς τῶν θεῶν : Τὰ τῇ Δήμητρι καὶ Κόρῃ ἀγόμενα οὐκέτι ταύταις, φησὶν, ἄξομεν, ἀλλὰ σοὶ, ὥσπερ καὶ τὰ Παναθήναια. (Διπόλεια δὲ ἑορτὴ Ἀθήνησιν, ἐν ᾗ Πολιεῖ Διὶ θύουσι σκιροφοριῶνος τετάρτῃ ἐπὶ δέκα. ἔστι δὲ ἀπομίμημα τῶν περὶ τῶν πελάνων καὶ τὰς βοῦς συμβάντων.)

420. τὰ Διπόλεια : Τὰ Διπόλεια τῷ Διὶ, τὰ Ἀδώνια τῷ Ἀδώνιδι καὶ τῇ Ἀφροδίτῃ.

421. (ἄλλαι τέ σοι πόλεις : Τοῦτο φησὶν, ἵνα μὴ δόξῃ καταισχύνειν τὸ ἀξίωμα τῶν Ἀθηναίων, ὡς διὰ τὸ ἀποκαμεῖν μόνων ἐρώντων τῆς εἰρήνης. οὐ μόνοι γὰρ αὐτοὶ, φησὶ, τὸν Ἑρμῆν τιμήσουσιν, ἀλλὰ καὶ πάσαι αἱ πόλεις τῆς εἰρήνης τυγχάνουσαι, διὰ τὸ χρησιμεύειν τῷ βίῳ τῶν ἀνθρώπων.)

422. (ἀλεξικάκῳ : Καὶ τὸ ἐπὶ τῷ Ἡρακλεῖ μόνῳ σοὶ ἐπιθήσομεν. ἀλεξίκακος γὰρ Ἡρακλῆς παρὰ τοῖς ἀνθρώποις ἐτιμᾶτο. Ἄλλως. καὶ Ἀπόλλωνα καὶ Ἡρακλέα ἀλεξικάκους τιμῶσι. φησὶν οὖν, οὔτε Ἀπόλλωνι οὔτε Ἡρακλεῖ θύσομεν ὡς ἀλεξικάκοις, ἀλλὰ σοί.)

424. (δῶρον δίδωμι : Τοῦτο παρεπιγραφή. τοῦτο γὰρ εἰπὼν φιάλην χρυσῆν δίδωσιν αὐτῷ.)

425. οἴμ' ὡς ἐλεήμων : Δέον εἰπεῖν ἥττων, φησὶν ἐλεήμων. χρυσίδα δὲ τὴν φιάλην. παρ' ὑπόνοιαν δέ. ἀντὶ τοῦ εἰπεῖν τῆς πόλεως εἰμὶ ἀεὶ ἐλεήμων, ἢ τῆς Ἑλλάδος, ἢ τῶν ἀνθρώπων, εἶπε τῶν χρυσίδων, διὰ τὴν χρυσῆν φιάλην.

426. ὑμέτερον ἐντεῦθεν : (Διπλῆ καὶ ἐν εἰσθέσει στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοί. εἶτα ἐν ἐκθέσει παρὰ τοῖς τετραμέτροις στίχοις ἰαμβικοὶ β', κὰν ἐπεκθέσει κῶλα β', ὧν τὸ μὲν ἐκ διπλοῦ σπονδείου, τὸ δὲ ἐκ τοῦ δευτέρου τροχαίου, καὶ αὐτοῦ διπλοῦ. τὰ δὲ ἑξῆς ἰαμβεῖα μέχρι τοῦ « ὑπότεινε δὴ πᾶς καὶ κάταγε τοῖσιν κάλως. » ἐπὶ τῷ τέλει κορωνίς. ὁ Ἑρμῆς δὲ ταῦτα παρακελεύεται. ταχέως δὲ πεποίηκεν αὐτὸν μεταβαλλόμενον τὴν προαίρεσιν, ἵνα μᾶλλον αὐτὸν δείξῃ ἥττονα τοῦ λήμματος.) — ἄμη γεωργὸν ὄργανον. R.

429. δημιουργικῶς : Ἀντὶ τοῦ τεκτονικῶς· τοὺς γὰρ τέκτονας δημιουργοὺς ἔλεγον.

431. ἄγε δὴ σὺ ταχέως : Ἄγε, φησὶ, πρότερον σπεῖσον τοῖς θεοῖς, ἵνα οὕτω τοῦ ἔργου ἐξώμεθα.

432. ἔργῳ φιαλοῦμεν : (Οἷον, ἐπιθῶμεν τῇ φιάλῃ ἐπὶ τῶν ἔργων, ἢ) ἔργῳ ἐπιβαλοῦμεν, ἐπὶ τοῦτο ὁρμήσομεν. εἴρηται δὲ καὶ ἐν τοῖς Σφηξί [1339]. (παίζει δὲ παρὰ τὴν φιάλην τὴν δῶρον αὐτῷ δοθεῖσαν. ἢ ὅτι φιάλλειν κυρίως ἐστὶ τὸ ἄρχεσθαι πράγματος. Ἄλλως. τοῦ ἔργου ἐπιλαβώμεθα καὶ προθυμηθῶμεν, ἢ ἐπὶ τοῦτο ὁρμήσωμεν καὶ σπείσωμεν καὶ εὐφρανθῶμεν.)

433. σπονδὴ σπονδή : Τοῦτο ἀξιοῦσι τὸν Ἑρμῆν λέγειν σπένδοντα.

435. (σπένδοντες εὐχώμεσθα : Δοκεῖ διὰ τούτων αἰνίττεσθαι τὴν ὑπὸ Μελησίππου λεχθεῖσαν ἀπειλήν. ἐν ἀρχῇ γὰρ τοῦ Πελοποννησιακοῦ πολέμου πεμφθεὶς πρεσβευτὴς ὁ Μελήσιππος ὑπὸ Λακεδαιμονίων εἰς τὰς Ἀθήνας, ὡς οὐχ ὑπήκουσαν οἱ Ἀθηναῖοι, ἠξίου ἀπαλλαττόμενος λοιπὸν καὶ γενόμενος ἐπὶ τοῖς ὁρίοις εἰπεῖν ὡς ἥδε ἡ ἡμέρα πολλῶν καὶ μεγάλων κακῶν τοῖς Ἕλλησιν ἄρξει. ἐπεὶ οὖν τῶν τοῦ πολέμου κακῶν λοιπὸν ἀπαλλαχθήσεσθαι ἔμελλον, εἰς τοὐναντίον πάλιν ὁ ποιητὴς μετέστρεψε τὸν λόγον τὸν ὑπ' ἐκείνου ῥηθέντα. διπλῆ δὲ καὶ ἐν ἐκθέσει στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι κδ', ὧν τελευταῖος « ὑπότεινε δὴ πᾶς. »)

437. ξυλλάβοι τῶν σχοινίων : Ἀντιλάβοιτο. σχοινίοις γὰρ αὐτὴν καταχωσθεῖσαν ἀνεῖλκον.

438. μὴ λαβεῖν ποτ' ἀσπίδα : (Μηκέτι πανοπλίαν βαστάσαι.) ἀντὶ τοῦ ἀπεῖναι τῶν κακῶν τοῦ πολέμου. (χρησίμως δὲ νῦν ἀντιπαρατίθησι τοῖς τοῦ πολέμου δυσχερέσι τὰ τῆς εἰρήνης ἡδέα, προτρεπόμενος καὶ εἰς ἔρωτα αὐτῆς φέρων αὐτούς.)

440. καὶ σκαλεύοντ' ἄνθρακας : Ἀντὶ τοῦ, ζωπυροῦντα τοὺς ἄνθρακας, (οἷον ἐν ἀγρῷ διατρίβοντα. ἐπεὶ οὖτοι ὀπτῶσι βαλάνους καὶ σκαλεύουσι τοὺς ἄνθρακας ἐν τῷ ὀπτᾶν.) ἢ τὸ γυναικεῖον αἰδοῖον ἄνθρακα εἶπεν.

441. ὅστις δὲ πόλεμον : Δύο πρόσωπα ταῦτά φησιν, ὧν ὁ μὲν εὔχεται, ὁ δὲ ἕτερος ἀκόλουθα τῇ εὐχῇ καταρώμενος λέγει.

443. ἐκ τῶν ὀλεκράνων : (Ὀλέκρανον) τινὲς τὸν ἀγκῶνα, οὐκέτι δὲ τὸ ἐν τῇ καμπῇ τῆς χειρὸς ὀξύ. ἐπώδυνος δὲ ὁ τόπος οὗτος τοῖς τρωθεῖσιν εἰς αὐτόν. (Ἄλλως. ἀκίδας τὰ βέλη λέγει. ἐπιστῆσαι δὲ ἄξιον τί ποτε αὐτῷ ταῦτα βούλεται· οὐ γὰρ τοξόται οἱ Λακεδαιμόνιοι, ἀλλὰ τῇ συστάδην μάχῃ μᾶλλον χαίροντες. ὀλέκρανα δὲ λέγονται τὰ τῶν ὀλένων κρανία, τουτέστι τῶν χειρῶν. δῆλον οὖν ὅτι τὸ ὀξὺ καὶ ἐπικαμπὲς τῶν χειρῶν λέγει, ὃν ἀγκῶνα φαμέν.)

444. (κεἴ τις ἐπιθυμῶν ταξιαρχεῖν : Οἱ πρότεροι στίχοι πρὸς τὴν ἄνω κατάραν λέγονται. εἶθ' ἕτερον συνάπτει, πάσχοι γε τοιαῦτα. ὥστε καὶ παραγραφὴν εἶναι, ὥστε ἐκείνου προειπόντος κατάραν, ὁ ἕτερος τὸν λόγον ἐκδεξάμενος ἐπιφέρει, ὅπερ καὶ ἐν ταῖς ἑξῆς κατάραις σαφέστερον φησίν.)

446. Κλεώνυμος : Τουτέστιν ἀσχημονοίη ῥίπτων τὴν ἀσπίδα. ῥίψασπις γὰρ ὁ Κλεώνυμος, ὡς καὶ ἐν τοῖς Σφηξὶ [19] λέγει φανερώτατα.

447. κάπηλος ἀσπίδων : Οὐκ αὐτὸς ἀσπίδας ποιῶν, ἀλλὰ παρ' ἄλλων λαμβάνων καὶ πωλῶν. καπήλους γάρ φασι πάντας τοὺς μεταβόλους.

448. (ἵν' ἐμπολᾷ βέλτιον : Ἵνα πιπράσκῃ πλείονος. ἢ ἵνα πορίζῃ πλεῖον. συνήθως δὲ νῦν τὸ ἐμπολᾷ ἀντὶ τοῦ πωλεῖ. πολλάκις δὲ ἐπὶ τοῦ ἀγοράζειν, ὡς ἑξῆς « ἐμπολήσαντές τι χρηστὸν εἰς ἀγρὸν ταρίχιον. » τὸ δὲ κριθὰς μόνας, ἀντὶ τοῦ μὴ ἄλφιτα, ἀλλ' αὐτὰς τὰς κριθάς.)

450. κεἴ τις στρατηγεῖν : Δοκεῖ ταῦτα εἰς Ἀλκιβιάδην αἰνίττεσθαι, ὥς πού φησι καὶ Θουκυδίδης [6, 12] ἐν τῇ Νικίου δημηγορίᾳ (καὶ ἐν τῇ αὐτοῦ Ἀλκιβιάδου, τὸν μὲν Νικίαν παραινοῦντα τοῖς Ἀθηναίοις ποιῶν, μὴ πειθομένους αὐτῷ πόλεμον ἄρασθαι τοσοῦτον, οὕτως λέγων « εἴτε τις ἄρχειν ἀσμενος αἱρεθεὶς, παραινεῖ ἐκ« πλεῖν ὑμῖν ταὐτοῦ μόλις σκοπῶν, ἄλλως τε καὶ νεώ« τερος ἔτι ὢν εἰς τὸ ἄρχειν, ὅπως θαυμασθῇ μὲν ἀπὸ « τῆς ἱπποτροφίας, διὰ πολυτέλειαν καὶ ὠφεληθῇ, ἐκ « τῆς ἀρχῆς δὲ τούτῳ παράσχητε τῷ τῆς πόλεως κιν« δύνῳ ἰδίᾳ ἀπολαμπρύνασθαι. » αὐτὸν δὲ τὸν Ἀλκιβιάδην, ὅτι βούλεται στρατηγεῖν μὴ ἀρνούμενον διὰ τούτων [ib. 16] « καὶ προσῆκόν μοι μᾶλλον ὦ Ἀθη-

« αἶοι ἑτέρων ἄρχειν· ἀνάγκη γὰρ ἐντεῦθεν ἄρξασθαι, « ἐπειδή μου Νικίας καθήψατο· καὶ ἄξιος νομίζω εἶναι. »)

451. ἢ δοῦλος αὐτομολεῖν : Πάλιν πρὸς Ἀλκιβιάδην, ἐπεὶ πρὸς Λακεδαιμονίους φυγὼν αἴτιος ἐγένετο τοῦ Δεκέλειαν αὐτοὺς ἐπιτειχίσαι, διὸ καὶ δοῦλον αὐτὸν καλεῖ, (διὰ τὴν Κοισύραν, ἥτις δούλη ἦν, ὥς φησιν ἐν Νεφέλαις.)

452. ἐπὶ τοῦ τροχοῦ γ' ἕλκοιτο : Οἱ γὰρ δοῦλοι σφαλλόμενοι ἐπὶ τροχοῦ δεσμούμενοι καὶ συρόμενοι ἐτύπτοντο ἀνακλώμενοι ἐν αὐτῷ.

453. [ἰὴ παιών : Ἐφύμνιον εἰς Ἀπόλλωνα. τὴν δὲ αἰτίαν Καλλίμαχος ἦσε διὰ τούτων· « Πυθῶ τοι κα« τιόντι συνήντετο δαιμόνιος θὴρ, αἰνὸς ὄφις, τὸν μὲν « σὺ κατήναρες, ἄλλον ἐπ' ἄλλῳ βάλλων ὠκὺν ὀϊστόν, « ἐπηύτησε δὲ λαὸς, ἰὴ ἰὴ Παιῆον, ἶει βέλος. »]

454. ἐπεὶ ἐν τῷ παιὼν ἔγκειται τὸ παίειν. R.

456. Ἑρμῆ, χάρισιν, ὥραις : Δικαίως προέταξε τὸν Ἑρμῆν ὡς αἴτιον τῆς ἀναγωγῆς τῆς Εἰρήνης. καὶ τῶν ἑξῆς δὲ εἰκότως ἐμνήσθη ὡς ἁρμοδίων αὐτῇ· ἐν γὰρ τῇ εἰρήνῃ τούτων ἀπολαύουσι πάντες. (Ὥραις δὲ ταῖς τοῦ ἔτους, ὧν οὐδεὶς ἐν πολέμῳ ἀπολαύει, καὶ τῶν ἐν αὐταῖς ἔργων.)

457. Ἄρει δὲ : Πρὸς τοὺς οἰομένους τῶν νεωτέρων τὸν αὐτὸν εἶναι Ἄρεα καὶ Ἐνυάλιον, κατ' ἐπίθετον. τινὲς δὲ Ἄρεως καὶ Ἐνυοῦς τὸν Ἐνυάλιον. οἱ δὲ Κρόνου καὶ Ῥέας. (Ἀλκμᾶνα δὲ λέγουσιν ὅτε μὲν τὸν αὐτὸν λέγειν, ὅτε δὲ διαιρεῖν. εἰκότως δὲ τούτοις μὴ δεῖν θύειν μετὰ τὴν εἰρήνην· ὑπεναντίοι γὰρ καὶ ἀλλότριοι τῆς εἰρήνης.) — ἀντὶ τοῦ οὗτοι ἐναντίοι εἰσὶ τῇ εἰρήνῃ. Rav.

459. ὦ εἶα : (Διπλῆ καὶ εἴσθεσις ἀμοιβαίων τοῦ χοροῦ καὶ τοῦ ὑποκριτοῦ ἐν ἐπεκθέσει καὶ παρεκθέσει. Ἄλλως. ἡ ἀμοιβαία αὕτη στροφὴ κώλων ἐστὶ ιδ', ἔχει δὲ ἑξῆς καὶ ἀντιστροφὴν ἐξ ὁμοίων ἀρχομένην κώλων. καὶ ἔστι τὸ μὲν πρῶτον τρισύλλαβον κατὰ παλιμβάκχειον. τὸ δὲ β' παίων πρῶτος. τὸ δὲ γ' ὅμοιον τῷ πρώτῳ. τὸ δὲ δ' ἤτοι δακτυλικὸν διπλοῦν, ἢ τροχαϊκὸν πενθημιμερὲς εἴη ἄν, ἢ ἡμιόλιον ἐκ παίωνος· τὸ μέντοι τῆς ἀντιστροφῆς κρητικὸν ἔχει. τὸ ε' διπλοῦς παλιμβάκχειος. τὰ ς', ζ' ἀναπαιστικὰ δίμετρα. τὸ η' ἑφθημιμερὲς ὅμοιον. τὰ θ', ι' παιωνικὰ μονόμετρα ἐκ κρητικῶν. τὰ ια', ιβ', ιγ' ἀναπαιστικὰ δίμετρα ἐπιμεμιγμένα ἰάμβοις, τὰ δὲ τῆς ἀντιστροφῆς καὶ δακτύλοις. τὸ ιδ' ὅμοιον ἑφθημιμερές. ὑφ' ὃ ἡ ἔσω διπλῆ διὰ τὴν ἀνταπόδοσιν.) τὸν Ἑρμῆν καὶ ταῦτα ἐξάρχειν θέλουσι. μιμεῖται δὲ τοὺς βαρβαριστὶ ἐξέλκοντας. δεῖ οὖν νοεῖν ὅτι ταῦτα ἀνὰ μέρος λέγεται, τὸ μὲν τοῦ Ἑρμοῦ κελεύοντος καὶ ἕλκοντος, τὸ δὲ τῶν ἑλκόντων ὑπακουόντων. (Ἄλλως. ὁ Ἑρμῆς ἐπιτάττει τοῖς ἕλκουσι, καὶ ἅμα τοῖς μὴ ἕλκουσιν ἐπιτιμᾷ. οἱ δὲ χαίροντες τῇ εἰρήνῃ ἀποκρίνονται.)

462. ἔτι μάλα : Ἔτι σφοδρότερον ἢ προθυμότερον.

464. οὐχ ὁμοθυμαδὸν ἕλκουσι. V.

465. οἵ' ὀγκύλλεσθ' : (Οἷα, φησὶν,) ἐπερείδεσθε μὲν τῷ σχοινίῳ προσποιούμενοι ἕλκειν, οὐχ ἕλκετε δέ. ἢ τὸν ὄγκον παραβάλλεσθε καὶ ἀλαζονεύεσθε καὶ ὑπερηφανεύεσθε. ἢ ὡς φιλοπόλεμοι δὲ οὐχ εἵλκον (ἢ ὡς ἔκσπονδοι).

466. οἰμώξεσθ' : Ὅτι μηδὲν αὐτοῖς μέλει τῆς εἰρήνης. ἐπὶ γὰρ Ἀλκαίου σπονδὰς φησὶ γεγονέναι Φιλόχορος πεντηκονταετεῖς Ἀθηναίοις καὶ Λακεδαιμονίοις καὶ τοῖς συμμάχοις πλὴν Βοιωτῶν καὶ Κορινθίων καὶ Ἠλείων.

(469). ἄγετον, ξυνέλκετον : [Ὁ χορὸς] πρὸς τὸν Ἑρμῆν καὶ τὸν Τρυγαῖον.

470. ἕλκω κἀξαρτῶμαι : Ἔμφασιν πολλὴν ἔχουσιν οἱ λόγοι αὐτοῦ, ἐμφαίνοντες τὴν σπουδὴν τὴν περὶ τὸ ἕλκειν, ὅπου γε καὶ συναρτᾶσθαί φησι τῷ ἔργῳ, ἀντὶ τοῦ ἐμπεπάρθαι.

472. πῶς οὖν οὐ χωρεῖ : Ὁ Ἑρμῆς τοῦτό φησιν ἀπελέγχων αὐτοὺς, ὅτι λέγουσιν ἕλκειν καὶ οὐχ ἕλκουσιν.

473. [ὦ Λάμαχ' ἀδικεῖς : Διπλῆ καὶ στίχοι τρίμετροι ἰαμβικοὶ ιγ'. ἐπὶ τῷ τέλει παράγραφος.]

474. τῆς σῆς μορμόνος : Παρὰ τὴν Μορμὼ καὶ παρὰ τὴν Γοργόνα, ἣν εἶχεν ὁ Λάμαχος (ἐπίσημον). οὕτως δὲ ἔλεγον τὸ ἐκφοβητρον, καὶ τὰ προσωπεῖα τὰ αἰσχρὰ μορμολύκεια, ἀφ' οὗ καὶ τὰ τραγικὰ καὶ τὰ κωμικά. (καὶ ἐν Ἀμφιαράῳ « ἀφ' οὗ κωμῳδικὸν μορμολύκειον ἔγνων. ») — περὶ δὲ Λαμάχου εἴρηται πολλάκις ὅτι φιλοπόλεμος ἦν. V.

475. (οὐδὲν Ἀργεῖοι : Ὡς τῶν Ἀργείων ἐπαμφοτεριζόντων μηπότε δοκοίη αὐτοῖς. διὸ καὶ Φιλόχορός φησι πολεμοῦντας πάλιν πρὸς Κορινθίους προσλαμβάνεσθαι καὶ τοὺς Ἀργείους.)

476. ἀλλ' ἢ κατεγέλων : (Ἐπεὶ Ἀργεῖοι κατεγέλων Λακεδαιμονίων καὶ Ἀθηναίων ἀλλήλοις μαχομένων, ἐπείπερ παρ' ἀμφοτέρων λαμβάνοντες χρήματα ἐπολέμουν.) ἐνετρύφων οὖν τοῖς ἐκ τοῦ πολέμου διαφθαρεῖσιν. αἰνίττεται δὲ εἰς τοὺς Ἀργείους, ἐν τούτῳ τῷ πολέμῳ ἐμαμφοτερίζοντας· διὸ καὶ πολλὰ ἐκωμῳδοῦντο.

477. διχόθεν : Ὡς τῶν Ἀργείων ἐπαμφοτεριζόντων, καὶ ἀποκλινόντων, ὁπότε δοκοίη αὐτοῖς, καὶ πρὸς Λακεδαιμονίους. — καὶ ὁ Φιλόχορός φησι, πολεμοποιοῦντας πάλιν τοὺς Κορινθίους προσλαμβάνεσθαι καὶ τοὺς Ἀργείους. R. V. ἀπεμφαίνει οὖν καὶ ταῦτα διχόθεν μισθοφοροῦντες. (ἥρμοττε γὰρ μᾶλλον οὕτως εἰπεῖν, ὅτι οὐ προθυμοῦνται πρὸς τὴν εἰρήνην, καὶ ταῦτα μάλιστα πάντων τρυχόμενοι ἐν τῷ πολέμῳ. μή τι οὖν ἐν ἴσῳ τούτων εἴρηκε, διὰ τὸ διχόθεν μισθοφορεῖν. περὶ δὲ Ἀργείων καὶ Φερεκράτης ἐν Αὐτομόλοις « οὗτοι γὰρ « ἡμῖν οἱ κακῶς ἀπολούμενοι | ἐπαμφοτερίζουσ' ἐμπο« δὼν καθήμενοι. »)

479. ἆρ' οἶσθ' ὅσοι γ' αὐτῶν : Καὶ ὁ Θουκυδίδης [4, 117] ἱστορεῖ, λέγων μάλιστα τῆς εἰρήνης ἀντιποιεῖσθαι τοὺς Λακεδαιμονίους διὰ τοὺς ληφθέντας αὐτῶν ἐν Σφακτηρίᾳ. λέγει γὰρ οὕτως « τοὺς γὰρ δὴ ἄνδρας περὶ πλείονος ἐποιοῦντο κομίσασθαι, ἕως ὅτε ὁ Βρασίδας εὐτύχει. » καὶ ἐν ἄλλοις [5, 15], (« ταῦτα οὖν ἀμ-

φοτέροις αὐτοῖς λογιζομένοις ἐδόκει ποιητέα εἶναι ἡ ξύμβασις, καὶ οὐχ ἧττον τοῖς Λακεδαιμονίοις, ἐπιθυμία τῶν ἀνδρῶν τῶν ἐκ τῆς νήσου κομίσασθαι. ἦσαν γὰρ οἱ Σπαρτιᾶται αὐτῶν πρῶτοί τε καὶ ὁμοίως σφίσι συγγενεῖς. ἤρξαντο μὲν οὖν καὶ εὐθὺς μετὰ τὴν ἅλωσιν αὐτῶν πράσσειν. ἀλλ' οἱ Ἀθηναῖοι μὲν οὔπω θέλοντες ἐξυφαιρουμένοις ἐπὶ τῇ ἴσῃ καταλύεσθαι, μάλιστα δὲ οἱ τῶν δεδεμένων συγγενεῖς ἐνῆγον καὶ ἐσπούδαζον, ὡς ἂν εἰρήνη γένηται. » Ἄλλως.) ταῦτα οὐ μόνον διὰ τὸ κεκμηκέναι τῷ πολέμῳ, ἀλλὰ καὶ διὰ τοὺς ἐν Σφακτηρίᾳ τριακοσίους τοὺς δεδεμένους τῷ ξύλῳ τῆς ποδοκάκης τοῦ νῦν καλουμένου κούσπου.

480. ἀλλ' ὁ χαλκεὺς οὐκ ἐᾷ : Ὅτι ἐδέδεντο καὶ περιέκειντο αὐτοῖς πέδαι.

481. οὐδ' οἱ Μεγαρῆς : Ὡς καὶ τούτων βαρέως φερόντων ὅτι ἔκσπονδοι ἐγένοντο, βουλομένων δὲ τὴν εἰρήνην διὰ τὸ μάλιστα πεπιέσθαι τῷ λιμῷ καὶ τῷ πολέμῳ. (τοῦτο δὲ οἱ καλῶς ἐξηγούμενοι τοῦ Τρυγαίου φασίν.)

482. γλισχρότατα : Ὅτι γλίσχρος ἐπὶ δυστυχίᾳ ἐλέγετο. σαρκάζοντες δὲ, ἤτοι ἐξισχνούμενοι καὶ ἠτονηκότες καὶ διὰ τὸν λιμὸν ἕλκοντες μόλις, (ἢ οὕτως, ἕλκοντες κατὰ τὸν τῶν κυνιδίων τρόπον, οἳ τὰ ὀστέα περιτρώγοντες καὶ οὐκ ἔχοντες ἐμφορηθῆναι ὑπ' αὐτῶν τῷ δοκεῖν ἐσθίουσι. φανερὸν δέ ἐστιν ὅτι ἐπίτηδες χαριζόμενος πάλιν τοῖς Ἀθηναίοις διέσυρεν οὕτως τοὺς Μεγαρεῖς, πρῶτον μὲν αὐτοὺς κυσὶ παραβαλών, ἔπειτα τῷ ὑποκοριστικῷ καὶ τῇ σμικρότητι τῶν κυνιδίων εἰς πλείονα καταγαγὼν ταπεινότητα. πάνυ γὰρ καὶ διαπρυσίως ἐμισοῦντο ὑπὸ τῶν Ἀθηναίων δι' ὃν εἰρήκαμεν τρόπον. καλῶς δ' ἂν ἔχοι τοῦτο τηρῆσαι πρὸς τὸ Ἱππωνάκτειον οὕτως ἔχον « σαρκῶν κύων λιμῷ. » οὐ γάρ ἐστι τῶν σαρκῶν, ὥσπερ ἀξιοῦσι τῶν ἐξηγησαμένων τινές. παντάπασι γὰρ ἂν εἴη αὐτὸ ὑπεναντίον ἑαυτῷ. ἔργον γὰρ τοῦ λιμοῦ οὐ σάρκας ἐμποιεῖν, ἀλλὰ τοὐναντίον ἀπισχνοῦν τὰ σώματα καὶ τῶν σαρκῶν παραιρεῖσθαι τὸν ὄγκον.)

σαρκάζοντες : Οἷον ὑποσεσηρότες καὶ διανοίγοντες, ὥσπερ τὰ κυνίδια, ὅταν προσλιπαρῇ τινὰ καὶ ἀφέλκῃ τοῖς ὀδοῦσι. τὸ δὲ « ὑπὸ τοῦ γε λιμοῦ ἐξολωλότες, » ὅτι ὡς λιμώττοντες ἀεὶ Μεγαρεῖς παίζονται. διὰ τοῦτο γὰρ καὶ τοὺς παῖδας ἐπίπρασκον τοὺς ἑαυτῶν. καὶ ἐπεθύμουν μὲν τῆς εἰρήνης, διὰ δὲ τοὺς Ἀθηναίους ἀνεβάλλοντο αὐτὴν, ὥς φησι Θουκυδίδης.

483. (ὑπὸ τοῦ γε λιμοῦ : Λιμώττειν αὐτοὺς λέγει, ἐπειδὴ ὅτε μὲν εἰρήνη ἦν, εἰσήρχοντο εἰς τὴν Ἀττικὴν καὶ ἀπετρέφοντο διὰ τὸ πωλεῖν καὶ συναλλάσσειν· νῦν δὲ πολέμου ὄντος ἐφοβοῦντο εἰσελθεῖν εἰς τὴν Ἀττικὴν καὶ ἀγοράσαι ὧν ἔχρῃζον· ἐξ αὐτῶν γὰρ ἐγένετο ἡ αἰτία τοῦ πολέμου. ἐξ Ἀττικῆς δὲ ὠνοῦντο τὰς τροφὰς διὰ τὸ καὶ πλησιάζειν αὐτῇ, καὶ διὰ τὸ ὀλίγην παντάπασιν ἔχειν χώραν τὴν γεωργουμένην. εἰκὸς οὖν ἦν τοὺς Ἀθηναίους ἐπεξιόντας αὐτοῖς κωλύειν τὴν παρ' αὐτοῖς γῆν γεωργεῖν. ἢ ὅτι εἰς πολιορκίαν κατέστησαν αὐτοὺς οἱ Ἀθηναῖοι τὴν Νισαίαν τειχίσαντες, — ὅπερ πρὸς τῇ θαλάττῃ τῶν Μεγαρέων ἐπίνειον ἦν, ἀπέχον οὐ πολὺ διάστημα ἀπὸ τῆς τῶν Μεγαρέων πόλεως. ἐπάναγκες οὖν αὐτοὺς λιμώττειν. σαρκάζειν δέ ἐστι κυρίως τὸ τὸν κύνα πεινῶντα τὰ λεπτὰ τῶν σαρκῶν τοῦ ὀστέου ἀπογλύφειν. V.)

484. ἅπαντας δεῖ ὁμονοεῖν. V.

485. ὦ εἶα : [Ἡ ἀμοιβαία αὕτη ἀντιστροφὴ τῆς ῥηθείσης ἐστὶ στροφῆς, καὶ εἰσὶ τὰ κῶλα καὶ ταύτης ὅμοια ἐκείνοις· ἔν τισι δὲ καὶ ἑτέρους δέχεται πόδας τοῦ αὐτοῦ μέτρου ὄντος. ἐπὶ τῷ τέλει αἱ ἀμφοτέρωθεν ἕξω διπλαῖ.] δύο διπλαῖ· ἔπεται γὰρ ἡ ἀντίστροφος τῇ προτερᾷ περικοπῇ ἀμοιβαία δ' κώλων, ἔχουσα καὶ τὴν εἰς τὰ πρόσωπα διαίρεσιν ὁμοίαν, οὗ ἡ ἀρχὴ « ὦ εἶα, » τέλος δὲ « ἀλλ' εἶσ' οἱ κωλύουσιν. » V.

492. οὐ δεινὸν καὶ ἄτοπον τοὺς μὲν ἐξ ἡμῶν τῆς εἰρήνης ὀρέγεσθαι διὰ τοῦτο, τοὺς δὲ ἀντιπράττειν. καλῶς δὲ τοῖς ὀνόμασιν ἐχρήσατο, τῷ τείνειν καὶ τῷ ἀντισπᾶν. V. ἀντὶ τοῦ ἐναντιοῦσθαι. R.

493. ἐπειδὴ ἀπ' ἀμφοτέρων τῶν μερῶν μισθὸν ἐλάμβανον καὶ κατετέλουν. R. V.

496. ὡς κακόνοι τίνες εἰσὶν ἐν ὑμῖν : Οἷον ἐχθροὶ καὶ κακὸν νοῦν ἔχοντες πρὸς τὴν εἰρήνην.

497. κιττῶντες : Ἀπὸ μεταφορᾶς τῶν κυουσῶν γυναικῶν. ἤγουν ἐπιθυμοῦντες, καὶ ἐπειδὴ ἀδηφάγον καὶ παμφάγον ὄρνεον ἡ κίττα, περίεργον δὲ καὶ εἰς ἐπιθυμίαν. κιττᾶν οὖν τὸ ἐπιθυμεῖν. ἀπὸ τῶν γυναικῶν τῶν ἐν ἐπιθυμίᾳ γινομένων ἐδεσμάτων τινῶν μετὰ τὸ συλλαβεῖν.

500. [ἄνδρες Μεγαρῆς : Ἕτερον σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς ἰαμβείων η'. καὶ ἐν εἰσθέσει ἕτερον ἀμοιβαῖον στίχων ὁμοίων καταληκτικῶν τετραμέτρων δ'. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος.]

οὐκ ἐς κόρακας : Ἀντὶ τοῦ μετὰ φθορᾶς βαδίσετε. πολλάκις δὲ εἰρήκαμεν ὅτι ἐπὶ κατάρας τίθεται τὸ ἐς κόρακας.

502. τοῖς σκορόδοις : (Ἀντὶ τοῦ ὀριμύτητι, ὅτι πολλὰ σκόροδα παρὰ Μεγαρεῦσι.) αἰτίαν εἶχον οἱ Μεγαρεῖς ὡς ἀρχηγοὶ γενέσθαι τοῦ πολέμου διὰ τὴν ἁρπαγὴν τῶν πορνῶν Ἀσπασίας καὶ τὴν ἐπὶ τούτοις ὀργὴν Περικλέους καὶ τὸ ψήφισμα, ὡς ἐν Ἀχαρνεῦσι [527] φησίν.

504. ἐντεῦθεν : Ἐκ τούτου τοῦ μέρους. λέγει δὲ τοῦ μὴ θέλειν ποιεῖν τὴν εἰρήνην.

505. οὐδὲν γὰρ ἄλλο ὁρᾶτε : Παρὰ προσδοκίαν εἶπεν οὐ πρὸς τὴν εἰρήνην, ἀλλὰ πρὸς τὸ φιλόδικον αὐτῶν. ἀντὶ τοῦ εἰπεῖν, οὐδὲν γὰρ ἄλλο ὁρᾶτε πλὴν φωνεῖτε οὐδὲν ἕλκοντες. Ἄλλως. οὐδὲν πρὸς τὴν εἰρήνην τοῦτο, ἀλλ' εἰς φιλονεικίαν αὐτοὺς διαβάλλει. φησὶν οὖν ἐν οὐδενὶ ἱκανοί ἐστε πλὴν ἐν τῷ δικάζειν. καλῶς δὲ τοὺς Ἀθηναίους ἀπέσκωψεν, ἵνα μὴ τὸ πᾶν διαβάλῃ ποίημα ὡς ἐν πᾶσιν αὐτοῖς χαρίζεσθαι προαιρούμενος καὶ ἀποκρύπτων αὐτῶν τὰς αἰτίας, ὅπερ ἂν ἔδοξε ποιεῖν μηδὲ χαριεντισάμενος καὶ πρὸς αὐτούς.

ὅρα τοίνυν πῶς ἀμφότερα διαπράττεται, καὶ τὸ ἀδιάφορον τῶν σκωμμάτων ἀποκρύπτων τὰ μείζονα· ἐπεὶ εἴγε καὶ αὐτῶν καθάπτεσθαι ἐβούλετο, εἰ καὶ μηδὲν ἕτερον εἶχε κατὰ τῶν Ἀθηναίων εἰπεῖν, ἐγγύθεν γοῦν ἠδύνατο ἀπὸ τῶν Μεγαρέων λαβεῖν, μνημονεύσας τοῦ κατ' αὐτῶν ψηφίσματος, ὅπερ μετ' ὀλίγον ποιήσει. ἀλλ' ἐπειδὰν εἰς ἐκεῖνα γενώμεθα, τὴν ἀρετὴν τοῦ ποιητοῦ δείξομεν, λέγοντες τὴν αἰτίαν, δι' ἣν οὐ νῦν ἐμνημόνευσεν, ἀλλὰ τότε. V.

507. πρὸς τὴν θάλατταν : (Ἴσως διὰ τούτου τῆς πρὸς τοὺς Πέρσας νίκης ὑπομιμνήσκει αὐτούς, ἀναφέρων ὡς ὅτι καὶ ἐπ' ἐκείνων τῶν χρόνων ἐθαλασσοκράτουν Ἀθηναῖοι. Ἄλλως.) καθ' ὃ ἐπιβαίνοντες ἕτεμνον τὴν Λακωνικὴν καὶ τὴν ἄλλην Πελοπόννησον. ἀποχωρεῖτε οὖν, φησί, καὶ ἀποπλέετε εἰς τὰ ἴδια καὶ ὀλίγον τῆς κατὰ θάλατταν βίας ἔνδοτε. ἐθαλασσοκράτουν γὰρ τότε. — Ἄλλως. ἐπειδὴ γὰρ Ἀθηναῖοι πρὸς τῇ θαλάσσῃ εἰσὶν, ἐκώλυον τοῖς μεσογείοις ἔχειν τὰ ἀναγκαῖα. φησὶ δὲ ὅτι, εἰ θέλετε εἰρηνεῦσαι πρὸς τὴν ἑαυτῶν χώραν καὶ τὸν ἴδιον τόπον καὶ τὸν παρὰ θάλατταν, ὑποχωρήσατε καὶ μὴ τῶν ἀλλοτρίων ἀντιποιεῖσθε· τῶν μεσογείων ὅῆλον ὅτι ἤθελον καὶ τῆς γῆς κρατεῖν. V.

509. χωρεῖτε : Τοὺς μὲν ἄλλους πάντας τοῦ ἕλκειν ἀπέστησεν ὁ Ἑρμῆς, τοῖς γεωργοῖς μόνοις ἐπιτρέψας ἕλκειν. διὸ, φησὶ, νῦν προκόπτει τὸ ἔργον.

512. ἄγε νῦν : [Κορωνὶς καὶ εἴσθεσις χοροῦ μονοστροφικὴ κώλων ηʹ. ὧν τὸ μὲν αʹ ἀναπαιστικὴ βάσις. τὸ δεύτερον ὅμοιον δίμετρον. τὰ γʹ, δʹ, ϛʹ ἰαμβικὰ δίμετρα. τὸ εʹ ὅμοιον ἐφθημιμερές. τὸ ζʹ παιωνικὸν τρίμετρον ὑπερκατάληκτον ἐκ παλιμβακχείων καὶ κρητικῶν. τὸ ηʹ δίμετρον ὑπερκατάληκτον ὅμοιον. ὑφ' ὃ κορωνίς.] διπλῆ καὶ εἴσθεσις εἰς περίοδον κώλων ηʹ ἀμοιβαίων τοῦ χοροῦ καὶ τοῦ ὑποχριτοῦ. τὸ πρῶτον ἀναπαιστικὸν διπλοῦν. τὸ βʹ ἰαμβικὸν ἐφθημιμερές. τὸ γʹ καὶ τὸ δʹ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. ζʹ καὶ ηʹ ὁμοίως. καὶ μὴν ὁμοῦστιν ἤδη ἀντὶ τοῦ ἐγγύς. R.

515. ἀντὶ τοῦ ἕλκωμεν. R.

517. ὦ εἶα ὦ εἶα : Ἀνηνέχθη ἡ Εἰρήνη. οὕτω δὲ εἰώθασιν οἱ ἐπιστατοῦντες ἐπέχειν τὴν ὁρμὴν τῶν ἑλκόντων.

520. [ὦ πότνια : Εἴσθεσις διπλῆς ἀμοιβαίας στίχων ναʹ. ὧν οἱ μὲν λγʹ ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. οἱ δὲ ἓξῆς ιηʹ τροχαϊκοὶ τετράμετροι καταληκτικοί. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει ἡ ἕξω διπλῆ.]

(βοτρυόδωρε : Βότρυς δωρουμένη. ὦ εὐφραντοποιέ. ἐπεὶ ἐν εἰρήνῃ φύονται αἱ ἄμπελοι. οἰκεῖον δὲ τοῖς γεωργοῖς καὶ τὰ παρ' αὐτῶν ἐπίθετα, βοτρυόδωρε καὶ μυριάμφορε, οἷον βότρυς δωρούμενον. μυριάμφορον δὲ, τίμιον καὶ πολυπληθῆ, μυρίων ἀμφορέων ἄξιον. ἢ μυρία κεράμια χωρῆσαι δυνάμενον. ἀπὸ δὲ τῶν ληνῶν καὶ πίθων τῇ μεταφορᾷ ἐχρήσατο.)

522. οὐ γὰρ εἶχον οἴκοθεν : Ἄξιον σοῦ ἐπαίνου οὐκ εἶχον οἴκοι. ἐπαύξησις δὲ τῶν παρελθόντων κακῶν, εἴ γε μέχρι καὶ τῶν τοιούτων ἐστέρηται ῥημάτων.

523. χαῖρ' ὀπώρα : Ὡς καὶ τούτων σὺν τῇ Εἰρήνῃ ἀνελθουσῶν. ὑποτίθεται δὲ αὐτὰς ὡς πόρνας.

526. ἀστρατείας : Ἀντὶ τοῦ εἰρήνης, ἐπεὶ ἐν εἰρήνῃ οὐ στρατεύονται. θέλων δὲ εἰπεῖν εὐωδίας ἢ ἄλλου τοιούτου, τοῦτο παρ' ὑπόνοιαν εἶπε.

527. γυλίου : [Ἀγγεῖον στρατιωτικὸν, εἰς ὃ τὰς τροφὰς ἄγονται οἱ στρατιῶται.] πλέγματος στρατιωτικοῦ σκευοφόρου πρὸς τὸ μὴ κατάγνυσθαι. φησὶν οὖν ὅτι οὐ ταυτὸν ὄδωδεν ὁ γύλιος καὶ ἡ θεωρία. καὶ διὰ τούτων δὲ σύγκρισιν ποιεῖται τῶν τῆς εἰρήνης καλῶν καὶ τῆς ἐν τῷ πολέμῳ ταλαιπωρίας. πλέγμα τι στρατιωτικὸν, ἐν ᾧ ἀπετίθεντο τυρὸν καὶ ἐλαίας καὶ κρόμμυα. ἔστι δὲ καὶ ζῷον, οὗ μέμνηται Σώφρων Ἡράκλεις πνῖγος γυλιόν τι. ἔστι δὲ ὁ καλούμενος ὑπό τινων χοιρογρύλλιος.

528. πλέκος : Ἐσχημάτισται ὡς ἀπὸ τοῦ βλέπω βλεπτός καὶ Ἀττικῶς βλέπος, καὶ ὡς ἀπὸ τοῦ ῥέω ῥέος. ἔστι δὲ Εὐριπίδου ἐκ Τηλέφου τὸ « ἀπέπτυσ' ἐχθροῦ φωτὸς ἔχθιστον τέκος. » V.

529. χρομμυοξυρεγμίας : Ἀπεψίας· (ὀριμεῖα γὰρ καὶ ἀηδὴς ἡ τοιαύτη ἐρυγή. ἀπὸ δὲ τῶν χρομμύων καὶ τῆς ὀξύτητος καὶ τῆς ἐρυγῆς συνέθηκε τὴν λέξιν. ταῦτα γὰρ εἰώθασι κομίζειν εἰς τὸν πόλεμον.) — ἐξ ὧν δυσώδης καὶ ὁ γύλιος. ἢ καὶ ὅτι ἐπὶ πολὺ ἐγκαλυπτόμενος ὁ γύλιος ἐκ τῶν διαφόρων ὄψων τε καὶ ζωμῶν ὀζίδος σύμμικτόν τινα ὀσμὴν ὄδωδεν, οὐχ ὡς ἡ Θεωρία. V.

530. Διονυσίων : Ἀντὶ τοῦ πλήθους καὶ πολλῶν Διονυσίων. ἐν γὰρ εἰρήνῃ συνεχῶς ἦν ἡ θέα.

531. αὐλῶν, τραγῳδῶν : Ἐπεὶ καθόλου μὲν ὁ αὐλὸς ἐν εὐωχίαις ἀεὶ καὶ θαλίαις ἐξετάζεται. ἐν δὲ τοῖς ἱσταμένοις χοροῖς, οὓς συνίστασαν οἱ χορηγοὶ διὰ τῶν Διονυσίων, πάντως καὶ αὐλητὰς ἔδει προσιέναι, ὡς Δημοσθένης ἐν τῷ κατὰ Μειδίου [p. 520] μαρτυρεῖ οὕτως λέγων· « εἰ μὴ Τηλεφάνης ὁ αὐλητὴς ἀνδρῶν βέλτιστος περὶ ἐμὲ ἐγένετο. »

(Σοφοκλέους μελῶν : Ὅτι ἡδέα τὰ μέλη Σοφοκλέους. — περιέργως δέ τινες εἰς τὰ ἐν τῷ Ἰνάχῳ περὶ τοῦ ἀρχαίου βίου καὶ τῆς εὐδαιμονίας. « εὐδαίμονες οἱ τότε γέννας ἀφθίτου θείας λαχόντες. » V. θέασαι δὲ πῶς τὸν μὲν Σοφοκλέα καὶ τοῖς ὀνόμασιν ἐπαίρει, τὸν δὲ Εὐριπίδην σμικρύνει, ἐκεῖ μὲν λέγων Σοφοκλέους μελῶν, ἐνταῦθα δὲ ἐπυλλίων Εὐριπίδου.)

κιχλῶν : Αἱ κίχλαι εἶδος στρουθῶν. δοκοῦσι δὲ πρὸς τρυφὴν ἐκ τῶν ἄλλων πτηνῶν περισπούδαστοι εἶναι μᾶλλον. ἀεὶ δὲ τὸν Σοφοκλέα σεμνολογεῖν βούλεται, οὐ φιλῶν αὐτὸν ὅσον Εὐριπίδην μισῶν. τὸ κάλλιστον οὖν τῶν ἐδεσμάτων μετὰ τὴν ἐκείνου μνήμην εὐθὺς ἐπήγαγεν, ἐνδεικνύμενος ὡς πάντων τῶν ἄλλων ἀναγκαιότερα τὰ αὐτοῦ ποιήματα τῇ χρήσει τῶν κιχλῶν παραβαλλόμενα.

534. (δικανικῶν : Τοιαῦτα γάρ· δικανικώτερα τὰ Εὐριπίδου, ἔχοντα πεύσεις καὶ ἀποκρίσεις. ἢ ἐπεὶ τὰ

Εὐριπίδεια ἀντιλογίας πολλὰς ἔχει καὶ δικαζομένους εἰσάγει.)

535. τρυγοίπου : Διυλιστῆρος ἢ πλέγματος, ἔνθα ἐκ τοῦ ληνοῦ εἰώθασιν ἐκπιέζειν. καὶ ἔστιν ἡ εὐθεῖα τρύγοιπος προπαροξυτόνως, οὐχ ὁ τρυγοίπης, ὡς οἴονταί τινες. V.

(προβατίων βληχωμένων : Πάλιν ἐπὶ τὰ τῆς θεωρίας ἐπανέδραμεν ἐγκώμια. δεῖ οὖν ἀπὸ κοινοῦ νοεῖν ὅτι μετὰ τῶν ἄλλων προεῖπε καὶ τοῦ ὄδωδεν.)

536. (κόλπου γυναικὸς : Ἐπεὶ ὅταν πολὺ σταῖς κομίζωσιν, ὀλίγον τι κολπώσασαι τοῦ χιτῶνος ἐκ περιζώματος ἐκεῖ ἐντιθέασιν. Ἄλλως. πολλάκις γὰρ ἐν εἰρήνῃ ὑπὸ κόλπους φέρουσί τι, καὶ πάλιν εἰρήνης οὔσης αἱ γυναῖκες ἀδεῶς εἰς τοὺς ἀγροὺς ἐξέρχονται καὶ ἀνθολογοῦσιν. γράφεται εἰς ἰπνόν· ἰπνὸς δὲ, ὃ ἡμεῖς καμίνιον καλοῦμεν.)

537. δούλης μεθυούσης : Ὑπερβολὴ εὐωχίας ὅτι καὶ οἱ δοῦλοι μεθύουσιν (ἐν εἰρήνῃ).

ἀνατετραμμένου χοός : ἀνακαμφθέντος ἢ κενωθέντος εἰς γῆν, ὡς οἱ ἐν τοῖς πότοις σφαλλόμενοι ὑπὸ μέθης ἐν τῷ ὑπηρετεῖν ἢ παίζειν τὰ τοιαῦτα εἰώθασι ποιεῖν.

538. (ἄλλων πολλῶν : Μετὰ τὸ κατὰ μέρος πάντα εἰπεῖν ἐπήγαγε καὶ τὸ γενικὸν, ἵνα καὶ ἄλλων πολλῶν δόξαν παράσχηται.)

539. ἁπλουστέρως ἐκδεκτέον τοῦτο· ἔστι γὰρ ἐν οὐρανῷ τὰ πράγματα. V.

541. (ὑποπιασμέναι : Σφοδρῶς πληγεῖσαι ὑπὸ τοῦ πολέμου περὶ τὰ ὑπώπια, ἅ ἐστιν ὑπὸ τῶν ὄψεων τὰ ὀγκώματα καὶ κρούσματα, ἅπερ κορδύλας φασίν.) — διὰ τοὺ ἁπαξάπασαι πάλιν τοὺς Ἀθηναίους θεραπεύει, ἵνα μὴ οὗτοι μόνον ἀλλὰ καὶ πάντες ἑπταικέναι δόξωσιν, ἄλλως τε καὶ αὔξησις τοῦ κακοῦ, εἰ μὴ μέρος ἔβλαψε τῶν Ἑλλήνων ὁ πόλεμος, ἀλλ' ἁπλῶς εἰπεῖν ἁπάσας τὰς πόλεις. V.

542. καὶ κυάθοις : Τοῖς κυάθοις προσθλῶσι τὰ ὑπώπια. ἐπεὶ ἐν ὀξυβάφοις χαλκοῖς τὰ ὑπώπια ἀνατρίβοντες ἢ τοιούτοις τισὶν ἀφανῆ ποιοῦσι. — καὶ Ἀπολλοφάνης ἐν Ἰφιγένροντι « κύαθον λάβοιμι τοῖς ὑπωπίοις. » R. V. (Ἄλλως. ὀξύβαφα χαλκᾶ πυρώσαντες καὶ ἐπιθέντες ἐθεράπευον τοὺς ἐκ τῶν πληγῶν μώλωπας.)

(544). ἵνα γνῷς : Ἵνα [διαγνῷς καὶ] διακρίνῃς ἐκ τοῦ ἱλαροὺς εἶναι καὶ κατηφεῖς, ποίαν τις αὐτῶν τέχνην μεταχειρίζεται. οἱ μὲν γὰρ τὰ πολεμικὰ ἀσκοῦντες ἀχθόμενοι τοῖς παροῦσιν, καὶ ὅτι ἀργοὶ ἔσονται, στυγνοί εἰσιν ἢ κατηφεῖς, οἱ δὲ τὰ εἰρηνικὰ ἱλαροί.

546. τίλλονθ' ἑαυτὸν : Τίλλειν ἑαυτὸν λέγεται τὸ τῶν ἑαυτοῦ τριχῶν ἐπιλαμβάνεσθαι καὶ σπαράττειν τὰς κόμας. προσφορώτατα οὖν τὸν λοφοποιὸν τῇ κεφαλῇ καὶ ταῖς θριξὶν αὐτοῦ ἐποίησε λωβώμενον, ἐπεὶ καὶ ὁ λόφος τῆς κεφαλῆς ἐστὶ σκεπαστήριον.

549. ἐσκιμάλισε : Τῷ μέσῳ δακτύλῳ συναρμόσας τὸν μέγαν καὶ πλήξας ἐφυβρίζει. (Ἄλλως. ἀντὶ τοῦ κατεδακτύλισε· σκιμαλίσαι γάρ ἐστι κυρίως τὸ τὸν δάκτυλον εἰς τὸν πρωκτὸν τοῦ ὀρνέου βαλεῖν. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ὅταν βουλόμενοι ἐφυβρίσαι τινὰ τὸν μέσον δάκτυλον ἐντείνοντες καὶ τοὺς λοιποὺς συνάγοντες δείξωσιν αὐτῷ.)

553. (ὡς τάχιστ' ἄνευ δορατίου : Παρὰ τὰ τοῦ πολέμου κακά. πρώην γὰρ οὐδεὶς δίχα σιδήρου ἐξῄει εἰς τὸν ἀγρὸν ὑφορώμενος τοὺς πολεμίους· νῦν δὲ εἰρήνης οὔσης παρακελεύεται μὴ βαστάσαι σίδηρον.)

554. σαπρᾶς : Παλαιᾶς καὶ ἀρχαίας. (κυρίως μὲν σαπρὸν οἱ παλαιοὶ ἔλεγον τὸ σεσηπὸς διὰ τὸν χρόνον. χρῶνται δὲ αὐτῷ καὶ ἀντὶ τοῦ ἀρχαίου καὶ παλαιοῦ.)

555. παιωνίσας : Εὐξάμενος καὶ τοῖς θεοῖς χάριν ὁμολογήσας. παιὼν γάρ ἐστιν ὕμνος εὐχαριστήριος.

556. (ὦ ποθεινὴ : Οἱ γεωργοὶ ταῦτά φασι πεισθέντες τῷ κηρύγματι.)

558. ἃς ἐγὼ 'φύτευον νεώτερος : Περισπούδαστα γὰρ πᾶς ἡγεῖται ἅπερ ἂν αὐτὸς ἐργάσηται. διὰ τούτου δὲ τὸν πολὺν τοῦ πολέμου χρόνον δηλοῖ, ὅτι νεώτερος ὢν ἐφύτευσε τὰς συκᾶς, ἃς οὐκ εἶδε γηράσας. καὶ οὐκ ἀρκεσθεὶς τούτῳ ἐπήγαγε πολλοστῷ χρόνῳ.

561. τὰς γοργόνας : (Πᾶν σκεῦος ἁρμόζον ἐν πολέμῳ.) — ταῦτα πάλιν εἰς τὸν Λάμαχον αἰνίττεται. R. V.

562. εἶθ' ὅπως λιταργιοῦμεν : (Εἶτα μετὰ τὸ εὔξασθαι τῇ θεῷ.) ἀντὶ τοῦ συντόνως δραμούμεθα. (παρὰ τὸ λίαν ἀργόν.)

563. ἀγοράσαντες χρήσιμόν τι. R.

564. ὦ Πόσειδον : Ὁ Ἑρμῆς ὁρῶν τοὺς ἀγροίκους εἰς ἀγρὸν ἐξιόντας φησὶ τὸ ὦ Πόσειδον.

565. (καὶ γοργὸν : Ἐπεὶ διὰ χρόνου ἐξιόντες ἔσπευδον.)

μᾶζα καὶ πανδαισία : Πανδαισία ἡ δαψιλὴς καὶ παντοία εὐωχία. μᾶζα δέ ἐστιν ὁ στρυφνὸς ἄρτος. Ἄλλως. ὅταν γὰρ εἰς κοινὸν ἑστιῶνται, ἑκάστου φέροντος ἑαυτῷ δεῖπνον, πυκνὰ (πάντα) φαίνεται, πῇ μὲν τὰ προσφάγια φερόντων, πῇ δὲ αὐτῶν ἑστιωμένων. Ἄλλως. φασὶ γὰρ πᾶν δεῖπνον, ἐν ᾧ ἕκαστος αὐτῷ κομίζων εἰς κοινὸν κατατίθεται καὶ πάντες πάντων μετέχουσι. (τὸ δὲ στῖφος αὐτῶν εἰκάζει ἀλφίτοις καὶ μάζῃ διὰ τὸ πυκνόν. καὶ ἐπειδὴ πυκνοῦνται, ὅπου μὲν τὰ ἄλφιτα, ὅπου δὲ οἱ ἑστιώμενοι. πανδαισίαν δὲ τὴν ποικίλην καὶ ἐκ διαφόρων ὄψων εὐωχίαν, ὅταν ἕκαστος τὰ ἑαυτοῦ ὄψα ἀνενέγκῃ καὶ καθῆται εἰς τὸ κοινὸν, ἢ ὅταν πολλῶν προκειμένων ἐδεσμάτων λάβῃ τις ὃ θέλει. οἱ δὲ πανδαισίαν λάχανόν τι, ἔχον παντοῖον ἔδεσμα. τὸ δὲ ὅλον, πυκνὸν οὖν ὥσπερ μᾶζα καὶ πανδαισία.)

566. ἡ γὰρ σφῦρα : Νοῆσαι δεῖ τὸν χορὸν σφύρας ἔχοντα, αἷς βωλοκοποῦσι, καὶ θρίνακας καὶ σκεύη ἄλλα γεωργικὰ, δι' ὧν τὰς βώλους τῆς γῆς ἔμελλον θραύσειν.

567. θρίνακες : Τὰ πτύα, (ἐργαλεῖον ᾧ ἀποχωρίζουσι τῶν σπερμάτων τὰ ἄχυρα.) [παρέοικε δὲ ἐν ταῖς ἅλωσι πρὸς τὸν ἄνεμον. ἐπαίρουσι δὲ τὰ ἄχυρα ὑπὲρ τοῦ ἀποπτῆναι καὶ καθαρισθῆναι τὸν πυρὸν ἢ τὰς κριθὰς ἢ ἄλλο τι τῶν τοιούτων γεννημάτων.]

568. μετόρχιον : Τὸ μεταξὺ τῶν ὄρχων. ὄρχοι δὲ καλοῦνται τὰ μέσα τῶν ἐλαιῶν καὶ τῶν ἀμπέλων. Ἄλ-

λως. μετόρχιόν ἐστι τὸ μεταξὺ τῶν συμφύτων πεδίον, ἐν ᾧ ἢ σῖτος ἢ ἄλλο τι ἔσπαρται. παίζων οὖν εἶπεν ὅτι ἠδύνατό τις διασχίσας αὐτοὺς ποιῆσαι μετόρχιον, ἐπειδὴ πολλοί εἰσι μεταξὺ, ἵνα αὐτοὶ ἀντὶ τῶν φυτῶν γένωνται. Ἄλλως. τινὲς τὸ ὄρχιον τὸ μεταξὺ τῶν φυτῶν. Ἄλλως. μετόρχιον τὸ μεταξὺ τῶν χωρίων, ὅπερ λέγεται ὄρχος. καλῶς ἄν τις, φησὶ, μεταστήσειε τὰ φυτὰ ἀπὸ τῶν ἀρουρῶν τῶν σπειρομένων.

570. διὰ χρόνου γήδιον : Ὑποκοριστικῶς ἀντὶ τοῦ τὴν γῆν. τριαινοῦν δὲ ἠρέμα σκάπτειν καὶ ἐπισύρειν τὰς βώλους ὑπὲρ τοῦ κατακρύπτειν τὰ σπέρματα.

571. (ἀλλ' ἀναμνησθέντες : Διπλῆ καὶ μέλος ἀμοιβαῖον. τὸ μὲν, τοῦ ὑποκριτοῦ, δεκακώλῳ τροχαϊκῷ. οὗ ἐν εἰσθέσει ἐννέα ἀκατάληκτα, δίμετρα τὰ ὀκτὼ, μονόμετρον δὲ τὸ παρατέλευτον. καὶ ἐν ἐκθέσει στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοί.) [Ἄλλως. ἡ ἔκθεσις αὕτη τῆς διπλῆς κώλων ἐστὶν ὁμοίων τροχαϊκῶν ια'. ὧν τὸ η' μονόμετρον, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα. τὸ τελευταῖον ἐφθημιμερές. ὑφ' ὃ αἱ ἀμφοτέρωθεν ἔξω διπλαῖ.]

574. παλασίων : Τῶν πεπατημένων ἰσχάδων. τινὲς δὲ τῶν παλάθων· παλάθη δὲ εἶδος βοτάνης.

576. ἀντὶ τοῦ νέου οἴνου. R.

577. τῆς ἰωνιᾶς : Ἰωνιὰ λέγεται ἡ φυτεία τῶν ἴων, ὡς καὶ ἡ τῶν ῥόδων ῥοδωνιὰ, ὅπου τὰ ῥόδα φύεται. Ἄλλως. ἄνθος ἐστὶ τὸ ἴον, διάφορον μορφὴν ἔχον· ἃ μὲν γὰρ αὐτῶν ἐστι πορφυρᾶ, ἃ δὲ λευκὰ, ἃ δὲ μέλανα. καὶ ἐν τούτῳ τῶν ἴων τὸ θαυμαστόν ἐστιν, ὅτι τῇ ποικιλίᾳ τῆς ὄψεως αὐτὰ καθ' ἑαυτὰ δύναται λειμῶνα πληροῦν.

578. τῶν τ' ἐλαῶν : Παρατηρητέον ὅτι τῶν ἄλλων καρπῶν καὶ φυτῶν ἁπλῶς μνημονεύσας, ἐπὶ τῶν ἐλαῶν ἐπήγαγε τὸ ὧν ποθοῦμεν. καὶ ἴσως ἡ ἐπεὶ δῶρον τῆς Ἀθηνᾶς, ἢ ὅτι εὔφορός ἐστιν ἡ Ἀττικὴ ἐξαιρέτως εἰς τὸν τῆς ἐλαίας καρπόν.

582. χαῖρε, χαῖρ' ὦ φίλτατε : [Κορωνὶς καὶ εἴσθεσις χοροῦ μονοστροφικὴ κώλων κα'. ὧν τὰ α', ζ', ιε' τροχαϊκὰ ἐφθημιμερῆ. τὰ β', ς', ιδ' δίμετρα ἀκατάληκτα. τὰ γ', η' ὅμοια, Ἰωνικὰ μέντοι ἀπὸ μείζονος. τὰ δ', θ', ιη' δακτυλικὰ πενθημιμερῆ. τὰ ε', ια', ιθ', ις', ιζ' παιωνικὰ δίμετρα ἀκατάληκτα. τὸ ι' ὅμοιον, ἰαμβικὸν μέντοι. τὸ ιγ' παιωνικὸν ἐφθημιμερές. τὸ ιθ' ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. ὁ κ', κα'. ἐν ἐκθέσει στίχοι εἰσὶ τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ ὅμοιοι τοῖς ἐν τῇ εἰσθέσει τῆς διπλῆς ἀμοιβαίας μή'. ἐπὶ τῷ τέλει τῶν μὲν τοῦ χοροῦ κορωνὶς, τῆς δὲ διπλῆς ἡ ἔξω διπλῆ. ἐπὶ μέντοι ταῖς ἀποθέσεσιν ἡ συνήθης παράγραφος.] διπλῆ καὶ τοῦ χοροῦ κῶλα γ' τροχαϊκά. ἔστι δὲ τὸ ὅλον τροχαϊκὸν ἑξάμετρον. τινὲς γράφουσιν ἐδάμημεν καὶ φασὶ τὰ μὲν β' τροχαϊκὰ ἀκατάληκτα, τὸ δὲ γ' τροχαϊκὸν καταληκτικόν. εἶτ' ἐν ἐκθέσει παιωνικὸς τετράμετρος καταληκτικὸς καὶ ἐν ἐκθέσει τετράμετρος καταληκτικὸς τροχαϊκός. εἶτα ἐν ἐκθέσει δ' κῶλα, ὧν τὰ γ' παιωνικὰ δίρρυθμα, τὸ δὲ παρατέλευτον ἰαμβικὸν δίμετρον.

φιλτάθ' : Τὸ τέλειον φιλτάτη, σκληρῶς τοῦ η συναλειφθέντος. R. V.

583. ὅτι ἀπὸ πλήθους εἰς ἑνικὸν ἦλθεν. V.

584. δαιμονίως, σφοδρῶς. R.V.

585. (ἀνερπύσαι : Ἀπελθεῖν. ἰδίως δὲ ἕρπειν τὸ τῇ γαστρὶ εἰλεῖσθαι, ὅθεν καὶ ἑρπετόν.)

586. ἦσθα γὰρ τὸ μέγιστον : Ἐπεὶ ἡ εἰρήνη πλείω πάντων τοῖς γεωργοῖς συμφέρει.

593. κἀδάπανα καὶ φίλα : Ἐκ τῶν ἀγρῶν γὰρ οὗτοι πάντα εἶχον αὐτόματα. ἐν δὲ τῷ πολέμῳ ὠνοῦντο καὶ ἐδαπάνων. (τινὲς δὲ γράφουσι μετὰ τοῦ ι, ἵνα τὸ νοούμενον ᾖ, δαπάνῃ τε τρυφῶμεν. βέλτιον δὲ χωρὶς τοῦ ι ἀναγινώσκειν, ἵν' ᾖ λέγων μηδὲν ἀναλίσκοντες, διὰ τὸ ἔχειν πάντα ἐκ τῶν ἀγρῶν, ἢ ὅτι ἐν τῇ εἰρήνῃ πολλὰ πάνυ καὶ τιμῆς ἐλαχίστης εὑρίσκεται.)

595. χίδρα : Χίδρον τὸ ἀπὸ ἑλύμου γινόμενον ὄσπριον, ἕδεσμα περὶ Καρίαν, ἤτοι τὸ ἀπὸ χλωρῶν κριθῶν, οἱ δὲ εἶδος βοτάνης. ἐκ δὲ τούτου δηλοῖ τὴν εὐετηρίαν. (Ἄλλως. ἐρεικτὰ ἐκ κριθῆς νέας γινόμενα.) — Ἄλλως. νῦν ἁπλῶς εὐκαρπία. οὕτω καὶ καλοῦσι τὸ ἐκ πυρῶν ἀληλεσμένων βρῶμα καὶ τὰ ἐκ νεαρῶν κριθῶν ἄλευρα. V.

603. ταμὰ δὴ ξυνίετε : Πρὸς ταῦτα καὶ Κρατῖνος ἐν Πυτίνῃ πεποίηκεν (« ὦ λιπερνῆτες πολῖται, ταμὰ δὴ ξυνίετε. » ἔστι δὲ πρὸς τὰ Ἀρχιλόχου « ὦ λιπερνῆτες πολῖται, ταμὰ δὴ ξυνίετε ῥήματα. » ὁ Ἑρμῆς δέ ἐστιν ὁ λέγων πρὸς τὸ ἐρωτηθὲν ὑπὸ τοῦ χοροῦ, δι' ἣν αἰτίαν τοσοῦτον ἀπέστη αὐτῶν ἡ θεὸς χρόνον. καὶ φησὶ πρῶτον αἴτιον γεγονέναι Φειδίαν.)

605. Φειδίας : Φιλόχορος ἐπὶ Θεοδώρου ἄρχοντος ταῦτά φησι. καὶ τὸ ἄγαλμα τὸ χρυσοῦν τῆς Ἀθηνᾶς ἐστάθη εἰς τὸν νεὼν τὸν μέγαν, ἔχον χρυσίου σταθμὸν ταλάντων μδ', Περικλέους ἐπιστατοῦντος, Φειδίου δὲ ποιήσαντος. καὶ Φειδίας ὁ ποιήσας, δόξας παραλογίζεσθαι τὸν ἐλέφαντα τὸν εἰς τὰς φολίδας, ἐκρίθη. καὶ φυγὼν εἰς Ἦλιν ἐργολαβῆσαι τὸ ἄγαλμα τοῦ Διὸς τοῦ ἐν Ὀλυμπίᾳ λέγεται, τοῦτο δὲ ἐξεργασάμενος ἀποθανεῖν ὑπὸ Ἠλείων ἐπὶ Πυθοδώρου, ὅς ἐστιν ἀπὸ τούτου ἕβδομος, περὶ Μεγαρέων εἰπὼν, ὅτι καὶ αὐτοὶ κατεδόων Ἀθηναίων παρὰ Λακεδαιμονίοις, ἀδίκως λέγοντες εἴργεσθαι ἀγορᾶς καὶ λιμένων τῶν παρ' Ἀθηναίοις. οἱ γὰρ Ἀθηναῖοι ταῦτα ἐψηφίσαντο Περικλέους εἰπόντος, τὴν γῆν αὐτοὺς αἰτιώμενοι τὴν ἱερὰν τοῖς θεοῖς ἀπεργάζεσθαι. λέγουσι δέ τινες ὡς Φειδίου τοῦ ἀγαλματοποιοῦ δόξαντος παραλογίζεσθαι τὴν πόλιν καὶ φυγαδευθέντος, ὁ Περικλῆς φοβηθεὶς διὰ τὸ ἐπιστατῆσαι τῇ κατασκευῇ τοῦ ἀγάλματος καὶ συνεγνωκέναι τῇ κλοπῇ, ἔγραψε τὸ κατὰ Μεγαρέων πινάκιον καὶ τὸν πόλεμον ἐπήνεγκεν, (ἵνα ἀπησχολημένοις Ἀθηναίοις εἰς τὸν πόλεμον μὴ δῷ τὰς εὐθύνας, ἐγκαλέσας Μεγαρεῦσιν ὡς τὴν ἱερὰν ὀργάδα ταῖν θεαῖν ἐργασαμένοις. ἄλογος δὲ φαίνεται ἡ κατὰ Περικλέους ὑπόνοια, ἑπτὰ ἔτεσι πρότερον τῆς τοῦ πολέμου ἀρχῆς τῶν περὶ Φειδίαν γενομένων. ὁ Φειδίας, ὡς Φιλόχορος φησὶν, ἐπὶ Θεοδώρου ἄρχον-

τος τὸ ἄγαλμα τῆς Ἀθηνᾶς κατασκευάσας ὑφείλετο τὸ χρυσίον ἐκ τῶν δρακόντων τῆς χρυσελεφαντίνης Ἀθηνᾶς, ἐφ' ᾧ καταγνωσθεὶς ἐζημιώθη φυγῇ· γενόμενος δὲ εἰς Ἦλιν, καὶ ἐργολαβήσας παρὰ τῶν Ἠλείων τὸ ἄγαλμα τοῦ Διὸς τοῦ Ὀλυμπίου, καὶ καταγνωσθεὶς ὑπ' αὐτῶν ὡς νοσφισάμενος ἀνῃρέθη.)

606. (εἶτα Περικλέης φοβηθεὶς : Εἶτα ὁ Περικλῆς δεδιὼς μὴ τῆς τύχης κοινωνήσῃ αὐτῷ, τουτέστιν εὐλαβούμενος μὴ καὶ αὐτὸς ζημιωθῇ φυγῇ. ἐδόκει γὰρ ὁ Περικλῆς συνεγνωκέναι τῇ κλοπῇ, ἐπεὶ καὶ ἐργεπιστατεῖν ὑπὸ τῶν Ἀθηναίων κεχειροτόνηται. φοβηθεὶς οὖν αὐτοῦ διελεγχθῆναι τὰς κλοπὰς, ἐκίνησε τὸν Πελοποννησιακὸν πόλεμον, ἐλπίσας ταραχῆς γενομένης καὶ περὶ τὸν πόλεμον ἀπασχοληθέντων τῶν Ἀθηναίων εὐθύνας μὴ παρασχεῖν.) — τοῦ Φειδίου. R.

607. τὸν αὐτοδᾰ̀ξ : Τὸν ἐμπεσόντα καὶ δάκνοντα, αὐθάδη, ὀργίλον. ἐπεὶ οἱ ὀργίλοι δάκνουσι τοῖς ὀδοῦσι. (οὐδὲν ἢ δάκνειν βλέποντα.)

609. ἐμβαλὼν σπινθῆρα : Ἐπεὶ ψήφισμα περὶ τῶν Μεγαρέων ὁ Περικλῆς ἔγραψε, μήτε γῆς μήτε λιμένων αὐτοὺς ἐπιβαίνειν Ἀττικῶν, εἰ δὲ μὴ, τὸν ληφθέντα ἀγώγιμον εἶναι. (ἐφ' ᾧ κινηθεῖσα πᾶσα ἡ Ἑλλὰς τὸν πόλεμον ἐποίησε. τινὲς δέ φασιν ὅτι ἔπλεξεν αὐτοῖς, καὶ κατηγόρησεν αὐτῶν ὡς ἁρπασάντων γυναῖκας Ἀθηναίων ἐν ἑορτῇ, συμβουλεύσας πολεμεῖσθαι.)

610. ἐξεφύσησε γὰρ : Ἐξεκίνησεν, ἐτάραξεν. ἐξῆς δὲ ἀπὸ τοῦ σπινθῆρος τὸ φυσῆσαι ἔλαβε. καπνῷ δὲ τροπικῶς εἰπὼν, ἐπέμεινε διόλου τῇ τροπῇ.

612. (ὡς δ' ἅπαξ τὸ πρῶτον : Οἰκείως πρὸς τοὺς γεωργοὺς λέγων τοιαύταις τροπαῖς ἐχρήσατο· συμβαίνει γὰρ ἐν τῇ συνθέσει τῶν πίθων ἕνα διαρραγῆναι, καὶ τούτου τὰ ὄστρακα πλησιάζοντα διαρρῆξαι ἕτερον, καὶ τοῦτον πάλιν τὸν ἐγγὺς, ὥστε πολλὴν γενέσθαι τὴν βλάβην. τὸ δὲ λεγόμενον τοιοῦτόν ἐστιν, ὡς ἅπαξ ἐκινήθη καὶ συνεταράχθη τὰ πράγματα τοῦ πολέμου γενομένου, οὐκέτι ἦν οὐδὲ εἷς ὃς ἠδύνατο αὐτὰ παῦσαι, καὶ οὕτως ἡ εἰρήνη παραπώλετο.)

613. (καὶ πίθος πληγεὶς : Τοῦτο λόγον οὐκ ἔχει, ἀλλ' ἐξ αὐτοῦ δηλοῖ τοὺς πίθους ὑπὸ τῶν πολεμίων κατάγνυσθαι.)

616. (προσήκοι : Συγγενὴς εἴη. τὸ γὰρ προσήκοι λέγεται ἐπὶ τῶν συγγενῶν. διὰ τοῦτο ἐπήνεγκεν, οὖσα συγγενὴς ἐκείνου. συγγενῆ δὲ αὐτόν φησιν, ἐπεὶ ἅμα τῷ φυγεῖν αὐτὸν ἡ εἰρήνη ἀνεχώρησεν.)

618. (οὖσα συγγενὴς : Ἐπεὶ προεῖπεν, « οὐδ' ὅπως αὐτῇ προσήκοι Φειδίας ἠκηκόειν, » πρὸς τὸ προσήκοι τὸ συγγενὲς ἐπήγαγε· προσήκοντες γὰρ λέγονται οἱ συγγενεῖς. τὸ δὲ ἠκηκόειν, οὕτω διὰ τοῦ η Φρύνιχος ἀναγινώσκει, συγγενῆ δὲ εἶπε τὸν Φειδίαν τῆς εἰρήνης, καθὸ τεχνίτης ὁ Φειδίας, εὔμορφος δὲ εἰσάγεται ἡ Εἰρήνη οὖσα. ὡς πρὸς τὸν Φειδίαν οὖν ἡ καλὰ ξόανα ποιοῦσα.)

619. (κᾆτ' ἐπειδὴ ᾽γνωσαν : Ὅρα τοῦ ποιητοῦ τὴν οἰκονομίαν, καὶ ἐκπλαγήσῃ αὐτόν. πάντα γὰρ τρόπον ἦλθεν ἐν ἀρχῇ τοῦ ποιήματος μὴ προσκροῦσαι τοῖς Ἀθηναίοις, φάσκων ἑτέρους εἶναι τοῦ πολέμου αἰτίους, Βοιωτούς τε καὶ Μεγαρεῖς, οἳ, φησὶ, πρῶτοι τὴν εἰρήνην ἐσκορόδισαν. νῦν δὲ πάλιν τοὺς Ἀθηναίους ἀποφαίνεται αἰτιωτάτους τοῦ πολέμου, δι' ὧν τὸν Περικλέα φησὶ γράψαι τὸ κατὰ Μεγαρέων ψήφισμα, καὶ ἀδικουμένους τοὺς συμμάχους εἰς ἀπόστασιν κεχωρηκέναι. τί οὖν ἡ τοῦ ποιητοῦ τέχνη; ὅτε μὲν δέος ἦν τῆς εἰρήνης αὐτοὺς ἐπιτυχεῖν, ἐπὶ τοὺς ἄλλους ἀνήνεγκε τὴν αἰτίαν· ὅτε δὲ αὐτοῖς λοιπὸν κατὰ γνώμην προκεχώρηκε τὰ πράγματα, φήμη δὲ τὸ τῆς εἰρήνης τυχεῖν, ἤδη καὶ πρὸς αὐτοὺς παρρησιάζεται, οὐκ ὀνειδίσαι βουλόμενος αὐτοῖς, ἤδη γὰρ ἔγνωσαν ὄντως εἶναι αἴτιοι, ἀλλ' ἀποστῆσαι προαιρούμενος αὐτοὺς τῶν τοιούτων ἐθῶν, ὡς ἂν μὴ τοῖς αὐτοῖς ἐμμένοντες δύσνους ἔχωσι τοὺς ὑπηκόους.)

620. (σεσηρότας : Ἀπὸ τῶν κυνῶν ἡ μεταφορά· ὅταν γὰρ ὀργίζωνται, σεσήρασιν ἀλλήλοις.)

621. (τοὺς φόρους : Ἐδόκουν γὰρ οἱ Ἀθηναῖοι ἐν καιρῷ τοῦ πολέμου ἀπηνεῖς εἶναι πρὸς τοὺς φόρους οὓς ἐτέλουν οἱ ὑπήκοοι.)

622. (αἰσχροκερδεῖς : Ὅτι αἰσχροκερδεῖς καὶ σμικρολόγοι οἱ Λάκωνες, πρόδηλον καὶ ἐκ τοῦ χρησμοῦ, « ἁ φιλοχρηματία Σπάρταν ὀλεῖ, ἄλλο δὲ οὐδέν. » ἦσαν δὲ καὶ περὶ τοὺς ξένους ἀπάνθρωποι, καὶ οὐκ ἐξῆν ξένῳ τινὶ ἀεὶ τῆς Σπάρτης ἐπιβαίνειν, ἀλλ' ὡρισμέναις ἡμέραις.

διειρωνόξενοι : Ἐξαπατῶντες τοὺς ξένους, καὶ ψευδόμενοι δι' εἰρωνείας καὶ ὑποκρίσεως. καὶ οὐδὲν θαυμαστὸν ἐνταῦθα ἐποίουν, παρ' οἷς καὶ ὁ τῆς ξενηλασίας κεῖται νόμος.)

627. (τὰς κράδας κατήσθιον : Καὶ αὐτοὶ ἀντέκοπτον τὰς συκᾶς, ὥσπερ ἐκεῖνοι τὰς ἀμπέλους ἡμῶν. Ἄλλως. κράδη εἶδος συκῆς. ἔστι δὲ καὶ μηχανή. κατήσθιον δὲ ἀντὶ τοῦ κατέκοπτον.)

628. τὴν κορώνεων : Κορώνεως ὡς φιβάλεως. ἔστι δὲ εἶδος συκῆς. καὶ ἐν Ἀχαρνεῦσι [802]. ταύτην δὲ καὶ κοράκειον λέγουσιν· ὁ γὰρ καρπὸς αὐτῆς κόρακι ἔοικε κατὰ τὸ χρῶμα.

629. (ἐξεθρεψάμην : Ὡς ἐπὶ παιδίου εἶπεν ἡ ἀνθρώπου τὸ ἐξεθρεψάμην, ἐφ' ᾧτε ἱκανὴν διάθεσιν καὶ στοργὴν ἐμποιῆσαι. ἢ ἵνα φαίνηται ἀγανακτῶν ἐν λόγοις.)

631. (ἐξεμέδιμνον κυψέλην : Ἐξ μεδίμνους χωροῦσαν κυψέλην. ἔστι δὲ εἶδος ἀγγείου ἢ μέτρου δεκτικὸν πυρῶν ἢ κριθῶν. οὕτως δὲ εἴρηται διὰ τὸ κεκρύφθαι αὐτοῦ τὴν ἕλην· ἔστι γὰρ σκοτεινόν. διαφέρει δὲ πρὸς τὴν κυψελίδα, ἥτις ἐστὶν ὁ ἐν τοῖς ὠσὶ ῥύπος. οὐ μόνον δὲ πλεκταὶ ἦσαν αἱ κυψέλαι, ἀλλὰ καὶ κεραμέαι. διὸ λίθῳ φησὶν αὐτὴν κλασθῆναι.)

632. οὐργάτης λεὼς : Διὰ γὰρ τὰς συνεχεῖς τῶν πολέμων εἰσβολὰς ἐσκευαγωγήσαντο εἰς τὴν πόλιν οἱ ἀπὸ τῶν ἀγρῶν.

633. πωλούμενος οὐκ ἐλάνθανεν : Ἐὰν μὲν ᾖ οὐκ

ἐλάνθανε, σεμνολογεῖ λεληθότως αὐτοὺς ὡς μᾶλλον συνιέναι δυναμένους τὰς κατὰ τῆς πόλεως βλάβας τῶν ἐν τῇ πόλει τραφέντων, καὶ ταῦτα ἀγροίκους ὄντας. ἐὰν δὲ οὐκ ἐμάνθανε, φησὶν ὅτι οὐδὲ ὁ ἄγροικος λεὼς μετοικισθεὶς εἰς τὰς πόλεις συνίει τῆς τῶν προδιδόντων πονηρίας, ἀλλ' ἠγνόησεν ὑπὸ τῶν πολιτευομένων πωλούμενος. καθάπερ οἱ συνήθως ἀπ' αὐτῶν ἀπατώμενοι.

634. ἄνευ γιγάρτων : [Τῆς σταφυλῆς. διὰ τὸ ἀποστερεῖσθαι τῆς συνήθους διαίτης, καὶ ἀνακεχωρηκέναι ἐκ τῶν ἀγρῶν, καὶ ἐπιθυμεῖν αὐτῶν.] ἐξ ἀμφοτέρων δηλοῦται ἀπεστερημένος τῶν ἀγρῶν καὶ ἐπιθυμῶν αὐτῶν. οἱ γὰρ ἀγροῖκοι κόπτοντες τὰ γίγαρτα μετὰ τῶν ἰσχάδων ἐσθίουσιν.

636. ἀσθενοῦντας : Ἀντὶ τοῦ ἐν ἐνδείᾳ ὄντας. τὴν γὰρ τύχην ἰδίως νόσον καλοῦσι.

κἀποροῦντας ἀλφίτων : Φαίνονται ὅτι συνελθόντες εἰς τὸ ἄστυ ἐπένοντο μὴ γεωργοῦντες.

637. δικροῖς : (Δικράνοις. [Callimach. fr. 246 :] « δίκρανον ἤρυγε φιτρὸς ἐπαιρόμενον. » ἔδει δὲ εἰπεῖν) ξύλοις, ὁ δὲ εἶπε κεκράγμασιν, ἐπειδὴ οἱ ῥήτορες δημηγοροῦντες τῇ κραυγῇ ἔπειθον μὴ ποιῆσαι εἰρήνην. (Ἄλλως. ξύλοις ἀπώθουν τὴν Εἰρήνην καὶ ἐξέβαλον. κατασκευάζεται δὲ τὰ τοιαῦτα ξύλα, ἃ καλεῖται δίκρανα, ἐπὶ τοῦ ἀγροῦ, δύο χηλὰς ἔχοντα παρεοικότα τοῖς ξυλευομένοις. τοιούτοις οὖν, φησί, δικροῖς τὴν Εἰρήνην ὤθουν.)

638. πολλάκις φανεῖσαν : Μετὰ γὰρ τὰ ἐν Πύλῳ ἐπρέσβευσαν περὶ διαλλαγῶν οἱ Λακεδαιμόνιοι· οἱ δὲ Ἀθηναῖοι οὐ προσεῖχον.

640. τὰ Βρασίδου : Ἀντὶ τοῦ τὰ Λακεδαιμονίων. ἅμα δὲ ὅτι ἐπὶ αὐτοῦ πολλοὶ τῶν ὑπηκόων προσεχώρουν.

642. (ὠχριῶσα : Οὐ παρὰ τὸ φοβουμένη ὠχριῶσα, ἀλλ' ἴσον τῷ ἀσθενοῦσα, ἀπὸ μεταφορᾶς τῶν νοσούντων. οὕτω γὰρ εἶπε φοβουμένη· τὸ γὰρ ἑξῆς τοῦτο δηλοῖ.)

643. ἄτ' ἂν διαβάλοι : Ἀντὶ τοῦ εἰπεῖν παραβάλοι, ὡς ἐπὶ τροφῆς, διαβάλοι εἶπε διὰ τοὺς διαβάλλοντας.

644. οἱ δὲ τὰς πληγὰς : Τὸ ἑξῆς, οἱ δὲ ξένοι ὁρῶντες τὰς πληγὰς ἃς ἐτύπτοντό τινες τῶν δημοτῶν (παρὰ τῶν δημαγωγῶν), χρυσίον προσέφερον τοῖς ταῦτα ποιοῦσι. λέγει δὲ τοῖς ῥήτορσιν.

645. ἐβύουν : Ἀντὶ τοῦ ἐπλήρουν, ἔφραττον.

648. ὁ βυρσοπώλης : (Ἐπεὶ μάλιστα ὁ Κλέων ἐνίστατο τῇ εἰρήνῃ. σεσημείωται δὲ ὅτι νεκροὺς κωμῳδεῖ. διὸ, ἐπειδὴ ἐμνήσθη αὐτοῦ ὁ Ἑρμῆς, παῦε παῦε φησὶν ὁ Τρυγαῖος.) ἀποθανὼν γὰρ ἦν, καὶ οὐκ ἦν ἐξὸν τεθνηκότας κωμῳδεῖν.

650. σὸς : Ὅτι χθόνιος ὁ Ἑρμῆς καὶ καταιβάτης παρὰ Ῥοδίοις καὶ Ἀθηναίοις.

651. (ἄτ' ἂν οὖν λέγῃς : Διπλῆ καὶ εἴσθεσις εἰς μέλος τροχαϊκὸν, οὗ πέντε μέν ἐστι κῶλα δίμετρα ἀκατάληκτα, τὸ δὲ ς' ἑφθημιμερές. ἐν ἐκθέσει δὲ ἰαμβεῖον. ὑφ' ὃ αἱ ἀμφοτέρωθεν ἕξω διπλαῖ.)

652. (εἰ πανοῦργος ἦν : Λεληθότως κωμῳδεῖ αὐτὸν ὡς τοιοῦτον πάλιν, καὶ ταῦτα παραινῶν ἐκεῖνον μὴ λοιδορεῖν αὐτόν.)

657. ἀλλ' ὅτι σιωπᾷς : Πρὸς τὴν Εἰρήνην φησί· κωφὸν γὰρ εἰσάγει τὸ πρόσωπον.)

658. (ἀλλ' οὐκ ἂν εἴποι : Διπλῆ καὶ εἴσθεσις παρὰ τὸ τετράμετρον εἰς ἰαμβικὰ τρίμετρα οϐ'. μετὰ δὲ τὰ λε' ἔστι προαναφώνημα τὸ ὦ ὦ.)

659. (ὀργὴν γὰρ αὐτοῖς : Ἀττικῶς ἀντὶ τοῦ ὀργίζεται. λείπει δὲ ἡ ὑπέρ, ὑπὲρ ὧν ἔπαθεν.)

662. μισοπορπακιστάτη : Ἀντὶ τοῦ μισοπόλεμε, παρὰ τὸν πόρπακα. πόρπαξ δὲ κατά τινας μὲν ὁ ἀναφορεὺς τῆς ἀσπίδος, ὡς δέ τινες, τὸ διῆκον μέσον τῆς ἀσπίδος σιδήριον, ᾧ κρατεῖ τὴν ἀσπίδα ὁ στρατιώτης.

663. (εἶεν, ἀκούω : Ὡς τῆς Εἰρήνης καλεσάσης τὸν Ἑρμῆν καὶ λαλησάσης αὐτῷ. τὸ δὲ ἐπικαλεῖς ἀντὶ τοῦ ἐγκαλεῖς.)

665. ἐλθοῦσά φησι : Φιλόχορός φησιν οὕτως « Λακεδαιμόνιοι περὶ διαλύσεων ἔπεμψαν πρέσβεις πρὸς « Ἀθηναίους, σπονδὰς ποιησάμενοι πρὸς τοὺς ἐν Πύλῳ, « καὶ τὰς ναῦς αὐτῶν παραδόντες οὔσας ξ'. Κλέωνος « δὲ ἀντειπόντος ταῖς διαλύσεσι, στασιάσαι λέγεται τὴν « ἐκκλησίαν. ἐρωτῆσαι δὲ συνέβη τὸν ἐπιστάτην. ἐνίκησαν δὲ οἱ πολεμεῖν βουλόμενοι. » (Ἄλλως.) μετὰ τὰ ἐν Πύλῳ. ἐπὶ Κλέωνος γὰρ πρεσβευσαμένων Λακεδαιμονίων, ἐστασίασαν ἐν τῇ ἐκκλησίᾳ, ὡς Φιλόχορός φησι. (μετὰ τὰ ἐν Πύλῳ καὶ τοὺς αἰχμαλώτους οὓς ἔλαβεν ὁ Κλέων, ἔπεμψαν Λακεδαιμόνιοι πρὸς Ἀθηναίους ἐπαγγελλόμενοι δώσειν τὰς τριήρεις ἃς εἰλήφεσαν τῶν Ἀθηναίων ἐν τῷ πολέμῳ, ἅμα δὲ καὶ περὶ εἰρήνης καὶ σπονδῶν. ἀντεῖπεν οὖν τότε Κλέων, καὶ τοῦ ἐπιστάτου τρίτον ἐρωτήσαντος τὴν βουλὴν τί βούλεται, εἰρήνην ἢ πόλεμον, εἵλετο ἡ βουλὴ τὸν πόλεμον συνεστάναι.)

666. (κίστην πλέαν : Πλήρη κυτίδα. κυτίδας δὲ ἐκάλουν τὰς κίστας. πλέαν δὲ προσέθηκεν, ὅτι ἐξῆν τοῖς Ἀθηναίοις τότε ἐκ περιουσίας τὴν εἰρήνην ποιήσασθαι, οὕτω λαμπρῶς τῷ πολέμῳ κεκρατηκόσι.)

667. ἀποχειροτονηθῆναι τρὶς : Ὡς τρὶς ἀποχειροτονηθείσης. καὶ διὰ τούτων δὲ σεμνύνει τοὺς Ἀθηναίους, ὡς ἐξουσίαν ἐσχηκότας ποιῆσαι εἰρήνην.

669. ἐν τοῖς σκύτεσι : (Διὰ τὴν δειλίαν. παροιμία « ἐπὶ σκύτη βλέπει. » ἡ σκύτη ἀντὶ τοῦ πρὸς τὰ πολεμικά. ἢ πρὸς τὸν Κλέωνα, ὅτι σκυτεὺς ἦν.) ἀντὶ τοῦ ἐν τῷ φόβῳ τοῦ Κλέωνος (ὁ νοῦς ἦν ἡμῶν).

673. εὐνούστατος μὲν ἦν : Ὅτι ῥίψασπις καὶ δειλὸς ἦν.

675. ψυχήν γ' ἄριστος : Τοῦτο μετὰ εἰρωνείας, ὡς δηλοῖ καὶ τὸ ἑξῆς, καὶ ὅτι κατέλιπε τὸν λόγον μηδὲν αὐτῷ ἐπαγαγών.

676. οὐκ ἦν ἄρ' οὗπέρ φησιν : Οὔτε γνήσιος ἦν τῷ

πατρὶ, ἀλλὰ καὶ ῥίψασπις ἦν. τὰ δύο οὖν αὐτῷ προστρίβεται.

678. ἀποβολιμαῖος : Ἅμα καὶ παρὰ τὸ ἀποβαλεῖν τὰ ὅπλα, καὶ παρὰ τὸ ὑποβολιμαῖος εἶναι.

680. [ὅστις κρατύνει. τοῦ λίθου δὲ] ἀντὶ τοῦ βήματος. ὅστις νῦν διέπει τὰ τῆς πολιτείας καὶ διαπρέπει. πύκνα δέ φησι τὸ ἐν τῇ Ἀττικῇ δικαστήριον. R. V.

681. Ὑπέρβολος νῦν : Ὅτι μετὰ τὸν Κλέωνα Ὑπέρβολος ἐπολιτεύσατο. (Χρέμητος δὲ υἱὸς ἦν Ὑπέρβολος, ἀδελφὸς δὲ Χάρωνος, λυχνοπώλης, φαῦλος τοὺς τρόπους. οὗτος μετὰ τὴν τοῦ Κλέωνος δυναστείαν διεδέξατο τὴν δημαγωγίαν. ἀπ' αὐτοῦ δὲ πρώτου ἤρξαντο Ἀθηναῖοι φαύλοις παραδιδόναι τὴν πόλιν καὶ τὴν δημαγωγίαν, πρότερον δημαγωγούντων πάνυ λαμπρῶν πολιτῶν. προείλετο δὲ τοὺς τοιούτους ὁ δῆμος, ἀπιστῶν διὰ πόλεμον τὸν πρὸς Λακεδαιμονίους τοῖς ἐνδόξοις τῶν πολιτῶν, μὴ τὴν δημοκρατίαν καταλύσαιεν. ἐξωστρακίσθη δὲ οὗτος, οὐ διὰ δυνάμεως φόβον καὶ ἀξιώματος, ἀλλὰ διὰ πονηρίαν καὶ αἰσχύνην τῆς πόλεως. ἐν Σάμῳ δὲ διατρίβων, ὑπὸ τῶν Ἀθηναίων ἐχθρῶν ἐπιβουλευθεὶς ἀπέθανε, καὶ τὸν νεκρὸν αὐτοῦ εἰς σάκκον βαλόντες ἔρριψαν εἰς τὸ πέλαγος.)

682. περιάγεις : Ἀποστρέφεται ἀκούσασα τοῦ Ὑπερβόλου τὸ ὄνομα ἡ Εἰρήνη, ἀχθεσθεῖσα ἐπ' αὐτῷ, ὅτι καὶ αὐτὸς κακὸς ἦν. R. V.

684. ἐπεγράψατο : Ἀντὶ τοῦ ἐχειροτόνησε, κατέστησεν. (ἡ δὲ μεταφορὰ ἀπὸ τῶν μετοίκων τοὺς προστάτας προγραφόντων ἑαυτοῖς.)

686. (γυμνὸς ὤν : Προεστῶτος δηλονότι.)

688. (περιεζώσατο : Οἱ γὰρ γυμνοὶ ἐπιθυμοῦσι κἂν περιζώματος τυχεῖν. ὁ δὲ νοῦς, διʼ ἀνάγκην τέως τοῦτον ἐζώσατο μὴ ἔχουσα πολυτελέστερον.)

689. (πῶς οὖν ξυνοίσει : Ἐν ἴσῳ εἴρηκε τοῦτο τῷ πῶς ταῦτα ἡ πόλις οἰκονομήσει καὶ θήσεται. τὸ δὲ ἔξης, πῶς συνοίσει τῇ πόλει ταῦτα; ἐρωτᾷ.)

691. (ἐψηλαψῶμεν : Ἀπὸ τοῦ συμβεβηκότος εἴληφε τὸ ἐψηλαφῶμεν· οἱ γὰρ ἐν σκότῳ ζητοῦντες, τοῦ ζητουμένου τὴν ἀκριβῆ ὄψιν οὐχ ὁρῶντες, ψηλαφῶντες ἀνευρίσκουσιν αὐτό.)

692. πρὸς λύχνον βουλεύσομεν : Ὅτι λυχνοπώλης ὁ Ὑπέρβολος. τινὲς δέ φασιν αὐτὸν Σύρον. καὶ Κρατῖνος δὲ ἐν Πυτίνῃ « Ὑπέρβολον δ' ἀποσβέσας ἐν τοῖς λύχνοισι γράψον. »

695. ὅ τι πράττει Σοφοκλῆς : Γελοῖα ταῦτα. ὡς γὰρ περὶ σπουδαίων τὴν ἔμφασιν ποιούμενος ἐπήνεγκεν, ὅτι περὶ Σοφοκλέους ἐπύθετό μου.

697. ἐκ τοῦ Σοφοκλέους γίνεται : (Ὅτι ἐπὶ μισθῷ ἔγραψε τὰ μέλη. καὶ γὰρ) Σιμωνίδης δοκεῖ πρῶτος σμικρολογίαν εἰσενεγκεῖν εἰς τὰ ᾄσματα καὶ γράψαι ᾄσμα μισθοῦ. τοῦτο δὲ καὶ Πίνδαρος ἐν τοῖς Ἰσθμιονίκαις [2, 1] φησὶν αἰνιττόμενος· (« οἱ μὲν πάλαι, ὦ « Θρασύβουλε, φῶτες, οἳ χρυσαμπύκων ἐς δίφρον Μοι- « σᾶν ἔβαινον, κλυτᾷ φόρμιγγι συναντόμενοι, ῥίμφα « παιδείους ἐτόξευον μελιγάρυας ὕμνους. ἁ μοῦσα γὰρ « φιλοχερδὴς οὔ ποτ' ἦν οὐδ' ἐργάτις, οὐδ' ἐπέρναντο « γλυκεῖαι ποτὶ Τερψιχόρας ἀργυρωθεῖσαι πρόσωπα « μαλθακόφωνοι ἀοιδαί. ») τὸ μέντοι περὶ κιβωτῶν ἐπὶ Σιμωνίδου λεγόμενον, ὅτι παρακειμένας εἶχε δύο, τὴν μὲν κενὴν, τὴν δὲ μεστὴν, καὶ τὴν μὲν κενὴν χαρίτων ἔλεγεν εἶναι γνώριμον, πλὴν τοῦτο λέγω περιφερόμενον εὑρίσκεται. καθʼ ἱστορίαν γὰρ οὐδεὶς εἴρηκεν. (Ἄλλως.) ὁ Σιμωνίδης διεβέβλητο ἐπὶ φιλαργυρίᾳ. καὶ τὸν Σοφοκλέα οὖν διὰ φιλαργυρίαν ἐοικέναι τῷ Σιμωνίδῃ. λέγεται δὲ καὶ ὅτι ἐκ τῆς στρατηγίας τῆς ἐν Σάμῳ ἠργυρίσατο. (χαριέντως δὲ πάνυ τῷ αὐτῷ λόγῳ διέσυρε β. . . . . τοῦ ἰαμβοποιοῦ, καὶ μέμνηται ὅτι σμικρολόγος ἦν· ὅθεν Ξενοφάνης κίμβικα αὐτὸν προσαγορεύει. καὶ Σοφοκλέα καὶ Σιμωνίδην διέσυρεν ὡς μικρολόγους. ἀλλὰ μήποτε ἐδόκει Σοφοκλῆς περὶ τοὺς μισθοὺς καὶ τὰς νεμήσεις ὀψέ ποτε φιλοτιμότερος γεγονέναι.)

698. γέρων ὢν : (Ἀρχαῖος καὶ παλαιός. οἷον γηράσας φιλάργυρος ἐγίνετο.) — μετὰ τὰ ζ' ἔτη βεβίωκεν. πῶς οὖν γέρων; R.

699. κἂν ἐπὶ ῥιπὸς πλέοι : Ἀντὶ τοῦ φρυγάνου, (ψιάθου. λέγοιτο δ' ἂν ἐπὶ φιλοκερδεῖ. λέγεται δὲ καὶ ἄλλως « θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς πλέοις. » ῥίψ δέ ἐστιν ἱμαντῶδες φυτὸν, παρὰ τὸ ῥέπω ῥέψ καὶ ῥίψ, καὶ ῥίπεσι τοῖς τῆς ἰτέας κλάδοις.)

701. (ἐνέβαλον : Ἀντὶ τοῦ ἐπῆλθον τῇ πόλει.)

702. (ὡρακιάσας : Οἷον ὠχριάσας, ἢ ἐκλυθείς, ἢ λιποψυχήσας, ἢ ἀθυμήσας. ὡς φιλοπότην δὲ διαβάλλει πάλιν τὸν Κρατῖνον, μετὰ ἐκλύσεως ἐσκοτωμένον. ᾧ ἴσως ἀκολουθεῖ καὶ τὸ ὠχριᾶν. τοιοῦτοι δὲ οἱ λιποψυχοῦντες· τρέπεται γὰρ αὐτῶν ἡ χροιά. Ἄλλως. Αὐκόφρων τὸ ὡρακιᾶν ἀντὶ τοῦ ὠχριᾶν. Ἐρατοσθένης δὲ τὸ ὑπὸ ἐκλύσεως ἐσκοτῶσθαι, ᾧ ἴσως ἀκολουθεῖ τὸ ὠχριᾶν. ὅτι δὲ φίλοινος ὁ Κρατῖνος, καὶ αὐτὸς ἐν τῇ Πυτίνῃ σαφῶς λέγει.)

704. χἄτερα πόσʼ ἄττʼ οἴει : Ὥσπερ ἐκπλαγείσης τῆς εἰρήνης ἐπήγαγε τὸ καὶ ἕτερα τοιαῦτα γεγονέναι ἐν τῇ πόλει.

706. ἴθι νυν : Μίαν τῶν συνανελθουσῶν τῇ Εἰρήνῃ πρὸς γάμον αὐτῷ δίδωσι. προειρήκαμεν δὲ ὅτι συνανειλκύσθησαν αὐτῇ ἥ τε Ὀπώρα καὶ ἡ Θεωρία. ἦσαν δὲ ἑταῖραι.

708. (ἐκποοῦ σαυτῷ : Οὐκ εἶπε τοὺς παῖδας, ἀλλὰ τοὺς βότρυς διὰ τὴν Ὀπώραν.)

710. διὰ χρόνου τί σοι δοκῶ : Ὅτι οἱ διὰ χρόνου ἐσθίοντες ὀπώραν πολλὴν βλάπτονται, καὶ οἱ συνουσιάζοντες συνεχῶς. ἐπεὶ οὖν ἐδόκει Ὀπώρα εἶναι καὶ ἡ πόρνη, πρὸς ἀμφότερα ἔπαιζεν.

711. κατελάσας : Συνουσιάσας. *Vict.*

712. βληχωνίαν : Βλήχωνά φασιν Ἀττικοὶ διὰ τοῦ β, οὐχὶ διὰ τοῦ γ. οἱ δὲ πολλὴν ὀπώραν ἐσθίοντες, ἐὰν κυκεῶνα βληχωνίαν πίνωσιν, οὐ βλάπτονται. βρέχοντες οὖν γλήχωνα ἐπιπίνουσι, διὰ τὸ ὑπὸ τοῦ ὀποῦ τὴν καρδίαν κατεσθίεσθαι. ἵνα οὖν ἡ δριμύτης ἀποστυφῇ, γλήχωνα ἐλάμβανον. (Ἄλλως. οἱ ὀπώραν πολλὴν

ἐσθίοντες κυκεῶνα πίνουσιν ὑπὲρ τοῦ πῆξαι τὴν τροφὴν καὶ μὴ ναυτιᾶν· καὶ γὰρ τὸ πολὺ τῆς ὀπώρας προσίσταται τῷ στομάχῳ. Ἄλλως. τοὺς ὑπὸ τῆς ὀπώρας βαρυνομένους ἰᾶσθαί φασιν, εἰ ἀποβρέξαντες γλήχωνα εἰς ὕδωρ πίοιεν· ἰᾶσθαι γὰρ οὕτω τοὺς τῆς καρδίας πόνους.)

713. (τὴν θεωρίαν : Τοῖς μὲν γεωργοῖς φέρουσα τὴν Ὀπώραν ἔδωκε, τῇ δὲ βουλῇ τὴν Θεωρίαν ἀπένειμεν· ἐδόκει γὰρ ἡ βουλὴ τῆς θεωρίας.)

715. τῆς θεωρίας : Ἡ γὰρ βουλὴ τὰς θεωρίας ἐξέπεμπε. — λείπει δὲ τὸ ἕνεκεν. R. (τινὲς δὲ στίζουσιν εἰς τὸ βουλὴ, καὶ συνάπτουσι τὸ σὺ τῆς Θεωρίας ὅσον ζωμὸν ῥοφήσεις ἡμερῶν τριῶν, ὡς ψηφιουμένης τῆς βουλῆς θῦσαι βοῦς ἐπὶ τούτοις.)

716. (ἡμερῶν τριῶν : Ἐπὶ γ' γὰρ ἡμέρας ἐψηφίσατο ἡ βουλὴ βοῦς θύειν. ἀφ' ὧν καὶ ἕτερα ζῷα.)

717. χόλικας : Τὰ τῶν βοῶν παχέα ἔντερα· ταῦτα γὰρ οὐχ ἱεροῦντο, ὡς τὸ ἄλλο σῶμα. τινὲς δὲ χόλικάς φασιν εἶδος ἰχθύος.

722. (ἀστραπηφορεῖ : Ὁ στίχος ἐκ Βελλεροφόντου Εὐριπίδου. παρὰ τὸ ἀστραπαῖς ὑπηρετεῖν.)

724. τὴν τοῦ Γανυμήδους : Ἀντὶ τοῦ τὴν κόπρον. ὅτι οὗτος μόνος θνητὸς ἐν θεοῖς. τινὲς δὲ διὰ τὸ ἐν ἀρχῇ [11] ῥηθῆναι αὐτῷ « ἑτέραν ἑτέραν παιδὸς ἡταιρηκότος· » ἐδόκει γὰρ καὶ ὁ Γανυμήδης ἐρώμενος εἶναι Διός.

726. (παρὰ τὴν θεὸν : Τινὲς οὐ παρὰ τὴν Εἰρήνην, λέγουσι γὰρ ἐν τῷ οὐρανῷ μεῖναι καὶ ἐκεῖθεν ἐνεργεῖν, ὥσπερ καὶ τὸν Πόλεμον· οὐδαμοῦ γὰρ αὐτῆς μέμνηται ἐν τοῖς ἑξῆς ὡς κατελθούσης. παρὰ τὴν θεὸν οὖν τὴν Ἀθηνᾶν· ἄγαλμα γὰρ ἦν ἐν τῷ θεάτρῳ τῆς Ἀθηνᾶς.)

δεῦρ' ὦ κόραι : Τῇ Εἰρήνῃ καὶ τῇ Θεωρίᾳ καὶ τῇ Ὀπώρᾳ λέγει.

727. (ἔπεσθον ἅμ' ἐμοί : Κατέλυσε τοῦ οὐρανοῦ τὴν ὑπόκρισιν. κάτεισι γὰρ ἐπὶ τὴν ὀρχήστραν κλίμαξιν. ἐχόμενος δὲ τῆς Εἰρήνης καταβαίνει ὁ πρεσβύτης ἐπὶ τὴν ὀρχήστραν. ἴσως δὲ καὶ ὁ χορὸς ἀνῆλθεν εἰς τὴν ἀναγωγὴν τῆς Εἰρήνης.)

728. (ἑστυκότες : Ἔδει εἰπεῖν ἑστῶτες. τὸ δὲ ἑστυκότες ἐχρήσατο διὰ τὴν Εἰρήνην, ὥσπερ διὰ τὸ γαμηθῆναι αὐτῶν τὴν μὲν τῷ Τρυγαίῳ, τὴν δὲ τῇ βουλῇ. πόρναι γάρ εἰσιν ἐσκευασμέναι.)

729. (ἀλλ' ἴθι χαίρων : Ὁ χορὸς μένων ποιεῖ παράβασιν οὐ τελείαν, ἀλλὰ κομμάτιον μέν ἐστι τοῦ χοροῦ. ὧν τετράμετρα καταληκτικὰ τέσσαρα μὲν ἐν ἐχθέσει παρὰ ταύτας. ὅτι εἰσὶν ἀναπαιστικοὶ τελευταῖοι τροχαϊκοὶ κάτισοι τοῖς ἄλλοις. Ἄλλως. ἡ παράβασις αὕτη οὐκ ἔστι τελεία. τοῦ γὰρ ἐπιρρήματος καὶ ἀντεπιρρήματος ἐστέρηται. ἔστι τοίνυν τὸ μὲν κομμάτιον στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ε'. τὸ δὲ μακρὸν στίχων ὁμοίων λγ'. ἡ δ' ἔκθεσις κώλων δέκα διμέτρων πλὴν τοῦ τελευταίου καταληκτικῶν. ἐπὶ πᾶσι παράγραφος.)

(τὰ σκεύη : Τὰς ἅμας, τὰ σχοινία. γυμνὸν γὰρ ποιοῦσι τὸν χορὸν οἱ κωμικοὶ ἀεὶ, ἵνα ὀρχῶνται.)

730. (κυπτάζειν : Κρυφιμαίως διατρίβειν καὶ κρύπτεσθαι.)

733. χρῆν μὲν τύπτειν : (Νῦν παραβάσει κέχρηται ὁ χορὸς, μηδὲν περὶ τοῦ προκειμένου λέγων ἢ τὸν ποιητὴν ἐπαινῶν. παράβασιν ἐκάλουν ἀπὸ τοῦ παραβαίνειν τὸν χορὸν ἀπὸ τῆς νενομισμένης στάσεως εἰς τὴν καταντικρὺ τοῦ θεάτρου ὄψιν, ὁπότε ἐβούλετο ὁ ποιητὴς διαλεχθῆναί τι ἔξω τῆς ὑποθέσεως ἄνευ τῶν ὑποκριτῶν πρὸς τὸ θέατρον διὰ τοῦ χοροῦ. ἐστρέφετο δὲ ὁ χορὸς καὶ ἐγίνοντο στοῖχοι δ'. εἶτα διελθόντες τὴν καλουμένην παράβασιν ἐστρέφοντο πάλιν εἰς τὴν προτέραν στάσιν. ὄῆλον δὲ ποιοῦσιν αὐτοὶ οἱ ποιηταὶ, τὸ στρέφεσθαι σημαίνοντες καὶ τὸ παραβαίνειν. Πλάτων ἐν τῷ Παιδαρίῳ « εἰ μὲν μὴ λίαν ὦ ἄνδρες ἠναγκαζό- « μην | στρέψαι δεῦρ', οὐκ ἂν παρέβην εἰς λέξιν τοιάνδ' « ἐπῶν, » ἄμφω σημάνας, καὶ τὸ στρέφεσθαι καὶ τὸ παραβαίνειν. Κρατῖνος δὲ ἐν τῇ Πυλαίᾳ δηλοῖ ὅτι ἔξ ἐστι ζυγὰ τοῦ χοροῦ. ὁ δὲ νοῦς,) ἐχρῆν μὲν, εἴ τις κωμῳδοποιητὴς ἑαυτὸν ἐπήνει παραβάσει χρώμενος, τοὺς ῥαβδούχους ἐκείνους τύπτειν αὐτὸν ὡς ἀπρεπές τι μεταχειριζόμενον. εἰ δὲ πρέπον ἐστὶν, ὦ Μοῦσα, ἑαυτὸν ἐπαινέσαι τινὰ, φησὶν ὁ διδάσκαλος ἡμῶν, τουτέστιν ὁ Ἀριστοφάνης, ἄξιος εἶναι πολλῆς τιμῆς, ὅστις, Ἀριστοφάνης, ἄριστος γεγένηται. ἦσαν δὲ ἐπὶ τῆς θυμέλης ῥαβδοφόροι τινὲς, οἳ τῆς εὐκοσμίας ἐμέλοντο τῶν θεατῶν. ἢ ῥαβδούχους εἶπε τοὺς κριτὰς τοῦ ἀγῶνος, οὓς ὁ ποιητὴς αἰσυμνήτας εἶπεν.

735. παραβὰς ἐν τοῖς ἀναπαίστοις : Πᾶσαν παρέκβασιν ἀναπαίστους λέγει.

736. παρὰ τὰ Σιμωνίδου ἐκ τῶν ἐλεγείων· « εἰ δ' ἄρα τιμῆσαι, θύγατερ Διὸς, ὅστις ἄριστος δήμῳ Ἀθηναίων ἐξετέλεσσα μόνος. » V.

740. ἐς τὰ ῥάκια : Ὡς τοιαῦτα εἰσαγόντων τῶν ἄλλων κωμικῶν, (ῥακοφοροῦντας). αἰνίττεται δὲ εἰς Εὔπολιν.

καὶ τοῖς φθειρσὶν : Ἀντὶ τοῦ εὐτελεῖς ἄνδρας καὶ ἀδόξους.

741. τούς θ' Ἡρακλέας : (Μάττειν τὸ πολλὰ ἐσθίειν. ἀπὸ τῆς ματτομένης ζύμης. αἰνίττεται δὲ ταῦτα εἰς Εὔπολιν, ὃς ἐποίησεν Ἡρακλέα πεινῶντα καὶ Διόνυσον δειλὸν καὶ Δία μοιχὸν καὶ δοῦλον κλαίοντα. τινὲς δέ φασιν εἰς Κρατῖνον αἰνίττεσθαι, ὡς τοιαῦτα ποιοῦντα δράματα. ἐπεπόλασε δὲ ταῦτα τότε τὰ λήμματα. καὶ αὐτὸς δὲ ὁ Ἀριστοφάνης ὡς γαστρίμαργον τὸν Ἡρακλέα κωμῳδεῖ καὶ ἐν Ὄρνισι καὶ ἐν Αἰολοσίκωνι. καὶ ἐν τοῖς Σφηξὶ [60] περὶ τούτων φησὶ, τοῦ τε Ἡρακλέους καὶ τοῦ δούλου. ἐπεπόλαζε γὰρ τότε ταῦτα, Ἡρακλῆς πεινῶν καὶ Διόνυσος δειλὸς καὶ μοιχὸς Ζεὺς,) ὥστε καὶ αὐτοὺς (δοκεῖν) ἄχθεσθαι. Κρατῖνος « ὑπὸ δ' Ἡρα- « κλέους πεινῶντος ἄγει καὶ σκώπτοντες ταῦτα οὐ « βοιωτόν ἐστι. » περὶ δὲ τῶν δούλων καὶ ἐν Βατράχοις φησίν.

745. Ἵν' ὁ σύνδουλος σκώψας : Ἀντὶ τοῦ, καὶ τούτους τοὺς δούλους ἐξέφερον κλάοντας τούτου ἕνεκα, ἵνα ὁ σύνδουλος γλευάζων ἀνέρηται αὐτόν.

746. ὑστριχὶς : Ἡ ἐξ ὑείων τριχῶν μάστιξ. (ἔστι δὲ καὶ ὑστριχὶς θηρίον τρίχας ἔχον ὡς, ἃς ἐν τῷ διώκεσθαι ἐξακοντίζει κατὰ τῶν διωκόντων.)

(εἰσέβαλεν : Ἀπὸ μεταφορᾶς τῶν τὰς πόλεις πορθούντων τὸ εἰσέβαλεν. καὶ ἔμεινεν ἐν τῇ τροπῇ. κυρίως γὰρ εἰσβαλεῖν ἐστι τὸ πολεμίους τινὰς εἰσελθεῖν εἰς πόλιν.)

747. διὰ τὸ πλῆθος τῶν πληγῶν. R.

748. (βωμολοχεύματα : Τουτέστι βωμολόχα σκώμματα, ἅ ἐστι σκώπτοντας εὐτελεῖς τινὰς καὶ ἀσθενεῖς ἄνδρας.)

749. ἐποίησε τέχνην : Ταῦτα καὶ Φερεκράτης ἐποίησε τὸν Αἰσχύλον λέγοντα ἐν τοῖς Κραπατάλοις « ὅστις γ' αὐτοῖς παρέδωκα τέχνην μεγάλην ἐξοικοδομήσας. »

κἀπύργωσεν : Ἀντὶ τοῦ (ὕψωσεν,) ηὔξησεν, ἐμεγάλυνε καὶ ἠσφαλίσατο, καὶ ἐπὶ τὸ σεμνότερον τὰ ποιήματα ἤγαγεν. καὶ ἐν ἄλλοις [Ran. 1004] περὶ αὐτοῦ φησιν « ἀλλ' ὦ πρῶτος τῶν Ἑλλήνων πυργώσας ῥήματα σεμνά. »

750. (οὐκ ἀγοραίοις : Οὐ κατημαξευμένοις.)

752. ἀλλ' Ἡρακλέους ὀργὴν : (Ἐνδόξως πάλιν παρέλαβεν αὐτὸς τὸν Ἡρακλῆν. λέγει γάρ, οὐ κατὰ τοὺς ἄλλους ποιητὰς μετρίους τινὰς καὶ φαύλους λοιδορεῖν καὶ κωμῳδεῖν προειλόμην, ἀλλ' ὥσπερ Ἡρακλῆς τοὺς μεγάλους ἆθλους ὑπέστη, οὕτω κἀγὼ τοὺς ἀρίστους καὶ μέγα δυναμένους παρ' ὑμῖν κωμῳδεῖν εἰλόμην.) Ἡρακλέα γὰρ μιμούμενος, οὐκ εὐτελεῖς ἄνδρας κωμῳδεῖν ἐπεχείρει.

753. διαβὰς βυρσῶν ὁδμὰς : Ὡσανεὶ ἔλεγε ποταμοὺς ἢ χαράδρας. ταῦτα δὲ διὰ δὲ τὸν Κλέωνα· εἰκὸς γὰρ ἦν αὐτὸν ἀπειλεῖν τῷ Ἀριστοφάνει διὰ τὰς ὕβρεις. τὸ βαρβαρῶδες δὲ τοῦ Κλέωνος δηλοῖ διὰ τοῦ βαρβαροθύμους· Παφλαγὼν γὰρ ἦν. (τοῦ Ἡρακλέους δὲ μνημονεύσας, ἑξῆς τὸ βυρσῶν ὀσμὴν ἐπήγαγεν, ἐπεὶ δοκεῖ ὁ Ἡρακλῆς τὴν Αὐγέου κόπρον ἐκκεκαθαρκέναι.)

755. οὗ δεινόταται : Ἐρατοσθένης ἀγνοήσας τὰ κατὰ τὴν Κύνναν, κυνὸς γράφει, (κυνὸς ὡς ἀκτῖνες ἔλαμπον). Κύννα δὲ καὶ Σαλαβακχὼ πόρναι Ἀθήνησι. (Ἄλλως. τὴν ἀναίδειαν αὐτοῦ καὶ τὴν τραχύτητα τῶν τρόπων δείκνυσι διὰ τῶν ὄψεων, ὡς καὶ Ὅμηρος [Il. A, 104] « ὅσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐίκτην. » τῆς δὲ Κύννης μέμνηται καὶ ἐν τοῖς Ἱππεῦσι [765] λέγων « καὶ Κύνναν καὶ Σαλαβακχώ. » Ἄλλως. Κύννα ἑταίρα ἐστίν. δῆλον δὲ ὅτι καὶ ἀναιδὴς καὶ πόρνης ὀφθαλμοὺς εἶχεν.)

756. ἑκατὸν δὲ κύκλῳ : (Ὡσεὶ ἔλεγεν ὄφεων.) εἰκὸς γὰρ σύστημα τὸν Κλέωνα ἔχειν κολάκων. χαράδρα δέ ἐστι διῶρυξ πηλοῦ μεστή. ὅλεθρον δὲ εἶπεν, οὐχ ὕδωρ ἔχουσα. δέον δὲ εἰπεῖν ἑλιχμῶντο, ἑλιχνῶντο εἶπε διὰ τὸ λίχνον τῶν κολάκων. Ἄλλως. εἰκὸς γὰρ σύστημα τὸν Κλέωνα ἔχειν μέγα δυνάμενον τῶν ὑποτρεχόντων αὐτὸν καὶ θεραπευόντων. ὁ δὲ εἶπεν, ὡσεὶ ἔλεγεν δρακόντων ἑκατὸν κεφαλαῖς αὐτὸν καθωπλίσθαι, καὶ τοῦτο πρὸς ἕνα τῶν Ἡρακλέους αἰνιττόμενος ἆθλων, τὴν ἑκατοντακέφαλον ὕδραν. (καὶ γὰρ Τυφῶνα αὐτὸν εἶπεν ἐν τοῖς Ἱππεῦσι [511]· τοσαύταις δὲ ἐκεῖνος κεφαλαῖς ὤπλιστο. ἢ διὰ τοὺς περὶ αὐτὸν κόλακας.)

757. χαράδρας : Ἀντὶ τοῦ χειμάρρου ποταμοῦ. κατάγουσι δὲ οὗτοι παντοῖα μετὰ τοῦ ῥεύματος. οὐκ εἶπε δὲ πηλὸν, ἀλλ' ὅλεθρον.

758. φώκης δ' ὀσμὴν : Θαλάσσιον ζῷον ἡ φώκη. Ὅμηρος [Od. Δ, 442] « φωκάων ἁλιοτρεφέων ὁλοώτατος ὀδμή. »

λαμίας ὄρχεις : Δραστικοὶ γὰρ οἱ ὄρχεις. Δίδυμος δέ· εἰδωλοποιεῖ τινας ὄρχεις Λαμίας· θῆλυ γάρ. ἐντεῦθεν καὶ Λάμος ἡ πόλις τῶν Λαιστρυγόνων. (λέγεται δὲ ἡ Λάμια Βήλου καὶ Λιβύης θυγάτηρ, ἧς ἐρασθῆναι τὸν Δία φασὶν, μεταγαγεῖν δὲ αὐτὴν ἀπὸ Λιβύης εἰς Ἰταλίαν, ἀφ' ἧς καὶ πόλις ἐν Ἰταλίᾳ Λάμια προσαγορεύεται. ἔνθεν αὐτῇ συνελθὼν ὁ Ζεὺς, οὐκ ἔλαθε τὴν Ἥραν, ἥτις ζηλοτυποῦσα τὴν Λάμιαν τὰ γινόμενα αὐτῆς τέκνα ἀνῄρει ἀεί. ἡ δὲ ἀποθνησκόντων τῶν τέκνων αὐτῆς βαρυομένη, τὰ τῶν ἄλλων παιδία διὰ φθόνον ὑποκλέπτουσα ἀνῄρει. διὰ τοῦτο καὶ τὰς τίτθας ἐκφοβοῦσας τὰ βρέφη καλεῖν ἐπ' αὐτοῖς τὴν Λάμιαν. μυθεύεται δὲ ὡς ἄϋπνος αὕτη διατελεῖ βουλήσει Ἥρας, ἵνα καὶ ἡμέρας καὶ νύκτας ἐν τῷ πένθει ᾖ, ἕως οὗ αὐτὴν ἐλεήσας ὁ Ζεὺς ἀφαιρετοὺς αὐτῆς τοὺς ὀφθαλμοὺς ἐποίησεν, ὅπως ἂν ἐν αὐτῇ ᾖ ἐξαιρεῖσθαι καὶ πάλιν θεῖναι. λέγεται δὲ ἐσχηκέναι παρὰ Διὸς καὶ τὸ μεταμορφοῦσθαι εἰς ὅ τι οὖν βούλοιτο. οὕτως εὗρον ἐν ὑπομνήματι. ἀλλόκοτον δέ τι τέρας ὑποστήσασθαι βούλεται τὸν Κλέωνα· τὴν γὰρ Λάμιάν φησιν ἄγριον εἶναι ζῷον καὶ δύσοσμον καὶ ἀνήμερον. οὐκ ἀρκεσθεὶς δὲ τούτοις αὐτὸν εἰκάσαι μόνοις, προσέθηκε καὶ ἄπλυτον, ἵνα μᾶλλον αὐξήσῃ τὴν περὶ τὸν Κλέωνα δυσοσμίαν.)

759. τοιοῦτον ἰδὼν τέρας : Εἰρηκὼς τῶν σκωμμάτων αὐτοῦ τὸ 'κατ' εἶδος, ἔσκωψεν αὐτὸν πάλιν ἐπὶ τὸ γενικὸν ἀναδραμών, δι' οὗ τέρας αὐτὸν καλεῖ μείζονα δόξαν τῶν προειρημένων ἐγκαταλιπὼν ἔχειν τοῖς ἀκηκοόσι περὶ αὐτοῦ.

763. παῖδας ἐπείρων : (Ὡς τῶν ἄλλων ἐξιόντων καὶ δεομένων καὶ νέων καὶ τῶν παίδων εἰς τὸ σπουδάζειν αὐτοῖς, ἵνα νικήσωσιν.) εἰώθασι δὲ καὶ παιδεραστεῖν ἁβρυνόμενοι τῇ νίκῃ. αἰνίττεται δὲ εἰς Εὔπολιν (καὶ τοὺς περὶ αὐτὸν, ὡς παίδων ἐρῶντας καὶ παλαίστρας περιερχομένους).

764. (παῦρ' ἀνιάσας : Ὡς τῶν νικώντων ταῦτα ποιούντων καὶ εἰς ὕβριν ἐξελκομένων. ὀλίγα κωμῳδήσας ἢ οὐδὲν λυπήσας. ὁμοίως τῷ [Il. E, 800] « ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς. »)

765. (πρὸς ταῦτα χρεών : Διὰ ταῦτα ὑμᾶς ἀξιῶ συλλαμβάνεσθαι, ἢ δι' αὐτὰ τὰ δίκαια.)

767. καὶ τοῖς φαλακροῖσι : Τοῦτο εἰς ἑαυτόν· φαλακρὸς γὰρ ἦν ὁ Ἀριστοφάνης. τρωγαλίων δὲ ἀντὶ τοῦ

τῶν τραγημάτων. οὕτω γὰρ ἐκάλουν τὰ τραγήματα οἱ παλαιοί.

772. καὶ μὴ ἀφαίρει γενναιοτάτου : Μηδὲν ἀφαίρει τῶν παρακειμένων, ἀλλὰ πάντα παράθες. τὸ δὲ σχῆμα Ἀττικόν, τὸ γενικὴν εἰπεῖν ἀντὶ αἰτιατικῆς, ὡς καὶ νῦν εἶπε τῶν τρωγαλίων ἀντὶ τοῦ τὰ τρωγάλια.

773. λείπει ἡ ἑξ. R.

774. λαμπρὸν διὰ τὴν φαλακρότητα. ἢ εὐπαρρησίαστον. V. διαλαμπρόν. R.

(775). Μοῦσα σὺ μὲν πολέμου : Τὸ χ πρὸς τὴν ἀλλαγὴν τοῦ μέτρου. αὕτη δὲ πλοκή ἐστι καὶ ἔλαθεν. σφόδρα δὲ γλαφυρὸν εἴρηται, καὶ ἔστι Στησιχόρειος.

μοῦσα σὺ μὲν : [Ἡ ᾠδὴ αὕτη καὶ στροφὴ κώλων ἐστὶ κϐ′. τοσούτων δὲ καὶ ἡ ἀντῳδὴ καὶ ἀντιστροφή. οὐ γὰρ διήρηνται, ἀλλ' ἐχόμεναι εἰσὶν ἀλλήλων, ἐπεὶ οὐ κεῖται μεταξὺ τὸ ἐπίρρημα. τὰ μὲν οὖν α′, ς′, ιϐ′, ις′, ιθ′, κα′ δακτυλικὰ πενθημιμερῆ. τὰ δὲ β′, δ′ προσοδιακὰ δίμετρα ἀκατάληκτα ἐκ παίωνος β′ καὶ χοριάμβου. τὸ δὲ γ′ τροχαϊκὸν ἰθυφαλλικόν. τὸ ε′ ἰαμβικὸν πενθημιμερές. τὸ δὲ ζ′ ἀκατάληκτον δίμετρον. τὰ η′, θ′, ια′ δακτυλικὰ τρίμετρα. τὸ ι′ τροχαϊκὴ βάσις. τὰ ιϐ′, ιγ′ χοριαμβικὰ εἰς βακχεῖον περαιούμενα δίμετρα. τὸ ιε′ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὰ ιζ′, κ′ ἀναπαιστικαὶ βάσεις. τὸ ιη′ δακτυλικὸν δίμετρον. τὸ τελευταῖον ἰαμβικὸν ἑφθημιμερές. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος, τῆς δ' ἀντιστροφῆς κορωνίς.]— διπλῆ καὶ μεταβολὴ εἰς μονοστροφικὴν δυάδα ἐννεακαίδεκα κώλων ἔχουσα τὰς περιόδους, ὧν τὸ α′ δακτυλικὸν πενθημιμερὲς, τὸ β′ περίοδος προσοδικὴ ἑνδεκάσημος ἢ δωδεκάσημος· τὸ γ′ ἰθυφαλλικὸν καὶ τὸ δ′ ὅμοιον. τὸ ε′ πενθημιμερὲς, ὃ καλοῦσιν ἰαμβέλεγον. τὸ ς′ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ζ′ δακτυλικὸν τρίπουν εἰς δισυλλαβίαν. τὸ η′ δακτυλικὸν ὅμοιον. τινὲς δὲ συνάπτουσι τὸ η′ καὶ τὸ θ′ καὶ γίνεται ἐγκωμιολογικὸν εἰς διπενθημιμερὲς, ὃ καὶ ἄμεινον. τὰ ἑξῆς ι′, ια′, ιϐ′, ὡς μὲν κεκώλισται, ἔστι χοριάμβος ἑφθημιμερὴς, συνῆπται δέ. δύναται δὲ τὸ α′ αὐτῶν μετατεθῆναι ἐκ τῆς ἑξῆς συλλαβῆς, τὰ δὲ λοιπὰ ἑνωθῆναι. τὸ δὲ ιγ′ δακτυλικὸν ἑφθημιμερές. τὸ ιδ′ ἀναπαιστικὸν τρίπουν. τὸ ιε′ δακτυλικὸν τετράπουν εἰς τρισυλλαβίαν. τὸ ις′ διπλοῦν εἰς δισυλλαβίαν. τὸ ιζ′ δακτυλικὸν τετράπουν. τὸ ιη′ δακτυλικὸν πενθημιμερές. τὸ ιθ′ εἰς ἰαμβικὸν δίμετρον καταληκτικόν. V.

778. κλείουσα θεῶν τε γάμους : Ὅτι σύνηθες ἦν τοῖς παλαιοῖς ᾄδειν θεῶν τε καὶ ἡρώων γάμους. σημειοῦται δὲ ταῦτα ὁ μόχθος πρὸς τοὺς ἀθετοῦντας τὴν ἐν Ὀδυσσείᾳ Ἄρεως καὶ Ἀφροδίτης μοιχείαν.

Καρκίνος : Τραγῳδίας ποιητὴς, (ὃς εἶχε ταπεινούς τινας παῖδας). Καρκῖνος τραγῳδοποιός. ἐν δὲ τῷ ἀντιγράφῳ (παροξύτονον) εὗρον τὸ Καρκίνος. ἴσως οὖν συνέστειλεν αὐτὸ, ὡς καὶ Ἄρατος. παῖδες δὲ Καρκίνου τρεῖς, Ξενοκλῆς, Ξενότιμος, Ξέναρχος. τραγικοὶ δὲ οὗτοι χορευταὶ, οἵτινες διὰ τὴν σμικρότητα τῶν σωμάτων ὄρτυγες ἐκαλοῦντο.

788. (ὄρτυγας οἰκογενεῖς : Δέον ὄρνιθας οἰκογενεῖς εἰπεῖν, ὄρτυγας εἶπε, πρᾶγμα τῆς φύσεως ἀλλότριον, πλὴν εἰ μὴ ὡς μαχίμους διαβάλλει τοὺς παῖδας τοῦ Καρκίνου· φιλεριστικὴ γὰρ τῶν ἀρρένων ὀρτύγων ἡ φύσις. οἰκογενεῖς δὲ ἀντὶ τοῦ ἡμέρους, ἐν οἴκῳ τεθραμμένους. προείρηται δὲ περὶ τῶν Καρκίνου υἱῶν, ὅτι μικροί. ἀεὶ μέντοι τὸ ὄρτυγας ἐκτείνεται, νῦν δὲ διὰ τὸ μέτρον συνέσταλται.)

γυλιαύχενας : (Αὐχένας οὐκ ἔχοντας, καθάπερ ὁ γύλιος. ὡς μικροὺς δὲ καὶ γογγυλώδεις σκώπτει. ἐχόρευον δὲ οὗτοι τῷ πατρί. Ἄλλως.) μακροτραχήλους· γύλιος γὰρ πλέγμα ἐστὶ στρατιωτικὸν ἐπίμηκες, τουτέστιν εἰς ὀξὺ λῆγον. κολοβὸν οὖν εἰκὸς εἶναι τὸ ὅλον σῶμα. καὶ μόνον τὸν τράχηλον μακρόν. (Ἄλλως. γύλιος πλεκτόν τι σκεῦος στρατιωτικὸν, στενόστομον, ἐν ᾧ τὰ σιτία ἐμβάλλουσι. διαβάλλει δὲ αὐτοὺς ὡς λεπροὺς καὶ λεπτοὺς, καὶ μακροὺς τραχήλους ἔχοντας. ἐκ τοῖς ἐπιφερομένοις δὲ ἐξηγήσεται ὅ τι ἐστὶ τὸ γυλιαύχενας. ὀρχηστὰς δὲ, εἰσέφερε γὰρ αὐτοὺς ὁ πατὴρ ἐν τοῖς δράμασιν ὀρχουμένους.)

790. ναννοφυεῖς : Νάννοι λέγονται οἱ κολοβοὶ τῶν ἀνθρώπων· οἱ δὲ κολοβοὶ τῶν ἵππων ἵννοι λέγονται.

σφυράδων ἀποκνίσματα : Ἀντὶ τοῦ ταπεινοὺς καὶ μικροὺς, οὐδὲ ὅλας σφυράδας. σφυράδες δέ εἰσι τὰ τῶν αἰγῶν καὶ προβάτων ἀποπατήματα. (Εὔπολις Αἰξί « σφυράδων πολλῶν ἀναμέστη. » Ἄλλως. ἡ σφυρὰς κυάμου ἔχει τὸ μέγεθος· ταύταις οὖν ἀπεικάζει αὐτούς. μᾶλλον δὲ οὐδὲ ταύταις, ἀλλὰ τοῖς ἀποκνίσμασιν αὐτῶν καὶ ἀποτμήμασιν. εὐτελίζει οὖν αὐτοὺς διὰ τὸ βραχύ· ἡ γὰρ τοῦ μικροῦ μερὶς μικρὰ οὐδὲν ἂν εἴη.)

792. μηχανοδίφας : Ἀπὸ μέρους τοῦτο· Ξενοκλῆς γὰρ ὁ Καρκίνου δοκεῖ μηχανὰς καὶ τερατείας εἰσάγειν ἐν τοῖς δράμασι. Πλάτων Σοφισταῖς « Ξενοκλῆς ὁ « δωδεκαμήχανος ὁ Καρκίνου παῖς τοῦ θαλαττίου. » (Ἄλλως. μηχανοδίφας εἶπεν αὐτοὺς, ἐπειδὴ πολλάκις ὡς τραγῳδοὶ μηχανὰς εἰσέφερον, ἡνίκα θεοὺς ἐμιμοῦντο ἀνερχομένους ἢ κατερχομένους ἐκ τοῦ οὐρανοῦ ἢ ἄλλο τι τοιοῦτον.)

794. ὃ παρ' ἐλπίδας : (Τοῦτο πρὸς τὸ ἄνω « μήτ' ἔλθῃς αὐτοῖς συνέριθος. ») καὶ γὰρ εἶπεν ὁ πατὴρ γαλῆν τινὰ (τῆς) ἐσπέρας ἀπάγξαι τὸ δρᾶμα αὐτοῦ, ὅπερ εἶχε παρὰ προσδοκίαν, τουτέστιν ὃ μετὰ μόχθου συνεγράψατο. διαβάλλει δὲ αὐτὸν ὡς νόθον περὶ τὰ κλέμματα. Ἄλλως. δρᾶμα ἐποίησε τοὺς Μύας· διὰ τοῦτο καὶ γαλῆν εἶπεν ἀπάγξαι.

795. (γαλῆν τῆς ἑσπέρας : Ἀντὶ τοῦ ὑπὸ τῆς γαλῆς τὸ δρᾶμα ἀπαγχθῆναι. δρᾶμα γὰρ ποιήσας ὁ Καρκίνος ἢ ὁ Ξενοκλῆς παρῆλθε μέγα καυχώμενος ἐπ' αὐτῷ, καὶ παρελθὼν ἠτήθη. ὡς ἠτηθέντος οὖν εἶπεν, ἐν ᾧ μεγάλας εἶχεν ἐλπίδας δρᾶμα. ἐπειδὴ δὲ αἱ γαλαῖ τοὺς μῦς νυκτὸς πνίγουσι, παρὰ τοῦτο παίζει.)

797. (τοιάδε χρὴ Χαρίτων : Τῇ στροφῇ ἀποδέδωκε τὴν ἀντίστροφον· πάλιν γὰρ ἐπὶ τὸν οἰκεῖον ἐπανέδραμεν ἔπαινον, φάσκων ὅτι διὰ ταῦτα πάντα χρὴ τοὺς

θεατὰς μετὰ πάσης εὐνοίας ἀποδέχεσθαι τὰ ὑπ' αὐτοῦ ποιήματα. ἴδωμεν οὖν τὴν στροφὴν τί ἐστι καὶ πῶς τὴν ἀντίστροφον ἐπήγαγε. κἀν ταῖς Νεφέλαις δὲ εἶπον ὅτι δεῖ πάντως ἀνταποδίδοσθαι τῇ στροφῇ τὴν ἀντίστροφον, εἶτα ἀμφοτέραις ἐπαγαγεῖν τὴν ἐπῳδόν· ἐκ τούτων γὰρ τὰ χορικὰ συνεστάναι, στροφῆς, ἀντιστρόφου, ἐπῳδοῦ. ἀντίστροφος δὲ εἴρηται παρὰ τὸ ἀναστρέφειν ἐπὶ τὸν ἐξ ἀρχῆς νοῦν τοῦ λόγου, μεταξὺ λεγομένων τῶν περιττῶν, καὶ ὥσπερ ἐντεθειμένων καὶ δυναμένων ὑπεξαιρεῖσθαι, οὐδὲν ἧττον τῆς ἀκολουθίας σωζομένης. ἔχει δὲ οὕτως « ἀνδρῶν τε δαῖτας καὶ θαλίας μακάρων. σοὶ γὰρ τάδ' ἐξ ἀρχῆς μέλει. » εἶτα « τοιάδε χρὴ Χαρίτων. » διὰ μέσου δὲ τὰ περὶ τῶν Καρκίνου παίδων. ἔστι δὲ παρὰ τὰ Στησιχόρου ἐκ τῆς Ὀρεστείας « τοιάδε χρὴ Χαρίτων δαμώματα καλλικόμων ὑμνεῖν, Φρύγιον μέλος ἐξευρόντας ἁβρῶς ἧρος « ἐπερχομένου. » δαμώματα δὲ) τὰ δημόσια ἀδόμενα.

800. (ὅταν ἠρινὴ : Καὶ αὕτη πλοκὴ Στησιχόρειος. φησὶ γὰρ οὕτως « ὅταν ἧρος ὥρᾳ κελαδῇ χελιδών. »)

803. Μόρσιμος μηδὲ Μελάνθιος : Τραγικοὶ ποιηταὶ ἀμφότεροι. ὁ δὲ Μόρσιμος Φιλοκλέους τοῦ τραγικοῦ υἱὸς, πονηρὸς καὶ ἄμετρος. ὁ δὲ Μελάνθιος κωμῳδεῖται εἰς μαλακίαν καὶ ὀψοφαγίαν. καὶ πολὺ μᾶλλον ἐν τοῖς Κόλαξιν Εὔπολις αὐτὸν ὡς κίναιδον διαβάλλει καὶ κόλακα. ἀλλὰ καὶ ὡς (λευκὰς ἔχοντα καὶ) λεπρὸν Ἀριστοφάνης ἐν Ὄρνισιν [150] « ὃς οὐκ ἰδὼν βδελύττομαι τὸν Λέπρεον ἀπὸ Μελανθίου. »

808. (ἀδελφός τε καὶ αὐτὸς : Ὡς καὶ τοῦ ἀδελφοῦ τοῦ Μελανθίου τραγικοῦ ὄντος ἀσήμου. Εἰς τὸ αὐτό. δέχονταί τινες ὡς καὶ τοῦ ἀδελφοῦ τοῦ Μελανθίου τραγικοῦ ποιητοῦ ὄντος, ἀσήμου δέ. οὐκ ἀνάγκη δὲ διαιρεῖν καὶ ποιεῖν, πρὸς τὸ τὸν χορὸν εἶχε, τὸ ἀδελφός τε καὶ αὐτός. ἀλλὰ τὰ μὲν πρῶτα ἰδία περὶ τοῦ Μελανθίου μέχρι τοῦ χορὸν εἶχεν. ἀπ' ἄλλης δὲ ἀρχῆς περί τε αὐτοῦ καὶ τοῦ ἀδελφοῦ, τὰ εἰς ὀψοφαγίαν. ὅτι γὰρ ὁ Μελάνθιος ὀψοφάγος, προείρηται. καὶ παρ' Εὐπόλιδι ἐν Ἀστρατεύτοις.)

809. (ἄμφω : Στικτέον εἰς τὸ ἄμφω. ὅτι μὲν γὰρ τραγικοὶ ἀμφότεροι, Μελάνθιος καὶ ὁ τούτου ἀδελφὸς, δῆλον· τὸ δὲ Γοργόνες καὶ ὀψοφάγοι ἐπὶ Μελανθίου μόνου· τοιοῦτος γὰρ οὗτος διαβάλλεται. τινὲς δὲ εἰς τὸ εἶχον στίζουσιν, ἵνα Μελάνθιος μὲν ἔχῃ τὸν χορὸν, ἀμφότεροι δὲ ὦσιν ὀψοφάγοι.)

811. βατιδοσκόποι : Βάτις εἶδος ἰχθύος. ἢ καθόλου οἱ ἰχθύες. ἅρπυιαι δὲ ἅρπαγες τῶν ἰχθύων· ἅρπυια γὰρ ἁρπακτικὸν ζῷον.

812. γραοσόβαι : Ἀπὸ τῶν ἰχθύων ἀποσοβοῦντες τὰς γραῖδας, ὡς μὴ ἀγοράζειν. ἢ γραῖσι συγκοιμώμενοι· σοβάδας γὰρ τὰς πόρνας λέγουσιν. Εὔπολις « παρὰ τῇδε σὺ τῇ σοβάδι κατηγάγου. » (ὡς γραοφίλους δὲ αὐτοὺς εἰσάγει, καὶ περὶ γραῶν ἔρωτας ἐπτοημένους. ἀντὶ τοῦ γραῦς ὀχεύοντες.)

τραγομάσχαλοι : Ἀντὶ τοῦ δύσοσμοι· οἱ γὰρ ἄρρενες τῶν αἰγῶν τοιοῦτοι.

ἰχθυολῦμαι : Οἱ Ἀθηναῖοι τοὺς ἰχθῦς εἶχον ὡς μέγα ἔδεσμα.

815. καταχρεμψαμένη : (Μέγα) καταπτύσασα (αὐτῶν, ὦ Μοῦσα, τῶν προειρημένων ποιητῶν καὶ τῶν παίδων τοῦ Καρκίνου).

816. ἀφῆκε τὸ ῥῆμα καὶ τὸ ἀντεπίρρημα. R.

819. ὡς χαλεπὸν : (Κορωνίς· προῆσι γὰρ οἱ ὑποκριταί. καὶ τὰ πρῶτα ἰαμβικὰ τρίμετρα ἀκατάληκτα λ'ς. ἐπὶ τῷ τέλει κορωνίς.) ὁ Τρυγαῖός ἐστι κατελθὼν ἐκ τοῦ οὐρανοῦ καὶ λοιπὸν τῇ οἰκίᾳ πλησιάσας, καὶ τὸν κόπον, ὃν ὑπέστη, διηγεῖται.

822. κακοήθεις πάνυ : Ἀνθυπήλλαξεν ἀντὶ τοῦ εἰπεῖν μικρότεροι, παρ' ὑπόνοιαν διαβάλλων Ἀθηναίους ὡς κακούργους. δοκεῖ δὲ καὶ τοῖς ἄνω τὰ κάτω μικρὰ φαίνεσθαι.

824. ἐπυθόμην τινὸς : Ἀντὶ τοῦ εἰπεῖν ὡς νομίζω, ὡς περὶ ἄλλου φησί.

829. ψυχὰς δύ' ἢ τρεῖς : Διαβάλλει αὐτοὺς ὡς μετεώρους, ἐπεὶ περὶ τῶν νεφελῶν λέγουσι πολλά. (συνεχῶς δὲ κωμῳδοῦσι τοὺς διθυραμβοποιοὺς ὡς ἐκ τοῦ ἀέρος καὶ τῶν νεφελῶν σπῶντας τὰς λέξεις, διὰ τὸ συνθέτους εἶναι παρ' αὐτοῖς.)

830. ἀναβολὰς : Τὰς ἀρχὰς τῶν ᾀσμάτων. Ὅμηρος [Od. A, 155] « ἤτοι ὁ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν. »

831. τὰς ἐνδιαεριανερινηχέτους : Κωμῳδεῖ τοὺς διθυραμβοποιοὺς ὡς ἀπὸ τοῦ ἀέρος ἀρχομένους, (καὶ λέξεις τινὰς αὐτῶν διαβάλλει τῶν διθυραμβοποιῶν ὡς τοιαῦτα λεγόντων. Δίδυμος δὲ πεπλάνηται λέγων αὐερινηχέτους· οὐ γὰρ λέγουσιν αὐέρα οὗτοι. συνεχῶς δὲ αὐτοὺς κωμῳδοῦσιν ὡς ἀέρας καὶ νεφέλας καὶ τὰ ἐκ τούτων σύνθετα ποιοῦντας. μήποτε δὲ οὐκ ἀορίστως μόνον, ἀλλὰ καί τινος τῶν διθυραμβοποιῶν λέξεις τινὰς χλευάζει. Ἄλλως.) τὰ προοίμια τῶν διθυραμβοποιῶν ὡς ἐπιτοπλεῖστον ἀπάδοντά ἐστι καὶ οὐδὲν πρὸς τὸ πρᾶγμα δηλοῖ. τὸ δὲ τοιοῦτον μετεώρων ἀνδρῶν.

835. Ἴων ὁ Χῖος : Διθυράμβων καὶ τραγῳδίας καὶ μελῶν ποιητής. ἐποίησε δὲ ᾠδὴν, ἧς ἡ ἀρχή « ἀοῖον ἀεροφοίταν ἀστέρα μείναμεν, ἀελίου λευκῇ πτέρυγι πρόδρομον. » φαίνεται δὲ τετελευτηκὼς ἐκ τούτων. παίζων οὖν ὁ Ἀριστοφάνης ἀοῖον αὐτόν φησιν ἀστέρα κληθῆναι. περιβόητος δὲ ἐγένετο. ἔγραψε δὲ καὶ κωμῳδίας καὶ ἐπιγράμματα (καὶ παιᾶνας καὶ ὕμνους καὶ σκολιὰ καὶ ἐγκώμια καὶ ἐλεγεῖα, καὶ καταλογάδην τὸν πρεσβευτικὸν λεγόμενον, ὃν νόθον ἀξιοῦσιν εἶναί τινες καὶ οὐχὶ αὐτοῦ. φέρεται δὲ αὐτοῦ καὶ κτίσις καὶ κοσμολογικὸς καὶ ὑπομνήματα καὶ ἄλλα τινά. καὶ πάνυ δόκιμος ἦν. φασὶ δὲ αὐτὸν ὁμοῦ διθύραμβον καὶ τραγῳδίαν ἀγωνισάμενον ἐν τῇ Ἀττικῇ νικῆσαι, καὶ εὐνοίας χάριν προῖκα Χῖον οἶνον πέμψαι Ἀθηναίοις. Σωκράτους δὲ τοῦ φιλοσόφου ἔστιν εἰς αὐτὸν λόγος λεγόμενος Ἴων. μέμνηται αὐτοῦ καὶ Καλλίμαχος ἐν τοῖς Χωλιάμβοις, ὅτι πολλὰ ἔγραψεν.) [ὡς δ' ἦλθεν ἐνθάδε, ἀντὶ τοῦ εἰς

τὸν οὐρανὸν, ἀπέθανεν.] — εἰς τὸν οὐρανόν. ἀπέθανε γάρ. ἀοῖον δὲ τὸν ἑῷον. R.

837. (Ἀοῖον αὐτὸν : Ὅτι ὁ μὲν Ἴων ἤδη τεθνήκει, δῆλον. οὐκ ἄδηλον δέ ἐστι ὅτι πρὸς τὸ ὑπ' αὐτοῦ ἕν τινι τῶν διθυράμβων λελεγμένον τὸ ἀοῖος ἀστὴρ παίζει.)

839. οἱ καόμενοι : Οἱ σπινθηρίζοντες, οἱ καλούμενοι διάττοντες, (οἱ ἐν τῷ λάμπειν τοὺς σπινθῆρας πέμποντες.)

841. ἴπνους : Οὓς νῦν ἡμεῖς λαμπτῆρας ἢ φανοὺς καλοῦμεν. (τοὺς νῦν φανοὺς καλουμένους λύχνους τινάς φασι λέγειν τῶν παλαιῶν, τὰς δὲ λαμπάδας τοὺς τραγικοὺς φανοὺς ἢ πανοὺς διὰ τοῦ π.)

842. (ταυτηνὶ λαβὼν : Ἐλέγετο ὅτι δύο πόρνας εἶχε τῇ Εἰρήνῃ συναφθείσας, τήν τε Ὀπώραν καὶ τὴν Θεωρίαν, ὧν τὴν μὲν Ὀπώραν ἔδωκε τοῖς γεωργοῖς, τῇ δὲ βουλῇ τὴν Θεωρίαν. τούτων οὖν τὴν μὲν Ὀπώραν τοῖς οἰκέταις ὁ Τρυγαῖος δίδωσιν ἀπαγαγεῖν εἰς τὴν οἰκίαν, ὡς αὐτὸς αὐτὴν γαμήσων, καὶ παρακελεύεται τὰ πρὸς τοὺς γάμους αὐτῆς εὐτρεπίσαι. τὴν δὲ Θεωρίαν αὐτός φησιν ἀπομύσας δώσειν τῇ βουλῇ. ἴσως δὲ ἡ Εἰρήνη ἐν τῷ οὐρανῷ ἔμεινεν· οὐδαμοῦ γὰρ ποιεῖται αὐτῆς μνήμην ὡς κατελθούσης.)

843. ἀντὶ τοῦ κατακλύζεσθαι ποίησον, ὅ ἐστι γέμισον ὕδατος. R. V.

844. προστακτικόν ἐστι τὸ στόρνυ καὶ ἔστιν ὁ τε σύνδεσμος. R. V.

846. τὴν Θεωρίαν. R.

849. πορνοβοσκοῦσι : Πιθανῶς ἐδήλωσεν ὅτι πόρναι ἦσαν ἡ Ὀπώρα καὶ ἡ Θεωρία.

850. οὐκ, ἀλλὰ : Οὐχ ὡς ἐν ἀποφάσει, ἀλλ' ὡσεὶ εἶπεν, ἀλλ' οὐχὶ κἀκεῖ τινές εἰσιν ἀπὸ τούτων; ἐπεὶ πῶς ἀπαρνησάμενος συντίθεται πάλιν.

851. ἄγε νυν : Ὁ θεράπων λέγει ἄγε νυν ἴωμεν τῇ Ὀπώρᾳ, εἶτα ἐρωτᾷ τὸν δεσπότην περὶ τῆς Ὀπώρας.

854. λείχειν ἄνω : Τοῦτο καὶ τὸ ἐξῆς διὰ τὸ κακέμφατόν τινες παραιτοῦνται, (ὅτι ἐπαμφοτεριζόντως λέλεκται, καὶ πρὸς τὸ πρᾶγμα καὶ πρὸς τὸ ἀσελγές).

855. εἰς τὸ κακέμφατον τῆς πόρνης λέγεται. R.V.

856. εὐδαιμονικῶς : [Στροφὴ ἀμοιβαία κώλων ζ'. ἔχει δὲ καὶ ἀντιστροφὴν τὸ « ἦ χρηστὸς ἀνήρ. » καὶ εἰσὶ τοῦ μὲν χοροῦ τὰ κῶλα Ἰωνικὰ ἀπὸ μείζονος, τὰ μὲν β' δίμετρα ἀκατάληκτα, τὸ δὲ γ' ἡμιόλιον· ὁ δὲ τοῦ ὑποκριτοῦ στίχος ἰαμβικὸς τετράμετρος καταληκτικός. καὶ αὖθις τὰ τοῦ χοροῦ τρία τοῖς ἄνω κάτισα κώλοις. ὑφ' ἃ παράγραφος καὶ ἡ ἔσω διπλῆ. ἑξῆς δ' ἐν εἰσθέσει σύστημα κατὰ περικοπὴν στίχων ἰαμβικῶν τετραμέτρων καταληκτικῶν ε'. ὑφ' οὓς κορωνίς.] διπλῆ· ἕπεται γὰρ μέλος ἀμοιβαῖον τοῦ χοροῦ καὶ τοῦ ὑποκριτοῦ, οὗ ἐστι πρῶτον ἐν ἐκθέσει κῶλα γ' τοῦ χοροῦ, ὧν τὸ μὲν α' καὶ τὸ β' Ἰωνικὸν ἀπὸ μείζονος ἐφθημιμερῆ συνημμένα, τὸ δὲ γ' Ἰωνικὸν καὶ αὐτὸ ἡμιόλιον. ὁ δὲ τοῦ ὑποκριτοῦ στίχος, τετράμετρος ὅμοιος τοῖς ἄνω. ταῦτα δύναται εἶναι στροφὴ καὶ ἀντίστροφος. τὰ δὲ ἑξῆς εἰς ἐπῳδόν. εἰσὶ δὲ τοῦ χοροῦ στίχοι ὅμοιοι τοῖς ἄνω ἰαμβικοὶ τετράμετροι καταληκτικοί. δύο δὲ ἐν ἐκθέσει στίχοι ἰαμβοι τετράμετροι καταληκτικοί. V. εὐδαιμονικῶς ὁ πρεσβύτης τὰ νῦν πράττει ὅσον ἐστὶν ἰδεῖν. R.V.

857. τὰ νῦν τάδε : Ἀττικοὶ οὕτως ἔλεγον ἀντὶ τοῦ νῦν. R. Ἀττικῶς οὕτως ἔλεγε ἀντὶ τοῦ νῦν. V.

861. ἀντὶ τοῦ γενόμενος. R. οἷον πάλιν ἀνανεάζων. V.

862. μυραλοιφίαις ἀληλιμμένος. V.

863. τῆς Ὀπώρας. οἶμαι, φησὶ, πάλιν νέος εἶναι, ὡς προεῖπον. V.

864. εὐδαιμονέστερος : Ἀντὶ τοῦ κακοδαιμονέστερος, ἐν εἰρωνείᾳ. στροβίλους δέ φησι τούτους ἢ διὰ τὸ τραχὺ τοῦ σώματος, ἢ πρὸς τὸ τοῦ Καρκίνου ὄνομα παίζων· ὀστρακόδερμοι γὰρ οἱ καρκίνοι, καθάπερ καὶ οἱ στρόβιλοι, [τουτέστιν οἱ κοχλίαι ἢ οἱ θαλάττιοι κήρυκες]. ἢ διὰ τὸ ἐν τῇ ὀρχήσει στροβεῖσθαι, (ἐπειδὴ καὶ οἱ στρόβιλοι κώνου ἐπέχουσι δίκην). Ἄλλως. στρόβιλός ἐστιν ἡ συστροφή. στροβίλους οὖν εἶπε καθ' ὃ καὶ ἀλλαχοῦ [v. 789] γυλιαύχενας.

866. παρατηρητέον ὅτι οὐκ ἐπὶ ἁρμάτων μόνον ἔλεγον ὄχημα. R. V.

867. παραγραμμίσαι μοι δοκεῖ τοῦ γελοίου χάριν, ἀντὶ τοῦ πίνειν τε καὶ καθεύδειν. V.

868. [ἡ παῖς λέλουται : Κορωνὶς ἑτέρα εἰσιόντων τῶν ὑποκριτῶν ἐξ ἰαμβείων μα'. ἐπὶ τῷ τέλει κορωνίς.]

869. σησαμῆ : (Παρὰ τὸ ἐν τοῖς γάμοις ἔθος. ἐδόκουν γὰρ ἐν τοῖς γάμοις σήσαμον διδόναι, ὅς ἐστι) πλακοῦς γαμικὸς ἀπὸ σησάμων πεποιημένος, διὰ τὸ πολύγονον, ὡς φησι Μένανδρος. (σησαμοῦς δὲ καὶ σησαμῆ διαφέρει· σησαμοῦς μὲν εἶδος πλακοῦντος, σησαμῆ ἦν φαμεν ἡμεῖς σησαμίδα. [Av. 159 :] « σήσαμα δὲ καὶ μήκωνες καὶ σισύμβρια. » φύλλα οἷς στεφανοῦνται οἱ νυμφίοι. καὶ σησαμούντια πόπανα.)

872. πρὸς οὐδὲν τὸ τι. V.

874. ἐπαίσαμεν : Συνουσιάζομεν, ἠλαύνομεν. πόρνη γάρ ἐστιν. ἐν Βραυρῶνι δὲ δήμῳ τῆς Ἀττικῆς πολλαὶ πόρναι. ἐκεῖ δὲ καὶ τὰ Διονύσια ἤγετο, καὶ καθ' ἕκαστον δῆμον, ἐν οἷς ἐμέθυον. μεθύοντες δὲ πολλὰς πόρνας ἥρπαζον. R. V.

875. καὶ μόλις ταύτης ἐγκρατεῖς γεγενήμεθα. V.

876. πρωκτοπεντετηρίδα : Παρόσον διὰ πενταετηροῦς χρόνου ἤγοντο αἱ θεωρίαι τῶν Διονυσίων.

879. εἰς Ἴσθμια : Οἱ γὰρ θέλοντες θεωρεῖν προκαταλαμβάνουσιν ἑαυτοῖς τόπους. εἰς Ἴσθμια δὲ εἴρηκεν, ἅμα ὅτι καὶ ἀγὼν Ἰσθμιακὸς, καὶ διὰ τὴν στενότητα τοῦ αἰδοίου τῆς πόρνης. διὸ καὶ εἶπε « τῷ πέει σκηνὴν ποιῶ. » στενὸς δὲ καὶ ὁ Ἰσθμος. πάσας δὲ τὰς πανηγύρεις θεωρίας ἐκάλουν. R. V.

(στενοῦ γὰρ ὄντος τοῦ τόπου πάντες προλαβεῖν σπεύδουσιν, ἐπεὶ οὐχ εὑρίσκουσι ξενίαν. πιθανῶς δὲ οὔτε Ὀλύμπια οὔτε Πύθια εἶπεν. Ἄλλως.) εἷς τῶν θεατῶν τὰ ἰσχία τῆς Θεωρίας καταλαμβάνει καὶ ἐφάπτεται περιφέρων τὸν δάκτυλον. ἅμα οὖν πρὸς τὴν Θεωρίαν τὰ Ἴσθμια. ἐπιτιμᾷ δὲ ὁ δεσπότης ὡς ἁπτομένῳ τῶν

ἰσχίων αὐτῆς. περιγράφειν γάρ ἐστι τὸ περιορίζειν ἁπτόμενον. (τῷ δακτύλῳ περιέγραφε τὰ ἰσχία. Ἄλλως. τὸ λεγόμενον τοιοῦτόν ἐστι. προκαταλαμβάνω θήκην ἐμαυτῷ ταῖς ἡδοναῖς. ἐπεὶ δ' ἐν Ἰσθμῷ διὰ τὴν τοῦ τόπου στενοχωρίαν οὐκ ἔστι ξενίας ἐπιτυχεῖν εὐχερῶς, ἔθος τῇ πανηγύρει τῶν Ἰσθμίων πρόπαλαι καταλαμβάνειν τὰς σκηνὰς τοῖς πανηγυρίζειν βουλομένοις.) R. V.

διττὴ ἡ ἑρμηνεία. πρός τε τὴν Θεωρίαν καὶ πρὸς τὴν γυναῖκα. V.

παρεπιγραφή· ἁπτόμενος γὰρ αὐτῆς τῆς πυγῆς καὶ θαυμάζων καὶ τοῖς θεαταῖς ἐπιδεικνύμενος τὸ αἰδοῖον. πενταετηρίδα δὲ προσέθηκε τὸ ἔργον τῆς θεωρίας· διὰ πενταετοῦς γὰρ ἐπιτελοῦνται τὰ Διονύσια. ἢ ὅτι διὰ πέντε ἐτῶν εἶδον τὴν θεωρίαν. V.

881. ὁ δυνάμενος φυλάξαι τὴν Θεωρίαν, ἕως αὐτὴν παραδῶ τῇ βουλῇ. R.

882. τοὺς θεατὰς ἢ τὸ βουλευτήριον. R.

883. τεχνικῶς περὶ τῆς θεωρίας διαλεγόμενος ἐκείνου ἀνθάπτεται· ἅμα καὶ ὅτι ἐν ταῖς θεωρίαις ζωμοὶ γίνονται ἀπὸ τῶν βοῶν τῶν θυομένων, ἅμα δὲ ὅτι λείκτης διεβάλλετο ὁ Ἀριφράδης καὶ μεμηνὼς ἐπὶ γυναιξίν. ὡς φοινικιστὴς γὰρ λοιδορεῖται, ὅπερ καὶ ἐκ τοῦ προσπεσών δηλοῖ. R. V.

ἔφην ὅτι ὡς ἀρρητοποιὸν αὐτὸν διαβάλλει. ὁρᾷς οὖν ὡς ἐπαμφοτεριζούσαις χρῆται ταῖς λέξεσιν, ὡς καὶ ἐπὶ τῆς θεωρίας διαλεγόμενος κἀκείνου καθαπτόμενος. ἐκλάψεται δὲ, ἐκπίεται καὶ ἐκροφήσει. καὶ τὸ σχῆμα δὲ τῆς αἰσχρουργίας διὰ τοῦ προσπεσών δείκνυσιν. V.

886. τὰ σκεύη : Ἀντὶ τοῦ τὰ μαγειρεῖα, διὰ τὸ θύειν ἐν ταῖς πανηγύρεσιν. ἢ πρὸς τὴν Θεωρίαν λέγει φέρουσάν τινα εἰρήνης καὶ γεωργίας σύμβολα. R. V.

887. πρυτάνεις : (Τῆς γὰρ βουλῆς ἐπρυτάνευον δέκα, ἄλλοι δέ φασιν ὀκτώ.) τὸν λόγον ἀπέτεινε λοιπὸν πρὸς τὴν βουλὴν ὡς παραδιδοὺς τὴν Θεωρίαν. R. V.

890. ἀνάρρυσις : Ἀνάρρυσις μία τῶν Ἀπατουρίων ἡμέρα. Ἀπατούρια δὲ ἑορτὴ παρ' Ἀθηναίοις (τὸ συμβὰν δηλοῦσα τῇ προσηγορίᾳ. καὶ ἀναρρύειν τὸ ἐπιθύειν, ἀντὶ τοῦ θυσίαν ἐπιτελεῖν. τρεῖς δὲ ἦσαν αἱ ἡμέραι τῶν Ἀποτουρίων, δόρπεια, κουρεῶτις, ἀνάρρυσις. τὴν δ' αἰτίαν καίπερ ἐν ἄλλοις [ad Eq. 146] ῥηθεῖσαν ἡμῖν οὐ χεῖρον κἀνταῦθα θεῖναι. Ἀθηναίων γὰρ περὶ Κελαινῶν πρὸς Βοιωτοὺς πόλεμον ἀραμένων, Ξάνθος Βοιωτὸς προεκαλέσατο τὸν Ἀθηναίων βασιλέα Θυμοίτην. καὶ οὗτος μὲν οὐκ ἐδέξατο, Μελάνθιος δέ τις Ἀρκὰς τὸ γένος, ἐν Ἀττικῇ ὢν καὶ οἰκῶν, ὑπέστη τὸ μονομάχιον. καὶ κατελθόντων αὐτῶν εἰς τὸ ἀφωρισμένον πεδίον ἐπὶ τὸ μονομαχῆσαι, ὁ Μελάνθιος δόλῳ ἀναιρεῖ τὸν Ξάνθον. προσιόντι γὰρ αὐτῷ ἔφη « ἀδικεῖς, ὦ « Ξάνθε, μόνος φήσας παραγενέσθαι καὶ δεύτερος παρα« γενόμενος. » ἐφ' ᾧ στραφεὶς ὁ Ξάνθος, ὡς θεασόμενος τὸν ἥκοντα, ἐτρώθη παρὰ Μελανθίου καὶ ἀπώλετο. ἀφ' οὗ καὶ τὴν ἑορτὴν Ἀθηναῖοι ταύτην ἄγουσιν, ἀπὸ τῆς ἀπάτης Μελανθίου Ἀπατούρια προσαγορεύσαντες. τινὲς δέ φασι τὸν Διόνυσον παραστῆναι τῷ Ξάνθῳ σὺν ἀγροικικῷ σχήματι, ὃν θεασάμενος Μελάνθιος τὰ εἰρημένα διεπράξατο· ὅθεν καὶ αὐτῷ ἦγον τὴν ἑορτὴν ταύτην.)

(πόλεμος γὰρ τοῖς Ἀθηναίοις) συνέστη πρὸς Βοιωτούς. ἡγεῖτο δὲ τῶν μὲν Βοιωτῶν Ξάνθος, ἐβασίλευε δὲ τῶν Ἀθηναίων Θυμοίτης κατ' ἐκεῖνο καιροῦ τῇ ἡλικίᾳ ἤδη γέρων. ὁ οὖν Ξάνθος ὁ τῶν Βοιωτῶν προεκαλέσατο εἰς μονομαχίαν τὸν Θυμοίτην, ἐφ' ᾧ, εἰ μὲν αὐτὸς νικήσει, κρατήσει καὶ τῆς τῶν Ἀθηναίων ἀρχῆς, εἰ δὲ ὁ Θυμοίτης, καὶ τῆς τῶν Βοιωτῶν. (ὁ οὖν Θυμοίτης οὐ βουλόμενος διὰ τὸ γῆρας, ἵνα μὴ διὰ τὴν αὐτοῦ ἀσθένειαν ἡ πατρὶς ἄλλῳ δουλεύσῃ, ἀνεκήρυξε τῷ μονομαχοῦντι τὴν ἀρχήν.) R. V.

891. (τοὐπτάνιον : Τὸ μαγειρεῖον, ὅπου τῇ βουλῇ σκευάζεται μετὰ τὰς θυσίας κρέα, ὅπερ καὶ μᾶλλον. Ἄλλως. τὸ αἰδοῖον αὐτῆς δείκνυσι. τὸ κεκάπνικε δὲ, ἐπειδὴ μέλαν ἐστὶ διὰ τὰς τρίχας. καὶ αὕτη διαφέρει ἡ ἐξήγησις τοῦ λέγοντος αὐτὴν ἀποπνευματίσαι, ἣν καὶ ἐπλάσαντο τὴν ἄλλην μὴ νοήσαντες.)

892. καὶ κεκάπνικ' : Ὡς ἀποπνευματισάσης. τὸ δὲ κεκάπνικεν ὡς ἐπὶ ὀπτανίου.

893. τὰ λάσανα : Ὅτι οὕτως οἱ χυτρόποδες. ἐπεὶ δὲ εἶπε τὸ ὀπτάνιον, ἐπήγαγε καὶ τὰ λάσανα. δηλοῖ δὲ τοὺς δασεῖς αὐτῆς μηρούς. δηλοῖ δὲ καὶ τὰ μαγειρεῖα, ὅπου τῇ βουλῇ σκευάζεται μετὰ τὰς θυσίας κρέα.

894. (ἐξέσται ποιεῖν : Οὐδὲν εὐφυέστερον τῆς παρενθέσεως, ἵνα ἐπὶ πλέον χρήσασθαι δυνηθῇ τοῖς μέσοις ῥήμασιν.)

896. ἐπὶ γῆς παλαίειν : (Ἅπαντα ὡς ἐπὶ συνουσίας σχημάτων καὶ θεωρίας.) — ὡς ἐπὶ συνουσίᾳ λέγει. R.

898. πὺξ ὁμοῦ : Παρὰ τὸ λεγόμενον « πὺξ ὁμοῦ καὶ τῷ σκέλει. » παρὰ προσδοκίαν οὖν ἀντὶ τοῦ τῷ σκέλει, δεικνύς τε τὰ μὲν ὡς ἐπὶ παλαισμάτων, τὰ δὲ ὡς ἐπὶ γυναικείων σχημάτων.

899. ἱπποδρομίαν : Τὸ γὰρ παλαιὸν ταῖς ὑστέραις ἡμέραις τὰς ἱπποδρομίας ἦγον ἐν τοῖς ἀγῶσι.

900. κέλης κέλητα : Παρὰ τὴν συνουσίαν καὶ τοὺς κέλητας ἵππους, οἵ εἰσι μονάτορες.

901. ἅρματα : Ἀντὶ τοῦ εἰπεῖν σώματα ἅρματα εἶπε. τῇ δὲ τρίτῃ τῶν Ἀπατουρίων ἱπποδρομία ἦγετο. — ἀνατετραμμένα ἀντὶ τοῦ περικείμενα ἀλλήλοις τὰ σώματα. R.

902. (προσκινήσεται : Ὅρα τὸ ἀστεῖον οἷον· δῆλον γάρ ἐστιν ὃ διὰ τῆς τροπῆς λέγει.)

904. (καμπαῖς : Συστροφαῖς. καὶ κάμπιος δρόμος ὁ οὐκ εὐθὺς καὶ ἁπλοῦς, ἀλλὰ καμπὰς ἔχων.)

905. (ἀλλ' ὦ πρυτάνεις : Τοῖς πρυτάνεσιν ἔθος ἦν προσαγαγεῖν τοὺς δεομένους εἰς τὴν βουλήν. καὶ δῆλον ὅτι ἐδωροδοκοῦντο παρὰ τῶν χρῃζόντων προσελθεῖν, καὶ εἰ μέν τις αὐτοὺς ἐχρημάτιζε, προθύμως συνεπελαμβάνοντο, τοὺς δὲ προῖκα προσιέναι θέλοντας οὐκέτι μετ' ἴσης σπουδῆς προσῆγον. σκώπτει γοῦν αὐτοὺς ὡς ἥττους ὄντας λήμματος.)

907. ἀλλ' οὐκ ἂν εἴ τι προῖκα : Τοῖς πρυτάνεσιν ἔθος

ἦν προσάγειν τοὺς δεομένους προσόδου ἐν τῇ βουλῇ. ἐδωροδοκοῦντο δὲ παρὰ τῶν δεομένων. τὴν δὲ ἐκεχειρίαν ἅμα μὲν ὡς προφασιζομένων « ὅτι ἐκεχειρία ἐστὶν, οὐ δυνάμεθα σήμερον προσαγαγεῖν » καὶ μὴ προσαγόντων τῇ βουλῇ τοὺς μὴ δεδωκότας αὐτοῖς τῶν δεομένων, ἅμα δὲ πρὸς τὸ ὑπέχειν τὴν χεῖρα ἐπὶ τῷ λαβεῖν. (ἀναβάλλονται γὰρ ἐπὶ τῶν μηδὲν διδόντων οὕτως. ἐκεχειρία δὲ ἡ ἀνοχὴ τοῦ πολέμου, παρὰ τὸ ἀπέχειν τὰς χεῖρας· νῦν δὲ παίζει τὸ ἔχειν τι ἐν τῇ χειρὶ παρὰ τῶν δεομένων.)

908. ἀλλ' εὗρον ἄν σ' ὑπέχοντα : Ἀλλὰ κατέλαβόν σε ὑπέχοντα τὴν χεῖρα ἑτοίμην πρὸς τὸ λῆμμα. ἐπειδὴ ἐκεχειρίαι τότε πρὸς τοὺς Λάκωνας ἦσαν αὐτοῖς, πρὸς τοῦτο ἔπαιξεν, ἅμα καὶ σκώπτων αὐτοὺς ὡς ἥττους λήμματος.

(τὴν ἐκεχειρίαν : Ἐκεχειρία ἡ ἀνοχὴ, ὅτι δεῖ τὰς χεῖρας ἐπέχειν τῶν ἔργων. νῦν δὲ παίζει πρὸς τὸ ἔχειν τι ἐν τῇ χειρὶ παρὰ τῶν δεομένων. παρὰ τὴν χεῖρα δὲ παίζει, ἐπεὶ εἰώθασι λέγειν « ἐκεχειρία ἐστὶν, οὐ δυνάμεθα σήμερον εἰσάγειν. »)

909. [χρηστὸς ἀνὴρ : Ἰδοὺ ἡ ἀντιστροφὴ τῆς « εὐδαιμονικῶς » στροφῆς, ἄλλα τε ὅσα ἐκείνη καὶ τὸ κατὰ περικοπὴν ἔχουσα σύστημα. ἐπὶ τῷ τέλει αἱ ἀμφοτέρωθεν ἔξω διπλαῖ τῆς ἀντιστροφῆς· τὰ γὰρ τετράμετρα τῶν ἰαμβείων παραγράφῳ περατοῦται.]

(πολίτης ἐστὶν : Οὔτε συμπολίτην οὔτε συνδημότην λέγουσιν. ὁ μέντοι Εὐριπίδης που [Heraclid. 826] λέγει « ὧ συμπολῖται τῇ τε βοσκούσῃ χθονὶ καὶ τῇ τεκούσῃ « νῦν τιν' ἀρκέσαι χρεών. »)

916. λεπαστὴν : Εἶδος ποτηρίου μεῖζον ἢ κύλιξ. οὕτως ὁ Σύμμαχος. ὁ δὲ Παλαμήδης τὸ πιθάριον ἐκδέχεται.

920. δημότην : Ἀντὶ τοῦ δημοτικόν.

922. [ἄγε δὴ τί νῷν : Κορωνὶς ἑτέρα ὁμοία τῇ ῥηθείσῃ, ἧς οἱ μὲν ιζ' στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. ὁ ιη' ὅμοιος τετράμετρος καταληκτικός. τὰ ἑξῆς δύο κῶλα ἀναπαιστικὰ δίμετρα. ὧν τὸ μὲν ἀκατάληκτον, τὸ δ' οὔ. ὁ τελευταῖος ἰαμβικὸς τετράμετρος ἀκατάληκτος. ὑφ' ὃν κορωνίς.]

διπλῆ καὶ ἔκθεσις εἰς ἰάμβους τριμέτρους ἀκαταλήκτους ιζ'. V.

923. χύτραις ἱδρυτέον : (Ὅτε μὲν ταῖς χύτραις ὅσπρια ἥψον, ὅτε δὲ ἄλλο τι πολυτελὲς ἱερεῖον, καὶ οὕτως ἵδρυον, καὶ πρὸς τὸ θυόμενον ἔλεγον, βοῒ ἱδρύεσθαι ἢ αἰγὶ ἢ προβάτῳ, ἢ οἷον ἂν ᾖ τὸ ἱερεῖον, ὥσπερ ἐν Πλούτῳ. Ἄλλως. ἔθος εἶχον Ἑρμᾶς ἱδρύοντες πρὸ τῶν θυρῶν, καὶ ἄλλα τινὰ ἀγάλματα θεοῦ, ὑπὲρ τοῦ μὴ βραδύνειν παρὰ τὴν ἀνάστασιν, χύτραις ἀθάρας ἱδρύεσθαι καὶ ἄλλοις τισίν. Ἄλλως.) ὁπότε μέλλοιεν βωμοὺς καθιδρύειν ἢ ἄγαλμα θεοῦ, ἕψοντες ὅσπρια ἀπήρχοντο τούτων, τοῖς ἀφιδρυμένοις χαριστήρια ἀπονέμοντες τῆς πρώτης διαίτης, ὡς οὕτος εἶπεν ἐν Δαναΐσι « μαρτύρομαι δὲ Ζηνὸς ἑρκείου χύτρας, μεθ' ὧν ὁ βωμὸς οὗτος ἱδρύθη ποτέ. » ποτὲ δὲ καὶ πολυτελεστέρῳ ἱερείῳ ἀφιδρύοντο· φησὶ δὲ καὶ ἐν τοῖς ἑξῆς [1060] « εἰρήνην « εἵλοντο καὶ ἱδρύσανθ' ἱερείῳ. » (μεμφόμενοι δὲ ὡς πολυτίμητον οὖσαν ἄλλαις ἱερωσύναις αὐτὴν ἱδρύσαντο· « ὡς οἱ μὲν νέφος ὀξὺ ἀπωσάμενοι πολέμοιο εἰρήνην « εἵλοντο, καὶ ἱδρύσανθ' ἱερείῳ. ») ἐν δὲ τῷ Πλούτῳ [1198] « τὰς χύτρας αἷς τὸν θεὸν ἱδρυσόμεθα, λαβοῦσα ἐπὶ « τῆς κεφαλῆς φέρε. »

924. χύτραισιν ὥσπερ μεμφόμενοι : Ἠγανάκτησαν ἀκούσαντες ἐν χύτραις ἱδρύεσθαι τὴν Εἰρήνην, ὡς εὐτελοῦς οὔσης τῆς θυσίας ἐκ τῶν ἄλλων. διὸ φασὶν ἄλλαις ἱερωσύναις αὐτὴν ὡς πολυτίμητον θεραπεύσωμεν. ἐν δὲ τοῖς ἑξῆς ἱερείῳ φησὶ ἱδρύσασθαι αὐτὴν οὕτως· « ὡς οἱ « μὲν νέφος ἐχθρὸν ἀπωσάμενοι πολέμοιο εἰρήνην εἵ« λοντο, καὶ ἱδρύσανθ' ἱερείῳ. »

Ἑρμίδιον : Ἀντὶ τοῦ εὐτελές. ὡς τοῦ Ἑρμοῦ χύτραις ἱδρυμένου ἐπὶ πολὺ, ὡς μέμφεσθαι αὐτόν.

925. λαρινῷ βοΐ : (Ἐπειδὴ ἑώρα αὐτοὺς πρὸς τὴν διὰ τῶν χυτρῶν καθίδρυσιν ἀχθεσθέντας, ἄλλον τρόπον τῆς καθιερώσεως ὑποτίθεται, καὶ φησὶν, βούλεσθε λαρινῷ βοΐ; περὶ δὲ τῶν λαρινῶν βοῶν Λύκος μὲν ὁ Ῥηγῖνος ἐπὶ ταῖς πρὸς Ἀλέξανδρόν φησιν ἀπὸ Λαρίνου τινὸς βουκόλου ταύτην αὐτοὺς τὴν προσηγορίαν ἐσχηκέναι. εἰσὶ δέ τινες οἳ παρὰ τὸν λάρον ἀξιοῦσιν αὐτοὺς οὕτω καλεῖσθαι. οἱ δὲ τὴν ρι συλλαβὴν δασύνουσιν, ἵν' ᾖ λαρινοὺς τοὺς μεγαλορίνους· ἐν δὲ τῇ Χαονίᾳ φασὶ τοιούτους εἶναι βοῦς, οὓς καὶ Κεστρίνους καλοῦσιν. Ἄλλως.) ἀντὶ τοῦ μεγάλῳ καὶ εὐτραφεῖ. τοὺς δὲ ἠπειρωτικοὺς βοῦς οὕτω λέγουσιν ἀπό τινος Λαρίνου βουκόλου, παραλαβόντος παρὰ Ἡρακλέους τὰς Γηρυόνου βοῦς, (καὶ θρέψαντος εἰς εὐεξίαν. τοῦτο δὲ Ἡρωδιανὸς ὀξύνει ἐν τῷ ζ' τῆς καθόλου, λαρινός ὡς ἀληθινός, ὥστε περισπαστέον τὴν δοτικὴν λαρινῷ).

926. βοηθεῖν : Ἐπὶ μάχην ὁραμεῖν. — πρὸς τὴν ἀρχὴν τῶν ὀνομάτων τοῦ βοΐ καὶ βοηθεῖν ἔπαιξεν. R.

928. Θεαγένους ὑηνία : Ἀντὶ τοῦ μωρία, ἀμαθία. διεβάλλετο γὰρ ὁ Θεαγένης εἰς μαλακίαν, καὶ ὡς ὑώδης καὶ δύσοσμος καὶ πένης. (ἦν δὲ ἐκ Πειραιῶς. ἐδόκει δὲ καὶ πένης εἶναι, θρύπτεσθαι δὲ ἐπὶ πλούτῳ. ἦν δὲ τὸ σῶμα παχὺς καὶ χοιρώδης. τὴν δὲ ὑηνίαν, τὴν δυσωδίαν, ἐκ τῶν ὑῶν, οἵπερ διαφόροις ἐδέσμασι χρώμενοι δυσώδη ἀποπατοῦσι, καὶ εἰς βορβόρους δὲ κυλίονται. ἔστι δὲ καὶ ἄλλος Θεαγένης, ὁ εἰς Ὅμηρον γράψας, ὃς καὶ ἐπὶ μαλακίᾳ διεβάλλετο, καὶ ἄλλοι πολλοί.)

930. Ἰωνικὸν : Οἱ γὰρ Ἴωνες δισυλλάβως λέγουσιν ὄϊς, οἱ δὲ Ἀττικοὶ μονοσυλλάβως καὶ τὰς οἷς καὶ πολλὰ τοῦ αὐτοῦ γένους. οἱ Ἀττικοὶ συναιροῦντες τὸν ὄϊν οἶν. οἱ γὰρ Ἴωνες πολλὰ διηρημένως φασίν.

932. οἱ καθήμενοι ὑπὸ τοῦ δέους : Ἵνα ἐπιστένωσι τῷ εἰσηγουμένῳ πόλεμον. τὸ γὰρ οἰ ὀδυρομένων ἐστὶν ἐπίφθεγμα καὶ δυσχεραινόντων. (Δίδυμος δὲ ἐν ἐκτάσει. οἱ γὰρ φοβούμενοι οὕτω λέγουσιν.)

935. ἀμνοὶ τοὺς τρόπους : Εὐήθεις, δειλοὶ ὡς οἱ κριοί. ἢ πραεῖς καὶ μαλακοί. τὸ γὰρ ἄρρεν πρόβατον,

ὅταν ἔχῃ τὴν μέσην ἡλικίαν, ἀμνὸς καλεῖται. οἱ δὲ τὸν ἐνιαύσιον ἄρνα ἀμνὸν καλοῦσιν.

939. ὡς πάνθ' ὅσ' ἂν θεὸς θέλῃ : Ὁ χορὸς ταῦτα θαυμάζων ὅτι ηὐτύχησεν ὁ γέρων καθ' ἑαυτόν. εἶτα πρὸς τὸν πρεσβύτην φησὶ τὸ χωρεῖ κατὰ νοῦν, εἶτα τὰ ἑξῆς πάλιν ἰδίᾳ.) τινὲς δὲ οὕτως « ὁπόσ' ἂν θέλωσιν οἱ θεοί, καὶ ἡ τύχη κατορθοῖ. »

διπλῆ· ἔπεται γὰρ μέλος, ὃ ὑπονοῶ μὲν ἔχειν τὸ ἀντίστροφον ἐν διεχείᾳ, φέρεται δὲ ὡς διάφορον. διόπερ πρότερον παραθήσομαι ὡς φέρεται. καὶ ἔοικεν ἐνταῦθα τὸ κατορθοῖ περιττεύειν καὶ ὁ τέ σύνδεσμος πρὸς τὸ « σέ τοι θύρασι χρὴ μένειν ὄντας τινάς. » καὶ τοῦτο δὲ ἁμάρτημά ἐστιν, ὅτι πρῶτα γ' κῶλά ἐστι καὶ μετ' ς. ἀλλὰ ταῦτα μὲν ἑατέον, ὡς δὲ ἔχει, ἐξηγητέον. τὸ τοίνυν πρῶτον τῶν τριῶν κώλων τοῦ ὑποκριτοῦ ἴαμβος τετράμετρος καταληκτικὸς καὶ ἀναπαιστικὰ δύο δίμετρα ἀκατάληκτόν τε καὶ καταληκτικόν. εἶτα ἐν ἐκθέσει στίχος ἰαμβικὸς τετράμετρος καταληκτικὸς τοῦ ὑποκριτοῦ καὶ ἐν εἰσθέσει τοῦ χοροῦ, οὗ τὸ πρῶτον προσοδιακὸν ἑνδεκάσημον, τὸ β' ἀναπαιστικὸν τρίπουν, τὸ δὲ γ' ἰαμβικὸν ἑφθημιμερές, τὸ δὲ δ' σύζυγον ἰαμβικὸν ἢ ἀναπαιστικόν, τὸ δὲ ε' ἰαμβικὸν ἑφθημιμερές. εἶτα ἐν ἐκθέσει τοῦ ὑποκριτοῦ δίστιχοι ἴαμβοι δίμετροι καταληκτικοί. καὶ ἐν εἰσθέσει τοῦ χοροῦ ἓξ κῶλα, ὧν τὸ α' ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τὸ β' ἐξ ἰαμβικῆς βάσεως καὶ τροχαϊκῆς καταληκτικῆς. τὸ γ' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ς' Ἰωνικὸν ἡμιόλιον. V.

940. ἄλλως ἄλλῳ κατὰ τύχην ἀποβαίνει τὰ πράγματα. V.

941. τούτων : Ἥγουν τῶν εὐτυχιῶν ἢ τῶν ἀνθρώπων. *Vict.*

942. ὡς ταῦτα δῆλά γ' ἔστιν : Ἀπὸ τούτων γὰρ καταδηλόν ἐστιν, εἴ γε χρὴ τεκμήρασθαι τοῖς παροῦσιν. τὸ δὲ θύρασιν ἀντὶ τοῦ ἐξ ἑτοίμου.

943. ἐπείγετε : [Τὰ τοιαῦτα εἴδη καλεῖται ἀλλοιόστροφα. εἰσὶ γοῦν τῆς μὲν πρώτης στροφῆς κῶλα ἀναπαιστικὰ δέκα ἐπιμεμιγμένα προκελευσματικοῖς, τούτων δ' ἃ μὲν δίμετρά εἰσιν ἀκατάληκτα, ἃ δ' ἐφθημιμερῆ καὶ βάσεις, μετὰ δὲ ταυτα ἰαμβεῖα ζ'. τῆς δὲ δευτέρας στροφῆς τὰ κῶλα τρία, ὧν τὸ μὲν πρῶτον ἰαμβεῖον, τὰ δ' ἄλλα ἀναπαιστικά, δίμετρα μὲν ἄμφω, τὸ δέ τοι δεύτερον καταληκτικόν. ὁ ἓξῆς τοῦ ὑποκριτοῦ στίχος ἰαμβικὸς τετράμετρος καταληκτικός. τῆς τρίτης στροφῆς τὰ κῶλα ἀναπαιστικὰ τέσσαρα πλὴν τοῦ τελευταίου ἀκατάληκτα. οἱ ἑξῆς αὖθις τοῦ ὑποκριτοῦ ἰαμβικοὶ τετράμετροι καταληκτικοί. τῆς δὲ τετάρτης στροφῆς τὰ κῶλα Ἰωνικὰ ἀπὸ μείζονος ς', ἐπιμεμιγμένα παίωσι καὶ κρητικοῖς, ἀκατάληκτα πλὴν τοῦ πέμπτου καταληκτικοῦ καὶ τοῦ ς' ἡμιολίου. ὑφ' ὃ αἱ ἀμφοτέρωθεν ἔξω διπλαῖ. τιθέσθωσαν δὲ κἀν ταῖς ἀποθέσεσιν αἱ παράγραφοι.] ἐν ὅσῳ φησὶν, ἐκ τῶν θεῶν τὰ κατὰ τὸν πόλεμον ἐκπέπνευκε καὶ λελώφηκεν, σπουδάσωμεν ἰδρύσασθαι τὴν Θεωρίαν, τῶν τῆς εἰρήνης ἀγαθῶν ἀντειλαχθέντων. σοβαρὰ δὲ σεσοβημένη, εὐκίνητος. μετάτροπος δὲ ἀντὶ τοῦ εὔκρατος μεταβληθεῖσα.

944. κατέχει τὰ ἡμέτερα πράγματα. R. V.

946. ἀντὶ τοῦ ἡ Εἰρήνη. R.

948. ὅλας : Ὅτι ἐκέκρυπτο ἐν τῷ κανῷ ἡ μάχαιρα ταῖς ὅλαις καὶ τοῖς στέμμασι. καὶ ἐντεῦθεν κανοῦν, ἀπὸ τοῦ καίνειν. Πλάτων Παιδαρίῳ « φέρε τοῦτ' ἐμοὶ δεῖ- « ξον τὸ κανοῦν μοι δεῦρο· μὴ μάχαιρ' ἔνι. » — Ἄλλως· εἰώθασι γὰρ ἐπὶ τὸ κανοῦν τὴν μάχαιραν φέρειν κατακρύπτοντες αὐτὴν ταῖς ὅλαις καὶ τοῖς στέμμασιν. Ven.

951. Χαῖρις : Τῶν περὶ τὰς θυσίας αὐλητῶν ἦν ὁ Χαῖρις. ἦν δὲ καὶ ἕτερος κιθαρῳδός.

956. οὕτω τὴν χέρνιβα μᾶλλον προπαροξυντέον κατὰ τὴν ἀναλογίαν. οἱ δὲ Ἀττικοὶ παροξύνουσιν ὡς ἐν τραγῳδίᾳ καὶ κωμῳδίᾳ. δύο διπλαῖ καὶ ἐν ἐκθέσει στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ιζ'. V.

957. περίιθι : Τοῦτο πρῶτον ἐποίουν καθαίροντες τὸν βωμόν.

959. οὕτω διὰ τοῦ λ ὁ τὴν κωμικὴν γράψας λέξιν ἀναγινώσκει. V.

τὸ ἁλίον : Τὸ ὕδωρ ἐδόκουν καθαίρειν ἀποβάπτοντές τι τοῦ πυρός· καθαρτικὸν γὰρ πάντων τὸ πῦρ, ὡς Εὐριπίδης Ἡρακλεῖ [928] « μέλλων δὲ ἁλὸν χειρὶ δε- « ξιᾷ φέρειν, ἐπὶ χέρνιβ' (ὡς βάψειεν) Ἀλκμήνης τό- « κος. » διὸ καὶ οὐ γραπτέον, ὥς τινες, ἁᾳδίον· ἱκανὸν γὰρ τὸ Εὐριπίδου εἰς πίστιν.

960. πρὸς τὸ ἱερεῖον λέγει. ἐσπούδαζον γὰρ ἐπισπένδοντες ἵνα σείσῃ τὴν κεφαλὴν καὶ ἐπινεύειν τοῖς ἱεροῖς δοκῇ. R. V.

962. δέον εἰπεῖν « ῥῖπτε τῶν ὅλων κριθῶν, » νῦν εἶπε γενικῶς. ὁλαὶ γὰρ αἱ πρὸς θυσίαν κριθαί. V.

965. πρὸς τὴν κριθὴν παίζει, ὅτι τὸ τῶν ἀνδρῶν αἰδοῖον κριθὴν ἔλεγον, τὸ δὲ γυναικεῖον βύρσον. — κακεμφάτως τὸ πέος. R.

968. τῇδε : Σπένδοντες γὰρ ἔλεγον, τίς τῇδε, ἀντὶ τοῦ, τίς πάρεστιν. εἶτα οἱ παρόντες εὐφημιζόμενοι ἔλεγον, πολλοὶ κἀγαθοί. τοῦτο δὲ ἐποίουν οἱ σπένδοντες, ἵνα οἱ συνειδότες τι ἑαυτοῖς ἄτοπον ἐκχωροῖεν τῶν σπονδῶν. R. V. τὸ δὲ ποῦ ποτὲ ἔστι λέγει ἐν ἤθει. ποῦ εἰσὶν οἱ ἐπιφωνοῦντες, ἵνα αὐτῷ ἐπιλέγοιεν πιθανῶς. ἢ ὡς μηδενὸς ὄντος καλοῦ κἀγαθοῦ. V.

969. τοισδὶ : Τοῖς χορευταῖς. καταχεῖ δὲ αὐτῶν τὸ ὕδωρ ἐπὶ γέλωτι καὶ οὐδενὶ ἑτέρῳ.

974. διπλῆ καὶ εἴσθεσις εἰς ἀνάπαιστον, περίοδοι δύο, τὴν μὲν πεντεκαιτριακοντάμετρον ιθ' κώλων, ὅτι ἔχει μονόμετρα γ', τό τε β' καὶ ιά, καὶ ις', τὴν δὲ ἑξαιτεσσαρακοντάμετρον κγ' κώλων, ὅτι ἔχει μονόμετρα τρία. V.

981. παρακλίνασαι : Παρανοίξασαι. Ὅμηρος [Il. Θ, 395] « ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος ἠδ' ἐπιθεῖναι. »

986. ποίει μηδὲν : Μὴ κατὰ ταυτοῦ ὀλίγον χρόνον ποιήσῃς ἡμᾶς ἀπολαῦσαί σου, ἀλλ' εἰς τέλεον φανερὰν ἡμῖν σαυτὴν ποίησον.

990. Τὸ χ ὅτι οὐ συμφωνεῖ τοῖς χρόνοις ἃ λέγει. καὶ ἐν τοῖς Ἀχαρνεῦσι [266] φησὶ « ἕκτῳ σ' ἔτει προσεῖδον εἰς τὰ χωρία. » ἀλλὰ καὶ ὁ Φιλόχορος ἀπὸ Πυθοδώρου, ἀφ' οὗ ἡ ἀρχὴ τοῦ πολέμου δοκεῖ γεγενῆσθαι, μέχρι Ἰσάρχου καταριθμούμενος εἰς τὰ ιγ' ἔτη συνάγει τοὺς χρόνους. πάλιν Θουκυδίδης, κατὰ τὰς τῶν χειμώνων καὶ θερέων εἰσβολὰς τὸν πόλεμον γεγενῆσθαι λέγων, οὐδὲ αὐτὸς εἰς τοῦτον τὸν ἀριθμὸν ἔρχεται, ἀλλ' ἀπολείπεται παρὰ τὰ θ' ἔτη. λεκτέον τοίνυν ὅτι αὐτὸς αὑτοῦ ὁ Ἀριστοφάνης τὸ ἐνδόσιμον δεδωκὼς πῇ μὲν ἀνάπαυλαν πῇ δὲ πόλεμον γενέσθαι, ὡς μηδὲ τὴν ἀρχὴν βεβαίαν εἶναι μήτε τοῦ πολέμου μήτε τῆς εἰρήνης, ὥστε αἱ διαφωνίαι τῶν πραγμάτων εἰσὶν ἀνόμοιαι. Ἄλλως. τὸ χ ὅτι οὐ συμφωνεῖ τοῖς χρόνοις. ἀπὸ γὰρ Πυθοδώρου μέχρι Ἀλκαίου θ' ἔτη. καὶ ἐν Ἀχαρνεῦσι δὲ εἶπεν ὅτι ς' ἔτη εἰσὶν ἀφ' οὗ ὁ πόλεμος. ἀπὸ δὲ τῆς τῶν Ἀχαρνέων διδασκαλίας γ' ἔτη εἰσίν. οἱ δὲ ποιηταὶ πολλάκις ἀποσχεδιάζουσιν εἰς τοὺς χρόνους. τοῦτο πάλιν τὸ μονόμετρον βέλτιον κατὰ παράθεσιν ἀναγινώσκειν τριακαίδεκ' ἔτη. V.

991. κορκορυγὰς : Τὰς βοάς, τὰς ταραχάς, τοὺς θορύβους.

992. ἀστείως συνέθηκε τὴν λέξιν παρὰ τὸ λῦσαι τὴν μάχην. R. V.

993. ὑπονοίας : Ἵνα μὴ ὑπονοῶσι τὰς ἀλλήλων σπονδάς.

995. ἀντὶ τοῦ φλυαροῦμεν. R.

996. μίξον δ' ἡμᾶς : Εἰς φιλίαν ἄγε.

997. φιλίας χυλῷ : Ὡς ἐπὶ κακουμένων. χυλῷ οὖν τῷ ῥοφήματι.

999. ἡμῖν ἀγαθῶν : Τουτέστιν ἀφθονίαν τῶν ὠνίων ἡμῖν παράσχες. ἁρμόδιον δὲ τοῦτο τῇ εἰρήνῃ.

1000. ὅτι τὰ σκόροδα ἐκ τῆς Μεγαρίδος, ἔφη καὶ ἐν τοῖς προειρημένοις [502], λέγων « πρῶτοι γὰρ αὐτὴν τοῖς σκορόδοις ἠλείψατε. » V.

1001. σικύων πρώων : Ἐν εἰρήνῃ πολλὰ δι' ἐπιμέλειαν καὶ πρῶα εἶχον. ὅτι δὲ καλοὶ οἱ πρώϊμοι σικύαι καὶ ἡ παροιμία δηλοῖ « ἀρχομένων σικύων καὶ ληγουσῶν κολοκυντῶν. »

τὸ πρώων πρὸς τὸ σικύων· ἐν δύο δὲ συλλαβαῖς. ὡς καὶ τῶν σικύων δὲ πολλῶν ὄντων ἐν Μεγαρίδι καὶ φερομένων ἐκεῖθεν εἰς τὴν Ἀττικήν, ὡς καὶ αὐτὸς ἐν Ἀχαρνεῦσι [520] φησίν. οἱ δὲ πρώϊμοι σικύαι καλοὶ καὶ ἀβλαβεῖς. ἢ ὅτι οἱ ἐν εἰρήνῃ ὄντες πολλὰ δι' ἐπιμελείας καὶ πρῶια εἶχον.

πρώων : Τῶν πρὸ καιροῦ φαινομένων. διὰ δὲ τὸ ἀηδὲς τῆς ἐργασίας. V.

1003. κἀκ Βοιωτῶν γε : Ὅτι ὀρνιθοτρόφος ἡ Βοιωτία, καὶ ἐν Ἀχαρνεῦσι [876] φησὶν « ὥσπερεὶ χειμὼν « ἦλθες ὀρνιθίας εἰς τὴν ἀγορὰν φέρων, » ὅτε ἐπὶ τοῦ Βοιωτοῦ λέγει.

1005. Κωπαΐς λίμνη Βοιωτίας, ἐν ᾗ μεγάλαι ἐγχέλεις γίνονται, ὡς καὶ ἐν Ἀχαρνεῦσι [883] φησὶ « πρέσβειρα πεντήκοντα Κωπαΐδων κορᾶν. »

1007. εὐκαίρως τὸ ὀψωνοῦντας προσέθηκε πρὸς ἀντιδιαστολὴν τοῦ πολέμου, ἐν ᾧ δυσχερῶς ὠψώνουν, ἀπησχολημένοι ἐν τοῖς θορύβοις αὐτοῦ καὶ τοῖς κακοῖς. R. V.

Ἄλλως. τὸ ὀψωνοῦντας προσέθηκε πρὸς ἀντιδιαστολὴν τοῦ πολέμου. καὶ γὰρ τότε ἀνάγκη ἦν εἰς τὸ συνιέναι αὐτοὺς, εἴ ποτέ τις ταραχὴ γένοιτο, κατὰ εἴλας, τουτέστι κατὰ συστήματα συστρέφεσθαι. καὶ ἐν Ἀχαρνεῦσι [893] φησὶ « μηδὲ γὰρ θανών σου χωρὶς εἶην ποτέ. » V.

1008. Μορύχῳ Τελέᾳ : Καὶ τούτους ἀεὶ ἀπεῖναι βούλεται τῶν ὄψων, διὰ τούτου αὐτοὺς κολάζων ὡς γαστριμάργους, ὥς φησιν ἐν τοῖς Ἀχαρνεῦσιν [887]. νῦν δ' οὐκ οἶδα, ὅπως τὸ ἐναντίον φησίν. ἴσως οὖν τῇ παρουσίᾳ τούτων Μελάνθιον λυπῆσαι βούλεται ὄντα καὶ αὐτὸν λίχνον. ἦν δὲ τραγῳδίας ποιητὴς, ὡς προείρηται. R. V.

1009. ἀντὶ τοῦ λίχνοις. τένδειν γὰρ τὸ ἐσθίειν· « ὅτ' ἀνόστεος ὢν πόδα τένδει. » Ἡσίοδος [Op. 522]. R.V.

Ἄλλως. οὓς ἡμεῖς σιναμώρους. καὶ παρ' Ἡσιόδῳ τινὲς ὀρθῶς δοκοῦσι γράφειν « ὅτ' ἀνόστεος ὢν πόδα τένθει » διὰ τοῦ θ. V.

1011. θρηνεῖν. R. V.

1012. ἐκ Μηδείας : Μήποτε ἐκ τῆς Εὐριπίδου Μηδείας [96] παραγράφει ἐκεῖνα « ὦ δύστηνος ἐγὼ μελέα τε πόνων, πῶς ἂν ὀλοίμαν. » (οἱ δὲ αὐτοῦ τοῦ Μελανθίου φασὶν εἶναι Μήδειαν, ἐξ ἧς ταῦτα.)

1014. (λοχευομένας : Καὶ ἐν τοῖς Ἀχαρνεῦσιν [894] ἔφαμεν τοὺς μαγείρους μετὰ τεύτλων ἔψειν τὰς ἐγχέλεις. ἔπαιζε δὲ εἰπὼν λοχευομένας ἀντὶ τοῦ ἑψομένας. ἡδίστη δὲ ἡ ἔγχελυς ἐν τεύτλοις ἐστίν.)

1015. τοὺς δ' ἀνθρώπους ἐπιχαίρειν : Τοὺς ὁρῶντας ἐπιχαίρειν αὐτῷ θρηνοῦντι.

1016. διπλῆ καὶ ἔκθεσις εἰς ἰάμβους τριμέτρους ἀκαταλήκτους ζ'. V.

ὅτι ἐξεβλήθη τὸ η. V.

1019. οὐχ ἥδεται : Ταῦτα πρὸς τὸ ἔθος· φασὶ γὰρ τῇ τῶν συνοικεσίων ἑορτῇ θυσίαν τελεῖσθαι Εἰρήνῃ, τὸν δὲ βωμὸν μὴ αἱματοῦσθαι, Ἑκατομβαιῶνος μηνὸς (ἕκτῃ ἐπὶ δέκα. τινὲς δέ φασιν ἐκ τῆς παρούσης αἰτίας οὕτως αὐτῇ θύειν, αἵματος αὐτοὺς ἀπαλλάξασαν. Ἄλλως. πρὸς σύγκρισιν τοῦ πολέμου καλῶς ἔφησε μὴ χαίρειν τὴν Εἰρήνην σφαγαῖς· μόνοι γὰρ οἱ πολέμιοι αἵματι καὶ φόνοις χαίρουσι.)

1020. καὶ τοῦτο πρὸς σύγκρισιν τοῦ πολέμου, ὃς αἵμασι χαίρει.

(οὐδ' αἱματοῦται : Ἐν γὰρ τῇ τῶν συνοικεσίων ἑορτῇ οἱ μέν φασιν Εἰρήνῃ θυσίαν τελεῖσθαι, ἧς ὁ βωμὸς οὐχ αἱματοῦται. οἱ δὲ ἑστιῶσιν· ὡς ἄρα τότε σώζεται. καὶ ἰδίως ἀναιμωτὶ Εἰρήνῃ θύουσι.)

1022. χοὔτω τὸ πρόβατον : Διὰ τὸ μὴ θύεσθαι ἐν τῷ θεάτρῳ, ἀλλὰ τὸν χορηγὸν τῷ δοκεῖν θύειν ἀποκερδαίνοντα τὸ θῦμα. τῶν γὰρ ἐντοσθίων αἱρομένων παρὰ τῶν θυόντων, τὸ λοιπὸν σῶμα σωθήσεται τῷ ἱερεῖ, ἐπὰν θύσωσιν.

(τῷ χορηγῷ σώζεται : Ἤτοι ὅτι τῶν σπλάγχνων καὶ τῶν ἐντοσθίων ὑφαιρουμένων δοκοῦσι μέρος τι τοῦ ἱερείου κερδαίνειν οἱ θύοντες.)

1024. σχίζας : Σχίζας κυρίως ἔλεγον οἱ παλαιοὶ τὰ ἐπὶ ταῖς θυσίαις τιθέμενα ξύλα, ὡς καὶ Ὅμηρος [Od. Γ, 459] « καῖε δ' ἐπὶ σχίζῃς ὁ γέρων. »

1026. (μαντικῶς τὸ φρύγανον : Οἱ γὰρ ἀπὸ τοῦ πυρὸς μαντευόμενοι τὰ φρύγανα ὑποτιθέασιν εἰς τὸ ἐξάψαι κατὰ τὴν ἐπιστήμην τὴν ἑαυτῶν.)

1027. πῶς δ' οὐχὶ : Τοῦτό φησιν, ἐπεὶ ὑπέβαλε φρύγανα πρὸς τὸ ἀνάψαι, ὡς οἱ μάντεις. αὐτοὶ γὰρ ἑαυτοῖς καὶ τὰ φρύγανα τιθέασι πρὸς ἐπιστήμην ἑαυτῶν.

ὅσα χρὴ : Τί γὰρ οὐ ποιεῖς ὅσα χρὴ τοὺς ἐπιστήμονας;

1029. ἀντὶ τοῦ ὁπόσα χρή. R.

1030. εὐπόρῳ πρὸς τὸ ἐπινοεῖν. R.

1031. (Στιλβίδην : Ὁ Στιλβίδης εὐδόκιμος καὶ περιβόητος μάντις, τῶν τοὺς παλαιοὺς χρησμοὺς ἐξηγουμένων. ἀστειότατα δὲ τοῦτο παρέπλεξε. Ἄλλως. τὴν φλόγα, παρὰ τὸ στιλβειν, ἅμα δὲ καὶ παρὰ τὸν μάντιν Στιλβίδην, ὅν φησι Φιλόχορος ἀκολουθῆσαι ἐν Σικελίᾳ, ἡνίκα ἐπολέμουν Ἀθηναῖοι καὶ εἰς Σικελίαν ἐστράτευον. μέμνηται δὲ αὐτοῦ καὶ Εὔπολις Πόλεσιν « ὡς « οὖν τίν' ἦλθω δῆτά σοι τῶν μάντεων; πότερος ἀμεί- « νων ἀμφοτέρων, ἢ Στιλβίδης; »)

πιέζει : Ἀντὶ τοῦ λυπεῖ, ὡς λοιπὸν ἐκείνου ἀπορουμένου διὰ τὸ τοῦτον εὐδοκιμῆσαι.

1032. καὶ παιδὸς οὐδὲν δεήσει : Ἐμαυτῷ, φησίν, ὑπηρετῶ, καὶ χρεία οὐκ ἔσται παιδός. φιλοτιμεῖται δὲ περὶ τὰς ὑπηρεσίας κατὰ πάντα τὸν Στιλβίδην πλεονεκτῶν καὶ θύων καὶ ὑπηρετῶν. [Hic desinunt scholia Ravenn.] Ἄλλως. φιλοτιμεῖται περὶ τὰς ὑπηρεσίας, ἵνα κατὰ πάντα τὸν Στιλβίδην πλεονεκτεῖν δοκῇ, καὶ θύων καὶ ὑπηρετῶν. ἐγὼ οὖν, φησίν, οἶσω καὶ τράπεζαν, ὡς μὴ δεῖσθαι παιδός.

1039. ταυτὶ δέδραται : [Κορωνὶς εἰσιόντων ἑτέρων ὑποκριτῶν. οἱ δὲ στίχοι εἰσὶ πζ', ὧν οἱ μὲν κδ' ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, οἱ ἑξῆς μα' δακτυλικοὶ ἑξάμετροι. ἑξῆς τούτων κῶλον ὅμοιον ἐκ σπονδείων. οἱ ἑξῆς δέκα δακτυλικοὶ ἑξάμετροι. μεθ' οὓς ἰαμβεῖα ιϐ', ὧν τελευταῖον « οὐκ ἀποπετήσει θᾶττον εἰς Ἐλύμνιον. » ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ τῷ τέλει κορωνίς.] διπλῆ καὶ ἔκθεσις εἰς ἰάμβους τριμέτρους ἀκαταλήκτους κδ'. V. δέδραται δὲ ἀντὶ τοῦ δέδαρται. καὶ Ὅμηρος [Il. Ψ, 169] « περὶ δὲ δρατὰ σώματα νήει. » ὁ δὲ λόγος, ταῦτα πάντα παρεσκεύασται καὶ πέπρακται.

1040. θυλήματα : Τὰ τοῖς θεοῖς ἐπιθυόμενα ἅλφιτα. ἐπιρραίνεται δὲ οἴνῳ καὶ ἐλαίῳ. Τηλεκλείδης Στερροῖς « ὦ δέσποθ' Ἑρμῆ, κάπτε τῶν θυλημάτων. »

1044. δάφνη τις ἐστεφανωμένος : Οἱ ἱερεῖς καὶ οἱ μάντεις δάφνῃ ἐστεφανοῦντο εἰς γνώρισμα τῆς τέχνης.

1045. ὡς ἀλαζὼν : Ὡς ἀπὸ τῆς ὄψεως ἀλαζὼν φαίνεται.

1046. Ἱεροκλῆς : Ὡς ἀπὸ τοῦ ὀνόματος αὐτοῦ γινωσκομένου μᾶλλον ἢπερ ἀπὸ τῆς τέχνης. Ἄλλως. οὗτος μάντις ἦν καὶ χρησμολόγος, τοὺς προγεγενημένους χρόνους ἐξηγούμενος. ὡς ἀφυῆ δὲ καὶ [οὐκ] ἀκριβῆ μάντιν αὐτὸν κωμῳδεῖν βούλεται. καὶ ὅρα πῶς καθαρῶς· ἐκείνου γὰρ εἰπόντος ὅτι μάντις τις πρόεισιν, ὁ ἕτερος οὐ συγκατέθετο, ἀλλ' ἔφησεν οὐ μὰ Δί' ἀλλ' Ἱεροκλῆς ἐστιν. ὡς ἀπὸ τοῦ ὀνόματος αὐτοῦ γινωσκομένου μᾶλλον ἢ τῆς τέχνης. καὶ Εὔπολις Πόλεσιν « Ἱερόκλεες, βέλτιστε χρησμῳδῶν ἄναξ. »

1047. οὐξ Ὠρεοῦ : Διαβάλλει αὐτὸν ὡς οὐ πολίτην ἀλλ' Εὐβοέα. διὸ δηλοῖ ὅτι ὡς ξένος οὐκ εὐνοεῖ τῇ Εἰρήνῃ. Ὠρεὸς δὲ Εὐβοίας πόλις, ἣν Ὅμηρος Ἱστιαίαν φησίν.

1048. δῆλός ἐσθ' οὗτός γ' ὅτι : Προείπομεν γὰρ περὶ Εὐβοέων ὡς ἂν ἧσσον προθυμουμένων τῇ εἰρήνῃ.

1050. κατὰ τὴν κνῖσαν : Ὡς διὰ προφάσεως τοῦ σχήματος τῆς μαντείας ἐπεισπηδῶντος τοῦ Ἱεροκλέους καὶ μετέχοντος τῶν εὐωχιῶν.

1051. μὴ νῦν ὁρᾶν δοκῶμεν : Μὴ προσποιησώμεθα αὐτὸν ἑωρακέναι, μηδ' αὐτῷ προσλαλήσωμεν, ἵνα ἀποῤῥηθεὶς παρέλθῃ μηδὲν ἐνοχλήσας ἡμῖν.

1052. τίς ἡ θυσία : Ἱεροκλῆς ἐπιστὰς ἄκλητος, καὶ ταῦτα περιεργαζόμενος, τίνι οὖν, φησὶ, τῶν θεῶν;

1053. ὄπτα σὺ σιγῇ : Ἀπαλλαγῆναι αὐτὸν ποιεῖ, μὴ προσέχων μηδὲ ἀκηκοέναι προσποιούμενος. οἷον μηδὲν ἀποκρίνῃ πρὸς τὸ ἐρωτηθέν.

ἀπὸ τῆς ὀσφύος : Ἐπὶ τοῦ βωμοῦ τὰ σπλάγχνα ὄπτα ἐν σιγῇ. λέγει οὖν, ἀπὸ τῆς ὀσφύος τὸν ὀβελίσκον ἀπάγαγε. οἷον πρόσεχε μὴ ἅψῃ αὐτῆς· ταύτῃ γὰρ μαντεύονται. Εἰς τὸ αὐτό. ἀναχώρει ἀπὸ τῶν ἱερείων καὶ ἀφίστασο, φησίν.

1054. ἡ κέρκος ποιεῖ : Ἡ οὐρὰ καλὰ σημαίνει. ἔθος γὰρ εἶχον τὴν ὀσφῦν καὶ τὴν κέρκον ἐπιτιθέναι τῷ πυρὶ, καὶ ἐξ αὐτῶν σημείοις τισὶ κατανοεῖν εἰ εὐπρόσδεκτος ἡ θυσία, καὶ ἄλλα τινὰ πρὸς τὰ νεύματα σημεῖα λαμβάνειν, περὶ ὧν τὴν θυσίαν ἐποίουν.

1056. ταπάργματα : Τὰς ἀπαρχὰς, ἃς εἰώθασιν οἱ ἱερεῖς λαμβάνειν. ὁ Ἱεροκλῆς ταῦτα σημαίνει.

1058. πολλὰ πράττεις : Οἷον πολλὰ περιεργάζῃ καὶ πολυπραγμονεῖς.

1060. γλῶττα χωρὶς τέμνεται : Καὶ τοῦτο παροιμιακὸν ἀπὸ Ὁμήρου [Od. Γ, 332] « ἀλλ' ἄγε τάμνετε μὲν γλώσσας, » ὡς φησι Καλλίστρατος. καὶ τοῦτο δὲ Ἱεροκλέους πρὸς τὸ ἔθος. προειρήκαμεν δὲ ὅτι χρησμολόγος Ἱεροκλῆς· διόπερ νῦν χρησμοῦ τινὸς αὐτὸν προσάγει μνημονεύοντα.

1063. ἐς κεφαλήν σοι : Ὡς καταρασαμένου αὐτοῦ καὶ βλασφημήσαντος φησὶν, εἰς τὴν κεφαλὴν ἔλθοι τὸ δεινὸν, τουτέστι σεαυτῷ μάντευσαι ὅπερ εἶπας δυσχερές. Ἄλλως. μιμεῖται τοὺς χρησμολόγους· ἔστι γὰρ καὶ ὁ Ἱεροκλῆς χρησμολόγος. διόπερ νῦν χρησμοῦ τινος μνημονεύει.

1064. οὐκ ἰόντες : Οὐ νοοῦντες. οἵτινες διὰ τὴν

ἀβουλίαν τὴν ἑαυτῶν τῆς τῶν θεῶν οὐ συνίενται προνοίας.

1065. χαροποῖσι : Φοβεροῖς. πιθήκοις δὲ τοῖς Λακεδαιμονίοις. ἀντὶ τοῦ εἰπεῖν λέουσιν.

1066. αἰβοῖ αἰβοῖ : Παρεπιγραφή· ἀκούσαντες γὰρ τοῦ χρησμοῦ ἐγέλασαν. γέλωτος γάρ ἐστι τοῦτο τὸ μίμημα.

1067. καὶ κέπφοι : Εὔηθες ζῷον ὁ κέπφος, οὗ μέμνηται καὶ Νίκανδρος [Alexiph. 170] καὶ Ἄρατος [184] περὶ τῶν διοσημιῶν διαλεγόμενος, καὶ Καλλίμαχος ἐν τοῖς ἰάμβοις [fr. 81]. ἐκ δὲ τῆς θαλάσσης ζῆν αὐτὸν λέγουσιν, ἐσθίοντα τὸν ἀφρόν. εἶναι δὲ αὐτὸν πολὺν μὲν ἐν τοῖς πτεροῖς, ὀλίγον δὲ ἐν τοῖς κρέασι, καὶ κεκραγέναι ὠδίνοντα· ὅθεν γενέσθαι τὴν παροιμίαν « κέπφος ὠδίνει, » ἐπὶ τῶν ἐπαγγελλομένων μὲν μεγάλα, μηδὲν δὲ ἄξιον τῆς ἐπαγγελίας ποιούντων.

τρήρωνες : Οὐκ ἐπὶ τοῦ κέπφου, ἀλλὰ καθ' αὑτό. κέπφοι γὰρ οἱ κοῦφοι [ἀπὸ τῶν ὀρνέων], ὅθεν καὶ τοὺς ἐλαφροὺς ταῖς φρεσὶ κέπφους καλοῦμεν.

1068. ὧν δόλιαι ψυχαὶ : Ἀεὶ τοὺς Λακεδαιμονίους εἰς τοῦτο κωμῳδοῦσιν. καὶ Εὐριπίδης [Androm. 447] « Σπάρτης ἔνοικοι, δόλια βουλευτήρια. »

1069. θερμὸς ὁ πλευμῶν : Κεκαυμένος. ἐσθίοντες γὰρ τὰ σπλάγχνα θερμὰ ὄντα, τοῦτό φασι πρὸς Ἱεροκλέα. Ἀττικῶς δὲ διὰ τοῦ λ ὁ πλεύμων.

1070. νύμφαι : Αἱ ἔφοροι τῆς μαντικῆς νύμφαι. οὕτω δὲ εἶπεν, ὡσεὶ ἔλεγεν ἐξεπαίδευον.

1071. Βάκις : Χρησμολόγος ὁ Βάκις. Βάκιδες δὲ τρεῖς, ὧν πρεσβύτατος ἐξ Ἐλεῶνος τῆς Βοιωτίας, ὁ δὲ δεύτερος Ἀττικὸς, τρίτος δὲ ὁ Ἀρκὰς ἐκ πόλεως Καφύης, ὃς καὶ Κύδας ἐκαλεῖτο καὶ Ἀλήτης, ὡς φησι Φιλητᾶς ὁ Ἐφέσιος. Θεόπομπος δὲ ἐν τῇ ϛ' τῶν Φιλιππικῶν ἄλλα τε πολλὰ περὶ τούτου τοῦ Βάκιδος ἱστορεῖ παράδοξα, καὶ ὅτι ποτὲ τῶν Λακεδαιμονίων τὰς γυναῖκας μανείσας ἐκάθηρεν, Ἀπόλλωνος τούτοις τοῦτον καθαρτὴν δόντος. ἔστι δὲ καὶ ἐπίθετον Πεισιστράτου.

1072. βακίζων : Εἰ μὴ παύσαιο μεμνημένος Βάκιδος, Βάκιδος μνημονεύων.

1074. τοῖς ἁλσί γε : Ἐπίτηδες ἀποκεκοφὼς τὸν λόγον λέγει. φησὶ δὲ τὰ κρέα χρῆναι πρότερον τοῖς ἁλσὶ πασθῆναι τὰ ὀπτηθέντα.

1076. ὑμεναιοῖ : Εἰς γάμους ἄγοιτο. τὸ ἀδύνατον δὲ εἶπε παρὰ τὸ « ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια « πιστά, οὐδὲ λύκοι τε καὶ ἄνδρες ὁμόφρονα θυμὸν « ἔχουσιν. »

1077. ὡς ἡ σφονδύλη : Σίλφη τίς ἐστιν ἡ σφονδύλη, βδέλλῃ προσομοία, δυσώδης ὄντως. ἄρχεται δὲ ἀδιανόητα λέγειν τοὺς χρησμῳδοὺς μιμούμενος καὶ τῶν χρησμῶν τὰ λοξά.

1078. χὴ κώδων : Παρὰ τὸ κραυγαστικὸν, ἢ κύων τὸ ζῷον. ἔστι δὲ ἀδιανόητον καὶ τοῦτο. παρὰ τὴν παροιμίαν « ἡ κύων σπεύδουσα τυφλὰ τίκτει. » τὸ δὲ ἀκαλανθὶς ὑφ' ἕν. ἔστι δὲ ἀκαλανθὶς εἶδος ὀρνέου, ἃ τινες βασιλικοὺς ὀνομάζουσι. κώδων δὲ εἶπεν, ὅτι λάλον τὸ ζῷον. ταῦτα δὲ πάντα ἐπίτηδες ἀδιανοήτως ἔφρασεν, τὸ ἀσαφὲς τῶν χρησμῶν μιμούμενος, ἐπεὶ καὶ παρ' ἱστορίαν λελέχθαι δοκεῖ· οὐδὲν γὰρ τῶν ζῴων ὅτι μὴ κύων μόνον, σπεύδουσα τὰς ὠδῖνας, τοὺς κύνας τίκτει τυφλούς.

ἀκαλανθὶς : Ὄνομα κυνὸς ἐπισήμου, οἱ δὲ ὀρνέου. ὁ δὲ νοῦς τοιοῦτος, ὡς φυσικῶς ἀπαράλλακτα τὰ εἰρημένα, οὕτως ἀμετάτρεπτα τὰ λεγόμενα. διὸ, φησὶ, τὴν εἰρήνην οὐκ ἔδει γενέσθαι.

1081. ἢ διακαυνιάσαι : Ἢ διακληρώσασθαι πότεροι ἐξ ἡμῶν τέλεον διαφθαρήσονται. καῦνον γὰρ τὸν κλῆρόν φασι. καὶ ἐν ἄλλοις [fr. 543] « πόσος ἔσθ' ὁ καῦνος; » τὸ δὲ λεγόμενον τοιοῦτόν ἐστιν· οὐκ ἐχρῆν ἡμᾶς, φησὶν, κατατεθεῖσθαι τὸν πόλεμον οὐδὲ ἐσπεῖσθαι, ἀλλὰ προσμεῖναι ἕως ἂν εἷς ἐξ ἡμῶν ἄρδην ἀπόληται. Ἄλλως. καυνιάσαι, κληρωθῆναι. καῦνον γὰρ λέγουσι τὸν κλῆρον. ὁ δὲ νοῦς, ἔδει ἡμᾶς μὴ εἰρήνην ἄγειν, ἀλλὰ κληρωθῆναι ἐπὶ τῷ γνῶναι τίνες ἡμῶν δυστυχήσουσι καὶ τῶν πολεμίων. καὶ Κρατῖνος Πυτίνῃ « ἀπὸ προτέρου τὸν καῦνον ἀριθμήσεις. » Ἄλλως. ἀντὶ τοῦ κληρωθῆναι. ὡς τῶν Καυνίων μάλιστα χρωμένων, ὡς καὶ σιφνιάζειν καὶ λεσβιάζειν.

1082. κοινῇ τῆς Ἑλλάδος : Ἐξ ἀρχῆς γὰρ οἱ Λακεδαιμόνιοι τῆς γῆς ἐκράτουν, οἱ δὲ Ἀθηναῖοι τῆς θαλάσσης.

1083. οὔ ποτε ποιήσεις τὸν καρκίνον : Οὔτε τοὺς Λακεδαιμονίους δηλονότι ὀρθὰ καὶ ἁπλᾶ φρονεῖν.

1084. οὔποτε δειπνήσεις : Ὅτι καὶ οἱ χρησμολόγοι μετεῖχον τῆς ἐν πρυτανείῳ σιτήσεως, δῆλον ἐκ τοῦ Λάμπωνος, ὃς τούτου ἠξίωτο. φησὶν οὖν, οὐκέτι ἔσται πόλεμος. τούτου γὰρ μὴ ὄντος οὐδὲν ἐλάμβανεν οὗτος ἐκ τοῦ δημοσίου· ἐπὶ γὰρ τοῦ πολέμου χρεία τῶν μάντεων.

1085. ἐπὶ τῷ πραχθέντι : Ἐπὶ τῷ γενέσθαι τὴν εἰρήνην.

1086. τὸν τραχὺν ἐχῖνον : Οὐδὲ ὑμεῖς φιλίαν πρὸς Λακεδαιμονίους. Ἄλλως. κάλλιστα πάμπαν τὸ εἰρημένον εἰς τὸ αὐτῶν μετήνεγκε πρόσωπον. οὐκοῦν, φησὶν, οὔτε ἡμᾶς πείσαις ἄν ποτε μεταδοῦναί σοί τινος οὔτ' ἠπίους σοι γεγονέναι, ὥσπερ οὐκ ἄν ποτε λεῖος ὁ τραχὺς ἐχῖνος γένοιτο.

1090. ὡς οἱ μὲν : Ἀστείως πάνυ παρέπλεξε τὰ Ὁμήρου.

1091. ἱδρύσανθ' ἱερείῳ : Οὐ χύτραις, ὡς ἄνω ἔλεγον.

1093. ὁδὸν ἡγεμόνευον : Τῆς θυσίας ἠρξάμην.

1094. κώθωνα : Νῦν τὸ ποτήριον, ἀλλαχοῦ δὲ κάνθαρον. διὰ δὲ τὸ ἠπορῆσθαι τὸν μάντιν ἐκ τῆς θυσίας αὐτὸν μηδὲν ταύτης ἀποκερδῆσαι, ἀλλὰ μηδὲ σπονδῆς μετασχεῖν, τοῦτο ἔπαιξε. κώθωνα δὲ λέγει τὸν νῦν λεγόμενον κύαθον.

1095. Σίβυλλα : Οὐ γὰρ κεῖται ταῦτα παρὰ Σιβύλλῃ τῇ χρησμολόγῳ. Ἄλλως. τὰ ἔπη φησὶ ταῦτα

μὴ ἐπιγινώσκειν, μόνα δὲ εἰδέναι τὰ Σιβύλλεια. οὐ γὰρ κεῖται ταῦτα παρὰ Σιβύλλῃ.

1098. ἐπιδημίου : Τὸ ἐπιδημίου οὐκ ἔστι πρὸς τὰ προκείμενα, πρὸς ἀλλοχώρους γὰρ ἦν ὁ πόλεμος, ἀλλὰ μᾶλλον πρὸς τὸ πολέμου ἔραται. εἰ μὴ ἄρα τῇ τῶν Ἑλλήνων ὀνομασίᾳ ἐπιδήμιος δόξει Λακεδαιμονίοις καὶ Ἀθηναίοις ὁ πόλεμος.

1101. ὡς οὗτος φοβερὸς : Ἀντὶ τοῦ εἰπεῖν ὁ ἴκτινος· χαλεπὸς γὰρ οὗτος τοῖς σπλάγχνοις. Ἄλλως. εἰώθασι γὰρ οἱ μάντεις μετὰ τὴν ἔκθασιν τῶν πραγμάτων λέγειν ὅτι προῄδειν τοῦτο τὸ ἐσόμενον. πρὶν δὲ γενέσθαι οὔτε προΐσασιν οὐδὲν οὔτε λέγουσιν.

1103. βαλανεύσω : Διακονήσω, ὑπουργήσω, καὶ ἐγχέω ἐμαυτοῦ τῶν σπονδῶν. ἀπὸ τῶν ἑαυτοῖς ἐπιχεόντων ὕδωρ, ἢ τὰς βαλάνους κρυπτόντων τῷ πυρί. Ἄλλως. κυρίως ἐπὶ τοῦ τὰς βαλάνους ὀπτᾶν· νῦν δὲ ἁπλῶς ὀπτεύσω. τὸ δὲ σπονδὴ σπονδὴ παρεπιγραφὴ ἐν εἰσθέσει κώλου δισπονδείου.

1109. πρόσφερε τὴν γλῶτταν : Κἀκ τούτου δηλοῖ ὅτι ἰδίᾳ τετμημένη προσεφέρετο ἡ γλῶττα παρὰ τῶν παλαιῶν.

ἀπένεγκε : Ἀπόπεμπε. ἤτοι μὴ γευσαμένην τῶν σπλάγχνων μηδὲ μετασχοῦσαν τῆς σπονδῆς, ὡς βλάσφημα καὶ πονηρὰ μαντευομένην.

1112. πρίν κεν λύκος οἶν ὑμεναιοῖ : Ἀντεμπαίζουσιν αὐτῷ, αὐτοὺς τοὺς στίχους ἀποκρινόμενοι πρὸς αὐτὸν κατὰ τὰς ἀξιώσεις αὐτοῦ, οὓς ὀλίγῳ πρότερον αὐτοῖς εἶπεν, οὐκ ἐπιτρέποντος ἤδη τὴν εἰρήνην γενέσθαι.

1113. ἄλλως : Ἀντὶ τοῦ μάτην· οὐ γὰρ πείσεις.

1115. συσπλαγχνεύετε : Συγγεύεσθε τῶν σπλάγχνων.

1118. ἀλλ' ἁρπάσομαι : Παρεπιγραφή· ταῦτα γὰρ εἰπὼν γλευάζει καὶ ἀναιδῶς ἁρπάζει. καὶ ἐπιδραμόντες κατέλαβον καὶ ἐτύπτησαν.

1119. τὸν Βάκιν : Τὸν Βάκιδος χρησμοὺς λέγοντα. τυπτόμενος δὲ λέγει ὁ Ἱεροκλῆς μαρτύρομαι.

1120. τένθης : Λίχνος· τένθειν γὰρ τὸ ἐσθίειν.

1123. ἁλάμβαν' αὐτὸς : Ὡς τῶν μάντεων ἐξαπατώντων καὶ οὐ δεόντως κερδαινόντων καὶ λαμβανόντων τὰ κώδια.

ἐκβολβῶ : Ἐξορύξω. ἀπὸ τῶν τοὺς βολβοὺς χαμόθεν ἐκβαλλόντων ἡ μεταφορά· ὑπὸ γῆς γὰρ ὄντες κἀκεῖνοι ὀρύσσονται.

1125. ὁ κόραξ : Κόρακα εἶπεν, ἐπειδὴ ἥρπαζεν.

1126. Ἐλύμνιον : Καλλίστρατός φησι τόπον Εὐβοίας τὸ Ἐλύμνιον. Ἀπολλώνιος δὲ ναόν φησιν εἶναι πλησίον Εὐβοίας. νυμφικὸν δέ τινες αὐτό φασιν, ὅτι ὁ Ζεὺς τῇ Ἥρᾳ ἐκεῖ συνεγένετο. μέμνηται καὶ Σοφοκλῆς « πρὸς πέτραις Ἐλυμνίαις, » καὶ ἐν Ναυπλίῳ « νυμφικὸν Ἐλύμνιον. »

1127. [ᾠδομαι : Κἀνταῦθα παράβασίς ἐστιν, ἀλλ' οὐκ ἔχει πάντα τὰ μέρη, μόνην δὲ τὴν ᾠδὴν καὶ στροφήν, τὸ ἐπίρρημα, τὴν ἀντῳδὴν καὶ ἀντιστροφήν, καὶ τὸ ἀντεπίρρημα. ἔστι γοῦν τῆς παρούσης ᾠδῆς καὶ στροφῆς τὰ κῶλα ιγ'. τὰ α', θ' χοριαμβικὰ ἡμιόλια. τὰ β', γ', δ', ε' ὅμοια ἐφθημιμερῆ ἐξ ἐπιτρίτων. τὸ ς' ἀντισπαστικὸν Γλυκώνειον. τὸ ζ' ὅμοιον ὑπερκατάληκτον. τὸ η' παιωνικὸν δίμετρον ἀκατάληκτον. τὰ ι', ια' τροχαϊκὰ δίμετρα ἀκατάληκτα· τὰ γὰρ λοιπὰ ἐφθημιμερῆ. τὸ τελευταῖον παραγραφέσθω, καὶ τῇ ἔσω διπλῇ σημειούσθω. τῇ αὐτῇ καὶ τὸ ἐπίρρημα. τοῦτο δὲ ὅλον ὡς τροχαϊκῶν ἐστι τετραμέτρων ις', ἔχον καὶ ἐν ἐκθέσει κῶλα ὅμοια τρία, πλὴν τοῦ τρίτου, δίμετρα ἀκατάληκτα. ὡσαύτως δὲ καὶ τὸ ἀντεπίρρημα. ὕφ' ὃ ἡ ἔξω διπλῆ.]

κορωνίς. εἰσελθόντων τῶν ὑποκριτῶν ὁ χορὸς μόνος καταλιπεὶς διαπεραίνεται συζυγίαν ὁμοιομερῆ τριαδικὴν οὐ πυκνῶς γενομένην. αἱ πλεκταὶ ἐπιρρηματικαὶ δυαδικαί εἰσιν, αὕτη δὲ ἔχει μελικὴν μὲν πρώτην ιγ' κώλων, στιχικὴν δὲ ις' στίχων, ὧ μάλιστα φιλήδεῖ Ἀριστοφάνης, καὶ ὕστερος τρίκωλος. τὸ α' παιωνικὸν δίρρυθμον. τὸ β' καὶ γ' δ' ἐξ ἰαμβικῆς βάσεως καὶ τροχαϊκῆς κλειδός. τὸ ε' καὶ ς'. τρίρρυθμος δὲ καὶ δίρρυθμον ζ' η' θ'. ἐν μὲν τῇ β' περικοπῇ ἐστι παιωνικὸν τρίρρυθμόν τε καὶ δίρρυθμα. δύο δὲ ἐν τῇ στροφῇ. τὸ ι' ια' ιθ' ιγ' τροχαϊκὰ δίμετρα, δύο μὲν ἀκατάληκτα, δύο δὲ καταληκτικά. V.

1129. ταῦτα γὰρ εἰς πόλεμον αἴρουσι. V.

1131. πρὸς τὸ πῦρ : Ἀλλὰ συμπίνω καὶ εὐωχοῦμαι [πρὸς τὸ πῦρ], τουτέστι μέσον τῆς οἰκίας καθεζόμενος.

διέλκων : Διάγων παρὰ τῇ ἑστίᾳ, ἅμα τε θερμαινόμενος καὶ τῆς τοῦ θερμοῦ διακονίας πλησίον ὤν.

1134. δανότατα : Ξηρότατα τῷ θέρει καὶ εὐκαυστότατα, ἃ μήτε καπνὸν ποιεῖ καὶ εὐκόλως ὑφάπτεται. V.

1136. κἀνθρακίζων : Φρύγων τὸν ἐρέβινθον, καὶ ξηρὸν ποιῶν. ταῦτα γὰρ ἐσθιόμενα προτρέπεται εἰς ποτόν.

1137. τὴν φηγὸν : Φηγὸς εἶδος φυτοῦ, ὃ τὰς ἀγρίας βαλάνους φασὶ φέρειν. περιεσταλμένως δὲ τὸ αἰδοῖον βούλεται λέγειν, ἐπεὶ καὶ αὐτό τινες βάλανον καλοῦσιν.

1143. ἐμπιεῖν ἐμοί : Τοῦ θεοῦ ὄντος ἀρέσκει μοι τὸ σχολάζειν τῷ ποτῷ.

1144. ἄφαυε : Φρύξον. τινὲς γράφουσι ἄφαυσον, ἀντὶ τοῦ ζέσον.

1145. τῶν τε πυρῶν : Ἀντὶ τοῦ ἐμβαλοῦσα καὶ μίξασα καὶ τῶν πυρῶν σὺν αὐτοῖς· δοκοῦσι γὰρ ἐφέλκεσθαι τὸ ποτόν. τὸ δὲ ἔξελε ἀντὶ τοῦ πρόελε, ἀνάλεξον τὰ σῦκα.

1147. οἰναρίζειν : Τὸ ἀποφυλλίζειν· οἴναρα γὰρ τὰ φύλλα τῆς ἀμπέλου. τινὲς δὲ γράφουσιν ἀμπελουργεῖν, οὐκ ὀρθῶς. οἰναρίζειν δὲ τὰς οἴνας ἐργάζεσθαι, καὶ οἴναρα τὰ φύλλα.

1148. τυντλάζειν : Πηλοπατεῖν· τύντλος γὰρ ὁ πηλός. ἢ ἀντὶ τοῦ βωλοκοπεῖν. παρδακὸν δὲ δίυγρον· οὕτω

γὰρ καὶ Ἀρχίλοχος καὶ παρὰ Σιμωνίδῃ τῷ Ἀμοργίῳ « σὺν παρδακοῖσιν εἱμασιν σεσαγμένοις. »

1149. σπίνω : Σπίνος εἶδος στρουθοῦ.

1150. πυός : Ὁ πυὸς ὀξυτόνως καὶ ἀρσενικῶς ἐν τῷ ιε΄ τῆς καθόλου φησίν. Ἄλλως. τὸ πρῶτον γάλα, ὃ καὶ ἑψόμενον πήγνυται, ὃ καὶ ἡμεῖς χυτρίτην λέγομεν. τὸ μεταβεβληκὸς αἷμα. τὸ γαλακτῶδες ὑγρόν. γάλα νέον μετὰ χθεσινοῦ γάλακτος ἀμελχθέν.

1154. Αἰσχινάδου : Ὡς τοῦ Αἰσχινάδου μᾶλλον τῶν ἄλλων ἔχοντος καρπίμους μυρρίνας. ἢ ἀπὸ τῶν καρπῶν Αἰσχινάδου. ἢ ἀπὸ τοῦ σχίνου. τῆς δὲ μυρρίνης ἡ μὲν στεφανωτὶς, ἡ δὲ κάρπιμος, ὥς φησι Θεόφραστος [H. Pl. 5, 8, 3]. [ἢ ὄνομα κύριον αὐλητοῦ, ἢ φίλου. βωσάτω δὲ βοησάτω.]

1158. ταρόματα : Τὰ ἀροτριάματα, παρὰ τὸ ἀροτριοῦν. τὰ προηροτριωμένα. λέγουσι δὲ ἔνιοι καὶ τὰ ἄλφιτα καὶ τὸν λιβανωτὸν ἀρώματα, ὡς παρ' Εὐπόλιδι « καὶ εὐθὺ τῶν ἀρωμάτων, » ἀντὶ τοῦ τῶν ἀλφίτων. ἐκτείνεται δὲ διὰ τὴν συναλοιφήν.

1159. [ἡνίκ' ἂν : Ἡ ἀντῳδὴ αὕτη καὶ ἀντιστροφὴ κώλων ἐστὶν ὁμοίων τοῖς τῆς στροφῆς ιγ' καὶ ἰσομέτρων. ἐπὶ τῷ τέλει αἱ δύο διπλαῖ.]

ἀχέτας : Ὁ τέττιξ διηχεῖ παρὰ τὸ Ἡσιόδειον [Op. 580] « ἧμος δὲ σκόλυμός τ' ἀνθεῖ καὶ ἠχέτα τέττιξ. » ὁ δὲ Ἀρίσταρχος οὔ φησι τοὺς ᾄδοντας ἀρσενικῶς λέγεσθαι, τὰς δὲ θηλείας οὕτως. »

1162. τὰς Λημνίας : Εἶδος ἀμπέλου Λημνία, ὡς ἱστορεῖ Ἀνδροτίων ἐν τῷ γεωργικῷ.

1164. φῖτυ : Σπέρμα, καὶ φιτῦσαι γεννῆσαι. καὶ τὸ γέννημα φίτυμα. Εὔπολις Αὐτολύκῳ « ἀτὰρ ἤγαγες καινὸν φίτυμα βοῶν. » πρῷον δὲ πρώϊμον, δισυλλάβως. — φῖτυ τὸ σπέρμα, τὸ γένος. καὶ γάρ εἰσι φυτὰ πρὸ τοῦ καιροῦ τοὺς καρποὺς παρέχοντα, καὶ καλοῦνται πρώϊμα. καὶ Σοφοκλῆς « οὔτ' ἄλλο φῖτυ πρῷον » λέγει, ὅ ἐστι πρώϊμον καὶ ὥριμον. V.

1165. φήληκα : Τὸν ὀλινθον. λέγει δὲ αὐτὰ ὁ Καλλίστρατος. κυρίως μὲν οὖν ὁ ἤδη σκληρὸς καὶ πάρωρος. ὁ ὄψιν μὲν πεπάνσεως ἔχων, ἄωρος δὲ ὤν. καὶ μήποτε φήληξ τίς ἐστιν ὁ ἀπατεὼν καὶ ψευδόμενος τῇ ὄψει εἰς βρῶσιν. καὶ φῆλος ὁ ἀπατεών. Μένανδρος Ἁλιεῖ « δύ' οἰκίας φηλῶν γερόντων. » καὶ φηλώματα ἐξαπάτας, παρ' Ἀντιφῶντι. — οὗτος δὲ ἐπὶ τοῦ ὠμοῦ σύκου κέχρηται, εἰπὼν οἰδαίνοντα· οἰδαίνεται γὰρ ὅτε ἄρχεται πεπαίνεσθαι. καὶ ἐν Ταγηνισταῖς δὲ τῇ λέξει κέχρηται. V.

1167. κἀπέχω : Τῷ στόματι προσάγω. καὶ Ὅμηρος [Il. I, 489] « ὄψου ἄσαιμι προταμὼν καὶ οἶνον ἐπισχών. »

1169. κυκῶμαι : Κυκεῶνας ἐσθίω. ἄνω [v. 712] τῷ πότῳ τῷ ἐπὶ τῆς γλήχωνός φησι χρῆσθαι πρὸς τὴν ὀπώραν, νῦν δὲ τῷ θύμῳ χρῶνται. μετὰ δὲ τὸ τὴν ὀπώραν φαγεῖν κυκεῶνα πίνουσι, καὶ οὐ βλάπτονται, ἀλλὰ καὶ παχεῖς γίνονται.

1170. γίνομαι παχὺς : Ἐπειδὴ ἀργοῦσιν οἱ γεωργοὶ τότε τοῦ ἀμητοῦ, ὡς Ἡσίοδός φησιν [Op. 606] « δμῶας ἀναψύξαι φίλα γούνατα. »

1173. φοινικίδα : Περικεφαλαίαν φοινικῷ χρώματι βεβαμμένην. οἱ δὲ κόκκινα περιβλήματα. Ἄλλως. ταῖς φοινικίσι μᾶλλον ἐχρῶντο Λακεδαιμόνιοι, ἵνα μὴ αἰσθάνωνται τοῦ αἵματος διὰ τὴν ὁμοιότητα, καὶ ἵνα τρωθέντες μὴ γνωσθῶσι τοῖς πολεμίοις. ὀξεῖαν δὲ ἀντὶ τοῦ εὔχρουν καὶ ἐρυθρὰν πάνυ.

1174. Σαρδιανικὸν : Διαφέρουσι γὰρ αἱ Λυδικαὶ βαφαί. — καὶ Ὅμηρος [Il. Δ, 141] « ὡς δ' ὅτε τις ἐλέφαντα γυνὴ φοίνικι μιήνῃ. » καὶ Σαπφὼ « πόδα δὲ ποικίλος « μάσθλης ἐκάλυπτε, Λύδιον καλὸν ἔργον. » V.

1176. Κυζικηνικόν : Εἰς κιναιδίαν διαβάλλεται, ὥστε μηδὲ τῶν ἀναγκαίων διὰ τὴν εὐρύτητα κρατεῖν δύνασθαι, — ὡς καὶ Εὔπολις ἐν Πόλεσιν « ἡ δ' ὑστάτη « ποῦ 'σθ' ; ἥδε Κύζικος πλέα στατήρων. | ἐν τῇδε τοί- « νυν τῇ πόλει φρουρῶν ἐγώ ποτ' αὐτὸς | γυναῖκ' ἐβίνουν « κολλύβου καὶ παῖδα καὶ γέροντα | κἄξην ὅλην τὴν « ἡμέραν τὸν κύσθον ἐκκορίζειν. » Ἄλλως. τουτέστι κατασχημονεῖ. οἱ γὰρ Κυζικηνοὶ ἐπὶ δειλίᾳ καὶ θηλύτητι ἐκωμῳδοῦντο. V.

1177. ὥσπερ ξουθὸς : Ὡς φοινικᾶ πτερὰ ἔχοντα δηλοῖ. ὅτι τοῦ παρ' Αἰσχύλῳ πολλάκις κληθέντος ἱππαλεκτρυόνος, ὃν ἀεὶ κωμῳδοῦσιν, ἐν Μυρμιδόσι μέμνηται. — Ἄλλως. ὁ Αἰσχύλος « ἀπὸ δ' αὖτε ξουθὸς « ἱππαλεκτρυὼν στάζει κηρο.... θεν τῶν φαρμάκων πο- « λὺς πόνος. » θέλει δὲ εἰπεῖν ὅτι πρῶτος φεύγει ὡς ἵππος καὶ ὄρνεον. V.

1178. ἐγὼ δ' ἕστηκα λινοπτώμενος : Ἐγὼ δ' ἕστηκα ἐν τῷ αὐτῷ τόπῳ παρατηρῶν καὶ περιβλεπόμενος, ὅπου ἂν ταχθῶ. λινόπτας γάρ φησιν Ἀριστοτέλης τοὺς τὰ θηρευτικὰ λίνα φυλάττοντας, ὡς καὶ οἰνόπτας τοὺς οἰνοφύλακας. ἀπείρως δὲ ἀπὸ τῶν εἰς τὰ λίνα πιπτόντων ὀρνίθων. οἱ δὲ περιεργότερον τὸ λίαν κατεπτηχέναι, τοῦτο λινοπτᾶσθαι λέγουσιν.

1181. ἐξαλείφοντες : Ὅτι τοὺς μὲν ἐξῄλειφον, τοὺς δὲ ἐνέγραφον εἰς τὸν κατάλογον τῶν πολεμίων.

1182. οὐ γὰρ ᾔδειν : Ἀττικῶς ἀντὶ τοῦ ᾔδει, ὡς τὸ [Plut. 696] « ὁ δὲ θεὸς ὑμῖν οὐ προσῄειν. » — ἐνταῦθα τῷ πρώτῳ ἀντὶ τοῦ τρίτου προσώπου ἐχρήσατο· τὸ γὰρ ὀρθὸν ἦν « οὐ γὰρ ᾔδει ἐξιών. » V.

1183. πρὸς τὸν ἀνδρίαντα : Εἷς ἐστι τῶν ιϐ΄ ἀνδριάντων ἐν οἷς ἐγράφοντο οἱ στρατιωτικοὶ κατάλογοι καὶ τὰ κηρύγματα. εἶδεν οὖν, φησὶ, τὸ ἑαυτοῦ ὄνομα γεγραμμένον ἐν τῷ ἀνδριάντι τοῦ Πανδίονος. — Ἄλλως. ἑκάστης φυλῆς ἐπώνυμος ἦν ἀνδριὰς τοῦ τῶν φυλῶν ἐξηγησαμένου, Αἰαντίδος, Θησηίδος, Ἀκαμαντίδος καὶ τῶν λοιπῶν, ἔνθα ἐτίθεντο τὰ ὀνόματα τῶν ἐπ' ἐξόδῳ καταλελεγμένων. Ἄλλως. τόπος Ἀθήνησιν παρὰ πρυτανεῖον, ἐν ᾧ ἑστήκασιν ἀνδριάντες, οὓς ἐπωνύμους καλοῦσιν. ἐπειδὰν οὖν κατάλογον δεήσῃ γενέσθαι στρατείας, προσγράφοντες τὰ ὀνόματα τῶν καταλεγομένων ἐπὶ ἑνὸς προτιθέασι τούτων τῶν ἀνδριάντων, ὑπὲρ τοῦ φανερὸν ἐκεῖσε γενέσθαι τοῖς κα-

ταλεγομένοις. τούτων οὖν τῶν ἐπωνύμων καὶ ὁ Πανδίονός ἐστιν ἀνδριάς. φησὶν οὖν, ἐξαιφνῆς ἐπιστάς τις τούτῳ τῷ τόπῳ, καὶ θεασάμενος ἑαυτὸν ἐγγεγραμμένον, εἰς ἀμηχανίαν καὶ ἀπορίαν περίσταται, κατεπειγούσης τῆς ἐξόδου καὶ αὐτὸς ἀπαράσκευος ὤν. V.

1184. ὀπὸν : Ἀντὶ τοῦ πικρίαν καὶ δριμύτητα ὁρῶν. καὶ ὀπὸς δὲ τὸ τῶν δένδρων δάκρυον, καὶ τὸ ἀποστάλαγμα τοῦ γάλακτος.

1186. ἀντὶ τοῦ εἰπεῖν ἐχθροὶ τὸ παρ' ὑπόνοιαν ἐπήνεγκε. V.

1188. αὕτη ἐστὶν ἡ τρίκωλος καὶ αὕτη τροχαϊκὴ, ἀλλὰ διμέτρων δύο μὲν ἀκαταλήκτων, ἑνὸς δὲ καταληκτικοῦ. V.

1189. οἶκοι λέοντες : Παροιμία παρὰ τοὺς ἐν τῇ Ἀσίᾳ Λάκωνας ἀτυχήσαντας, « οἶκοι λέοντες, ἐν Ἐφέσῳ δὲ Λάκωνες. »

1191. ἰοὺ ἰού : Κορωνὶς εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ο'. τὸ μέντοι πρῶτον μονόμετρόν ἐστιν. [ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.]

1193. ἔχ' ἀποκάθαιρε τὰς τραπέζας ταυτηί : Περικεφαλαίαν δίδωσιν, ἵνα τοῖς λόφοις ἀπομάττῃ τὴν τράπεζαν. ἔστι δὲ παρεπιγραφή.

1194. ὄφελός ἐστ' αὐτῆς ἔτι : Πεπαυμένου γὰρ τοῦ πολέμου οὐκ ἔστιν οὐδεμία χρεία τῶν πολεμικῶν σκευῶν.

1195. τὰς ἀμύλους : Ἄμυλοι πλακοῦντές τινες, οἱ δὲ ζωμοὶ πλακουντώδεις. ὃν νῦν ἀμύλατόν φασιν.

1196. κολλάβους : Εἶδος ἄρτων. εἰσὶ δὲ μικροὶ ἀρτίσκοι, ἐκ τῶν μεγάλων κεκολλαβισμένοι, οὓς καθάπαξ ἄρτους οὐκ ἠξίουν καλεῖν. καὶ ἐν Βατράχοις [507] μέμνηται « ἄρτους ἔπειτα κολλάβους. » σχήματος δέ ἐστιν ὄνομα, ὥσπερ κολλύραν λέγουσί τινες.

1200. οὐδὲ κολλύβου : Εἶδος εὐτελοῦς νομίσματος. ἀντὶ τοῦ οὐδὲ ὀβολοῦ.

1202. τοὺς κάδους εἰς τοὺς ἀργούς : Πιπράσκει δηλονότι, καδοποιὸς δὲ ἦν ὁ σὺν αὐτῷ.

1203. τῶν ὀρεπάνων : Χαλκεὺς ὢν δῶρον ὀρέπανον αὐτῷ δίδωσιν εἰρήνῃ πρέπον, καὶ ὁμολογεῖ χάριν ὡς τῆς τέχνης αὐτοῦ χρηματιζούσης.

1204. καὶ τῶνδ' ὅ τι βούλει : Σαφῶς ἄγαν ἐπὶ τοῦ τέλους τοῦ δράματος τὸ κέντρον ἐγκατέλιπε τοῖς ἀκροωμένοις, ἐκ τούτων δηλῶν καὶ κρίνων τά τε τοῦ πολέμου ἔργα καὶ τὰ τῆς εἰρήνης αὐτοῖς ἄγων ὑπ' ὄψιν, ἵνα εἰς ὃ βούλεται μᾶλλον αὐτοὺς ἀγάγῃ. τὴν δὲ καταστολὴν τοῦ δράματος ἐποίησεν ὁμοίαν τοῖς Ἀχαρνεῦσιν, ἐπεὶ κἀκεῖ τῷ μὲν πρυτανεύσαντι τὴν εἰρήνην δῶρα δίδοται παρὰ πάντων ὡς εἰπεῖν τῶν Ἑλλήνων, τῷ δὲ Λαμάχῳ οὐδέν.

1210. προθέλυμνον : Ὃ ἐστιν, ἄρδην ἀπώλεσάς με τὴν εἰρήνην προξενήσας. φαίνεται δὲ καὶ οὗτος καὶ ἄλλοι τὸ προθέλυμνον ἀντὶ τοῦ πρόρριζον ἀκούειν. [καὶ παρ' Ὁμήρῳ (Il. I, 541) « πολλὰ δ' ὄγε προθέλυμνα. »] Ἀρίσταρχος δὲ τὸ συνεχὲς καὶ ἄλλο ἐπ' ἄλλῳ δηλοῦσθαί φησι [Il, N. 130 :] « φράξαντες δόρυ δουρὶ, σάκος σάκεϊ προθελύμνῳ. » καὶ [O, 479] « σάκος θέτο τετραθέλυμνον, » τούτεστι τέσσαρας ἐπ' ἀλλήλων ἔχον πτύχας. καὶ ὁ λοφοποιὸς δὲ ἐναντία τοῦ ὀρεπανουργοῦ φρονῶν, ἔρχεται καταβοῶν Τρυγαίου ὡς πεποιηκότος εἰρήνην, καὶ μηδὲν χρησιμευούσης τῆς τέχνης αὐτοῦ.

1211. λοφᾷς : Λόφους πολλοὺς ἔχεις ἐν πράσει. ὄνομα δὲ πεποίηκε νοσήματος ἀπὸ τοῦ πράγματος, ὡς λέγομέν τινα ὑδεριᾶν, ποδαγρᾶν, σπληνιᾶν, [χαλαζᾶν]. σημαίνει δὲ τὸ πλῆθος ἔχειν λόφων.

1215. αἰσχύνομαι : Ἐλάχιστον γάρ ἐστιν ὃ μέλλω δοῦναι τίμημα.

1216. τὸ σφήκωμα : Τόπος τῆς περικεφαλαίας ὅπου τὰ πτερὰ δέδεται. Ἄλλως. τὸ πλέγμα, οἷον ὅτι ἐπιμελῶς τοῖς ἱμᾶσιν ἐνδέδεται. καὶ Ὅμηρος [Il. P, 52] « πλοχμοί θ' οἳ χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο. »

1219. ἔνεγκε τὰς ἰσχάδας : Ὅτι οὐ μόνον πρὸς γενικὴν εἶπεν, ἀλλὰ καὶ πρὸς αἰτιατικὴν λέγει.

1222. τριχορρυεῖτον : Οἷον οὐκ ἐπιμελῶς συνδεδεμένοι εἰσίν· ὑπὸ τοῦ χρόνου γὰρ ἐσάπησαν. καὶ αἱ τρίχες τῶν ἵππων αἱ ἐν τοῖς λόφοις ῥέουσιν.

1224. θώρακος κύτει : Περιφραστικῶς εἶπεν ἀντὶ τοῦ θώρακα. τινὲς δὲ τὸ κοῖλον τῶν θωράκων. εἰσὶ γάρ τινες τῶν θωράκων ἁλυσειδωτοί. τινὲς δέ φασιν ὅτι ἀνιέμενοι οἱ ὀρθοὶ καὶ τεταμένοι, οὓς εἰς θυσίαν ὑπέδυνον.

1225. ἐνημμένῳ : Συντεθειμένῳ, ἐρραμμένῳ. ἄλλος δέ ἐστιν οὗτος ὁλοφυρόμενος, ὅτι μὴ δύναται αὐτὸν τῆς ἀξίας ἀποδόσθαι τιμῆς.

1227. ἀλλ' αἶρέ μοι τοῦτόν γε : Ὅτι καὶ ἐνταῦθα ἐπὶ τοῦ πρόσφερε καὶ ἐπὶ αἰδοῦς. ἴσως δὲ διὰ τὸ εἰπεῖν τῆς ἰσωνίας τοὺς Ἴωνας σκώπτει, ὡς ἀδρῶς διαιτωμένους καὶ πολλὰ ἀποπατοῦντας, ὡς δηλοῖ τὸ ἑξῆς.

τῆς ἰσωνίας : Τῆς ἴσης τιμῆς, καὶ ὅσου σοι καθέστηκεν ἡ ἐπώλησας ἄλλῳ.

1227. ἐναποπατεῖν γάρ ἐστ' ἐπιτήδειος πάνυ : Δηλονότι οὐκ ἔστιν ἁλυσειδωτὸς, ἀλλ' ὁ λεγόμενος στατός. εἰκάζει δὲ αὐτὸν λασάνῳ ὀρθῶς σταθέντι, ἐπεὶ τὰ ἄνω παραπλήσια τοῖς χείλεσιν ἔχει τοῦ λασάνου.

1230. τρεῖς λίθους : Καὶ γὰρ παροιμία « τρεῖς εἰσὶν ἱκανοὶ πρωκτὸν ἀπομάξαι λίθοι. » τινὲς δὲ προστιθέασι καὶ τοῦτο, ὡς φασιν, « ἂν ὦσι τραχεῖς, ἂν δὲ λεῖοι, τέτταρες. » Ἄλλως. ἔνιοί φασι τοῦτο λελέχθαι, ἐπεὶ οἱ χέζοντες τρεῖς λίθους παρατιθέασι, καὶ ὥσπερ λάσανον ὑπ' αὐτῶν ποιοῦσιν. ἀναγκαιοτέρα δὲ ἡ πρώτη ἐστὶν ἐξήγησις.

1231. ποίᾳ δ' ἀποψήσει : Διὰ ποίου μέρους ἀπομάξασθαι τὸν πρωκτὸν δυνήσῃ;

1232. διὰ τῆς θαλαμιᾶς : Διὰ τῆς ἐκβολῆς τῆς χειρὸς τῆς ἐν τῷ θώρακι τὴν αὐτοῦ χεῖρα καθῆκεν. θαλαμιὰ δὲ εἴρηται παρὰ τὸ ἐοικέναι νεὼς τρυπήματι· κυρίως γὰρ ἡ κάτω τῆς νεὼς τρώγλη θαλαμιὰ λέγεται.

1234. ἵνα μή γ' ἁλῶ : Τοῦτό φησιν εἰς τοὺς τριηράρχας, ὅτι ἀπέφραττόν τινα τρυπήματα, ἵνα τὸν μισθὸν τῶν ναυτῶν κερδαίνοιεν, ἐκ δὲ τῆς ὄψεως τῶν

τρυπημάτων μὴ ἐλέγχωνται. γελοίως οὖν ἀμφοτέραις ταῖς χερσί φησιν ἀποψῆσαι τὸν πρωκτόν, ἵνα μὴ ὡς οἱ τριηράρχαι κρύπτων τρῆμα τῆς νεὼς ἁλῷ. ἠναγκάζοντο γὰρ οἱ ναύκληροι τοσούτους ναύτας μισθοῦσθαι ὅσα εἶχε τρυπήματα ἡ τριήρης. Ἄλλως. ἐπεὶ οἱ τριηράρχοι λαμβάνοντες τὸν μισθὸν τοῦ πληρώματος ἀπέφραττον τὰ τρυπήματα τῶν ἐρετμῶν, ἵνα μὴ ἐλέγχωνται κλέπτοντες ἐρέτας ἐκ τοῦ τὰς θαλαμιὰς εἶναι κενάς. ἐξῆς δὲ τοῦτο ἀστείως ἐπήγαγεν, διὰ τὸ προειρημένον ὑπ' αὐτοῦ « τῇδι διεὶς τὴν χεῖρα διὰ τῆς θαλαμιᾶς. »

1235. ἔπειτ' ἐπὶ δεκάμνῳ : Καὶ ὑπομενεῖς, φησί, τοσοῦτον ἀργύριον αὐτοῦ διδοὺς ὥστε λασάνῳ ἀγγείῳ χρήσασθαι.

1239. θλίβει τὸν ὄρρον : Μιμεῖται τοὺς ἐπ' ἀληθείᾳ ἐνδυομένους τοὺς θώρακας καὶ διὰ τὸ μὴ ὠνεῖσθαι θλίβειν λέγοντας τὸν τράχηλον ἢ τοὺς ὤμους. τοιαῦτα δέ φασι βουλόμενοι διακόψαι τὸ τίμημα. ὄρρος δέ ἐστιν ὁ ὑποκείμενος τοῖς σφαιρώμασι τόπος. δῆλον δὲ ὅτι λαβὼν τὸν θώρακα ἐπεκάθισεν αὐτῷ ὡς λασάνῳ, ἵνα μᾶλλον κινήσῃ γέλωτα.

1242. μολίβδον ἐς τουτί : Ἀντὶ τοῦ μολίβδῳ τὸν κώδωνα τῆς σάλπιγγος πληρώσας. τὸν κώδωνα δὲ τῆς σάλπιγγος συμβουλεύει αὐτῷ πωμάσαι μολίβδῳ, καὶ ἐν μέσῳ ἐνεῖραι ῥάβδον, ἵνα γένηται κατακτὸς ὁ κότταβος. ξύλον γὰρ αἰωρήσαντες ἐκ τοῦ μέσου καθάπερ πλάστιγγα, ἐξ ἑκατέρων τῶν μερῶν ἐξῆπτον ἐλλύχνια καὶ κυμβεῖα κοῖλα, καί τι ἀγγεῖον ἐτίθεσαν ὕδατος πλῆρες. εἶτα καθάπερ ἐπὶ τρυτάνης τὸ ἕτερον βαρύνοντες μέρος προΐζειν ἐποίουν, ὥστε πληροῦσθαι τὰ ἐλλύχνια. εἶτα τὸ ἕτερον πάλιν βαρύνοντες μέρος, ἀνάγκην ἐποίουν ἀνεγειρομένῳ καὶ ἀναπηδῶντι τῷ πεπληρωμένῳ ἐκ τῶν ἐλλυχνίων ἀναπέμπειν τὸ ὕδωρ. ὑπέκειτο δὲ τὰ κυμβεῖα τοῖς ἐλλυχνίοις, ὥστε εἰς ταῦτα πάλιν ἐμπίπτειν τὸ ὕδωρ, καὶ ὁ τῶν πλειόνων ἐπιψαύσας κυμβείων ἐδόκει νικᾶν. κάτακτοι δὲ ἐκλήθησαν ἀπὸ τοῦ κατάγειν καὶ αὖ πάλιν ἀνάγειν τὸν κότταβον. περὶ μὲν οὖν τῆς ῥάβδου καὶ Ἑρμιππος εἶπεν ἐν Στρατιώταις « ῥάβδον ὄψει τὴν κοτταβικὴν, ἐν τοῖς ἀχυροῖσι κυλινδομένην. » μέμνηται δὲ καὶ Φερεκράτης ἐν Πανυχίδι τῶν κυμβείων καὶ τοῦ κατακτοῦ κοττάβου. περὶ δὲ τῆς πάντων τούτων κατασκευῆς καὶ χρήσεως ἐξῆκται καὶ ἐν ταῖς ἐκλογαῖς. Ἄλλως. τὸν κώδωνα τῆς σάλπιγγος συμβουλεύει αὐτῷ πωμάσαι μολίβδῳ, καὶ ἐν μέσῳ ἐνεῖραι ῥάβδον. οὕτω γὰρ ἡ χαλκῆ λάταξ ἐν μέσῳ ἐτίθετο ἠρτημένη, ὥς φασιν, ἀπὸ τῆς ὀροφῆς, ἀπὸ τοῦ αὐλοῦ τοῦ μέσου, ὥστε ἀποκοτταβίζειν εἰς αὐτήν. νῦν δὲ καὶ ἀγγεῖον κότταβον εἴρηκε. κατακτὸν δὲ ἀπὸ τοῦ κατάγειν ἄνωθεν τῇ χειρί.

1244. τῶν κατακτῶν κοττάβων : Διττὸς ὁ τρόπος τῶν κοττάβων, ὧν ὁ μὲν ἕτερος τοιοῦτος· ἵστασαν ξύλον τι λυχνίῳ παραπλήσιον ἐν μέσῳ τοῦ συμποσίου, καὶ ἀπ' ἐκείνου ἤρτητο ἀγγεῖον ὅμοιον ὀξυβάφῳ, εἰς ὃ τὸ καταλειπόμενον ἐν τῷ ποτηρίῳ ἠκόντιζον, καὶ ὁ ἐπιτυχὼν ἐνίκα. ὁ δὲ ἕτερος τοιοῦτος· κατὰ τοῦ συμποσίου ἐτίθεσαν ἀγγεῖον ὅμοιον λεκάνῃ, ὕδατος πλῆρες, καὶ ἐν τῷ ἀγγείῳ τούτῳ ὅμοιόν τι ποτήριον περιεπήγνυσαν, καὶ κύκλῳ τῆς λεκάνης μυρσίνας, καὶ ἔβαλλον εἰς τὸ ποτήριον ἐκεῖνο τὸ ἀπολειπόμενον, καὶ ὁ καταδύσας τὸ ποτήριον ἐνίκα. νῦν δὲ αὐτὸ τὸ ἀγγεῖον κότταβον εἴρηκεν ἀπὸ τοῦ κατάγειν. Ἄλλως. τῶν κοττάβων δύο ἦσαν εἴδη, ἓν μὲν τοῦ κατακτοῦ λεγομένου. ἦν δὲ οἷον λυχνίον ὑψηλὸν, ἔχον ἐν αὐτῷ πρόσωπον, ὃ μάνην ἐκάλουν, ἐφ' οὗ ἔδει πεσεῖν καταβαλλομένην τὴν πλάστιγγα. ἕτερον δὲ ἀγγεῖόν τι ἐοικὸς λουτῆρι πλῆρες ὕδατος, ἐν ᾧ ὀξύβαφον ἦν ἐπιπλέον τὸ πλῆθος, ὅπερ καταδύειν τοῖς λάταξιν ἐπειρῶντο. Ἄλλως. κότταβος Ἀθήναιος ἐν τῷ ιε' [p. 666] φησὶν ὅτι Σικελική τις ἐστὶ παιδιά, πρώτων εὑρόντων Σικελῶν, ὥς φησιν Κριτίας ὁ Καλλαίσχρου ἐν τοῖς ἐλεγείοις « κότταβος ἐκ Σικελῆς ἐστὶ χθονὸς, ἐκπρεπὲς ἔργον. » Δικαίαρχος δὲ ὁ Μεσσήνιος, Ἀριστοτέλους μαθητὴς, ἐν τῷ περὶ Ἀλκαίου καὶ τὴν λάταγα αὐτὴν εἶναί φησι Σικελικὸν ὄνομα. λατάγη δέ ἐστι τὸ ὑπολειπόμενον ἐκ τοῦ ἐκποθέντος ποτηρίου ὑγρὸν, ὃ συνεστραμμένῃ τῇ χειρὶ ἄνωθεν ἐρρίπτουν οἱ παίζοντες εἰς τὸ κοττάβιον. κότταβος δὲ ἐκαλεῖτο καὶ τὸ τιθέμενον ἆθλον τοῖς νικῶσιν ἐν τῷ πότῳ, καὶ τὸ ἄγγος εἰς ὃ ἐνέβαλλον τοὺς λάταγας, ὡς Κρατῖνος ἐν Νεμέσει δείκνυσιν. ὅτι δὲ καὶ χαλκοῦν ἦν, Εὔπολις ἐν Βάπταις λέγει· « χαλκῷ περὶ κοττάβῳ. » Πλάτων δὲ ἐν Διὶ κακουμένῳ παιδιᾶς εἶδος παροίνιον τὸν κότταβον εἶναι ἀποδίδωσιν, ἐν ᾗ ἐξίσταντο καὶ τῶν σκευαρίων οἱ διακυβεύοντες. ἐκάλουν δὲ ἀγκύλην τὴν τοῦ κοττάβου πρόεσιν, διὰ τὸ ἐπαγκυλοῦν τὴν δεξιὰν χεῖρα ἐν τοῖς ἀποκοτταβισμοῖς. καὶ ἀγκυλητοὺς ἔλεγον κοττάβους. ὅτι δὲ ἆθλον προέκειτο τῷ προεμένῳ, προείπομεν. ἐλέγοντο δέ τινες καὶ κατακτοὶ κότταβοι. ἦν δὲ λύχνιον ἀγόμενον, πάλιν τε συμπῖπτον, ὑψηλὸν ἔχον τὸν μάνην καλούμενον, ἐφ' ᾧ τὴν καταβαλλομένην ἐπιπεσεῖν πλάστιγγα, ἐντεῦθεν δὲ ἐμπίπτειν εἰς λεκάνην ὑποκειμένην πληγεῖσαν τῷ κοττάβῳ. καί τις ἦν ἀκριβὴς εὐχέρεια τῆς βολῆς. τοῦ δὲ μάνου πολλοὶ μέμνηνται. ἦν δὲ ἕτερον εἶδος παιδιᾶς τῆς ἐν λεκάνῃ. αὕτη δὲ ὕδατος πληροῦται. ἐπέκειτο δὲ ἐπ' αὐτῇ ὀξύβαφα κενὰ, ἐφ' ἃ βάλλοντες τὰς λάταγας ἐκ καρχησίων ἐπειρῶντο καταδύειν. ἀνῃρεῖτο δὲ τὰ κοττάβια ὁ πλείω καταδύσας. ὅτι δὲ τῶν ἐρωμένων ἐμέμνηντο ἀφιέντες ἐπ' αὐτοῖς τοὺς λεγομένους κοττάβους, δῆλον ποιεῖ Ἀχαιὸς ἐν Λίνῳ καὶ Καλλίμαχος· « πολλοὶ καὶ φιλέοντες ἀκόν« τιον ἦκον ἔραζε οἰνοπόται Σικελὰς ἐκ κυλίκων λά« ταγας. » Σικελὰς δὲ αὐτὰς οὐκ ἀπεικότως ὠνόμασεν, ἐπεὶ, ὡς προείπομεν, Σικελῶν τὸ εὕρεμα, καὶ ἐσπούδασται σφόδρα παρ' αὐτοῖς ὁ κότταβος.

1247. σπαρτίοις ἠρτημένην : Τὸ μεσαίτατον, φησὶν, ἔκδησον σπάρτῳ, ἵνα τρυτάνη γένηται ἐκ τοῦ τῆς αὐλοῦ σάλπιγγος.

1250. οὗτος κράνη κομίζει δύο. V.

1251. ὅτ' ἀντέδωκα : Τότε με ἀπώλεσας, ὅτε καὶ ἀντὶ τούτων μνᾶν ἔδωκα.

1254. συρμαίαν μετρεῖν : Οἱ μὲν ἀξιοῦσι χυλὸν βοτάνης εἶναι τὴν συρμαίαν, ἣ χρῶνται Αἰγύπτιοι πρὸς διάρροιαν, τινὲς δὲ τὸν λεγόμενον ζύθον, ὡς καὶ φησὶ Δίδυμος. Ἄλλως. φαίνονται τοῦ χυλοῦ τῆς συρμαίας πίνειν οἱ Αἰγύπτιοι πρὸς διάρροιαν, ὡς Δίδυμος. ἁλμαίαν ἐκ ῥαφανίδων Αἰγυπτιακὴν, πρὸς κάθαρσιν ἐπιτήδειον.

1258. λαβάς : Ὠτάρια τοῖς κράνεσιν, ἵνα γένωνται κάδοι. δείκνυσι δὲ τὰ ὦτα αὐτοῦ καὶ ἔστι παρεπιγραφή.

1261. τούτῳ γ' ἐγὼ τὰ ὀράτα : Ἀττικῶς εἶπε τούτῳ ὠνήσομαι, ἀντὶ τοῦ παρὰ τούτου ὠνήσομαι.

1265. τὰ τῶν κεκλημένων εἰς δεῖπνον. V.

1267. ἄττ' ἄσεται : Τὸ ἑξῆς, δοκεῖ δέ μοι ἵνα δεῦρο προοιμιάσηταί τινα μέλη ἆσαι καὶ προμελετῆσαι.

1270. νῦν αὖθ' ὁπλοτέρων ἀνδρῶν : Οὐδὲν ἀστειότερον τῆς εὑρέσεως. δύο γὰρ δῆθεν ἵστησι παιδία ᾄδοντα, ἵνα ἀφορμὴν σχῇ τοῖς πατράσιν αὐτῶν ὀνειδίσαι, καὶ διαβαλεῖν τὸν μὲν ὡς φιλοπόλεμον ὄντα, τὸν δὲ ὡς ῥίψασπιν. πρῶτον οὖν πεποίηκε τὸ τοῦ φιλοπολέμου ᾄδον παιδίον, καὶ θέασαι ὡς πρόσφορα αὐτῷ περιέθηκε πράγματα. ἀρχὴ δὲ τῶν Ἐπιγόνων Ἀντιμάχου.

1271. ὁπλοτέρους : Παρὰ τὸ ὅπλον παίζει.

1283. ἔκλυον : Ἀπέλυον, ἐξέλυον. εἶτα ἐν ἐκθέσει στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι β'. — εἶτα ἐν εἰσθέσει ἐπικοὶ δύο. V.

1286. θωρήσσοντ' : Ἀντὶ τοῦ ἔπινον, παρὰ τὸ εἰς τὸν θώρακα πέμπειν τὸν οἶνον.

ἄσμενοι οἶμαι : Πρὸς τὸ πεπαυμένοι, οὐ πρὸς τὸ θωρήσσοντο. εἰ μὴ ὅτι ὁμωνύμως θωρήσσεσθαι ἔλεγον καὶ τὸ πίνειν παρὰ τὸν θώρακα, ὅτι ἐν αὐτῷ τὸ ὑγρὸν λέγεται εἶναι.

1288. εἶτα ἐν ἐκθέσει στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι γ'. εἶτα ποὺς σπονδεῖος καὶ ἐν εἰσθέσει ἐπικοὶ β'. καὶ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι δ'. V. καὶ ἐλεγεῖον Ἀρχιλόχου καὶ στίχοι ἐπικοὶ β'. — καὶ στίχοι ἰαμβικοὶ τετράμετροι καταληκτικοὶ β'. ἴαμβος δίμετρος ἀκατάληκτος. V.

1290. Λαμάχου : Τοῦ ἀεὶ βουλομένου μάχεσθαι. ἔπαιξε δὲ παρὰ τὸ τέλος τοῦ Λάμαχος ὀνόματος. τὸ δὲ αἰδοῖ γελῶν λέγει.

1293. ἐπεὶ μισοπόλεμος ὁ Κλεώνυμος. ὅτι δειλὸς καὶ ῥίψασπις ὁ Κλεώνυμος, πολλάκις εἰρήκαμεν. V.

1297. οὐ πράγματ' ἄσεις : Οὐδὲν τῆς εἰρωνείας ἥδιον· καὶ γὰρ ὡς κιναιδιζόμενον τὸν Κλεώνυμον κωμῳδεῖν βούλεται.

1298. [ἀσπίδι μὲν Σαΐων : Ἀρχιλόχου ἐστὶ τὸ δίστιχον. οὕτως δὲ ἐγράφη ἐπὶ τῇ ἀπορρίψει τῆς ἀσπίδος. ἐπιτηδείως δὲ καὶ ἐνταῦθα πρὸς ῥίψασπιν εἴρηται. Ἄλλως. Ἀρχίλοχος ποιητὴς ἦν καὶ πάντας διέβαλλεν. ὅθεν καὶ Πίνδαρος Πυθικῶν [2, 99] « εἶδον κατὰ γὰρ « ἐκὰς ὄντα πολλὴ ψογερὸν Ἀρχίλοχον βαρυλόγοις ἔχθεσι « πιαινόμενον. » Ἄλλως. οὗτος ὁ Ἀρχίλοχος ἐξῆλθεν εἰς πόλεμον ἐν τῇ πρὸς Σαΐους μάχῃ· ἔστι δὲ ἔθνος Θράκης· καὶ φοβηθεὶς ἔφυγε ῥίψας ἑαυτοῦ τὰ ὅπλα. αὐτὸν οὖν διαβάλλων λέγει.]

1300. πόσθων : Ὑποκοριζόμενοι οὕτως ἔλεγον τὰ παιδία. ἢ οὕτω λέγεται τοῦ βρέφους τὸ αἰδοῖον. ὦ αἰσχρέ.

εἰς τὸν σαυτοῦ πατέρ' ᾄδεις : Εἰς τὸν Κλεώνυμον, ὅτι ῥίψασπις.

1301. καὶ τοῦτο Ἀρχίλοχος.

1306. φλᾶν : Κατακαίειν. δῆλον δὲ ὅτι τὰ πολεμικὰ ἢ συντρίβειν καὶ γεωργεῖν ἢ τρώγειν.

κενὰς παρέλκειν : Ἀπὸ μεταφορᾶς τῶν ἐρεττόντων μὴ βαπτόντων τὰς κώπας, ἀλλὰ τῷ δοκεῖν κενὰς περιφερόντων. παρακελεύεται δὲ τοῖς ἐπὶ δεῖπνον ἥκουσι γενναίως ἐσθίειν.

1309. σμώχετ' : Ἐσθίετε, τρίβετε· τὸ γὰρ ἐκλαμπρύνειν σμώχειν λέγεται.

1310. ὅτι παροιμία ἐστίν. καὶ οὕτως « οὐδὲν ἔργον ἐστὶν ἀνδρῶν λευκῶν, ἢν μή τι καὶ μάχωνται. » ἔτι δὲ οὕτως « οὐδὲν λευκῶν ἀνδρῶν ἔργον εἰ μὴ σκυτοτομεῖν. »

1316. κορωνίς. εἰσίασι γὰρ οἱ ὑποκριταὶ καὶ εἰσὶν οἱ πρῶτοι ἐν ἐπεκθέσει στίχοι ἀναπαιστικοὶ δ'.

1319. Ὑπέρβολον : Στρατηγὸς φιλοπόλεμος. εἴρηται δὲ παρ' ὑπόνοιαν.

1320. διπλῆ καὶ ἐν ἐπεισθέσει περίοδος ἑπτακαιδεκάμετρος θ' κώλων, ὅτι ἔχει μονόμετρον τὸ ε'.

1325. παρὰ τὰ Ἡσιόδου [Op. 232] « αἱ δὲ γυναῖκες τίκτουσιν. » τοῦτο γὰρ εὐετηρίας σημεῖον, τὸ τίκτειν γυναῖκας. τῶν γὰρ ἀνδρῶν ἐν εἰρήνῃ ὄντων αἱ γυναῖκες συλλαμβάνονται.

1329. διπλῆ καὶ ἐπὶ τέλει μονοστροφικῶν περίοδος πεντακώλων Ἰωνικῶν διμέτρων δύο καταληκτικῶν, τριῶν δὲ βραχυκαταλήκτων. εἶτα ἐν ἐπεισθέσει τοῦ χοροῦ τὸ ἴσον. καὶ πάλιν τὰ ε' τοῦ αὐτοῦ μέτρου τοῦ χοροῦ.

1323. ἐν τούτοις φέρονται κατά τινας παραγραφαὶ, ἵνα ὁ χορὸς ἀνὰ μέρος αὐτὰ λέγῃ.

1335. ἔν τισιν οὐ φέρεται διὰ τὰ μέτρα.

1340. ἀντὶ ζεύγους αἴρουσιν αὐτὴν οἱ χορευταὶ ἀναλαβόντες.

1344. ἐντεῦθεν ἐν τοῖς ἀντιγράφοις οὐ φέρεται οὐ πεντάκωλα ἀκολούθως ὡς φέρεται καὶ ἐνταῦθα ἐστί.

1345. πράγματ' : τὰ τοῦ πολέμου δηλονότι.

1346. γεωργοῦντες.

1348. τὸ αἰδοῖον λέγει τοῦ νυμφίου, τουτέστι τοῦ Τρυγαίου.

1349. τὸ τῆς Ὀπώρας αἰδοῖον λέγει· ἅμα δὲ καὶ πρὸς τὸ ὄνομα τῆς Ὀπώρας τὸ σῦκον λέγει.

1353. ὑφ' ἃ κορωνὶς τοῦ δράματος. ὑμὴν ὑμέναι' ὦ. οὕτως Ἡλιόδωρος.

1355. πρὸς τοὺς θεατάς.

ΟΡΝΙΘΕΣ.

ΥΠΟΘΕΣΕΙΣ.

I.

Δύο εἰσὶν Ἀθήνηθεν ἐκκεχωρηκότες πρεσβῦται διὰ τὰς δίκας. πορεύονται δὲ πρὸς τὸν Τηρέα ἔποπα γενόμενον, πευσόμενοι παρ' αὐτοῦ ποία ἐστὶ πόλις εἰς κατοικισμὸν βελτίστη. χρῶνται δὲ τῆς ὁδοῦ καθηγεμόσιν ὀρνέοις, ὁ μὲν κορώνῃ, ὁ δὲ κολοιῷ. ὀνομάζονται δὲ ὁ μὲν Πεισθέταιρος, ὁ δὲ Εὐελπίδης, ὃς καὶ πρότερος ἄρχεται. ἡ σκηνὴ ἐν Ἀθήναις. τὸ δρᾶμα τοῦτο τῶν ἀγαν δυνατῶς πεποιημένων.

Ἐδιδάχθη ἐπὶ Χαβρίου διὰ Καλλιστράτου ἐν ἄστει, ὃς ἦν δεύτερος τοῖς Ὄρνισι, πρῶτος Ἀμειψίας Κωμασταῖς, τρίτος Φρύνιχος Μονοτρόπῳ. φοβερὰ δὲ τότε τοῖς Ἀθηναίοις τὰ πράγματα. τό τε γὰρ ναυτικὸν ἀπώλετο περὶ Σικελίαν, Λάμαχος οὐκ ἔτι ἦν, Νικίας ἐτεθνήκει, Δεκέλειαν ἦσαν τειχίσαντες Λακεδαιμόνιοι, Ἄγις ὁ Λακεδαιμονίων στρατηγὸς περιεκάθητο τὴν Ἀττικήν, Ἀλκιβιάδης τὰ Λακεδαιμονίων ἐφρόνει καὶ ἐκκλησιάζων συνεβούλευε τὰ χρηστὰ Λακεδαιμονίοις. ταῦτα αἱ Ἀθηναίων συμφοραὶ, διὰ ταῦτα αἱ Ἀθηναίων φυγαί. καὶ ὅμως οὐκ ἀπείχοντο τοῦ κακοπραγμονεῖν καὶ συκοφαντεῖν.

II.

Τῆς τῶν Ἀθηναίων πολιτείας τὸ μέγιστον ἦν κλέος αὐτόχθοσι γενέσθαι, καὶ αὕτη φιλοτιμία πρώτη τὸ μηδέπω μηδεμιᾶς πόλεως φανείσης αὐτὴν πρῶτον ἀναβλαστῆσαι. ἀλλὰ τῷ χρόνῳ ὑπὸ προεστώτων πονηρῶν καὶ πολιτῶν δυσχερῶν ἀνετέτραπτο, καὶ διωρθοῦτο πάλιν. ἐπὶ οὖν τοῦ Δεκελειακοῦ πολέμου, πονηρῶν τινῶν τὰ πράγματα ἐγχειρισθέντων, ἐπισφαλὴς γέγονεν ἡ παρ' αὐτῶν κατάστασις. καὶ ἐν μὲν ἄλλοις δράμασι διὰ τῆς κωμῳδικῆς ἀδείας ἤλεγχεν Ἀριστοφάνης τοὺς κακῶς πολιτευομένους, φανερῶς μὲν οὐδαμῶς, οὐ γὰρ ἐπὶ τούτου ἦν παρρησία, λεληθότως δὲ, ὅσον ἀνῆκεν ἀπὸ κωμῳδίας προσκρούειν. ἐν δὲ τοῖς Ὄρνισι καὶ μέγα τι διανενόηται. ὡς γὰρ ἀδιόρθωτον ἤδη νόσον τῆς πολιτείας νοσούσης καὶ διεφθαρμένης ὑπὸ τῶν προεστώτων, ἄλλην τινὰ πολιτείαν αἰνίττεται καὶ προεστῶτας ἑτέρους ὡσανεὶ τῶν ὄντων κακῶν καθεστώτων· οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ τὸ σχῆμα ὅλον καὶ τὴν φύσιν, εἰ δέοι, συμβουλεύει μετατίθεσθαι πρὸς τὸ ἠρεμαίως βιοῦν. καὶ ἡ μὲν ἀπότασις αὕτη. τὰ δὲ κατὰ θεῶν βλάσφημα ἐπιτηδείως ᾠκονόμηται. καινῶν γάρ φησι τὴν πόλιν προσδεῖσθαι θεῶν, ἀφροντιστούντων τῆς κατοικίας Ἀθηνῶν τῶν ὄντων καὶ παντελῶς ἠλλοτριωκότων αὐτοὺς τῆς χώρας. ἀλλ' ὁ μὲν καθόλου στόχος τοιοῦτος. ἕκαστον δὲ τῶν κατὰ μέρος οὐκ εἰκῇ, ἀλλ' ἄντικρυς Ἀθηναίων καὶ τῶν παρ' αὐτοῖς ἐγχειριζομένων τὰ κοινὰ ἐλέγχει τὴν φαύλην διάθεσιν, ἐπιθυμίαν ἐγκατασπείρων τοῖς ἀκούουσιν ἀπαλλαγῆναι τῆς ἐνεστώσης μοχθηρᾶς πολιτείας. ὑποτίθεται γὰρ περὶ τὸν ἀέρα πόλιν, τῆς γῆς ἀπαλλάσσων· ἀλλὰ καὶ βουλὰς καὶ συνόδους ὀρνίθων, ταῖς Ἀθηναίων δυσχεραίνων. ἀλλὰ καὶ ὅσα παίζει, ἐπίσκοπον, ἢ ψηφισματογράφον, ἢ τοὺς λοιποὺς εἰσάγων, οὐχ ἁπλῶς, ἀλλὰ γυμνοῖ τὰς πάντων προαιρέσεις, ὡς αἰσχροκερδείας ἕνεκεν χρηματίζονται. εἶθ' ὕστερον καὶ τὸ θεῖον εἰς ἀπρονοησίαν κωμῳδεῖ. τὰ δὲ ὀνόματα τῶν γερόντων πεποίηται, ὡς εἰ πεποιθοίη ἕτερος τῷ ἑτέρῳ καὶ ἐλπίζοι ἔσεσθαι ἐν βελτίοσι. τινὲς δέ φασι τὸν ποιητὴν τὰς ἐν ταῖς τραγῳδίαις τερατολογίας ἐν μὲν ἄλλοις διελέγχειν, ἐν δὲ τοῖς νῦν τὴν τῆς Γιγαντομαχίας συμπλοκὴν ἕωλον ἀποφαίνων, ὄρνισιν ἔδωκε διαφέρεσθαι πρὸς θεοὺς περὶ τῆς ἀρχῆς.

Ἐπὶ Χαβρίου τὸ δρᾶμα καθῆκεν εἰς ἄστυ διὰ Καλλιστράτου· εἰς δὲ Λήναια τὸν Ἀμφιάραον ἐδίδαξε διὰ Φιλωνίδου. λάβοι δ' ἄν τις τοὺς χρόνους ἐκ τῶν πέρυσι γενομένων ἐπὶ Ἀριμνήστου τοῦ πρὸ Χαβρίου. Ἀθηναῖοι γὰρ πέμπουσι τὴν Σαλαμινίαν, τὸν Ἀλκιβιάδην μεταστελλόμενοι ἐπὶ κρίσει τῆς τῶν μυστηρίων ἐκμιμήσεως. ὁ δὲ ἄχρι μὲν Θουρίου εἵπετο τοῖς μεθήκουσιν, ἐκεῖθεν δὲ δρασμὸν ποιησάμενος εἰς Πελοπόννησον ἐπεραιώθη. τῆς δὲ μετακλήσεως μέμνηται καὶ Ἀριστοφάνης, ἀποκρύπτων μὲν τὸ ὄνομα, τὸ δὲ πρᾶγμα δηλῶν ἐν οἷς γέφησι [v. 145] « μηδαμῶς ἡμῖν παρὰ θάλατταν, ἵν' ἀνα- « κύψεται, κλητὴρ' ἄγουσ' ἔωθεν ἡ Σαλαμινία. »

III.

[Δύο πρεσβῦται Ἀθηναίων Πεισθέταιρος καὶ Εὐελπις τὴν συκοφαντίαν φεύγοντες τὴν Ἀθήνησι, μετανίστασθαι δοκιμάζουσι καὶ κολοιὸν καὶ κορώνην πριάμενοι παραγίνονται πρὸς ὄρνιθας τῆς παρ' αὐτοῖς ἐπιθυμοῦντες διαγωγῆς. οἱ δὲ ὄρνιθες τὸ μὲν πρῶτον ἀρνεῖσθαί φασιν, εἰ μετὰ ἀνθρώπων πολεμίων ὄντων οἰκήσουσι· μαθόντες δὲ ὕστερον, ἃ ὠφεληθήσονται, συγχωροῦσι μένειν αὐτούς. οἱ δὲ πόλιν κτίσαντες ἐν τῷ ἀέρι, Νεφε-

λοκοκκυγίαν ὠνόμασαν. ἀλλ' οὐδὲ ταύτην ἀνενόχλητον ἐῶσιν οἱ Ἀθηναῖοι. μάντεις γὰρ καὶ χρησμολόγοι φοιτῶσι, λαβεῖν τι βουλόμενοι· ἐν οἷς καὶ Μέτων. οὗτοι δὲ πάντες ἀποπέμπονται ἄπρακτοι. τελευταῖον δὲ καὶ θεοί, διὰ τὸ μὴ ἔᾶσθαι τὸν καπνὸν τῶν ἱερείων ἀνιέναι, λιμῷ φθειρόμενοι πρεσβεύονται πρὸς τοὺς ὄρνιθας. ὁ δὲ σκοπὸς τοῦ δράματος, διασῦραι πάλιν τοὺς Ἀθηναίους ὡς φιλοδίκους. ἡ δὲ σκηνὴ ἐν πέτραις καὶ ὀρνέοις. ἐγράφη δὲ μετὰ τὸν Ἀλκιβιάδην ὑπὸ τῆς Σαλαμινίας νεὼς μεταπεμφθῆναι, διὰ τὴν περικοπὴν τῶν Ἑρμῶν, καὶ φυγεῖν εἰς Λακεδαίμονα.]

IV.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΓΡΑΜΜΑΤΙΚΟΥ.

Διὰ τὰς δίκας φεύγουσιν Ἀθήνας δύο τινές·
οἳ πρὸς τὸν ἔποπα, τὸν λεγόμενον Τηρέα,
ἐλθόντες ἠρώτων ἀπραγμόνων πόλιν.
εἶς δ' ὄρνις ἔποπι συμπαρὼν μετὰ πλειόνων
πτηνῶν διδάσκει, τί δύνατ' ὀρνίθων γένος,
καὶ πῶς ἐάν περ κατὰ μέσον τὸν ἀέρα
πόλιν κτίσωσι, τῶν θεῶν τὰ πράγματα
αὐτοὶ παραλήψοντ'. ἐκ δὲ τοῦδε φαρμάκου
πτέρυγάς τ' ἐποίουν· ἠξίωσαν δ' οἱ θεοί,
ἐπίθεσιν οὐ μικρὰν ὁρῶντες γενομένην.

SCHOLIA IN AVES.

1. Ὀρθὴν κελεύεις : [Ἡ εἴσθεσις τοῦ παρόντος δράματος εὐθὺς ἐξ ἀμοιβαίων ἄρχεται προσώπων. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι σή', ὧν τελευταῖος

ἔσβαινε κἀνέγειρε τὴν ἀηδόνα.

ἐν εἰσθέσει δὲ μετὰ τὸν ρξα' στίχον κῶλον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον, καὶ μετὰ τὸν ρζ' ἕτερον ὅμοιον μονόμετρον ἀκατάληκτον. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα.] τοῦτο λέγει ὁ τὸν κολοιὸν φέρων ὡς ἐν ἀπόπτῳ δένδρου τινὸς ὄντος καὶ τοῦ κολοιοῦ σημαίνοντος κατ' ἐκεῖνο πορεύεσθαι. πεποίηται δὲ τὰ ὀνόματα τῶν πρεσβυτέρων, τῷ μὲν παρὰ τὸ πείθεσθαι, τῷ δὲ παρὰ τὸ εὖ ἔχειν τῶν ἐλπίδων. — ὡς ἐν ἀπόπτῳ τινὸς δένδρου ὄντος, καὶ τοῦ κολοιοῦ σημαίνοντος δῆτα μετ' ἐκεῖνο πορευθῆναι. *Br.*

2. ἥδε δ' αὖ κρώζει : Τοῦτο ὁ τὴν κορώνην φέρων, ὡς εἰς τοὐναντίον τῷ κολοιῷ παρακελευομένης πορεύεσθαι. τὸ γὰρ πάλιν ἀντὶ τοῦ εἰς τοὐπίσω. καὶ ἐν ἄλλοις. κράζει εἰς τοὐπίσω ἄπελθε. πλανύττομεν : Πλανώμεθα. κωμικῶς δὲ ἐκτέταται. — ἥδε δ' αὖ : Κορώνη κελευομένη εἰς τοὐναντίον. *Br.*

4. προφορουμένω : Δεῦρο κἀκεῖσε πορευόμενοι εἰς τἀναντία. προφορεῖσθαι γὰρ λέγεται τὸ παραφέρειν τὸν στόμονα τοῖς διαζομένοις. — ἄλλως : μάτην. *R. Br.* προφορουμένω : Ὧδε κἀκεῖσε πορευόμενοι. *Br.*

5. τὸ δ' ἐμὲ : Οὐκ εὔηθες. *Br.*

6. (πλεῖν ἢ χίλια : Ἀττικὴ ἡ κρᾶσις τοῦ πλέον πλεῖν.)

7. [τὸ δ' ἐμὲ κολοιῷ : Ὅτι ὁ μὲν κολοιὸν ἐκράτει, ὥστε δεῖξαι αὐτῷ ὄῆθεν τὴν πρὸς τὰ ὄρνεα ὁδόν· ὁ δὲ κορώνην διὰ τὴν χρείαν. διὸ καὶ μέμφονται ἑαυτοῖς, ὅτι δὴ τοῖς ὀρνέοις πιστεύσαντες μακρὰν διήνυσαν καὶ οὔπω τὸ ζητούμενον εὗρον. Ἀττικῷ δὲ ἔθει εἴρηται ταῦτα ἀναπόδοτα, ὡς καὶ ἐν Νεφέλαις [268]

τὸ δὲ μὴ κυνῆν οἴκοθεν ἐλθεῖν ἐμὲ τὸν κακοδαίμον' ἔχοντα.

νοεῖται γὰρ ἔξωθεν τὸ οὐκ εὔηθες, ἢ οὐ μωρίας πλέον, ἤ τι τοιοῦτο. — τὸ δ' ἐμὲ : Οὐ μωρίας πλέων. *Br.*]

8. ἀποσποδῆσαι : Ἀντὶ τοῦ ἀφανίσαι. ἀπὸ τῆς σποδοῦ· αὕτη γὰρ ἀφανίζει τὴν προϋπάρξασαν ὕλην τῶν ξύλων. (ἢ ἀποκροῦσαι, ἀφανίσαι, τυπτόμενον ἐκβαλεῖν.)

10. ἐντευθενὶ τὴν πατρίδ' : Ἐρωτηματικῶς. δύναιο δ' ἂν ἐντεῦθεν τὴν πατρίδα ἰδεῖν, (τουτέστι) τὰς Ἀθήνας. ὡς πολὺ δὲ ἀφεστηκότων ταῦτά φησιν.

11. Ἐξηκεστίδης : Τοῦτον ὡς ξένον διαβάλλουσι καὶ πλάνον (τὰς ὁδοὺς γινώσκειν). οἱ γὰρ ξένοι μᾶλλον ἴσασι τὰς ὁδούς. (τοῦτο δ' ἂν εἴη μεμνημένος καὶ ἐν τοῖς ἔπειτα, διὰ τούτων [764]

εἰ δὲ δεῦλός ἐστι καὶ Κάρ, ὥσπερ Ἐξηκεστίδης.

ἔστι δὲ καὶ ἕτερος *** « ἔχων λύραν ἔργον Εὐδόξου τι- ταίνει ψίθυρον εὐήθη νόμον. » μέμνηται δὲ αὐτοῦ καὶ Πολέμων ἐν τῷ δευτέρῳ περὶ τῆς Ἀθήνησιν Ἐρατοσθένους ἐπιδημίας λέγων. ὁ δὲ Ἐξηκεστίδης, κιθαρῳδὸς πυθιονίκης. νικᾷ δὲ καὶ τὸν τῶν Καρνείων ἀγῶνα τὸν ἐν Λακεδαίμονι, καὶ Παναθήναια δίς. Ἄλλως. ὁ Ἐξηκεστίδης ὡς ξένος κωμῳδεῖται. καὶ Φρύνιχος Μονοτρόπῳ

μεγάλους πιθήκους οἶδ' ἑτέρους τινὰς λέγειν,
Λυκέαν, Τελέαν, Πείσανδρον, Ἐξηκεστίδην.
ἀνωμάλους εἶπας πιθήκους ***
ὁ μέν γε δειλός, ὁ δὲ κύλαξ, ***
ὁ δὲ νόθος.)

12. σὺ μὲν ὦ τᾶν : Παίζων φησί. τουτέστι τὴν εἰς τὸ οἴμοι ὁδὸν βάδιζε.

13. (οὐκ τῶν ὀρνέων : Ἀντὶ τοῦ ὀρνεοπώλων. Δίδυμος δὲ, δεινὰ φάσκειν αὐτοὺς ἐκ τῶν ὀρνέων πεπονθέναι, ἐπεὶ Ὀρνεαὶ τῆς Λακωνικῆς εἰσι. πρὸ δὲ ἐτῶν δ' κακῶς περὶ Μαντίνειαν ἀπήλλαξαν, ὡς καὶ τοὺς στρατηγοὺς ἀποβαλεῖν Λάχητα καὶ Νικόστρατον, καθὰ καὶ Ἀνδροτίων φησίν. Ἄλλως. ὅτι οὕτως ἔλεγον καὶ ἐπὶ τῶν τόπων, ἀντὶ τοῦ ὀρνεοπωλίων, [ὡς τῶν χυτρῶν, ἀντὶ τοῦ χυτροπωλίων]. ἡ δὲ ἀναφορὰ πρὸ τὸ Ὁμηρικὸν [Od. N, 407] « δήεις τόν γε σύεσσι παρήμενον, » τούτεστι συφεοῖς. ἐζῆς οὖν ἐπάγει « αἱ δὲ νέμονται πὰρ κόρακος πέτρῃ. »)

14. ὁ πινακοπώλης : Ἀντὶ τοῦ ὁ ὀρνεοπώλης. ὅτι τὰ λιπαρὰ τῶν ὀρνέων ἐπὶ πινάκων τιθέντες ἐπώλουν. ἢ πίναξ εἶδος ὀρνέου. — τούτου δὲ καὶ ἐν τοῖς ἑξῆς [1077] μέμνηται « ἦν ἀποκτείνῃ τις ὑμῶν Φιλοκράτη τὸν στρούθιον, » ὃς ὄρνεα πωλεῖ. R.

15. ὃς τώδ' ἔφασκε νῷν : (Οἱ μέν φασιν αὐτὸν διασύρειν τὸν Αἰσώπειον λόγον καὶ δέον εἰπεῖν τῶν ἀνθρώπων, λέγειν ἐκ τῶν ὀρνέων, οἱ δὲ οὕτως· ὃς ἔφασκε μᾶλλον τῶν ἄλλων ὀρνέων δύνασθαι προηγήσασθαι τῆς ὁδοῦ, καὶ δεῖξαι ἡμῖν αὐτὸν ἐκ τῶν ὀρνέων, οἷον ἐκ τοῦ συστήματος τῶν ὀρνέων ἐν ταυτῷ ὄντων. Ἄλλως. ἔφασκεν ὁ Φιλοκράτης. τὸ δὲ νῷν, τουτέστιν ἡμῖν, δεικτικῶς. σημαίνει ἡμῖν ἐκ τῶν ὀρνέων, τουτέστι διὰ τῶν ὀρνέων, ὅπου τὸν Ἔποπα εὑρήσομεν. γράφεται καὶ, ὡς τώδε, καὶ διαροῦσι τινὲς καὶ προστιθέασι τὸ ἑξῆς, τὸ, ἐκ τῶν ὀρνέων ἀπέδοτο τὸν κολοιὸν καὶ τὴν κορώνην. βιαίως γὰρ πρὸς τοῦτο εἰρῆσθαι σημανεῖν ἡμῖν τὸν Ἔποπα ὅς ἐστι, δείξαντα ἐκ τῶν ὀρνέων. παρ' ὑπόνοιαν δὲ εἴρηκε τὸ, ὃς ὄρνις ἐγένετο ἐκ τῶν ὀρνέων. ἔδει γὰρ, ἐκ τῶν ἀνθρώπων.) — ὄρνις ἐγένετο ἐκ τῶν ὀρνέων. ἔδει εἰπεῖν ἐκ τῶν ἀνθρώπων. τινὲς δὲ στίζουσιν εἰς τὸ ἐγένετο, εἶτα ἐκ τῶν ὀρνέων ἀπέδοτο τὸν κολοιὸν καὶ τὴν κορώνην. ἢ οὕτως· ὃς ἔλεγε φράσειν τὸν Τηρέα ἐκ τῶν ὀρνέων καὶ δείξειν ὅστις ἐστὶν ἐκ τῶν ἄλλων ὀρνέων. Rav.

17. τὸν μὲν Θαρρελείδου : (Σύμμαχος, Ἀσωπόδωρον. καὶ γὰρ οὗτος ἐπὶ σμικρότητι ὑπὸ Τηλεκλείδου κεκωμῴδηται, καὶ ὁ κολοιὸς μικρὸς ὢν ἐκ τῶν πτερῶν τὴν σύστασιν ἔχει. Ἄλλως. ἁδηλον εἰ Ἀσωπόδωρον λέγει, ὃς κωμῳδεῖται ἐπὶ σμικρότητι σώματος. ἦν δὲ καὶ ὁ Θαρρελείδης μικρός. Ἄλλως.) οἱ μὲν πλείους ὑπειλήφασιν υἱόν τινα Θαρρελείδου βραχὺν καὶ παραπλήσιον κολοιῷ κωμῳδεῖσθαι. οὐκ ἔχομεν δὲ υἱὸν αὐτοῦ διὰ τῆς κωμῳδίας εἰπεῖν. μήποτε οὖν, φησὶ, κατὰ περίφρασιν εἴρηκε Θαρρελείδου κολοιὸν, ἐν ἴσῳ τῷ Θαρρελείδης, ὅς ἐστι κολοιώδης. ἢ ὡς κολοιοὺς αὐτὸν πωλοῦντα διαβάλλει. (Ἄλλως. ὁ τοῦ Θαρρελείδου υἱὸς ἐγένετο κολοιός.) — τὸν μὲν Θαρρελείδου : Υἱόν. *Brunck.*

19. τώδ' οὐκ ἄρ' ἤστην : Τινὲς διὰ τοῦ ι ἴστην ἀντὶ τοῦ ᾔδεσαν. τουτέστιν οὐδὲν ᾔδεσαν ἔξω τοῦ δάκνειν. ἢ ἀντὶ τοῦ ἦσαν. τουτέστιν οὐδὲν ἄλλο ἦσαν ἢ δάκνειν. — οὐδὲν ἄλλο πλὴν δάκνειν : Στίχος [40]

Ἀθηναῖοι δ' ἐπὶ τῶν δικῶν
ᾄδουσι πάντα τὸν βίον. » R.

20. [καὶ νῦν τί κέχηνας : Ὡς τοῦ κολοιοῦ κεχηνότος. κατὰ τῶν πετρῶν δὲ, ὅπου ἐστὶ τόπος πετρώδης.]

22. ἦ δὲ μὰ Δί' ἐνταῦθα : Ἐδεινοποίησεν ὡς πανταχόθεν ἀποκεκλημένης τῆς ὁδοῦ. [ἄλλῳ δὲ ὀνόματι κέχρηται.]

23. ἦ δ' ἡ κορώνη : Ὡς ἤδη φθεγξαμένης αὐτῆς. δύναται καὶ ἐρωτηματικῶς καὶ ἀποφαντικῶς. τινὲς γράφουσιν, οὐδὲ ἡ κορώνη. [βρύκουσα δὲ, δάκνουσα παρὰ τὴν βοράν, οἱονεὶ βορύκουσα.]

26. βρύκους' : ἐσθίουσα. R.

(28). ἐς κόρακας ἐλθεῖν : Παίζει. ἐπεὶ εἰς τὰ ὄρνεα βούλεται ἀπελθεῖν. [ἐν λόγῳ δὲ, ἐν τῇ ὑποθέσει.]

31. τὴν ἐναντίαν Σάκᾳ : Οὗτος ἐστιν Ἀκέστωρ, τραγῳδίας ποιητής. ἐκαλεῖτο δὲ καὶ Σάκας, διὰ τὸ ξένος εἶναι. Σάκαι δὲ ἔθνος Θρᾳκικόν. (Θεόπομπος δὲ καὶ τὸν πατέρα αὐτοῦ Σάκαν προσηγόρευσεν Τισαμενόν. ὁ δὲ αὐτὸς καὶ Μυσὸν ἐκάλεσεν. εἰς δὲ τὴν ποίησιν αὐτὸν κεχλευάκασι Καλλίας μὲν ἐν Πεδήταις « καὶ Σάκας, ὃν οἱ χοροὶ μισοῦσι. » Κρατῖνος δὲ ἐν Κλεοβουλίναις « Ἀκέστορα γὰρ ὅμως εἰκὸς λαβεῖν πληγὰς, ἐὰν μὴ συστραφῇ τὰ πράγματα. ») 10

34. οὐ σοβοῦντος : Ὡς ἐπὶ ὀρνέων τοῦτό φησι. [πάντες γὰρ σοβοῦσι τὰ ὄρνεα.] 15

35. ἀνεπτόμεσθ' ἐκ τῆς πατρίδος : Τὸ μὲν ἀνεπτόμεσθα ἀπὸ μεταφορᾶς τῶν ὀρνέων, τὸ δὲ ἀμφοῖν τοῖν ποδοῖν ἀντὶ τοῦ ἀμφοῖν τοῖν πτεροῖν. (ἢ ἐκ τῶν νεῶν, αἳ οὐριοδρομοῦσαι ἀμφοῖν τοῖν ποδοῖν πλέουσιν.) ὁ δὲ νοῦς, παντὶ σθένει, (ὅ ἐστι τελέως. προληπτικῶς δὲ τῇ τῶν ὀρνέων χρῶνται μεταφορᾷ, ὡς καὶ αὐτοὶ ὀλίγον ὕστερον ὀρνιθωθησόμενοι.) 20

38. ἐναποτῖσαι χρῆματα : Παρ' ὑπόνοιαν ἀντὶ τοῦ ἐμβιῶναι καὶ ἐνοικεῖν, εἶπεν ἐναποτῖσαι χρήματα. εἰς τὸ φιλόδικον τῶν Ἀθηναίων, ὅτι συκοφαντούμενοι πολλοὶ ἀπέτινον χρήματα. 25

39. (οἱ μὲν γὰρ οὖν τέττιγες : Παρὰ τοῦτο καὶ ὁ Φιλήμων « ἡ μὲν γελιδὼν τὸ θέρος, ὦ γύναι, λαλεῖ. » τὸ δὲ ἐπὶ τῶν κραδῶν, ὅτι ἀπὸ ἑνὸς τὰ ἄλλα πάντα δένδρα ἐμφαίνει.) [κράδη δὲ ἡ συκῆ.] — ἀπὸ ἑνὸς τὰ ἄλλα δένδρα ἐμφαίνει. R. 30

42. τόνδε τὸν βάδον : (Ἐν παιδιᾷ παρεσχημάτισται. ὡς ἀπὸ τοῦ πατεῖν πάτος, οὕτως ἀπὸ τοῦ βαδίζειν βάδος. Ὅμηρος [Il. Z, 202] « πάτον ἀνθρώπων ἀλεείνων. » Ἄλλως. εἴρηται μὲν ὁ βάδος· ὅμως γε μὴν οἱ κωμικοὶ παίζειν εἰώθασι τὰ τοιαῦτα, ὡς Εὔπολις Χρυσῷ γένει « τισοφῶν ὦ ῥαψῳδέ. ») — τὴν πορείαν. R.

43. κανοῦν δ' ἔχοντε : Τὰ πρὸς θυσίαν κομίζουσιν, ἵνα οἰκίσαντες ἐπὶ τῇ ἱδρύσει θύσωσιν. ὅτι δὲ χύτραις ἴδρυον εἴρηται ἐν Εἰρήνῃ [923]. Δίδυμος δέ φησιν ἀμυντήρια αὐτοὺς τῶν ὀρνέων βαστάζειν, ἀντὶ ὅπλου μὲν τὸ κανοῦν, ἀντὶ δὲ περικεφαλαίας τὴν χύτραν, ἵνα μὴ ἐφιπτάμενα τὰ ὄρνεα τύπτῃ αὐτούς. τὰς δὲ μυρρίνας πρὸς τὸ ἀποσοβεῖν.

45. ὅπου καθιδρυθέντες : Τοῦτο πρὸς τὰ ἔμπροσθεν, « ἀνεπτόμεθα ἐκ τῆς πατρίδος ἀμφοῖν τοῖν ποδοῖν. » εἶτα ἐφεξῆς, κανοῦν δ' ἔχοντες, καὶ τὰ ἑξῆς. τὰ δὲ ἄλλα μεταξὺ εἴρηται.

47. λείπει τὸ γενόμενον. R.

48. ὅπου. R.

50. ἄνω τι φράζει : Ὡς ἄνω αὐτῆς νευούσης ἐπί τινα τόπον ὑψηλόν.

54. [τῷ σκέλει θένε τὴν πέτραν : Πρὸς τὴν τῶν παί-

δων συνήθειαν τοῦτο λέγει. φασὶ γὰρ ἐκεῖνοι πρὸς ἀλλήλους ἰδόντες ὄρνεα, ὃς τὸ σκέλος τῇ πέτρᾳ καὶ πεσοῦνται τὰ ὄρνεα. τὸ δὲ ἀλλ' οἶσθ' ὃ ὄρασον Ἀττικὴ φράσις. πρὸς δὲ τὸ εἰρημένον παίζων αὖθις εἶπε, σὺ δὲ τῇ κεφαλῇ.]

57. τὸν Ἔποπα παῖ καλεῖς : Οὐ πιθανὸν, φησὶν, ἐπὶ οἰκίαν ὀρνέου ἐλθόντα παῖ παῖ καλεῖν. οὐ γάρ εἰσιν ἄνθρωποι, ὥστε καὶ παῖδας ἔχειν.

58. ἑποποῖ : Σύμμαχος καὶ Δίδυμος προπαροξύνουσιν, ἀπὸ τοῦ οἱ ἔποποι· οἱ δὲ περισπῶσιν, ἵν' ᾖ ἐπίρρημα ἀντὶ τοῦ ἐποπιστί. εἰ δὲ προπαροξύνοιτο, δῆλον ὅτι ἐσχημάτισται ἀπὸ εὐθείας τῆς ἔποπος.

60. [τίνες οὗτοι : Τροχίλος εἷς τῶν ὀρνέων ὑπακούει οἰκέτης τοῦ ἔποπος.]

61. [τοῦ χασμήματος : Ἐπεὶ πρόσωπον ὀρνέου ἐποίησεν ὁ ὑποκριτὴς ἔχοντος τὸ βάμφος κεχηνὸς, διὰ τοῦτο εἶπεν χασμήματος.]

62. ὀρνιθοθήρα : Νομίζει τοὺς ἄνδρας διὰ τὸ θηρᾶσαι τὰ ὄρνεα ἐληλυθέναι.

63. οὕτως τί δεινὸν : Τὸ κάλλιον ἀντὶ ἀπολύτου κεῖται. ἀντὶ τοῦ οὐδὲ καλὸν λέγειν, τὸ ἡμᾶς ὑποπτεύεσθαι τοιούτους εἶναι. ἑωρακὼς δὲ αὐτὸν φοβούμενον τοῦτό φησιν. (οὕτω δεινὸν πρᾶγμά ἐστιν οἱ ὀρνιθοθῆραι. οὐκ ὤφειλες οὐδὲ ἡμῖν εἰπεῖν.) οἱ δὲ ἐν ἤθει τὸν λόγον ἀκούουσιν οὕτω· οὕτωσί τι δεινὸν οὐδὲ κάλλιον λέγειν, τουτέστιν οὕτω τι δεινὸν ἔχομεν ἐκ τῆς ὄψεως, ὥστε ὀρνιθοθῆραι νομίζεσθαι. οὐδὲ λέγειν σε τοῦτο κάλλιόν ἐστιν ὅτι ἐσμὲν ὀρνιθοθῆραι.

65. Ὑποδεδιὼς : Ὄνομα ἔπλασεν ὀρνέου Ὑποδεδιώς. — ὡς ἐν Λιβύῃ πολλῶν καὶ ἐκτραπέλων ὄντων ὀρνέων. R. (Λιβυκὸν δὲ, ἐπεὶ οἱ Λίβυες βάρβαροι καὶ δειλοί. ἢ ἐπεὶ πολύορνις ἡ Λιβύη.)

(66). τὰ πρὸς ποδῶν : [Ὑπὸ τοῦ φόβου ἀδιανόητα ἐφθέγξατο. ἤ φησιν, ἐρώτα τὰ πρὸς ποδῶν σου ὄρνεα, εἰ βούλει, περὶ ἐμοῦ. ἢ ἀπὸ τῶν ποδῶν ἡμῶν, ὅτι ὄρνεα ἐσμὲν, μάνθανε. Ἄλλως.] γράφεται καὶ μὴν ἐρώτα πρὸς ποδῶν, ὅτι σαφέστερον. καὶ τάχα ἂν εἴη κατὰ τὴν παλαιὰν σημασίαν γεγραμμένον τὸ ἔρου ἔρω, μετελήφθη δὲ εἰς τὸ ω. ἔν τισι δὲ γράφεται, καὶ μὴν ἐρώτα πρὸς τίνων. ἢ καὶ οὕτω, καὶ μὴν ἐρώτα πρὸς ποίων, ἀντὶ τοῦ πρὸς τίνων ἐσμὲν ὀρνέων ἐρώτα καὶ τίσι προσήκομεν. ἔστι δὲ τὸ ὅλον λόγον οὐκ ἔχον καὶ ἔτι τὸ καὶ μὴν ἀκαίρως ἔσται λεγόμενον. κάλλιον οὖν τὰ πρὸς ποδῶν, πυνθάνου τῶν ποδῶν ὅτι ὄρνεα ἐσμέν. λέγει δὲ ὡς ὑπὸ τοῦ δέους ἐναφεικώς.

68. Ἐπιχεροδὼς : Καὶ τοῦτο ὡς ὄνομα ὄρνιθος ἔπαιξε παρὰ τὸ φαίνεσθαι αὐτοῦ τὸ σκῶρ. φασιανὸς δὲ συκοφάντης, παρὰ τὸ φαίνειν μετὰ φασιανῶν εὑρισκόμενος.

69. τί θηρίον πότ' εἶ : Δέον εἰπεῖν ὄρνεον, πρὸς τὸ τεραστικὸν τοῦ σώματος θηρίον εἶπεν.

70. ὄρνις ἔγωγε δοῦλος : Σημείωσαι ὅτι καὶ τὴν εὐθεῖαν τοῦ ὄρνις ἐκτείνουσιν Ἀττικοί.

71. ἀλεκτρυόνος : Φυσικόν ἐστι τοῦτο ἐν ταῖς συμβολαῖς τῶν ἀλεκτρυόνων, τοὺς ἡττηθέντας ἔπεσθαι τοῖς νενικηκόσι. (καὶ Θεόκριτος [22, 72]

ὀρνίθων φοινικολόφων τοιοίδε κυδοιμοί.)

76. Φαληρικὰς ἀφύας : (Ὅτι πληθυντικῶς λέγουσι τὰς ἀφύας. Ἀρίσταρχος δὲ οὐκ ἀποδέχεται πληθυντικῶς, διὸ τὸ χ.) Φαληρεὺς δὲ, λιμὴν τῆς Ἀττικῆς.

78. ἔτνους δ' ἐπιθυμεῖ : Ἀθάρας. (τορύνη δὲ λέγεται τὸ κινητήριον τῆς χύτρας. σημειωτέον δὲ ὅτι τορύνη πανταχοῦ ἐκτέταται εἰ μὴ παρ' Εὐπόλιδι.)

79. τροχίλος ὄρνις οὑτοσί : Παρὰ τὸ τρέχω. ἐπεὶ συνεχῶς εἶπε τὸ τρέχω, πέπαιχε τροχίλος εἰπών. ἔστι δὲ καὶ ὄρνεον τροχίλος. καὶ λέγεται εἶναι δριμύ. ἀξιοῦσι δέ τινες τὴν μέσην ὀξύνειν.

82. μύρτα καὶ σέρφους : Σέρφος σκωληκῶδες ζωύφιον, (ἢ μυρμηκῶδες. ταῦτα δὲ νέμονται τὰ ὄρνεα. καὶ ἡ παροιμία « ἔνεστι κἀν μύρμηκι κἀν σέρφῳ χολή. » Νικοφῶν ἐν Ἀφροδίτης Γοναῖς

ἅπερ ἐσθίει ταυτὶ τὰ πονήρ' ὀρνίθια,
σέρφους ἴσως, σκώληκας, ἀκρίδας, πάρνοπας.)

μύρτα δὲ ὁ τῆς μυρσίνης καλεῖται καρπὸς, ὃς ἐστιν οἰκεῖος ὄρνισιν εἰς τὸ ἐσθίειν.

85. κακῶς σύ γ' ἀπόλοιο : Πρὸς τὸν θεράποντα τοῦ ἔποπος λέγει εἰσελθόντα (καὶ κεχηνότα).

87. [ὑπὸ τοῦ δέους : Ἰδὼν γὰρ τὸν δοῦλον κεχηνότα ἐφοβήθη.]

89. ἀντὶ τοῦ φοβούμενος. R.

90. [ἀπέπτατο : Εἰς τὸ αὐτὸ κατήντησε τοῦ γελοίου χάριν.]

91. [ὡς ἀνδρεῖος εἶ : Ὡς πολύ. ἐν εἰρωνείᾳ δέ.]

92. ἄνοιγε τὴν ὕλην : Δέον εἰπεῖν τὴν θύραν ἢ τὸν οἶκον τὴν ὕλην εἶπεν. καὶ γὰρ ἐν ὕλαις διάγουσιν οἱ ὄρνεις.

94. τίς ἡ πτέρωσις : Ἐπειδὴ ὁρῶσι ξένην ὄψιν τοῦ ἔποπος, καταπλήττονται. ἔστι γὰρ τῇ πτερώσει τὸ ὄρνεον κατάπυκνον, καὶ τρεῖς ἔχον ἄκρας ἐν τῷ λόφῳ. — ἐπεὶ τρεῖς λόφους ἔχει ὁ ἔποψ. R.

(95). τίνες εἰσί μ' οἱ ζητοῦντες : Εὐθὺς οἰωνιζόμενοι εἰώθασι λέγειν πρὸς τὸ, τίς ὁ ζητῶν θεοῦ τινὸς ὄνομα, ἢ ὑγείαν, ἤ τι τοιοῦτον. καὶ νῦν οὖν ἔφη, [τίνες οἱ ζητοῦντές με, πρὸς ὃ ἐπάγει,] οἱ δώδεκα θεοί. τὸ δὲ ἑξῆς παρ' ὑπόνοιαν, ἐπεὶ ἔκσκευος φαίνεται αὐτοῖς.

96. εἴξασιν ἐπιτρῖψαί σε : Δύναται μὲν ἐπὶ τοῦ ἔποπος λέγειν, οὗτοι ζητοῦσί σε ἐπιτρῖψαι διὰ τὴν ὄψιν· δύναται δὲ καὶ ἐφ' ἑαυτῶν λέγειν, ἐοίκασιν οὗτοι ἡμᾶς ἐπιτετριφέναι ὧδε ἐλθόντας. ἐκφοβεῖ γὰρ αὐτοὺς τὸ προσωπεῖον. [τὸ δὲ εἴξασιν, ἢ ἐοίκασιν ἢ παρεγένοντο.]

99. τὸ τοῦ ὀρνέου πρόσωπον. R.

100. τοιαῦτα μέντοι : Ἐν γὰρ τῷ Τηρεῖ Σοφοκλῆς ἐποίησεν αὐτὸν ἀπωρνιωμένον καὶ τὴν Πρόκνην. ἐν ᾧ ἔσκωψε πολλὰ τὸν Τηρέα.

102. πότερον ὄρνις : (Ἔπαιξε. δέον εἰπεῖν ἄνθρω-

πος, ταῶς εἶπεν. ὀξύνεται δὲ καὶ περισπᾶται.) ὁ μῦθος δὲ λέγει τὸν Ἄργον εἰς ταῶνα μεταβεβλῆσθαι. διὰ τοῦτό φησι, πότερον ὄρνις εἶ σὺ ὁ λεγόμενος Τηρεὺς παρὰ τὸ τηρεῖν τὴν Ἰώ, ἢ ταῶς. τὸ δὲ ὄνομα περισπῶσιν οἱ Ἀττικοί. — ὄρνις ἢ ταῶς : Ὡς ἐοικότος ὄρνιθος. πρὸς τὸ μέγεθος δὲ τοῦτο λέγει ἢ διὰ τὴν ποικίλην ἐσθῆτα ἣν ἐνεδύσατο. Ἄλλως. ἔπαιξε τὸ γενικὸν εἰπών, εἶτα ἐπήγαγε τὸ εἰδικόν. V.

104. ἐξερρύηκε : Παρόσον ἄνθρωπος ἐξελήλυθε, μὴ ἔχων πτερὰ πλὴν τῆς κεφαλῆς ὄρνιθος ἐπτερωμένης.

106. ὡς ἐπὶ τῶν φυτῶν. R.

107. [νὴ βροτώ : Πρὸς τὴν παράθεσιν τῶν λέξεων, ὅτι ἐκ παραλλήλου ἡ διαφορὰ δηλοῦται. τὸ δὲ χ πρὸς τὸ συνεχὲς τῶν δυϊκῶν.]

108. ὅθεν αἱ τριήρεις αἱ καλαί : Ἀντὶ τοῦ ἐξ Ἀθηνῶν. (μέγα γὰρ ἐφρόνουν Ἀθηναῖοι ἐπὶ ναυμαχίᾳ.)

109. Ἡλιαστά : Δικασταί. ἀπὸ τοῦ μεγάλου δικαστηρίου τῆς Ἡλιαίας. οὕτως δὲ ἐκλήθη, διὰ τὸ ἐν ὑπαίθρῳ εἶναι τόπῳ καὶ ὑπὸ τοῦ ἡλίου βάλλεσθαι.

μὴ ἀλλὰ θατέρου τρόπου : Πέπονθε. κεῖται δὲ ἀντὶ τοῦ οὐκ, ἀλλὰ θατέρου τρόπου, τουτέστι μισόδικοι.

110. μισόδικοι. τὸ μισόδικον. R.

111. ὀλίγον ζητῶν : Τοῦτο λέγει, ὅτι οἱ ἄγροικοι μόνοι εἰσὶν οἱ μὴ φιλοδικασταί, ὡς ὀλίγων ὄντων τῶν μισοδίκων καὶ τούτων ἀγροίκων. ἀεὶ δὲ τούτους τε καὶ τοὺς ἱππεῖς ἐπαινεῖ. ἅμα καὶ ὅτι τὰ σπανίζοντα τῶν σπερμάτων μᾶλλον παρὰ τοῖς ἀγροίκοις εὑρίσκεται.

113. ἀντὶ τοῦ εἰς ὁμιλίαν ἐλθεῖν. R.

120. διὰ ταῦτα. R.

121. εὔερον : (Οἷον μαλακὴν ὥσπερ σισύραν εὐέριον. Πλάτων Ὑπερβόλῳ « καὶ τοσοῦτον εὐερίας ἀπολέ« λαυχ' Ὑπέρβολος, ὥστ' αὐχμότατός ἐστι. » Κρατῖνος Πυλαίᾳ « γλῶσσαν εὐέρων βοτῶν. » λέγει δὲ περὶ τῶν προβάτων.) — ἀντὶ τοῦ εὐάερον. τοιαῦτα γὰρ ζητοῦσιν οἱ μετοικιζόμενοι. ἢ ὁ βαλεῖν ἀπὸ μεταφορᾶς τοῦ ἐρίου. R.

(122). σισύραν : Σισύρνα καὶ σισύρα καὶ σίσυς διαφέρουσι. σισύρα μὲν γάρ ἐστι τὸ ἐξ αἰγείων δερμάτων ἔτι τὰς τρίχας ἔχον σκέπαστρον. τὴν δὲ σισύρναν οἱ κατὰ Λιβύην λέγουσι τὸ ἐκ τῶν κωδίων βαπτόμενον ἀμπεχόνιον. σίσυς δέ ἐστι παχὺ ἱμάτιον καὶ εὐτελὲς, πρὸς δὲ καὶ μικρὸν, ἐπιτήδειον εἰς ἓν ἅπτεσθαι, οἷον ἐξωμίδιον. — σισύρα χλαίνης εἶδος εὐτελοῦς, οἷον ἁπλοΐδος ἢ ἐξωμίδος ἢ τοιούτου τινός. Ἀριστοφάνης ἐν Νεφέλαις [10] « ἐν πέντε σισύραις. » V. ὁ δὲ Ἐρατοσθένης ὡς ἐστι βαίτη, καθάπερ τὸ δένδρον τὸ αὐτὸ καὶ ἄνδραχνον καὶ ἀνδράχνην καλοῦμεν, οὕτως ᾠοντο σισύραν καὶ σίσυν ἐπὶ τοῦ αὐτοῦ ἐκδέχεσθαι, καὶ τρίτην προσλαμβάνουσι σισύρνην οἱ κατὰ Λιβύην τὸ ἐκ τῶν κωδίων, τὸ ἀμπεχόνιον καλούμενον. — καὶ τὴν σισύραν βαίτην ὑπέλαβον εἶναι τινές. τὸ δὲ οὐκ ἔστιν ἀληθὲς, ἀλλὰ χλαίνης εἶδος εὐτελοῦς, οἷον ἐξωμίδα ἢ διπλοΐδα ἢ τοιοῦτόν τι. οὕτως ἐν τῷ λεξικῷ. V.

ἐγκατακλιθῆναι : Οὕτως Ἀττικοὶ, ὡς ἐν Νεφέλαις [694] « ἀλλὰ κατακλινεὶς δευρί. » τὸ δὲ κλινθῆναι κοινόν. — μαλθακήν : μαλακήν. λέγει δὲ τὴν τῶν προβάτων. V.

123. τῶν Κραναῶν : Τῶν Ἀθηνῶν, διὰ τὸ τραχὺ καὶ λεπτόγεων. (ἢ ἀπὸ Κραναοῦ βασιλέως.)

124. (προσφορωτέραν δὲ νῷν : Ἀντὶ τοῦ ἡμῖν ἐπιτηδείαν, ἄλλην ζητοῦμεν.)

125. ἀριστοκρατεῖσθαι : Ἀντὶ τοῦ ὀλιγαρχεῖσθαι. Ἀριστοκράτης δὲ, Σκελλίου υἱὸς, ἐπεβούλευσεν εἰς κατάλυσιν τῷ δήμῳ. (Ἄλλως. ἀρίστους κεκριμένους θέλεις ἔχειν ἄρχοντας τοῦ δήμου καὶ τῆς πόλεως, οἷα ἡ παρὰ Λακεδαιμονίοις πολιτεία ἦν. ἡ γὰρ τῶν Ἀθηναίων δημοκρατία ἦν.)

126. καὶ τὸν Σκελλίου : Παρὰ τὸ ὄνομα πέπαιχεν, ἐπεὶ Ἀριστοκράτης Σκελλίου ἦν υἱὸς, ὃν ὁ ῥήτωρ Δημοσθένης (ἔγραφεν. ἀριστοκρατία δὲ ἡ ὀλιγαρχία). οὕτως οὖν, φησὶ, μισῶ τὴν ἀριστοκρατίαν, ὅτι καὶ τὸν Ἀριστοκράτην μισῶ, ὅτι κέκληται τῷ ὀνόματι τούτῳ.

129. ἐπὶ τὴν θύραν μου πρωΐ : Νῦν οὐ τὴν πρωΐαν λέγει, ἀλλ' ἴσον τῷ ἐν ὥρᾳ πρῴ. (οὕτως γάρ ἐστι τὸ πρωΐ. διὸ ὀξύνεται. τὸ δὲ πρῷ περισπᾶται.) — οὕτω μονοσυλλάβως λέγουσι. Εὔπολις Βάπταις « ἐκεῖ γὰρ ἐξῆς ἀγαθὰ πολλὰ δὴ πρῴ. » R.

132. (λουσάμενα πρῴ : Οὕτως Ἀττικοί. ὀξύνεται δὲ καὶ τὸ ι ἔχει ἀπὸ τοῦ πρωΐ γενόμενον, ὡς ἀπὸ βαρείας καὶ ὀξείας ὄν, ὡς τὸ ἑσταὼς ἑστώς.)

134. μή μοι τότε γ' ἔλθῃς : Παροιμία ἐπὶ τῶν μὴ συνερχομένων τοῖς φίλοις ἐν κινδύνοις. παίζει δὲ εἰς τὸ ἐναντίον. ἡ γὰρ παροιμία ἐστὶ, « μή μοι τότ' ἔλθῃς, ὅταν ἐγὼ πράττω καλῶς. »

135. ταλαιπώρων : Ἐν εἰρωνείᾳ.

139. ὦ Στιλβωνίδη : Ὦ λαμπρὲ καὶ ἀπὸ βαλανείων κεκαλλωπισμένε. — ἢ ἁπλῶς ὄνομα κύριόν τινος λέγει. R. ἢ Στίλβωνος παῖ. διασύρει δὲ τοῦτον, ὡς παῖδα ἔχοντα.

141. οὐκ ἔκυσας, οὐ προσεῖπας : Ἀντὶ τοῦ περιεπλέξω. ὁ μὲν γὰρ τὰς τῆς γαστρὸς τρυφὰς ἐβούλετο, ὁ δὲ τὰς αἰσχρὰς ἡδονάς. προσηγάγου δὲ, ἀντὶ τοῦ πρὸς ἑαυτὸν ἔλαβες εἰς συνουσίαν.

[142]. ὠρχιπέδησας : Ἀντὶ τοῦ τῶν ὄρχεων ἥψω καὶ κατέσχες αἰσχρῶς. (δειλακρίων δὲ, δειλότατε, κακόδαιμον.) ἐν ἤθει δὲ, ἢ ἀληθῶς λέγει.

145. παρὰ τὴν ἐρυθρὰν θάλασσαν : Ἡ ἐρυθρὰ θάλασσα παρὰ τὸν ἀνατολικὸν Ὠκεανόν. [κατὰ δὲ ἄλλους τὴν εὐδαίμονα Ἀραβίαν λέγει.]

147. ἡ Σαλαμινία : Δύο εἰσὶ νῆες παρὰ τοῖς Ἀθηναίοις ὑπηρέτιδες, ἡ Πάραλος καὶ ἡ Σαλαμινία. ὧν ἡ μὲν Σαλαμινία τοὺς ἐκκαλουμένους εἰς κρίσιν ἦγεν, ἣν ἐπ' Ἀλκιβιάδην φησὶ πεμφθῆναι Θουκυδίδης, ἡ δὲ Πάραλος τὰς θεωρίας ἀπῆγεν, τουτέστι τὰ εἰς θυσίαν πεμπόμενα. — ἀντὶ τοῦ μάρτυρα. R.

149. τί οὐ τὸν Ἠλεῖον Λέπρεον : Καθ' ὑφαίρεσιν τοῦ ι τὸ Λέπρειον εἶπεν. ἔστι δὲ τῆς Τριφυλίας πλησίον, πόλις τῆς Πελοποννήσου. Λέπρεον δὲ Δίδυμός φησιν

ὠνομάσθαι ἢ διὰ τὸ τὴν χώραν αὐτῶν λέπειν· διαφαίνονται γὰρ ἐκ τῆς ὀρεινῆς· πέτρας γὰρ εἶναι αὐτόθι ποικίλας τῷ χρώματι καὶ διαλεύκους, ὁμοίας τοῖς τὰς ὄψεις λεπριῶσι, καὶ διὰ τοῦτο οὕτως ὠνομάσθαι ἐκ τοῦ πάθους· (ἢ διὰ τὸ τοὺς πρώτως οἰκήσαντας τὴν πόλιν ταύτῃ τῇ νόσῳ κατεσχῆσθαι. τοὺς οὖν πλησιοχώρους Λεπρεώτας αὐτοὺς καλεῖν. τοὺς δέ, μὴ βουλομένους δοκεῖν ἄχθεσθαι τῷ ὀνόματι, Λέπρεον τὴν πόλιν καλέσαι. οὐδετέρως γὰρ λέγεται ἡ πόλις τὸ Λέπρεον. ὁ δὲ ἀρσενικῶς εἶπεν.)

150. [ὃς οὐκ ἰδὼν : Ἀλλ' ἐξ ἀκοῆς μαθών. πλεονάζει δὲ τὸ ὅς.]

151. ἀπὸ Μελανθίου : (Μελάνθιος ὁ τραγικὸς κωμῳδεῖται λεπρὸς καὶ κακοπράγμων. κωμῳδεῖται γὰρ εἰς μαλακίαν καὶ ὀψοφαγίαν. Πλάτων δὲ αὐτὸν ἐν Σκευαῖς ὡς λάλον σκώπτει. Καλλίας Πεδήταις

τίς ἄρα τοὺς Μελανθίου τῷ γνώσομαι,
οὓς ἂν μάλιστα λευκοπρώκτους εἰσίδῃς.)

εἶχε Μελάνθιος λέπραν. ἐκωμῳδεῖτο δὲ καὶ εἰς μαλακίαν.

152. ἀλλ' εἰσὶν ἕτεροι : Λείπει τόποι. Ὀποῦς δὲ πόλις Λοκρίδος, (ἧς μέμνηται Ὅμηρος ἐν τῷ καταλόγῳ [531] « Ὀπόεντά τε Καλλίαρόν τε. ») — Ὀπουντίους δὲ τοὺς τυφλούς φασι. R.

153. (ἀλλ' ἔγωγ' Ὀπούντιος : Οὗτος συκοφάντης πονηρὸς καὶ μονόφθαλμος. ἔπαιξεν οὖν ὅτι οὐκ ἂν γενοίμην τυφλός. Ἄλλως. ὅτι ἑτερόφθαλμός τις ἦν, ὅθεν οὕτω τοὺς τυφλούς φασιν.)

156. ἐς τὴν τριβήν : Ἀπὸ μεταφορᾶς τῶν εὐυφῶν ἱματίων, τῶν ὑπουργούντων εἰς τρίψιν καὶ φόρεσιν πολλοῦ χρόνου. (Ἄλλως. ὡς ἐπὶ ἐσθῆτος ἡ μεταφορά, ἀντὶ τοῦ, εἰς τὴν διατριβήν.)

157. ἄνευ βαλλαντίου : Ἀντὶ τοῦ, ἄνευ ἀργυρίου καὶ δαπάνης.

158. κιβδηλίαν : Τὸν ἐκ τοῦ ἀργύρου ῥύπον. μοχθηρίαν καὶ ζηλοτυπίαν. ἅμα δὲ ὅτι τὰ νομίσματα κίβδηλα λέγεται παρὰ τὸ ὑπὸ Χίων δεδηλῆσθαι. [Ἄλλως. κίβδηλα ἐλέγετο νομίσματα τὰ ὑπὸ Χίων δεδηλημένα, ἤτοι βεβλαμμένα, κατὰ τροπὴν τοῦ χ εἰς κ. Ἀθηναῖοι γὰρ καὶ Χῖοι πρὸς ἀλλήλους ἐμάχοντο, διὸ τὰ Χίων νομίσματα μετὰ τοῦ χ στοιχείου Ἀθηναῖοι ἐγχαράξαντες ἀπεστρέφοντο, καὶ ἐκάλουν αὐτὰ χίβδηλα ὡς διὰ τοῦ χ στοιχείου ὄντα. παραλαβοῦσα δὲ ἡ συνήθεια τὴν φωνὴν τὸ δεδολωμένον νόμισμα κίβδηλον ὠνόμασεν, ἐναλλάξασα τὰ στοιχεῖα πρὸς τὸ εὐγλωττότερον.]

159. εἴδη φυταρίων. R. V.

160. σισύμβρια : Φύλλα τινὰ οἷς στεφανοῦνται οἱ νυμφίοι.

161. [νυμφίων βίον : Ἢ ὅτι οἱ γαμοῦντες στεφανοῦνται, ἢ ὅτι ἡδυπαθοῦσι πρὸς τὰς τῶν γάμων ἡμέρας.]

162. φεῦ φεῦ : Ἔστι μὲν καὶ σχετλιαστικὸν καὶ θαυμαστικόν, νῦν δὲ θαυμαστικόν.

165. [περιπέτεσθε : Ἀντὶ τοῦ, ἕνα τόπον ἔχετε.]

κεχηνότες : Ὡς μωροί. τὸ γὰρ κεχηνέναι ἐπὶ τῶν ἀνοήτων παραλαμβάνεται.

166. (αὐτίκα : Οἷον εὐθέως. ἅμα τῷ πυθέσθαι, ὅτι τις ἄστατος, εὐθέως ἄτιμον νομίζουσιν.)

167. τοὺς πετομένους ἦν ἔρῃ : Ἀντὶ τοῦ, περὶ τῶν πετομένων. ἔστι δὲ Ὁμηρικὸν [Il. Z, 239] τὸ σχῆμα· « εἰρόμεναι παῖδάς τε κασιγνήτους τε. » ὁ δὲ Τελέας σκωπτικὸς ἄνθρωπος. λέγει δὲ ὅτι, ἤν τις ἐρωτήσῃ περὶ τῶν πετομένων, τίς ὄρνις οὗτος, ὁ Τελέας ἐρεῖ ταῦτα. οὗτος δὲ διεβάλλετο ὡς εὐμετάβλητος τοὺς τρόπους. πρὸς γὰρ τῇ κιναιδίᾳ καὶ δειλίᾳ καὶ ὀψοφαγίᾳ (καὶ νοσφισμῷ) καὶ πονηρίᾳ ὀνειδίζουσι τὸν Τελέαν.

168. (τίς ὄρνις οὗτος ὁ Τελέας : Πλάτων Σύρφακι ἐπὶ τοῦ Τελέου

νοεῖ μὲν ἕτερ', ἕτερα δὲ τῇ γλώττῃ λέγει.

κωμῳδεῖται δὲ εἰς πολλά. Σύμμαχος δὲ πρὸς οὐδέν, ἢ ὅτι Τελέας ὄρνεον, ἐπεὶ καὶ ἐν τοῖς ἑξῆς [885] ὄρνεόν τι καταλέγει « τελέᾳ καὶ τετράδι καὶ ταῶνι καὶ βασιλίσκῳ. ») — διαβάλλει τὸν Τελέαν ὡς πλανήτην. V.

169. ἀστάθμητος : Ἄνισος. ἄστατος. *Vict.*

170. (ἀτέκμαρτος : Οἷον, σημεῖον διὰ τῆς πτήσεως οὐκ ἐμφαίνων. μωμᾷ δὲ, ψέγεις.) — δόλιος. R.

172. [μίαν πόλιν : Καλεῖ νῦν πόλιν τὸ περιέχον ἅπαν.]

175. βλέπε νῦν ἄνω : Ὡς καὶ τὰ ἐν κύκλῳ ἰδεῖν. [διαστραφήσομαι δὲ,] τὸν τράχηλον κλάσω.

179. ὀρνίθων πόλος : (Τὸ μέν τι παραφράζει τὸ προειρημένον τῶν ὀρνίθων, ὅτι ἔστι τόπος τις αὐτῶν ἐν ᾧ διατρίβουσι, τὸ δὲ καὶ πρὸς τὸν σχηματισμὸν τοῦ ὀνόματος παίζει, τόπος καὶ πόλος. ἐξῆς δὲ ἐτυμολογεῖ αὐτὸν ἀπὸ τοῦ πολεῖσθαι. πόλον γὰρ οἱ παλαιοὶ οὐχ ὡς οἱ νεώτεροι σημεῖόν τι καὶ πέρας ἄξονος, ἀλλὰ τὸ περιέχον ἅπαν. Εὐριπίδης Πειρίθῳ « καὶ τὸν Ἀτλάντιον φρουρῶν πόλον, » ὡς αὐτοῦ τε περιπολουμένου καὶ δι' αὐτοῦ πάντων ἐρχομένων.) — πόλος παρὰ τὸ πολεῖσθαι ἐν αὐτῷ πάντα. R.

180. θαυμάζει τὴν λέξιν. R. V.

181. ὅτι δὲ πολεῖται : Ὑπετυμολογεῖν βούλεται τὸν πόλον.

183. ἦν δ' οἰκίσητε τοῦτο : Οἱονεὶ τὸ μέσον τοῦ οὐρανοῦ καὶ τῆς γῆς ἐὰν περιτειχίσητε.

184. κεκλήσεται πόλις : Ἔπαιξε παρὰ τὸ πόλος σχηματίσας τὴν πόλιν.

185. ὥσπερ παρνόπων : [Εὐχείρωτοι γὰρ οἱ πάρνοπες. ἔστι δὲ] εἶδος ἀκρίδων. οἱ δὲ κωνώπων λέγουσι.

186. (τοὺς δ' αὖ θεοὺς : Ἐν τοῖς Πελοποννησιακοῖς κατὰ πάντων Μηλίων Νικίαν πέμψαντες Ἀθηναῖοι, ἐπὶ τοσοῦτον ἐπολιόρκησαν αὐτούς, ὥστε λιμῷ διαφθεῖραι. τῷ δὲ πρώτῳ ἔτει Νικίας Μῆλον παρεστήσατο, οὐ μόνον μηχανῶν προσαγωγῇ, ἀλλὰ καὶ λιμῷ, διὰ τὸ ἀποστῆναι αὐτῶν, πρώην ὑποτελῆ οὖσαν.)

λιμῷ Μηλίῳ : Ἀντὶ τοῦ μεγίστῳ. Μῆλος δέ ἐστι

πόλις Θεσσαλίας. καὶ οἱ Μήλιοι πολιορκούμενοι ὑπὸ Ἀθηναίων λιμῷ ἐπιέσθησαν καὶ παραδεδώκασιν ἑαυτοὺς, [ὡς Θουκυδίδης ἐν τῇ πέμπτῃ].

189. Βοιωτοὺς δίοδον αἰτούμεθα : (Πολέμιοι ἦσαν οἱ Βοιωτοὶ τῶν Ἀθηναίων, συμβαλόντες Λακεδαιμονίοις διὰ Δεκέλειαν μαχομένοις. ὅτε οὖν θέλουσιν Ἀθηναῖοι εἰς Πυθὼ ἀπελθεῖν, δηλοῦσι Βοιωτοῖς παρακαλοῦντες ὑποχωρῆσαι τῆς ὁδοῦ. Ἄλλως.) τινές φασι μετοξὺ Πυθοῦς καὶ Ἀττικῆς εἶναι τὴν Βοιωτίαν, καὶ οὐχ οἷόν τε εἶναι ἀπελθεῖν Ἀθηναίους εἰς Πυθὼ, εἰ μὴ παρέλθωσι Βοιωτίαν. παίζει δέ· τότε γὰρ μόνον δίοδον ζητοῦσιν, ὅταν στράτευμα διάγῃ· ὅταν δὲ ὀλίγοι καὶ εἰρηνικῶς ἢ καθ' ἕνα, οὐκέτι.

192. καὶ τοῦ χάους : Χάους ἀντὶ τοῦ ἀέρος νῦν, ὡς Ἴβυκος « ποτᾶται δ' ἐν ἀλλοτρίῳ χάει. » διαφρήσετε, διαφορήσετε, διαπέμψετε. — Πυθῶδε : Πυθὼ ἡ τοῦ Ἀπόλλωνος πόλις· [Hom. Od. Θ, 80 :] « Πυθοῖ ἐν ἠγαθέῃ. » *Vict.*

194. μὰ νεφέλας : Νεφέλη [οὐ μόνον ἡ καπνώδης τῆς γῆς ἀναθυμίασις, ἀλλὰ καὶ] εἶδος δικτύου θηρευτικοῦ. οὕτω δὲ τὰ προστυχόντα ὤμνυον, μὰ κρήνας, μὰ γῆν, μὰ ποταμούς.

199. βαρβάρους ὄντας : Ἀντὶ τοῦ ἀφώνους ἢ ἀνηκόους ἀνθρώπων καὶ μὴ εἰδότας αὐτῶν τὴν φωνήν. (ἵνα δὲ μὴ θαυμάσῃ ἀκούσας, σὺ αὐτοῖς διηγήσῃ ὀρνέοις οὖσι, φησὶν, ὅτι νοοῦσιν ἐξ ἐμοῦ διδαχθέντες.)

202. ἐς τὴν λόχμην : Λόχμη δασὺς τόπος. πλαγία σύμφυτος καὶ λοχμώδης.

203. ἀηδόνα : Τὴν Πρόκνην γαμετὴν οὖσαν, ἥτις εἰς ἀηδόνα μετεβλήθη.

204. (καλοῦμεν αὐτούς : Ἐν σχήματι εἴρηκεν ἀπὸ ἑνικοῦ εἰς τὸ πληθυντικόν. καὶ πρὸς τὸ σχῆμα τὸ χ.)

209. ἄγε σύννομέ μοι : Ὡς μετέχουσα τοῦ αὐτοῦ βίου καὶ τῆς αὐτῆς νομῆς. τοῦτο δὲ ὡς ἐπὶ ὀρνέων. μελικῶς δὲ ἄρχεται. (τὸ δὲ μέτρον ἐστὶ καταληκτικὸν ἀναπαιστικὸν δίμετρον,) [κώλων ιθ'. ὧν τὰ ιε' δίμετρα ἀκατάληκτα. τὸ ιγ' ἀναπαιστικὴ βάσις, ἤτοι μονόμετρον ἀκατάληκτον παρατέλευτον. τὸ δὲ τελευταῖον ἐφθημιμερές. ὑφ' ὃ αἱ συνήθεις διπλαῖ. ἓξῆς δὲ κῶλον ἰαμβικὸν μονόμετρον καταληκτικόν. μεθ' ἃ τρίμετρα ἀκατάληκτα, ὧν ἐπὶ τῷ τέλει παράγραφος.]

210. ἀντὶ τοῦ ἆσον. R.

212. πολύδακρυν Ἴτυν : Τὸν Ἴτυλον, ὡς Ὅμηρος λέγει. R. (τὸν Ἴτυν διακόψασα παρέθηκε τῷ πατρὶ πρὸ τῆς ἀπορνεώσεως.) [Ἄλλως. ἐπειδὴ ὁ Ἴτυς υἱὸς ἦν Τηρέως καὶ Πρόκνης τῆς αὐτοῦ γαμετῆς. Πανδίων γὰρ ὁ τῶν Ἀθηναίων βασιλεὺς Πρόκνην τὴν ἑαυτοῦ θυγατέρα εἰς γάμον ἐκδίδωσι τῷ Τηρεῖ Θρᾳκῶν δυναστεύοντι. ὁ δὲ μετὰ τοὺς γάμους ἀφικνεῖται πρὸς Θρᾴκην μετὰ Πρόκνης, ἐξ ἧς ἔσχεν Ἴτυν. μετὰ δὲ χρόνον συχνὸν ποθούσης τὴν ἀδελφὴν Φιλομήλαν τῆς Πρόκνης ἰδεῖν, ὁ Τηρεὺς Ἀθήναζε ἀπελθὼν καὶ λαβὼν καθ' ὁδὸν αὐτὴν διεκόρευσε, καὶ τὴν γλῶτταν αὐτῆς ἀπέτεμεν, μὴ δῆλα θείη τὰ πραχθέντα τῇ Πρόκνῃ. οὐ μὴν ἀλλ' ὑφαίνουσα διὰ γραμμάτων ἐδήλωσε τὸ συμβάν. Πρόκνη μὲν οὖν μαθοῦσα τὴν συμφορὰν, σφάξασα τὸν υἱὸν Ἴτυν εἰς βρῶσιν παρέθηκε τῷ Τηρεῖ. ὁ δὲ γνοὺς, ἐδίωκεν αὐτὰς ξίφει ποῦ ποῦ φθεγγόμενος. Φιλομήλα μὲν δὴ Τηρεὺς ἦν βοῶσα τῷ φόβῳ, Πρόκνη δὲ τὸν Ἴτυν θρηνοῦσα Ἴτυ Ἴτυ ἐλεεινῶς ἐφθέγγετο. τοῦ δὲ Διὸς ἐλεοῦντος ἡ μὲν Πρόκνη εἰς ἀηδόνα, ἡ δὲ Φιλομήλα εἰς χελιδόνα μεταβληθεῖσαι, ἔτι γε μὴν καὶ ὁ Τηρεὺς εἰς ἔποπα, ταῦτα φθέγγονται μέχρι καὶ νῦν ἕκαστος, ἅ γε μετὰ τὴν συμφορὰν μὲν πρὸ τῆς ἀπορνεώσεως δέ. ἐλελιζομένη δὲ, θρηνοῦσα.] — ἀντὶ τοῦ στρεφομένη. R. (διερρῖς δὲ), διύγροις ἐκ τῶν δακρύων. [μῖλαξ δὲ εἶδος βοτάνης.]

216. ἠχὼ : Ἡ ἱερὰ ἠχὼ ἀνέρχεται. τὸ δὲ χωρεῖ ἀντὶ τοῦ χωρήσει. — μῖλαξ εἶδος φυτοῦ. R. V.

217. τοῖς σοῖς ἐλέγοις : Ἀντὶ τοῦ τοῖς θρήνοις. εἴρηται δὲ ἀπὸ τοῦ ἔ ἔ λέγειν. (Δίδυμος δέ φησιν ὅτι οἱ πρὸς αὐλὸν ᾀδόμενοι θρῆνοι. τὸν γὰρ αὐλὸν πένθιμον ὑπειλῆφθαι.)

218. [ἀντιψάλλων : Ἀντὶ τοῦ ἀνακρούων. ψαλμὸς δὲ κυρίως ὁ τῆς κιθάρας ἦχος.]

222. αὐλεῖ : Τοῦτο παρεπιγέγραπται, δηλοῦν ὅτι μιμεῖταί τις τὴν ἀηδόνα ὡς ἔτι ἔνδον οὖσαν ἐν τῇ λόχμῃ. [κατεμελίτωσεν ἀντὶ τοῦ]ἡδύτητος ἐπλήρωσεν.

225. οὐ σιωπήσεις : Πρὸς ἀλλήλους διαλέγονται.

228. ἐποποῖ ποποπό : [Εἴσθεσις μέλους ἑτέρου περιοδικὴ, εἰς τέσσαρας στροφὰς διαιροῦσα τὰς περιόδους, ὧν ἡ πρώτη στροφὴ κώλων δέκα. ὧν τὸ πρῶτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον, ἔχον τὸν πρῶτον πόδα ἀνάπαιστον, τὸν δὲ δεύτερον τρίβραχυν. ἑξῆς δύο καὶ τὸ πέμπτον τρίμετρα ἀκατάληκτα. τὸ τέταρτον δίμετρον. τὸ ἕκτον ἀναπαιστικὸν ὁμοίως κατὰ τὴν τετάρτην χώραν προκελευσματικὸν ἔχον. τὰ ἑξῆς τροχαϊκὰ δίμετρα πλὴν τοῦ τελευταίου καταληκτικά.] ταῦτα δεῖ ὀξυτόνως προφέρεσθαι τῇ φωνῇ, ὥστε ὀρνέου ἦχον προφαίνεσθαι κατὰ μίμησιν.

229. ἰὼ ἰτὼ ἰτώ : Προσκαλεῖται τοὺς ὄρνιθας, ἵνα συμβουλεύσῃ τὴν πόλιν κτίσαι. τὸ δὲ ὅλον εὐκαίρως ὁ ποιητὴς βούλεται τὸν χορὸν εἰσάξαι τῶν ὀρνέων.

230. γυίας : Ὁδοὺς, πλέθρα. φῦλα : Γένη. *Vict.*

231. κριθοτράγων : Ἀντὶ τοῦ κριθοφάγων. καινῶς δὲ εἶπεν· οὐ γὰρ πᾶν ὄρνεον κριθὰς ἐσθίει.

232. οἱ γέρανοι. V.

233. γῆρυν : Φωνήν. *Vict.*

234. ὅσα τ' ἐν ἄλοκι : Ἐν τῇ τομῇ τοῦ ἀρότρου. ἀντὶ τοῦ περὶ τὴν βῶλον τῆς αὔλακος.

235. ἀμφιτιττυβίζετε : Ποιὸν ἦχον ἀποτελεῖτε.

237. [τιὸ τιό : Ἡ δευτέρα στροφὴ κώλων ιγ'. ὧν τὸ πρῶτον ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον ἐκ τετραβραχέων. τὸ β' ὅμοιον καθαρόν. τὸ τρίτον ὅμοιον, ἔχον τὸν τρίτον καὶ τέταρτον πόδα τετράβραχυν, τὸν δὲ τέταρτον τρίβραχυν. τὸ ε' ὅμοιον, τὸν α' καὶ β' ἔχον πόδα τετράβραχυν. τὸ ἕκτον ὅμοιον, τὸν τρίτον ἔχον πόδα τετράβραχυν. τὰ ἑξῆς ἓξ τροχαϊκὰ δίμετρα ἀκατάληκτα ἐπιμεμιγμένα τριβράχεσιν. τὸ δὲ ιγ', τὸ ὀτ-

ταγᾶς ἀτταγᾶς, τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, εἰ δὲ βούλει, παιωνικὸν ἐκ κρητικῶν.]

μιμούμενος πάλιν τὴν φωνὴν τῶν ὀρνέων καλεῖ αὐτὰ ὁ ἔποψ. — ὁμοίως δὲ καὶ ταῦτα ὀξυτονητέον. Rav., qui hinc usque ad v. 394 scholia omittit.

238. ἐπὶ κισσοῦ κλάδεσιν : Ἀντὶ τοῦ τοῖς κλάδοις. ἀπ' εὐθείας δὲ τῆς κλάδος, ὡς τὸ τέκος.

240. κοτινοτράγα : Κότινον ἐσθίοντα, τουτέστι ἀγριέλαιον.

κομαροφάγα : Κόμαρον ἐσθίοντα.

244. ὅσα θ' ἑλείας : Ἑλώδεις τόπους στενούς. τοὺς ἑλείους στενοὺς τόπους. ἀπὸ τοῦ ὁ ἕλειος. τὰς ὀξυστόμους δὲ, τὰς ὀξὺ ᾀδούσας.

245. ἐμπίδας : Ζῷόν ἐστιν ἐν ὕδασι γινόμενον ὅμοιον τῷ κώνωπι, μεῖζον δὲ τῇ περιοχῇ, κατὰ τὸ μέσον λευκῷ περιεζωσμένον. [κάμπτετε δὲ, καταβάλλετε, ἐσθίετε. ἐρόεντα δὲ ἀντὶ τοῦ ἐπιθυμητικὸν, ὡς χαρίεντα. Μαραθῶνος δὲ, ὅτι ἐν Μαραθῶνι πολὺ τὸ ὄρνεον.]

249. ἀτταγᾶς : Ὁ ἀτταγᾶς ὁ ἔχων τὸν λειμῶνα τοῦ Μαραθῶνος. τὰ γὰρ λιμνώδη καὶ ἕλεια χωρία καταβόσκεται ὁ ἀτταγᾶς. [ἡ τρίτη στροφὴ κώλων ὀκτὼ δακτυλικῶν τετραμέτρων, πλὴν τοῦ ζ'. τοῦτο γὰρ δακτυλικὴ βάσις.]

250. ὧν τ' ἐπὶ πόντιον : Ὁ τέ περιττός. ἔστι δὲ παρὰ τὰ Ἀλκμᾶνος

ὅς τ' ἐπὶ κύματος ἄνθος ἅμ' ἀλκυόνεσσι ποτᾶται.

διὸ καὶ Δωρικῶς εἴρηται. τὸ δ' ἑξῆς, ὧν τε φῦλα ἐπὶ πόντιον οἶδμα θαλάσσης ἅμ' ἀλκυόνεσσι ποτᾶται. [ἡ δὲ ἀλκυὼν θαλάσσιόν ἐστιν ὄρνεον. καὶ ἱστορίαν δὲ τοιαύτην περὶ αὐτῶν φασιν, ὡς ἀπ' ἀνθρώπων ἀπορνεώθη. ἔστι δὲ ἡ Κήϋκος τοῦ Τραχινίων βασιλέως γυνή. οἳ ὅλῳ μεγίστῳ ἐπαρθέντες, εἰς τοσοῦτον ἦλθον φρυάγματος, ὡς ἀπαξιοῦν τοῖς ἰδίοις ὀνόμασι καλεῖσθαι. καὶ ὁ μὲν ἐκάλεσεν αὐτὸν Δία, ἡ δὲ Ἥραν. καί ποτε ἐν θαλάσσῃ αὐτοῦ πλέοντος ὁ Ζεὺς ὀργισθεὶς αὐτόν τε διέφθειρε καὶ τὴν ναῦν. ἡ δὲ ἄγαν περιπαθῶς ὠδύρετο τὸν τοῦ ἀνδρὸς θάνατον παρὰ τῷ αἰγιαλῷ, ἣν ἐλεήσας ὁ Ζεὺς ἀπωρνέωσε. καὶ ἐκεῖνον δὲ εἰς ὄρνεον μετέβαλεν, ὃν κηρύλον καλοῦσιν. ἐθρήνει δὲ τῶν ᾠῶν αὐτῆς ἐν τῇ θαλάσσῃ κλωμένων. διὸ κατὰ Διὸς οἶκτον ιδ' ἡμέρας ἀλκυονίτιδας καλουμένας εὐδιεινὰς ἔχει τοῦ ἔτους, ἐν αἷς τίκτουσα ἐκβάλλει τοὺς νεοττούς.]

252. τὰ νεώτερα : Ἀπαγγέλματα δηλονότι ἢ πράγματα.

254. [ταναοδείρων : Μακροτραχήλων. τὸ μερικὸν δὲ ἐπὶ πάντων ἔταξεν. οὐ γὰρ πάντα ταναόδειρα τὰ ὄρνεα.]

256. καινὸς γνώμην : Νέαν γνώμην εἰσηγούμενος.

258. [ἀλλ' ἴτ' ἐς λόγους : Ταῦτα τὰ πέντε κῶλα ἔοικεν ἐπῳδοῦ. καὶ εἰσὶ τὰ μὲν δύο τροχαϊκὰ δίμετρα ἀκατάληκτα. τὸ τρίτον ἰαμβικὸν ἐκ τριβράχεων. τὸ δ' παιωνικὸν ἐκ κρητικῶν διρρύθμων. τὸ πέμπτον ἰαμβικὸν ἐφθημιμερὲς ἐκ τριβράχεων. ἐφ' ἑκάστης στροφῆς παράγραφος. ἐπὶ δὲ τῷ τέλει κορωνίς.]

261. κικκαβᾶ : τὰς γλαῦκας οὕτω φωνεῖν λέγουσιν. ὅθεν καὶ κικκαβὰς αὐτὰς λέγουσιν. ἔστι δὲ ἱερὰ τῆς Ἀθηνᾶς. οἱ δὲ κικυμίδας, ὡς Καλλίμαχος [fr. 318] « κάρτ' ἀγαθὴ κικυμίς. » καὶ Ὅμηρος δὲ [Il. Ξ, 291]

χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δὲ κύμινδιν.

τὴν γλαῦκα ἀπὸ τῆς μορφῆς χαλκίδα, ἐπειδὴ χαλκίζει τῷ χρώματι. Ἄλλως. μίμημα τοῦτο ποιᾶς φωνῆς τῆς γλαυκός. ἔστι δὲ ἱερὰ τῆς Ἀθηνᾶς. διὸ καὶ εἶδος αὐτῆς πολὺ ἐν τῇ Ἀττικῇ καὶ εἰς τιμὴν τῆς θεοῦ ἐν τοῖς νομίσμασιν ἐγχαράττουσι τὴν γλαῦκα. διὰ τὸ χαλκῶδες δὲ ἔχειν τὸ πτερὸν λέγεται καὶ χαλκίς. λέγεται καὶ κύμινδις.

266. ἐμβὰς ἐπῶζε : Ἐπῴζειν ἐστὶ τὸ ἐπὶ τοῖς ᾠοῖς καθεζόμενα τὰ ὄρνεα κράζειν. [ἐνταῦθα δὲ ἀντὶ τοῦ ἐκρύπτετο.] χαραδριὸς δέ ἐστιν εἶδος ὀρνέου μεταβαλλομένου εἰς τὰ προκείμενα. διχῶς δέ· ἐπὶ μὲν τοῦ ὀρνέου, χαραδριὸν ὀξυτονητέον· εἰ δὲ ἐπὶ τῆς χαράδρας, βαρυτονεῖται. ἐπεὶ, φασὶ, καὶ αἱ χαράδραι τρόπον τινὰ διὰ τῶν ῥευμάτων μελῳδίας ποιοῦνται.

χαραδριὸν μιμούμενος : Εὔφρόνιος ἐκ τοῦ χαραδριὸν μιμούμενος ἀξιοῖ δέχεσθαι ἀποκεκρυμμένος. ἐπεὶ γὰρ τοὺς ἰκτερικοὺς ὠφελεῖ ὁ χαραδριὸς ὀφθεὶς, οἱ πωλοῦντες αὐτὸν, φασὶ, κρύπτουσιν, ἵνα μὴ πρὸ τοῦ ὠνήσασθαί τις ἰαθῇ παρέργως. — Ἄλλως. καὶ μὴν καλύπτει ὡς χαραδριὸν περνάς. v. Ἀνδρέας δέ φησι τῶν ἰκτερικῶν οὐ τοὺς ἰδόντας, ἀλλὰ τοὺς φαγόντας ἀπαλλάττεσθαι τοῦ πάθους.

267. τοροτίζ : Οἱ μὲν καὶ τοῦτο τοῦ ἔποπος λέγουσιν εἶναι, οἱ δὲ ὄρνιθός τινος περιιπταμένου. [καὶ τοῦτο δὲ τῶν εἰρημένων ὀρνέων.]

268. [ἀγάθ' ἀλλ' οὐτοσὶ : Κορωνὶς αὖθις ἑτέρα εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ μ', ὧν τελευταῖος

καὶ βλέπουσιν εἰς σὲ κἀμέ. τοῦτο μὲν κἀμοὶ δοκεῖ.

ἐν ἐκθέσει δὲ μετὰ τὸν λζ' στίχον κῶλα ἰαμβικὰ δίμετρα ἀκατάληκτα β'. ἐπὶ τῷ τέλει κορωνίς.]

καὶ δή τις ὄρνις : Τοῦτο ἀποδέδωκε πρὸς τὰ ἄνω ἃ εἶπεν ὁ ἕτερος « ἄλλως ἄρ' οὗποψ. » [ταῦς δὲ Ἀττικῶς περισπᾶται.]

270. οὗτος αὐτὸς : [Ἀντὶ τοῦ ὁ ἔποψ] ἐρεῖ ἡμῖν.

272. καλός γε καὶ φοινικιοῦς : Ἦν γὰρ φοινικόπτερος. λέγεται οὖν ἀντὶ τοῦ πυρρός. περισπᾶται δὲ τῷ λόγῳ τῶν εἰς ους ἁπλῶν. καὶ [ἔστι] παρὰ τὴν φοίνικος γενικὴν φοινικόεις καὶ φοινικίεος ἐν ὑπερθέσει καὶ φοινικιοῦς ἐν συναιρέσει.

275. ἕξεδρον χώραν ἔχων : Ἐκ τῆς Σοφοκλέους δευτέρας Τυροῦς ἀρχὴ

τίς ὄρνις οὗτος ἕξεδρον χώραν ἔχων;

ὡς εἰ εἶπε χροιάν. ἕξεδρον δὲ, παρηλλαγμένην. [Σοφοκλῆς (Phil. 212) « οὐκ ἕξεδρος, ἀλλ' ἔντοπος ἀνήρ. »]

276. ὁ μουσόμαντις · Ὁ κομπώδης. τοιοῦτοι γὰρ οἱ μάντεις καὶ οἱ ποιηταί.

ἄτοπος ὄρνις : Τοῦτο εἶπεν εἰς τὸ τερατῶδες τοῦ ὄρνιθος ἀφορῶν οὐδὲν πρὸς τὸ προκείμενον. παρὰ τὰ ἐξ Ἡδωνῶν Αἰσχύλου « τίς ποτ' ἔσθ' ὁ μουσόμαντις, ἄλαλος, ἀθρατεὺς ὢν σθένει. » — ὀρειβάτης : Τῷ ὄρει βαίνων. *Vict.*

277. Μῆδός ἐστιν : Ὡς τῶν Μήδων ὡς ἐπὶ τὸ πολὺ ἐπὶ τῶν καμήλων ὀχουμένων ἐπὶ τῇ τῶν πολέμων ἐξόδῳ. τοὺς δὲ Ἐκβατάνων ὄρνεις Περσικούς φασι πρὸς τὸ ξένον τῆς θέας. ζητεῖται δὲ εἰ ὄντως καλεῖταί τις ὄρνις μῆδος.

279. λόφον κατειληφώς : Ἀντὶ τοῦ λόφον ἔχων. ἀπὸ τῶν ἐν τοῖς πολέμοις. τοῦτο δέ φησιν ἐπεί ἕτερός τις ὄρνις ἀναφαίνεται λόφον ἔχων ὡς ὁ ἔποψ. διαβάλλει δὲ τὸν Φιλοκλέα ὡς ὀξυκέφαλον.

281. οὗτος μέν ἐστι Φιλοκλέους : Οὗτος ὁ Φιλοκλῆς ἔποπα ἐσκεύασεν ἐν τῇ Πανδιονίδι τετραλογίᾳ, οὗ ἡ ἀρχὴ « σὲ τῶν πάντων δεσπότην λέγω. » Ἄλλως. Φιλοκλεῖ ἐστι δρᾶμα Τηρεὺς ἢ Ἔποψ. Ἄλλως. ὁ Σοφοκλῆς πρῶτον τὸν Τηρέα ἐποίησεν. εἶτα Φιλοκλῆς. διὰ τοῦτο δὲ εἶπεν, ἐγὼ δὲ πάππος, ἀντὶ τοῦ πρὸ αὐτοῦ ἐγράφην. τοῦτο δὲ θέλων κωμῳδῆσαι Καλλίαν ὡς ἀπολέσαντα πάντα τὰ χρήματα. Ἄλλως. ἐν ἐνίοις ὑπομνήμασιν, ὅτι προκέφαλός ἐστιν ὁ Φιλοκλῆς ὡς ὁ ἔποψ. ἀλλ' οὐδαμοῦ κεκωμῴδηται. εἴη ἂν οὖν τὸν ἔποπα ἐσκευοποιηκὼς τῇ Πανδιονίδι τετραλογίᾳ, ἣν καὶ Ἀριστοτέλης ἐν ταῖς Διδασκαλίαις ἀναγράφει. ἔστι δὲ ὁ Φιλοκλῆς τραγῳδίας ποιητής, καὶ Φιλοπείθους υἱὸς ἐξ Αἰσχύλου ἀδελφῆς. ὅσοι δὲ Ἁλμίωνος αὐτόν φασιν, ἐπιθετικῶς λέγουσι διὰ τὸ πικρὸν εἶναι. ἅλμη γὰρ ἡ πικρία. γεγόνασι δὲ Φιλοκλεῖς δύο τραγῳδιῶν ποιηταί· εἷς μὲν ὁ Φιλοκλέους ἀπόγονος· ἐκείνου μὲν γὰρ υἱὸς Μόρσιμος· τούτου δὲ Ἀστυδάμας, ἐκ τούτου δὲ Φιλοκλῆς καὶ ἕτερος ὁ κατὰ τὴν αὐτὴν ἡλικίαν περιπεπτωκὼς τῷ νεωτέρῳ Φιλοκλεῖ.

283. Ἱππόνικος Καλλίου : Ὁ Ἱππονίκου Καλλίας ἐδόκει τὰ πατρῷα διεσπαρκέναι εἰς ἀσέλγειαν. κωμῳδεῖται δὲ εἰς ἀσέλγειαν καὶ ὡς ληφθεὶς μοιχεύων ἀπέτισε χρήματα. κεκωμῴδηκε δὲ αὐτὸν ἱκανῶς Εὔπολις ἐν τοῖς Κόλαξι. Ἄλλως. λέγεται καταψεύδεσθαι τῶν ὑπομνημάτων, ὅτι οἱ Ἱππόνικοι καὶ οἱ Καλλίαι ἄνωθεν ἐκ διαδοχῆς ἀπὸ πατέρων ἐπὶ παῖδας καθήκουσιν. ὅπερ ἐστὶ ψεῦδος. ὁ πρῶτος γοῦν Καλλίας Φαινίππου πατρός ἐστιν, ὁ νενικηκὼς ἵππῳ τὴν τετάρτην καὶ πεντηκοστὴν ὀλυμπιάδα.

285. τίλλεται : Τὸ τίλλεται ἀπὸ τῶν ὀρνέων. νῦν δὲ ἴσον τῷ πλούσιος τὸ γενναῖος. καὶ πρὸς τὴν πορνοκοπίαν τοῦ Καλλίου, καὶ ὅτι μοιχεύων χρήματα ἐδίδου. — γενναῖος : Πολὺν ἔχων ὄλβον. *Vict.*

288. κατωφαγᾶς : Ὅτε βαρύνεται, ἐπίθετον· ὅτε δὲ περισπᾶται, κύριον. ἴσως δὲ ἀπὸ τοῦ καταφαγεῖν τὸ ὄνομα πεποίηκε, διὰ τὴν τοῦ Κλεωνύμου πολυφαγίαν.

290. οὐκ ἀπέβαλε τὸν λόφον : Τὸν τῆς περικεφαλαίας. ὡς ῥίψασπις καὶ δειλὸς διαβάλλεται Κλεώνυμος.

292. ἐπὶ τὸν δίαυλον ἦλθον : Ἐπεὶ οἱ διαυλοδρομοῦντες μεθ' ὅπλων τρέχουσιν ἔχοντες λόφον ἐπὶ τῆς κεφαλῆς. Ἄλλως. δίαυλος λέγεται ὁ διττὸν ἔχων τὸν δρόμον ἐν τῇ πορείᾳ, τὸ πληρῶσαι τὸ στάδιον καὶ ὑποστρέψαι. δολιχοδρόμοι δὲ οἱ ἑπτὰ τρέχοντες, διὸ καὶ δολιχοδρόμοι. οἱ γὰρ σταδιοδρόμοι διπλοῦν ποιοῦνται τὸν δρόμον. Ἄλλως. ὁπλίτην δρόμον· μεθ' ὅπλων γὰρ ἠγωνίζοντο. [Ἄλλως. δίαυλος, ὁ διστάδιος τόπος ἢ μέτρον πήχεων σ'. δίαυλος καὶ ἡ μακρὰ περίοδος. ὀκτὼ δέ εἰσιν ἀγωνίσματα, στάδιον, δίαυλος, δόλιχος, ὁπλίτης, πυγμή, παγκράτιον, πάλη καὶ ἅλμα.]

ὥσπερ οἱ Κᾶρες μὲν οὖν : [Ὡς τῶν Καρῶν τὰ ἐχυρὰ καταλαμβανόντων, διὰ τὸ στρατιωτικοὺς εἶναι. ἢ ὅτι ἐν πέτραις ᾤκουν ὑπὲρ ἀσφαλείας, ἢ ὅτι λόφον ἔχουσιν ἐπὶ τῶν κρανῶν.] Ἄλλως. γενναιότατοι οἱ Κᾶρες τὰ πολεμικὰ καὶ τοὺς λόφους καταλαμβάνοντες ἐν τοῖς πολέμοις. θαλασσοκρατήσαντές τε πολλὰ μέρη τῆς οἰκουμένης κατέλαβον. καὶ τοὺς λόφους ᾤκουν, ὡς ἂν ἐχυρωτέρους, ὅθεν καὶ Καρικαὶ καὶ καραπόλεις ἐλέγοντο αἱ οἰκήσεις.

296. πετομένων τὴν εἴσοδον : Τὸν οὐρανὸν ἢ τὸν ἀέρα. εἴσοδος δὲ λέγεται ᾗ ὁ χορὸς εἴσεισιν εἰς τὴν σκηνήν. καὶ ἐν ταῖς Νήσοις

τί σὺ λέγεις; εἰσὶν δὲ ποῦ;
αἱδὶ κατ' αὐτὴν ἣν βλέπεις τὴν εἴσοδον.

297. οὗτοσὶ πέρδιξ : Ἀπὸ τούτου ἡ καταρίθμησις τῶν εἰς τὸν χορὸν συντεινόντων προσώπων κδ', ἐν περιττῷ ληφθέντων τῶν προκατειλεγμένων. ὁ δὲ τραγικὸς ιε' πρόσωπα ἔχει. ἐντεῦθεν ἀριθμήσας εὑρήσεις τὰ εἰκοσιτέσσαρα πρόσωπα, ἐξ ὧν ὁ κωμικὸς χορὸς συνίσταται.

299. ὅστις ἐστὶ κηρύλος : Εὐφρόνιός φησι τοὺς Δωριεῖς λέγειν, « βάλε δὴ βάλε κηρύλος εἶην· » τοὺς δὲ Ἀττικοὺς κείρυλον. φησὶ δὲ Δίδυμος, τὸ κατὰ φύσιν ὄνομα κείρυλος λέγεσθαι. Ἀντίγονος δέ φησι τοὺς ἄρσενας τῶν ἀλκυόνων κηρύλους λέγεσθαι, οὓς καὶ γηράσκοντας αἱ θήλειαι βαστάζουσι τοῖς πτεροῖς. μήποτε παρὰ τὸ κείρειν ἐσχημάτικεν. ὁ δὲ Σποργίλος ἦν κουρεύς. μνημονεύει αὐτοῦ Πλάτων ἐν Σοφισταῖς

τὸ Σποργίλου κουρεῖον, ἔχθιστον τέγος.

τοῦτο οὖν ἔστω σημεῖον τοῦ καὶ τὸν κηρύλον ἴσως παρὰ τὸ κείρειν ἠτυμολογηκέναι τὸν Ἀριστοφάνην. ἀντέθηκεν οὖν αὐτῷ κουρέα. [Ἄλλως. ὁ ἄρσην ἀλκυὼν κηρύλος λέγεται. ἐν δὲ ταῖς συνουσίαις ἀποθνήσκει. ὁ δὲ Σποργίλος κουρεὺς ἦν. διαβάλλει δὲ αὐτὸν ὡς εὐτελῆ.]

301. τίς γλαῦξ' Ἀθήναζε : Παροιμία. τὸ δὲ χ, ὅτι ἤλλαξε τὸ τοπικόν. ἔδει γὰρ ἐξ Ἀθηνῶν, οὐκ εἰς Ἀθήνας εἰπεῖν. οὐ προσποιεῖται δὲ, ὅτι οὐκ ἐν Ἀθήναις τὰ πράγματα. Ἄλλως. παροιμία ἐπὶ τῶν μάτην ἐπισωρευόντων τινὰ ἐπὶ τοῖς προϋπάρχουσιν, οἷον εἴ τις ἐν Αἰγύπτῳ σῖτον ἐπαγάγοι, ἢ ἐν Κιλικίᾳ κρόκον. ἐνταῦθα οὖν, ἐπεὶ Ἀθήνηθέν ἐστιν ἡ γλαῦξ, κατὰ τὴν παροιμίαν λέγει, τίς εἰς Ἀθήνας γλαῦχ' ἐνήνοχεν; Δήμων δέ φησιν ὅτι οὐ τοῦ ζῴου μόνον πληθύνοντος ἐν τῇ πόλει, ἀλλὰ

καὶ τοῦ νομίσματος. καὶ ὅτι οὐκ ἐν ἀργύρῳ μόνῳ, ἀλλὰ καὶ ἐν χαλκῷ χαράσσουσι τὴν γλαῦκα. διὸ τὴν παροιμίαν εἰρῆσθαι. μήποτε δὲ ἐπὶ τοῦ ζῴου εἰκός ἐστι λεχθῆναι μόνου.

202. κορυδὸς, ἐλεᾶς : Ὁ κορυδὸς παρὰ Ἀριστοτέλει κορύδων λέγεται, εἰ μὴ ἕτερός ἐστι. ποικίλα γὰρ τὰ ὀνόματα. ὁ δὲ ἐλεᾶς μήποτε ἐλείας ἐστὶν ἐν τοῖς Καλλιμάχου ἀναγραφόμενος. φησὶ γὰρ « ἔλεια μικρὸν, φωνῇ ἀγαθόν. » ἀναγέγραπται δὲ καὶ ἡ ὑποθυμὶς καὶ ὁ νέρτος καὶ ὁ ἐρυθρόπους καὶ ἡ πορφυρὶς καὶ ὁ δρύοψ καὶ ἡ ἀμπελίς.

203. κεβλήπυρις : Μήποτε οὐχ ἕν ἐστιν, ἀλλὰ δύο, φησὶν ὁ Σύμμαχος. καὶ ἐν τοῖς Καλλιμάχου γὰρ ἀναγέγραπται κέβλη. εἶτα μύρμηξ Ἑρμίππου τετραμέτροις. « καὶ Θεμιστοκλέους τὸν πρωνός τις ὢν κεβλήπυρίς « τις ὀνομάζεται. » ὥστε ἐνθάδε ἢ ἐκεῖ ἡμάρτηται τὸ ἓν παρὰ τῇ γραφῇ. Ἄλλως. οὐ δύναται δύο εἶναι, διὰ τὸν ἀριθμὸν τῶν εἰκοσιτεσσάρων.

204. πορφυρὶς : Ἡ πορφυρὶς ἀναγέγραπται, κερχνὴς δὲ οὐκ ἀναγέγραπται, ἀλλὰ κέρχνη. [καὶ ἡ κολυμβὶς δὲ φαίνεται καὶ ὁ δρύοψ, καὶ ἡ ἀμπελίς.] Δίδυμος δὲ τὸν μικρὸν ἱέρακά φησι.

207. οἷα πιππίζουσιν : Κατὰ μίμησιν τῶν ὀρνέων πεποίηται ἡ λέξις. λέγει δὲ οὗτος καὶ τὸ ποτίζειν πιπίζειν.

310. [ποποποποπο : Εἴσθεσις περιόδου ἀμοιβαίας τοῦ χοροῦ καὶ τοῦ ὑποκριτοῦ κώλων στίχων ιη'. ὧν τὰ πρῶτα τρία κῶλα τοῦ χοροῦ ἀναπαιστικὰ πενθημιμερῆ ἐπιμεμιγμένα τετραβράχεσιν. ὁ δ' τροχαϊκὸς τετράμετρος καταληκτικός. τὰ ἑξῆς πάλιν τρία κῶλα τοῦ χοροῦ. ἀναπαιστικὴ βάσις ἕκαστον τούτων. ἐπιμεμιγμένα καὶ ταῦτα τετραβράχεσιν. οἱ ἑξῆς πάλιν δύο τροχαϊκοὶ τετράμετροι καταληκτικοί. τὸ ἑξῆς τοῦ χοροῦ κῶλον ἀναπαιστικὴ βάσις. οἱ δὲ ἑξῆς ζ' τροχαϊκοὶ τετράμετροι καταληκτικοί, ὧν τελευταῖος

κἀστὸν ἤδη που παρ' ἡμῖν ; εἰ παρ' ἡμῖν εἰμ' ἐγώ.]

315. [τίνα λόγον : Ἀπὸ κοινοῦ τὸ πάρει.]

317. κοινὸν ὠφελήσιμον : Ἀντὶ τοῦ κοινωφελῆ. ἀσφαλῆ δὲ, τουτέστιν ἀληθῆ καὶ σφαλῆναι μὴ δυνάμενον.

318. λεπτὼ λογιστὰ : Ἀφίκοντο λεπτοὶ εἰς τὸ λογίσασθαι.

319. ποῦ πᾶ : Διαταράσσονται οἱ ὄρνιθες ἀκηκοότες ἄνδρας παρεῖναι. ὑποπτεύουσι γὰρ αὐτοὺς εἶναι ὀρνιθοθήρας.

321. ἔχοντε πρέμνον : Στέλεχος καὶ ῥίζαν. πράγματος [δὲ πελωρίου,] ὅ ἐστι χρήσιμόν τι εἰσηγούμενοι.

322. ὦ μέγιστον ἐξαμαρτὼν : Ἐπεὶ ἀνθρώπους ἐδέξατο θηρευτὰς τῶν ὀρνίθων. Ἄλλως. τῶν ἐξημαρτημένων ἐξότε ἐτέχθην.

324. τῆς συνουσίας : Τῆς ἡμῶν τῶν ὀρνέων κοινωνίας καὶ διαγωγῆς.

326. εἰ παρ' ὑμῖν εἶμ' ἐγώ : Εἰ ἐγὼ παρ' ὑμῖν εἰμι, καὶ ἐκεῖνοι παρ' ἐμοί εἰσιν.

327. [ἔα ἔα : Εἴσθεσις ἑτέρα μέλους χοροῦ στροφῆς λόγον ἔχουσα. ἔχει γὰρ καὶ ἀντίστροφον τὴν, ἰὼ ἰώ, ἐκ κώλων ἀναπαιστικῶν καὶ παιωνικῶν ὀκτώ. ἧς προτίθεται κῶλον ἰαμβικὸν ἤτοι ἰαμβικὴ βάσις. εἰσὶ δὲ τὰ μὲν ἀναπαιστικὰ μεμιγμένα προκελευσματικοῖς, τὰ δὲ παιωνικὰ πεντασυλλάβοις. διαλύονται γὰρ καὶ τῶν παιώνων εἰς βραχείας αἱ μακραί. τὸ μὲν οὖν πρῶτον καὶ τρίτον ἀναπαιστικὰ δίμετρα βραχυκατάληκτα. τὸ δὲ δεύτερον καὶ τέταρτον ὅμοια τῷ δευτέρῳ. τὸ πέμπτον ἑφθημιμερές. τὸ ἕκτον καὶ ζ' παιωνικὰ τετράμετρα καταληκτικά. τὸ δὲ ὄγδοον ὅμοιον ἑφθημιμερές. ἐν ἐκθέσει δὲ στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ τρεῖς. τὸν τρίτον δὲ ἀναπληροῖ τὸ ἑξῆς πρόσωπον εἰσερχόμενον. ἑξῆς δὲ σύστημα ἐν εἰσθέσει τροχαϊκῶν τετραμέτρων καταληκτικῶν δ'. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος καὶ διπλῆ ἕσω νενευκυῖα, τοῦ δὲ συστήματος μόνη παράγραφος.]

329. ὁμότροφα : Οἷον τὴν αὐτὴν ἡμῖν κατανομὴν νεμόμενα.

231. παρέδη μὲν θεσμοὺς : Ὡς τούτου νενομοθετημένου αὐτοῖς τὸ μὴ συνεῖναι ἀνθρώποις.

336. ὕστερος λόγος : Ὅ ἐστιν ὕστερον αὐτῷ μαχησόμεθα. ὡς παρ' Ὁμήρῳ [Il. A, 140]

ἀλλ' ἤτοι μὲν ταῦτα μεταφρασόμεσθα καὶ αὖθις.

338. διαφορηθῆναι : Διασπασθῆναι.

339. αἴτιος μέντοι σὺ : Ἀλλήλοις ἀντεγκαλοῦσιν οἱ πρεσβῦται ἀμηχανοῦντες ἐκφυγεῖν πως τὸ παρὸν κακόν.

343. [ἰὼ ἰώ : Εἴσθεσις χοροῦ ἑτέρα ἀντίστροφος τῆς ἤδη ῥηθείσης στροφῆς, ἐκ κώλων ὁμοίων καὶ στίχων η'. εἰσὶ δὲ τὰ μὲν ε' ἀναπαιστικὰ ἀναλόγως τοῖς τῆς στροφῆς. τὰ δὲ τρία παιωνικὰ, ὡς καὶ τὰ τῆς στροφῆς. ἐν εἰσθέσει δὲ στίχοι δύο τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ ὅμοιοι τοῖς ἑξῆς. ἐπὶ τῷ τέλει διπλαῖ ἔξω νενευκυῖαι. Ἄλλως. ἔπαγε : Παρακελεύονται ἑαυτοῖς ὡς ἐν πολεμικῇ παρατάξει, βουλόμενοι κατ' αὐτῶν ὁρμῆσαι.]

346. [ἐπίβαλε περί τε κύκλωσαι : Ὡς ὅπλον πανταχοῦ. τοῦτο γὰρ τὸ πάντα γε τὴν πτῆσιν τὴν ἐπὶ φόνῳ γενομένην περίαγε.]

348. καὶ δοῦναι ῥύγχει φορβάν : [Ἀσκληπιάδης φησὶν ἀπὸ Ἀνδρομέδας εἶναι, ὡς καὶ τὸ « σὰ γὰρ ταῦτα πάντα καὶ ἐκεῖσε δεῦρο. » γράφεται καὶ ῥάμφει. ὅπερ βέλτιον. ῥάμφος γὰρ ἐπὶ ὀρνέου. ἐπὶ δὲ χοίρου ῥύγχος. Ἄλλως.] παρὰ τὸ Εὐριπίδου ἐξ Ἀνδρομέδας « ἐκθεῖναι κήτεϊ φορβάν, » ὡς Ἀσκληπιάδης, τὰ μηδέπω διδαχθείσης τῆς τραγῳδίας παρατιθέμενος, ὡς καὶ τὸ [v. 423] « σὰ γὰρ ταῦτα πάντα καὶ τὸ τῇδε καὶ τὸ κεῖσε, » παρὰ τὰ ἐκ τῶν μηδέπω διδαχθεισῶν Φοινισσῶν [273] φησὶν « κἀκεῖσε καὶ τὸ δεῦρο, μὴ δόλος τις ᾖ. » καὶ ὅλως πολλοῦ παρὰ πᾶσι τὸ τοιοῦτον.

349. οὔτε γὰρ ὄρος : Εἰς ἃ μάλιστα ἀπόφευξίς τις ἐστὶν ἀσφαλής.

353. ἐπαγέτω τὸ δεξιὸν κέρας : Ἀντὶ τοῦ προηγείσθω τὸ δεξιὸν μέρος. ὡς ἐπὶ πολέμου δὲ τοῦτό φησι. [τῶν γὰρ ταγμάτων τὸ μὲν μέσον, μέτωπον, ὃ ἐκ πολλοῦ πλήθους συνίσταται, τῶν δ' ἑκατέρωθεν τὸ μὲν δεξιόν, τὸ δ' ἀριστερὸν ὀνομάζεται.]

357. ὅτι μένοντε : Ἐπεὶ μὴ δυνάμεθα φυγεῖν, κἂν μαχεσώμεθα μένοντες.

λαμβάνειν τε τῶν χυτρῶν : Φοβεῖται γὰρ τὴν χύτραν τὰ ὄρνεα διὰ τὸ μέλαν αὐτῶν.

358. γλαῦξ μὲν οὐ πρόσεισι νῷν : Οὐ διὰ τὴν χύτραν οὐ πρόσεισιν, ὡς Εὐφρόνιος· τοῦτο γὰρ κοινῶς πάντα τὰ ὄρνεα φοβεῖ· ἀλλὰ διὰ τὸ Ἀττικὸν εἶναι τὸ ζῷον· Ἀττικοὶ δὲ καὶ αὐτοί.

359. τοῖς δὲ γαμψώνυξι : Τοῖς ὑποκύφους ἔχουσιν ὄνυχας.

τὸν ὀβελίσκον ἁρπάσας : Πῆξον αὐτὸν πρὸς τὴν χύτραν.

361. ἢ τρύβλιον : Ὅτι τὸ τρύβλιον μεῖζον τοῦ ὀξυβάφου.

363. ὑπερακοντίζεις σύ γ' ἤδη : Νικᾷς. ἐκ μεταφορᾶς τῶν τοῖς ἀκοντίοις ἀγωνιζομένων.

Νικίαν : Φρονιμώτατα γὰρ λιμῷ Μηλίους ἀνεῖλεν.

364. ἐλελελεῦ : Ἐπίφθεγμα πολεμικὸν τὸ ἐλελεῦ. οἱ προσιόντες γὰρ εἰς πόλεμον τὸ ἐλελεῦ ἐφώνουν μετά τινος ἐμμελοῦς κινήσεως. καθὸ καὶ Ἀχαιὸς Ἐρετριεὺς ἐν τῷ Φιλοκτήτῃ ποιεῖ τὸν Ἀγαμέμνονα παραγγέλλοντα τοῖς Ἀχαιοῖς.

365. ἕλκε, τίλλε : Καὶ Κρατῖνος « σφάττε, δεῖρε, κόπτε » τὴν χύτραν δὲ, εἰς ἣν ἐπερείδονται, δεικνύντες ὅτι καταφρονοῦσιν αὐτῆς.

368. καὶ φυλέτα : Συμπατριώτα. ὅτι καὶ ἡ Πρόκνη Ἀττικὴ ἦν Πανδίονος θυγάτηρ.

369. μᾶλλον ἡμεῖς ἢ λύκων : Μᾶλλον λύκων φεισόμεθα ἥπερ τούτων. ἔστι καὶ παροιμιῶδες. ἐπεὶ τὸ παλαιὸν τοὺς λύκους ἀπέκτεινον ἐν τῇ Ἀττικῇ, καὶ νόμος ἦν λυκοκτονεῖν. διὸ ὁ μὲν φονεύων τέκνον λύκου τάλαντον ἐλάμβανεν, ὁ δὲ τέλειον δύο. ὅθεν καὶ τὸν Ἀπόλλωνα λύκειον [καὶ λυκοκτόνον] φασίν.

374. τοῖσι πάπποις τοῖς ἐμοῖς : Ὅπερ ἐστὶν ἐκ προγόνων ἐχθροὶ ἡμῖν ὄντες. καὶ Μένανδρος

οὐχ ὅθεν ἀπωλόμεσθα σωθείημεν ἄν.

375. ἀλλ' ἀπ' ἐχθρῶν δὴ πολλὰ : Φοβούμενος γάρ τις τοὺς ἐχθροὺς ὠφελεῖται παρ' αὐτῶν. ὁ γὰρ τῶν ἐχθρῶν φόβος πολλὰ χρήσιμα ἔσθ' ὅτε διδάσκει πρὸς φυλακὴν καὶ πρόνοιαν. [καὶ ὑπ' ἀνάγκης ἐχθρῶν συνωθούμενοι μηχανάς τινας σοφωτάτας εἰς ἑαυτῶν φυλακὴν ἐπινοοῦσιν οἱ ἄνθρωποι.]

379. ναῦς τε κεκτῆσθαι μακράς : Τὰς τριήρεις. ταῦτα δὲ εἰς Συρακουσίους αἰνίττεται, οἳ ἐνίκησαν Ἀθηναίους, διὰ τὸ ταπεινὰς ἔχειν τὰς πρῴρας.

381. ἔστι μὲν λόγων ἀκοῦσαι : Τὸ ἑξῆς, ἔστι μὲν χρήσιμον τὸ ἀκοῦσαι πρῶτον ἐφ' ὅτῳ ἐληλύθασιν.

383. ἄναγ' ἐπὶ σκέλος : Ἀντὶ τοῦ ὑπαναχώρει ὀλίγον ὑπὸ πόδα. παρὰ τὸ [Il. A, 547] « γόνυ γουνὸς ἀμείβων. » τοῦτο δὲ ὡς ὑποποδισάντων αὐτῶν ὑπὸ τοῦ δέους.

384. [καὶ δίκαιόν γ' ἔστι : Τοῦτο ὁ ἔποψ πρὸς τοὺς ὄρνιθας, ἐπειδὴ ἔφασαν εἰς λόγους βούλεσθαι ἐλθεῖν τοῖς ἀνθρώποις.]

386. [μᾶλλον εἰρήνην ἄγουσιν : Ἔκθεσις τῆς διπλῆς ἐκ κώλων ὁμοίων τροχαϊκῶν ἐπιμεμιγμένων ἀναπαίστοις καὶ χορείοις ιε' διμέτρων πλὴν τοῦ τελευταίου ἀκαταλήκτων, ὑφ' ὃ αἱ συνήθεις δύο διπλαῖ.]

τὴν χύτραν : Ἔξωθεν τὴν σύν· σὺν τῷ τρυβλίῳ. τῷ δὲ ὀβελίσκῳ ἐχρῶντο ἀντὶ δόρατος. καὶ τὸν ὀβελίσκον δὲ, φησὶν, ὅστις ἐστὶν ἡμῶν δόρυ, ἐντὸς τῶν ὅπλων χρὴ λοιπὸν ἔχειν. λέγει δὲ ἀντὶ τοῦ τῶν χυτρῶν. ἔθος δὲ εἶχον ἔσω τῶν ἀσπίδων ἔχειν τὰ δόρατα.

387. ἀντὶ τοῦ χάλα αὐτά. V.

388. καὶ τὸ δόρυ χρὴ τὸν ὀβελίσκον : Τὸν ὀβελίσκον ὅστις ἐστὶν ἡμῖν δόρυ, χρὴ περιπατεῖν ἔχοντας ἐντὸς, μὴ πόλιν γένηται πόλεμος.

390. τῶν ὅπλων ἐντὸς : Κέχρηται τῇ λέξει ἀντὶ τῶν ἱματίων, ὡσανεὶ εἶπε, καὶ ἔχειν τὸ δόρυ παρὰ τὴν ἀσπίδα. οὕτω γὰρ ποιοῦσιν οἱ πολέμιοι, τοῦ μὴ ἐξόπλους εἶναι, ἀλλὰ καθωπλίσθαι.

παρὰ τὴν χύτραν : Τουτέστι δεῖ καὶ μὴ φοροῦντας ἐγγύθεν αὐτὴν ἔχειν. παραινεῖ οὖν μήτε παντάπασιν ἀμελεῖν, μήτε φανερῶς πολεμεῖν.

392. ὡς οὐ φευκτέον νῶϊν : Ὡς οὔτε φεύγειν οὔτε ἀπαρασκεύαστοι εἶναι.

394. κατορυχθησόμεθα : Ἔπαιζεν εἰς τὴν χύτραν. ἀντὶ τοῦ ἐνταῦθα ὀρυχθήσομαι, ἐπεὶ οἱ ἐν πολέμῳ ἀναιρούμενοι ἐν τῷ Κεραμεικῷ ἐθάπτοντο.

395. ὁ Κεραμεικὸς δέξεται : Οἱ ἐν πολέμῳ ἀναιρούμενοι ἐν τῷ Κεραμεικῷ ἐθάπτοντο, ὡς Μενεκλῆς καὶ Καλλικράτης [ἐν τοῖς] περὶ Ἀθηνῶν συγγράμμασί φασιν οὕτω « καλεῖται δὲ καὶ ὁ τόπος οὗτος ἅπας Κεραμεικός. « ἔστι γὰρ ὁ αὐτὸς δῆμος. βαδίζουσι δὲ ἔνθεν καὶ ἔνθεν « εἰσὶ στῆλαι ἐπὶ τοῖς δημοσίᾳ τεθαμμένοις. * εἰσὶ δὲ « οὗτοι οἱ ὑπὸ τοῦ δήμου πεμφθέντες, οἳ ἐν αὐτῇ τῇ χώρᾳ « ὑπὲρ τῆς πόλεως τετελευτήκασιν. * ἔχουσι δὲ αἱ στῆ« λαι ἐπιγραφὰς ποῦ ἕκαστος ἀπέθανεν. » — λέγει δὲ παρ' ὑπόνοιαν τὰς χύτρας. R.

399. Ὀρνεαῖς : Παρὰ τὰ ὄρνεα ἔπαιζεν. ἔστι δὲ τῆς Ἀργείας πόλις, ἧς Ὅμηρος [Il. B, 571] μνημονεύει λέγων « Ὀρνειάς τ' ἐνέμοντο. » ἴσως δὲ, ὅτι ἐν Ὀρνεαῖς μάχη ἐγένετο Λακεδαιμονίων καὶ Ἀργείων. [γελοῖον δὲ τὸ, φήσομεν ἀποθανεῖν.]

400. [ἄναγ' ἐς τάξιν : Εἴσθεσις μέλους χοροῦ, ἐπῳδικὴ μὲν διὰ τὸ μετὰ τὴν διπλῆν τίθεσθαι, προῳδικὴ δὲ διὰ τὸ προτίθεσθαι ἑτέρας περιόδου κώλων ἀναπαιστικῶν ς'. ὧν τὰ μὲν τέσσαρα δίμετρα ἀκατάληκτα. τὸ ε' ἀναπαιστικὴ βάσις. τὸ ἕκτον ἑφθημιμερές. ἐν ἐκθέσει δὲ κῶλον ἰαμβικὸν δίμετρον ἀκατάληκτον ὅμοιον τοῖς ἑξῆς. ὑφ' ὃ κορωνίς.]

401. καὶ τὸν θυμόν κατάθου : (Ὡσεὶ ὁπλίτῃ ἐγκε-

λεύων τὸ δόρυ καταθέσθαι παρὰ τὴν ἀσπίδα.) — ὁ χορὸς ἐγκελεύεται ἑαυτῷ παῦσαι τῆς ὀργῆς. R.

402. παρὰ τὴν ὀργήν : Παρὰ τὸ Ὁμηρικὸν [Il. Γ, 135]

ἀσπίσι κεκλιμένοι, παρὰ δ' ἔγχεα μακρὰ πέπηγεν.

οἷον ὅπλα μὴ ἔχων, θυμῷ πολέμει (μόνῳ).

407. [καλεῖς δὲ τοῦ κλύειν θέλων : Εἴσθεσις περιόδου ἀμοιβαίας κώλων κζ' ἰαμβικῶν διμέτρων μὲν πλὴν τοῦ ἑνδεκάτου καὶ κδ' τριμέτρων ὄντων, ἀκαταλήκτων δὲ πλὴν τοῦ τελευταίου· τοῦτο γὰρ ἐφθημιμερές. ἔτι γε μὴν τῶν δ', ε', ς', ζ', η' ἀντισπαστικῶν διμέτρων διιάμβοις ἐπιτρίτοις ἐπιμεμιγμένων καὶ σπονδείοις πλὴν τοῦ ζ' ἀκαταλήκτων· τοῦτο γὰρ φερεκράτειον· ἔτι τῶν κ', κα', κδ', κγ' παιωνικῶν ἐφθημιμερῶν. τὰ δὲ τοιαῦτα ὅῆλον ὡς ἀσυνάρτητα. ἐπὶ τῷ τέλει παράγραφος.]

409. σοφῆς ἀφ' Ἑλλάδος : Ἢ ὅτι σοφῶν οἰκητήριον ἡ Ἀττικὴ, ἢ καθὸ οἱ βάρβαροι ἐφρόνουν περὶ Ἑλλήνων ὡς νοερωτάτων.

414. ἀντὶ τοῦ ὅλον, ἢ εἰς τὸ πᾶν τῆς ζωῆς. R. V.

416. πέρα κλύειν : Ἤγουν ἀνεπίδεκτα τῇ ἀκοῇ· ἔστι δὲ καὶ συμφορὰ πέρα τοῦ κλύειν. *Vict.*

417. ὁρᾷ τί κέρδος : Γράφεται καὶ δίχα τοῦ ι, ἵνα ᾖ προστακτικόν. γράφεται δὲ καὶ μετὰ τοῦ ι, ἵνα ᾖ ἐρωτηματικόν. ὡς ὁ λόγος, ὁρᾷ τις αὐτῶν ὠφέλειαν διαγωγῆς μᾶλλον παρ' ἡμῖν οὖσαν, ἢ κατὰ κράτησιν ἐχθρῶν, ἢ φίλους ὠφελῆσαι. ἐν οἷς μάλιστα ἥδονται οἱ ἄνθρωποι. σημειωτέον ὅτι ἑνικὸν εἶπεν ἐπὶ τῶν δύο, [καὶ τὸ κρατεῖν συνέταξεν αἰτιατικῇ].

419. ὁ ἢ ἀντὶ τοῦ καὶ. οὕτω τινές, ἵνα ᾖ οὗ ἐὰν ᾖ καιρός. R.

424. ἀντὶ τοῦ πάντα τὰ ἐν τῷ κόσμῳ σά ἐστι καὶ τὸ τῇδε καὶ τὸ ἐκεῖσε. τὸν οὐρανὸν καὶ τὴν γῆν λέγει. (τὸ δὲ τῇδε καὶ τὸ ἐκεῖσε, τοῦτο ἐκ τῶν μηδέπω διδαχθεισῶν Φοινισσῶν [273] φησὶ « κἀκεῖσε καὶ τὸ δεῦρο, μὴ δόλος τις ᾖ. » καὶ ὅλως πολὺ παρὰ πᾶσι τὸ τοιοῦτον. προσβιβᾷ δὲ, συνεφαρμόζει.)

425. προσβιβάζειν τὸ κατ' ὀλίγον πείθειν. ἢ ἐφαρμόζει, συμβιβάζει. R.

427. ἄφατον ὡς φρόνιμος : Ὡς ἄφατον, φησὶ, καὶ μέγιστον φρονῶν ἐρεῖ ταῦτα. ἢ ἀντὶ τοῦ μεγάλως.

429. κίναδος : Ἀπὸ κοινοῦ τὸ ἔνεστιν αὐτοῖς. τὸ δὲ κύρμα, ἀντὶ τοῦ ἐπιτυγχάνοντες ἐν πᾶσιν. Ἄλλως. [κίναδος ἀντὶ τοῦ] πάνυ φρόνιμος. κίναδος γὰρ ἡ ἀλώπηξ.

430. σόφισμα, κύρμα : Ἐπίτευγμα παρὰ τὸ κυρεῖν. Ἄλλως. ἔντευγμα, σπάραγμα τοῦ νοῦ. τρίμμα δὲ, ὁ τετριμμένος ἐν τοῖς πράγμασιν. Ἄλλως. κύρμα πολλοῖς ἐγκεκυρηκὸς πράγμασι.(παιπάλημα δὲ πολλὰς ἐκτροπὰς καὶ διόδους ἔχων. κυρίως δὲ τὸ λεπτὸν ἄλευρον.)

433. ἀνεπτέρωμαι : Οἰκεῖον ὄρνισι τὸ ἀνεπτέρωμαι ἀντὶ τοῦ μετεώρημαι.

434. ἄγε δὴ σὺ καὶ σὺ : Πρὸς τὸν Εὐελπίδην φησὶν ὁ ἔποψ. ἄμεινον δὲ πρὸς τοὺς θεράποντας, ὡς ἐν τοῖς ἑξῆς [656] « ἄγε δὴ, Ξανθία καὶ Μανόδωρε. » [εἴσθεσις δ' ἑτέρας περιόδου στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ιζ'. ὧν ἐπὶ τῷ τέλει παράγραφος.]

436. εἰς τὸν ἰπνὸν εἴσω πλησίον : Ἰπνὸς μὲν ἡ κάμινος. καταχρηστικῶς δὲ ἡ ἐσχάρα. ἐπιστάτης δὲ χαλκοῦς τρίπους χυτρόποδος ἐκτελῶν χρείαν. οἱ δὲ πήλινον Ἥφαιστον πρὸς ταῖς ἑστίαις ἱδρυμένον ὡς ἔφορον τοῦ πυρός. ἔνιοι δὲ καὶ ξύλον ἐπίμηκες πεπασσαλωμένον, ὅθεν ἐξαρτῶσι τὰ μαγειρικὰ σκεύη. (Ἄλλως. ἐπιστάτην Καλλίστρατος τὸ τῇ ἐσχάρᾳ ἐπιτιθέμενον ξύλον. οἱ δὲ πυριστάτην πλαττόμενον τινα ξύλινον ἐν ταῖς ἐσχάραις, ὡς παρὰ ταῖς καμίνοις τὸν Ἥφαιστον ἀναπλάττουσιν.) Ἄλλως. ὁ ἐπιστάτης ξύλον ἐστὶ κόρακας ἔχον, ἐξ οὗ κρεμῶσι τὰ μαγειρικὰ ἐργαλεῖα. οἱ δὲ, τρίποδα χαλκοῦν, ᾧ ἐπιτιθέασι τὸν λέβητα καὶ ὑποκαίουσιν. οἱ δὲ, ἀνδριάντα πήλινον πρὸς ταῖς ἐσχάραις.

(437). σὺ δὲ τούσδ' ἐφ' οἷς : Σὺ τοὺς λόγους δίδαξον καὶ φράσον, ἐφ' οἷς τούτους ἤγειρα ἐγώ. [τοῦτο δὲ πρὸς τὸν ἕτερον τοῖν ἀνδροῖν.]

440. ἥνπερ ὁ πίθηκος τῇ γυναικὶ διέθετο : (Σύμμαχος· Αἰσωπείου λόγου ἢ τοιούτου τινὸς ἔοικε μεμνῆσθαι. Καλλίστρατος δὲ τοσοῦτόν φησιν, ἐκ διηγηματίου τινὸς εἰλκύσθαι. καὶ Δίδυμος,) ὅτι αἰσχρός τις ἦν τὴν ὄψιν συνεχῶς τῇ γυναικὶ διαπληκτιζόμενος, συνέθετο ἐπὶ φίλων μήτε τύπτειν μήτε τύπτεσθαι μήτε δάκνειν αὐτὸν φιλοῦντα, μήτε δάκνεσθαι. οἷον, σὺ μὲν οὐχ ἑλκύσεις τῶν ὀρχιπέδων, οὐδὲ ἐγὼ τῶν τριχῶν. ἔοικε δὲ Παναίτιον κωμῳδεῖν, (ὃν καὶ ἐν Νήσοις « καταλιπὼν Παναίτιον πίθηκον. » ἔνθα καὶ μαγείρου πατρὸς αὐτὸν λέγει). πίθηκον δὲ αὐτὸν εἶπε διὰ τὸ πανοῦργον. — μαχαιροποιὸν δὲ τὸν μαχαίρας ἐργαζόμενον, (ὡς μάγειρον. καὶ γὰρ ἐν Νήσοις μαγείρου πατρὸς αὐτόν φησιν. ἢ καὶ αὐτόθι μαχαιροποιόν φησιν). R. V. (Ἄλλως. ὁ Παναίτιος μάγειρος μικροφυὴς ἦν.) διαβάλλει δὲ αὐτὸν ὡς καταλαβόντα τὴν γυναῖκα ἑαυτοῦ μοιχευομένην. ἐδυναστεύετο γὰρ ὑπ' αὐτῆς μεγάλης οὔσης.

442. μήτ' ὀρχιπέδων ἕλκειν : Μὴ διασπᾶν τοὺς ὄρχεις, μὴ ὀρύττειν τὸν πρωκτόν. τὸν πρωκτὸν γὰρ δεικνύς φησιν, οὔτι που τόν. — Ἄλλως. τοῦτο ὁ ἔποψ ἢ ὁ χορὸς δεικνὺς τὸν πρωκτόν. ὡς ἐν κωμῳδίᾳ δὲ ταύτην πρώτην τιμωρίαν ὁρίζεται. R. V.

444. διατίθεμ' ἐγώ : Ὑπισχνοῦμαι, συντίθεμαι.

445. ὄμνυμ' ἐπὶ τούτοις πᾶσιν : Ἀντὶ τοῦ εὔχομαι. (οὐκ ὄμνυσι γὰρ, ἀλλ' εὔχεται. ὄμνυμι μένειν ἐν τούτοις. χαριέντως δὲ εὐχόμενος ὑπὲρ τῆς νίκης, ὄμνυμί φησι τὸ νικᾶν. Ἄλλως. ἔκριναν ε' κριταὶ τοὺς κωμικούς. οἱ δὲ λαμβάνοντες τὰς ε' ψήφους εὐδαιμόνουν.)

446. ἔσται ταυταγί : Ἐπειδὴ περὶ νίκης εὔχεται, ποιεῖ αὐτὸν ὁ ποιητὴς εὐφημοῦντα, ἔσται ταυταγί.

447. (εἰ δὲ παραβαίην : Πιθανῶς ὡς ἐλαττόν τι

ἔξων, εἰ μὴ πᾶσι νικῴη. ἐποιωνιζόμενος δὲ αὐτῷ τὴν νίκην ταῦτα λέγει.)

448. ἀκούετε λεώ : Κῆρυξ ἐστὶν ἡ Πεισθέταιρος. ὁ λόγος ὡς ἐπὶ πολεμίων σπεισαμένων. κήρυγμα εἰρήνης κηρύσσει. παίζει δὲ εἰς τοὺς χυτροφόρους ὁπλίτας φάσκων. τὸ δὲ νυνμενὶ, ἀντὶ τοῦ νυνὶ μέν. πολλαχοῦ δὲ οὕτω χρῶνται.

449. πορεύεσθαι. R.

450. (ὅ τι ἂν προγράφωμεν : Ἐπὶ τὰς στρατείας οὕτω προέγραφον. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν φυλάρχων, οἵτινες προγράφουσι τοὺς στρατευσίμους ἐν πίνακι.)

ἐν τοῖς πινακίοις : Ἐπεὶ ἔθος ἦν τοὺς ταξιάρχους διὰ κήρυκος ἀπαγγέλλειν τοῖς ἑαυτῶν στρατιώταις τὰ δεδογμένα, οἷον ποῖ δεῖ πορεύεσθαι καὶ πόσων ἡμερῶν δεῖ σιτία προνοεῖσθαι.

451. [ὀλερὸν μὲν ἀεὶ : Εἴσθεσις μέλους χοροῦ λόγον στροφῆς ἔχουσα. ἔχει γὰρ καὶ ἀντίστροφον τὴν « πολὺ δὴ πολὺ δή. » ἔστι δὲ καὶ ἐπῳδικὴ μὲν διὰ τὸ μετὰ τὴν περίοδον τίθεσθαι· προῳδικὴ δὲ διὰ τὸ προτίθεσθαι ἑτέρας διπλῆς κώλων καὶ στίχων θ'. ὧν ὁ πρῶτος ἀσυνάρτητος ἐξ ἀναπαιστικῶν διμέτρων βραχυκαταλήκτων, καὶ ἰαμβικῆς βάσεως διὰ τὴν ἀδιάφορον. ὁ δεύτερος ἀσυνάρτητος ἐξ ἰαμβικοῦ διμέτρου βραχυκαταλήκτου καὶ ἀναπαιστικῆς βάσεως. ὁ τρίτος ἀναπαιστικὸς πενθημιμερής. ὁ δ' ἀσυνάρτητος ἐκ τροχαϊκοῦ πενθημιμερὴς καὶ ἀναπαιστικοῦ ὁμοίου. ὁ πέμπτος ὅμοιος τῷ γ'. ὁ ς' ἀναπαιστικὸς δίμετρος βραχυκατάληκτος. ὁ ζ' ἀσυνάρτητος ἐξ ἀναπαιστικῆς βάσεως καὶ τροχαϊκοῦ ἰθυφαλλικοῦ. ἐν εἰσθέσει δὲ στίχοι ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ δύο ὅμοιοι τοῖς ἐπὶ τῆς ἐξῆς εἰσθέσεως ξα'. ὀφείλει δὲ εἶναι καὶ ἐν τοῖς εἰρημένοις κώλοις διάλειμμα μικρὸν, ἵνα δοκῶσιν ἐκ δύο κώλων συγκεῖσθαι, συνάπτωνται δὲ εἰς ἕνα στίχον. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος καὶ ἕσω νενευκυῖα. ἐπὶ δὲ τῆς εἰσθέσεως ἔξω διπλῆ.]

454. παρορᾷς : Παρεπινοεῖς ἢ εὑρίσκεις.

456. παραλειπομένην ὑπ' ἐμῆς φρενὸς : [Ἐγκαταλειπομένην,] ἣν ἡμεῖς οὐ νοοῦμεν. [ἔν τισι δὲ οὐ κεῖται τὸ φρενός. ἀξυνέτου δὲ, ἀνοήτου.]

461. (ὡς τὰς σπονδὰς : Ὅτι πρὸ καταγνώσεως, φησὶν, οὐ παρασπονδήσομεν.)

462. (καὶ μὴν ὀργῶ νὴ τὸν Δία : Ἐπιθυμητικῶς ἔχω. ἀπὸ τῶν ἀλφίτων. ὁμοῦ γὰρ ἐφύρων, εἶτα εἰς μάκτρας διενέμοντο. τὸ δὲ ἑξῆς παίζει, ὡς περὶ δείπνου λέγων, καίτοι λόγῳ μέλλων αὐτοὺς εὐωχεῖν.)

(καὶ προπεφύραται : Ἠυτρέπισται. ἡ μεταφορὰ ἀπὸ τῶν ἄλευρα φυρώντων, εἶτα μάζας ποιούντων.) [διαμάττειν δὲ, διαπλάττειν.]

463. φέρε παῖ τὸν στέφανον : Τοῖς γὰρ εὐωχουμένοις περιέκειντο στέφανοι, καταψύχοντες τὸ κρανίον (ἀπὸ τῆς τοῦ οἴνου θέρμης).

465. μέγα καὶ λαρινὸν : (Διὰ τούτου πολλῇ τῇ τροπῇ ἐπέμεινε τῆς εὐωχίας. ὡς ἐπὶ βοὸς δὲ τοῦτό φησιν, ὡς ἐν Λαρίσσῃ μεγάλων βοῶν γενομένων. ἔστι δὲ πόλις Θεσπρωτίας. Ἄλλως. λαρινὸν) ἀντὶ τοῦ λιπαρόν. ἐκ μεταφορᾶς τῶν βοῶν. λέγονται γάρ τινες λάρινοι βόες οἱ λιπαροί. ἢ μεγάλοι, ἀπὸ Λαρινοῦ τινος βοσκοῦ εὐμεγέθους. νέμονται δὲ τὴν ἤπειρον, οὖσαι τῶν Γηρυόνος βοῶν ἀπόγονοι. (θραύσει δὲ, πραϋνεῖ.) — πείσει, καταπραΰνει, καταπαύσει. V.

471. (οὐδ' Αἴσωπον πεπάτηκας : Ὅτι τὸν λογοποιὸν Αἴσωπον διὰ σπουδῆς εἶχον. ἦν δὲ ὁ Αἴσωπος Θρᾷξ. ἠλευθερώθη δὲ ὑπὸ Ἰδμονος τοῦ κωφοῦ. ἐγένετο δὲ πρῶτον Ξάνθου δοῦλος. ὁ δὲ κωμικὸς Πλάτων καὶ ἀναβιῶσαί φησιν αὐτὸν ἐν τοῖς Λάκωσιν οὕτως « καὶ μὴν ὅμοσόν μοι μὴ τεθνάναι, ψυχὴν δ' ἀνήκειν ὥσπερ Αἰσώπου ποτέ. » τῶν δὲ μύθων οἱ μὲν περὶ ἀλόγων ζῴων εἰσὶν Αἰσώπειοι, οἱ δὲ περὶ ἀνθρώπων Συβαριτικοί. εἰσὶ δέ τινες οἳ τοὺς βραχεῖς καὶ συντόμους λέγουσι Συβαρίτιδας, καθάπερ Μνησίμαχος ἐν Φαρμακοπώλῃ. διὰ σπουδῆς δὲ εἶχον τὸν Αἴσωπον. καὶ Ἀριστοτέλης ἐν τῇ Σαμίων πολιτείᾳ εἰπόντα φησὶν αὐτὸν μῦθον ηὐδοκιμηκέναι. φαίνονται τὸ τοιοῦτον ἅπαν Αἰσώπῳ ἀνατιθέντες. τὸ δὲ πατῆσαι ἴσον ἐστὶ τῷ ἐνδιατρῖψαι, ὡς τὸ ἀφικέσθαι που λέγομεν. Ἄλλως. ἀντὶ τοῦ ἀνέγνως. ταῦτα μὲν κωμικώτερον παίζει. τὸν δὲ κορυδὸν ἔνιοι κορυδαλὸν λέγουσι. γῆς δὲ ἱερὸν ὄρνιν νομίζουσιν εἶναι.)

475. (ἐν τῇ κεφαλῇ κατορύξαι : Ἐπεὶ λόφον ἔχει ἡ κορυδός. θηλυκῶς δὲ εἴρηκε τὴν κορυδόν. Πλάτων δὲ ἀρσενικῶς.)

476. [τεθνεὼς Κεφαλῆσι : Προσέπαιξε τὸν δῆμον. Κεφαλῆς γὰρ δῆμος τῆς Ἀκαμαντίδος φυλῆς.]

479. (ῥύγχος βόσκειν σε : Οἷον, μωρὸν ἑστάναι μάτην ῥύγχος ἔχοντα. ἢ ὡς ἐν κωμῳδίᾳ φησὶ μεῖζόν τι ὀφείλειες ἔχειν ῥύγχος. πάλιν δὲ ἀντὶ τοῦ ῥάμφος.)

480. τῷ ὀρυκολάπτῃ : Ὄρνεον ἐν ταῖς ὀρυσὶν εὑρισκόμενον, ζητοῦν σκώληκας, (ὃ καὶ πολλάκις ἀνορύττον καταβάλλει). ἐπεὶ οὖν ἡ ὀρῦς τοῦ Διός ἐστιν, ἔπαιξε παρὰ τὴν ὀρῦν, ἣ ἐστιν ἱερὰ τοῦ Διός. ἢ ἐπεὶ ἐκ ξύλου τὸ σκῆπτρον. ὀρῦς δὲ παρὰ τοῖς ἀρχαίοις πᾶν ξύλον.

484. Δαρείου καὶ Μεγαβάζου : Δαρεῖος βασιλεὺς ἦν, Μεγάβαζος δὲ σατράπης, (πορθήσας Μέμφιδα). οὗτος σατράπης Δαρείου ὁ τὴν Αἴγυπτον ἑλών. οὗ μνημονεύει Θουκυδίδης ἐν τῇ πρώτῃ [c. 109] γράφων οὕτως « Μεγάβαζον τὸν Ζωπύρου πέμπει ἄνδρα Πέρσην με« τὰ πολλῆς στρατιᾶς, ὃς ἀφικόμενος κατὰ γῆν, τούς « τε Αἰγυπτίους καὶ τοὺς συμμάχους μάχῃ ἐκράτησε « καὶ ἐκ Μέμφιδος ἤλασε τοὺς Ἕλληνας. »

485. ὥστε καλεῖται Περσικὸς : Μήποτε τὸν ἀλεκτρυόνα καὶ ἐν τοῖς πρόσθε Μῆδον ὄρνιν καλεῖ, ἐπεὶ καὶ τοὺς Πέρσας Μήδους ἔλεγον.

486. ἀντὶ τοῦ περιέρχεται, περιέπει. R.

487. τὴν κυρβασίαν : Τοῦτο ἐξ ἱστορίας εἴληφε. πᾶσι γὰρ Πέρσαις ἐξῆν τὴν τιάραν φορεῖν, ἀλλ' οὐκ ὀρθὴν, ὡς Κλείταρχος ἐν τῇ δεκάτῃ. μόνοι δὲ οἱ τῶν Περσῶν βασιλεῖς ὀρθαῖς ἐχρῶντο. (τὴν δὲ ἐπὶ κεφαλῆς κίδαριν. ἔστι δὲ αὕτη, καθὰ προείπομεν, τιάρα. τοῖς μὲν ἄλλοις

ἔθος καὶ ἐπτυγμένην καὶ προβάλλουσαν εἰς τὸ μέτωπον ἔχειν, τοῖς δὲ βασιλεῦσιν ὀρθήν.)

489. ὄρθριον ἄσῃ : Καλῶς τὸ ἄσῃ. κοκκύζει γὰρ κυρίως, ὅτ' ἂν παρ' ἑαυτῷ μετὰ νίκην τῆς μάχης ἄσῃ.

491. τορνευτασπιδο. : [Οἱ ποιοῦντες τὰς λυρὰς καὶ τὰς ἀσπίδας.] — ἔμποροι R.

493. Φρυγίων ἐρίων : Ἢ ἀπὸ Φρυγίας, ἢ ἀπὸ δήμου. ἐκεῖ γὰρ ἁπαλὰ καὶ καλὰ ἔρια.

494. ἐς δεκάτην γάρ ποτε : Ὅτι τὴν δεκάτην εἰστίων ἐπὶ τοῖς τικτομένοις, καὶ ἐν αὐτῇ τὰ ὀνόματα ἐτίθεντο τοῖς παισί. (καθάπερ Εὐριπίδης ἐν Αἰγεῖ « τί σε μάτηρ ἐν δεκάτᾳ τόκου ὠνόμαζεν. » ὁ δὲ Ἀριστοτέλης [Hist. an. 7, 12] ἐν ταῖς ἑβδόμαις φησὶν ἐπιτίθεσθαι τὰ ὀνόματα, γράφων οὕτως « τὰ πλεῖστα δὲ ἀναιρεῖται πρὸς τὴν « ἑβδόμην. διὸ καὶ τὰ ὀνόματα τότε τίθενται, ὡς πι- « στεύοντες τότε μᾶλλον τῇ σωτηρίᾳ. ») [τοῦ δὲ ὑπέπινε περιττὴ ἡ ὑπό.] — περιττεύει ἡ ὑπό. R.

495. ἀντὶ τοῦ ἀρχὴν εἶχον τοῦ ὕπνου. R.

496. [Ἁλιμοῦντάδε : Δῆμος τῆς Λεοντίδος φυλῆς.]

498. [ὁ δ' ἀπέβλισε θοἰμάτιον : Ἀντὶ τοῦ ἀφείλετο. ἡ μεταφορὰ ἀπὸ τῶν κηρίων, ἢ ἀπὸ τῶν γάλα ἀμελγόντων.]

501. προκυλινδεῖσθαι : Ἔαρος ἀρχομένου ἴκτινος φαίνεται εἰς τὴν Ἑλλάδα. ἐφ' ᾧ ἡδόμενοι κυλίνδονται (ὡς ἐπὶ γόνυ. παίξας οὖν ὡς βασιλεῖ φησι τὸ κυλινδεῖσθαι). ἴδιον γὰρ βασιλέως τὸ γονυπετεῖσθαι ὑπὸ ἀνθρώπων. Ἄλλως. (τοὺς ἀνθρώπους δηλονότι. τὸ διὰ μεταβολὴν δὲ καιροῦ γινόμενον εἰς βασιλικὴν ἐπέτρεψε τιμήν.) οἱ γὰρ ἴκτινοι τὸ παλαιὸν ἔαρ ἐσήμαινον. οἱ πένητες οὖν ἀπαλλαγέντες τοῦ χειμῶνος ἐκυλινδοῦντο καὶ προσεκύνουν αὐτούς.

502. ὀβολὸν κατεβρόχθισα : Ἀντὶ τοῦ κατέπιον, φησὶν, ὃν εἶχον ἐν τῷ στόματι ὀβολόν, ἵνα ὠνήσωμαι ἅλφιτα, προσκυλιόμενος τῇ τοῦ ἰκτίνου ἐπιφανείᾳ.

503. κόκκυ : Ποιᾷ φωνὴ τὸ κόκκυ. ἢ ἀντὶ τοῦ ὀλίγον. ἔστι δὲ [μόνως] παροξυτόνως. πρὸ θερισμοῦ δὲ φαίνεται ὁ κόκκυξ ἐν τῇ Φοινίκῃ. Ἡσίοδος [Op. 484] « ἦμος κόκκυξ κοκκύσῃ. »

507. κόκκυ, ψωλοὶ : Παρὰ τὴν παροιμίαν, ὅτι ἐπὶ τῶν Αἰγυπτίων ἦσαν ψωλοὶ πολλοί. καὶ ὅτ' ἂν ὁ κόκκυξ εἴπῃ κόκκυ, τότε ὅλοι ἅμα τῇ φωνῇ ἐξήρχοντο εἰς τὸ πεδίον. (Ἄλλως. τὸ αἰδοῖον. ἐπίτηδες δὲ συνήγαγε τὰς δύο λέξεις, ἵνα εἴπῃ αἰσχρῶς καὶ γέλωτα κινήσῃ. ἔστι δὲ παροιμία παρὰ Φοίνιξι « κόκκυ ψωλοὶ πεδίονδε » ἀντὶ τοῦ κόκκυγος κράζοντος τὰ πεδία θερίζομεν.)

510. ἐπὶ τῶν σκήπτρων : Ἐπεὶ εἰώθασιν ἐν τοῖς σκήπτροις ἐπὶ τοῦ ἄκρου ἐκτυποῦν ὄρνιθας εἰς κόσμον.

μετέχων ὅ τι δωροδοκοίη : Ἵνα μετέχῃ τῆς αὐτῆς δωρεᾶς. ἐν γὰρ τοῖς σκήπτροις τῶν βασιλέων ἦν ἀετός. ἔστι δὲ δῶρα μὲν τὰ ἐπὶ δωροδοκίᾳ διδόμενα, δωρεὰ δὲ ἐπὶ τιμῆς.

512. ὁπότ' ἐξέλθῃ Πρίαμος : Ἐν ταῖς τραγῳδίαις (φησὶν) ὑποκρίνεταί τις τὸ Πριάμου βασιλικὸν πρόσωπον, ἔχων ὄρνιν ἐπὶ τοῦ σκήπτρου, τὸν Λυσικράτην τηρῶν μὴ δωροδοκήσῃ. οὗτος δὲ στρατηγὸς ἐγένετο Ἀθηναίων κλέπτης τε καὶ πανοῦργος. διεβάλλετο δὲ δωροδόκος. (ἔνιοι δὲ τραγικὸν αὐτόν φασι κλέπτην, καὶ σφόδρα ἄσημον.)

(ἐν τοῖς τραγῳδοῖς : Ὅτι καὶ νῦν τὸν χρὸν τῶν τραγικῶν. ἐποίουν δὲ ἐπὶ τῶν σκήπτρων ὡς ἐπίπαν ἀετούς.)

515. ὄρνιν ἔχων ἐπὶ τῆς κεφαλῆς : Δέον εἰπεῖν ἐπὶ τοῦ σκήπτρου εἶπεν ἐπὶ τῆς κεφαλῆς. (οὕτω γὰρ ὁ Πίνδαρος [Pyth. 1, 11] « εὖδει δ' ἀνὰ σκάπτρῳ Διὸς αἰετός. » καὶ Σοφοκλῆς « ὁ σκηπτροβάμων αἰετὸς, κύων Διός. » ἢ) ἐπειδὴ εἰώθεσαν τὰ ἀφιερωμένα ἑκάστῳ θεῷ ὄρνεα ἐπὶ κεφαλῆς ἱδρύεσθαι. τῆς Ἀρχηγέτιδος Ἀθηνᾶς τὸ ἄγαλμα γλαῦκα εἶχεν ἐν τῇ χειρί. ὁ δὲ Ἀπόλλων τὸν ἱέρακα ὡς μαντικὸν ὄρνεον καὶ ὡς θεράπων τοῦ Διός. ἐπεὶ μικρότερος τοῦ ἀετοῦ ὁ ἱέραξ.

520. οὕτως καὶ τῶν θεῶν εὐδαιμονέστεροι οἱ ὄρνεις. R.

521. Λάμπων δ' ὄρνυσι : (Τῶν εἰκῇ δαιμόνων. ὅτι πρῶτοι οἱ Σωκρατικοὶ ἐπετήδευσαν οὕτως ὀμνύναι. Σωσικράτης γὰρ ἐν τῷ β' τῶν Κρητικῶν οὕτως φησὶ « Ῥαδάμανθυς δὲ δοκεῖ διαδεξάμενος τὴν βασίλειαν « δικαιότατος γεγενῆσθαι πάντων ἀνθρώπων. λέγεται « δὲ αὐτὸν πρῶτον οὐδένα ἐᾶν ὅρκους ποιεῖσθαι κατὰ « τῶν θεῶν, ἀλλ' ὀμνύναι κελεῦσαι χῆνα καὶ κύνα καὶ « κριὸν, καὶ τὰ ὅμοια. ») ὁ δὲ Λάμπων θύτης ἦν καὶ χρησμολόγος καὶ μάντις· (ᾧ καὶ τὴν εἰς Σύβαριν τῶν Ἀθηναίων ἀποικίαν ἔνιοι περιάπτουσιν, αὐτὸν ἡγήσασθαι λέγοντες Ἀθηναῖον ὄντα σὺν ἄλλοις θ'.) ὤμνυε δὲ κατὰ τοῦ χηνὸς ὡς μαντικοῦ ὀρνέου. ἔτυχε δὲ καὶ τῆς ἐν πρυτανείῳ σιτήσεως. (Ἄλλως. ὅτι οὗτος χρησμολόγος. ἔζη δὲ ἐπὶ τῆς τῶν Ὀρνίθων διδασκαλίας, οὐχ, ὥς τινες, ἐτεθνήκει. πολλῷ γὰρ ὕστερον Κρατῖνος ἐν τῇ Νεμέσει οἶδεν αὐτὸν ζῶντα.)

523. Μανᾶς : Ἀπὸ τοῦ Μάνης. πρὸς δὲ τὰ ἀνδράποδα καὶ ὄνομα εἶπε δουλικόν. ὡσεὶ ἔλεγε τοὺς δούλους Μανᾶς. οὕτω γὰρ ἐκάλουν τοὺς οἰκέτας πολλάκις.

524. ἀντὶ τοῦ μανιώδεις βάλλουσιν ὑμᾶς τοῖς λίθοις. R. V.

526. ὀρνιθοθηρευτής. R.

527. ῥάβδους : [Γράφεται σταυρούς.] ἔστι δὲ εἶδος δικτύου, ᾧ χρίουσιν ἰξῷ.

528. δίκτυα : Ἀντὶ τοῦ θηρατικὰ δίκτυα. καὶ αἱ πηκταὶ δὲ εἶδος δικτύου.

530. βλιμάζοντες : (Ὅτι νεωτερικὴ ἡ λέξις. Καλλίστρατος ἀντὶ τοῦ ψηλαφᾶν. ἔοικε δὲ πλέον τι σημαίνειν, τὸ μετὰ συντονίας. Ἄλλως.) βλιμάζειν κυρίως τὸ τοῦ ὑπογαστρίου καὶ τοῦ στήθους ἅπτεσθαι, ὅπερ ἐποίουν οἱ τὰς ὄρνιθας ὠνούμενοι, οἱονεὶ θλιβομάζειν. Δίδυμος δὲ, βλιμάζοντες, ἀντὶ τοῦ κακοῦντες. ἀποτίλλουσι γὰρ καὶ κατεσθίουσιν.

531. οὗτοι δὲ οὐ μόνον ὑμᾶς ἕψουσιν, ἀλλὰ καὶ συντρίβουσιν. R. V.

533. ἀλλ' ἐπικνῶσιν : Ἀντὶ τοῦ ἐπιβάλλουσι συν-

τρίψαντες. παρὰ τὸ κναίειν, τὸ διαφθείρειν. σίλφιον δὲ ῥίζα ἡδύοσμος πρὸς ἅλφιτα. λέγει δὲ τὸ ἐν Λιβύῃ γενόμενον. θεραπεύει δὲ πολλὰ καὶ ἔστι πολυτίμητον. καὶ ἐν Πλούτῳ [924] φησὶν

οὐδ' ἂν εἰ δοίης γέ μοι
τὸν Πλοῦτον αὐτὸν καὶ τὸ Βάττου σίλφιον.

535. κατάχυσμα : Ζωμὸν, παρὰ τὸ χεύεσθαι. γλυκὺ δὲ, μέλιτι δεδευμένον. (Ἄλλως. οὐδὲν πλέον ἢ κατάχυσμα, ὥστε ἀπὸ τούτου καὶ τὰ καταχύσματα λέγεσθαι.)

536. κατεσκέδασαν : κατέχεαν. R.V.

538. ὥσπερ κενεβρίων : Κατὰ ἐναλλαγὴν τῶν στοιχείων ἀντὶ τοῦ νεκριμαίων. ὡς τῶν θνησιμαίων κρεῶν ποικιλωτέρας ἀρτύσεως δεομένων. (Ἄλλως. τὰ θνησιμαῖα κρέα οὕτως ἐκάλουν. [fr. 559 :] « οὐκ ἔσθ' ᾧ κενέβρειον ὅταν θύσῃ. »)

539. [πολὺ δὴ : Εἴσθεσις μέλους χοροῦ, ἐπῳδικὴ μὲν διὰ τὸ μετὰ τὴν διπλῆν τίθεσθαι· προῳδικὴ δὲ διὰ τὸ προτίθεσθαι ἑτέρας διπλῆς. ἔστι δὲ καὶ ἀντίστροφος τῆς προρρηθείσης στροφῆς, διὰ τὸ καὶ αὐτὴν ἐκ κώλων συγκεῖσθαι καὶ στίχων ἀσυναρτήτων θ', ὁμοίων ἐκείνῃ. ἔχει δὲ καὶ ἐν ἐκθέσει τοὺς συνήθεις δύο στίχους ἀναπαιστικοὺς ὁμοίους τοῖς ἑξῆς ξα', διπλῆ ἕξω νενευκυίᾳ περατουμένους. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἕξω νενευκυῖαι.]

χαλεπωτάτους λόγους : Ἀντὶ τοῦ λυπηροὺς, χαλέψαι δυναμένους.

540. (ἐμῶν πατέρων : Ἐρεθισθέντες ὑπὸ τῶν πρεσβυτῶν καταβοῶσι τῶν πατέρων ὡς ἀπολεσάντων τὴν βασιλείαν.)

543. ἐπ' ἐμοῦ : Εἰς ὅσον αὐτοὺς ἐγὼ χρόνον διεδεχόμην.

547. τὰ νεόττια : Ὡσεὶ εἶπεν ἐμὲ καὶ τὰ τέκνα μου ἀνατίθημί σοι ὥστε διοικεῖν. (ταῦτα δὲ εἰώθασι πρὸς τοὺς εὐήθεις τῶν ἀνθρώπων λέγειν.)

550. ὅτι ὀφείλετε μίαν πόλιν ἔχειν. R. V.

551. τὸ μεταξὺ λέγει γῆς καὶ οὐρανοῦ. R

552. πλίνθοις ὀπταῖς : Φασὶ γὰρ τὴν Βαβυλῶνα ἀπὸ ὀπτῶν πλίνθων οἰκοδομηθῆναι, καὶ ἀντὶ γύψου ἀσφάλτῳ συνδεθῆναι τὰς πλίνθους. ἡ Σεμίραμις δὲ ἔκτισε τὴν Βαβυλῶνα.

553. [ὦ Κεβριόνα : Ὄρνεόν τί φησι τὸν κεβριόνην. ἔπαιξε δὲ, ὡσεὶ ἔλεγεν, « ὦ θεοί, ὡς σμερδαλέον τὸ πόλισμα. » ἐπιτηδείως δὲ τὸν πορφυρίωνα παρέλαβεν, καὶ ὅτι ὄρνις καὶ ὅτι εἷς τῶν γιγάντων ὅμοιος τῷ Κεβριόνῃ, ὃν ἐχειρώσατο ἡ Ἀφροδίτη. ἐπίτηδες οὖν τῶν θεομάχων ἐμνήσθη, ἐπεὶ καὶ αὐτοὶ θεομαχήσουσιν.]

555. γνωσιμαχήσῃ : Γνωσιμαχῆσαί ἐστι τὸ γνόντα τινὰ ὅτι πρὸς κρείττους αὐτῷ ἡ μάχη ἡσυχάσαι.

556. ἱερὸν πόλεμον : Ὁ ἱερὸς πόλεμος ἐγένετο Ἀθηναίοις πρὸς Βοιωτοὺς βουλομένους ἀφελέσθαι Φωκέων τὸ μαντεῖον. νικήσαντες δὲ Φωκεῦσι πάλιν ἀπέδωκαν, ὡς Φιλόχορος (ἐν τῇ δ') λέγει. δύο δὲ ἱεροὶ πόλεμοι γεγόνασιν, οὗτός τε καὶ ὁπότε Φωκεῦσιν ἐπέθεντο Λακεδαιμόνιοι. (ἐν ἐνίοις τῶν ὑπομνημάτων ταῦτα λέγεται· ἱερὸν πόλεμον λέγει, καθὸ πρὸς θεοὺς ἔσοιτο. ἅμα δὲ τοῦ ἱεροῦ πολέμου μνημονεύει τοῦ γενομένου Ἀθηναίοις πρὸς Φωκέας ὑπὲρ τοῦ ἐν Δελφοῖς ἱεροῦ. ἐσχεδίασται δὲ ὑπ' αὐτῶν. οὐ γὰρ πρὸς Φωκέας ὑπὲρ τούτου ἐπολέμησαν, ἀλλ' ὑπὲρ Φωκέων, διὰ τὸ πρὸς Λακεδαιμονίους ἔχθος. γεγόνασι δὲ δύο πόλεμοι ἱεροί. πρότερος μὲν Λακεδαιμονίοις πρὸς Φωκεῖς ὑπὲρ Δελφῶν. καὶ κρατήσαντες τοῦ ἱεροῦ Λακεδαιμόνιοι τὴν προμαντείαν παρὰ Δελφῶν ἔλαβον. ὕστερον δὲ τρίτῳ ἔτει τοῦ πρώτου πολέμου Ἀθηναίοις πρὸς Λακεδαιμονίους ὑπὲρ Φωκέων. καὶ τὸ ἱερὸν ἀπέδωκαν Φωκεῦσι, καθάπερ καὶ Φιλόχορος ἐν τῇ δ' λέγει. καλεῖται δὲ ἱερὸς, ὅτι περὶ τοῦ ἐν Δελφοῖς ἱεροῦ ἐγένετο. ἱστορεῖ περὶ αὐτοῦ καὶ Θουκυδίδης [I, 112] καὶ Ἐρατοσθένης ἐν τῷ θ' καὶ Θεόπομπος ἐν τῷ κε'.)

558. [Ἀλκμήνας : Διὰ τοῦ πληθυντικοῦ ἠύξησε τὴν διαβολήν.]

559. [καὶ τὰς Ἀλόπας : Ἀλόπη Κερκυόνος θυγάτηρ, ἣ καὶ Ποσειδῶνος υἱὸς Ἱπποθόων.]

562. θύειν ὄρνισι : Πρὸ τῶν θεῶν. [τὸ λοιπὸν δὲ, εἰς τὸ ἔμπροσθεν. προσνείμασθαι δὲ] μερίσαι καὶ προσοικειῶσαι ἕκαστον ὄρνιν ἑκάστῳ θεῷ, ἱέρακα Ἀπόλλωνι καὶ τὰ ἑξῆς.

565. ἢν Ἀφροδίτῃ θύῃ πυροὺς : Πυροὺς λέγει τῇ Ἀφροδίτῃ θύειν, ἐπεὶ οἱ ἐφθοὶ πυροὶ πρὸς συνουσίαν ἐγερτικοί. ἡ δὲ φαληρὶς ὄρνεόν ἐστι λιμναῖον (εὐπρεπές. ἐσχημάτισε δὲ παρὰ τὸν φαλλόν).

566. ἢν δὲ Ποσειδῶνι : (Γράφεται, Ποσειδῶνι βοῦν τις θύῃ.) νῆττα δὲ παρὰ τὸ νήχεσθαι, ἐπεὶ ἔνυδρον τὸ ζῷον. καὶ τῷ Ποσειδῶνι δὲ ἐν ὑγρῷ ἡ δίαιτα.

557. [ἢν δ' Ἡρακλεῖ θύῃ τις : Τὸν λάρον διὰ τὴν ἀδηφαγίαν Ἡρακλεῖ προσανάπτει. ναστὸς δὲ, μέγας πλακουντώδης ἄρτος. ὁ δὲ Ἀσκληπιάδης φησὶν εὐτελῆ πλακοῦντα. μελιτούττας δὲ, μέλιτι δεδευμένας. τὸ δὲ πλῆρες, ναστοὺς καὶ μελιτούττας. λείπει γὰρ ὁ καί σύνδεσμος.]

568. ὀρχίλος ὄρνις : [Διὰ τὰς μοιχείας τοῦ Διὸς τὸν ὄρνιν παρέλαβεν.] ἐπλάσατο τὸ ὄνομα τοῦ ὄρνιθος. ἐπεὶ κατωφερὴς ὁ Ζεὺς καὶ μοιχὸς, διὰ τοῦτο ὀρχίλον παρείληχεν διὰ τοὺς ὄρχεις. τὸ δὲ σέρφον ἔνορχιν, ὡς κριὸν ἔνορχιν. δῆλον δὲ ἐντεῦθεν ὅτι οὐχ, ὡς οἰονταί τινες, σπέρμα τι ὁ σέρφος. [ἔστι δὲ ζῷον μυρμηκῶδες.]

570. ἤσθην σέρφῳ : Ὡς καταφρονῶν αὐτοῦ φησι. καὶ δωρίζειν πολλάκις ἐπιτηδεύουσιν. — σέρφῳ : Σέρφος μύρμηξ πτερωτός. *Vict.*

571. ἀντὶ τοῦ εὐτελεῖς ὄρνιθας. R.

574. αὐτίκα Νίκη πέταται : Νεωτερικὸν τὸ τὴν Νίκην καὶ τὸν Ἔρωτα ἐπτερῶσθαι. Ἄργεννον γάρ φασι, τὸν Βουπάλου καὶ Ἀθήνιδος πατέρα, οἱ δὲ Ἀγλαοφῶντα, τὸν Θάσιον ζωγράφον, πτηνὴν ἐργάσασθαι τὴν Νίκην, ὡς οἱ περὶ Καρύστιον τὸν Περγαμηνόν φασιν.

575. Ἶριν δέ γ' Ὅμηρος : Ὅτι ψεύδεται παίζων.

οὐ γὰρ ἐπὶ Ἴριδος, ἀλλ' ἐπὶ Ἀθηνᾶς καὶ Ἥρας [Il. E, 778]

αἱ δὲ βάτην τρήρωσι πελειάσιν ἴθμαθ' ὁμοῖαι.

(οἱ δὲ ἐν ἑτέροις ποιήμασιν Ὁμήρου φασὶ τοῦτο φέρεσθαι. εἰσὶ γὰρ αὐτοῦ καὶ ὕμνοι.)

579. σπερμολόγων : Ὄνομα ὀρνέων, ἃ ἐκ τοῦ ὀρύττειν τὰ σπέρματα καὶ ἐσθίειν οὕτως ἐκλήθη. — καταφαγεῖν. R.

580. παρεχέτω, παρόσον εὑρετίς ἐστι τῶν καρπῶν. Ven.

581. οὐκ ἐθελήσει : Ἀντὶ τοῦ οὐ δυνήσεται· Ὅμηρος [Il. Φ, 366] « οὐδ' ἐθέλει προρέειν. »

582. οἱ δ' αὖ κόρακες : Ἐπιβεβούλευται, φησί, τοῖς ἀνθρώποις, ἐὰν μὴ τιμήσωσιν ὑμᾶς. τοὺς γὰρ βοῦς ἐπὶ γεωργίαν χρειώδεις ὄντας ἀνθρώποις τυφλοῦτε καὶ τὰ πρόβατα, (ἐξ ὧν τὴν ἐσθῆτα ἔχουσι). — καταροῦσι : Καταρέσθαι, διαλύειν. *Vict.*

583. ἐπὶ πείρᾳ : Ἀντὶ τοῦ ἐπὶ βλάβῃ. ἢ ἵνα πειραθῶσιν ἡμῶν εἰ θεοὶ ἐσμέν.

584. μισθοφορεῖ δέ : Ὅτι οἱ ἰατροὶ μισθῷ ἰατρεύουσι. R. V. ὁ δὲ ἀντὶ τοῦ γάρ. (τοῦτο δὲ εἶπεν) ἐπεὶ Λαομέδοντα τῆς τειχοδομίας μισθὸν ἤτησεν.

588. τὰς οἰνάνθας : Οἰνάνθη ἡ πρώτη ἔκφυσις τῆς σταφυλῆς. [καὶ Εὐριπίδης [Phœn. 236] « οἶνα θ' ἃ καθαμέριον στάζεις τὸν πολύκαρπον οἰνάνθας ἱεῖσα βότρυν. »]

589. [γλαυκῶν λόχος : Γλαὺξ εἶδος ὀρνέου. λόχος δὲ τὸ σύστημα. ὅπερ ἄνω ἔφη νέφος.]

(καὶ κερχνηίδων : Μήποτε καὶ ἐν τοῖς πρόσθεν οὐχὶ κερχνὴς γραπτέον, ἀλλὰ κερχνηὶς σὺν τῷ ι, ὡς Νηρηίς. νῦν γὰρ κερχνηίδων εἶπεν.) [κνῖπες δὲ εἴδη ζωυφίων μικρά.]

598. γαῦλον κτῶμαι : Γαῦλος Φοινικικὸν σκάφος, καὶ νῦν προπερισπωμένως, ἐπὶ δὲ τοῦ ἀγγείου ὀξυτόνως. Καλλίμαχος [fr. 217]

(Κυπρόθε Σιδόνιός με κατήγαγεν ἐνθάδε γαῦλος.)

Ἄλλως. γαῦλος, πλοῖόν τι φόρτιμον, ὡς καὶ σκάφη ἀπὸ τῶν σκευῶν. Ὅμηρος [Od. I, 223] « γαῦλοί τε σκαφίδες τε. » ὡς αἱρετωτέρου δὲ ὄντος τῶν ἄλλων πάντων καὶ ἀκινδύνου τοῦτό φησι.

601. πλὴν εἴ τις ὄρνις : [Παροιμία ἐστὶν, οὐδείς με θεωρεῖ, πλὴν ὁ παριπτάμενος ὄρνις. Ἄλλως.] παροιμία τοῦτο, οὐδεὶς οἶδε τί ὠμίλησα, πλὴν ὁ παριπτάμενος ὄρνις. τοῦτο ἐλέγετο ἐπὶ τῶν ἀγνώστων.

602. τὰς ὑδρίας : Ἐν ὑδρίαις γὰρ ἔκειντο οἱ θησαυροί.

603. πῶς δ' εἰς γῆρας : Ἀντὶ τοῦ πῶς εἰς πολυχρονιότητα προκόψουσιν.

609. οὐκ οἶσθ' ὅτι πέντε γενεὰς : Κακῶς καὶ τοῦτο παρὰ τὸ Ἡσιόδειον [fr. 50] παίζει

ἐννέα γὰρ ζώει γενεὰς λακέρυζα κορώνη.

614. [οὐδὲ θυρῶσαι : Τοὺς ναοὺς ὡς τοῖς θεοῖς. θάμνοις δὲ,] συμφύτοις τόποις. — πρινιδίοις : ἀντὶ τοῦ πρίνοις. R. V. (σεμνοῖς δὲ, τοῖς τιμίοις.)

617. (δένδρον ἐλαίας : Ὅτι εὕρημα θεῶν. Ἀθηνᾶς γάρ.)

618. κοὐκ εἰς Δελφούς : Ἔνθα τὰ μαντεῖά εἰσιν, ἐν μὲν Δελφοῖς τὰ τοῦ Ἀπόλλωνος, ἐν δὲ Λίβυσι τὰ τοῦ Ἄμμωνος.

620. [ταῖσι κομάροις : Ὅτι τὰς μὲν κομάρους θηλυκῶς φησιν, ἀρσενικῶς δὲ τοὺς κοτίνους. εἴδη δὲ δένδρων ταῦτα.)

626. [ὦ φίλτατ' ἐμοὶ : Κορωνὶς καὶ εἴσθεσις χοροῦ, ἐπῳδικὴ μὲν διὰ τὸ μετὰ τὴν διπλῆν τίθεσθαι, προῳδικὴ δὲ διὰ τὸ προτίθεσθαι ἑτέρας περιόδου στίχων καὶ κώλων ιϐ'. ὧν ὁ πρῶτος καὶ δεύτερος καὶ ια' καὶ ιϐ' ἀναπαιστικοὶ τετράμετροι καταληκτικοί. ὁ τρίτος ἀσυνάρτητος ἐξ ἀναπαιστικῶν πενθημιμερῶν· ἐξ ἀναπαιστικοῦ πενθημιμεροῦς αἰολικοῦ διὰ τὸ ἔχειν τὸν πρῶτον πόδα ἴαμβον καὶ τροχαϊκοῦ ὁμοίου πενθημιμεροῦς. ὁ τέταρτος ὅμοιος. τὸ ε' ἀναπαιστικὸν πενθημιμερὲς τὸν δεύτερον ἔχον πόδα τετράβραχυν. τὸ ς' τροχαϊκὸν δίμετρον ἀκατάληκτον τὸν πρῶτον ἔχον πόδα τρίβοαχυν. τὸ ζ' ἀναπαιστικὴ βάσις. τὸ η' τροχαϊκὸν ἑφθημιμερὲς τὸν πρῶτον ἔχον πόδα τρίβραχυν. ὁ θ' ἰαμβικὸς τρίμετρος βραχυκατάληκτος. ὁ δέκατος ἀσυνάρτητος ἐξ ἰαμβικῆς βάσεως καὶ τροχαϊκοῦ ἰθυφαλλικοῦ. ἐπὶ τῷ τέλει κορωνίς.]

ἐξ ἐχθίστου : Ἀπὸ τῆς ἔχθρας εἰς φιλίαν μεταπίπτων.

628. ἐπαυχήσας : Ἀντὶ τοῦ μεγαλοφρονήσας διὰ τῶν σῶν λόγων.

629. ἐπηπείλησα : Ἐπαγγειλάμενος ὤμοσα.

637. (τἀμὰ τρίψειν : Χαριέντως εἶπε τρίψειν ὡς ἐπὶ ἐσθῆτος.)

638. [καὶ μὴν μὰ τὸν Δία : Εἴσθεσις περιόδου ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων εἴκοσι. ὧν τελευταῖος

καὶ Μανόδωρε λαμβάνετε τὰ στώματα.

ἐν εἰσθέσει δὲ στίχοι ἀναπαιστικοὶ τετράμετροι. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος.]

639. οὐδὲ μελλονικιᾶν : Ὅτι βραδὺς ἦν περὶ τὰς ἐξόδους, καὶ ὡς οἱ διαβάλλοντες, οὐχὶ προνοητικὸς ἦν, ἀλλ' ἀμελητής. τινὲς δέ φασι διὰ τὸ προνοητικὸν καὶ μὴ προπετὲς τοιοῦτον αὐτὸν εἶναι. — ὁ Νικίας υἱὸς Ἀλκιβιάδου, ὃς ἀνεβάλλετο ἀπελθεῖν εἰς Σικελίαν. R. V.

640. ἀλλ' ὡς τάχιστα δεῖ τι δρᾶν : Ὁ ἔποψ παρακελεύεται αὐτοῖς εἰς τὴν νοσσιὰν εἰσελθεῖν, ἵνα αὐτῶν ἀποστάντων σχοίη καιρὸν ἡ παράβασις. [τὸ δὲ κάρφη καὶ φρύγανα ἐκ παραλλήλου τὸ αὐτό.]

645. Κριῶθεν : Γράφεται καὶ Θρίηθεν καὶ ἔστι δῆμος τῆς Οἰνηίδος, ἐὰν δὲ Κριῶθεν, τῆς Ἀντιοχίδος. Ἄλλως. Κριὸς δῆμος τῆς Ἀντιοχίδος φυλῆς, ἀπὸ Κριοῦ τινος ὠνομασμένος. ἀναγράφει δὲ τοὺς ἐπωνύμους τῶν δήμων καὶ φυλῶν Πολέμων.

648. ἐπανάκρουσαι : [Ἐπανάκαμπτε. ἡ μεταφορὰ ἀπὸ τῶν τὰς ἡνίας ἀνακρουομένων ἢ τὰς ναῦς. Ἄλλως.] ἀντὶ τοῦ ὑπόστρεψον, ἐπάνιθι. ἐπανάκρουσις δέ ἐστι κυρίως τὸ ἐπισχεῖν τὴν ἐπερχομένην ναῦν μεθ' ὁρμῆς εἰς τὸν ὅρμον, ἵνα μὴ προσελθοῦσα θραυσθῇ. καὶ νῦν δὲ τὸ πάλιν ἐπὶ τοῦ ὀπίσω. ἀπὸ τῶν εἰς τοὔμπροσθεν ἐρεσσόντων. ἢ ἀντὶ τοῦ ἆσας πρὸ τούτου πάλιν ἆσον καὶ ἐπανάλαβε.

649. πρὸς ἀλλήλους τοῦτό φησι. R.

651. ὅρα νῦν ὡς ἐν Αἰσώπου λόγοις : Ὅτι σαφῶς ἀνετίθεσαν Αἰσώπῳ τοὺς λόγους, καὶ τοῦτον τὸν παρὰ τῷ Ἀρχιλόχῳ λεγόμενον, καίτοι πρεσβυτέρῳ ὄντι.

654. μηδὲν φοβηθῇς : Ἐπειδὴ μετὰ ὀρνίθων ὄντες ἀπορνιθωθῆναι ἔμελλον, προκατασκευάζει δι' ὧν ἔμελλον τούτου τυχεῖν. [τὸ δὲ οὕτω ἀντὶ τοῦ ἐπὶ ταύταις ταῖς συνθήκαις. παίσωμεν δὲ, χορεύσωμεν.]

656. ὀνόματα τῶν οἰκετῶν μετὰ τῶν πρὸς ὄρνιθας ἀφικομένων. R. V.

659. ἀντὶ τοῦ μουσικήν. R. V.

660. ἀντὶ τοῦ συγχορεύσωμεν αὐτῇ. R. V. ἀγαγών. R.

661. [ὦ τοῦτο μέντοι : Εἴσθεσις ὁμοίας ἑτέρας περιόδου ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ιε'. ἐπὶ τῷ τέλει κορωνὶς, ἐξιόντων τῶν ὑποκριτῶν. ἐκβίβασον δὲ, ἔκβαλον, ἐξάγαγε.]

662. ἐκ τοῦ βουτόμου : Φυτάριον παραπλήσιον καλάμῳ, ὃ ἐσθίουσιν οἱ βόες. Ἄλλως. φυτάριον παραποτάμιον, (ὃ τοῖς βουσὶ παρασκευάζουσι). τοῦτο δὲ λέγεται, ὡς τῆς Πρόκνης ἐγκρυπτομένης τῇ ὕλῃ. [αὐτοῦ δὲ, αὐτόθι, ἐν τῷ θεάτρῳ.]

664. ποικίλον γὰρ καὶ ἄξιον θέας. R. V.

667. ὦ Ζεῦ πολυτίμητ' : Ἑταιρίδιον πρόσεισι, τὰ ἄλλα μὲν κεκαλλωπισμένον, τὴν δὲ κεφαλὴν ὄρνιθος ἔχον ὡς ἀηδόνος.

668. ὡς δ' ἁπαλὸν : Ἅμα λέγων ψηλαφᾷ αὐτήν. (διαμηρίζοιμ' ἄν, συνουσιάσαιμι.)

670. ὅσον δ' ἔχει τὸν χρυσὸν : Ἅμα πρὸς τὸ ποικιλόδειρον τοῦ ὀρνέου καὶ πρὸς τὸν πολὺν κόσμον τῆς ἑταίρας.

672. ῥύγχος ὀβελίσκοιν ἔχει : Εἰς ὀξὺ γὰρ λήγει ἡ κεφαλὴ ὡς ὀβελίσκος.

673. ἀπολέψαντα χρὴ : Ἀντὶ τοῦ ἀφελόντα τὸ προσωπεῖον. ὡς ἐν θυμέλῃ γὰρ προσωπεῖον ἐξῆλθεν ἔχουσα. τῇ τροπῇ δὲ ἐχρήσατο. [δέον δὲ εἰπεῖν φαγεῖν, εἶπε φιλεῖν.]

676. ὦ φίλη, ὦ ξουθὴ : [Τὸ πρὸ τῆς παραβάσεως τουτὶ κομμάτιον κώλων ἐστὶν ἀσυναρτήτων ο'. ὧν τὸ α' χοριαμβικὸν ἐφθημιμερές. τὸ β' ἡμιόλιον. τὰ γ', ς', ζ', η' ἀντισπαστικὰ γλυκώνεια. τὰ δ', θ' ἐφθημιμερῆ. τὸ ε' ἡμιόλιον. ἐπὶ τῷ τέλει παράγραφος.] (ἔλυσεν Ἀριστοφάνης τὸ ζήτημα, εἰ ἡ ὄρνις προγενεστέρα τοῦ ἄρρενος, ἢ ὁ ἄρρην τῆς ὄρνιθος.) ὡς πρὸς τὴν ἀηδόνα δὲ δοκεῖ λέγειν. φυσικώτερον δέ τινες πρὸς τὴν Μοῦσαν, ἀπὸ τοῦ μουσικοῦ ὀρνέου. — εὐμορφοτάτη. R.

679. ὡσεὶ ἔλεγε συγχορεύτρια. R. V.

682. ἀλλ' ὦ καλλιβόαν κρέκουσα : Ὡς αὐλὸς γάρ ἐστι φθεγγομένη. ἢ ἐξῆλθεν ἔχουσα αὐλόν. τὸ δὲ κρέκουσα νῦν ἀντὶ τοῦ λαλοῦσα. κυρίως γὰρ τὸ τὴν κιθάραν κρούειν. πολλάκις πρὸς αὐλὸν λέγουσι τὰς παραβάσεις.

683. ἠρινοῖς : Ἐαρινοῖς εἶπε, παρόσον τῷ ἔαρι ἐν τῇ Ἀττικῇ φαίνονται ἀηδόνες. τὸ δὲ ὅλον πάλιν πρὸς τὴν Μοῦσαν. ὅτι τῷ ἔαρι ἐν ἄστει τελοῦσι τὰ Διονύσια.

685. [ἄγε δὴ φύσιν : Ἡ παροῦσα παράβασις ἐκ στίχων ἐστὶ λη', ὅλον δὲ ὡς ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν. ἐπὶ τῷ τέλει παράγραφος.

ἀμαυρόβιοι : Γράφεται καὶ ἡμερόβιοι.] — ἀμαυρόβιοι : Ἀσθενεῖς, ἤγουν ἀμαυρὸν βίον ἔχοντες καὶ ἀσθενῆ. *Vict.*

φύλλων γενεᾷ προσόμοιοι : Μετάβασις ἀπὸ τῶν ἔσω πρὸς τὸ θέατρον καὶ ἔστιν ἀνάπαιστος. ὡς θεοὶ δὲ ἐσόμενοι προευτελίζουσι τοὺς ἀνθρώπους, παρὰ τὸ Ὁμηρικὸν [Il. Z, 146]

οἵη περ φύλλων γενεή, τοιήδε καὶ ἀνδρῶν.

687. ταλαοὶ : Ὡς τληπαθεῖς καὶ τὰ καθημερινὰ εἰδότες, μὴ προορώμενοι δὲ τὰ μέλλοντα. ἔνιοι δὲ τὸ ταλαοὶ διαιροῦσιν ὥστε εἶναι ἀλαοί.

691. φύσιν : Καλῶς φύσιν εἶπεν οἰωνῶν, γένεσιν δὲ θεῶν.

692. Προδίκῳ παρ' ἐμοῦ : Ὅτι οὐκ ὀρθῶς Καλλίμαχος τὸν Πρόδικον ἐν τοῖς ῥήτορσι καταλέγει. σαφῶς γὰρ ἐν τούτοις φιλόσοφος. μέμνηται δὲ τούτου καὶ ἐν Νεφέλαις [v. 360].

693. (Χάος ἦν καὶ Νὺξ : Ταῦτα οὐκ ἀναγκαῖον ἀπευθύνειν πρὸς τὰ Ἡσιόδου ἢ πρός τινα ἄλλου τινὸς γεναλόγου.)

695. τίκτει πρώτιστον ὑπηνέμιον : Ὑπηνέμια καλεῖται τὰ ὀΐχα συνουσίας καὶ μίζεως. καὶ τοῦτο δὲ οὐχ ὡς ἔτυχεν αὐτῷ προσέρριπται, ἀλλὰ ἀπὸ ἱστορίας τῆς κατὰ τοὺς Διοσκούρους. φασὶ γὰρ ἐξ ᾠοῦ αὐτοὺς γεγονέναι. καὶ ὅτι σύνηθες αὐτοῖς μᾶλλον ἀνεμιαῖον λέγειν. καὶ Πλάτων ἐν Θεαιτήτῳ [p. 151, E] « γόνιμον ἀνεμιαῖον τυγχάνει. »

697. εἰκὼς ἀνεμώκεσι ὀΐναις : Ταῖς τοῦ ἀνέμου ὠκείαις συστροφαῖς ἐοικώς, οἷον ταχύς. ἡ δὲ ὅλη σύστασις, ὅτι ἐκ τοῦ πτερωτοῦ Ἔρωτος τὰ ὄρνεά ἐστιν. ἀτόπως μὴν καὶ ἀπιθάνως τῇ γενεαλογίᾳ κέχρηται.

703. (ἐσμὲν Ἔρωτος : Λείπει υἱοί.)

704. καὶ τοῖσιν ἐρῶσι : Σύμμαχος, διὰ τὸ τοὺς ἐραστὰς ὄρνιθας εὐγενεῖς χαρίζεσθαι τοῖς ἐρωμένοις. Δίδυμος δὲ, ἐπεὶ ἡ σίττη καὶ εἴ τι τοιοῦτον ὄρνεον δεξιὰ πρὸς ἔρωτας φαίνεται. « ἐγὼ μέν, ὦ Λεύκιππε, δεξιὴ σίττη. »

705. πολλοὺς δὲ καλοὺς : Ἀντὶ τοῦ μετὰ τὴν νεότητα ἠναγκάσαμεν ἀκαίρως ἑταιρεῖν. (ἀπομωμοκότας δὲ) ἀποταξαμένους. διεμήρισαν δὲ, συνουσίασαν. — τὰς συνουσίας μετέδωκαν. R.

707. [ὁ δὲ Περσικὸν ὄρνεον : Τὰ πολυτελῆ πάντα, οἷς μόνος βασιλεὺς ἐχρῆτο, ἐκαλεῖτο Περσικά. καὶ νῦν

οὐχ ἰδίως τις ὄρνις Περσικός. τινὲς δὲ τὸν ἀλεκτρυόνα. οἱ δὲ τὸν ταῶ.]

709. πρῶτα μὲν ὧρας : Παρὰ τὰ Ἡσιόδου [Op. 446]

ἐρᾶζεσθαι δ' εὖτ' ἂν γεράνου φωνὴν ἐπακούσῃς
[ὑψόθεν ἐκ νεφέων ἐναύσια κεκληγυίης,]
ἥ τ' ἀρότοιό τε σῆμα φέρει καὶ χείματος ὥρην.

711. καὶ πηδάλιον τότε : Καὶ τοῦτο παρὰ τὸ Ἡσιόδειον [ib. 45]

αὐτίκα πηδάλιον μὲν ὑπὲρ καπνοῦ κατάθεῖο.

καὶ [ib. 627]

πηδάλιον δ' εὐεργὲς ὑπὲρ καπνοῦ κρεμάσασθαι.

712. εἶτα δ' Ὀρέστῃ : Ὀρέστης μανίαν προσποιούμενος ἐν τῷ σκότει τοὺς ἀνθρώπους ἀπέδυεν.

713. ἴκτινος αὖ μετὰ ταῦτα : Ἐν Ἑλλάδι καιρῷ ἔαρος φαίνεται ἴκτινος, ὅτε κουρεύεται τὰ θρέμματα. πέκειν δὲ, ποκάζειν.

715. λῃδάριον : Θερίστριον ἢ εὐτελὲς ἱμάτιον θερινόν. σημείωσαι δὲ ὅτι ἐν συστολῇ τὸ πρίασθαι.

717. ἐλθόντες γὰρ πρῶτον : Μαντευσάμενοι γὰρ πρῶτον ἐκ τῶν ὀρνεομάντεων οὕτως ἐπὶ τὰ ἔργα χωρεῖτε.

719. ὄρνιν τε νομίζετε : Πάντα γὰρ οἰωνοὺς καλοῦσι καὶ τὰ μὴ ὄρνεα.

721. (σύμβολον ὄρνιν : Καὶ γὰρ ταῦτα συμβόλους ἐποίουν τὰ πρῶτα συναντῶντα καὶ ἐξ ἀπαντήσεώς τι προσημαίνοντα. ταῦτα δὲ πάντα Δημήτερι ἀνέκειτο, ὡς φησι Φιλόχορος.)

θεράποντ' ὄρνιν : Ἐπεὶ πολλάκις εἰώθαμέν τινας τῶν θεραπόντων καλόποδας λέγειν καὶ καλοιωνίστους.

ὄνον ὄρνιν : Λέγεται γάρ τι τοιοῦτον, ὡς συμβολικὸς ἐρωτώμενος περὶ ἀρρώστου, εἶδεν ὄνον ἐκ πτώματος ἀναστάντα, ἀκήκοε δὲ ἑτέρου λέγοντος, βλέπε πῶς ὄνος ὢν ἀνέστη. ὁ δὲ ἔφη, ὁ νοσῶν ἀναστήσεται. καὶ ἀνέστη.

723. [ἦν οὖν : Ἔκθεσις τοῦ μακροῦ ἐκ κώλων ὁμοίων ἀναπαιστικῶν ιδ'. ὧν τὰ μὲν ιϛ' δίμετρα ἀκατάληκτα, τὸ ιγ' ἀναπαιστικὴ βάσις, ὃ καὶ παρατέλευτον ὀνομάζεται. τὸ τελευταῖον ἑφθημιμερές. ὑφ' ὃ παράγραφος.] τοὺς ὄρνιθας. R.

724. μάντεσι, Μούσαις : Ὥστε χρῆσθαι ἡμῖν καὶ εἰς μουσικὴν καὶ εἰς μαντείαν. πολλὰ γὰρ τῶν ὀρνέων μουσικά.

725. ταῖς τροπαῖς. R. V. — χειμῶνι : Ὅτι καὶ ἀνέμους καὶ καιροὺς προσημαίνουσιν. [μετρίῳ δὲ πνίγει,] συμμέτρῳ καύματι. λέγει δὲ τὸ ἔαρ.

728. ὥσπερ ὁ Ζεύς : Νεφεληγερέτης γάρ.

731. πλουθυγιείαν : Ἔμιξε τὰ δύο, διὸ μάλιστα οἱ ἄνθρωποι χαίρουσι καὶ δοκοῦσι τὸν βίον ἐπανορθοῦσθαι, ἐκ τούτου ἔμφασιν εὐδαιμονίας ἐμφαίνων.

732. γέλωτα : Καὶ τὰς ἄλλας ἡδονάς, δι' ὧν γέλως ἐστὶ καὶ χορεία καὶ θαλία. V. et R. qui καὶ χορεῖαι καὶ εὐωχίαι.

733. γάλα τ' ὀρνίθων : Τοῦτο ἐκ παροιμίας ἐπὶ τῶν λίαν εὐδαιμονούντων καὶ πάντα κεκτημένων. (Ἄλλως. τοῦτο ἐπὶ τῶν σπανίων ἔταττον. τὰ σπάνια οὖν, φησὶ, καὶ δυσεύρετα τῶν ἀγαθῶν παρέξομεν.)

734. κοπιᾶν : Ἐν πλησμονῇ γενόμενοι τῶν ἀγαθῶν ἀπειρηκέναι μέλλετε.

737. [Μοῦσα λοχμαία : Ἡ στροφὴ καὶ ᾠδὴ αὕτη κώλων ἐστὶ διαφόρων καὶ ἀσυναρτήτων ις'. ὧν τὸ πρῶτον πενθημιμερές. τὸ β' ἑφθημιμερὲς τοῦ α' ποδὸς ἑξαβράχεος. τὸ γ' τροχαϊκὸν εὐριπίδειον. τὸ δ' ἀσυνάρτητον προσῳδιακὸν καλούμενον, περὶ οὗ εἴρηται ἐν τῇ παραβάσει τοῦ Νεφελῶν δράματος. τὸ ε' ὅμοιον τῷ β'. τὸ ς' ὅμοιον τῷ δ', οὐκ ἐκ παίωνος δευτέρου ἀρχόμενον ὡς ἐκεῖνο, ἀλλ' ἐκ δακτύλου. τὸ ζ' ὅμοιον τῷ β', πλὴν βραχυκατάληκτον. τὸ η' ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. καὶ τὸ ιδ'. τὸ θ' ἀσυνάρτητον ὅμοιον τοῖς ῥηθεῖσι. τὸ ι' ὅμοιον. τὸ ια' χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ διαλελυμένων χοριάμβων, τοῦ α' ἑξασυλλάβου, τοῦ δὲ δευτέρου πενταυσυλλάβου. τὸ ιϐ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ ιγ' δακτυλικὸν ἑφθημιμερές. τὸ ιε' ἰαμβικὸν ἑφθημιμερές. τὸ ις' ὅμοιον τῷ πρώτῳ πενθημιμερὲς ἐκ διαλελυμένου χοριάμβου. ἐπὶ τῷ τέλει διπλῆ ἕσω νενευκυῖα διὰ τὴν ἀνταπόδοσιν. εἰσὶ δὲ καὶ ταῦτα πολυσχημάτιστα.]

Μοῦσα λοχμαία : (Τὴν ἑαυτῶν λέγει, οἷον λοχμίδα. Δίδυμος, ὅτι ἐγκεκρυμμένοι ἐν ταῖς λόχμαις εἰώθασι φωνεῖν. ὁ λόγος δὲ ἀπὸ τοῦ ποιητοῦ. Ἄλλως.) ἀντὶ τοῦ μέλος ὡς ὄρνιθος. οἰκείως λοχμαίαν Μοῦσαν καλοῦσι. διὰ μέσου τὸ τῆς φωνῆς μίμημα καὶ ἐπιμίγνυσι τῷ τῆς ἀνθρωπείας. ἔστι δὲ τὸ ἑξῆς οὕτως· Μοῦσα λοχμαία ποικίλη, μεθ' ἧς ἐγὼ νόμους ἱεροὺς ἀναφαίνω. ξουθῆς δὲ εἶπε παρόσον τὰ πλεῖστα τῶν ὀρνέων ξουθὰ φαίνεται.

745. Πανὶ νόμους : Ἐπεὶ νόμιος ὁ θεὸς καὶ ὄρειος, καὶ τῶν ὀρνέων δὲ ἐν ὄρεσιν αἱ διατριβαί. [σεμνᾷ δὲ μητρὶ,] τῇ Ῥέᾳ.

749. ἔνθεν : Ἀπὸ τῶν ἐμῶν ποιημάτων ὥσπερ ἡ μέλιττα ἀπεβόσκετο.

750. Φρύνιχος ἀμβροσίων : Φρύνιχος τραγῳδίας ποιητὴς, ὃς ἐπὶ μελοποιίαις ἐθαυμάζετο. τέσσαρες δὲ ἐγένοντο Φρύνιχοι. ὁ μὲν εἷς οὗ νῦν μνημονεύει, Πολυφράδμονος παῖς, ποιητὴς ἡδὺς ἐν τοῖς μέλεσιν. ὁ ἕτερος, Χοροκλέους παῖς, ὑποκριτής. τρίτος, Φρύνιχος ὁ κωμικὸς, οὗ μέμνηται Ἑρμιππος ἐν Φορμοφόροις ὡς ἀλλότρια ὑποβαλλομένου ποιήματα. τέταρτος δέ ἐστιν Ἀθηναῖος τὸ γένος ὁ στρατηγήσας τὰ περὶ Σάμον (καὶ Ἀστυόχῳ προσθέμενος, ἐπιχειρήσας δὲ τῇ τοῦ δήμου καταλύσει. περὶ ὧν ἐν τοῖς Βατράχοις [ad 1299] ἱκανῶς εἰρήκαμεν.)

752. [εἰ μετ' ὀρνίθων : Εἰ μετ' ὀρνίθων τις διάγειν βούλεται ἡδέως, τὸ λοιπὸν ὡς ἡμᾶς ἐλθέτω.]

754. [διαπλέκειν : Ἢ διαποικίλλειν ἢ διάγειν.]

755. [τῷ νόμῳ : Νόμον νῦν οὐ πάντα τὸν γεγραμμένον φησὶν, ἀλλὰ τὸ ἔθος.]

769. αἶρε πλῆκτρον εἰ μάχει : (Πλῆκτρον) ὅπλον ἀμυντήριον. ἡ μεταφορὰ ἀπὸ τῶν ἀλεκτρυόνων. κἀκεῖνοι γὰρ ἔχουσι πλῆκτρα ἐν οἷς μάχονται. ἃ ἡμεῖς κέντρα λέγομεν τῶν ὀρνίθων, ἐκεῖνοι πλῆκτρα. πλῆκτρα δέ εἰσι ἔμβολα χαλκᾶ τὰ ἐμβαλλόμενα τοῖς πλήκτροις τῶν ἀλεκτρυόνων.

781. [ἀτταγᾶς : Ὁ ἀτταγᾶς γὰρ κατάστικτός ἐστι ποικίλοις πτεροῖς.]

782. Σπινθάρου : Οὗτος κωμῳδεῖται ὡς βάρβαρος καὶ Φρὺξ, [ἔτι δὲ καὶ ὁ Φιλήμων]. — φρυγίλος δὲ ὄνομα ὀρνέου. R. V.

784. Ἐξηκεστίδης : Πολλαχοῦ προείπομεν ὅτι ξένος οὗτος. πολλαχοῦ δὲ καὶ παρὰ τοῖς ἄλλοις κωμῳδεῖται. νῦν δὲ ὅτι Κάρ.

785. φυσάτω πάππους : Εὐφρόνιός φησι πάππον ὄρνεόν τι εἶναι. πρὸς τὸ ὄνομα οὖν παίζει, ὅτι εἰ ἀναβάς τις πρὸς ἡμᾶς γενήσεται πάππος, ἕξει ἀποδεικνύναι φράτορας, ὅ ἐστι συγγενεῖς. οἱ γὰρ εὐθυνόμενοι ὡς ξένοι ὀφείλουσι τοὺς ἰδίους πάππους ἀποδεικνύναι ἐκ φατρίας ἄνωθεν ὄντας. Καλλίμαχος οὐκ ἀναγράφει τὸν πάππον. (τρίτη δὲ μοῖρά ἐστι τῆς φυλῆς ἡ φρατρία, οὕστινας τριττὺν λέγει.)

786. εἰ δ' ὁ Πεισίου προδοῦναι : (Οὐδὲν σαφὲς ἔχομεν τίς ὁ Πεισίου, οὐδὲ περὶ τῆς προδοσίας. ὅτι δὲ τῶν λίαν πονηρῶν ἐστι δηλοῖ Κρατῖνος ἐν Χείρωσι, Πυλαίᾳ, Ὥραις. εἴη δ' ἂν τι συμπεπραχὼς τοῖς ἑρμοκοπίδαις ὁ Πεισίου, οἵτινες, ὡς Φιλόχορός φησιν, ἐπὶ Χαβρίου θάνατόν τε κατεγνώσθησαν καὶ τὰ ὀνόματα αὐτῶν ἐστηλιτεύθη καὶ ἐδημεύθη, καὶ τῷ κτείναντι κατ' ἄνδρα ἐκηρύχθη τάλαντον. Ἄλλως.) οἱ μὲν τὸν Πεισίαν ἕνα εἶναι τῶν ἑρμοκοπιδῶν, (οἱ δὲ τὸν υἱὸν αὐτοῦ. ἐτηροῦντο δὲ οὗτοι, ὅπως ἂν δοῖεν τῆς περικοπῆς τιμωρίαν.) εἰ οὖν, φησίν, ὁ υἱὸς Πεισίου ὅμοιος βούλεται εἶναι τῷ πατρὶ, γενέσθω πέρδιξ πανοῦργος. (Κρατῖνος Χείρωσι καὶ πρῶτον μὲν παρὰ ναυτοδικῶν ἀπάγω τρία κνώδαλ' ἀναιδῆ, Πεισίαν, Ὀσφύωνα, Διιτρέφη.)

787. τοῦ πατρὸς νεόττιον : (Ὡς καὶ τοῦ πατρὸς αὐτοῦ τοιούτου ὄντος, ἀποδρᾶναι ἀπὸ τῆς τοῦ πατρὸς πανουργίας. Ἄλλως.) ὁ πέρδιξ ὄρνεον πανοῦργον, ὅπερ ἐξαπατᾷ τοὺς θηρεύοντας αὐτό. εἰ οὖν, φησὶ, καὶ ὁ υἱὸς αὐτοῦ τοιοῦτος βούλεται γενέσθαι, πέρδιξ γενέσθω ὅμοιος τῷ πατρί.

788. ἐκπερδικίσαι : (Διὰ τὸ πέρδικα αὐτὸν γενέσθαι. εἴρηται δὲ ἀπὸ τοῦ τοὺς πέρδικας) καταλαμβανομένους ὑπ' ἀνθρώπων, μηχανᾶσθαι τοιαύτην σωτηρίαν. λαμβάνοντες γὰρ κάρφη τοῖς ποσὶν, ὑπτίους ἑαυτοὺς ῥίπτουσι καὶ οὕτως ἐπικαλύπτουσι καὶ ἐκκλίνουσι. (Ἄλλως. ἀντὶ τοῦ φυγεῖν. διαβάλλει δὲ ὡς κατεγνωσμένον καὶ φυγῇ ζημιωθέντα. οἱ δὲ πέρδικες πανοῦργοι ὄντες εὐχερῶς διαδιδράσκουσι τοὺς θηρευτὰς, [πολλάκις ὕπτιοι γενόμενοι καὶ ἐπιβάλλοντες ἑαυτοῖς κάρφη]. φησὶν οὖν ὅτι καὶ παρ' ἡμῖν γενόμενος δύναται πάλιν φεύγειν. Ἄλλως. ἐξάγων τοὺς νεοσσοὺς ὁ πέρδιξ εἰς κατανομὴν ἐπὰν ἄνθρωπον ἴδῃ, συρίζει· οἱ δὲ ὑπτίους ἑαυτοὺς τιθέασιν, ὡς μηδὲ ψηλαφῶντά τινα ἐπιγνῶναι. εἶτα ὀλίγον προελθόντος τοῦ ἀνδρὸς, πάλιν συρίζει ὁ πατήρ· οἱ δὲ ἐξίπτανται. τοῦτο οὖν ἐστι τὸ ἐκπερδικίσαι. Ἄλλως. Δίδυμος ἐν τῷ περὶ διεφθορυίας λέξεως οὕτως. ἐπὰν ἴδῃ τὸν θηρευτὴν ἡ πέρδιξ, προκυλινδεῖται αὐτοῦ ἐπισπωμένη πρὸς ἑαυτήν. ὡς δὲ γίνεται περὶ τὸ ἀγρεῦσαι αὐτὴν, οἱ νεοσσοὶ φεύγουσιν, εἶτα καὶ αὐτὴ διαδρᾶσα ὕστερον αὐτοὺς συνάγει.) — ἐκπερδικίσαι : Ἥγουν ἐκφυγεῖν. *Vict.*

789. [τοιάνδε : Ἡ ἀντῳδὴ καὶ ἀντιστροφὴ ὁμοία καθ' ἕκαστόν ἐστι τῇ στροφῇ καὶ ἀντιστροφῇ. ἐπὶ τῷ τέλει αἱ συνήθεις δύο διπλαῖ.]

792. [κρέκοντες : Ἀντὶ τοῦ ἠχοῦντες. διὰ γὰρ τῆς τῶν πτερῶν κινήσεως ὕμνουν τὸν Ἀπόλλωνα.] — ἴακχον : Ἐβόων. *Vict.*

794. (παρ' Ἕβρον : Ποταμὸν Θρᾴκης τὰ ῥεύματα ἔχοντα ἐκ Ῥοδόπης τοῦ Θρᾳκικοῦ ὄρους.) — ἐν δὲ τοῖς ποταμοῖς ποιοῦνται τὰς διατριβὰς τὰ ὄρνεα. V.

798. [νήνεμος αἴθρη : Οἷον, ὑπὸ τῆς εὐαερίας λῆξις κυμάτων ἐγένετο. τοῦ γὰρ ἀέρος εὐδιεινοῦ ὄντος καὶ ἡ θάλασσα ἡσύχασεν.] — Ἄλλως. ἀντὶ τοῦ ἡσύχασεν ἡ θάλασσα κυμαίνουσα κατακηρουμένη. Vict.

800. ἀντὶ τοῦ ἐκτύπησεν. R.

802. ἄνακτας : Ἀντὶ τοῦ τοὺς θεούς. ἔνθεν καὶ ἀνάκτορα τὰ ἱερά.

803. Ὀλυμπιάδες : Αἱ κατοικοῦσαι ἐν τῷ Ὀλύμπῳ. *Vict.*

804. εὐφήμησαν. R.

805. [οὐδὲν ἔστ' ἄμεινον : Τὸ ἀντεπίρρημα ὅμοιον τῷ ἐπιρρήματι. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα.]

807. χοροῖσι τῶν τραγῳδῶν : Ὡς μακρῶν ὄντων τούτων.

809. [ἐφ' ἡμᾶς : Ἐπὶ τὸ θέατρον.]

810. εἴτε Πατροκλείδης : Δοκεῖ ὁ Πατροκλείδης πολιτικὸς εἶναι καὶ λόγιος, ἄλλως δὲ κατασχημονῶν τῶν στρωμάτων, διὸ καὶ χεσᾶς ἐλέγετο. ἐξίδισε δὲ, ἐξετίλησεν, ἀπεπάτησεν.

813. εἴ τε μοιχεύων τις ὑμῶν ἐστιν, ὅστις τυγχάνει : ἀντὶ τοῦ, μοιχὸς ὅστις ἐστὶν ὑμῶν. R. V.

814. ἐν βουλευτικῷ : Οὗτος τόπος τοῦ θεάτρου, ὁ ἀνειμένος τοῖς βουλευταῖς, ὡς καὶ ὁ τοῖς ἐφήβοις ἐφηβικός. παρ' ὑμῶν δὲ, ἐκ τοῦ θεάτρου.

818. ὡς Διιτρέφης γε : Εὐφρόνιος τὰ περὶ τῷ τραχήλῳ τῆς πυτίνης κρεμάμενα ἱμαντάρια ἑκατέρωθεν πτερὰ καλεῖσθαι, καὶ ὅτι οὗτος πυτίνας ἔπλεκεν. ἁμάρτυρα δὲ ἀμφότερα. τινὲς εἰς πέννητα εἰρῆσθαι διὰ τὸ ἀνυπόκριτον, ὡσεὶ ἔφη, μηδὲν ἔχων ἄλλο ἀλλ' ἢ πίθου πόδας, ἢ χύτρας ὀμφαλούς. ὅτι δὲ ἦν νεόπλουτος οὗτος ἐνεφαίνετο καὶ ἐν τοῖς Ἥρωσι (« κἀπὸ τῆς Διιτρέφους τραπέζης, » εἰ μὴ ἐν εἰρωνείᾳ), καὶ πανταχοῦ ὄρπαξ καὶ πονηρὸς καὶ πολυπράγμων. (Πλάτων δὲ ἐν Ἑορταῖς καὶ ξένον « τὸν μαινόμενον, τὸν Κρῆτα, τὸν μόγις

Ἀττικόν. » Ἄλλως. οὗτος θάλλινα ποιῶν ἀγγεῖα ἐπλούτησε καὶ ἱππάρχησε καὶ ἐφυλάρχησεν.)

πυτιναῖα μόνον ἔχων : Ὄρνεον μικρὸν ἡ πυτίνη. R. ὄρνεον μικρόν. πυτίνη δὲ πλέγμα ἐστίν. V.

799. εἶτ' ἐξ οὐδενὸς μεγάλα πράττει : (Παρὰ τὰ γραφέντα ἐκ Μυρμιδόνων Αἰσχύλου.) λέγει δὲ ὅτι [ἀρτίως] μέγας ὄρνις γέγονε καὶ οὐχ ὁ τυχών.

800. ἱππαλεκτρυών : Ἀντὶ τοῦ βουλευτής. ὁ γὰρ ἀλεκτρυὼν ἐν τοῖς ὄρνισιν ἐντιμότατος.

801. [ταυτὶ τοιαυτί : Κορωνὶς εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ν'. μετὰ δὲ τὸν υθ' στίχον κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον. ἐπὶ τῷ τέλει κορωνίς.] [ἐξῆλθον μὲν οἱ δύο ἑπτερωμένοι καὶ ἀλλήλων χλευάζοντες τὰ σχήματα.]

803. ὠκυπτέροις : Τῶν πτερῶν τὰ μὲν καλεῖται πτίλα, τὰ δὲ πτερά, τὰ δὲ ὠκύπτερα.

805. εἰς εὐτέλειαν : Εὐτελῶς γεγραμμένῳ χηνί.

806. ἀποτετιλμένῳ : Ἀντὶ τοῦ ἀποκεκαρμένῳ. δύο δὲ εἴδη κουρᾶς, σκάφιον καὶ κῆπος. (τὸ μὲν οὖν σκάφιον, τὸ ἐν χρῷ· ὁ δὲ κῆπος τὸ πρὸ μετώπου κεκοσμῆσθαι.)

807. [ταυτὶ μὲν ἡκάσμεθα : Διεσκέμμεθα.]

κατὰ τὸν Αἰσχύλον : Ἐκεῖνος γὰρ Λιβυστικὴν αὐτὴν καλεῖ παροιμίαν·

> ὃς ἐστὶ μύθων τῶν Λιβυστικῶν λόγος,
> πληγέντ' ἀτράκτῳ τοξικῷ τὸν αἰετὸν,
> εἰπεῖν ἰδόντα μηχανὴν πτερώματος·
> τάδ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὑτῶν πτεροῖς
> ἁλισκόμεσθα.

πεποίηκε γὰρ ὁ Αἰσχύλος ἀετὸν τετρωμένον λέγοντα ταῦτα, ἐπειδὴ εἶδε τὸ βέλος ἐπτερωμένον καὶ ἐμπεπαρμένον αὐτῷ. καὶ ἡμεῖς οὖν, φησὶν, οὐχ ὑπ' ἄλλων πάσχομεν ταῦτα, ἀλλὰ τῇ ἑαυτῶν γνώμῃ.

808. [τοῖς αὐτῶν πτεροῖς : Ὅλον τοῦτο ἐκ Μυρμιδόνων Αἰσχύλου. τὸ δὲ, οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὐτῶν πτεροῖς ἁλισκόμεθα, ἀντὶ τοῦ, ἑαυτοῖς ταῦτα πεποιήκαμεν.]

809. ἄγε δὴ τί χρὴ δρᾶν : Ἓν τισιν ὅλον ἕν. ἐν ἐνίοις δὲ τὸ ἄγε δὴ τοῦ ἔποπος.

810. μέγα : Παράδοξον, ὃ οὐκ ὠνόμασταί ποτε.

τοῖς θεοῖς : Τοῖς ὄρνισι δηλονότι.

815. ἔοικε καὶ ἐκ τούτων Σπάρτη πόλις καλεῖσθαι τότε. V.

816. οὐδ' ἂν χαμεύνην : (Δίδυμός φησιν, οὐδ' ἂν σπάρτον, ᾧ χρησαίμην,) οὕτω μισῶ τὴν Σπάρτην. χαμεύνη δὲ, ταπεινὴ κλίνη. ὅθεν καὶ τὸ ὄνομα εἴληφεν. Ἄλλως. οὐδ' ἂν τὴν χαμεύνην ὀνομάσαιμι σπάρτην, εἴ γε κειρίας ἔχοιμι, καὶ μὴ σπαρτίον δεῆσαι μοι αὐτῇ ἐντεῖναι. [ἡ δὲ χαμεύνη εὐτελής ἐστιν.] ἡ δὲ κειρία εἶδος ζώνης ἐκ σχοινίων, παρεοικὸς ἱμάντι, ᾗ δεσμοῦσι τὰς κλίνας.

819. ἀντὶ τοῦ ὑπερήφανον. R.V. Νεφελοκοκκυγίαν : Παρὰ τὰς νεφέλας καὶ τὸν κόκκυγα. ἔστι δὲ εἶδος ὀρνέου. χαῦνον δὲ ἀντὶ τοῦ πλατὺ καὶ μέγιστον. τὰ γὰρ χαῦνα εἰς πλάτος ἁπλοῦται.

822. ἵνα καὶ τὰ Θεαγένους : Προείρηται ὅτι πένης οὗτος, ἔλεγε δὲ ἑαυτὸν πλούσιον. εἰσὶ δὲ ἄλλοι δύο Θεαγένεις, εἷς μὲν ὁ περὶ Ὁμήρου γράψας, ἕτερος δὲ ὁ ἐπὶ μαλακίᾳ σκωπτόμενος. (Ἄλλως. λέγεται ὅτι μεγαλέμπορός τις ἐβούλετο εἶναι, περαίτης ἁλαζὼν, ψευδόπλουτος. ἐκαλεῖτο δὲ καπνὸς, ὅτι πολλὰ ὑπισχνούμενος οὐδὲν ἐτέλει. Εὔπολις ἐν Δήμοις.)

823. τά τ' Αἰσχίνου γε ἅπαντα : Καὶ οὗτος πένης, θρυπτόμενος καὶ αὐτὸς ἐπὶ πλούτῳ, καὶ λέγων ἑαυτὸν πλούσιον. ἦν δὲ Αἰσχίνης Σελλοῦ. ἔλεγον δὲ ἐκ μεταφορᾶς τοὺς τοιούτους Σελλούς. καὶ τὸ ἁλαζονεύεσθαι δὲ σελλίζειν.

824. τὸ Φλέγρας πεδίον : Ἔξωθεν ὑπακουστέον τὸν ἢ διασαφητικὸν σύνδεσμον. βέλτιον, φησὶ, πιστεύειν τὰ χρήματα τούτων ἐν Νεφελοκοκκυγίᾳ ἀποκεῖσθαι, ἢ εἰς τὸ Φλέγρας πεδίον. διαβάλλει δὲ αὐτὸ ὡς κἀκεῖνο πεπλασμένον ὑπὸ τῶν ποιητῶν. ἔστι δὲ τῆς Θρᾴκης πεδίον. Δίδυμος δέ φησι, διὰ τὴν ὁμοιότητα τῶν ὀνομάτων τῆς Φλέγρας καὶ τῆς Νεφελοκοκκυγίας.

825. κἆθ' ὑπερηκόντισαν : Δέον εἰπεῖν κατεπολέμησαν, φησὶ τοῖς ἀλαζονεύμασιν αὐτῶν ὑπερεβάλοντο αὐτούς.

827. τῷ ξανοῦμεν τὸν πέπλον : Τῇ Ἀθηνᾷ πολιάδι οὔσῃ πέπλος ἐγίνετο παμποίκιλος, ὃν ἀνέφερον ἐν τῇ πομπῇ τῶν Παναθηναίων.

(828). τί οὐκ Ἀθηναίαν : Ὅτι τὴν θεὸν οὕτως ἔλεγον Ἀθηναίαν. διὸ καὶ τὴν πολῖτιν οὐκ Ἀθηναίαν, φεύγοντες τὴν ὁμωνυμίαν, [ἀλλ' ἀστήν. φαίνονται μέντοι καὶ τὴν πολῖτιν Ἀθηναίαν λέγοντες πανταχοῦ].

829. καὶ πῶς ἂν ἔτι γένοιτο : Ἐὰν τὴν Ἀθηνᾶν στήσωμεν πολιοῦχον γυναῖκα οὖσαν.

831. οὗτος διεβάλλετο ὡς γυναικώδης. R. ὡς γυναικώδης οὗτος κωμῳδεῖται. V.

832. τῆς πόλεως τὸ Πελαργικόν : Ὅτι Ἀθήνησι τὸ Πελαργικὸν τεῖχος (ἐν τῇ ἀκροπόλει), οὗ μέμνηται Καλλίμαχος [fr. 283] « Τυρσηνῶν τείχισμα Πελαργικόν. »

833. ὄρνις ἀφ' ἡμῶν : (Μήποτε νῦν) τὸν ἀλεκτρυόνα λέγει. (Μῆδος γὰρ λέγεται. Ἄρεως δὲ νεοττὸς, ἐπεὶ ἄλκιμος καὶ μάχιμος.)

835. Ἄρεως νεοττός : (Νεοττοί τινες ἀλεκτρυόνες λέγονται ὡς καὶ Μηδικοί. ἴσως δέ τις ἦν καλὸς παῖς νεοττός τοὔνομα, πρὸς ὃν παίζει, ὦ νεοττὲ δέσποτα. οὕτω Δίδυμος. Ἄλλως.) ἐπεὶ μάχιμος ὁ ἀλεκτρυών. φασὶ δὲ αὐτὸν ἄνθρωπον ὄντα κατασταθῆναι ὑπὲρ Ἄρεως ἐν τῷ οἴκῳ Ἡφαίστου, τηρεῖν αὐτοῦ τὴν ἄφιξιν διὰ τὴν μοιχείαν τῆς Ἀφροδίτης. ὁ δὲ ἀπεκοιμήθη. φωραθεὶς οὖν ὁ Ἄρης, εἰς τὸ τοιοῦτον αὐτὸν μετέβαλεν ὄρνεον ὡς ἡμελημένον τῆς φυλακῆς. [ὁ δὲ μεμνημένος, τὴν ὥραν ἐκείνην ἄρχεται ᾄδειν, τὴν τοῦ ἡλίου προαισθόμενος ἄνοδον, καθ' ἣν ὁ Ἥφαιστος εἰώθει ἐπανήκειν οἴκαδε.]

836. ὥσθ' ὁ θεὸς ἐπιτήδειος : Δίδυμός φησι τὸ Πελαργικὸν τεῖχος ἐπὶ πετρῶν κεῖσθαι. (Ἄλλως. τὸ Πελαργικὸν καὶ αὐτὸ τραχύ. ἀλλὰ διὰ τί ἐπιτήδειος ἐπὶ πετρῶν οἰκεῖν, εἴπερ ἀλεκτρυών ἐστιν, εἰ μὴ τὸν πελαργὸν, ἅμα παίζων καὶ πρὸς τὸ ὄνομα ; ἀλλὰ διὰ τί Περσικὸν, ἢ Ἄρεος νεοττός;)

839. χάλικας : Λίθους. V.

ἀποδὺς ὄργασον : Κυρίως πίσσωσαι. ὀργὴ γὰρ παρ' Ἴωσιν ἡ πίσσα. (σημαίνει δὲ καὶ τὸ σπαργᾶν ὀργίζεσθαι. νῦν δὲ ἀντὶ τοῦ μάλαξον. Εὔπολις Προσπαλτίοις « ἢ πηλὸν ὀργάζειν τινά. »)

840. (κατάπεσ' ἀπὸ τῆς κλίμακος : Τοῦτο ἔκθλιψιν πέπονθε τοῦ κατάπεσε δευτέρου ἀορίστου. οὐ γὰρ ἐν χρήσει τὸ ἔπεσα, ἵνα καὶ τὸ πέσον.)

841. τὸ πῦρ ἔγκρυπτ' ἀεί : (Ἵνα σχῇ αὐτὸ, εἰ χρεία γενήσεται φυλακῆς.) εἰώθασι γὰρ ἐν ταῖς φυλακαῖς πυρκαϊὰς καίειν.

842. κωδωνοφορῶν : Οἱ περίπολοι οἱ τὰς φυλακὰς περισκοποῦντες ἐρχόμενοι ἐπὶ τοὺς φύλακας κώδωνας εἶχον, καὶ διὰ τούτων ἐψόφουν, πειράζοντες τὸν καθεύδοντα, καὶ ἵνα οἱ φυλάττοντες ἀντιφθέγγωνται. (μήποτε δὲ παρακωμῳδεῖ τὸν Εὐριπίδου Παλαμήδην οὐ πρὸ πολλοῦ δεδιδαγμένον.)

843. εἰς θεοὺς ἄνω : Ἐπεὶ μεταξὺ γῆς καὶ οὐρανοῦ ἐστιν ὁ ἀήρ.

846. οἴμωζε παρ' ἐμὲ : Παίζων τοῦτό φησιν, ἐπειδὴ εἶπεν αὐτῷ παρ' ἐμέ.

849. πομπεύσοντα. R.

850. τὴν χέρνιβα : Ἀντὶ τοῦ τὸ ὕδωρ. [Δημοσθένης [p. 618] « καὶ χερνίβων καὶ κανῶν ἀψόμενον. » εἴη δ' ἂν ἀπὸ εὐθείας τῆς χέρνιψ.]

851. [ὁμορροθῶ : Κορωνὶς καὶ εἴσθεσις μετὰ χοροῦ καὶ στροφὴ κώλων διαφόρων θ'. ὧν τὸ α' περίοδος ἐξ ἰαμβικῆς βάσεως καὶ τροχαϊκῆς καταληκτικῆς. τὰ ἑξῆς τρία τροχαϊκὰ, τὸ μὲν ἑφθημιμερὲς, τὸ δὲ πενθημιμερὲς, τὸ δ' ἀκατάληκτον δίμετρον, ὡς καὶ τὸ ὄγδοον. τὸ ς' ἀναπαιστικὴ βάσις. τὸ ζ' ἰαμβικὸν ἑφθημιμερὲς καὶ τὸ θ'. τινὲς δὲ προστιθέασι καὶ « ᾠδάν. » ὑφ' ὃ κορωνίς.]

(ὁμορροθῶ : Σοφοκλέους ἐκ Πηλέως, ἀντὶ τοῦ, τὸ αὐτὸ φρονῶ. ὁμορροθεῖν δὲ κυρίως τὸ ἅμα καὶ συμφώνως ἐρέσσειν. νῦν δὲ ἀντὶ τοῦ συνεργῶ τῇ εἰς θεοὺς θυσίᾳ.)

852. συμπαραινέσας ἔχω : Ἀντὶ τοῦ συμπαρήνεσα.

853. προσόδια μεγάλα : (Ἀπὸ τῶν προσόδων.) οὕτω δὲ ἔλεγον τὰς προσαγομένας τοῖς θεοῖς πομπὰς, καὶ προσόδια τὰ εἰς πανηγύρεις τῶν θεῶν ποιήματα παρὰ τῶν λυρικῶν λεγόμενα.

857. Πυθιὰς βοὰ : Βοᾷ ὁ αὐλητής. εἴρηται ὅτι ἐπὶ ταῖς θυσίαις ηὔλουν. Ἄλλως. ἡ μετ' αὐλοῦ γινομένη βοή. τὸ Πύθιον μέλος. ἔνθεν καὶ πυθαύλης γίνεται. οὕτω δὲ ἔλεγον τὸν παιᾶνα. καὶ τοῦτο δὲ ἐκ Πηλέως.

858. Χαῖρις ᾠδάν : Ὡς αὐτομάτως ἐπιόντος αὐτοῦ ταῖς εὐωχίαις. ἦν δὲ [ὁ Χαῖρις οὗτος] κιθαρῳδὸς ψυχρὸς καὶ γέγονεν αὐλητής. μνημονεύει δὲ αὐτοῦ καὶ Φερεκράτης ἐν Ἀγρίοις « φέρ' ἴδω κιθαρῳδὸς τίς « κάκιστος ἐγένετο; (ὁ Πεισίου Μέλης. μετὰ δὲ Μέ- « λητα τίς; ἔχ' ἀτρέμ', ἐγῷδα, Χαῖρις. » ἔστι καὶ) ἕτερος αὐλητὴς, οὗ μνημονεύει Κρατῖνος ἐν Νεμέσει.

859. [παῦσαι σὺ : Εἴσθεσις συστηματικὴ ἀμοιβαίας ἐξ περιόδους ἔχουσα. τῆς δὲ πρώτης στίχοι τρεῖς ἰαμβικοὶ ἀκατάληκτοι. καὶ ἐν ἐκθέσει ἕτερος ὁμοίως. ὑφ' ὃν παράγραφος.] ἔξεισιν ἱερέα καὶ αὐλητὴν ἔχων.

861. [οὔπω κόρακ' εἶδον : Ἴσως ὡς μέλανα σκώπτει. ἔοικε δὲ ὁ αὐλητὴς διεσκευάσθαι εἰς κόρακα. φόρβιον δέ ἐστι τὸ περικείμενον τῷ στόματι τοῦ αὐλητοῦ δέρμα, ἵνα μὴ σχισθῇ τὸ χεῖλος αὐτοῦ.]

(ἐμπεφορβιωμένον : Φορβειά ἐστιν ὁ χαλινός. Ἡρωδιανὸς ἐν τῇ βίβλῳ φησὶ τῆς Ὀδυσσειακῆς προσῳδίας τὸ φορβειά διὰ τῆς ει διφθόγγου γράφεσθαι καὶ ὀξυτόνως.)

864. [δράσω τάδ'· ἀλλὰ : Ἡ δευτέρα περίοδος κώλων καὶ στίχων ἐστὶ δέκα. ὧν ὁ πρῶτος ἰαμβικὸς τρίμετρος ἀκατάληκτος. τὸ β' ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτων καὶ σπονδείου. τὸ γ' ὅμοιον ἐξ ἐπιτρίτων καὶ αὐτὸ τρίμετρον βραχυκατάληκτον. τὸ τέταρτον ὅμοιον δίμετρον ἀκατάληκτον. τὸ ε' καὶ ς' δίμετρα βραχυκατάληκτα τροχαϊκά. ὁ ζ' ὅμοιος τῷ α', τὸν β' ἔχων πόδα χορεῖον. τὸ η' ὅμοιον τῷ γ'. τὸ θ' ἀναπαιστικὸν ἑφθημιμερές. τὸ ι' Ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον βραχυκατάληκτον. ἐν ἐκθέσει δ' ἴαμβος τῷ πρώτῳ ὅμοιος. ὑφ' ὃν παράγραφος.]

865. τῇ Ἑστίᾳ τῇ ὀρνιθείῳ : Ἐμιμήσατο τὰ τῶν ἀνθρώπων ἤθη. καὶ γὰρ ἔθος ἀπὸ τῆς Ἑστίας ἀπάρχεσθαι (ἐν ταῖς θυσίαις). ἔμιξε δὲ τὰ ἐπίθετα τῶν θεῶν τοῖς ὀρνέοις, Ἑστίᾳ ὀρνιθείῳ καὶ ἰκτίνῳ ἑστιούχῳ.

869. (ὦ σουνιέρακε : Ἐπεὶ περὶ ὀρνίθων ὁ λόγος, ἀντὶ τοῦ Σουνιάρατε. φαίνεται δὲ εἶναι Ποσειδῶνος τὸ ἐπίθετον. καὶ ἐν Ἱππεῦσι [560] « ὦ δελφίνων μεδέων Σουνιάρατε. » παρὰ τὸ ἐν τῷ Σουνίῳ ἄκρῳ τῆς Ἀττικῆς τὰς εὐχὰς καὶ τὰς ἀρὰς δέχεσθαι.) [Πελαργικὲ δὲ, ἀντὶ τοῦ Πελασγικέ. ἅμα δὲ ἴσως καὶ παρὰ τὸν πελαργὸν, καὶ ὅτι ὁ Ποσειδῶν πελάγους ἔφορος.]

873. οὐκέτι Κολαινὶς : (Παρὰ τὴν τῆς φωνῆς ὁμοιότητα Ἀρτέμιδι ἐπώνυμον ἡ κολαινίς. Μεταγένης δὲ ἐν Αὔραις « τίς ἡ Κολαινὶς Ἄρτεμις; ἱερεὺς γὰρ ὢν τετύχηκα τῆς Κολαινίδος. » φησὶ δὲ Ἑλλάνικος Κόλαινον Ἑρμοῦ ἀπόγονον ἐκ μαντείου ἱερὸν ἱδρύσασθαι Κολαινίδος Ἀρτέμιδος. καὶ Φανόδημος ἐν τῇ δ'. Εὐφρόνιος δέ φησιν ὅτι ἐν Ἀμαρύνθῳ ἡ Κολαινὶς, διὰ τὸν Ἀγαμέμνονα θῦσαι αὐτῇ ἐκεῖ κριὸν κόλον. ἐπὶ ταύτης δὲ Καλλίμαχος [fr. 76] λέγει

> τὴν ὠγαμέμνων, ὡς ὁ μῦθος, εἴσατο,
> τῇ καὶ λίπουρα καὶ μόνωπα θύεται.

τοῦτο δὲ μήποτε ἐσχεδίασται. οἱ γὰρ Μυρρινούσιοι Κολαινίδα ἐπονομάζουσι τὴν Ἄρτεμιν, ὥσπερ Πει-

ραιεῖς τὴν Μουνυχίαν, Φιλαίδαι δὲ τὴν Βραυρωνίαν. — Ἄλλως.) ἔπαιξε πάλιν. κόλαινον γὰρ εἶδος ὀρνέου, διό φησιν Ἄρτεμιν ὀρνιθείαν καλεῖσθαι. ἔστι γὰρ καὶ Ἄρτεμις Κολαινίς. R.V.

Ἀκαλανθὶς Ἄρτεμις : Ἡ κύων, παρὰ τὸ αἰκάλλειν ἴσως τοὺς γνωρίμους, ὑλακτεῖν δὲ τοὺς ξένους. ὅθεν κώδωνα προσαγορεύει αὐτὴν Ἀριστοφάνης ἐν Εἰρήνῃ [1078], ὅτι ἐπειγομένη τυφλὰ τίκτει. ἔστι δὲ καὶ εἶδος ὀρνέου ἀκαλανθίς.

874. [καὶ φρυγίλῳ : Ἡ τρίτη περίοδος κώλων καὶ στίχων ἐστὶν ἑπτά. ὧν τὸ α' χοριαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ β' δακτυλικὸν πενθημιμερές. τὸ γ' ἑφθημιμερές. τὸ δ' ἰαμβικὸν τρίμετρον ἀκατάληκτον. τὸ ε' ἀναπαιστικὸν δίμετρον ὑπερκατάληκτον, ἔχον τὸν β' πόδα τρίβραχυν, εἰ δὲ βούλει, Ἰωνικὸν ἀπ' ἐλάττονος, τρίμετρον καταληκτικὸν ἐκ παίωνος. τὸ ς' ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ ζ' ἰαμβικὸν ἑφθημιμερές. ἐν ἐκθέσει ἰαμβος τρίμετρος ἀκατάληκτος. ὑφ' ὃν παράγραφος].

καὶ φρυγίλῳ Σαβαζίῳ : (Παίζει πρὸς τὸ ὄνομα, ἐπεὶ οἱ Φρύγες τὸν Σαβάζιον τιμῶσι. τίς δέ ἐστιν οὗτος ὁ θεὸς ὁ Ἡρακλεώτης περὶ Ἡρακλείας ἐν τῷ β' φησὶν οὕτως « φαίνεται γὰρ ἐξ ὧν εὑρίσκομεν συλ- « λογιζόμενοι πολλαχόθεν ὅτι Διόνυσος καὶ Σαβάζιος « εἷς ἐστι θεὸς, τυχεῖν δὲ τῆς προσηγορίας ταύτης παρὰ « τὸν γινόμενον περὶ αὐτὸν θειασμόν. τὸ γὰρ εὐάζειν « οἱ βάρβαροι σαβάζειν φασίν. ὅθεν καὶ τῶν Ἑλλήνων « τινὲς ἀκολουθοῦντες τὸν εὐασμὸν σαβασμὸν λέγου- « σιν. » Ἄλλως.) παίζει πρὸς τὸ ὄνομα, ἐπεὶ Φρύγες τὸ εὐάζειν σαβάζειν φασὶ καὶ ἐκ τούτου Σαβάζιον τὸν Διόνυσον λέγουσι. σάβους δὲ ἔλεγον καὶ τοὺς ἀφιερωμένους αὐτῷ τόπους καὶ τοὺς βάκχους τοῦ θεοῦ. ὁ αὐτὸς δὲ Ὗας καὶ Εὔαιος καλεῖται. (ἔστι δὲ καὶ εἶδος ὀρνέου, ὃ καλεῖται φρυγίλος. παρὰ τοῦτο οὖν ἔπαιξε τὸν Διόνυσον ὀρνίθειον φάσκων τιμᾶσθαι. Ἄλλως. ἐπεὶ Φρυγῶν ὁ θεός. καὶ ἐν Ὥραις

τὸν Φρύγα, τὸν αὐλητῆρα, τὸν Σαβάζιον.)

(875). καὶ στρουθῷ μεγάλῃ : Ὅτι καὶ ἐπὶ τῆς στρουθοκαμήλου τὸ μεγάλη προσετίθεσαν. ἔπαιξε δὲ διὰ τὸ μέγεθος [τῇ Ῥέᾳ ταύτην προσεικάσας.]

877. Κυβέλη : Κυβέλην φασὶ τὴν Ῥέαν, παρὰ τὰ Κύβελα ὄρη. ὀρεία γὰρ ἡ θεός. διὸ καὶ ἐποχεῖται λεόντων ζεύγει. τὸ δὲ μῆτερ Κλεοκρίτου, παρ' ὑπόνοιαν ἐπήγαγεν, βουλόμενος αὐτὸν διαβάλλειν ὡς στρουθόποδα, τουτέστι μεγαλόπουν. ἐκωμῳδεῖτο δὲ ὡς ξένος καὶ δυσγενής. Σύμμαχος προείρηκεν ὅτι ξένος καὶ τάχα ὑποκριτής. νῦν δὲ ἐμφαίνεται, ὅτι καὶ τὴν ὄψιν στρουθώδης. ὁ δὲ Δίδυμος μητέρα Κλεοκρίτου, ὅτι ὡς (γυναικίας καὶ) κίναιδος κωμῳδεῖται. ἐν δὲ τοῖς μυστηρίοις τῆς Ῥέας μαλακοὶ πάρεισι. καὶ ἴσως ἕτερος ἂν εἴη τοῦ παρ' Εὐπόλιδος ἐν Δήμοις καὶ Κόλαξι.

(στρουθὲ μῆτερ : Ἡρωδιανὸς ἐν τῷ [Il. Λ, 186]

βάσκ' ἴθι Ἶρι ταχεῖα τὸν Ἕκτορι μῦθον ἐνισπε

ἐπιμερισμῷ φησι τὸν Χάρητα λέγειν βαρύνειν Ἀττικοὺς τὸ στροῦθος, ὁμοίως καὶ ἐν τῷ ἑκκαιδεκάτῳ τῆς καθόλου λέγων καὶ Τρύφωνα μεμνῆσθαι ἐν δευτέρῳ περὶ Ἀττικῆς προσῳδίας.)

880. Χίοισιν ἦσθην : Καὶ τοῦτο ἀφ' ἱστορίας ἔλαβεν. ηὔχοντο γὰρ Ἀθηναῖοι κοινῇ ἐπὶ τῶν θυσιῶν ἑαυτοῖς τε καὶ Χίοις, ἐπειδὴ ἔπεμπον οἱ Χῖοι συμμάχους εἰς Ἀθήνας, ὅτε χρεία πολέμου προσῆν. (καθάπερ Θεόπομπος ἐν τῷ ιϐ' τῶν Φιλιππικῶν φησιν οὕτως « οἱ « δὲ πολλοὶ τοῦ ταῦτα πράττειν ἀπεῖχον. ὥστε τὰς εὐ- « χὰς κοινὰς καὶ περὶ ἐκείνων καὶ σφῶν αὐτῶν ἐποιοῦντο, « καὶ σπένδοντες ἐπὶ ταῖς θυσίαις ταῖς δημοτελέσιν « ὁμοίως ηὔχοντο τοῖς θεοῖς Χίοις διδόναι τἀγαθὰ καὶ « σφίσιν αὐτοῖς. » λέγει δὲ περὶ τῆς Χίου καὶ Εὔπολις ἐν Πόλεσιν

αὕτη Χίος, καλὴ πόλις.
πέμπει γὰρ ὑμῖν ναῦς μακρὰς, ἄνδρας θ' ὅταν δέῃσῃ,
καὶ τἄλλα πειθαρχεῖ καλῶς, ἄπληκτος ὥσπερ ἵππος.

τὰ αὐτὰ τοῖς Θεοπόμπου καὶ Θρασύμαχός φησιν ἐν τῇ μεγάλῃ τέχνῃ. ὁ δὲ Ὑπερίδης ἐν τῷ Δηλιακῷ καὶ ὅτι Χῖοι ηὔχοντο Ἀθηναίοις δεδήλωκεν.)

882. [καὶ ἥρωσι καὶ ὄρνισιν : Ἡ τετάρτη περίοδος κώλων καὶ στίχων ὀκτώ. ὁ α' ἀντισπαστικὸς τετράμετρος βραχυκατάληκτος. ὁ β' Ἰωνικὸς ἀπὸ μείζονος τρίμετρος καταληκτικός. τὸ γ' ὅμοιον δίμετρον ὑπερκατάληκτον ἐκ παίωνος. τὸ δ' ὅμοιον δίμετρον ἀκατάληκτον. τὸ ε' χοριαμβικὸν δίμετρον καταληκτικὸν, εἰ δὲ βούλει, δακτυλικὸν τρίμετρον. τὸ ς' ὅμοιον δακτυλικὸν ἑφθημιμερές. τὸ ζ' χοριαμβικὸν τρίμετρον καταληκτικόν. τὸ ὄγδοον ἰαμβικὸν πενθημιμερές. ὑφ' ὃ παράγραφος.]

883. καὶ πελεκᾶντι : Μήποτε πελέκας προενεκτέον ὡς ἀλίβας. ὁ δὲ πελεκῖνος τῷ πελεκᾶντι προσέρριπται. πελεκὰν μέντοι πελεκάνος κοινῶς, πελεκᾶς πελεκᾶντος Ἀττικῶς. πελεκᾶς πελεκᾶ Δωρικῶς.

884. καὶ φλέξιδι : Ἐπισκεπτέον περὶ τούτων ἐκ τῆς τῶν ζῴων ἱστορίας, τίς ὁ τέτραξ καὶ φλέξις καὶ ἐλασᾶς. ἡ γὰρ βάσκα καὶ καταρράκται εἰσὶ παρὰ Καλλιμάχῳ ἀναγεγραμμέναι. (καὶ ἀντὶ ἐδωλίου εἰδώλιος.) ὁ δὲ αἰγίθαλλος, οὔτ' ἐρισάλπιγξ. ἔστι δὲ ὑπὸ τὸν ἱέρακα. οὕτως δὲ ὠνομάσθη, ὥς τινες, παρὰ τὸ ἐξ αἰγὸς τεθηλακέναι.

889. [παῦ' ἐς κόρακας : Ἡ πέμπτη περίοδος ἐκ στίχων ἐστὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ς'. ἐπὶ τῷ τέλει παράγραφος.]

890. [ἐπὶ ποῖον : Τοῦτο εἰς διαβολὴν τοῦ χορηγοῦ, ὅτι μικρὸν δέδωκεν ἱερεῖον.]

891. ἁλιαιέτους : Εἶδος ἀετοῦ [ὁ ἁλιαίετος] ἐν θαλάσσῃ διαιτώμενος.

893. ἄπελθ' ἀφ' ἡμῶν καὶ σὺ καὶ τὰ στέμματα : Πρὸς τὸν ἱερέα λέγει, ὡς μικροῦ ὄντος τοῦ ἱερείου καὶ μὴ δυναμήνου πρὸς τὴν θυσίαν αὐτουργῆσαι.

895. [εἶτ' αὖθις αὖτ' ἄρα σοι : Ἡ ς' περίοδος ἐν ἐκθεσει κώλων ἐστὶν ὀκτώ. τὸ α' χοριαμβικὸν δίμετρον

καταληκτικόν. τὸ β′ τροχαϊκὸν ἐφθημιμερές. τὸ γ′ δακτυλικὸν δίμετρον τοῦ β′ ποδὸς προκελευσματικοῦ. τὸ δ′ τροχαϊκὸν δίμετρον ἀκαταλήκτων τῶν α′ καὶ β′ ποδῶν χορείων. τὸ ε′ ὅμοιον ἐκ χορείων. τὸ ς′ τροχαϊκὸν ἰθυφαλλικὸν τοῦ α′ ποδὸς χορείου. ὁ ζ′ ἰαμβικὸς τρίμετρος ἀκατάληκτος. τὸ η′ Ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ὑπερκαταληκτὸν. ἐπὶ τῷ τέλει αἱ συνήθεις δύο διπλαῖ.]

898. εἰ καὶ ἑνὶ μόνῳ ἀρκέσει τὸ θῦμα. R.

899. μάκαρας ἕνα τινὰ : Εἰπὼν πληθυντικῶς ἔλαβε τὸ ἑνικὸν λέγων ἕνα.]

902. γένειόν ἐστι καὶ κέρατα : Ἐπὶ τῶν ἱερείων τῶν μὴ ἐχόντων σάρκας τοῦτό φησιν. ἔστι δὲ παροιμιῶδες, ὡσεὶ ἔλεγε, τρίχες καὶ κέρατα.

903. [θύοντες εὐξώμεσθα : Εἴσθεσις ἑτέρας περιόδου ἀμοιβαίας κώλων καὶ στίχων ιη′. ὧν οἱ α′, ε′, θ′, ι′ καὶ οἱ τελευταῖοι ἓξ ἴαμβοι. οὗτοι μὲν ἀκατάληκτοι τρίμετροι. ὁ δὲ δ′ ἐφθημιμερής. ὁ δεύτερος χοριαμβικὸς τρίμετρος καταληκτικὸς, τὸν πρῶτον ἔχων πόδα πεντασύλλαβον. τὸ γ′ τροχαϊκὸν πενθημιμερές. ὁ ς′ Ἰωνικὸς τετράμετρος βραχυκατάληκτος. τὰ ζ′, ια′ δακτυλικὰ, τὸ μὲν πενθημιμερὲς, τὸ δὲ τρίμετρον καταληκτικὸν εἰς δισυλλαβίαν. τὰ η′, ιβ′ ἀναπαιστικὰ ἐφθημιμερῆ. ἐπὶ τῷ τέλει παράγραφος.]

904. Νεφελοκοκκυγίαν τὴν εὐδαίμονα : Ἔρχεταί τις ποιητὴς ὡς ἐπὶ νεοκτίστου πόλεως ἐγκώμια λέξων.

911. δοῦλος ὢν κόμην ἔχεις : Διὰ τὸ θεράπων, δοῦλος εἶπεν. ἦν δὲ τῶν ἐλευθέρων τὸ κομᾶν.

913. περισσὰ τινὲς ταῦτα. R. (θεράποντες ὀτρηροὶ : Ἐπειδὴ ὀτρηροὶ ἐπὶ τῶν θεραπόντων λέγεται. ἐπεπίστευτο δὲ καὶ ὁ Μαργίτης τοῦ Ὁμήρου εἶναι. ἐν ᾧ εἴρηται

Μουσάων θεράπων καὶ ἑκηβόλου Ἀπόλλωνος.)

915. οὐκ ἐτὸς ὀτρηρὸν : Παίζει παρὰ τὸ ὀτρηροὶ, ὅτι τετρημένον ἦν αὐτοῦ καὶ τὸ ἱμάτιον.

918. κύκλιά τε πολλὰ : Τὰ τὴν αὐτὴν ὑπόθεσιν ἔχοντα, ταῦτα κύκλια ἔλεγον. ἀντὶ τοῦ ἃ αἱ παρθένοι ᾖδον. κύκλια δὲ καλοῦνται μέλη, τὰ ἐπεκτεταμένα. ἔστι δὲ διηγηματικόν. (Ἄλλως. ἀντὶ τοῦ κατάτεχνα. ποικίλα οἷον ὕμνους, παιᾶνας, προσόδια, καὶ τὰ λοιπὰ τούτοις παραπλήσια. προπερισπωμένως δὲ τὸ ὄνομα, τὰ παρθενεῖα. ἔστι δὲ τὰ εἰς παρθένους ᾀδόμενα.)

920. [ταυτὶ σὺ : Ἐντεῦθεν διαιρεῖται τὰ πρόσωπα εἰς συστηματικὰς περιόδους ἀμοιβαίας η′. καὶ ἔστιν ἡ πρώτη περίοδος στίχων ἰαμβικῶν τριμέτρων δ′. ἡ β′ στίχων καὶ κώλων ζ′. ὧν ὁ πρῶτος χοριαμβικὸς τρίμετρος καταληκτικός. τὸ β′ ὅμοιον δίμετρον ἀκατάληκτον, τὸν δεύτερον ἔχων πόδα πεντασύλλαβον. τὸ τρίτον περίοδος ἐξ ἰαμβικῆς καὶ τροχαϊκῆς βάσεως. τὸ δ′ ἀσυνάρτητον ἐξ ἀναπαιστικῆς καὶ ἰαμβικῆς βάσεως. τὸ ε′ τροχαϊκὴ βάσις ἐκ χορείων. τὸ ς′ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον εἰ δὲ βούλει, Ἰωνικὸν ἐφθημιμερές. τὸ ζ′ Ἰωνικὸν δίμετρον ἀκατάληκτον. ὑφ' ὃ παράγραφος.]

922. οὐκ ἄρτι θύω : Πρὸς τὸ ἔθος. εἴρηται δὲ πρότερον ὅτι ἐπὶ ἐνεστῶτος. σαφὲς δὲ ὅτι τὰ ὀνόματα τῶν παίδων ἐτίθεσαν τῇ δεκάτῃ.

924. ἀλλά τις ὠκεῖα Μουσάων : Ἡ τῶν Μουσῶν φάτις ταχεῖά ἐστιν, ὡς ἵππος ὠκεῖα. ἤτοι δὲ καθολικῶς λέγει, ἐπεὶ πτερόεντα τὰ ἔπη καὶ ταχέως διαγγέλλοντα τὰ πράγματα, ἢ πρὸς ἑαυτὸν ταχέως γράφοντα τὰ ποιήματα.

926. σὺ δ' ὦ πάτερ κτίστορ : Ἐκ τῶν Πινδάρου ὑπορχημάτων [fr. 71] « ξύνες ὅ τι λέγω ζαθέων ἱερῶν ἐπώνυμε πάτερ κίστορ Αἴτνας. » ἐπειδὴ ὁ Ἱέρων ἔκτισεν αὐτήν.

929. παίζει πρὸς τὸ Πινδαρικόν. τῇ γὰρ κεφαλῇ ἐπινεύουσιν οἱ βασιλεῖς. R. V.

930. ἐμὶν τείν : Χλευάζει τῶν διθυραμβοποιῶν τὸν συνεχῆ ἐν τοῖς τοιούτοις Δωρισμὸν, καὶ μάλιστα τὸν Πίνδαρον, συνεχῶς λέγοντα ἐν ταῖς αἰτήσεσι τὸ ἐμίν.

931. [τουτὶ παρέξει : Ἡ τρίτη περίοδος στίχων ἐστὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων πέντε. ἐπὶ τῷ τέλει παράγραφος.]

933. σὺ μέντοι σπολάδα : Πρὸς τὴν σπολάδα, ὅτι διφθέρα ὁποιαοῦν. Σοφοκλῆς Αἴαντι Λοκρῷ « καταστίκτου « κυνὸς σπολὰς Λίβυσσα παρδαληφόρον δέρος. » Καλλίστρατος δὲ, οἷον ἔφαπτον δερμάτινον. Εὐφρόνιος δὲ, χιτῶνα δερμάτινον. παρήχθη δὲ ἴσως ἐκ τοῦ ἐπιφέρεσθαι, (οὐκ ἐξὸν ἐνεζῶσθαι διφθέραν. τὸ δὲ Σοφόκλειον ἐπὶ τοῦ δέρματος εἴρηται τοῦ κρεμαμένου πρὸς τῇ τοῦ Ἀντήνορος οἰκίᾳ.)

935. πάντως δέ μοι ῥιγῶν : Ὡς μὴ ἀρκουμένου αὐτοῦ μόνῃ τῇ σπολάδι ὁ Πεισθέταιρός φησι, μετὰ τὸ ἀποδύσασθαι τὸν ἱερέα. τὸ δὲ ῥιγῶν Δωρικόν ἐστι κατὰ τροπὴν τοῦ ο εἰς ω, ῥιγοῦν ῥιγῶν.

936. [τόδε μὲν οὐκ ἀέκουσα : Ἡ δ' περίοδος κώλων ἐστὶ παιωνικῶν μεμιγμένων κρητικοῖς καὶ παλιμβακχείοις τεσσάρων. ὧν τὸ α′ τρίμετρον καταληκτικόν. τὸ β′ τρίμετρον βραχυκατάληκτον, τοῦ β′ ποδὸς παλιμβάκχου. τὸ τρίτον δίμετρον ἀκατάληκτον διὰ τὴν ἀδιάφορον. ἐν ἐχθέσει δὲ στίχος ἰαμβικὸς τρίμετρος ἀκατάληκτος. ἐπὶ τῷ τέλει παράγραφος. ἑξῆς δ' ἡ ε′ περίοδος κώλων ἀναπαιστικῶν πέντε. ὧν τὸ πρῶτον δίμετρον καταληκτικὸν, τοῦ πρώτου ποδὸς πεντασυλλάβου. τὸ β′ πενθημιμερὲς, ὃ καλεῖται δοχμαϊκόν. τὸ τρίτον Ἰωνικὸν τρίμετρον ἀκατάληκτον, τοῦ πρώτου ποδὸς πεντασυλλάβου. τὸ δ′ ὅμοιον. τὸ ε′ δίμετρον βραχυκατάληκτον παιωνικόν. ἐπὶ τῷ τέλει παράγραφος.]

940. ὡς ἐπιμένοντος τοῦ ποιητοῦ καὶ ἐνοχλοῦντος αὐτοῖς τοῦτό φησι. V.

(941. Νομάδεσσι γὰρ ἐν Σκύθαις : Καὶ ταῦτα παρὰ τὰ ἐκ Πινδάρου [fr. 72]. ἔχει δὲ οὕτως « Νομάδεσσι « γὰρ ἐν Σκύθαις ἁλᾶται Στράτων, ὃς ἁμαξοφόρητον « οἶκον οὐ πέπαται. » λαβὼν δὲ ῥητόνους παρ' Ἱέρωνος

ἥτει αὐτὸν καὶ ἅρμα. δῆλον δὲ ὅτι χιτῶνα αἰτεῖ πρὸς τῇ σπολάδι.)

[942]. ἀλᾶται Στράτων : (Ἀλᾶται ἔφη,) ἐπειδὴ οἱ Σκύθαι τῷ χειμῶνι διὰ τὸ ἀφόρητον αὐτοῦ ἐπὶ ἁμαξῶν τὰ πράγματα βάλλοντες ἑαυτῶν ἀπαίρουσιν εἰς ἄλλην χώραν. ὁ μὴ ἔχων δὲ ἐκεῖσε ἅμαξαν ἄτιμος παρ' αὐτοῖς κρίνεται.

944. ἀκλεὴς ἕβα σπολὰς : Ἀκλεὴς, φησὶν, ἡ σπολὰς ἄνευ χιτῶνος (οὖσα. ἀτιμότερος ἀνήρ. πέπαται δὲ, κέκτηται).

946. [ξυνίημ' ὅτι βούλει : Ἡ ἕκτη περίοδος ἡνωμένη οὖσα κώλων καὶ στίχων ἐστὶν ἡ'. ὧν οἱ πρῶτοι τέσσαρες ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. μίαν γὰρ τὰ δύο πρόσωπα τὴν τοιαύτην ποιεῖ περίοδον. τὰ δὲ ἑξῆς τέσσαρα ἀναπαιστικὰ κῶλα. ὧν τὸ α' ἐφθημιμερές. τὸ β' ἀναπαιστικὴ βάσις. τὸ τρίτον δίμετρον βραχυκατάληκτον, τῶν πρώτων δύο ποδῶν ὄντων προκελευσματικῶν. τὸ δ' ὅμοιον τῷ δευτέρῳ. ὑφ' ὃ παράγραφος.]

χιτωνίσκον : Τὸ ὑποκοριστικὸν τοῦ χιτῶνος. ἐπεὶ ἀρσενικῶς μόνως χιτὼν λέγεται, ἐπὶ δὲ θηλυκοῦ χιτώνιον.

947. τῷ Εὐέλπιδι λέγει. R. V.

949. [κὰς τὴν πόλιν : Ἀπελθὼν ποιήσω τὰ ποιήματα εἰς τὴν πόλιν.]

950. διαβάλλει τοὺς ποιητὰς ὡς τῷ κόμπῳ τῶν λέξεων ἀπατῶντας, μηδὲν δὲ λέγοντας. R.V.

951. τρομεράν, χρυεράν : Ἐπειδὴ ἐν τῷ ἀέρι τὸ πλάσμα τῆς οἰκοδομῆς ὑποτίθεται, παίζων φησὶ τὸ τρομερὰν, μὲν, διὰ τὸ ἀστήρικτον· χρυερὰν δὲ, τὴν κρύους μεταλαμβάνουσαν, διὰ τὸ ἐπ' αὐτὴν καταράσσειν καὶ τὴν δρόσον καὶ τὴν ψυχρότητα.

952. νιφοβόλα πέδια : Ἀντὶ τοῦ νιφοβόλον καὶ πολύπορον ὁδὸν κατὰ μεταπλασμόν. μεταπλασμῷ δὲ ἐχρήσατο εἰπὼν νιφοβόλα ὡς ἀπὸ τῆς νιφοβόλος εὐθείας. ἐπειδὴ δοκεῖ ἐν τῷ ἀέρι οἰκοδομεῖσθαι, παρὰ τὸ βάλλεσθαι ὑπὸ τοῦ νιφετοῦ ἔπαιξεν. ἐπίτηδες δὲ ἀδιανοήτως λέγει, ὅπως διὰ τοῦ ὄγκου τῶν λέξεων δοκῇ τινα φαντασίαν ἔχειν.

954. νὴ τὸν Δία : [Ἡ ζ' περίοδος ἐν ἐκθέσει στίχων ἐστὶν ἰαμβικῶν τριμέτρων ε'. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι.] πρὸς τὸν ἱερέα φησὶ περίελθε καὶ περίρραινε.

957. πεπύσθαι : Ἀκοῦσαι· πέπυσμαι, ἀκήκοα, ἔμαθον, ἴδον. *Vict.*

959. [εὐφημία ἔστω : Εἴσθεσις περιόδου ἀμοιβαίας στίχων λς'. ὧν οἱ πρῶτοι ὀκτὼ ἰαμβικοὶ τρίμετροι, οἱ ἑξῆς δύο ἀσυνάρτητοι παντελῶς καὶ πολυσχημάτιστοι, ἀτάκτως τοὺς πόδας κειμένους ἔχοντες. μιμεῖται γὰρ τὸ ἀσυνάρτητον τῶν χρησμῶν. οἱ δ' ἄλλοι ὡς οἱ πρῶτοι. οἱ μέντοι χρησμοὶ ἐπικοί. ἐπὶ ταῖς ἀποθέσεσι καὶ τῷ τέλει παράγραφος.] ἔπαιξε πρὸς τὸ εὐφημία εἰπὼν τὸ μή.

961. [μὴ φαύλως φέρε : Ἀντὶ τοῦ μὴ ἀηδίζου ἐπὶ τῷ χρησμῷ.]

962. ὡς ἔστι Βάκιδος : Τρεῖς Βάκιδες, ὡς Φιλητᾶς ὁ Ἐφέσιός φησιν, οὕτως. Σίβυλλαι δὲ τρεῖς ἐγένοντο. ὧν ἡ μέν ἐστιν, ὡς διὰ τῆς ποιήσεώς φησιν, Ἀπόλλωνος ἀδελφή. δευτέρα δὲ ἡ Ἐρυθραία. τρίτη δὲ, ἡ Σαρδιανή. καὶ Βάκιδες ὁμοίως τρεῖς, ὁ μὲν ἐξ Ἐλεῶνος τῆς Βοιωτίας, ὁ δὲ Ἀθηναῖος, ὁ δὲ Ἀρκάς. Θεόπομπος δὲ ἐν τῇ ἑνάτῃ τῶν Φιλιππικῶν ἄλλα τε πολλὰ περὶ τοῦ Βοιωτοῦ Βάκιδος ἱστορεῖ παράδοξα καὶ ὅτι ποτὲ τῶν Λακεδαιμονίων μανείσας (τὰς γυναῖκας) ἐκάθηρεν, Ἀπόλλωνος αὐτοῖς τοῦτον καθαρτὴν δόντος.

966. ἀλλ' οὐδὲν οἷόν ἐστ' ἀκοῦσαι : Ἀλλ' οὐδὲν κωλῦόν ἐστι καὶ νῦν ἀκοῦσαι τῶν χρησμῶν. οὕτως γὰρ ἔλεγον τὰ λυσιτελοῦντα, οὐδὲν οἷον, οὐδὲν κωλῦον.

968. τὸ μεταξὺ Κορίνθου : Παρὰ τὸν λεγόμενον χρησμὸν

εἰ τὸ μέσον κτήσαιο Κορίνθου καὶ Σικυῶνος.

ἐπεὶ καὶ ἡ πόλις μεταξὺ οὐρανοῦ καὶ γῆς ἵδρυται. Ἄλλως. Αἰσώπῳ τῷ μυθογράφῳ χρωμένῳ περὶ πλούτου ὁ θεὸς εἶπεν,

εἰ τὸ μέσον κτήσαιο Κορίνθου καὶ Σικυῶνος.

εὔφορος γὰρ αὕτη ἡ χώρα. τὸ δὲ ὅλον παίζει. — λύκους δὲ τοὺς γέροντάς φησι μιμεῖσθαι τὸ ἀσυνάρτητον τῶν χρησμῶν. R. V.

971. Πανδώρᾳ : Τῇ γῇ. ἐπειδὴ πάντα τὰ πρὸς τὸ ζῆν δωρεῖται. (ἀφ' οὗ καὶ ζείδωρος καὶ ἀνησιδώρα.)

974. ἀντὶ τοῦ γέγραπται ἐν τῷ χρησμῷ. R. λαβὲ, φησὶ, καὶ σκόπησον. R. V.

978. αἰετὸς ἐν νεφέλῃσιν : Οὐχ ἁπλῶς τοῦτό φησιν, ἀλλ' ὅτι χρησμὸς ἦν τοῖς Ἀθηναίοις δεδομένος τοσοῦτον αὐξηθήσεσθαι ὅσον αἰετὸς τῶν ἄλλων ὀρνέων ἐν ταῖς νεφέλαις προΰχει. τοῦτον καὶ αὐτὸν εἰς τὸν Πεισθέταιρον πλάττεται, ὅπως ἄν τι λάβῃ. (τούτου δὲ καὶ ἐν τοῖς Ἱππεῦσι μέμνηται, ὡς εἰς τὴν πόλιν δοκοῦντος εἰρῆσθαι ἐν τοῖς Βάκιδος.)

982. ἀντὶ τοῦ ἐμνημόνευσα. R.V.

983. αὐτὰρ ἐπὴν ἄκλητος : Τῷ αὐτῷ μέτρῳ ἀναπλάττεται καὶ αὐτὸς χρησμόν.

984. σπλαγχνεύειν : Σπλάγχνων μεταλαβεῖν.

988. μήτ' ἦν Λάμπων ἦ : Χρησμολόγος ὁ Λάμπων. μήτε, φησὶν, ἐὰν αὐτὸς ἦ ὁ Λάμπων, φείδου αὐτοῦ, ἐὰν λέγῃ, ὅτι καὶ ὡς αἰετὸς γενήσῃ. (Ἄλλως. εἴρηται [ad v. 521] περὶ Λάμπωνος. ὁ δὲ Διοπείθης νῦν μὲν ὡς χρησμολόγος, ἑτέρωθι δὲ ὡς κυλλὸς καὶ δωροδόκος. Σύμμαχος δὲ καὶ μανιώδη φησί.) Σύμμαχος ὅτι Διοπείθης ὁ ῥήτωρ ὑπομανιώδης ἦν, ὡς Τηλεκλείδης ἐν Ἀμφικτύοσι δῆλον ποιεῖ. (παράκειται δὲ καὶ τὰ Φρυνίχου ἔμπροσθεν ἐν Κρόνῳ

ἀνὴρ χορεύει, καὶ τὰ τοῦ θεοῦ καλά.
βούλει Διοπείθη μεταδράμω καὶ τύμπανα ;

καὶ Ἀμειψίας ἐν Κόννῳ « ὥστε ποιοῦντες χρησμοὺς « αὐτοὶ διδόασ' ἄδειν Διοπείθει τῷ παραμαινομένῳ. »)

992. [ἥκω παρ' ὑμᾶς : Εἴσθεσις ὁμοίας ἑτέρας περιόδου ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ξ'. ὧν τελευταῖος

θύσοντες εἶσω τοῖς θεοῖσι τὸν τράγον.

μετὰ μέντοι τὸν μθ' κῶλον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον καὶ μετὰ τὸν νθ' ἀσυνάρτητοι δύο. ὧν ὁ πρῶτος σύγκειται ἐξ ἀναπαιστικῆς βάσεως καὶ τροχαϊκῆς ὁμοίας βάσεως. ὁ δέ τοι νδ' σύγκειται ἐξ ἰαμβικοῦ ἑφθημιμεροῦς καὶ τροχαϊκῆς βάσεως. ὁ δὲ νε' ἐξ ἰαμβικοῦ πενθημιμεροῦς καὶ ἀναπαιστικῆς βάσεως. ἐπὶ τῷ τέλει κορωνὶς ἐξιόντων τῶν ὑποκριτῶν.]

994. Δίδυμος οὕτω, πρὸς τί ὑποδέδεται τὸ δεξιόν; τίς ἐστιν ἡ ἐπίνοια τῆς ὁδοῦ. R.V. (τίς ὁ κόθορνος : Οἷον, τί ὑποδησάμενος πάρει; οὕτω Σύμμαχος πρὸς τὸ τί ὑποδέδεται τῷ δεξιῷ.)

997. Μέτων : Μέτων ἄριστος ἀστρονόμος καὶ γεωμέτρης. τούτου ἐστὶν ὁ ἐνιαυτὸς ὁ λεγόμενος Μέτωνος. φησὶ δὲ Καλλίστρατος ἐν Κολωνῷ ἀνάθημά τι εἶναι αὐτοῦ ἀστρολογικόν. (Εὐφρόνιος δὲ, ὅτι τῶν δήμων ἦν ἐκ Κολωνοῦ. τοῦτο δὲ ψεῦδος. Φιλόχορος γὰρ Λευκονοέα φησὶ αὐτόν. τὸ δὲ τοῦ Καλλιστράτου δῆλον. ἴσως γὰρ ἦν τι καὶ ἐν Κολωνῷ. ὁ δὲ Φιλόχορος ἐν Κολωνῷ μὲν αὐτὸν οὐδὲν θεῖναι λέγει, ἐπὶ Ἀφεύδους δὲ τοῦ πρὸ Πυθοδώρου ἡλιοτρόπιον ἐν τῇ νῦν οὔσῃ ἐκκλησίᾳ, πρὸς τῷ τείχει τῷ ἐν τῇ πνυκί. μήποτε οὖν τὸ χωρίον, φασί τινες, ἐκεῖνο πᾶν, ᾧ περιλαμβάνεται καὶ ἡ πνύξ, Κολωνός ἐστιν, οὗ ἕτερος ὁ μίσθιος λεγόμενος. οὕτως μέρος τι νῦν σύνηθες γέγονε τὸ Κολωνὸν καλεῖν τὸ ὄπισθεν τῆς μακρᾶς στοᾶς, ἀλλ' οὐκ ἔστι. Μελίτη γὰρ ἅπαν ἐκεῖνο, ὡς ἐν τοῖς ὁρισμοῖς γέγραπται τῆς πόλεως. ἴσως δὲ ἐν Κολωνῷ κρήνην τινὰ κατεσκευάσατο. φησὶν ὁ Φρύνιχος Μονοτρόπῳ « τίς δ' ἐστὶν ὁ μετὰ ταῦτα « ταύτης φροντιῶν; Μέτων ὁ Λευκονοεὺς, ὁ τὰς κρή- « νας ἄγων. » καθεῖται δὲ καὶ ὁ Μονότροπος ἐπὶ τοῦ αὐτοῦ Χαβρίου, ὡς εἴρηται. Ἄλλως. ἴσως ἐν τῷ Κολωνῷ κρήνην τινὰ κατεμηχανήσατο, ἢ ἄγαλμα, ἢ ἀνάθημα ἀστρολογικὸν κατεσκευάσατο αὐτῷ.) [ὅτι δὲ Κολωνὸς ἦν τῶν δήμων ψεῦδος. Φιλόχορος δὲ Λευκονοέα φησὶν αὐτόν. οὗτος δέ ἐστιν Μέτων οὗ ὁ ἐνιαυτὸς ὁ λεγόμενος Μέτωνος.]

1001. [κατὰ πνιγέα μάλιστα : Ὥσπερ, φησὶ, πνιγεὺς περίκειται τῇ γῇ. τὰ δὲ ἑξῆς ἀδιανόητα. πνιγεὺς δὲ ὁ κρίβανος ἢ ἡ κάμινος.]

προτιθεὶς οὖν : Δίδυμος· τοιοῦτος ἀήρ ἐστι τῇ γῇ περικείμενος, ὅμοιος πνιγεῖ, καθαπερεὶ πῶμά τι περικείμενος. τὰ δὲ ἑξῆς, φησὶ Σύμμαχος, ἐπίτηδες ἀδιανόητα.

1003. διόλου ἀνοηταίνει. R.

1005. ὁ κύκλος : Παίζει. ἀδύνατον γὰρ τὸν κύκλον γενέσθαι τετράγωνον.

1007. λείπει τὸ ἵνα, ὥσπερ ἀστέρες. R.

1008. [αὐτοῦ κυκλοτεροῦς : Ἵνα τοῦ μέσου κυκλοτεροῦς ὄντος, αἱ ὁδοὶ αὐτῷ παρεκταθῶσιν ὡς ἀντῖνες ἀστέρων.]

1009. ἄνθρωπος Θαλῆς : (Ἐν σαρκασμῷ φησιν. ἔστι δὲ) ὁ Θαλῆς οὗτος εἷς τῶν ἑπτὰ φιλοσόφων, ἐπὶ γεωμετρίᾳ διαβεβοημένος. (Ἀθηναῖοι περισπῶσιν, ἡ δὲ κοινὴ βαρύνει. καὶ ὅτε μὲν περισπᾶται, Θαλοῦ ἐστὶν ἡ γενική· ὅτε δὲ βαρύνεται, Θάλητος.)

1011. κἀμοὶ πειθόμενος : Ὡς φίλος σοι συμβουλεύω ὑπαναχωρῆσαι ἔνθεν.

1013. ξενηλατοῦνται : Περὶ τῆς ἐν Λακεδαίμονι ξενηλασίας Θεόπομπός φησιν ἐν τῇ τρίτῃ καὶ τριακοστῇ. ποτὲ γὰρ ἐκεῖσε σιτοδείας γενομένης, ξενηλασία γέγονεν, ὡς Θεόπομπος ἐν τῇ λς' φησίν. — ξενηλατοῦνται : Ἀπελαύνονται. *Vict.*

1014. μῶν στασιάζετε : Ἆρα μὴ εἰς ἀλλήλους μάχεσθε.

1016. σποδεῖν : Τύπτειν. R. συντρίβειν. *Vict.*

1017. [ὡς οὐκ οἶδ' ἄρ' εἰ φθαίης : Οὐκ οἶδα εἰ φθαίης ἀπιέναι, πρὶν ἀποτυμπανισθῆναι. ἅμα δὲ τύπτει αὐτόν.]

1018. [ἐγγὺς αὐταί : Αἱ πληγαί. ἅμα δὲ λέγων τύπτει αὐτόν.]

1020. οὐκ ἀναμετρήσει : Ὅτι γεωμέτρης. ἅμα δὲ, οὐ μέτρια φρονήσεις πλάττειν τινὰ ἀρχὴν καινήν. οὐδεμία γὰρ Ἀθήνησι.

1021. ποῦ πρόξενοι : Προξένους ἐκάλουν τοὺς τεταγμένους εἰς τὸ ὑποδέχεσθαι τοὺς ξένους τοὺς ἐξ ἄλλων πόλεων ἥκοντας.

τίς ὁ Σαρδανάπαλος : Οὗτος υἱὸς Ἀνακυνδαράξου βασιλεὺς Νίνου Περσικῆς χώρας, ὃς ἐν μιᾷ ἡμέρᾳ Ταρσὸν καὶ Ἀγχιάλην ἔκτισεν, ἐκτράπελος ταῖς τρυφαῖς. φασὶ γὰρ αἰσχρῶς αὐτὸν καλλωπίζεσθαι καὶ μυρίζεσθαι τοῖς τε οἰκείοις μὴ ὁρᾶσθαι εἰ μὴ εὐνούχοις καὶ κόραις. πεπυρπολημένου δὲ τοῦ οἴκου, ἔνδον εὑρεθεὶς, ἀπέθανεν. Ἀπολλόδωρος δὲ ταῦτα φησίν· ἐγγεγράφθαι ἐν τῷ τάφῳ αὐτοῦ Ἀσσυρίοις γράμμασιν « Σαρδανάπαλος « Ἀνακυνδαράξου παῖς Ταρσόν τε καὶ Ἀγχιάλην ἔδει- « μεν ἐν μιᾷ ἡμέρᾳ. ἔσθιε, πῖνε, ὄχευε, ὡς τἄλλα οὐ- « δενός ἐστιν ἄξια. » (ὁ δὲ Ἑλλάνικος ἐν τοῖς Περσικοῖς δύο φησὶ Σαρδαναπάλους γεγονέναι. Ἄλλως. Περσῶν βασιλεὺς, ὃς ἐν τρυφῇ ὡρίζετο τὴν εὐδαιμονίαν. λέγεται δὲ περὶ αὐτοῦ ὅτι ἐν μιᾷ ἡμέρᾳ δύο πόλεις ἔκτισε τῆς Κιλικίας, Ταρσὸν καὶ Ἀγχιάλην. ἦν δὲ τῷ βίῳ τρυφηλὸς καὶ τῷ εἴδει ἐκτράπελος, καὶ τῷ σχήματι ἀλλόκοτος. διὸ λέγουσιν ἐν τῷ τάφῳ αὐτοῦ ἐπιγεγράφθαι τοῦτο τὸ ἐπίγραμμα

εὖ δεδαὼς ὅτι θνητὸς ἔφυς, ὃν θυμὸν ἄεξε
τερπόμενος θαλίῃσι. θανόντι τοι οὔ τις ὄνησις.
καὶ γὰρ ἐγὼ σποδὸς εἰμι Νίνου μεγάλης βασιλεύων.
ταῦτ' ἔχω, ὅσσ' ἔφαγον καὶ ἐφύβρισα, καὶ μετ' ἐρώτων
τέρπν' ἔπαθον. τὰ δὲ πολλὰ καὶ ὄλβια κεῖνα λέλειπται·
ἡ δὲ σοφὴ βιότοιο παραίνεσις οὐδέποτ' ἐσθλὴ,
κεκτήσθω δ' ὁ θέλων σοφίης τὸν ἀπείρονα πλοῦτον.)

1022. ἐπίσκοπος ἥκω : Πλάττει καινὴν ἀρχήν. οὐ

γὰρ ἦν Ἀθήνησι. λαχὼν δὲ, ἀντὶ τοῦ κληρωθεὶς ταύτην τὴν ἀρχήν.

1028. Φαρνάκη : Στρατηγὸς Περσῶν ὁ (Φαρνάκης) Φαρναβάζου. ἀλαζονικῶς οὖν σκήπτεται κοινωνίαν ἔχειν μετ' ἐκείνου.

1029. ραπίσας αὐτὸν ταῦτα λέγει. R.

1032. παίζει πρὸς τὸ παρ' αὐτοῦ εἰρημένον. R. [τὼ κάδω : Τοὺς κάδους τοὺς ἀμφορικοὺς, εἰς οὓς τὰς ψήφους καθιᾶσιν.]

1033. [ἥδ' ἐπισκόπους : Τὸ ὅλον ἥδη.]

1035. προέρχεται οὗτος καθ' ἑαυτὸν μελετῶν νόμους οὓς ἐβούλετο ὡς πρὸς νεοκατασκεύαστον πόλιν μισθῷ πωλεῖν. V.

1037. οὓς νομορήτορας φαμὲν, οἳ τοὺς νόμους ἐπὶ μισθῷ πωλοῦσιν. V.

1040. περισπωμένως ὡς Μηλιᾶς. λέγει γὰρ τοὺς πολίτας. τὸ τέλειον Νεφελοκοκκυγιέας. ἐν κράσει. V.

1041. ἀντὶ τοῦ νόμοις. V.

1042. ὑπὸ τῷ Ἄθῳ ἡ Ὀλόφυξος πόλις. πρὸς οὓς καὶ προστάγματα ἔπεμπον Ἀθηναῖοι. V.

1043. [Ὁτοτύξιοι : Ἀπὸ τοῦ ὀτοτύζειν ἐσχημάτισεν.]

1046. (καλοῦμαι : Γράφομαι, εἰς τὸ δικαστήριον καλῶ.)

1047. τότε γίνεται τὸ περὶ ὕβρεων δικαστήριον. ὡς ἐν τούτῳ τῶν ἐναγομένων ξένων ἀπὸ τῶν πόλεων καλουμένων. οὐκ ἦν δὲ, ἀλλ' ὁ Μαιμακτηριών, ὡς Φιλέταιρος ἐν Μησὶ ὅηλοῖ « τίς ἐστὶ Μαιμακτηριών; μὴν δικάσιμος. » V. (ἔδει εἰπεῖν Μαιμακτηριῶνα· εἰς τοῦτον γὰρ ἦσαν αἱ κρίσεις.)

1049. ὡς τούτου τοῦ ἐγκλήματος ὄντος τὸ μὴ εἰσδέχεσθαι τὸν ταττόμενον ἄρχοντα δικαστήν. V.

1050. (κατὰ τὴν στήλην : Κατὰ τὴν δημοσίαν ἀναγραφήν.) — ὅτι τὰ ψηφίσματα καὶ τοὺς νόμους ἐν ταῖς στήλαις ἔγραφον. V.

1053. (διασκεδῶ : Ἀποπατήσας ἀπαλλάττεται τοῦ συκοφάντου.)

1054. κατέχεσας. R. ἀπεπάτησας, ἀπετίλας. V.

1057. θύσοντες εἴσω : Σκήπτεται ποιεῖν ἔνδον τὴν θυσίαν, ἵνα μὴ σφάξῃ τὸ πρόβατον.

1058. (ἥδη μοι τῷ παντόπτᾳ : Εἰώθασι μετὰ τὴν τελείαν παράβασιν ἐπιρρηματικὴν ποιεῖσθαι συζυγίαν, ὥσπερ καὶ ἐν Ἱππεῦσι πεποίηκεν. Ἄλλως. δευτέρα παράβασις, ὡς ἐν Ἱππεῦσιν.) [Ἄλλως. ἡ παράβασις αὕτη οὐκ ἔχει πάντα τὰ μέρη, ἀλλὰ μόνα τέσσαρα, τὴν ᾠδὴν καὶ στροφὴν, τὸ ἐπίρρημα, τὴν ἀντῳδὴν καὶ τὸ ἀντεπίρρημα. ἔστι γοῦν ἡ ᾠδὴ καὶ στροφὴ κώλων καὶ στίχων δακτυλικῶν καὶ παιωνικῶν ιδ'. τὰ α', ε', ς', ζ' δακτυλικὰ ἑφθημιμερῆ. τὰ β', γ', δ', ι', ια' τετράμετρα. τὰ δ' ἄλλα παιωνικὰ, τετράμετρα μὲν ἀκατάληκτα τὰ η', θ'. τὸ δὲ ιβ' τρίμετρον. τὸ δὲ ιγ' δίμετρον. τὸ δὲ ιδ' ἑφθημιμερὲς ἐκ κρητικῶν. ὑφ' ὃ παράγραφος, καὶ διπλῆ ἕσω νενευκυῖα.]

1059. παντάρχᾳ : Ἑρμηνεύει τὸ παντόπτᾳ. *R. Vict.*

1063. κτείνων παμφύλων : Τὰ μικρὰ λέγει τὰς μυίας. καὶ θηρίοις γὰρ πολέμιοι ὄρνιθες, ὡς λαγωοῖς ἀετός.

1065. (νῦν) κάλυκες καταχρηστικῶς πάντα τὰ ἀκρόδρυα. R. V.

1069. ἑρπετὰ καὶ δάκετα : Καὶ τὰ ἄλλα δάκετα, ὥσπερ εἰ τύχοι ὁ σκορπίος. [δάκετα δὲ, θηρία ἰοβόλα.]

1072. ἐπαναχορεύεται : Καὶ λέγεται, καὶ ἀνακηρύττεται. *Vict.*

1073. Διαγόραν τὸν Μήλιον : Οὗτος μετὰ τὴν ἅλωσιν Μήλου ᾤκει ἐν Ἀθήναις, τὰ δὲ μυστήρια ηὐτέλιζεν, ὡς πολλοὺς ἐκτρέπειν τῆς τελετῆς. τοῦτο οὖν ἐκήρυξαν κατ' αὐτοῦ Ἀθηναῖοι καὶ ἐν χαλκῇ στήλῃ ἔγραψαν, ὥς φησι Μελάνθιος ἐν τῷ περὶ μυστηρίων. Ἄλλως. ταῦτα ἐκ τοῦ ψηφίσματος εἴληφεν. οὕτως γὰρ ἐκήρυξαν, τῷ μὲν ἀποκτείναντι αὐτὸν τάλαντον λαμβάνειν, τῷ δὲ ἄγοντι δύο. ἐκηρύχθη δὲ τοῦτο διὰ τὸ ἀσεβὲς αὐτοῦ, ἐπεὶ τὰ μυστήρια πᾶσι διηγεῖτο κοινοποιῶν αὐτὰ καὶ μικρὰ ποιῶν καὶ τοὺς βουλομένους μυεῖσθαι ἀποτρέπων, καθάπερ Κρατερὸς ἱστορεῖ. (ἐκκεκήρυκται δὲ μάλιστα ὑπὸ τὴν ἅλωσιν τῆς Μήλου. οὐδὲν γὰρ κωλύει πρότερον. Μελάνθιος δὲ ἐν τῷ περὶ μυστηρίων προφέρεται τῆς χαλκῆς στήλης ἀντίγραφον, ἐν ᾗ ἐπεκήρυξαν καὶ αὐτὸν καὶ τοὺς ἐκδιδόντας Πελλανεῖς. ἐν ᾗ γέγραπται καὶ ταῦτα· ἐὰν δέ τις ἀποκτείνῃ Διαγόραν, τὸν Μήλιον, λαμβάνειν ἀργυρίου τάλαντον· ἐὰν δέ τις ζῶντα ἀγάγῃ, λαμβάνειν δύο.)

1074. (ἄν τε τῶν τυράννων τίς : Τινὲς, τινά. ὡσεὶ ἔλεγέ τινα τῶν ἀνηκόντων αὐτῷ, ὃς ἐὰν φονεύσῃ.)

1075. τῶν τεθνηκότων : [Τῶν ἐπὶ θανάτῳ φευγόντων.] ἐν τοῖς ὑπομνήμασιν οὕτω γέγραπται· ἐν ὑπερβολῇ καὶ τοὺς τεθνηκότας ἀποκτείνειν ὥστε μηδ' ἐν *** πλαγιάζονται δὲ ἐν τῇ ἀμφιβολίᾳ. λέγει γὰρ, ἐάν τις τινὰ τῶν τοῖς τυράννοις προσηκόντων ἀποκτείνῃ, τάλαντον λήψεται· οἷον γύναιον, ἀδελφὸν, τέκνον, τοὺς συνωμοσίους καὶ συμπράξαντας τῇ τυραννίδι.

1076. ἀνειπεῖν : Κηρύξαι καὶ ἀναγορεῦσαι. *Vict.*

1077. τὸν Στρούθιον : Ἄνω [16] εἶπεν ἐκ τῶν ὀρνέων. Στρούθιον δὲ εἶπεν, ὡς Μήλιον. διὸ καὶ οὕτω προενεκτέον. [συνείρων δὲ, εἰς ὁρμαθὸν συντιθείς.]

1079. σπίνους : Εἶδος ὀρνέου ὁ σπίνος. τρία δὲ αὐτοὺς λυπεῖ, ὅτι θηρεύει, ὅτι πωλεῖ, ὅτι ζ' τοῦ ὀβολοῦ ὡς εὐτελίζων αὐτούς.

1081. τοῖς τε κοψίχοισιν : Οἱ κόψιχοι γὰρ ᾠοτοκοῦντες κεντοῦσι τὰ ᾠά. οἱ οὖν ὀρνιθοθῆραι πτερὰ αὐτοῖς ἐμβάλλουσι πρὸς τὸ ἀμβλῦναι τὰ ῥάμφη τῇ μαλακότητι τῶν πτερῶν. ἢ ἵνα μὴ κορυζῶσιν, ἢ μετὰ τὸ σφάξαι πτερὰ ἐπιβάλλουσιν, ὥστε ἐξ αὐτῶν αὐτοὺς κρεμαμένους ὁραθῆναι πᾶσιν. ἐμφαντικὸν δὲ πλήθους τὸ ἐγχεῖ. [ἐγχεῖ τὰ πτερὰ βιαίως ἀντὶ τοῦ διείρει.] εἴροντες γὰρ διὰ τῶν ῥινῶν καὶ κρεμῶντες ἐπώλουν.

1083. παλεύειν : Ἀντὶ τοῦ θηρεύειν, (προκαλεῖσθαι). εἰώθασιν ἐκτυφλοῦντές τινα τῶν ὀρνέων ἱστάναι ἐν δικτύῳ, ὅπως τῇ φωνῇ προσκαλοῖτο τὰ ὁμοιογενῆ. καὶ τοῦτο γλωσσηματικὸν παλεύειν ἔλεγον. (Ἄλλως.

θηρεύειν καὶ προκαλεῖσθαι βοσκόμενα. οὐ περὶ τῶν κοψίχων δὲ τοῦτο, ἐπεὶ δεδεμένους ἂν εἶπεν, ἀλλὰ μετέβη ἐπὶ περιστεράς, ἢ φάττας.)

1087. θηράσατε. R.

1088. [εὔδαιμον φῦλον : Ἡ ἀντῳδὴ καὶ ἀντιστροφὴ ὁμοία ἐστὶ τῇ ᾠδῇ καὶ στροφῇ. καὶ αὕτη γὰρ κώλων καὶ στίχων ἐστὶ ιδ'. καὶ τὰ μὲν ἔχει δακτυλικὰ ἰσόμετρα τοῖς ἐκείνης, τὰ δὲ παιωνικὰ ἐπιμεμιγμένα κρητικοῖς. ἐπὶ τῷ τέλει αἱ συνήθεις δύο διπλαῖ ἔξω νενευκυῖαι.] ἐν σχήματι εἴρηται ὁ λόγος, εὔδαιμον φῦλον, οἱ χειμῶνος. πρὸς γὰρ τὸ σημαινόμενον τοῦ φύλου πληθυντικὸν ὂν ἔφη τὸ οἵ.

1090. οὐκ ἀμφιέννυνται. R.

1091. οὐδ' αὖ θερμὴ : Τινὲς τὸ πνίγους κατὰ γενικὴν φάσιν, ἵνα ᾖ, οὐδὲ ἡ θέρους θερμασία ἐπίκειται ἡμῖν.

1094. φύλλων ἐν κόλποις : Ὡσεὶ ἔλεγεν ὑπὸ τὰ φύλλα.

1095. ὁ τέττιξ δηλονότι. τρία δὲ γένη τεττίγων, αἱ μὲν γὰρ ἀχέται καὶ ἄρσενες, αἱ δὲ κερκῶπαι αἱ θήλειαι, ἕτερον δὲ γένος σίγιον καλεῖται παρὰ τὴν σιωπήν. V.

1096. [ὑφ' ἡλίῳ μανεὶς : Τέρπεται γὰρ καὶ ἐπιμαίνεται τῷ ἡλίῳ ὁ τέττιξ.]

1099. ἐαρινά. R. V. παρθένια : (Διά τὸ ἐπιμελῶς τὰς γυναῖκας καὶ τὰς παρθένους) τὰ μύρτα ἐσθίειν. (λευκότροφα δὲ, ἀντὶ τοῦ) λευκὰ καὶ τρυφερά. τοιαῦτα γάρ εἰσι μήπω πεπανθέντα.

1100. ἀντὶ τοῦ κεχαριτωμένα ἄνθη. R. V. πλεονάζει δὲ ὁ τέ. V.

1102. τοῖς κριταῖς : Πολλάκις ἐν ταῖς παραβάσεσι καὶ οἱ ποιηταὶ λέγουσι τινὰ εἰς τὰ ἑαυτῶν χρήσιμα, διὰ τοῦ χορικοῦ προσώπου, ὡς νῦν πρὸς τοὺς κριτὰς ἀποτείνει τὸν λόγον, ὅπως ἂν αὐτῷ ψηφίσωνται τὴν νίκην.

1104. πολλῷ τῶν Ἀλεξάνδρου : Τοῦ Πάριδος, ὧν ἔλαβε παρὰ Ἀφροδίτης. ἀπὸ κοινοῦ δὲ τὸ δώσομεν.

1106. (γλαῦκες ὑμᾶς : Ἀντὶ τοῦ νομίσματα. ἡ γὰρ γλαὺξ ὄρνεόν ἐστιν Ἀθηνᾶς. ὅπερ πάνυ τιμῶντες Ἀθηναῖοι διὰ τὴν θεὸν, ἐν τοῖς τετραδράχμοις ἐνεχάραξαν νομίσμασιν. αἰνίττεται δὲ καὶ εἰς τὸ φιλάργυρον τῶν Ἀθηναίων. Ἄλλως. ἡ γλαὺξ ἐπὶ χαράγματος ἦν τετραδράχμου, ὡς Φιλόχορος. ἐκλήθη δὲ τὸ νόμισμα τὸ τετράδραχμον τότε ἡ γλαύξ. ἦν γὰρ γλαὺξ ἐπίσημον καὶ πρόσωπον Ἀθηνᾶ, τῶν προτέρων διδράχμων ὄντων, ἐπίσημόν τε βοῦν ἐχόντων.) — ἐπεὶ ἐν Λαυρίῳ μέταλλα ἦν ἀργυρίου Ἀθήνησι. V.

1108. κἀκλέψουσι : Δέον εἰπεῖν καὶ λεπίσουσι. λεπίζουσαι γὰρ τὸ ᾠὸν ἐκφέρουσι τὰ νεόττια.

1110. ἐρέψομεν : Διὰ τὰ ἐν τοῖς ναοῖς ἀετώματα. ἀντὶ τοῦ στεγάσομεν πρὸς ἀετώματα. τὰς γὰρ τῶν ἱερῶν στέγας πτερὰ καὶ ἀετοὺς καλοῦσιν, ὡς φησιν Ἴων ἐν Ἀγαμέμνονι.

1111. [κἂν λαχόντες ἀρχίδιον : Ὑποκοριστικῶς τὴν ἀρχήν. διαβάλλει δὲ αὐτοὺς ὡς ἅρπαγας.]

1112. ὀξὺν ἱερακίσκον : Ἀντὶ τοῦ ἅρπαγὴν ὀξεῖαν. Δίδυμος, τάχος ὡς ἱέρακος, ἵνα ταχέως φύγῃ.

1113. πρηγορεῶνας : Δίδυμος τοὺς βρόγχους τῶν ὀρνέων κυρίως τοὺς λεγομένους προλόβους, ὅτι συλλέγεται ἐν αὐτοῖς τὰ σιτία. λέγεται δὲ καὶ ἐπὶ ἀνθρώπων πρηγορεῶν πάλιν ὁ βρόγχος. ἑκάτερον δὲ ἀπὸ τοῦ προαθροίζειν ἐκεῖ τὴν τροφήν.

1114. ἂν δὲ μὴ κρίνητε : Ἐὰν δὲ μὴ ἡμᾶς κρίνητε νικᾶν, ἐπίθεσθε ὥσπερ οἱ ἀνδριάντες μηνίσκους ἐπὶ ταῖς κεφαλαῖς. ποιοῦσι γὰρ ἔνιοι, ὥστε μὴ ἐφάπτεσθαι τὰ ὄρνεα. Ἄλλως. μηνίσκους, σκεπάσματα (τῶν ἀνδριάντων), ἅπερ ἐπιτιθέασι ταῖς κεφαλαῖς τῶν ἀνδριάντων διὰ τὸ μὴ ἀποπατεῖν κατ' αὐτῶν τὰ ὄρνεα. φησὶν οὖν, ὅτι μέλλομεν ὑμῶν καταπατεῖν. — κατασκευάσατε. V.

1115. [μήνην : Μηνίσκον. μήνη γὰρ ἔοικε.]

1118. [τὰ μὲν ἱέρ' ἡμῖν : Κορωνὶς εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ο', ὧν τελευταῖος

τόξευε πᾶς τις. σφενδόνην τίς μοι δότω.

ἐπὶ τῷ τέλει κορωνίς.]

τὰ μὲν ἱέρ' ἡμῖν ἐστιν : Τὰ ἐν τοῖς θύμασι σύμβολα. *R. Vict.*

(1121). ἀλλ' οὑτοσὶ τρέχει : Σύμμαχος· οὕτω συντόνως τρέχει ὡσεὶ Ὀλυμπιακὸς σταδιοδρόμος, [ἢ ἀπὸ τοῦ παραρέοντος ποταμοῦ. ἀντὶ τοῦ, δίκην ῥεύματος ταχέως φερόμενος]. ὁ δὲ Δίδυμος, παρὰ τὸ Πινδάρου [Nem. 1, 1] « ἄμπνευμα σεμνὸν Ἀλφειοῦ. » διχῶς δέ τινες, ἅλφειον πνέων.

1126. Προξενίδης καὶ Θεαγένης : Ἐκ τούτων πιστοῦται τὸ ἀνυπόστατον τοῦ τείχους, ἐπειδὴ καπνοὶ ἦσαν καὶ κομπασταὶ καὶ μόνον ὑπόσχεσις. τοιαύτη δὲ καὶ ἡ τοῦ τείχους οἰκοδομή.

ὁ Κομπασεύς : Ἔπαιξε παρὰ τὸν κόμπον. προείρηται δὲ περὶ αὐτῶν ἀμφοτέρων ὅτι κομπασταί. Τηλεκλείδης δὲ ἐν Ἡσιόδοις ὡς παρειμένον τῷ σώματι κωμῳδεῖ αὐτόν.

1128. ὅσον ὁ δούριος : Οὐ πιθανὸν κοινῶς λέγειν αὐτὸν, ἀλλὰ περὶ τοῦ χαλκοῦ τοῦ ἐν ἀκροπόλει. ἀνέκειτο γὰρ ἐν ἀκροπόλει δούριος ἵππος ἐπιγραφὴν ἔχων « Χαιρέδημος Εὐαγγέλου ἐκ Κοίλης ἀνέθηκε. » δύναται δὲ καὶ ὁ ἐν Ἰλίῳ λαμβάνεσθαι. ἐν ἀκροπόλει χαλκοῦς ἵππος ἀνέκειτο κατὰ μίμησιν τοῦ Ἰλιακοῦ.

1131. [τοῦ μάκρους : Σημείωσαι ὅτι τὸ μάκρος λέγει.]

1133. Αἰγύπτιος πλινθοφόρος : Οἱ Αἰγύπτιοι ἐκωμῳδοῦντο ὡς ἀχθοφόροι. καὶ ἐν Βατράχοις [1406] « οὓς « οὐκ ἂν ἄραιντ' οὐδ' ἑκατὸν Αἰγύπτιοι. » Ἄλλως. ὅτι ἴδιον τῶν Αἰγυπτίων ἐνόμισαν τὸ ἀχθοφορεῖν.

1137. γέρανοι θεμελίους : Διὰ τὸ ἐν ὕψει πέτεσθαι, καὶ τῇ εἰς εὐθὺ ὁρμῇ τὴν ἐπὶ τὰ κάτω θέαν ἐμποδί-

ζεσθαι, λίθους βαστάζουσιν, ὅπως κάμνουσαι τῇ πτήσει ῥίπτοιεν, καὶ αἴσθοιντο πότερον ἐπὶ γῆς ἢ ἐπὶ θαλάττης φέρονται. καὶ εἰ μὲν ἐπὶ θαλάττης ἥκοι ὁ λίθος, ἀνύουσι τὴν ὁδόν· εἰ δὲ ἐπὶ γῆς, ἀναπαύονται.

Θεμελίους : Ἤγουν προσήκοντας θεμελίῳ. *Vict.*

καταπεπωκυῖαι λίθους : Ἐπεὶ αἱ γέρανοι λίθους καταπίνουσι καὶ ἐπὶ τὴν Αἴγυπτον παραγίνονται.

1138. τούτους δ' ἐτύκιζον : Τύκος ἐργαλεῖόν τι ᾧ τοὺς λίθους περικόπτουσι καὶ ξέουσιν. ἐπιτήδειον οὖν ἔργον ταῖς μακρὸν ἐχούσαις ῥύγχος. κρὶξ δὲ εἶδος ὀρνέου, ὀξὺ πάνυ τὸ ῥύγχος καὶ πριονῶδες ἔχον.

1139. πελαργοὶ μυρίοι : Διὰ τὸ Πελαργικὸν τεῖχος τοὺς ἀπὸ Τυρρηνίας ἥκοντας ἀναστῆσαι.

1141. οἱ χαραδριοὶ : Ὠνοματοπεποίηται τὸ ὄρνεον παρὰ τὸ ἐν ταῖς χαράδραις διατρίβειν.

1142. ἐρωδιοὶ λεκάναισι : Παρὰ τὴν ἔραν πέπαιχεν, ἐπεὶ ὁ πηλὸς ἐκ τῆς ἔρας, τουτέστι τῆς γῆς. ταῦτα δὲ ὡς ἐν κωμῳδίᾳ ἐσχημάτισται. τὸ μὲν κοινὸν λακάνη παρὰ τὸ λα ἐπιτατικὸν καὶ τὸ χαίνω, τὸ δὲ Ἀττικὸν λεκάνη.

1145. οἱ χῆνες ὑποτύπτοντες : Διὰ τὸ πλατύποδας τῶν ἄλλων μᾶλλον εἶναι τοὺς χῆνας.

1147. [τί δῆτα πόδες : Παρὰ τὴν παροιμίαν

τί δῆτα χεῖρες οὐκ ἂν ἐργασαίατο;]

1148. καὶ νὴ Δι' αἱ νῆτται : Ἡ νῆτται εἶδος ὀρνέου, ἔχον τὴν πτέρωσιν ἐκ φύσεως ὥσπερ ζώνην λευκήν. παρὰ τοῦτο οὖν ἔπαιξεν ἐζωσμένην εἰρηκὼς αὐτήν. ὑπαγωγέα δὲ τὸν ξυστῆρά φησι. πλατὺ δέ ἐστι σίδηρον, ᾧ ξέουσι τὸν πηλόν. (Ἄλλως. τινὲς τῶν νησῶν ἔχουσι πτέρωσιν ὡς ζώνην ἐν κύκλῳ λευκήν.)

1150. (ἔχουσαι κατόπιν : Ὥσπερ παιδία βαστάζουσαι αὐτόν. ὡς εἰώθασι βαστάζειν τὰ παιδία. ἀσαφῶς δὲ λέγει. λέγει γὰρ τὰς χελιδόνας τὸν ὑπαγωγέα ἐπὶ τῶν ὤμων αὐτὰς κομίζειν, τὸν δὲ πηλὸν ἐν τοῖς στόμασι. καὶ ποιοῦσι τοῦτο, ὅταν τὰς νεοσσιὰς κατασκευάζωσιν. ὁ δὲ ὑπαγωγεύς, ὥς τινες, σιδηροῦν τι οἷον πτυίδιον, ᾧ χρῶνται οἱ κονιαταί. οἱ δὲ, ἐργαλεῖον οἰκοδομικὸν, ᾧ ἀπευθύνουσι τὰς πλίνθους πρὸς ἀλλήλας. τινὲς δὲ αὐτὸ παράξυστον καλοῦσιν. εἰ μὴ ἄρα πηλόν τινα ὑπαγωγέα καλοῦσι. τοιοῦτον γάρ τι καὶ Ἑρμιππος ἐν τοῖς Τριμέτροις ἐμφανίζει.)

1155. πελεκᾶντες : Παρὰ τὸ πελεκᾶν τὰ ξύλα, τῷ ὀνόματι τοῦ ὄρνιθος πιθανῶς παίζων ἐχρήσατο. καὶ ὅτι ῥάμφος ἔχει μέγα.

1158. τεθύρωται. R.

1159. καὶ βεβαλάνωται : Ἀντὶ τοῦ κεκλείδωται, βάλανοι δὲ λέγονται τὰ μάγγανα τῆς κλειδώσεως.

1160. ἐφοδεύεται : Ἀντὶ τοῦ διοδεύεται. τὸ δὲ κωδωνοφορεῖται [ἀντὶ τοῦ δοκιμάζεται] ἡ τῶν φυλάκων φρουρά.

1161. φρυκτωρίαι : (Αἱ διὰ τῶν πύργων φυλακαί. παρὰ τὸν πυρσὸν καὶ τὸ ὠρεύειν.) — οἱ ἐπὶ τῶν πύργων πυρσοί. R.

1163. ἀπονίψομαι : Ἦν γὰρ ἀπὸ πηλοῦ ἡ κονίας ὡς ἀπὸ τῶν ἔργων.

τἄλλα δρᾶ : Ἀντὶ τοῦ πρᾶττε, προστακτικῶς.

1169. πυρρίχην βλέπων : Ἔνοπλον καὶ πολεμικόν τι. ἐνόπλιος γὰρ ὄρχησις ἡ πυρρίχη. — ἐσθεῖ : Εἰσ- 5 τρέχει. V.

1173. εἰς τὸν ἀέρα : Δέον εἰπεῖν εἰς τὴν πόλιν.

1174. ἡμεροσκόπους : Τοὺς ἐν ἡμέρᾳ φρουροῦντας.

1177. (τοῦτ' ἴσμεν : Πρὸς τὴν ἐν Ἰλιάδι [A, 424] γραφὴν τὴν « χθιζὸς ἔβη μετὰ δαῖτα. » οὕτως ἀξιοῦσιν 10 Ἀριστοφάνην γράφειν.)

περιπόλους : Τοὺς φύλακας, ἢ ζητητάς. ἀπὸ τοῦ περιπολεῖν. τὸ δὲ ἑξῆς, οὐκ ἐχρῆν περιπόλους πέμψαι.

1179. ἱπποτοξότας : Ἀπὸ μὲν τοῦ ἵππου τὴν ὀξεῖαν αὐτῶν πτῆσιν δηλοῖ, ἀπὸ δὲ τοῦ τόξου τὸ ἐπικαμπὲς 15 τῶν ὀνύχων.

1180. ἠγκυλωμένος : Ἀγκύλη εἶδος ἀκοντίου.

1181. κύμινδις : Τὴν κύμιδιν οὐκ ἀνέγραψεν ὁ Καλλίμαχος. μήποτε οὖν κίσινδις γραπτέον. ὁ δὲ τριόρχης εἶδος ἱέρακος. 20

1182. ῥύμη : Φορᾷ βιαίᾳ.

1183. δονεῖται : Κινεῖται, ταράσσεται, σαλεύει. *Vict.*

1185. ὥστε ἐλπίζειν τὴν ἅλωσιν. V.

1188. [πόλεμος αἴρεται : Εἴσθεσις χοροῦ ἐπῳδικὴ 25 κώλων τροχαϊκῶν ἐπιμεμιγμένων χορείοις ἤτοι τριβράχεσι καὶ δακτύλοις πενθημιμερῶν ἡ'. ὧν τὰ μὲν πρῶτα τρία καὶ παιωνικὰ, εἰ βούλει, ποιήσει ἡμιόλια. τὸ τέταρτον τροχαϊκὸν ἐκ δακτύλου πενθημιμερές. τὸ πέμπτον καὶ ἕκτον ἰθυφαλλικά. τὸ ζ' καὶ η' τροχαϊκὰ 30 πενθημιμερῆ. ἐν ἐκθέσει δὲ ἰαμβικὰ τρία. ὧν τὸ πρῶτον δίμετρον ἀκατάληκτον. οἱ δὲ δύο τρίμετροι ἀκατάληκτοι. ἐπὶ τῷ τέλει κορωνίς.]

πόλεμος αἴρεται : Διὰ τὴν ὑπερβολὴν ἀντὶ τοῦ ἐγείρεται καὶ μετεωρίζεται. — ἔν τισι δὲ τῶν ἀντιγράφων 35 εἰς δύο κῶλα διῄρηται τὸ ἓν, ἐν δὲ ἄλλοις συνῆπται. Ven.

1189. φατὸς : Λεκτός. *Vict.*

1192. ἀέρα περινέφελον : Τὴν ἀορασίαν, τὸ σκότος.

1197. πεδαρσίου : Μετεώρου, πετομένου. παρὰ τὸ 40 ἐκ τοῦ πέδου αἴρεσθαι.

1199. αὖτη σὺ : [Κορωνὶς εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ξγ'. ὧν τελευταῖος

καταθαλώσεις τῶν νεωτέρων τινά. 45

ἐπὶ τῷ τέλει κορωνίς.] — πρὸς τὴν Ἶριν φησι καταλαβὼν αὐτήν. V.

1213. πλοῖον ἢ κυνῆ : Πλοῖον μὲν, καθὸ ἐπτέρωται καὶ ἐξωγκωμένον ἔχει τὸν χιτῶνα, καὶ τὰ πτερὰ διαπέπταται ὡς κῶπαι. κυνῆ δὲ, ὅτι ἔχει περικεφαλαίαν 50 τὸν πέτασον, ὡς ὁ Ἑρμῆς ἄγγελος ὢν παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ τῆς Ἶριδος « γυνὴ τίς ἥδε; κυκλὰς Ἀρκάδος κυνῆς. » φασὶ δὲ καὶ κυνέαν τὸν πέτασον λέγεσθαι ἐν

Πελοποννήσῳ. (Ἄλλως. πέτασον γὰρ ἐπὶ τῆς κεφαλῆς φορεῖ ὡς ὁ Ἑρμῆς, πρὸς ὃν τὴν κυνῆν εἶπε. καὶ Πελοποννήσιοι δὲ τὸν πέτασον κυνῆν καλοῦσι. πλοῖον δὲ διὰ τὸ ἐν ὁρόμῳ αὐτῆς κεκολπῶσθαι τὸν χιτῶνα. ἢ ἐπεὶ πτερωτὸς ἦν. αἱ δὲ νῆες ἀντὶ πτερῶν τὰς κώπας ἔχουσι.)

1204. Πάραλος ἡ Σαλαμινία : Αὗται ἱεραὶ τριήρεις δημόσιαι, ἐπὶ τὰς τῆς πόλεως χρείας πεμπόμεναι καὶ ταχυναυτοῦσαι. (Ἄλλως. ἐπεὶ ταχεῖαν αὐτὴν εἶπεν. αὗται δὲ αἱ τριήρεις, ὡς ἂν ὑπηρέτιδες οὖσαι, ταχεῖαι ἦσαν, Πάραλος καὶ Σαλαμινία. ἐὰν δὲ δασέως ἐν ἄρθρου μέρει, ἔσται ἡ αὐτὴ Πάραλος καὶ Σαλαμινία.)

1206. ἀναπτάμενος τρίορχος : Ἐπεὶ ἑταίρα ἦν, ἔπαιξε τὸ τρίορχος.

1210. διὰ ποίων πυλῶν. R.

1212. ἡμεροφύλακες γὰρ οἱ κολοιοί. R. V

1213. σφραγὶδ' ἔχεις παρὰ τῶν πελαργῶν : Οἷον σύμβολον ἐπὶ τῷ συγχωρηθῆναι παρελθεῖν. — ὡς τῶν πελαργῶν φυλάκων ὄντων. V.

1214. ὑγιαίνεις μέν : Ὑγιαίνεις, φησί, καὶ οὐ μαίνῃ τοιαῦτα ἐρωτῶν;

1215. ἐπέβαλεν ὀρνίθαρχος : Πρὸς τὸ ἐπέβαλεν, ὅτι καὶ νῦν ἐπὶ τοῦ συνουσιάσαι, ὃ καὶ ἐνόμισε λέγειν ἡ Ἶρις, διὸ παραιτεῖται.

1218. γῆς ἀλλοτρίας καὶ τοῦ χάους : Ἀντὶ τοῦ ἀέρος, διὰ τὸ κεχύσθαι εἰς ἄπλωμα.

1222. πασῶν Ἰρίδων : Ἀντὶ τοῦ ὑπὲρ τὰς ἄλλας Ἴριδας. παίζει δὲ ἢ ὡς τοῦ ἀέρος ποικίλας Ἴριδας ποιοῦντος, ἢ ἀντὶ τοῦ εἰπεῖν θεαινῶν.

[1223]. τῆς ἀξίας : (Λείπει) τιμωρίας.

1225. ἀντὶ τοῦ ὥς γ' ἐμοὶ δοκεῖ. R. V.

1227. ἀκολαστανεῖτε : Ἀκόλαστα καὶ ἄτακτα πράξετε.

1228. ἐν μέρει τῶν κρειττόνων : Ἀντὶ τοῦ κατά τι μέρος ἡμῖν ὑποταγῆναι ὀφείλετε. — Ἄλλως. δεῖ πείθεσθαι ἡμῖν τοῖς κρείττοσιν. V.

1229. τὸ πτέρυγε ποῖ ναυστολεῖς : Ἐπαίζεν ὡς ἐπὶ νεῶν. [ποῦ] παρασκευάζῃ καὶ ἐπὶ ποίαν ὁδὸν τὴν πτῆσιν ἔχεις.

1232. ἐπ' ἐσχάραις : Ἤγουν ἐπάνω. *Vict.*

1237. ἀλλὰ μὰ Δί' οὐ τῷ Διί : Ἐπαίξε πάλιν μὰ Δία εἰπὼν ὡς ἐν κωμῳδίᾳ.

1240. Διὸς μακέλλῃ : Τοῦτό φησι παρὰ τὸ Σοφόκλειον

χρυσῇ μακέλλῃ Ζηνὸς ἐξαναστραφῆ.

μακέλλη : Δίκελλα πλατεῖα. *Vict.*

1242. Λικυμνίαις βολαῖς : (Ὁ μὲν Καλλίμαχος γράφων οὕτως « Λικυμνίαις βολαῖς » φησὶ « ταύτης τῆς διδασκαλίας οὐ μέμνηται. ») ἐν δὲ ἐνίοις τῶν σχολικῶν ὑπομνήμασι ταυτὶ γέγραπται, « ἴσως ὁ Λικύμνιος ἐνεπύρισε τινῶν οἰκίας. » ἐν δὲ τοῖς ἐπιγεγραμμένοις Ἀπολλωνίου ταῦτα γέγραπται (ὅτι ἡμίφλεκτόν τινα εἰσάγει εἰς τοιοῦτό τι κεχεραυνωμένον ἀπὸ τῆς περιστάσεως ἐκείνης. εἴη δ' ἂν τοῦ Εὐριπίδου μεμνημένος ἀγγέλου τοῦ ἐν τῷ Λικυμνίῳ. λέγει γὰρ ἐπὶ τελευτῆς ἐκεῖνος.) ἐν Λικυμνίῳ δράματι Εὐριπίδου εἰσήχθη τις κεραυνοβολούμενος.

1243. (τῶν παφλασμάτων : Ἐκπρησμῶν, ἀναζεμάτων.)

1245. μορμολύττεσθαι : Ἀντὶ τοῦ ἐκφοβεῖν. R. V.

1246. εἴ με λυπήσει πέρα : Ἀντὶ τοῦ (πέρα τοῦ) δέοντος. (παρατραγῳδεῖ καὶ αὐτός.)

[1247]. καὶ δόμους Ἀμφίονος : Ἐκ Νιόβης Αἰσχύλου. (ἐξέρριπται δὲ τὸ Ἀμφίονος ἐκ παρῳδίας.)

1248. κεραυνοφόρον γὰρ τὸ ζῷον. R. V.

1250. [παρδαλᾶς : Παρδάλεων δοράς. ἔπαιξε πρὸς τὴν πτέρωσιν αὐτῶν. κυάνεοι γάρ εἰσι.]

1252. εἷς τῶν γιγάντων ἐγένετο ὁ Πορφυρίων καὶ ὄνομα ὄρνιθος. V. — εἷς Πορφυρίων : Ὁ γίγας ὁ τῷ Διὶ πολεμήσας. ὃν ἐχειρώσατο Ἀφροδίτη.

1254. διαμηριῶ : Συνουσιάσω, ὡς ἐπὶ κόρης. *Vict.*

1256. τριέμβολον : Πολλάκις ἐμβαλεῖν δυνάμενον. μήποτε δὲ καὶ πλοίου τις ἦν κατασκευή. καὶ γὰρ δεκέμβολον Αἰσχύλος εἶπε τὴν τοῦ Νέστορος ναῦν ἐν Μυρμιδόσιν. — τριέμβολον οὖν. ἔστι δὲ ἐπίφθεγμα τάχους. R. V.

1258. εὐρὰξ πατάξ : (Ἐπιρρήματά τινα ἀνέπλασεν εἰς τὸ κακέμφατον.) ἔπλασεν ἐπίφθεγμα παρὰ τὸ εὑρέως σοι μιγήσομαι καὶ τὸ πατάξαι. ὅθεν καὶ χαμαιτύποι αἱ πόρναι. (καὶ Μένανδρος « πρώην ἄρας ἐπάταξα. »)

1261. (καταιθαλώσεις : Ταῦτα πρὸς τὴν Ἶριν λέγει ὡς ἑταιρίδιον. καταιθαλώσεις οὖν τῷ ἔρωτι.) — ἅμα δὲ πρὸς τὰ προκείμενα πρὸ ὀλίγου ὑπ' αὐτῆς. V.

1262. [ἀποκεκλήκαμεν : Κορωνὶς καὶ εἴσθεσις μέλους χοροῦ μεσῳδικὴ κώλων παιωνικῶν ς'. ὧν τὸ πρῶτον καὶ δεύτερον δίμετρα βραχυκατάληκτα, ἤτοι ἡμιόλια. τὸ γ' δίμετρον καταληκτικόν, ἤτοι ἐφθημιμερές. τὸ δ' ὅμοιον τῷ α'. τὸ ε' ὅμοιον τῷ γ'. τὸ δὲ ἕκτον δίμετρον ἀκατάληκτον διὰ τὴν ἀδιάφορον. ἓν τισι δὲ δύο κῶλα συνῆπται ταῦτα. ἐν ἐκθέσει δὲ στίχος ἰαμβικὸς τρίμετρος ἀκατάληκτος ὅμοιος τοῖς ἑξῆς. ἐπὶ τῷ τέλει κορωνίς.]

ἀποκεκλήκαμεν : Ἀπηγορεύσαμεν. — ἔν τισι δὲ κατὰ δύο κῶλα συνῆπται ταῦτα. R. V.

1267. τῇδε : Ἐνθάδε. *Vict.* ἀντὶ τοῦ ἐν τούτῳ τῷ τόπῳ ἐν ᾧ ἐστιν ἡ πόλις αὕτη. λέγει δὲ τὸν ἀέρα. τὸ ἑξῆς ἱερόθυτον καπνόν. R. V.

1269. δεινόν τε τὸν κήρυκα : Τοῦτο Ἀττικὸν τὸ σχῆμα. εἰσὶ γὰρ αἰτιατικαὶ ἀντὶ εὐθειῶν. ἀντὶ τοῦ ὁ κῆρυξ. ἐνδεῖ δὲ τὸ σχῆμα. ἔδει γάρ, ὁ κῆρυξ εἰ μὴ νοστήσει. [εἴσθεσις δὲ τῆς διπλῆς ἀμοιβαίας τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι μό'. ὧν τελευταῖος

ἐγὼ δ' ἐκείνων τοὺς προσιόντας δέξομαι.

ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα.]

1271. (ὦ Πεισθέταιρ' : Ἄγγελος πεμφθεὶς εἰς ἀνθρώπους ἐξ ὀρνίθων ὑποστρέφει λέγων, ὅτι πάντες ἥδονται οἱ ἄνθρωποι ὄρνιθας κρατεῖν.)

1273. ὦ κατακέλευσον : Οἱονεὶ σιωπὴν κήρυξον. οἱ γὰρ κελευσταὶ πολλάκις σιωπὴν παραγγέλλειν εἰώθασιν, σιώπα λέγοντες καὶ ἄκουε, καὶ τὰ ὅμοια. οὕτω Δίδυμος. Ἄλλως. ἐπεὶ πολλάκις εἴρηκεν ὦ καὶ οὐκ ἐπίσχει αὐτὸν ὁ Πεισθέταιρος, ὁ ἄγγελός φησι κατακέλευσον, ὥσπερ τοῖς ἐρέσσουσι, (καὶ ὦ, λέγει, παύσασθαι παρακελευσαί μοι. οὕτω Σύμμαχος). — κατακέλευσον : Σιγὴν πρόσταξον. *Vict.*

1281. ἐλακωνομάνουν : Τῆς τῶν Λακώνων ἥρων πολιτείας. (τοῦτο δὲ εἶπε διὰ τὸ ὑπερέχειν τοὺς Λάκωνας τῷ πολέμῳ τότε.) ἄρχεται δὲ διαβάλλειν. διαβάλλει δὲ καὶ τὸν Σωκράτην ὡς ῥυπαρὸν καὶ πένητα.

1282. ἐκόμων, ἐπείνων : (Εἰπὼν τὸ ἐκόμων καὶ τὰ ἑξῆς, ἐπιτηδείως ἐπάγει τὸ ἐσωκράτουν. τοιοῦτοι γὰρ οἱ φιλόσοφοι. ἐκόμων δὲ καὶ οἱ Λάκωνες ὡς τρυφῶντες.)

1283. σκυτάλι' ἐφόρουν : (Σκυτάλη ἤτοι Λακωνικὴ ἐπιστολὴ ἢ βακτηρία. ἐφόρουν γὰρ βαρείας βακτηρίας οἱ Λάκωνες. τοῦ δὲ σκυτάλιον τὸ α ἐκτείνεται, ὡς ἐν Ὀλκάσιν, ἔνθα καὶ τὸ Νικοφῶντος ἐξ Ἀφροδίτης Γονῶν παρετέθη « οὐκ ἐς κόρακας τὼ χεῖρ' ἀποίσεις « ἐκποδὼν ἀπὸ τοῦ σκυταλίου τε καὶ τῆς διφθέρας. » οὕτω Σύμμαχος. ὁ δὲ Δίδυμος σκυτάλια τὰς βακτηρίας, αἷς τὰ σκύταλα τύπτουσιν, ὅ ἐστι τοὺς τραχήλους *** « ἢ παύσει βάκτρῳ καλίνῳ σκύταλα Φρὺξ ἀνήρ. » Ἄλλως.) σκυτάλη ἐστὶ Λακωνικὴ ἐπιστολή. οὗτοι γὰρ μέλλοντες πέμπειν στρατηγὸν εἰς τὸν πόλεμον, ἐποίουν δύο ῥάβδους ἰσοπήχεις καὶ ἰσομήκεις, καὶ τὴν μὲν τῷ στρατηγῷ μέλλοντι ἐξιέναι εἰς πόλεμον ἐδίδουν, τὴν δὲ παρ' αὐτοῖς εἶων. καὶ ὅτε βούλοιντο ἀπόρρητόν τι σημᾶναι τῷ ἀπόντι στρατηγῷ, ταύτῃ λευκὸν δέρμα περιελίξαντες, ἔγραφον εἰς αὐτό. ὁ δὲ στρατηγὸς λαβὼν αὐτὸ καὶ περιελίξας τῇ παρ' αὐτῷ ῥάβδῳ ἀνεγίνωσκε.

(σκυτάλι' ἐφόρουν : Πάλιν ἀντὶ τοῦ ἐλακώνιζον. καὶ ὅτι Λακωνικὸν τὸ τῆς σκυτάλης.) [ἔγραφον δὲ οὐ μόνον ταῖς σκυτάλαις ἐγχαράσσοντες τὰς ἐπιστολάς, ἀλλὰ καὶ βακτηρίαις.]

1288. κατῆραν εἰς τὰ βιβλία : Ἐπαιξεν εἰς τὸ φιλόδικον, εἰπὼν εἰς τὰ βιβλία ἀντὶ τοῦ εἰς τὰ ψηφίσματα. Ἄλλως. ὡς ἐπὶ ὀρνίθων καθεζομένων. δέον δὲ εἰπεῖν εἰς τοὺς λειμῶνας.

1289. εἶτ' ἀπενέμοντ' ἐνταῦθα : Ἐνταῦθα συναλειμμένον ἀμφίβολόν ἐστιν. ὃ καὶ ἐπιτετήδευκε. διελόντι δὲ τὸ μέν ἐστιν ἐνέμοντο, τὸ δὲ, ἀπενέμοντο, τουτέστιν ἀνεγίνωσκον.

1290. ἀντὶ τοῦ τῶν ὀρνίθων ἐπιθυμοῦσιν, ὅ ἐστιν ἐρημίας. R.

1292. Πέρδιξ μὲν εἷς κάπηλος : Ὁ μὲν Πέρδιξ σαφῶς ὄνομα κύριον. Μενίππῳ δὲ ἐπώνυμον ἦν χελιδών. τὸ δὲ ἑξῆς κατὰ τὸ οἰκεῖον εἴληπται, τῷ Ὀπουντίῳ λέγω τὸ κόραξ, ὅτι ἅρπαξ καὶ ἀναιδής. ὅτι δὲ καὶ μονόφθαλμος οὗτος προείρηται. οὐ πάντως δὲ ὡς ἐπώνυμον. Ἄλλως. κάπηλος ἀντὶ τοῦ μάγειρος. ἔσκαζε δὲ οὗτος. εἴρηται δὲ ἐν τοῖς πρόσθεν, ὅτι χωλὸς οὗτος ὁ Πέρδιξ. ἀφ' οὗ φασὶ τὴν παροιμίαν, Πέρδικος σκέλος, ἐπὶ τῶν λεπτοπόδων. Ἄλλως. ὁ Πέρδιξ ὄνομα κάπηλου. χωλὸς δὲ ἦν οὗτος. μνημονεύει δὲ αὐτοῦ καὶ ἐν Ἀναγύρῳ· καὶ μὴν χθές γ' ἦν Πέρδιξ χωλός. (τούτου δὲ πολλοὶ μέμνηνται. ἀπὸ τούτου δέ φασι τὴν παροιμίαν, Πέρδικος σκέλος, ἧς καὶ Ἀριστοφάνης ἐν ταῖς ἀμέτροις παροιμίαις μνημονεύει.)

[1293]. Μενίππῳ δ' ἦν χελιδών : Διὰ τὸ ἱπποτρόφον εἶναι (καὶ καυτηρίᾳ τοῦτον χρῆσθαι) οὕτως ὠνομάσθη.

1294. Ὀπουντίῳ δ' ὀφθαλμὸν : (Δίδυμος·) ὡς τοιούτου τὴν ὄψιν ὄντος μνημονεύει αὐτοῦ καὶ μέγα ῥύγχος ἔχοντος (καὶ ὁ τὰς Ἀταλάντας γράψας, καὶ Εὔπολις ἐν Ταξιάρχοις. Σύμμαχος· φαίνονται τὸν Λυκοῦργον Αἰγύπτιον εἶναι νομίζοντες ἢ τὸ γένος, ἢ τοὺς τρόπους. Φερεκράτης Ἀγρίοις « οἶμαι δ' αὐτὸν κινδυνεύειν εἰς « τὴν Αἴγυπτον οἴκους λέξεις, ἵνα μὴ συνέχῃ τοῖσι « Λυκούργου πατριώταις. » μήποτε οὖν εἰς τὸ αὐτὸ καὶ Κρατῖνος Δηλιάσι « τούτοισι δ' ὄπισθεν ἴτω δίφρον « φέρων Λυκοῦργος | ἔχων καλάσιριν. » ὁ δὲ καλάσιρις, χιτὼν πλατύσημος. φησὶ δὲ Κηφισόδημος ὅτι Αἰγυπτίων ἡ λέξις. διαβάλλει δὲ αὐτὸν ἢ ὡς ξένον, ἢ ὡς πονηρόν.)

1295. κορυδὸς : Μήποτε ὀξυκέφαλος ἦν εἰς τὸ ἄνω καὶ ὀρνιθώδης τὴν κεφαλήν. ὅτι δὲ αἰσχρὸς ἦν καὶ ἐν Θεσμοφοριαζούσαις [168] δηλοῖ.

χηναλώπηξ : Πανοῦργος ἦν. διὸ ἀλώπηξ. καὶ ὅτι ἀναίσθητος καὶ φθονερὸς καὶ πονηρός. ὁ δὲ Δίδυμος Θεαγένη καὶ Φιλοκλέα φησὶν ὀρνιθώδεις εἶναι.

1296. Ἶβις Λυκούργῳ : Ἢ ὡς Αἰγυπτίῳ, ἢ ὡς μακροσκελεῖ. ἶβις δὲ ὄρνεον πλεονάζον ἐν Αἰγύπτῳ.

Χαιρεφῶντι : Ὁ Χαιρεφῶν μέλας καὶ ὠχρὸς προείρηται. (νυκτερὶς δὲ καὶ παρὰ τοῖς ἄλλοις.) οὗτος δ' ἂν εἴη Χαιρεφῶν ὁ Σωκρατικός.

1297. Συρακοσίῳ δὲ κίττα : (Οὗτος γὰρ τῶν περὶ τὸ βῆμα.) καὶ Εὔπολις ὡς λάλον ἐν Πόλεσι διασύρει (« Συρακόσιος δ' ἔοικεν, ἡνίκ' ἂν λέγῃ, τοῖς κυνιδίοισι « τοῖσιν ἐπὶ τῶν τειχίων. ἀναβὰς γὰρ ἐπὶ τὸ βῆμ' ὅλα« κτεῖ περιτρέχων. » δοκεῖ δὲ καὶ ψήφισμα τεθεικέναι μὴ κωμῳδεῖσθαι ὀνομαστί τινα, ὡς Φρύνιχος ἐν Μονοτρόπῳ φησί· ψῶρ' ἔχε Συρακόσιον. ἐπιφανὴς γὰρ αὐτῷ καὶ μέγα τύχοι. ἀφείλετο γὰρ κωμῳδεῖν οὓς ἐπεθύμουν. διὸ πικρότερον αὐτῷ προσφέρονται.)

Μειδίας δ' ἐκεῖ ὄρτυξ : ** Ὁ μὲν Δίδυμος οὕτως. ὁ δὲ Ἀμμώνιος ᾠήθη ἐξ ἐπιθέτου Μειδίαν ὄρτυγα καλεῖσθαι. γελοίως διὰ τὸ κυβευτὴν εἶναι καὶ ἐν γύρῳ τοὺς ὄρτυγας κόπτειν, (οὕτως αὐτὸν νῦν Ἀριστοφάνης προσεῖπε. δηλοῖ δὲ τοῦτο Ἀριστοφάνης [ἐν Περιαλγεῖ « χρηστὸν] μὴ κατὰ Μειδίαν ὀρτυγοκόπον. » λέγει δὲ ἐν Ποαστρίαις ὁ αὐτὸς, ὡς καὶ περὶ ἀλέκτορας αὐτοῦ ἐσπουδακότος. διαβάλλεται δὲ εἴς τε πονηρίαν, ὡς Πλάτων ἐν Νίκαις, καὶ κλοπὴν δημοσίων, ὡς Μεταγένης ἐν Ὁμήρῳ, καὶ συκοφαντίαν. κόβαλός τε ἐλέγετο εἶναι καὶ πτωχαλαζών, ὡς Φρύνιχος ἐν Ἐφιάλτῃ. ὁ δὲ Σύμ-

μαχος, ἦκεν, ἐώκει. ὄρτυγα δὲ λέγει, ὅτι ὀρτυγοκόπος ἦν, περὶ οὗ προείρηται. φέρεται δὲ ἐν τοῖς πλείστοις, ὑπὸ στυφοκόμπου. καὶ σαφὲς οὐδέν ἐστιν εὑρεῖν. Διονύσιος δὲ ὁ Ζώπυρος γράφει, ὑπ' ὀρτυγοκόμπου, καὶ ἐξηγεῖτο, ὅτι ἔγκειται τὸ μ. θέλει γὰρ εἰπεῖν τῶν ὀρτυγοκόμπων, ἐπεὶ καὶ αὐτὸς τῶν ὀρτυγοκόμπων.)

1299. [στυφόκομπος ὁ μάχιμος ὄρτυξ. παρὰ τὸ στερεῶς κόπτειν. (ὄνομα ὀρνέου ἔπλασε) παρὰ τὸ κολάπτειν τὴν κεφαλήν, ὃ συμβαίνει τοῖς ὄρτυξιν.]

1301. ὅπου χελιδὼν : Εἰς τὰ Σιμωνίδου μέλη αἰνίττεται « κυανέα χελιδών.»

1302. [ἡ πηνέλοψ : Ὁ πηνέλοψ νήττη μέν ἐστιν ὅμοιον, περιστερᾶς δὲ μέγεθος. μέμνηται δὲ αὐτοῦ Στησίχορος καὶ Ἴβυκος. Ἄλλως. τὰ μὲν ἄλλα ἐν συμπληρώματι. ὁ δὲ πηνέλοψ μείζων μὲν ἢ κατὰ νῆτταν, ὅμοιος δέ.]

1303. ἢ πτέρυγες ἢ (πτεροῦ) τι καὶ ὅπου μέρος τι πτεροῦ ἢ μόριον ὀρνέου ὑπῆρχεν ἐν ποιήματι, ἦδον αὐτό.

1309. (τὰς ἀρρίχους : Τὸ χ διὰ τὸ θηλυκῶς εἰπεῖν τὰς ἀρρίχους, ἡ ἀρρίχη. ἐξηγοῦνται δέ τινες κόφινον. ἡγητέον οὖν ἐκ μὲν τοῦ αὐτοῦ γένους εἶναι, διάφορον δέ τι. λέγουσι δὲ καὶ νῦν σωράκων τι εἶδος ἀρρίχους.)

1310. ταῦτα πρὸς τὸν Μανῆν λέγει. εἰς τὸ χορηγεῖν τοῖς βουλομένοις ὀρνιθωθῆναι. R. [ἐμπίπλη πτερῶν : Πρὸς τὸ χορηγεῖν τοῖς βουλομένοις ὀρνιθωθῆναι τῶν ἀνθρώπων εἴρηται ταῦτα. Ἄλλως. ἐμπίπλη.] (Ἀττικόν. ἦν γὰρ τὸ κοινὸν ἀπὸ τοῦ πίπλημι πίπλαθι, ὡς ἵσταθι. ὅμοιον δέ ἐστι καὶ τὸ

Κύκλωψ τῇ πίε οἶνον, —

παρὰ τῷ ποιητῇ [Od. I, 347]. Ἀττικοὶ γὰρ οὐ τρέπουσιν ἐπὶ τῶν εἰς μι τὸ μ εἰς τὸ θ ἐν τοῖς προστακτικοῖς, καὶ συστέλλουσι τὴν παραλήγουσαν ὡς ἡ κοινὴ, ἵστημι ἵσταθι, καὶ πίμπλημι πίμπλαθι, ἀλλὰ τελείαν ἀποβολὴν τῆς μι ποιούμενοι πίμπλη καὶ ἵστη λέγουσιν, ὥσπερ καὶ ἀπὸ τοῦ τῆμι τὸ τῆ.) — γέμισον. ἔστι δὲ Ἀττικῶς. R.

1313. [ταχὺ δ' ἂν πολυάνορα : Ἡ ἀμοιβαία αὕτη περίοδος ἔοικεν ἐκθέσει διπλῆς, κώλων οὖσα ἀναπαιστικῶν καὶ ἰαμβικῶν ιζ'. ὧν τὸ πρῶτον ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ β' ἰαμβικὸν δίμετρον καταληκτικὸν, ἤτοι ἐφθημιμερὲς, ὃ καλεῖται Ἀνακρεόντειον. τὸ γ' ὅμοιον. τὸ δ' ὅμοιον τῷ α'. τὸ ε' ὅμοιον τῷ β'. τὸ ς' καὶ τὸ ζ' ἀναπαιστικὰ πενθημιμερῆ. τὰ η', θ', ιγ' ὅμοια τῷ α', τὰ δ' ἄλλα τῷ β'. ἐπὶ τῷ τέλει αἱ συνήθεις διπλαῖ.]

1316. ἐμᾶς πόλεως : Λείπει ἀνθρώπους. ἕνεκα τῆς πόλεως τῆς ἐμῆς, φησὶ, κατέχουσιν οἱ ἔρωτες τοὺς ἀνθρώπους, ἀντὶ τοῦ, ἐρῶσιν οἱ ἄνθρωποι τῆς ἐμῆς πόλεως.

1317. (θᾶττον φέρειν : Τοὺς κοφίνους τῶν πτερῶν. δῆλον δὲ ὅτι ταῦτα πρὸς τὸν Μανῆν.)

1323. ὡς βλακικῶς : Ἀντὶ τοῦ βραδέως. Πεισθέταιρος πρὸς τὸν Μανῆν.

1326. σὺ δ' αὖτις ἐξόρμα : Ἀποστρέφει τὸν λόγον ὁ χορὸς πρὸς τὸν Πεισθέταιρον εἰσιόντα ἐπεῖξαι τὸν οἰκέτην. τὸ δὲ ἐξῆς ὅρμα αὐτὸν ὠδί.

1329. Μανῆς γάρ ἐστι δειλός : Ἀποφαντικῶς ἀντὶ τοῦ δειλαιος. πρὸς ἄλλον δὲ λέγει τύπτων τὸν Μανῆν. [εἴσθεσις δὲ χοροῦ, ἐπῳδικὴ μὲν διὰ τὸ μετὰ τὴν διπλῆν τίθεσθαι, προῳδικὴ δὲ διὰ τὸ προτίθεσθαι ἑτέρας περιόδου, κώλων ἀναπαιστικῶν ε'. ὧν τὰ α', β' πενθημιμερῆ. τὰ γ', δ' δίμετρα ἀκατάληκτα. τὸ ε' ἰαμβικὸν ἐφθημιμερές. ἐν ἐκθέσει δὲ τρίμετρα δύο. ἐπὶ τῷ τέλει κορωνίς.]

1331. διάθες τάδε κόσμῳ : Ἀντὶ τοῦ διάκρινον τὰ πτερὰ κατὰ τάξιν ἑκάστῳ ἀνδρὶ προσοικειώσας. (μουσικὰ δὲ λέγει) κύκνων καὶ ἀηδόνων, ὅτι μάλιστα εὔφωνά ἐστι. μαντικὰ δὲ κοράκων καὶ ἀετῶν καὶ τῶν λοιπῶν, ὅσοις οἰωνίζεται. (θαλάττια δὲ) λάρων καὶ αἰθυιῶν καὶ τῶν ὁμοίων.

1333. ὅπως πτερώσῃς ἕκαστον ἁρμοδίως. R. V.

1335. οὗτοι μὰ τὰς κερχνῆδας : Τύπτων τὸν δοῦλον τὸν Μανῆν ταῦτα λέγει ὁ Πεισθέταιρος. — σχήσομαι : Ἀνέξομαι. *R. Vict.*

1337. γενοίμαν ἀετὸς : [Εἴσθεσις ἑτέρας περιόδου κώλων καὶ στίχων λζ'. ὧν τὰ α' δύο ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα. τὸ τρίτον ἰαμβικὸν ἐφθημιμερές. τὸ ς' κῶλον μονόμετρον βραχυκατάληκτον. οἱ δ' ἄλλοι τρίμετροι. ἐπὶ ταῖς ἀποθέσεσι καὶ τῷ τέλει παράγραφος.] ἐν τοῖς Καλλιστράτου, ταῦτα ἐξ Οἰνομάου τοῦ Σοφοκλέους. πρόσεισι πατραλοίας ἀκηκοὼς τὰ ἐν ὄρνισιν νόμιμα, ὅτι ἐξὸν τὸν πατέρα τύπτειν. — λέγει δὲ ταῦτα ὑφ' ἡδονῆς ὁ παμπόνηρος. R.

1338. ἀτρυγέτου : Ἀκάρπου ἐπὶ ἀβύσσου καὶ ἠπείρου. *Vict.*

1339. λίμνας : Καὶ οὗτος λίμναν τὴν θάλασσαν εἴρηκεν.

1340. οὐ ψευδαγγελὴς : Οὐ ψευδῆ ἀπηγγελκέναι. — ἐπειδὴ ἐν τοῖς προτέροις ἔφη ὁ ἄγγελος πολλοὺς ἥξειν ἀνθρώπους. V.

1342. αἰβοῖ : Οὐ μόνον ἐπὶ σχετλιασμοῦ τὸ αἰβοῖ, ἀλλὰ καὶ ἐπὶ ἡδονῆς, ὡς καὶ νῦν.

(οὐκ ἔστιν οὐδὲν τοῦ πέτεσθαι : Μετὰ τοῦτον ἑνὸς στίχου φέρουσί τινες διάλειμμα, καὶ Ἀριστοφάνης πλήρωμα οὕτως

ἐρῶ δ' ἐγώ τι τῶν ἐν ὄρνισιν νομῶν.)

1346. πολλοὶ γὰρ ὀρνίθων : Γῦπες γὰρ καὶ κόρακες περὶ νεκροὺς νέμονται, οἱ δὲ λάροι τὴν θάλατταν. ποίας οὖν νομῆς τῶν πλησίων ἐπιθυμεῖς;

1348. ὡς πατραλοίας τοῦτον ἀποδέχεται τὸν νόμον. τοιοῦτοι δὲ οἱ ἀλεκτρυόνες. V.

1349. τὸν ὄρνιν ἐκεῖνον. V.

1350. ἀντὶ τοῦ πλήττει. R. V.

1352. τὰ χρήματα αὐτοῦ. V.

1354. ἐν ταῖς τῶν πελαργῶν κύρβεσιν : Κύρβεις χαλκαῖ σανίδες ἔνθα τοὺς νόμους γράφουσι. κατὰ δὲ ἐνίους,

ἄξονες τρίγωνοι ἐν οἷς ἦσαν οἱ τῶν πόλεων νόμοι γεγραμμένοι καὶ αἱ δημοσίαι ἱεροποιίαι, (καθάπερ καὶ Ἀριστοτέλης ἐν τῇ τῶν Ἀθηναίων πολιτείᾳ φησὶ καὶ Ἀπολλόδωρος. κύρβεις δὲ ἤτοι παρὰ τὸ κεκορυφῶσθαι εἰς ὕψος ἀνατεταμένον, ἢ ἀπὸ τῶν κορυβάντων. ἐκείνων γὰρ εὕρημα, ὥς φησι Θεόφραστος ἐν τῷ περὶ εὐσεβείας.) φησὶ δὲ Ἀριστοτέλης ἀληθῆ εἶναι τὸν περὶ τῶν πελαργῶν λόγον. ὁμοίως δὲ αὐτοῖς ποιεῖν καὶ τοὺς ἀερόποδας. διὸ καὶ ἐν τοῖς σκήπτροις ἀνωτέρω μὲν πελαργὸν τυποῦσι, κατωτέρω δὲ ποτάμιον ἵππον, δηλοῦντες ὡς ὑποτέτακται ἡ βία τῇ δικαιοπραγίᾳ. οἱ γὰρ πελαργοί, δικαιοπραγεῖς ὄντες, ἐπὶ πτερῶν βασταζουσι τοὺς πατέρας γεγηρακότας· οἱ δὲ ἱπποπόταμοι ζῷον ἀδικώτατον.

1360. ἀντὶ τοῦ οὐδενὸς κακοῦ ἀπολαύσεις, οὐδὲν πείσῃ. R.

1361. ὥσπερ ὄρνιν ὀρφανόν : Ὡς μὴ ἔχοντα πατέρα. θάρρει οὖν. οὐ γὰρ θρέψεις τὸν πατέρα. ἢ ὅτι καὶ οὕτως ἐστὶν ὄρνις καλούμενος.

1363. ἔμαθον ὅτε παῖς ἦ : [Ἀντὶ τοῦ ἦν Ἀττικῶς.] — γράφεται καὶ ἦν. αἱρετώτερον δὲ τὸ ἦ ἀντὶ τοῦ ἔα. V. Σύμμαχος· καθοπλίζει αὐτὸν τῇ μὲν πτέρυγι ὡς ἀσπίδι, τῷ δὲ πλήκτρῳ ὡς ξίφει, τῷ δὲ λόφῳ ὡς περικεφαλαίᾳ. Δίδυμος δέ· ἀντὶ μὲν τῆς πτέρυγος ἀσπίδα δίδωσιν αὐτῷ, ἀντὶ δὲ τοῦ πλήκτρου ξίφος. ἦλθε γὰρ ὡς ἀλεκτρυὼν πτερωθῆναι, ἐπεὶ ἐκεῖνοι τοὺς πατέρας τύπτουσι.

1365. [πλῆκτρον : Ὅπερ περιετίθεσαν τοῖς ἀλεκτρυόσι χαλκοῦν ἐν τῷ μάχεσθαι. καὶ παροιμία, αἶρε πλῆκτρον ἀμυντήριον. κἀκεῖνοι γὰρ ἔχουσι πλῆκτρα, οἷς μάχονται.]

πλῆκτρον θητέρᾳ : ξίφος ἢ δόρυ αὐτῷ δίδωσι. *V. Vict.*

1367. φρούρει, στρατεύου : Συμβουλεύει αὐτῷ ποιεῖν ἃ πρέπει νέοις (καὶ μὴ μάτην ἐκ τοῦ δημοσίου τρέφεσθαι). Ἄλλως. παρακελεύεται αὐτῷ στρατεύεσθαι καὶ μισθὸν λαμβάνειν, καὶ ἐκ τούτου ἀποτρέφεσθαι. μισθοῦ γὰρ στρατεύονται ὑπὲρ ἄλλων πόλεων. κωμῳδεῖ δὲ Ἀθηναίους ὡς μὴ στρατεύοντας.

1369. εἰς τἀπὶ Θράκης : Ἐπεὶ συνεχεῖς ἐγίνοντο αἱ στρατιαὶ ἐπὶ Θράκης τοῖς Ἀθηναίοις. ἢ ὅτι ἱερόν ἐστι χωρίον τοῦ Ἄρεως ἡ Θράκη.

1372. ἀναπέτομαι δὴ : [Ἡ ἀμοιβαία αὕτη περίοδος προῳδῷ χοροῦ ἔοικε, κώλων καὶ στίχων οὖσα ἀναπαιστικῶν καὶ ἰαμβικῶν ι', ἐπιμεμιγμένων τετραβράχεσιν. ὧν τὸ α' ἀναπαιστικὸν πενθημιμερὲς τοῦ α' ποδὸς τετραβράχεος. τὸ β' δίμετρον καταληκτικὸν εἰς δισύλλαβον. τὸ τρίτον δίμετρον βραχυκατάληκτον. οἱ δ', ζ', η' ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. τὸ ε' ἀναπαιστικὴ βάσις καταληκτικὴ εἰς δισύλλαβον. τὸ ς' ὅμοιον τῷ γ' τὸ θ' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ι' ἀναπαιστικὸν πενθημιμερές.] (ταῦτα παρὰ τὰ Ἀνακρέοντος « ἀναπέτομαι δὴ πρὸς Ὄλυμπον πτερύγεσσι κούφαις « διὰ τὸν ἔρωτ'· οὐ γὰρ ἐμοὶ παῖς ἐθέλει συνηβᾶν. » διὸ καὶ τὸ χ ἔχουσι οἱ δύο στίχοι.) — Κινησίας διθυραμβοποιός. R.

1374. ἄλλοτ' ἐπ' ἄλλαν : Τὸ ἀπ' ἄλλων εἰς ἄλλα μέλη τρέπεσθαι βούλεται δηλοῦν.

1375. τουτὶ τὸ πρᾶγμα φορτίου : Διὰ τὸ συνεχῶς αὐτὸν λέγειν πέτομαι (καὶ πτερύγεσσι). — εἰς τὸ ἀδιανόητον. ἐκ δὲ τῶν αὐτοῦ Κινησίου περιπλοκὴν ἔχει. V.

τὴν τῶν ὀρνίθων ὄῆλον· ἐπίτηδες δὲ ὡς ἀσαφῆ αὐτὸν διασύρει. *Vict.*

1377. σώματί τε νέαν ἐφέπων : Τινὲς ἐπέων. ἐπίτηδες ἀδιανοητεύεται, θέλων διαβαλεῖν τὰ Κινησίου ποιήματα ὡς ἀδιανόητα.

ἀσυνάρμοστον τὸ κῶλον τοῦτο προσέρραται. ἔδει γὰρ εἰπεῖν, ἀφόβῳ σώματι (πέτομαι γενεὰν ὀρίθων ἐφέπων), ἀντὶ τοῦ μετιών. — τὴν τῶν ὀρνίθων δηλονότι. R.

1378. φιλύρινον : Καλλίστρατος χλωρόν. ἡ γὰρ φιλύρα χλωρόν. χλωρὸς δὲ καὶ οὗτος. Εὐφρόνιος κοῦφον, ὡς ἂν διθυραμβοποιὸν εὐτελῆ, καὶ κοῦφα ποιοῦντα. τοιοῦτον γὰρ τὸ ξύλον κοῦφον καὶ ἐλαφρόν. διαβάλλει δὲ αὐτὸν καὶ ὡς χωλὸν (διὰ τοῦ « πόδα σὺ κυλλόν. »)

1379. τί δεῦρο πόδα σὺ κυλλόν : Ὅτι πολλάκις τὸ μὲν κυλλὸν ἐπὶ τοῦ ποδὸς ἔτασσον, ὡς ὁ ποιητὴς [Il. Φ, 331] « ὄρσεο κυλλοπόδιον. » τὸ δὲ χωλὸν ἐπὶ τῆς χειρὸς, ὡς Εὔπολις

ὅτι χωλός ἐστι τὴν ἑτέραν χεῖρ' οὐ λέγεις.

(καὶ Εὐφρόνιος μὲν χωλὸν εἶναι τὸν Κινησίαν φησίν. ἢ τάχα, ἐπεὶ πολλάκις ἐστὶ παρ' αὐτοῖς ποδὶ κούφῳ, ἢ ποδὶ λευκῷ, ἢ πόδα τιθείς, ἤ τι τοιοῦτον, τὸ κυλλὸν προσέθηκεν. Ἄλλως. Δίδυμος μὲν κύκλον, ἐπεὶ κυκλίων ἀσμάτων ποιητής ἐστι, κυλλὸν δὲ, ἐπεὶ χωλός ἐστιν. εἴρηται δὲ περὶ αὐτοῦ ἐν Βατράχοις [ad v. 1436]. ὁ δὲ Ἀριστοτέλης ἐν ταῖς Διδασκαλίαις δύο φησὶ γεγονέναι. Σύμμαχος οὕτως. Εὐφρόνιος· ἐπειδὴ κυλλὸς ἦν ὁ Κινησίας. τοῦτο δὲ οὐκ ἔστιν εὑρεῖν. ἀλλ' ἐπειδὴ πολὺ παρ' αὐτοῖς ἐστι τὸ ποδὶ λευκῷ, καὶ ποδὶ κούφῳ, καὶ πόδα τιθείς, ἤ τι τοιοῦτον, τὸ κυλλὸν προσέθηκεν.) — τὸ δὲ ἀνακύκλον ἐπειδὴ κυκλίων ἀσμάτων ποιητής ἐστι. R.

1381. λιγύφθογγος ἀηδών : Λιγύφθογγος ἔφη διὰ τὸν μόχθον καὶ τὸν θρῆνον τὸν ἡδυτάτως ἐξ αὐτῆς εἰς τὸν παῖδα γινόμενον. [γράφεται λιγύμυθος, ἢ λιγύμοχθος.]

1382. [παῦσαι μελῳδῶν : Εἴσθεσις περιόδου ἀμοιβαίας στίχων καὶ κώλων κη'. ὧν οἱ μὲν πρῶτοι ια' ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. τὰ ἑξῆς ὀκτὼ κῶλα ἀναπαιστικὰ ἐπιμεμιγμένα χορείοις ἢ τριβράχεσι καὶ προκελευσματικοῖς ἤτοι τετραβράχεσιν. ὧν τὰ δ' δίμετρα ἀκατάληκτα. τὸ ε' τρίμετρον βραχυκατάληκτον. τὰ δὲ ἑξῆς τρία δίμετρα ἀκατάληκτα οἱ ἑξῆς δὲ τούτων

θ′ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. ἐπὶ τῷ τέλει κορωνίς.]

1383. ὑπὸ σοῦ πτερωθεὶς : Βούλομαι, φησὶ, πτερωθῆναι ὑπὸ σοῦ, ἵνα διὰ τοῦ ἀέρος πετόμενος ἐξεύρω εἰς τὰ προοίμια λέξεις νιφοβόλους καὶ ἀεροδονήτους. (παίζει δὲ πρὸς τὰ ποιήματα τῶν διθυραμβοποιῶν· ἔθος γὰρ αὐτοῖς τοιαῦτα ἐπίθετα λέγειν. ἅμα δὲ καὶ πρὸς τὸ κοῦφον αὐτῶν.)

μετάρσιος : Ἐπηρμένος, ὑψωθείς. *Vict.*

1385. ἀναβολὰς : Προοίμια. R. V. λέξεις. *Vict.*

1387. κρέμαται μὲν οὖν : Οἷον ὕλη ἐστὶ τῶν ποιημάτων ἡμῶν ἡ τῶν νεφελῶν σύστασις.

1390. καὶ πτεροδόνητα : [Ἀντὶ τοῦ ταχέα.] ταῦτα γὰρ συμβαίνει τῷ ἀέρι. ὅθεν φησὶ τὰς λέξεις αὐτοὺς θηρᾶσθαι.

1393. ἅπαντα γὰρ δίειμί σοι : Ἅπαντα γάρ σοι τὰ περὶ τοῦ ἀέρος διεξέρχομαι. πλείστη γὰρ αὐτῶν ἡ λέξις τοιαύτη, ὁ δὲ νοῦς ἐλάχιστος, ὡς ἡ παροιμία « καὶ διθυράμβων νοῦν ἔχεις ἐλάττονα. »

1395. ὠόπ : Παρακελεύεται αὐτῷ παύσασθαι τοῦ ᾄδειν, ὡς οἱ ἐρέσσοντες. κέλευσμα γάρ ἐστι τὸ ὠὸπ τῶν ἐρεσσόντων καταπαῦον τὴν κωπηλασίαν.

τὸν ἁλαδρόμον : Τὸν εἰς ἅλα δρόμον. λείπει γὰρ ἡ εἰς. ἕνια τῇ συνθέσει ἀδιανόητα ποιοῦσι. ταῦτα δὲ οὐδὲ ταῖς λέξεσι συνετά. χλευάζει δὲ τοὺς διθυραμβοποιούς.

1397. καταπαύσω : Τοῦτο (ἅμα) λέγων ὁ Πεισθέταιρος παίει αὐτόν.

1398. στείχων : Βαδίζων. *Vict.*

1399. σῶμα : Τὸ ἐμόν. *Vict.*

1400. ἁλίμενον ἀϊθέρος : Τὴν τέλος οὐκ ἔχουσαν, οὐδὲ ὅρμον, ἀπὸ μεταφορᾶς τῶν νεῶν. τρόπον γὰρ πελάγους δοκοῦσι διανήχεσθαι τὸν ἀέρα οἱ ὄρνιθες.

1401. χαρίεντά γ' ᾧ πρεσβύτα : Ἔτι Κινησίας φησὶ τοῦτο πρὸς τὸν γέροντα τὸν Πεισθέταιρον τὸν τύψαντα αὐτόν. Ἄλλως. ἐπειδὴ κινεῖ αὐτὸν ὡς ἰσχνὸν ὄντα τῷ σώματι. λέγει δὲ ὅτι χαριέντως ἐσοφίσω, ἵνα τῷ κινεῖσθαι δοκῇς ἔχειν πτερά.

1402. [πτεροδόνητος γενόμενος : Ἀντὶ τοῦ πτεροῖς πληχθείς. παίζει δὲ πρὸς τὰ εἰρημένα.]

1403. τὸν κυκλιοδιδάσκαλον : Ἀντὶ τοῦ διθυραμβοποιόν. εἴρηται γὰρ ὅτι ἐγκύκλια διδάσκουσιν. (Ἀντίπατρος δὲ καὶ Εὐφρόνιος ἐν τοῖς ὑπομνήμασί φασι τοὺς κυκλίους χοροὺς στῆσαι πρῶτον Ἄασον τὸν Ἑρμιονέα, οἱ δὲ ἀρχαιότεροι Ἑλλάνικος καὶ Δικαίαρχος, Ἀρίονα τὸν Μηθυμναῖον, Δικαίαρχος μὲν ἐν τῷ περὶ Διονυσιακῶν ἀγώνων, Ἑλλάνικος δὲ ἐν τοῖς Κραναϊκοῖς.)

1404. ὡς ταῖσι φυλαῖς : Ἑκάστη γὰρ φυλὴ Διονύσου τρέφει διθυραμβοποιόν.

1406. Λεωτροφίδη : Ἐπειδὴ καὶ οὗτος τῶν σφόδρα λεπτῶν. ἢ ὅτι καὶ οὗτος διθυραμβοποιὸς κοῦφος. φησὶν οὖν, βούλει τῷ Λεωτροφίδῃ τὴν Κεκροπίδα φυλὴν διδάσκειν; ἀπὸ γὰρ ταύτης ἦν ὁ Λεωτροφίδης. τινὲς δὲ, ὅτι κοῦφος καὶ χλωρὸς ἦν, ὡς ἐοικέναι ὄρνιθι. Θεόπομπος δὲ ἐν ταῖς Καπηλίσι

> Λεωτροφίδης ὁ τρίμετρος (ὡς λεοντῖνος
> εὔχρως τε φάναι καὶ χαρίεις ὥσπερ νεκρός).

Ἄλλως. ἐπειδὴ καὶ οὗτος τῶν σφόδρα λεπτῶν. καὶ ὁ Κινησίας δέ. Ἕρμιππος Κέρκωψιν

> (ἀνάπηρά σοι θύουσιν ἤδη βοίδια
> Λεωτροφίδου λεπτότερα καὶ Θουμάντιδος.)

θέλεις οὖν καὶ τῷ Λεωτροφίδῃ χορὸν ὀρνέων διδάξαι;

1410. ὄρνιθες τίνες οἵδε : Συκοφάντης τις πενόμενος καὶ εἰς τὴν ἑαυτοῦ πενίαν ᾄδων ἐπειδὴ μηδὲν εἶχεν, ἐκ πρώτων λόγων συκοφαντεῖ τοὺς ὄρνιθας, ὡς ἐναντίως ἐχόντων τὸ σχῆμα τῆς φύσεως τῶν ὀρνέων. εἴη δ' ἂν εἰς τὸ σχῆμα τοῦ πρεσβυτέρου ἀφορῶν. Ἄλλως. τινὲς παρὰ τὸ Ἀλκαίου « (ὄρνιθες τίνες οἵδ') ὠκεανῶ « γᾶς ἀπὺ περράτων ἦνθον, πανέλοπες ποικιλόδειροι « τανυσίπτεροι, » καὶ παρὰ τὸ Σιμωνίδου « ἄγγελε κλυτὰ ἔαρος ἀδυόδμου κυανέα χελιδοῖ. »

1412. ἀντὶ τοῦ οὐ φαύλως κακόν. R.

1413. ὀχληρὸς ὤν. R.

1415. ποικίλα μάλ' αὖθις : (Τοῦτό φησι) πρὸς τὸ ῥυπαρὸν καὶ ποικίλον τοῦ ἱματίου αὐτοῦ.

1417. (οὐκ ὀλίγων χελιδόνων : Ἐπεὶ συνεχῶς χελιδόνας λέγει, τοιοῦτόν τι φησίν· ἔαρος χρῄζει. παλαιὸν γὰρ χιτῶνα ἔχει. μετείληφε δὲ τὸν νοῦν τῆς παροιμίας, μία χελιδὼν ἔαρ οὐ ποιεῖ.)

1418. τίς ὁ πτερῶν : Πρὸς τὸ σχῆμα ᾧ χρῶνται συνεχῶς οἱ νεώτεροι συγγραφεῖς. (τίς ὁ πτερῶν,) ἀντὶ τοῦ τίς πτεροῖ.

1420. [πτερῶν πτερῶν δεῖ : Παρὰ τὸ Αἰσχύλου ἐκ Μυρμιδόνων « ὅπλων ὅπλων δεῖ. »]

1421. μῶν εὐθὺ Πελλήνης : Ἐπεὶ ἐν Πελλήνῃ ἐν τοῖς Ἡραίοις ἆθλον ἐτίθετο χλαῖνα. [χλαῖναι δὲ διαφέρουσαι ἐν Πελλήνῃ γίνονται.] οἱ δὲ, ὅτι Ἑρμαῖα ἄγεται ἐν Πελλήνῃ τῆς Ἀχαΐας καὶ τοῦτο ἔπαθλον τίθεται.

1422. (κλητήρ εἰμι : Κλητὴρ λέγεται ὁ καλῶν εἰς τὸ δικαστήριον πάντας. σημαίνει δὲ ἡ λέξις καὶ τὸν μάρτυρα. νησιωτικὸς δὲ ὁ τοὺς τὰς νήσους οἰκοῦντας συκοφαντῶν καὶ εἰς δικαστήριον ἄγων.)

1424. πραγματοδίφης : Πράγματα ἐρευνῶν καὶ ζητῶν. *Vict.*

1425. περισοβεῖν : Περιίπτασθαι καὶ εἰς δικαστήριον καλούμενος.

1426. ὑπαὶ πτερύγων τί : Ἀντὶ τοῦ μετὰ πτερύγων. Ἡσίοδος [Scut. 283]

> τοί γε μὲν οὖν γελόωντες ὑπ' αὐλητῆρος ἕκαστος.

Ἀρχίλοχος « ᾄδων ὑπ' αὐλητῆρος. » Ἄλλως. ἀντὶ τοῦ σοφώτερόν φησι τὸ μετὰ πτερύγων καλεῖν.

[1427]. λῃσταί : Οἱ πειραταί. (καὶ Ὅμηρος [Od. Γ, 73] « οἷά τε λῃϊστῆρες. »)

1429. ἀνθ' ἕρματος : Ἀντὶ τοῦ λίθου. ἐπεὶ αἱ γέρανοι

ἐν τῷ στόματι ψήφους ἔχουσιν. Ἄλλως. πολλάκις γὰρ καὶ στηρίγματος ἕνεκα περιφέρουσι τοὺς λίθους αἱ γέρανοι πρὸς τὸ μὴ παραφέρεσθαι ἀνέμοις.

1432. οὐκ ἐπίσταμαι : Ἀντὶ τοῦ οὐ δύναμαι. (εἴρηται δὲ παρὰ τὴν παροιμίαν

πεζῇ βαδίζω· νεῖν γὰρ οὐκ ἐπίσταμαι.)

1435. ἢ δικορραφεῖν : Κατασκευάζειν δίκας. *Vict.*

1442. ὁ Διιτρέφης : Ἐπεὶ πλούσιος καὶ δυνάμενος ἱπποτροφεῖν οὗτος. εἴρηται δὲ περὶ αὐτοῦ ἀνωτέρω [799], ὅτι ὁ Διιτρέφης πυτινοπλόκος ὢν γέγονε φύλαρχος καὶ ἵππαρχος. Ἄλλως. ἵππαρχος γὰρ γενόμενος καὶ εὐτυχήσας συνεβούλευε καὶ ἄλλοις ἱππαρχεῖν.

1444. ἄλλος δέ τις. R.

1453. ἐπεὶ ἁρπακτικά. R.

[1455]. κᾆτ' ἐγκεκληκὼς : (Ἔγκλημα κατ' αὐτῶν γραψάμενος βραδυτῆτος. ἐνθαδὶ δὲ, ἤγουν) εἰς τὸ δικαστήριον.

1456. κᾆτ' αὖ πέτωμαι πάλιν : [Ἵνα πάλιν πεταθεὶς ἐν ταῖς νήσοις ταχέως ἄλλους] προκαλέσωμαι.

1457. ὅπως ἂν ὠφλήκῃ : Ἀντὶ τοῦ καταδικασθείη, [πρὶν φθάσαι ἐν τῇ Ἀττικῇ]. τοιοῦτόν τι θέλει λέγειν· ἵνα καλεσάμενός τινα εἰς δίκην, σὺ μὲν ὡς ἂν πετόμενος φθάσῃς πρὸ αὐτοῦ, εἶτα καταδικάσας αὐτὸν ἐξ ἐρήμου, πάλιν ἐπὶ τὰ αὐτοῦ πέτῃ, ἐν ὅσῳ ἐκεῖνος πλέων ἐνθάδε παραγίνεται.

1459. κἄπειθ' ὁ μὲν πλεῖ : Ἵνα, φησὶν, ἐκεῖσε ὢν, ὑπεύθυνος καὶ ἑτέρας δίκης ὁ ξένος γένηται ὑπὸ τοῦ βράδους, σοῦ φθάσαντος αὐτὸν ἐνθάδε.

1461. βέμβικος οὐδὲν διαφέρειν : Εὔστροφον καὶ εὐκίνητον δεῖ εἶναι. ὁ δὲ βέμβιξ ἐργαλεῖόν ἐστιν, ᾧ μάστιγι στρέφουσιν οἱ παῖδες. ἢ παίγνιον τῶν παίδων ὡς τροχὸς, ᾧ μάστιγι δερόμενος στρέφεται.

1463. Κορκυραῖα : Λέγεταί τις Κορκυραία μάστιξ. συνεχῶς δὲ παρὰ Κορκυραίοις ἀταξίαι γίνονται. διὰ τὸ στασιάζειν οὖν ἐπεπόλασε παρ' αὐτοῖς ἡ μάστιξ, ὥστε διπλαῖς χρῆσθαι μεγάλαις (καὶ ἐλεφαντοκώποις. Ἄλλως. λέγεταί τις Κορκυραία μάστιξ. Φρύνιχος Σατύροις « Κορκυραῖαι δ' οὐδὲν ἐπιβάλλουσι μάστιγες. » ὥστε καὶ εἰς παροιμίαν ἦλθε. Ἀριστοτέλης δὲ τὸ Κερκυραία μάστιξ λέγων φησὶν οὕτως· « διὸ καὶ τὰς « κώπας αὐτῶν ἐλεφαντίνας ἐποιήσαντο καὶ τῷ μεγέ« θει περιττάς. ὅθεν ἡ Κορκυραία ἐπεπόλασε μάστιξ, « καὶ εἰς παροιμίαν ἦλθε. » ταῦτα δὲ λέγων τύπτει αὐτόν.) — ἢ ὅτι οἱ Κορκυραῖοι χαλεπῶς τύπτουσιν. εἰπὼν δὲ τοῦτο τύπτει αὐτόν. R.

[1464]. πτερὼ μὲν οὖν : (Δυϊκῶς.) ἀντὶ τοῦ πτερὰ τὼ μάστιγε παρέλαβεν. ἴσως δὲ διπλῆ ἦν.

1465. ἀντὶ τοῦ στρέφεσθαι. R.

1467. οὐκ ἀπολιβάζεις : Συντόνως ἀναχωρήσεις. Junt. λιβὰς ἡ σταγών· ἧς οὐδὲν ταχύτερον ἐν τῷ πίπτειν. ἢ οὐκ ἐς κόρακας καὶ Λιβύην ἀποφθερεῖ.

1468. στρεψοδικοπανουργίαν : Διχῶς, στρουθοδικοπανουργίαν. ἀναχωρήσαντος δὲ αὐτοῦ τοῦτό φησι. συνέθηκε δὲ τὴν λέξιν παρὰ τὸ στρεβλὸν ἦθος καὶ συκοφαντικὸν αὐτοῦ καὶ τὴν δίκην καὶ τὴν πανουργίαν.

1470. [πολλὰ δὴ καὶ καινὰ : Ἡ στροφὴ αὕτη κώλων ἐστὶ τροχαϊκῶν καὶ ἰαμβικῶν ιϐ', καὶ ἡ ἀντιστροφὴ τοσούτων. καὶ ἰαμβικὰ μὲν δίμετρα τὰ ς', ιϐ'. τὰ δ' ἄλλα τροχαϊκὰ, τῇ μὲν δίμετρα, τῇ δ' Εὐριπίδεια. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος, τῆς δὲ ἀντιστροφῆς κορωνίς.]

1471. ἀντὶ τοῦ ἔπτημεν εἰς πολλὰ, καὶ παράδοξα εἴδομεν καὶ θαυμάσια. βούλεται δὲ κωμῳδῆσαί τινας.

1473. ἔστι γὰρ δένδρον πεφυκὸς : Δένδρῳ αὐτὸν ἀπεικάζει ἢ ὡς μέγαν ἢ ὡς ἀναίσθητον καὶ ξύλινον, ὡς ὁ ποιητὴς [Il. N, 437]

ἀλλ' ὥστε στήλην ἢ δένδρεον ὑψιπέτηλον.

ἔπαιξε δὲ ὡς ἐπὶ ὀρνίθων νεμομένων περὶ τὰ δένδρα. εἶτα διηγούμενος ποῖον εἶδεν ἔκτοπον δένδρον, ἐπάγει τὸν Κλεώνυμον. καρδίας δὲ ἀπωτέρω, ὡς ἄν τις εἴποι, μικρὸν ἀπωτέρω πόλεως. ἅμα δὲ καὶ εἰς τὸ ἀκάρδιον καὶ ἀνόητον αὐτοῦ.

1474. καρδίας ἀπωτέρω : Διὰ τὸ μακρὸν εἶναι καὶ δειλόν. ἅμα δὲ Καρδία ἐστὶν ὄνομα πόλεως. μιμεῖται οὖν τοποθεσίαν. ἢ καὶ ὡς ξένον αὐτὸν κωμῳδεῖ. Καρδία γὰρ πόλις Θρᾴκης, ἧς οἱ πολῖται Καρδιανοί. Ἄλλως. ἐν μὲν τῇ εἰρήνῃ μέγας καὶ λαμπρὸς, ἐν δὲ τῷ πολέμῳ ῥίψασπις. (διὸ καὶ καρδίας αὐτὸν εἶπεν ἀπωτέρω, τουτέστιν καρδίαν οὐκ ἔχοντα.)

1478. τοῦτο μὲν ἦρος : Τῷ γὰρ Μουνυχιῶνι μηνὶ τοῦ ἔαρος δικάζονται αἱ πρὸς τοὺς ξένους δίκαι.

1480. τοῦτο δὲ χειμῶνος : (Ὅτι ἔν τισι τὰ δύο κῶλα ἕν ἐστι, λέγω ἀπὸ « τοῦτο δὲ χειμῶνος » ἕως τοῦ, φυλλορροεῖ.) ἐπειδὴ ῥίψασπις ὁ Κλεώνυμος. ἔπαιξε δὲ πάλιν, ἐπεὶ τὰ δένδρα φυλλορροοῦσιν.

1485. [ἔνθα τοῖς ἥρωσι : Διὰ τὸ ὄνομά φησιν αὐτὸν τοῖς ἥρωσι συνδιάγειν.]

1487. ξύνεισι πλὴν τῆς ἑσπέρας : Ἀντὶ τοῦ, (τῇ) σκοτίᾳ. πέπυκται δὲ ἀπὸ τοῦ Σκυθῶν ἐρημία. χαριέντως δὲ τοῦτο, ὅτι σκότους ὄντος Ὀρέστης ὁ Τιμοκράτους λωποδυτεῖ τοὺς προστυγχάνοντας. τὰς νύκτας γὰρ μόνας ἐλῄστευεν Ὀρέστης.

1489. ἐντυγχάνειν αὐτόν. R.

1490. εἰ γὰρ ἐντύχοι τις ἥρωϊ : Ἥρωα αὐτόν φησι διὰ τὴν ὁμωνυμίαν τὴν πρὸς τὸν Ἀγαμέμνονος υἱὸν Ὀρέστην. οἱ ἥρωες δὲ δυσόργητοι καὶ χαλεποὶ τοῖς ἐμπελάζουσι γίνονται, καθάπερ Μένανδρος ἐν Συνεφήβοις. * * * ὅτι ἀγαθὸν γάμον χειμῶνος ὁ θεὸς δίδωσιν, οὐδ' ἥρωσιν εἰς τοῦτο δύναμιν, ἀλλ' ἀποπλήκτους μὲν ποιεῖν δύνανται, τὸ δὲ ὠφελὲς οὐ κέκτηνται. διό μοι δοκοῦσι καὶ οἱ τὰ ἡρῷα παριόντες σιγὴν ἔχειν, (ὡς Μυρτίλος ἐν Τιτανόπασί φησίν. ὁ δὲ Ὀρέστης λωποδύτης).

1493. πάντα τὰ 'πιδέξια : Ὀφθαλμοὺς καὶ κεφαλήν. οἷον τὰ δεξιὰ τῆς ὄψεως. ἐπλήττοντο γὰρ οἱ συντυγ-

χάνοντες αὐτῷ. ἅμα δὲ, ἐπεὶ οἱ ἐντυγχάνοντες νυκτὸς ἥρωσι διέστρεφον τὰς ὄψεις.

1494. οἶμοι τάλας : [Κορωνὶς εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι νη'. τὸ μέντοι ις' κῶλόν ἐστιν ἰαμβικὸν μονόμετρον ἀκατάληκτον. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.] ὁ Προμηθεὺς ἀπαγγέλλει αὐτῷ τινὰ συγκεκαλυμμένος.

ὅπως μή μ' ὄψεται : Ἤγουν δέδοικα. *Vict.*

1498. πηνίκ' ἔστιν ἄρα : Ἀντὶ τοῦ, ποία ὥρα ἐστὶ τῆς ἡμέρας. τοῦτο δὲ εἶπεν, ἐπεὶ ὥρας ἐξήταζον, οὐ καιρούς.

1500. ἢ περαιτέρω : Πλείω ἔμπροσθεν μετὰ τὸ τέλος ἄλλο. *Vict.* ἢ νύξ. R.

1502. ἀπαιθριάζει : Ἀντὶ τοῦ σκορπίζει, εὐδίαν ἄγει. συννεφεῖ δὲ ἀντὶ τοῦ συνάγει τὰ νέφη. οὐχ ὁρᾷ γὰρ ὁ Ζεὺς αὐτὸν νεφῶν ὄντων.

1503. οὕτω μὲν ἐκκαλύψομαι : Κεκαλυμμένος ὢν ἐκκεκάλυπται, καὶ ὁρᾷ αὐτὸν ὁ πρεσβύτης. ἔπαιξε δὲ, ὡς γὰρ ἐκείνου εἰρηκότος ὅτι ξυννεφεῖ τὰς νεφέλας, καὶ οὐκ ὄψεταί σε, φησὶν ἐκκεκαλύψομαι. ἢ ὡς ἐν κωμῳδίᾳ, ὡς καλόν τι ἀκούσας τὸ οἰμῴξε, ἀποκαλύπτεται φανερὸν αὐτὸν δεικνύς.

1504. (ὦ φίλε Προμηθεῦ : Γνωρίζει αὐτὸν ἀποκαλυφθέντα.)

1506. ἀπὸ γὰρ ὀλέσεις : Μέλλεις διαφθερεῖν. *Vict.* ὁ Ζεὺς δηλονότι. R.

1508. τουτὶ λαβών μου τὸ σκιάδειον : Κατασκευασμά τι τὸ σκιάδιον, ὅπερ ἔχουσιν αἱ κανηφόροι ἀπιοῦσαι εἰς τὰ Ἐλευσίνια ὑπὲρ τοῦ μὴ καίεσθαι ὑπὸ τοῦ ἡλίου. δίδωσι δὲ αὐτῷ τοῦτο, ἵνα καλύψῃ αὐτὸν καὶ μὴ ὁραθῇ ὑπὸ τοῦ Διός. — ἐν τοῖς Ἀτταλίοις εὗρον σκιάδιον καὶ ἐν τῷ παλαιῷ τῷ ἐμῷ. V. ὑπέρεχε ἀντὶ τοῦ κάλυπτε. V.

1512. ἀντὶ τοῦ καλύπτου τὸ σκιάδειον. R.

1514. πηνίκ' ἄττ' ἀπώλετο : [Ὅτι] οὐκ Ἀττικὸν τὸ πηνίκ' ἄττ' ἀπώλετο', (οὐδὲ ἀρχαϊκὸν, οὐδὲ ἀκριβές). ἔστι δὲ ἀντὶ τοῦ, πότε δῆτα. παρέλκει γὰρ τὸ ἄττα νῦν. ἀλόγως γὰρ κεῖται. οὔτε γὰρ τὸ τινά σημαίνει οὔτε τὸ ἄτινα. οὐδενὶ γὰρ τούτων ἁρμόζει τὸ πηνίκα.

1520. θυηλῶν : Θυσίων. *Vict.*

1521. πεινῶντες ὥσπερ Ἰλλυριοὶ : [Δίδυμος· ὥσπερ βάρβαροι.] ἀνέπλασε δέ τι γένος θεῶν βαρβάρων Τριβαλλῶν ἀνώτατον, οἷον ὥσπερ ἐπὶ τῶν ἀνθρώπων βάρβαρα ἔθνη πορρωτάτω καθεστήκασι. περὶ δὲ Θρᾴκην εἰσὶν οἱ Ἰλλυριοί. τινὲς δὲ Περσίδος φασὶν αὐτούς. οἱ γεωργεῖν μὲν οὐκ ἔχουσι γῆν, λῃστεύοντες δὲ τρέφονται. [τὸ δὲ κεκριγότες μίμησίς ἐστιν οὐκ εἰς τὸν ἦχον, ἀλλ' εἰς τὴν ἀσάφειαν τῶν βαρβαρικῶν διαλέκτων.]

κεκριγότες : Οἷον, ποιὰν φωνὴν ἀποτελοῦντες ἀπὸ λιμοῦ οἱ Τριβαλλοὶ θεοί. ἢ τὸ κεκριγότες εἰς τὴν ἀσάφειαν τῆς φωνῆς αὐτῶν. κρίγη γὰρ ὁ τῶν ἀποθνησκόντων τρισμὸς τοῖς ὀδοῦσι γινόμενος. ἀνωτέρω δέ φησιν αὐτοὺς οἰκεῖν, ὡς τῶν Ἑλλήνων ἀνωτέρω οἰκοῦσι καὶ πορρωτέρω οἱ βάρβαροι.

1522. ἐπιστρατεύσειν φασὶν : Ἔφασαν, φησὶν, οἱ Τριβαλλοὶ πολεμεῖν πρὸς τὸν Δία, ἵνα παρέξῃ αὐτοῖς τὴν δίοδον τῶν ἐμπορίων. παίζει δὲ εἰς τὸν νομιζόμενον τετειχίσθαι ἀέρα μεταξὺ, ὡς ἐκείνων ἀποκεκλεισμένων.

1527. ὅθεν ὁ πατρῷος : Ὅτι κατ' ἔλλειψίν ἐστι τοῦ Ἀπόλλωνος. δέον γὰρ εἰπεῖν ὁ πατρῷος Ἀπόλλων ἢ ἄλλος τις τῶν θεῶν. πατρῷον δὲ τιμῶσιν Ἀπόλλωνα Ἀθηναῖοι, ἐπεὶ Ἴων, ὁ πολέμαρχος Ἀθηναίων, ἐξ Ἀπόλλωνος καὶ Κρεούσης τῆς Ξούθου ἐγένετο. — ὅτι βάρβαρος Ἐξηκεστίδης προείρηται. R. V.

1530. (τοὐπιτριβείης : Παρὰ τὸ Τριβαλλός φησι παίζων γεγονέναι τὸ ἐπὶ ὕβρει ἐπιτριβείης.)

1536. καὶ τὴν Βασιλείαν σοι γυναῖκ' ἔχειν : Σωματοποιεῖ τὴν Βασιλείαν αὐτὸ τὸ πρᾶγμα ὡς γυναῖκα. Εὐφρόνιος, ὅτι Διὸς θυγάτηρ ἡ Βασιλεία. καὶ δοκεῖ τὸ κατὰ τὴν ἀθανασίαν αὐτῇ οἰκονομεῖν, ἣν ἔχει καὶ παρὰ Βακχυλίδῃ ἡ Ἀθηνᾶ τῷ Τυδεῖ δώσουσα τὴν ἀθανασίαν. ἔστι δὲ καὶ παρὰ Κρατίνῳ ἡ Βασιλεία. ἔνιοι δὲ αὐτὴν ἀθανασίαν καλοῦσι.

1541. [τὴν λοιδορίαν : Ὡς καὶ τοῦτο ἓν τῶν πολλῶν. εἰς αὔξησιν δὲ τῆς κωμῳδίας τοῦτό φησι.]

τὸν κωλακρέτην : [Τὸν ταμίαν τῶν πολιτικῶν χρημάτων.] Ἀριστοφάνης ὁ γραμματικὸς τούτους ταμίας εἶναί φησι τοῦ δικαστικοῦ μισθοῦ. οὐ μόνον δὲ τούτου τὴν ἐπιμέλειαν ἐποιοῦντο, ὥς φησιν, ἀλλὰ καὶ τὰ εἰς θεοὺς ἀναλισκόμενα διὰ τούτων ἀνηλίσκετο, ὡς Ἀνδροτίων γράφει οὕτως « τοῖς δὲ ἰοῦσι Πυθῶδε θεωρᾶς τοὺς « κωλακρέτας διδόναι ἐκ τῶν ναυκληρικῶν ἐφόδιον ἀργύρια, καὶ εἰς ἄλλο ὅ τι ἂν δέῃ ἀναλῶσαι. ταμίαι δὲ « ἦσαν, καὶ προεστῶτες τῆς δημοσίας σιτήσεως. »

τὰ τριώβολα : [Μίγνυσι καὶ ἐκ τῶν ὄντων παρὰ τοῖς Ἀττικοῖς. οὐχ εἱστήκει δὲ αὐτοῖς τὸ τριώβολον. πολλαχοῦ γὰρ καὶ δύο ὀβολοὺς εἰλήφασιν.] — τὰ τριώβολα, ἅπερ ἐλάμβανον οἱ κριταὶ οἱ ἐν ἡλιαίᾳ κρίνοντες εἰς μισθόν. R.

1546. ἀπανθρακίζομεν : Ἀντὶ τοῦ, ἄνθρακας ἐσθίομεν. ἔστι δὲ εἶδος ἰχθύος λεπτὸν, ὅπερ ὀπτῶντες ἐσθίουσιν. Ἄλλως. ὀπτὰς ἐσθίομεν. ἢ ἄνθρακας ζωπυροῦμεν. ὡς ἐν κωμῳδίᾳ δὲ τοῦ εὐτελεστέρου ἐμνήσθη, ἐπὶ ἄλλων μέγιστα ἰσχύοντος τοῦ πυρός.

1548. (θεομισὴς ἔφυς : Ὁ μέν φησι τῷ Προμηθεῖ ἴσον τι τῷ ὑπὸ θεῶν μισούμενος, διὸ καὶ ὀξυτόνως ἀναγνωστέον, ὁ δὲ τὸ ἕτερον δέχεται μισῶν θεοὺς, ὡς ὁ Τίμων ἀνθρώπους.)

1551. (δοκῶ κανηφόρῳ : Ταῖς γὰρ κανηφόροις σκιάδειον καὶ δίφρον ἀκολουθεῖ τις ἔχουσα. Ἑρμίππου Θεῶν « ὥσπερ αἱ κανηφόροι λευκοῖσιν ἀλφίτοισιν ἐν« τετριμμένοις. ἐγὼ δ' ἐνέκαψα λανθάνων τὴν διφρο« φόρον. » Νικοφῶντος Ἐγχειρογαστόρων « γενναῖ * * * « αὐτὸς ὀλίγον ἄναγε ἀπὸ τῆς διφροφόρου. χρηστὸς εἶ « καὶ κόσμιος. »)

1552. καὶ τὸν δίφρον γε διφροφόρει : Ἐπειδὴ εἶπεν,

ἵνα δόξω ἀκολουθεῖν κανηφόρῳ, λέγει παίζων, καὶ δίφρον βάσταζε.

1553. πρὸς δὲ τοῖσι Σκιάποσιν : [Ἡ παροῦσα στροφὴ κώλων ἐστὶ τροχαϊκῶν ἐπιμεμιγμένων χορείοις καὶ σπονδείοις ς'. καὶ ἡ ἀντιστροφὴ τοιούτων. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος, τῆς δ' ἀντιστροφῆς κορωνίς.] ταῦτα ἐξήγησίς ἐστι τῶν ἀνωτέρω. γένος δέ ἐστι περὶ τὸν δυτικὸν ὠκεανὸν πρὸς τῇ κεκαυμένῃ ζώνῃ. ὡς ἀψύχους δὲ διασύρει τοὺς φιλοσόφους (καὶ ὡς ἐπὶ σκιᾶς βαδίζοντας). Ἄλλως. τούτους ἔχειν βήματα φασὶ τοῦ παντὸς σώματος μείζονα· διὰ δὲ τὸ μὴ ἔχειν οἴκους, ἀλλ' ὑπὸ τοῦ καύματος ἀναλίσκεσθαι, τετραποδηδὸν βαδίζοντας ἀνορθοῦν τὸν ἕτερον τῶν ποδῶν, καὶ κατασκιάζειν τὸ λοιπὸν σῶμα. τοῦτο γὰρ αὐτοῖς ἐχαρίσατο ἡ φύσις, ἴσης οὔσης τῆς γῆς αὐτῶν καὶ τραχείας καὶ κατάδυσιν μὴ ἐχούσης εἰς ἀποφυγὴν τοῦ καύματος.

1555. ψυχαγωγεῖ Σωκράτης : Ἐπειδὴ λιτοὶ (οἱ φιλόσοφοί) εἰσι καὶ ἄτροφοι, διὰ τοῦτο τοὺς Σκιάποδας παρέλαβεν. μυθευόμενον δέ τι καὶ τοῦτο τὸ γένος ἐστίν. ἄλουτον δὲ εἶπε τὴν λίμνην, καθὸ ἀλουτοῦντες καὶ ῥυποφοροῦντες ἐφιλοσόφουν οἱ περὶ τὸν Σωκράτην.

1556. ἔνθα καὶ Πείσανδρος : Οὗτος δειλὸς ἦν. ἦλθεν οὖν ψυχὴν ἰδεῖν θέλων, ἐπεὶ οὐκ εἶχεν, ὡς Εὔπολις ἐν Ἀστρατεύτοις « Πείσανδρος εἰς Πακτωλὸν ἐστρατεύετο, « κἀνταῦθα τῆς στρατιᾶς κάκιστος ἦν ἀνήρ. » ἀπανταχοῦ δὲ ἦν δειλός. ἦν δὲ καὶ τὸ σῶμα εὐεκτὴς, ὡς Ἕρμιππος ἐν Ἀρτοπώλισιν (« ἐνέβαινε σιγῇ Πείσανδρος μέγας « αὐτὸς ὥσπερ Διονυσίοισιν οὐπὶ τῶν ξύλων, ἐλαίας ἔρει- « σιν ὄνον κανθήλιον. » καὶ δωροδοκῆσαί φησιν αὐτὸν Ἀριστοφάνης Βαβυλωνίοις διὰ τούτων « ἦ δῶρ' αἰτοῦν- « τες ἀρχὴν πολέμου πορίσειεν μετὰ Πεισάνδρου. ») δύο δέ εἰσι Πείσανδροι, καθάπερ Εὔπολις ἐν Μαρικᾷ φησιν

ἄκουε νῦν Πείσανδρος ὡς ἀπόλλυται.
ὁ στρεβλός; οὐκ ἀλλ' ὁ μέγας οὐνοκίνδιος.

καὶ Πλάτων ἐν Πεισάνδρῳ περὶ ἀμφοτέρων λέγει.

1559. σφάγι' ἔχων : (Ταῦτά φησιν) ὡς ἐπὶ τῶν ἀνακαλουμένων τὰς ψυχὰς ἐξ Ἅιδου.

κάμηλον ἀμνόν τιν' : Ἔπαιξεν εἰς τὸ Ὀνοκίνδιον αὐτοῦ εἰπὼν ἀμνὸν καμήλου· ἔστι γὰρ παμμεγέθης· δέον εἰπεῖν ἢ ἀρνειοῦ ἢ ἄλλου τινός.

[1562]. κἆτ' ἀνῆλθ' αὐτῷ : Ἐκ τῶν χθονίων ἀνῆλθεν. (ὡς αὐτοκλήτως δὲ παραβάλλοντα αὐτὸν εἰς τὰ δεῖπνα διαβάλλει.)

1563. [πρὸς τὸ λαῖμα τῆς καμήλου : Εὐφρόνιος, τὸν λαιμόν. καὶ γὰρ προείρηκεν ἧς λαιμοὺς τεμών. οἱ δὲ, ὅτι τὸ αἷμα. παραπεποίηκε δὲ παρὰ τὸ λαιμόν. ἔστι καὶ παρὰ Μενάνδρῳ ἐν Δαρδάνῳ

καὶ λαῖμα βακχεύει λαβὼν τὰ χρήματα.

γράφεται δὲ καὶ δέρμα. εἴρηται δὲ ἐκείνοις οὐδὲν σαφὲς, τοῖς γράφουσι δέρμα. οἱ δὲ ὅρμημα τὸ λαῖμα. ἔτι μέντοι τῶν περὶ τὴν Ἀσίαν τινὲς ἐπὶ τῶν ἀναιδῶν καὶ εὐτόλμων οὕτω λέγουσιν. ὅπερ συμφωνότερόν ἐστι τῷ παρὰ Μενάνδρῳ.]

1564. [Χαιρεφῶν ἡ νυκτερίς : Ἐπεὶ οὔτε νυκτερὶς ἡμέρας οὔτε οἱ φιλόσοφοι φαίνονται. καταδεδυκότες γὰρ φιλοσοφοῦσι.]

1565. τὸ μὲν πόλισμα : [Κορωνὶς εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρκα'. ὧν τελευταῖος

ἀλλὰ γαμικὴν χλαμίδα δότω τις δεῦρό μοι.

μετὰ δὲ τὸν ζ δ' στίχον κῶλά ἐστιν ἀντισπαστικὰ ς', ἐπιμεμιγμένα διιάμβοις, δισπονδείοις καὶ ἐπιτρίτοις, ἐφθημιμερῆ, πλὴν τοῦ πρώτου. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει κορωνίς.] [πρέσβεις παρὰ τῶν θεῶν Ποσειδῶν καὶ Ἡρακλῆς καὶ εἷς ἐκ τῶν βαρβάρων θεῶν ἦλθον.]

1567. οὗτος τί δρᾷς : Τοῦτο λέγει τῷ βαρβάρῳ τῷ συμπαρόντι αὐτῷ εἰς τὴν πρεσβείαν ὁ Ποσειδῶν, ὡς οὐκ ἐπιτηδείως περιστελλομένῳ τὴν ἐσθῆτα, ἀλλ' ἐπ' ἀριστερὰ περιβαλλομένῳ, ὥσπερ οἱ Θρᾷκες.

1569. Λαισποδίας εἶ τὴν φύσιν : Ὅτι τὴν κνήμην εἶχε σαθρὰν ὁ Λαισποδίας καὶ μέχρι τῶν κάτω περιεβάλλετο. [καὶ οἱ βάρβαροι δὲ τὰ σκέλη περιβέβληνται.] Λαισποδίας δὲ καὶ Δαμασίας ὡς κακόκνημοι διαβάλλονται. μνημονεύει δὲ αὐτῶν καὶ Εὔπολις ἐν Δήμοις

ταδὶ δὲ τὰ δένδρα Λαισποδίας καὶ Δαμασίας
αὐταῖσι ταῖς κνήμαισιν ἀκολουθοῦσί μοι.

τοῦτον δὲ τὸν Λαισποδίαν καὶ στρατηγῆσαί φησι Θουκυδίδης ἐν η' [86]. μέμνηται δὲ αὐτοῦ Φρύνιχος ἐν Κωμασταῖς, ὡς πολεμικοῦ γεγονότος. (Φιλύλλιος δὲ ἐν ταῖς Πλυντρίαις ὡς φιλοδίκου. εἶχε δὲ καὶ περὶ τὰς κνήμας αἰτίας τινὰς, ὥς φησι Στράττις ἐν Κινησίᾳ. διὸ καὶ κατὰ σκελῶν ἐφόρει τὸ ἱμάτιον, ὡς Θεόπομπος ἐν Παισί. Δημήτριον δὲ πάντες τὸν Ἰξίονα λέγουσιν ἐν ταῖς Ἀττικαῖς λέξεσιν ὡς γλῶσσαν ἐξηγεῖσθαι, ὅτι λαισποδίας ἐστὶν ὁ ἀκρατὴς περὶ τὰ ἀφροδίσια, ὥστε καὶ κτήνη σποδεῖν.)

1570. ὦ δημοκρατία : Ἔμιξεν ὡς ἐπὶ Ἀθηναίων. ἐπεὶ ἰσοτιμίας οὔσης συμβαίνει δημώδεις ἅμα τοῖς ἀξιοπίστοις ἀποστέλλεσθαι, ὥσπερ καὶ νῦν ὁ βάρβαρος εἰς μηδὲν χρήσιμον σὺν Ποσειδῶνι καὶ Ἡρακλεῖ ἀπεστάλη. [φησὶν οὖν, προάγεις ἡμᾶς ὦ δημοκρατία, ὅτι τοῦτον ἐχειροτόνησαν οἱ θεοί.] — προβιβᾷς : Προάγεις. *Vict.*

1571. ταῦτα θαυμάζων λέγει, ἐπειδὴ γέρων ἦν ὁ Πεισθέταιρος. R.

1577. [ἠρήμεσθα : Ἐχειροτονήθημεν.]

1578. [διπλασίως : Τοσοῦτον οὐ φροντίζω διαλλαγῶν.]

1582. ἐπικνῶ : Ἀντὶ τοῦ ἐπίβαλλε. — ἐπίτριβε. *Vict.*

σίλφιον : Εἶδος βοτάνης ἡδυόσμου, καὶ μάλιστα τὸ Κυρηναϊκόν. τὸ δὲ ὅλον πρόσκνισμα τοῦ Ἡρακλέους ποιῶν ὁ Πεισθέταιρος, δοκεῖ πρὸς μάγειρον οἰκεῖον διαλέγεσθαι ἐπὶ τῷ εὐτρεπίσαι δεῖπνον.

(1584). ἐπανιστάμενοι : Ἐπανάστασιν ποιησάμενοι ὡς ἀγρίων ὀρνίθων ἐπιθεμένων τυραννίδι καὶ εἰς βορὰν παραδεδομένων. [αὐτοῖσι δὲ, ἤγουν τοῖς κρέασιν.]

1589. [ἔλαιον οὐκ ἔνεστιν : Ἀντὶ τοῦ, οὐκ ἐλεοῦμεν, οὐ πειθόμεθα.]

1590. (λιπαρά γ' εἶναι πρέπει : Δοκεῖ, ἔοικε. τοῦτο δὲ ὁ Ἡρακλῆς λέγει ἔξωθεν τοῦ λόγου οἰκείως τῇ γαστριμαργίᾳ.)

1591. (ἡμεῖς τε γὰρ : Λοιπὸν εἰσηγεῖται ὁ Ποσειδῶν ὡς οὐκ ἀγαθόν ἐστι τὸ πολεμεῖν.)

1593. (ἐν τοῖς τέλμασιν : Ἀντὶ τοῦ, ἐν τοῖς φρέασι. κυρίως δὲ τὸ πηλῶδες καὶ μὴ ἔχον ὕδωρ.)

1594. (ἀλκυονίδας : Ἀντὶ τοῦ, εὔδιον ὅλον τὸν χειμῶνα. οὐχ ὡς νῦν ἑπτὰ τοῦ χειμῶνός εἰσιν, ὡς φασί τινες, αἱ ἀλκυονίδες.)

1595. (αὐτοκράτορες : Τούτων τῶν δογμάτων κρατοῦντες.)

1597. νῦν τ' ἐθέλομεν εἰ δοκεῖ : Μιμεῖται τοὺς Ἀθηναίους οἷα πρὸς τοὺς βασιλεῖς λέγουσι. τὸ δὲ ἑξῆς (οὕτω)· νῦν ἐθέλομεν, εἰ δοκεῖ, σπονδὰς ποιεῖσθαι.

1598. ἐάν τι δίκαιον : Εἰ ὅλως καὶ νῦν ἐπιγνώσεσθε τὸ δίκαιον.

1600. εἰς τοὐπίσω. R.V.

1603. ἐμοὶ μὲν ἀπόχρη ταῦτα : Ἐπαρκεῖ καὶ καλῶς ἔχει τὰ σκῆπτρα λαβεῖν ὑμᾶς. τοῦτο δὲ ὁ Ἡρακλῆς λέγει πεπεισμένος διὰ τὸ ἄριστον.

ἀπόχρη : Ἀρεστὰ φαίνονται. *Vict.*

1604. τί ὦ κακόδαιμον : Ἐπιπλήττει αὐτῷ ὁ Ποσειδῶν, ὡς διὰ τὴν γαστριμαργίαν προδιδόντα τὸν Δία.

1607. κάτω : Κάτω τοῦ οὐρανοῦ ὑμᾶς ὄντας, καὶ λέγει πῶς.

1608. οἱ βροτοὶ (δηλονότι). λανθάνοντες. R.V.

1609. ἐπιορκοῦσιν : Ψευδῶς ὀμνύουσιν ὑμᾶς. *Vict.*

1611. τὸν κόρακα καὶ τὸν Δία : Ἀντὶ τοῦ τοὺς ὄρνιθας καὶ τοὺς θεούς. ἀφ' ἑνὸς γὰρ τοὺς πάντας δηλοῖ.

1613. θέων : Τύπτων. *Vict.*

1614. νὴ τὸν Ποσειδῶ : Τοῦτο ὁ Ποσειδῶν λέγει μηδέπω ἐμφανίσας ἑαυτὸν, καὶ γελοίως καθ' ἑαυτοῦ ὄμνυσι.

1615. ναβαισατρεῦ : Βαρβαρίζων συγκατατίθεται ὁ βάρβαρος θεός. αἱ γὰρ ἄσημοι φωναὶ ἀντὶ συγκαταθέσεως.

1619. εὐξάμενος : Ὑποσχεθείς. διασοφίζηται : Ἐξαπατᾷ. *Vict.*

1620. μενετοὶ θεοὶ : Ἀνεξίκακοι καὶ οὐκ εὐθέως τιμωρούμενοι. Ἄλλως. παροιμία αὕτη μενετοὶ θεοὶ, οὐκ ἀπατηλοί. οἷον ἐπίμονοι καὶ βέβαιοι, οὐκ εὐεξαπάτητοι. μισητίαν δὲ οἱ μὲν περὶ Ἀριστοφάνη τὴν εἰς τὰ ἀφροδίσια ἀκρασίαν. καὶ τὸ « περὶ σφυρὸν παχεῖα μισητὴ γυνή » οὕτως ἐξηγοῦνται. μήποτε μέντοι γενικώτερόν ἐστιν ἀπληστία, ὃ καὶ νῦν ἐμφαίνεται.

1623. λούμενος : Ἀντὶ τοῦ λουόμενος. *Vict.*

1624. καταπτάμενος ἱκτῖνος κ. τ. λ. : Ἵνα καὶ ἁρπάσῃ ἱκτῖνος ἱμάτιον. *Vict.*

1625. ἀνοίσει : Ἀνάξει. *Vict.*

1628. ὁ Τριβαλλός : Ἀντὶ τοῦ, ὦ Τριβαλλέ. κατ' ἐρώτησιν δὲ [ὁ λόγος. δέον δὲ] εἰπεῖν, δοκεῖ σοι συνθέσθαι. Ἄλλως. ὁ Τριβαλλός. ἔοικε τοῦ Ποσειδῶνος εἶναι τοῦτο. πιθανῶς δέ· εἰώθασι γὰρ τοῖς βαρβάροις διαλεγόμενοι τῷ σχήματι ἐσπουδασμένως λοιδορεῖν ἢ καταρᾶσθαι.

1634. ἐγχωρῶ ἔχειν ὡς ἔχει. Ἄλλως. οὐ τῆς γυναικὸς αὐτοῦ ἐροῦμεν. R. V.

1636. ὀλίγον μοι μέλει : Ἀντὶ τοῦ, οὐ φροντίζω Ὅμηρος [Il. E, 800] « ἢ ὀλίγον οἱ παῖδα. » R.

1637. [τὸ κατάχυσμα χρὴ ποιεῖν γλυκύ : Τὸν ζωμὸν διὰ μέλιτος ποίει. πάλιν δὲ ἐρεθίζει τὸν Ἡρακλέα.]

1638. [ἀνθρώπων Πόσειδον : Παίζει, δέον εἰπεῖν τῶν θεῶν. περὶ δὲ γυναικὸς μιᾶς, ἤγουν τῆς Βασιλείας.]

1641. ὦ ζύρ' : Ἄθλιε. *Vict.*

1646. περισοφίζεται : Ἐξαπατᾷ. *Vict.*

1647. δεῦρ' ὡς ἔμ' ἀποχώρησον : Ὅτι ὅμοιον τῷ τόπῳ ἐκείνῳ

δεῦρ' ἐλθὲ, σὺν σοὶ τἄλλα βούλομαι φράσαι.

1648. διαβάλλεταί σ' ὁ θεῖος : Ὅτι τῷ διαβάλλεται χρῶνται ἐπὶ τοῦ ἐξαπατᾶν, ὡς καὶ Ἄρχιππος ἐν Πλούτῳ

ἔστιν δέ μοι καλῶς πρόφασις εὑρημένη·
τὸν γὰρ γέροντα διαβαλοῦμαι τήμερον.

παρόμοιον δὲ καὶ τὸ Ὁμηρικὸν [Il. Δ, 6] « παραβλήδην ἀγορεύων. » καὶ παρ' Ἀλκαίῳ « παραβάλλεταί σε. »

1649. ἀκαρῆ : Μικρὸν, ὀλίγον. μέτεστι : Μετουσία ὑπάρχει. *Vict.*

1653. ἐπίκληρον εἶναι τὴν Ἀθηναίαν : Εἰ μὴ ἦν γνησιωτέρα. ἐπίκληρος δέ ἐστιν ἡ μὴ ἔχουσα ἀδελφοὺς ἑτέρους συγκληρονόμους, ἀλλὰ μονοκληρονόμος οὖσα. νόμος ἦν Ἀθηναίοις, γνησίας μὲν οὔσης θυγατρὸς, νόθου δὲ υἱοῦ, μὴ κληρονομεῖν τὸν νόθον τὰ πατρῷα. καὶ νῦν οὖν, φησὶν, εἰ μὴ σὺ νόθος ἦς, οὐκ ἂν ἦν Ἀθηνᾶ ἐπίκληρος. (παίζει δέ.) τοὐναντίον γάρ, υἱῶν ὄντων γνησίων, οὐκ ἂν εἴη θυγάτηρ ἐπίκληρος. εἰσὶ δὲ καὶ τῷ Διὶ γνήσιοι υἱοὶ, Ἄρης καὶ Ἥφαιστος. ἀλλὰ ἐπαίνῳ τῆς Ἀθηνᾶς καὶ τῆς πόλεως τοῦτό φησιν, οὐ προσποιούμενος περὶ τῶν γνησίων.

1654. οὖσαν : Καὶ ταῦτα. *Vict.* γνησίων : Παίζει, δέον εἰπεῖν νόθων. R. V.

1656. νόθῳ ξαποθνήσκων : (Γράφεται νοθεῖα ὡς πρεσβεῖα. εἰ τὰ μὲν χρήματα ἐμοὶ, φησὶν, ὡς νόθῳ καταλείψει, τὴν δὲ ἀρχὴν τοῖς γνησίοις.) νόμος ἦν Ἀττικὸς, τοῖς νόθοις μέχρι πέντε μνῶν καταλιμπάνειν. ἦν οὖν ἐμοὶ μὲν τὰ χρήματα ἐάσῃ, ἐκείνοις δὲ τὴν ἀρχήν. προπερισπωμένως δὲ ἀναγνωστέον τὸ νοθεῖα. τὸ ἀργύριον γὰρ τοῖς νόθοις διὰ χειρὸς ἐδίδουν, ἐπειδὴ οὐκ ἐξῆν αὐτοῖς συγκληρονομεῖν.

1657. ἐπαίρει : Συνεπείθη. *Vict.*

1661. ἀγχιστείαν : Μετουσίαν τῆς οὐσίας. δοκεῖ δὲ πλάττεσθαι νόμον Σόλωνος. — ἀγχιστείαν : Μετοχὴν καὶ κοινωνίαν τῆς οὐσίας. *Vict.*

1662. γνησίων : Ὁ ἐξ ἰσονομῶν ἴδιος, οἰκεῖος. *Vict.*

1669. ἐς τοὺς φράτορας : Πάλιν ὡς ἐν κωμῳδίᾳ μετήγαγε τὰ Ἀθηναίων ἔθη ἐπὶ τοὺς θεούς. διὰ γὰρ τοῦ ἐγγραφῆναι εἰς τὰς φατρίας σύμβολον εἶχον τῆς εὐγενείας οἱ Ἀθηναῖοι. (Ἄλλως. εἰς τοὺς τῆς ἡλικίας νόμους. ἢ εἰς τοὺς φυλέτας. ἐπειδὴ τὰ ὀνόματα τῶν ξένων γράφεται εἰς τοὺς πίνακας.)

1671. τί δῆτ' ἄνω κέχηνας : Ὡς τοῦ Ἡρακλέους εἰς τὸν οὐρανὸν ἀναβλέψαντος μετ' ὀργῆς φησι, τί δῆτ' ἄνω βλέπεις, ὡς τυπτήσων τινά; τινὲς δὲ οὕτως· τί δῆτα ἐς τὰ ἄνω πράγματα ἀποβλέπεις αἰκισθησόμενος, ἐάν τι πάθῃ ὁ πατὴρ, ὑπὸ τῶν γνησίων; — αἰκίαν : Ἤγουν μάστιγα, ἤγουν ἀφορῶν αἰκίσαι καὶ μαστίξαι τινά. *Vict.*

1678. καὶ μεγάλα : Τὴν καλὴν καὶ μεγάλην κόρην Βασιλείαν γαμεῖν. — Δίδυμος οὕτως, εἰ μὴ ὀρνιθιάζει. R. V.

1680. μὰ τὸν Δί' οὐχ οὗτός γε : Μὰ τὸν Δία, φησὶν, οὐ λέγει παραδοῦναι, ἀλλὰ βαδίζειν καὶ ἀναχωρεῖν. οὕτω δὲ αὐτό φησι βαρβάρως καὶ δυσφράστως, ὥσπερ αἱ χελιδόνες. καὶ Αἰσχύλος τὸ βαρβαρίζειν χελιδονίζειν (φησὶ) καὶ Ἴων ἐν Ὀμφάλῃ τοὺς βαρβάρους, χελιδόνας ἀρσενικῶς φησιν, (ὡς Ἡρωδιανὸς ἐν τῷ πρώτῳ τῆς καθόλου φησίν. τὸ δὲ βασιλιναῦ εἰς τὸ βάσιν μετέβαλεν ὁ Ποσειδῶν, παρόσον τὴν δευτέραν ἐξέτεινε. τὸ τελευταῖον κρατήσας ὁ Ἡρακλῆς ἐξ αὐτοῦ κρίνει αὐτὸν, θέλων παραδοῦναι αὐτὸν τὴν Βασιλείαν τοῖς ὄρνισιν.)

1681. ὥσπερ αἱ χελιδόνες : Σύμμαχος· οὐκ ἔστιν ὁ τούτου νοῦς φανερός. οὐδέν τι δύναται ἴδιον τῶν χελιδόνων ἡ βάδισις, αἵ γε μηδὲ πορείᾳ χρῶνται ὡς τὰ ἄλλα τῶν ὀρνέων, καὶ μάλιστα τὰ μὴ πτητικά. ὁ δὲ Δίδυμος οὕτω· καταλλήλως εἶχεν, εἰ ἔλεγεν ὡς τὰς χελιδόνας. θέλει δὲ λέγειν, εἰ μὴ βαδίζει πρὸς τὰς χελιδόνας, διὸ καὶ ἐποίσει

οὐκοῦν παραδοῦναι ταῖς χελιδόσι λέγει.

ἐπεὶ καὶ αὐτὸς πρὸς αὐτὰς βαδίζει εἰς Νεφελοκοκκυγίαν.

[1688]. οὐτοιὶ : (Οἱ ὄρνιθες.) εὐκαίρως, φησὶν, κατεκόπησαν οἱ ὄρνιθες οὗτοι διὰ τὸ ἄριστον τῶν παρόντων γάμων.

1691. τενθείαν : σιναμωρίαν καὶ λιχνότητα. R. V. Vict. Λαιμαργίαν. *Vict.*

1692. εἶ : Πορεύῃ. *Vict.*

1694. ἔστι δ' ἐν Φαναῖσιν : [Εἴσθεσις χοροῦ ἐπῳδικὴ κώλων τροχαϊκῶν ὀκτὼ ἐφθημιμερῶν καὶ ἀκαταλήκτων διμέτρων. ἐπὶ τῷ τέλει κορωνίς.] ἐν ταῖς ἐκκλησίαις νῦν, φησὶν, εἰσί. παίζει δὲ, διασύρων τῶν Ἀθηναίων τοὺς συκοφάντας, παρὰ τὸ φαίνειν καὶ συκοφαντεῖν αὐτοὺς περὶ τὰ δικαστήρια. καὶ ἄλλως δὲ Φαναὶ τῆς Χίου χωρίον. καὶ Κλεψύδρα κρήνη ἐν ἀκροπόλει. παρὰ τοὺς ἐγχειρογάστορας δὲ πεποίηται. Ἄλλως. κρήνη ἐν ἀκροπόλει ἡ Κλεψύδρα, ἧς Ἴστρος ἐν τῇ ιϐ' μέμνηται, τὰ παρὰ τοῖς συγγραφεῦσιν ἀναλεγόμενος. οὕτως δὲ ὠνόμασται, ἐπειδὴ ἀρχομένων τῶν ἐτησίων πληροῦται, παυομένων δὲ λήγει, ὁμοίως τῷ Νείλῳ, ὥσπερ καὶ τὴν ἐν Δήλῳ κρήνην. εἰς ταύτην δέ φησιν ἡματωμένην φιάλην πεσοῦσαν ὀφθῆναι ἐν τῷ Φαληρικῷ ἀπέχοντι σταδίους εἴκοσι. φασὶ δὲ αὐτὴν ἀπέραντον βάθος ἔχειν, τὸ δὲ ὕδωρ ἁλμυρόν. ἔπαιξε δὲ πάλιν διασύρων τοὺς Ἀθηναίους ὡς φιλοδίκους, ἐπεὶ καὶ ἐν τῷ δικαστηρίῳ ἐστὶ κλεψύδρα, κατασκεύασμά τι ὥσπερ ὡρονομικόν.

1696. [ἐγγλωττογαστόρων : Παρὰ τοὺς ἐγχειρογάστορας πέπαικται.]

1699. συκάζουσί τε : Ὡς ἐπὶ γεωργῶν. συκάζειν γάρ ἐστι τὸ σῦκα ἐκλέγειν ἀπὸ τῶν συκῶν καὶ τὸ συκοφαντεῖν. ἐνέμεινε δὲ τῇ τροπῇ.

1701. Γοργίαι τε καὶ Φίλιπποι : ὁ Φίλιππος καὶ ὁ Γοργίας οὗτοι ῥήτορες λάλοι εἰσίν. κῦξησε δὲ τῷ πληθυντικῷ τὴν κατηγορίαν. Γοργίαν δὲ νῦν λέγει τὸν ῥήτορα οὗ Πλάτων μνημονεύει. ἦν δὲ καὶ ἕτερος ἰατρὸς, οὗ μνημονεύει Ἀλκαῖος ἐν Ἐνδυμίωνι. τοῦ δὲ Φιλίππου καὶ ἐν Γεωργοῖς μνημονεύει Ἀριστοφάνης. R. V. Leid. οὗτοι ὡς βάρβαροι κωμῳδοῦνται. R. *Vict.*

1705. ἡ γλῶττα χωρὶς : Σύμμαχος· πρὸς τὸ ἔθος, ὅτι μετὰ τῶν σπλάγχνων ἔτεμνον τὴν γλῶτταν. καὶ παρ' Ὁμήρῳ. οὗτος δὲ διὰ τὴν πονηρίαν τῶν δικαιολόγων φησὶν ἐκβεβλῆσθαι χωρὶς τὴν γλῶτταν. Δίδυμος δέ· ἐν ταῖς θυσίαις χωρὶς ἡ γλῶττα ἐτέμνετο, οὐ μετὰ τῶν ἄλλων σπλάγχνων. καὶ Ὅμηρος [Od. Γ, 332] « ἀλλ' ἄγε τάμνετε μὲν γλώσσας. » ἐγένετο δὲ τοῦτο δι' ἄλλην αἰτίαν. οὕτως δὲ βούλεται λέγειν, ὅτι ἐξεβλήθη ἐκ τῶν σπλάγχνων διὰ τοὺς ῥήτορας ἡ γλῶσσα, ἐπεὶ ταύτῃ τοὺς ἄλλους κακοποιοῦσιν. Ἄλλως. (ἀντὶ τοῦ, ὀφείλει τέμνεσθαι ἡ γλῶσσα καὶ χωρίζεσθαι τοῦ λοιποῦ σώματος.)

1706. [ὦ πάντ' ἀγαθὰ : Ἡ συστηματικὴ αὕτη εἴσθεσις ἐξ ἰάμβων ἐστὶ τριμέτρων ιδ'. ἐπὶ τῷ τέλει παράγραφος. εἴη δ' ἂν οὗτος ὁ ἄγγελος θεράπων συναναβεβηκὼς τῷ Πεισθεταίρῳ.] — ὦ μείζω λόγου : ἃ μηδὲ λόγος ἰσχύει φράσαι. R. *Vict.*

1713. οὐ φατὸν : Οὐ δυνατὸν λέγειν. *Vict.*

1714. Διὸς βέλος : Τῆς βασιλείας. λαβὼν γὰρ τὸν ταμίαν τοῦ κεραυνοῦ καὶ αὐτὸν ἄγει. [εἰώθασι γὰρ τῷ κεραυνῷ ἐξ ἑκατέρου μέρους πτερὰ προσφύειν.]

1715. ὁσμὴ δ' ἀνωνόμαστος ἐς βάθος : [Εἰς τὸ ὕψος τοῦ οὐρανοῦ.] (ἀνωνόμαστος δὲ,) ἀντὶ τοῦ πολλὴ καὶ λόγῳ οὐ δυναμένη ὀνομασθῆναι. — ἀνωνόμαστος : Ἄρρητος. *Vict.*

1717. διαψαίρουσι : Πρὸς τὴν τῆς λέξεως διαίρεσιν. διαψαίρειν δὲ τὸ ἡσυχῇ διακινεῖσθαι καὶ ψοφεῖν καὶ ψαίρειν ἱστίον λέγομεν. [πλεκτάνην δὲ,] τὴν εἵλησιν. αἱ δὲ αὖραι διακινοῦσι τὴν πλεκτάνην τοῦ καπνοῦ τῶν

θυμιαμάτων. λείπει δὲ τὸ πνέουσι. — διαψαίρουσι : Ψαίρειν, τινάσσειν, ῥιπίζειν, ἀσθενῶς τι ποιεῖν, ψαίειν, σύρειν. *Vict.*

1718. ὃδὶ δὲ καὐτός ἐστιν : Ὁ καπνός. *Vict.*

1720. ἄναγε, δίεχε : [Εἴσθεσις μέλους χοροῦ εἰς δύο περιόδους διηρημένη κώλων ιϐ'. εἰσὶ δὲ τῆς μὲν πρώτης τροχαϊκὰ ς' ἐπιμεμιγμένα χορείοις καὶ ἰάμϐοις. ὧν τὰ α', β', δ', ε' δίμετρα ἀκατάληκτα. τὸ γ' πενθημιμερές. τὸ ς' ἑφθημιμερές. τῆς δὲ δευτέρας ἐξ ἀναπαιστικῶν τὰ μὲν α', δ' δίμετρα ἀκατάληκτα. τὰ δὲ β', ε' ἀναπαιστικὴ βάσις. τὸ γ' πενθημιμερές. τὸ ς' ἑφθημιμερές. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος.] ἀντὶ τοῦ ὕμνει αὐτόν. χλευάζει δὲ παρὰ τὰ ἐκ Τρῳάδων Εὐριπίδου [308] « ἄνεχε, πάρεχε, φῶς φέρε. »

1731. [Ἥρα ποτ' Ὀλυμπία : Τὰ τοιαῦτα εἴδη καλεῖται τριὰς ἐπῳδική, καὶ εἰσὶ τῆς μὲν στροφῆς τὰ κῶλα ε', καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. εἰσὶ δὲ πάντα Ἰωνικὰ ἀπὸ μείζονος ἑφθημιμερῆ παντοίοις σύμμικτα ποσί. τῆς δ' ἐπῳδοῦ κῶλα ς' ἀναπαιστικὰ δίμετρα πλὴν τοῦ τελευταίου ἀκατάληκτα. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς καὶ ἀντιστροφῆς παράγραφος, τῆς δὲ ἐπῳδῆς κορωνίς.] — καλῶς τὸ ἐπιθαλάμιον γέγραπται. R. V. Vict.

1734. ἀντὶ τοῦ συνήγαγον. R. V.

1735. ἐν τοιούτῳ βασιλικῷ. R. V.

1736. εἴρηται περὶ τούτου ἐν τοῖς Μενανδρείοις ὅτι ἐν τοῖς γάμοις ᾄδετο.

1737. ὁ δ' ἀμφιθαλὴς : Ἀμφοτέροις τοῖς γονεῦσι θάλλων καὶ μηδενὸς ὠρφανισμένος. Ἄλλως. ὁ Ἔρως, φησὶ, παράνυμφος ἦν τοῦ Διὸς καὶ τῆς Ἥρας. πάροχοι γὰρ λέγονται οἱ παράνυμφοι, (παρὰ τὸ) παροχεῖσθαι τοῖς νυμφίοις. ἐπ' ὀχήματος γὰρ τὰς νύμφας ἄγουσιν.

1739. παλιντόνους : Ὀπισθοτόνους ἢ τοὺς ἐπὶ θάτερα τρεπομένους. *Vict.*

1740. πάροχος γάμων : Συνακόλουθος. *Vict.*

1744. τῶν περὶ τὸν Δία. R. V.

1745. καὶ τὰς χθονίας κλήσατε : Εὐφρόνιος, τὰς φοβερὰς. πάντα γὰρ τὰ δεινὰ τῆς γῆς γενεαλογοῦσιν. οἱ δὲ, τὰς μέγαν ἦχον ἀποτελούσας. ἢ τὰς ἀπὸ τῆς γῆς γινομένας. ὅτε γὰρ ἠχεῖ ἡ γῆ, ἀναπέμπει τὸν ἦχον εἰς τὸν οὐρανὸν, καὶ δοκοῦσιν οἱ ἄνθρωποι ἐξ οὐρανοῦ γίνεσθαι τὰς τοιαύτας βροντάς. ἢ τὰς μέχρι τῆς γῆς ἀκουομένας, ἢ τὰς τὴν γῆν κινούσας. — ἀντὶ τοῦ ὑμνήσατε. R. V.

1748. [ὦ μέγα χρύσεον : Εἴσθεσις ἑτέρα μέλους χοροῦ εἰς δύο διηρημένη περιόδους κώλων ιη'. ὧν τῆς πρώτης περιόδου ἀναπαιστικὰ ς', πλὴν τοῦ γ' καὶ τελευταίου ἀκαταλήκτων. τῆς δευτέρας κῶλα ιϐ'. τὸ α' δακτυλικὸν τρίμετρον ἀκατάληκτον. τὰ β', ς', θ', ια' ἰαμϐικὰ καταληκτικὰ δίμετρα. τὰ γ', δ', ε', ζ', ι', ιϐ' τροχαϊκὰ ἑφθημιμερῆ. τὸ η' ἰαμϐικὸν ἑφθημιμερές. ἐπὶ τῷ τέλει κορωνὶς ἡ καὶ τὸ δρᾶμα περατοῦσα.]

1749. ἀντὶ τοῦ ὦ κεραυνέ. R. V.

1751. αἷς ὅδε νῦν χθόνα σείει : Ὁ Ζεὺς δηλονότι, ἢ ὁ Πεισθέταιρος λαϐὼν τὴν Βασιλείαν.

1758. ὄρεξον ὦ μάκαιρα : Πρὸς τὴν Βασιλείαν φησὶ ὁ Πεισθέταιρος. εὐκαίρως δὲ τὴν κωμικὴν ὄρχησιν ποιεῖται.

1759. (καὶ πτερῶν ἡμῶν : Οἱ γὰρ ὄρνιθες πτεροῖς ἀντὶ χειρῶν ἐχρῶντο.)

1761. ἀντὶ τοῦ βαστάζω. R. V.

1764. τήνελλα : Τὸ τήνελλα μίμησίς ἐστι φωνῆς κρούματος αὐλοῦ ποιᾶς ἀπὸ τοῦ ἐφυμνίου οὗ εἶπεν Ἀρχίλοχος εἰς τὸν Ἡρακλέα μετὰ τὸν ἆθλον Αὐγέου « τήνελλα ὦ καλλίνικε, χαῖρε ἄναξ Ἡράκλεες, αὐτός τε « κἰόλαος, αἰχμητὰ δύω. » δοκεῖ δὲ πρῶτος Ἀρχίλοχος νικήσας ἐν Πάρῳ τὸν Δήμητρος ὕμνον ἑαυτῷ τοῦτον ἐπιπεφωνηκέναι.

ΛΥΣΙΣΤΡΑΤΗ.

ΥΠΟΘΕΣΕΙΣ.

I.

Λυσιστράτη τις Ἀθήνησι τῶν πολιτίδων καὶ τῶν Πελοποννησίων, ἔτι δὲ καὶ Βοιωτίων γυναικῶν σύλλογον ἐποιήσατο, διαλλαγὰς μηχανωμένη τοῖς Ἕλλησιν· ὀμόσαι δὲ ἀναπείσασα μὴ πρότερον τοῖς ἀνδράσι συνουσιάζειν, πρὶν ἂν πολεμοῦντες ἀλλήλοις παύσωνται, τὰς μὲν ἐξωπίους ἐμπριλὰς καταλιποῦσα ὀπίσω, αὐτὴ δὲ πρὸς τὰς κατειληφυίας τὴν ἀκρόπολιν μετὰ τῶν οἰκείων ἀπαντᾷ. συνδραμόντων δὲ πρεσβυτῶν πολιτῶν μετὰ λαμπάδων καὶ πυρὸς πρὸς τὰς πύλας, τὴν ἀναστολὴν ποιεῖται ἐξελθοῦσα, καὶ προβούλου τινὸς μετ' ὀλίγον παραβιάσασθαι μετὰ τοξοτῶν ὁρμήσαντος, εἶτα δὲ ἀποκρουσθέντος καὶ διαπυνθανομένου τί βουλόμεναι ταῦτα δεδράκασι, τὸ μὲν πρῶτόν φασιν ὅτι ἐγκρατεῖς γενόμεναι τοῦ ἀργυρίου μὴ ἐπιτρέψουσι τοῖς ἀνδράσιν ἀπὸ τούτου πολεμεῖν, δεύτερον δὲ ὅτι πολὺ ἄμεινον ταμιεύσονται καὶ τὸν παρόντα πόλεμον τάχιστα καταπαύσουσιν. οὗτος μὲν οὖν καταπλαγεὶς τοῦ θράσους ὡς τοὺς συμπροβούλους οἴχεται, ταῦτα μὴ παύσας· οἱ δὲ γέροντες ὑπομένοντες ταῖς γυναιξὶ λοιδοροῦνται. μετὰ ταῦτα αὐτῶν τινες αὐτομολοῦσαι μάλα γελοίως δι' ἀκρασίαν ὡς τοὺς ἄνδρας ἁλίσκονται· ἐγκαρτεροῦσι δὲ Λυσιστράτης ἱκετευούσης. Κινησίας τις τῶν πολιτῶν, ἀκρατῶς ἔχων τῆς γυναικὸς, παραγίνεται· ἡ δὲ χυτροτομοῦσα αὐτὸν ἐπαγγέλλεται μὲν, τὰ περὶ τῶν διαλλαγῶν δὲ σπουδάζει. ἀφικνοῦνται δὲ καὶ παρὰ Λακεδαιμονίων περὶ σπονδῶν κήρυκες, ἐμφανίζοντες ἅμα καὶ τὰς προτέρας γυναῖκας. συνταχθέντες δὲ σφίσιν οἱ Ἀθηναῖοι πρέσβεις αὐτοκράτορας ἀποστέλλουσιν. οἱ μὲν γέροντες εἰς ταυτὸν ταῖς γυναιξὶν ἀποκαταστάντες ἕνα χορὸν ἐκ τῆς διχορίας ἀποστέλλουσι· καὶ Λυσιστράτη τοὺς παραγενομένους πρὸς αὐτὴν ἐκ Λακεδαίμονος πρέσβεις ὀργῶντας διαλλάττεσθαι προσέλκει· καὶ ἑκατέρους ἀναμνήσασα τῆς παλαιᾶς εἰς ἀλλήλους γενομένης εὐνοίας διαλλάττει ἐν φανερῷ, καὶ ξενίσασα κοινῇ παραδίδωσι τὰς γυναῖκας ἑκάστοις ἄγεσθαι. ἐδιδάχθη ἐπὶ Καλλίου ἄρχοντος τοῦ μετὰ Κλεόκριτον ἄρξαντος. εἰσῆκται δὲ διὰ Καλλιστράτου.

II.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΓΡΑΜΜΑΤΙΚΟΥ.

Λυσιστράτη καλέσασα τὰς πολίτιδας,
ὑπέθετο φεύγειν μηδὲ μίγνυσθ' ἄρρεσιν,
ὅπως γενομένης νῦν στάσεως ἐμφυλίου,
τὸν πρὸς Λάκωνας πόλεμον αἴρωσιν λόγῳ
μένωσί τ' οἶκοι πάντες. ὡς δὲ συνέθετο,
τινὲς μὲν αὐτῶν τὴν ἀκρόπολιν διεκράτουν,
τινὲς δ' ἀπεχώρουν. αἵ τ' ἀπὸ Σπάρτης πάλιν
ταυτὸν διεβουλεύοντο. κῆρυξ ἔρχεται
λέγων περὶ τούτων. τῆς δ' ὁμονοίας γενομένης,
σπονδὰς θέμενοι τὸν πόλεμον ἐξώρισαν.

SCHOLIA IN LYSISTRATAM.

(Ἐκλήθη Λυσιστράτη παρὰ τὸ λῦσαι τὸν στρατόν.)

1. ἀλλ' εἴ τις Βακχεῖον : Καὶ γὰρ πολλὰς ἑορτὰς αἱ γυναῖκες ἔξω τῶν δημοτελῶν ἦγον ἰδίᾳ συνερχόμεναι.

2. ἢ Ἰς Πανός : Πανὶ ὠργίαζον (αἱ γυναῖκες μετὰ κραυγῆς). καὶ Μένανδρος ἐν Δυσκόλῳ « σιωπᾷ φασι « τούτῳ τῷ θεῷ οὐ δεῖν προσιέναι. »

ἢ Ἐπὶ Κωλιάδ' : Κωλιάδος Ἀφροδίτης ἱερόν (ἐστιν) ἐν τῇ Ἀττικῇ. ὁ δὲ τόπος καλεῖται Κωλιάς· ἔστι γὰρ ἐγκείμενος ὁμοίως ἀνθρώπου κώλῳ. καὶ οἱ ἐνοικοῦντες Κώλιοι. ἔνθα ὄστρακα κάλλιστα. καὶ ἡ Γενετυλλὶς δὲ γυναικεία θεὸς περὶ τὴν Ἀφροδίτην ἀπὸ τῆς γενέσεως τῶν παίδων ὠνομασμένη.

5. κωμῆτις : Ἀντὶ τοῦ γείτων. κῶμαι δὲ τὰ ἄμφοδα. ὅθεν καὶ τὸ ἐπικωμάσαι.

8. τοξοποιεῖν : Ἀντὶ τοῦ ἐσκυθρωπακέναι. ἀπὸ τοῦ παρακολουθοῦντος. τοιοῦτον γὰρ τὸ πρόσωπον τῶν ἐν μερίμνῃ ὄντων. Ὅμηρος [Il. O, 102]

οὐδὲ μέτωπον ἐπ' ὀφρύσι κυανέῃσιν ἰάνθη.

(καὶ Σοφοκλῆς « ὡς ἂν Διὸς μέτωπον ἐκταθῇ χαρᾷ. »)

13. (εἰρημένον : Ἀντὶ τοῦ εἰρημένου. Ἀττικῶς.)

14. φαύλου : Εὐτελοῦς.

17. ἐκύπτασεν : Ἀντὶ τοῦ ἐστράγγευσεν. κυπτάζειν ἐστὶ τὸ περί τι πονεῖν καὶ διατρίβειν. κομψῶς δὲ τῇ ἀμφιβολίᾳ καὶ χαριέντως ἐχρήσατο, καθὰ καὶ Σώφρων « ἐνθάδε κυπτάζουσι πλεῖσται γυναῖκες. »

20. ἀναγκαῖα.

22. συγκαλεῖς : Συνήγαγες.

23. μῶν καὶ παχύ : Ὡς πρὸς τὸ αἰδοῖον.

25. οὐχ οὗτος ὁ τρόπος : Ἀντὶ τοῦ οὐ κατὰ τοῦτον τὸν τρόπον λέγω τὸ πρᾶγμα εἶναι μέγα καὶ παχὺ, καθ' ὃν σὺ ὑπονοεῖς.

27. ἐρριπτασμένον : Γεγυμνασμένον καὶ ηὐρημένον. ὥστε μεριμνῶσάν με ῥιπτάζεσθαι καὶ στρέφεσθαι. τοιοῦτοι γὰρ οἱ μεριμνῶντες. βέλτιον δὲ ἀπὸ τῶν κύβων τὴν μεταφορὰν νοεῖν (ἀνερριμμένων, ὅπως ἂν ἔλθοι. καὶ γὰρ ἐπὶ τῶν κύβων ἀναβάλλομεν, μέχρις ἂν ἔλθῃ τὸ προκείμενον βληθῆναι).

31. ἐπ' ὀλίγου γὰρ εἴχετο : Ἀντὶ τοῦ μικρὰν ἔχουσι τὴν ἀφορμὴν τῆς σωτηρίας.

33. ἢ μηκέτ' εἶναι μηδὲ Πελοποννησίους : Μὴ πεισθέντας ἡμῖν (μήτε τοὺς Ἀθηναίους μήτε τοὺς Πελοποννησίους). ὡς φιλόπατρις δὲ ἀπεσιώπησε τοὺς Ἀθηναίους.

34. μηκέτ' εἶναι νὴ Δία : Πρὸς τοὺς Λακεδαιμονίους ἀπήντησε.

36. ἀλλ' ἄφελε τὰς ἐγχέλεις : Ἐν γὰρ τῇ Κωπαΐδι λίμνῃ μέγισταί εἰσιν ἐγχέλεις, ὥκουν τε τὴν Βοιωτίαν καὶ οἱ λεγόμενοι Ἐγχελεῖς, περὶ ὧν Ἑλλάνικος ἐν τοῖς Βοιωτιακοῖς φησίν. Ἄλλως. ἐπειδὴ ἀπὸ Κωπαΐδος λίμνης Βοιωτίας φέρονται ἐγχέλεις Ἀθήναζε.

37. οὐκ ἐπιγλωττήσομαι : Οὐ φλυαρήσω. οὐ βλασφημήσω.

38. ἀλλ' ὑπονόησον : Ὅτι ἀπολοῦνται δηλονότι.

41. ἡμεῖς : Αἱ Ἀττικαί.

43. ἐξηνθισμέναι : Ἄνθη φοροῦσαι. τοῖς ἄνθεσι κεκοσμημέναι, οἷον ψιμυθίῳ καὶ φύκει καὶ τοῖς ὁμοίοις.

45. καὶ Κιμβερίχ' ὀρθοστάδια : Κιμβερικὰ, ἢ Κιμβερινὰ, ὡς Ταραντῖνα, εἶδος ἐνδύματος, ἀπὸ τόπου. ὀρθοστάδια δὲ οἱ στατοὶ χιτῶνες, οἱ δὲ συρόμενοι συρτοί.

περιβαρίδας : Ὑποδήματος εἶδος αἱ περιβαρίδες, ὡς Θεόπομπος ἐν Σειρῆσιν « ὑποδοῦ λαβὼν τὰς περιβαρίδας. »

48. χἤγχουσα : Τὸ πλῆρες καὶ ἡ ἄγχουσα. ἔστι δὲ εἶδος βοτάνης, ἧς ἡ ῥίζα ἐρυθρὰ, ᾗ ἐρυθραίνουσι τὰ πρόσωπα αἱ γυναῖκες.

διαφανῆ : Οὐ τὰ λαμπρὰ, ἀλλὰ τὰ ἰσχνὰ, δι' ὧν διαφαίνεται τὰ σώματα τῶν γυναικῶν.

46. ταῦτ' αὐτὰ γάρ τοι : Ταῦτα γάρ ἐστι τὰ ὑποδήματα καὶ τὰ ἐνδύματα, ἃ σώζειν ἡμᾶς προσδοκῶ.

51. (κροκωτὸν ἄρα : Εἰ ἄρα οὕτως ἔχει, καλλωπισθήσομαι καὶ γραῦς οὖσα.)

55. οὐ γὰρ μὰ Δί' ἀλλὰ πετομένας : Οὐ μετὰ βραδυτῆτος ἥκειν ἔδει, ἀλλὰ πετομένας.

56. ὄψει τοι σφόδρ' αὐτὰς Ἀττικάς : Ὡς τῶν Ἀθηναίων ἀεὶ μελλόντων. καὶ τὰς γυναῖκας (γοῦν) ὄψει Ἀττικὰς ἀκριβῶς, οἷον μελλούσας ἐν τῷ πράγματι.

58. ἀλλ' οὐδὲ παράλων : (Τῶν ἐν παράλῳ οἰκουσῶν. παραλία γὰρ μοῖρα τῆς Ἀττικῆς·) διῄρητο γὰρ εἰς δ' μερίδας τὸ παλαιὸν ἡ Ἀττική· Πανδίων γὰρ διαδεξάμενος τὴν Κέκροπος βασιλείαν, προσκτησάμενος δὲ καὶ τὴν Μεγαρίδα, ἔνειμε τὴν χώραν τοῖς παισὶν εἰς δ' μοίρας· Αἰγεῖ μὲν τὴν παρὰ τὸ ἄστυ μέχρι Πυθίου, Πάλλαντι δὲ τὴν Παραλίαν, Λύκῳ δὲ τὴν Διακρίαν, Νίσῳ δὲ τὴν Μεγαρίδα.

59. (οὐδ' ἐκ Σαλαμῖνος : Ἡ Σαλαμὶς μοῖρα τῆς Μεγαρίδος.)

60. ἐπὶ τῶν κελήτων : Κέλης εἶδος πλοιαρίου μικροῦ. καὶ ἵππος δὲ κέλης ὁ γυμνός. λέγει οὖν ὅτι ἐν πλοίῳ εἰσὶν ἐρχόμεναι. ἀφ' οὗ νῦν κακεμφάτως ἐπὶ τῶν Σαλαμινίων τὸ αἰδοῖον φησί. ναυτικοὶ δὲ οἱ Σαλαμίνιοι, (ἐπεὶ καὶ νησιῶται).

62. τὰς Ἀχαρνέων : Εἰκότως, ἐπεὶ πολεμικοὶ οἱ Ἀχαρνεῖς. Ἄλλως. εἰκότως, ἐπεὶ ὁ δῆμος τῶν Ἀχαρνέων ἐτετίμητο, διὰ τοῦτο τὰς ἐκεῖθεν προσδοκᾷ γυναῖκας. ὁ δὲ Θεογένης κομπαστὴς Ἀχαρνεύς. ἐπειδὴ δὲ κέλητα εἶπεν, ἐπήγαγεν ἀκάτιον.

64. ἀκάτιον τὸ Ἑκάτης ξόανον. R.

67. Ἀναγυρουντόθεν : Δῆμός τις Ἀττικῆς, ἀπὸ Ἀναγύρου ἥρωος.

68. παρὰ τὴν παροιμίαν, κινήσω τὸν ἀνάγυρον. ἔστι δὲ πόα δυσώδης.

71. ἀντὶ τοῦ μεγάλου. R.

73. δεῖ : Ἀντὶ τοῦ δέει.

74. ὀλίγου γ' : Ἀντὶ τοῦ πρὸς βραχὺν χρόνον.

80. σφριγᾷ : Εὐσθενεῖ, εὐσωματεῖ.

81. εἰς ἐκεῖνο τείνει ὅτι εὐημέρουν τότε οἱ Λάκωνες. R.

ναὶ σιώ : Τοὺς Διοσκόρους λέγει. Λακωνικῶς δὲ φθέγγεται, ὡς αἱ Ἀττικαὶ νὴ τὼ θεὼ, (ἤτοι τὴν Κόρην καὶ τὴν Δήμητρα).

82. γυμνάδδομαι : Ἐν γὰρ τῷ γυμνάζεσθαι πηδᾶν εἰώθασι, καὶ οἱ πόδες ἅπτονται τῆς πυγῆς τοῦ πηδῶντος.

83. ὡς δὲ καλόν : Ὡς ἐκείνης ἁψαμένης αὐτῆς. τὰ γὰρ ἱερεῖα μέλλοντες θύειν ψηλαφῶσιν, εἰ λιπαρά ἐστι.

84. ψηλαφᾶτε R.

87. ποθ' ὑμέ : Ἀντὶ τοῦ πρὸς ὑμᾶς.

88. καλόν γ' ἔχουσα τὸ πεδίον : Λέγεται γὰρ ἡ Βοιωτία εὐπεδιὰς εἶναι.

89. κομψότατα : Κομψῶς ἔχουσα τὸ αἰδοῖον. ἁπτομένη δὲ αὐτοῦ τοῦτό φησι.

βληχώ γε : Τὴν λεγομένην βλήχωνα. παίζει δὲ εἰς τὸ γυναικεῖον αἰδοῖον αἰνιττομένη. Ἀττικοὶ δὲ διὰ τοῦ β λέγουσι τὴν βληχώ.

90. χαΐα : Ἀντὶ τοῦ ἀγαθὴ μέν, Κορινθία δέ. παίζει δὲ παρὰ τὸ κεχηνέναι.

91. Κορινθία : Πόρνη, διὰ τὴν Λαΐδα. ἀγαθὴ μέν, οὐ σώφρων δὲ, ἐπεὶ ἡ Κόρινθος πληθύει ταῖς πόρναις.

92. τἀντευθενί : Ἁπτομένη τῶν δύο φύσεων ταῦτά φησι. R.

93. ξυναλίαξε : Συνήθροισε.

94. μυσιδδέτω : Λεγέτω, τί θέλει ἡμᾶς.

100. εὖ γὰρ οἶδ' : Ὅτι διὰ τὸν πόλεμον οὐδεὶς πάρεστι.

103. φυλάττων Εὐκράτην : Στρατηγὸς Ἀθηναίων ὁ Εὐκράτης, κωμῳδεῖται δὲ ὡς δωροδόκος καὶ προδότης καὶ ξένος.

105. ἐκ τᾶς ταγᾶς : Ἐκ τῆς τάξεως.

106. πορπακισάμενος : Οἷον περονησάμενος. ἀντὶ τοῦ (ἀπολαβὼν τὴν ἀσπίδα) ἅμα τῷ παρεῖναι ἄπεισιν.

107. ἀλλ' οὐδὲ μοιχοῦ : Σκώπτει δὲ συνεχῶς Μιλησίους καὶ κωμῳδεῖ ὡς μοιχούς, ἐπειδὴ ἀπέστησαν τῶν Ἀθηναίων, καὶ πολλοὶ ἄλλοι τῶν νησιωτῶν.

φεψάλυξ : Οἷον ζωπύρημα καὶ σπινθήρ.

109. ὀλισβον : Αἰδοῖον δερμάτινον. καὶ τοῦτο εἰς τὰς Μιλησίας. παίζει δὲ ὡς τοῖς ὀλίσβοις χρωμέναις.

110. σκυτίνη ἐπικουρία : Παρὰ τὴν παροιμίαν, συκίνη ἐπικουρία, ἐπὶ τῶν ἀσθενῶν. ὁ δὲ εἰς τὴν σκυτίνην μετέβαλε. σκύτινοι γὰρ οἱ ὄλισβοι. εἰσὶ δὲ δερμάτινα αἰδοῖα, οἷς χρῶνται αἱ χῆραι γυναῖκες.

113. τοὔγκυκλον : Τὸ περιβόλαιον, (ἢ) τὸ ζωνάριον.

114. ἐκπιεῖν : Παρ' ὑπόνοιαν. δέον εἰπεῖν μάχεσθαι, ἐκπιεῖν εἶπε.

115. ψῆττα : Ὄρνεόν ἐστι τετμημένον κατὰ τὸ μέσον, ὡς οἱ σφῆκες. λέγει οὖν ὅτι κἂν συμβῇ τέμνεσθαι τὸ ἥμισύ μου, βούλομαι.

117. Ταΰγετον : Ὄρος Λακωνικῆς τὸ Ταΰγετον.

118. ἔλσομ' : Τὸ σ ἀντὶ τοῦ θ· ἔλθοιμι. ὡς δυσχεροῦς ὄντος τοῦ τόπου.

125. τί μοι μεταστρέφεσθε : Ὡς ἀηδισθεισῶν αὐτῶν καὶ μεταστραφεισῶν ἐπὶ τῷ λόγῳ.

126. τί μοι μυᾶτε : Ὥσπερ μύες καταδύεσθε, καὶ σκαρδαμύττετε, ἢ μύλλετε, ἢ μυκτηρίζετε. μυᾶν γὰρ τὸ τὰ χείλη πρὸς ἄλληλα συνάγειν.

132. παρατεμεῖν θ' ἥμισυ : Πρὸς τὸ παρ' αὐτῆς εἰρημένον.

133. ἀλλ' ἄλλ' ὅτι βούλει : Ἄλλο κέλευε, μὴ μέντοι δίχα συνουσίας ἡμᾶς εἶναι.

135. οὐδὲν γὰρ οἷον : Ἀντὶ τοῦ κωλῦον. οὕτως Ἀττικοί.

138. οὐκ ἐτὸς ἀφ' ἡμῶν εἰσίν : Ἀντὶ τοῦ οὐ ματαίως, ἀλλὰ δικαίως. εἰς τὴν Σοφοκλέους δὲ Τυρὼ ταῦτα συντείνει ἐκθεῖσαν τὰ τέκνα εἰς σκάφη.

139. οὐδὲν γὰρ ἐσμὲν πλὴν Ποσειδῶν : Ἀντὶ τοῦ πλὴν τῷ βουλομένῳ μίγνυσθαι. ὁ γὰρ Ποσειδῶν κατά τινας λαβὼν εἰς σκάφος Μελανίππην συνῆλθεν. ἔστι δὲ καὶ παροιμία ἐπὶ τῶν κυλινδομένων τῷ αὐτῷ πράγματι, ἄλλο δὲ μηδὲν νοεῖν ἀνεχομένων. (ὁ δὲ νοῦς· οὐδὲν ἐσμὲν, εἰ μὴ συνουσιάζειν καὶ τίκτειν. ὁ γὰρ Ποσειδῶν ἐμίγη τῇ Τυροῖ καὶ ἐγέννησε Νηλέα καὶ Πελίαν.)

140. σὺ γὰρ ἐὰν γένῃ : Τῇ Λαμπιτοῖ λέγει.

143. γυναῖκας ὑπνῶν : Κοιμᾶσθαι. Ἀττικὸν τὸ ὑπνῶν. τὸ γὰρ κοινὸν ὑπνοῦν.

145. μόνη τούτων γυνὴ : Μόνη γυνὴ δυναμένη μηχανὴν εὑρεῖν.

146. εἰ δ' ὡς μάλιστ' ἀπεχοίμεθα : Εἰ δ' ἀπεχοίμεθα τοῦ πέους, διὰ τοῦτο εἰρήνη γενήσεται; — τὸ ἀπέχεσθαι τῆς τῶν ἀνδρῶν συνουσίας. R. Bar.

148. νὴ τὼ θεώ : Τὴν Κόρην καὶ Δήμητρα λέγει, ὡς Ἀττική.

149. (ἐντετριμμέναι : Καλλωπισθεῖσαι, τὰς ὄψεις τριβεῖσαι.)

150. τοῖς ἀμοργίνοις : Οἱ μὲν χρώματος εἶδος τὴν ἀμόργην, οἱ δὲ ἀπὸ νήσου Ἀμοργοῦ τοὺς Ἀμοργίνους χιτῶνας, ὡς τὰ Θηραῖα ἀπὸ Θήρας νήσου.

151. δέλτα : Ἀντὶ τοῦ τὸ αἰδοῖον τὸ γυναικεῖον. τοιοῦτον γὰρ τὸ σχῆμα.

152. πλεκοῦν : Συνουσιάζειν, παρὰ τὸ πλέκεσθαι.

155. ὅγ' ὢν Μενέλαος : Ἡ ἱστορία παρὰ Ἰβύκῳ. (τὰ δὲ αὐτὰ καὶ Λέσχης ὁ Πυρραῖος ἐν τῇ μικρᾷ Ἰλιάδι.) καὶ Εὐριπίδης [Androm. 628] « ἀλλ' ὡς ἐσεῖδες μαστὸν ἐκβαλὼν ξίφος, φίλημ' ἐδέξω. »

μᾶλα πᾶ : Τοὺς μαστοὺς μῆλα φησίν.

157. ἦν ἀφίωσ' : Ἐὰν παρίδωσιν οἱ ἄνδρες.R.

158. (τὸ τοῦ Φερεκράτους : Ἐὰν ἡμᾶς παρίδωσιν οἱ ἄνδρες, τότε πάλιν ἐξέσται ὀλίσβοις χρήσασθαι, καὶ ἀποδέρειν τὰ ἀποδεδαρμένα σκύτη. Φερεκράτης ἐν δράματι εἶπε τοῦτο, ἔνθεν τάσσεται ἡ παροιμία ἐπὶ τῶν ἄλλο πασχόντων αὖθις ἐφ' οἷς πεπόνθασιν.)

κύνα δέρειν : Σχῆμά ἐστιν ἀκόλαστον εἰς τὸ αἰδοῖον. ἐν δὲ τοῖς σωζομένοις (Φερεκράτους) τοῦ κωμικοῦ τοῦτο οὐχ εὑρίσκεται.

159. (τὰ μεμιμημένα : Ἐπεὶ τῷ ὀλίσβῳ χρῶνται ἀντὶ τοῦ αἰδοίου. φλυαρία φησὶ τὰ ἀπὸ τῶν ἄλλων. λέγει δὲ τὰ εἰρημένα Φερεκράτους.)

160. εἰς τὸ δωμάτιον : Εἰς τὸ κοιτώνιον.

162. παρέχειν χρή : Συνουσιάζειν δηλονότι. τουτέστιν οὐκ ἐκ προαιρέσεως, ἀλλ' ἄνευ ἡδονῆς.

165. ἀπεροῦσιν : Ἀπαγορεύσουσιν καὶ παύσονται τοῦ πολέμου.

166. ξυμφέρῃ : Ἀντὶ τοῦ ἁρμόζηται.

170. Ἀσαναίων : Ἀθηναίων.

ῥυχάχετον : Τὸν θόρυβον καὶ συρφετόν.

171. μὴ πλαδδιῆν : (Μὴ παραφρονεῖν.) μὴ πολεμεῖν, μὴ πλησιάζειν.

173. οὐχ ἃς σποδᾶς : Οὐκ ἂν ἄγοιεν εἰρήνην οἱ Ἀθηναῖοι, ἕως ἂν θαλασσοκρατῶσιν καὶ τὸ ἀργύριον τὸ ἄδυσσον ᾖ παρὰ τῇ θεῷ ἐν τῇ ἀκροπόλει. καὶ γὰρ ἀληθῶς ἀπέκειτο χίλια τάλαντα. (ἤρξαντο οὖν κινεῖν αὐτὰ ἐπὶ Καλλίου ἄρχοντος, ἐφ' οὗ εἰσήχθη τὸ δρᾶμα, ὥς φησι Φιλόχορος ἐν Ἀτθίδι.)

σποδᾶς : Ἀντὶ τοῦ σπουδῆς.

176. ἀλλ' ἔστι καὶ τοῦτ' εὖ παρεσκευασμένον : Τὸ λαβεῖν τὸ ἀργύριον ἀπὸ τοῦ ἱεροῦ τῆς θεοῦ.

179. θύειν δοκούσας : Προσποιουμέναις θύειν.

180. πάντα γ' ἔχοι : Πάντα δ' ἔχοι καλῶς. καὶ τάδε γὰρ ἃ λέγεις καλῶς ἔχει.

183. ὡς ὀμιώμεθα : Ἀντὶ τοῦ ὅπως ὀμόσωμεν.

184. Σκύθαινα : Τὴν ὑπηρέτιν λέγει. Σκύθας γὰρ

καὶ τοξότας ἐκάλουν τοὺς δημοσίους ὑπηρέτας ἀπὸ τῆς ἀρχαίας χρήσεως.

188. (ὥσπερ φασὶν Αἰσχύλος ποτέ : Παρὰ τὰ ἐν Αἰσχύλῳ ἐν Ἑπτ' ἐπὶ Θήβαις [42]

ἄνδρες γὰρ ἑπτὰ θούριοι λοχαγέται
ταυροσφαγοῦντες εἰς μελάνδετον σάκος.)

189. μηλοσφαγούσας : Ἀντὶ τοῦ ταυροσφαγούσας μηλοσφαγούσας εἶπεν. εἰ μὴ ἄρα μῆλα πάντα τὰ τετράποδα.

191. εἰ λευκόν ποθεν ἵππον : Πρὸς τὸ αἰδοῖον παίζει τὸ λευκὸν ἵππον. λευκὸν μέν, ὅτι φάλης τὸ αἰδοῖον λέγεται, φάλιον δὲ τὸ λευκόν· ἵππον δὲ, ἐπεὶ καὶ κέλης λέγεται. ἢ παίζει κατὰ τὸν τύπον τῶν Ἀμαζόνων. γυναῖκες γὰρ οὖσαι λευκοὺς ἵππους ἔθυον.

195. κύλικα μεγάλην ὑπτίαν : Παίζει. ἐπεὶ καὶ ἡ ἀσπὶς ὑπτία τίθεται.

196. Θάσιον οἴνου σταμνίον : Ἐπιεικῶς λέγουσιν οἱ Ἀττικοὶ τὰ Θάσια κεράμια σταμνία.

197. μὴ πιχεῖν ὕδωρ : Δέον εἰπεῖν, μὴ λύειν τὴν εἰρήνην, εἶπε μὴ ἐπιχεῖν ὕδωρ, ἀλλ' ἄκρατον πιεῖν, εἰς μέθην κωμῳδῶν τὰς γυναῖκας.

200. κεραμέων ὅσος : Ὡς μεγάλης οὔσης τῆς κύλικος παίζει.

202. τοῦ κάπρου : Ἀντὶ τοῦ αἰδοίου. ἐπειδὴ οἱ ὀμνύοντες εἰώθασιν ἐφάπτεσθαι τοῦ ἱερείου.

205. καποπυττίζει : Ἀπορεῖ. ταῦτα δὲ λέγει μιμουμένη τοὺς θυοσκόους. (τουτέστι τοὺς ἱερεῖς). ταῦτα γὰρ ἐπέλεγον τοῖς θύμασιν εὐφημίας χάριν.

206. ἡδὺ προσόζει. R.

208. μὰ τὴν Ἀφροδίτην : Ἐπεὶ ἡ ὀμνύουσα πρώτη ἔμελλε καὶ πρώτη πιεῖν, τοῦτό φησιν, ὅτι κλήρῳ πᾶσαι ἔλαχον. ἐμπεδώσατε. ἀσφαλίσατε.

216. ὑπολύεταί μου τὰ γόνατα : Εἰρηκυῖα τὸν ἕνα στίχον . . . . . μνησθεῖσα ὅτι χωρίζεται τοῦ ἀνδρὸς, λέγει τὸ ὑπολύεταί μου τὰ γόνατα. ταῦτα φησὶν μία ὀμνύουσα, τῆς Λυσιστράτης προβαλλομένης τὸν ὅρκον.

217. ἀταυρώτη διάξω : Οἷον ἀγνὴ καὶ ἄμικτος. ταῦρον γὰρ τὸ αἰδοῖον λέγουσιν. ἄζευκτος γάμου καὶ ἀζυγής. καὶ βοῶπις ἡ Ἥρα καὶ Ζυγία καὶ Γαμηλία. ἐπεὶ οἱ ταῦροι κατωφερεῖς.

221. (ἐπιτυφῇ : Ἐπικαυθῇ καὶ πυρωθῇ ἐπ' ἐμοί.)

227. κακῶς παρέξω : Συνουσιάσαι αὐτῷ δηλονότι, (καὶ οὐ συντερφθήσομαι).

229. τὰ Περσικά : Εἶδος ὑποδήματος. ἐκ δὲ τούτου τοὺς πόδας οὐκ ἀνατενῶ, ἐν τῇ στέγῃ συνουσιάζουσα.

231. οὐ στήσομαι λέαινα : Ἀντὶ τοῦ ὡς λέαινα. σχῆμα δέ ἐστιν ἀκόλαστον καὶ ἑταιρικόν. τυρόκνηστις δὲ (ἡ) μάχαιρα. ἐπὶ δὲ ταῖς λαβαῖς τῶν μαχαιρῶν ἐλεφάντινοι λέοντες γλύφονται ὀκλάζοντες, ὅπως μὴ ἀποθραύοιντο αὐτῶν οἱ πόδες, εἰ ὀρθοὶ ἑστῶτες γλύφοιντο. λέγει οὖν, ὅτι οὐκ ἐπὶ ἀνδρὶ στήσομαι πορνεύουσα, ὡς λέαινα ἐπὶ τυροκνήστιδος.

233. ἀντὶ τοῦ ἀσφαλῆ φυλάττουσα. R. Bar.

237. ἐρωτηματικῶς λέγει. R.

238. καθαγίσω : Οἷον καύσω, καθιερώσω.

τὸ μέρος, ὦ φίλη : Καταλείψομαι μέρος, ὅπως ἡ φιλία ἐντεῦθεν ἄρξηται.

240. τίς ἁ ὀλολυγά : Ὀλολυξασῶν τῶν ἐν ἀκροπόλει γυναικῶν (τοῦτο λέγει).

244. τασδὶ δ' ὁμήρους : Τὰ ἐν συνθέσει διδόμενα ἐνέχυρα ὁμήρους ἐκάλουν.

τασδί : Τὰς θεραπαίνας φησί.

245. τῇ ἀκροπόλει φησί. R.

246. συνεμβάλωμεν : Συνέλθωμεν αὐταῖς, ὥστε τοὺς μοχλοὺς τοῦ ναοῦ βαλεῖν.

247. ἀντὶ τοῦ καθ' ἡμῶν. R.

250. ὡς ἀνοῖξαι τὰς πύλας : Ἐπὶ τῷ ποιῆσαι εἰρήνην.

252. ἀντὶ τοῦ μάτην. R.

253. ἄμαχοι : Ἀκαταμάχητοι καὶ δειναί.

χορὸς ἀνδρῶν γερόντων : Ἡ Στρυμόδωρος.

262. ἔχειν βρέτας : Κατέχειν τὸ ἅγιον βρέτας τῆς Ἀθηνᾶς.

263. λαβεῖν : Ἀντὶ τοῦ καταλαβεῖν.

265. πακτοῦν : Κλείειν, ἀσφαλίζεσθαι.

266. Φιλοῦργε : Ἐὰν ᾖ Φιλοῦργε ὡς πανοῦργε, ὄνομα κύριον· ἐὰν δὲ ὀξυτόνως, ἐπίθετον.

267. τὰ στελέχη τῶν ξύλων. R.

268. ἐνεστήσαντο : Ἔκριναν ποιῆσαι.

269. σωρεύσαντες. R. Bar.

270. ὑπὸ ψήφου μιᾶς : Ἀπὸ μιᾶς γνώμης καὶ κρίσεως.

τὴν Λύκωνος : Τὴν Ῥοδίαν λέγει οὕτω καλουμένην, τὴν Αὐτολύκου μὲν μητέρα, γυναῖκα δὲ Λύκωνος, ἐπ' αἰσχροῖς κωμῳδουμένην. Εὔπολις Πόλεσιν « ὥσπερ ἐπὶ τὴν Λύκωνος ἔρρει πᾶς ἀνήρ. »

272. ἐγχανοῦνται : Ἐπεγγελάσουσι.

273. Κλεομένης : Λακεδαιμόνιος ὢν στρατηγὸς, ἐπιστρατεύσας τῇ Ἀττικῇ μετά τινων Ἀθηναίων ἐπὶ τυραννίδι, τὴν ἀκρόπολιν κατέσχε. πολιορκηθεὶς δὲ ὑπὸ τῶν Ἀθηναίων καὶ ἀφεθεὶς ὑπόσπονδος, ἀπιὼν οἴκαδε πάλιν Ἐλευσῖνα κατέσχε. τῶν δὲ μετὰ Κλεομένους Ἐλευσῖνα κατασχόντων Ἀθηναῖοι τὰς οἰκίας κατέσκαψαν καὶ τὰς οὐσίας ἐδήμευσαν, αὐτῶν δὲ θάνατον ἐψηφίσαντο. καὶ ἀναγράψαντες εἰς στήλην χαλκῆν ἔστησαν ἐν πόλει παρὰ τὸν ἀρχαῖον νεών.

275. ἀψάλακτος : Ἀπαθὴς, ἀτιμώρητος.

276. Λακωνικὸν πνέων : Ἰσχυρόν. ἢ τὰ Λακώνων φρονῶν.

277. παραδοὺς ἐμοί : Τῷ δήμῳ τὰ ὅπλα παραδούς.

279. ἀπαράτιλτος : Ἀντὶ τοῦ δασὺς καὶ ἄκοσμος τὰς τρίχας.

282. ἐφ' ἑπτακαίδεκ' ἀσπίδας : Ὅτι τὰς τάξεις ἀσπίδας ἔλεγον, (καὶ αὐτὸς πάλιν Ἀριστοφάνης ἐν Βαβυλωνίοις

ἵστασθ' ἐφεξῆς πάντες ἐπὶ τρεῖς ἀσπίδας.)

ἐπὶ τάξεσιν ἑπτακαίδεκα καθεύδων, ὥστε τὸ βάθος τῆς φρουρᾶς ἑπτακαίδεκα κατέχειν ἀσπίδας.

283. τασδὶ δὲ τὰς Εὐριπίδης : Τὰς γυναῖκας. μισογύνης γὰρ ὁ Εὐριπίδης καὶ πολλὰ κατ' αὐτῶν λέγων.

284. τολμήματος : Ἐκείνου περιεγενόμην, τῶν δὲ γυναικῶν τοῦ τολμήματος οὐ περιγένωμαι;

285. μή νυν : Ἀντὶ τοῦ μὴ δή. τρόπαιον δὲ τὸ ἐν Μαραθῶνι τὸ κατὰ Περσῶν. (ἡ γὰρ Μαραθὼν τῆς Τετραπόλεως μέρος. τὰ δὲ λοιπὰ Οἰνόη, Προβάλινθος, Τρικόρυθος.)

286. ἀλλ' αὐτὸ γάρ μοι τῆς ὁδοῦ : Ἀντὶ τοῦ πλησίον γεγόναμεν τῆς ἀκροπόλεως. καὶ οὗτός ἐστιν ὁ μεταξὺ ὀλίγος τόπος ὁ λειπόμενος.

288. τὸ σιμὸν, οἳ σπουδὴν ἔχω : (Τὸ πρὸς τὴν ἀκρόπολιν.) τὸ σιμὸν ὄνομα χωρίου περὶ τὴν ἀκρόπολιν. (τὸ σιμόν) ἀντὶ τοῦ πρόσαντες. ἢ ὄνομα χωρίου. (καὶ ἐν Βαβυλωνίοις « μέσην ἔρειδε πρὸς τὸ σιμόν. » καὶ Πλάτων ἐν Νίκαις

τουτὶ προσαναβῆναι τὸ σιμὸν δεῖ.)

289. ἐξαμπρεύσομεν : Τὸ τῷ ἕλκοντι ζεύγει βοηθεῖν ἀμπρεύειν λέγεται. καὶ ἄμπρον τὸ διῆκον σχοινίον.

ἐξαμπρεύσομεν : Ἕλξομεν τὸ ξύλον τοῦτο ἄνευ ὄνου.

291. ἐξιπώκατον : Θλίβουσιν, ἢ ἐθλίψατον. τὼ ξύλω δυϊκῶς.

293. φυσητέον : Ἐν χύτρᾳ πῦρ εἶχον δι' ἀνθράκων.

294. μή μ' ἀποσβεσθὲν λάθῃ πρὸς τῇ τελευτῇ τῆς ὁδοῦ : Μὴ μετὰ τὸ διελθεῖν τὴν ὁδὸν σβεσθῇ.

φῦ φῦ : Φυσᾷ τῷ στόματι. (τοῦτο δὲ παρεπιγραφή.)

298. τὼ ὀφθαλμὼ δάκνει : Δάκνει μου τοὺς ὀφθαλμοὺς ὥσπερ κύων. παρὰ τὰς λήμας δὲ τὸ Λήμνιον πέπαιχεν. ἔστι δὲ παρὰ τὴν παροιμίαν, Λήμνιον κακὸν, παρὰ τὰς Λημνιάδας γυναῖκας.

299. (Λήμνιον τὸ πῦρ : Ἀντὶ τοῦ πάνυ γενναῖον. ἢ ἀπὸ τῶν Λημνίων γυναικῶν, πορνῶν οὐσῶν. ἢ ἀπὸ τῶν καμίνων τοῦ Ἡφαίστου.)

300. πάσῃ μηχανῇ : Ἀντὶ τοῦ κατὰ πάντα τρόπον.

301. (ἔβρυκε τὰς λήμας : Λήμας νῦν τοὺς ὀφθαλμούς. ἔστι δὲ κυρίως ἡ τῶν ὀφθαλμῶν ἀκαθαρσία.)

302. σπεῦδε πρόσθεν ἐς πόλιν : Ὡς πρός τινα λέγει.

304. φῦ φῦ : Φυσᾷ πάλιν.

307. εἰ τὼ μὲν ξύλω : Δυϊκῶς πάλιν τὼ ξύλω. λέγει δὲ ἃ ἐβάσταζε ξύλα.

308. τὸν φανὸν ἐγκαταθέντες : Φανὸν μὲν πᾶν τὸ φαῖνον ἐκάλουν. ἐκ δὲ τῶν ἀμπελίνων τὰς λαμπάδας κατεσκεύαζον εἰς ἕξαψιν, ὡς καὶ ἐν Λημνίαις φησί.

309. κριηδόν : Δίκην κριοῦ. κριὸς γὰρ χαλκοῦν μηχάνημα, ὃ τοῖς τείχεσι προσφέρουσιν οἱ βάρβαροι.

312. φεῦ τοῦ καπνοῦ : Ὑπὸ τοῦ καπνοῦ ἀδικούμενος τοῦτό φησι.

313. τῶν ἐν Σάμῳ στρατηγῶν : Δίδυμος καὶ Κρατερός φασι ταῦτα αἰνίττεσθαι εἰς Φρύνιχον τὸν Στρατονίδου. ἐκακοηθεύσατο γὰρ πρὸς τὸν δῆμον ἐν Σάμῳ στρατηγῶν· ὥστε ἐψηφίσατο κατ' αὐτοῦ ὁ δῆμος δημόσια εἶναι τὰ Φρυνίχου χρήματα καὶ τῆς θεοῦ τὸ δέκατον μέρος, καὶ τὴν οἰκίαν κατεσκάφθαι αὐτοῦ. καὶ ἄλλα πολλὰ κατ' αὐτοῦ ἔγραψεν ἐν στήλῃ χαλκῇ. καὶ ἐν Βατράχοις [689]

κεἴ τις ἥμαρτε σφαλείς τι Φρυνίχου παλαίσμασιν.

Ἄλλως. οἱ ἐν Σάμῳ στρατηγοῦντες ἐδυστύχησαν πάνυ. λέγει οὖν, τίς ἐκείνων συλλάβοιτο τοῦ ξύλου, ἵνα πλέον δυστυχήσῃ.

314. ταυτὶ μὲν ἤδη τὴν ῥάχιν : Ὡς ἀποθέμενος λέγει τὰ ξύλα.

317. ξυγγενοῦ : Σύνελθε.

ἐν πόλει : Ἐν τῇ ἀκροπόλει.

318. θέσθαι τρόπαιον ἡμᾶς : Κατὰ τῶν γυναικῶν.

320. ὥσπερ πυρὸς καομένου : Γυναῖκές τινες ὑδροφοροῦσαι παρακελεύονται ἀλλήλαις. αἱ δὲ λοιπαί εἰσιν ἐν τῇ ἀκροπόλει.

321. πέτου πέτου : Νῦν ἐστιν ἡμιχόριον τὸ λέγον ἐκ γυναικῶν εἰσερχομένων ἄνωθεν, ἵνα καὶ τὸ ὕδωρ αὐτῶν καταχέωσιν ἄνωθεν. τὸ δὲ ἄλλο ἡμιχόριον ἐξ ἀνδρῶν κάτωθεν ἐπερχομένων ταῖς ἐν τῇ ἀκροπόλει εἰς πολιορκίαν.

πέτου, πέτου Νικοδίκη : Ὀνόματα γυναικῶν τῶν ἐν τῇ ἀκροπόλει.

323. λείπει πυρί. R.

326. μῶν ὑστερόπους : Μὴ ὕστερον τοῦ καιροῦ ἦλθον εἰς τὸ βοηθῆσαι.

327. νῦν : Ἀρτίως.

κνεφαία : Ὀρθρία. ἢ ἀόρατος. ἢ ἑσπερία.

ὑδρίαν. R.

329. καὶ πατάγου χυτρείου : Ἀντὶ τοῦ κεραμέου. ἐκ μέρους τὸ πᾶν. οὐ γὰρ χύτραις βάπτουσι. συντρίβεται δὲ τὰ κεράμια παρὰ ταῖς κρήναις.

330. ὠστιζομένη : Ὠθουμένη, στενοχωρουμένη. στιγματίαις δὲ δούλαις. ἀπὸ τοῦ στίζεσθαι.

332. ἀραμένη : Ἐπάρασα τὴν ὑδρίαν.

335. τυφογέροντας : Τετυφωμένους γέροντας.

336. ἔρρειν : Ἐπέρχεσθαι.

στελέχη : Ξύλα.

337. ὥσπερ βαλανεύσοντας : Ὥσπερ βαλανεῖον ὑποκαύσοντας.

338. ἐς πόλιν : Εἰς τὴν ἀκρόπολιν.

ἐς τριτάλαντον βάρος : (Ὡς) τριῶν ταλάντων βάρος.

341. ἃς ὦ θεά : Πρὸς τὴν Ἀθηνᾶν εὔχεται.

343. Ἑλλάδα καὶ πολίτας : Ἀπὸ κοινοῦ τὸ ἴδοιμι.

345. πολιοῦχε, σὰς ἔσχον ἕδρας : Τὸν ναόν σου κατέλαβον.

349. φέρειν ὕδωρ μεθ' ἡμῶν : Ἀντὶ τοῦ ἐπικουρεῖν ἡμῖν καὶ συσβεννύειν.

350. μοχθηροί. R.

353. μάχεται. R.

354. τί βδύλλεθ' ἡμᾶς : Τί εὐτελίζετε. ἢ φοβεῖσθε καὶ τρέμετε.

357. περικατάξαι αὐταῖς τὸ ξύλον. R. Bar.

360. (εἰ νὴ Δία τὰς γνάθους : Εἴ τις ἠπείλησε τύπτειν καθάπερ Ἱππῶναξ τὸν Βούπαλον.)

364. ἐκκοκκιῶ : (Οἷον αἱματώσω,) ἐκβαλῶ. ἡ μεταφορὰ ἀπὸ τῶν ῥοιῶν. — ὡς πρὸς τὰς γραίας ὁ τῶν γερόντων χορός. R.

365. Στρατύλλιδος : Ἀντὶ ἐμοῦ.

367. βρύκουσα : Ἐσθίουσα, δάκνουσα. — ἐξαμήσω : οἷον ἐξανύσω, ἐξοίσω. R.

368. οὐκ ἔστ' ἀνὴρ Εὐριπίδου : Ὅτι κατὰ γυναικῶν εἶπε. φησὶ γὰρ

κακῶν δὲ πάντων τέκτονες σοφώταται.

370. αἰρώμεθ' ἡμεῖς θοὔδατος τὴν κάλπιν : Ἵνα σβέσωμεν τὸ πῦρ.

372. ὦ τύμβε : Ὡς πρὸς γέροντα εἶπεν. ἀντὶ τοῦ ὦ ταφῆναι ἄξιε. [Hinc ad v. 405 nulla scholia in cod. Rav.]

(376. οὐκ οἶδά σ' εἰ τῇδ' ὡς ἔχω : Οὐκ οἶδα ἐγὼ εἰ ταύτῃ σε τῇ λαμπάδι ὀπτήσω. κυρίως δὲ σταθεύειν τὸ μὴ λίαν κατοπτᾶν, ἀλλὰ τῷ πυρὶ ἡσύχως χλιαίνειν τὸ κρέας. καὶ ἐν Ἀχαρνεῦσι [1041] « τὰς σηπίας σταθεύσω. » τὸ γὰρ μικρὸν οὖν καίειν σταθεύειν λέγεται.

377. ῥύμμα : Τὸ παρ' ἡμῖν σμῆγμα, ἢ νίτρον. ἢ ῥύμμα, ἀντὶ τοῦ ῥύπον.

378. καὶ ταῦτα νυμφικόν : Περὶ γαμηλίων λουτρῶν Μένανδρος ἐν Κρητί φησι καὶ ἐν Ὑποβολιμαίῳ. ἐκ δὲ τοῦ ἐναντίου εἰς γέροντα εἶπε νυμφικόν.

379. ἤκουσας αὐτῆς τοῦ θράσους : Πρὸς ἑταῖρον αὐτοῦ.

380. ἡλιάξεις : Δικάσεις. καὶ Ὅμηρος [Il. A, 232] « νῦν ὕστατα λωβήσαιο. » φονεύσω γάρ σε.

381. σὸν ἔργον ὦ 'χελῶε : Τὸ ὕδωρ ἅμα καταχέουσι. ταῖς κάλπισι δὲ παρακελεύονται.

382. μῶν θερμὸν ἦν : Ἡ ἐπιχέουσα αὐτοῦ τὸ ὕδωρ λέγει.

384. ἄρδω σ' ὅπως : Ποτίζω σε, ἵνα νεάσῃς, ἐπεὶ γέρων ἦν. τὸ γὰρ ὕδωρ αὔξει τὰ φυτά.

385. ἀλλ' αὖός εἰμι : Ἐπὶ τοῦ ὕδατος δηλονότι τρέμει ὁ γέρων.

386. συγχλιανεῖς : Θερμανεῖς.

387. ἐξέλαμψεν : Ἐφανερώθη ἡ ἀταξία καὶ ἡ κακία τῶν γυναικῶν. προβούλευμα δὲ τάγμα ἐν Ἀθήναις. εἷς οὖν αὐτῶν ἔρχεται.

388. χὠ τυμπανισμός : Ὁ βούλεται δηλῶσαι, τοῦτό ἐστιν, ὅτι οὗτός ἐστιν ὁ τυμπανισμὸς καὶ ὁ Ἀδωνισμός, οὗ ἤκουον ἐν τῇ ἐκκλησίᾳ. τοῦτο δὲ ἔλεγεν ἐν τῇ ἐκκλησίᾳ ὁ Δημόστρατος, πλεῖν εἰς Σικελίαν. ἐν δὲ τῷ αὐτὸν λέγειν γυνή τις τὸν Ἄδωνιν ὀρχουμένη αἷ αἷ φησὶν ὑμνοῦσα. αὐτῆς δὲ ὀρχουμένης ὁ Δημόστρατος, ἔτι ἐν τῇ ἐκκλησίᾳ ὑπάρχων, ἔλεγε καταλέγειν Ζακυνθίων ὁπλίτας. πάλιν δὲ ἡ γυνὴ ἐν γειτόνων ἐπὶ τοῦ τέγους πεπτωκυῖα, ἔλεγε κόπτεσθαι τὸν Ἄδωνιν. ὁ δὲ Δημόστρατος ἐβιάζετο ἐξ αὐτῶν θρυλουσῶν καὶ μὴ ἐωσῶν αὐτὸν δημηγορεῖν.

Σαβάζιοι : Οἱ ὀργιασμοὶ τοῦ Σαβαζίου, ὃν οἱ μὲν τὸν αὐτὸν τῷ Διονύσῳ ὑπειλήφασι· τυχεῖν δὲ τῆς προσηγορίας ταύτης διὰ τὸν γινόμενον περὶ αὐτὸν εὐασμόν. τὸ γὰρ εὐάζειν οἱ βάρβαροι σαβάζειν ἔλεγον. ὅτι δὲ εἷς ἐστιν ὁ θεὸς Σαβάζιος καὶ Διόνυσος πολλοὶ μαρτυροῦσι κωμικοί.

389. ὅ τ' Ἀδωνιασμός : Ἑορτὴν γὰρ ἐπετέλουν τῷ Ἀδώνιδι αἱ γυναῖκες καὶ κήπους τινὰς εἰς τὰ δώματα ἀνέφερον. τινὲς δὲ ἐκ τούτου τὸ δρᾶμα Ἀδωνιαζούσας ἐπιγράφουσιν οὐ καλῶς. παρὰ πολλοῖς δὲ ὀργιάζονται αἱ γυναῖκες θεοὺς οὐ δημοτελεῖς οὐδὲ τεταγμένους.

392. πλεῖν εἰς Σικελίαν : Ὡς Σικελίας πολεμούσης αὐτοῖς.

ἡ γυνὴ : Ἡ ἐν γειτόνων. L.

394. Ζακυνθίων : Ἔθνος περὶ τὴν Κεφαληνίαν, σύμμαχον Ἀθηναίων.

395. ἡ δ' ὑποπεπτωκυῖα : Ὁ μὲν κατέλεγεν στρατιώτας εἰς πόλεμον, ὁ δὲ ἐπόρνευε.

396. ὁ δ' ἐβιάζετο : Ὑπὸ τῶν γυναικῶν ἐξηνάγκαζε τὴν φωνὴν αὐτοῦ, ὥστε ἐξακουσθῆναι ἐν τῇ ἐκκλησίᾳ, τοσούτου ὄντος ψόφου τῶν γυναικῶν ἐν τοῖς δώμασιν.

397. Χολοζύγης : Δημόστρατος Βουζύγης ἐλέγετο, ὃν Χολοζύγην εἶπε διὰ τὸ μελαγχολᾶν. καὶ Εὔπολις δὲ ἐν Δήμοις ὡς μανιώδη αὐτὸν λέγει

τί κέκραγας ὥσπερ Βουζύγης ἀδικούμενος;

καὶ ἄλλοι.

402. ὥσπερ ἐνεουρηκότας : Ἵνα ἀποβάλωνται τὸ ὕδωρ.

403. τὸν ἁλυκόν : Τὸν θαλάσσιον. τινὲς δὲ ὑπονοοῦσιν ἀπὸ πόλεως Πελοποννησίων Ἁλύκου, ἔνθα τιμᾶται ὁ Ποσειδῶν.

404. ξυμπονηρευώμεθα : Ὁρῶντες αὐτὰς πονηρὰ πραττούσας ἀνεχόμεθα.)

407. οἳ λέγομεν : Οἵτινες ἡμεῖς.

ἐν τῶν δημιουργῶν : Εἰς τὰ τῶν δημιουργῶν.

408. τὸν ὅρμον ὃν ἐπεσκεύασας : Ἀντὶ τοῦ ὅρμου Ἀττικῶς. ὡς πρός τινα ἀπό τινος.

410. βάλανος : Ἡ περόνη. ταῦτα δὲ πάντα εἰς τὸ κακέμφατον λαμβάνεται.

412. πάσῃ τέχνῃ : Παντὶ τρόπῳ.

413. τὸν βάλανον : δύο ἐννοίας ἔχει, τοῦ αἰδοίου καὶ τοῦ ψελίου. R. Bar.

417. τὸ δακτυλίδιον πιέζει τὸν ζυγόν : Μέρος τοῦ σανδαλίου. ἀντὶ τοῦ ὑπὸ τοῦ ζυγοῦ ὁ δάκτυλος ἁπαλὸς ὢν πιέζεται θλιβόμενος. νῦν δὲ ἀμφιβόλως εἴρηκεν. ζυγὸς δὲ καλεῖται ὁ περικείμενος τοῖς γυναικείοις σανδαλίοις ἱμὰς κατὰ τοὺς δακτύλους πρὸς τὸ συνέχειν ἐζυγωμένον τὸν πόδα.

419. (χάλασον : Πρὸς τὸ κακέμφατον.)

420. (εἰς τοιαυτὶ πράγματα : Εἰς τὰς νῦν ὕβρεις.)

421. ἐκπορίσας : Συλλέξας. πρόβουλοι δὲ πρὸς τοῖσδε ἥρέθησαν ἄλλοι κ', εἰσηγησόμενοι τὰ δοκοῦντα (βέλτιστα) τῇ πολιτείᾳ μετὰ τὴν ἐν τῇ Σικελίᾳ συμφοράν.

422. (κωπῆς : Κωπηλάται) — δέοντος. R.

426. τί κέχηνας ὦ δύστηνε : Πρός τινα (λέγει) τῶν δημοσίων ὑπηρετῶν.

427. ἀλλ' ἢ καπηλεῖον σκοπῶν : Ὡς μεθύσῳ λέγει.

434. (δεῖ : Ἀντὶ τοῦ δῆσον.)

437. (οὐ ξυναρπάσῃ μέσην : Ὡς τοῦ δημοσίου φεύγοντος.)

439. νὴ τὴν Πάνδροσον : Θυγατέρες Κέκροπος Πάνδροσος καὶ Ἀγραύλη. ἐκ τῆς Πανδρόσου δὲ καὶ ἡ Ἀθηνᾶ Πάνδροσος καλεῖται.

(ταύτῃ : Τῇ Λυσιστράτῃ.)

443. νὴ τὴν Φωσφόρον : Τὴν Ἄρτεμιν οὕτως ἐκάλουν, ἐπεὶ δαδοῦχος. ἡ αὐτὴ γὰρ τῇ Ἑκάτῃ. — ἢ ἐπεὶ καὶ τῇ σελήνῃ ἡ αὐτή. R.

444. κύαθον αἰτήσεις : Ἵνα προσθῇς ταῖς γνάθοις· οὕτως ὑπωπιασθήσῃ ὑφ' ἡμῶν. γεμίζουσι γὰρ κύαθον θερμοῦ, καὶ προσκολλῶσι τοῖς οἰδήμασι καὶ θεραπεύεται.

447. νὴ τὴν Ταυροπόλον : (Οὕτω) τὴν Ἄρτεμιν ἐκάλουν. τὴν δὲ αἰτίαν Ἀπολλόδωρος ἐν τῷ περὶ θεῶν ἐκτίθεται. ἔστι δ' ὅτε καὶ τὴν Ἀθηνᾶν οὕτω καλοῦσιν· ὡς Ξενομήδης ἱστορεῖ.

448. ἐκκοκκιῶ : (Ἀνατιλῶ,) ἀνασπάσω. ἀπὸ μεταφορᾶς τῶν ῥοιῶν. (στενοκωκύτους δὲ) ἐφ' αἷς στενάζεις τιλλόμενος.

451. (ὦ Σκύθαι : Ὦ ὑπηρέται.)

453. ὅτι καὶ παρ' ἡμῖν εἰσι : Παρὰ ταῖς γυναιξὶν ὑπάρχουσι δ' λόγοι. τοῦτο δέ φησιν, ὅτι καὶ παρὰ Λακεδαιμονίοις τέσσαρες ὑπάρχουσι λόγοι, οἷς κέχρηται ὁ βασιλεύς.

(τέτταρες λόγοι : Ἀργότερον τὰ Λακώνων ἔοικεν ἐξειργάσθαι ὁ ποιητής. λόγοι γὰρ οὐκ εἰσὶ τέτταρες ἐν Λακεδαιμονίᾳ, ἀλλὰ ε', Ἔδωλος, Σίνις, Ἀρίμας, Πλοὰς, Μεσσοάγης. ὁ δὲ Θουκυδίδης [5, 38] ζ' φησὶ, χωρὶς τῶν Σκιριτῶν.)

457. λεκιθολαχανοπώλιδες : Ὠὰ γὰρ πωλοῦσι καὶ λάχανα καὶ ὄσπρια.

460. ὡς ἤδη κειμένων αὐτῶν. R.

461. παύσασθ', ἐπαναχωρεῖτε : (Τοῦτο) ὡς τῶν ἀνδρῶν πεφευγότων.

462. οἴμ' ὡς κακῶς πέπραγέ μου : Ἀντὶ τοῦ ἡττήθησαν καὶ ἠτύχησαν οἱ σύμμαχοί μου.

466. ἐάνπερ πλησίον κάπηλος ᾖ : Ἔπαιξε διὰ τὸ φίλοινον, ὅτι πίνουσαι παροινοῦσιν.

470. κονίας : (Νίτρου, ἢ ῥύπου.) — μὴ κεκονιμένοις ὥστε λοῦσαι. R.

472. κυλοιδιᾶν ἀνάγκη : Τὰ περὶ τὸν ὀφθαλμὸν μέρη κοῖλα (οἰδεῖν). καὶ παρὰ Θεοκρίτῳ [1, 38] « ὀηθὰ κυλοιδιόωντες. » — τὴν ὄψιν οἰδεῖν. R.

475. ὥσπερ σφηκιά : Ἀπὸ τῶν μελιττῶν μετενήνοχε. βλίττειν γὰρ κυρίως τὸ ἐκπιέζειν μέλι.

(βλήττῃ : Κινήσει, ἐρεθίσει.)

477. τοῖσι κνωδάλοις : Τοῖς θηρίοις. κυρίως δὲ τοῖς θαλαττίοις. κνώδαλα γὰρ τὰ ἐν τῇ ἁλὶ κινούμενα. καταχρηστικῶς καὶ Ὅμηρος [Od. P, 317] « κνώδαλον ὅττι δίοιτο. »

483. ἀκρόπολιν ἱερὸν τέμενος : Ἀπὸ κοινοῦ τὸ κατέλαβον.

484. ἀλλ' ἀνερώτα : Ἀναπαιστικὸν τὸ μέτρον.

485. ἀκωδώνιστον : Ἀπείραστον, ἀβασάνιστον. κωδωνίσαι γὰρ τὸ διαπειραθῆναι. μετῆκται δὲ ἀπὸ τῶν περιπολούντων καὶ κώδωσι διαπειρωμένων εἰ ἐγρηγόρασιν οἱ ἐπὶ ταῖς φυλακαῖς τεταγμένοι. οἱ δὲ ὑπομνηματισταὶ ἀπὸ τῶν ὀρτύγων φασὶ μετῆχθαι τὴν λέξιν. τοὺς γὰρ ὑπομείναντας τὸν ἦχον τοῦ κώδωνος ἐπιτηδείως ἔχειν πρὸς μάχην. ἔνιοι δέ φασι καὶ τοὺς ἵππους κώδωσιν ἐξετάζειν.

487. τὴν πόλιν : Τὴν ἀκρόπολιν.

489. (καὶ τἄλλα γε : Λείπει διὰ χρήματα.)

490. ἵνα γὰρ Πείσανδρος : Ὁ γὰρ Πείσανδρος ποτὲ προειστήκει τῆς πολιτείας μετὰ Θηραμένους καὶ Φρυνίχου. κωμῳδοῦσι δὲ αὐτὸν καὶ ὡς δωροδόκον, ὡς καὶ ἐν Βαβυλωνίοις Ἀριστοφάνης. ἦν δὲ καὶ δειλός. ἔστι δὲ καὶ ἄλλος Πείσανδρος, ὁ Ὀνοκίνδιος, ὡς Εὔπολις διακρίνει τὴν ὁμωνυμίαν ἐν Μαρικᾷ.

493. διχῶς, ὑμῖν. R.

499. (ὡς σωθήσει κἂν μὴ βούλῃ : Τὸ ὡς προσέλαβεν ἀντὶ τοῦ ἀλλὰ μήν. διὸ τὸ χ.)

501. κεἰ μὴ δέομαι : Καὶ εἰ μὴ δέομαι σωθῆναι.

506. σαυτῇ κρώζαις : Ἀπὸ μεταφορᾶς τῶν ὀρνέων τῶν δυσοιωνίστων.

509. οὐκ ἠρέσκετέ γ' ἡμᾶς : (Τὸ) σχῆμα Ἀττικόν. — ὡς τὸ ἐνοχλῶ. R.

511. κακῶς ὑμᾶς βουλευσαμένους : Τὸ ἐξῆς, ἐγινώσκομεν ὑμᾶς κακῶς βουλευσαμένους.

512. εἶτ' ἀλγοῦσαι τἄνδοθεν : Τὴν μὲν καρδίαν λυπούμεναι, γελῶσαι δέ.

513. τί βεβούλευται : Τὸ ἐξῆς, τί βεβούλευται (ἐν) τῷ δήμῳ.

514. τί δέ σοι τοῦτ' ἦδ' ὃς ἀνήρ : Ἔφη ἀνήρ τις. καὶ ἐπὶ πλήθους τούτῳ ἐχρῶντο καὶ ἐπὶ θηλυκοῦ καὶ ἀρσενικοῦ, ὡς τὸ ὦ τᾶν.

519. εἰ μὴ τὸν στήμονα : Εἰ μὴ εὑρεθείης, φησὶ, νήθουσα τὸν στήμονα. (τὸ δὲ νήσω) ἀντὶ τοῦ νήσεις.

520. πόλεμος δ' ἀνδρεσσι μελήσει : Παρὰ τὸ Ὁμηρικόν [Il. Z, 492].

524. οὐκ ἔστιν ἀνὴρ ἐν τῇ χώρᾳ : Λείπει ἔφη. οὐκ ἔστι πολέμιος ἐν τῇ χώρᾳ. μὰ Δί' οὐ δῆθ', ἕτερός τις ἔφη. ἢ οὐκ ἔστιν ἀνὴρ ἐν τῇ Ἀττικῇ λόγου ἄξιος ἡμῖν. Ἄλλως. ἀντὶ τοῦ ἄλλος τις ἔφη, οὐ μὰ τὸν Δία οὐκ ἔστιν ἀνὴρ ἐν τῇ πόλει.

526. ποῖ γάρ : Ἀντὶ τοῦ πότε γάρ.

530. καὶ ταῦτα κάλυμμα φορούσῃ : Καλύμματα φοροῦσιν, ἐπειδὴ παρρησίαν οὐκ ἔχουσι καὶ πόλιν φυλάττουσιν. ἀντὶ τοῦ, οὐδὲ τῆς τριχὸς κυριεύουσιν.

κάλυμμα : Κόσμιον περὶ τὴν κεφαλήν.

531. ἀλλ' εἰ τοῦτ' ἐμπόδιόν σοι : Εἰς τὸ σιωπῆσαι.

536. ἔζωσμένος ὡς γυνή. R.

537. κυάμους τρώγων : Ἢ δικάζων, ἵνα μὴ κοιμηθῇς. γέρων γὰρ εἶ.

539. αἵρεσθ', ὦ γυναῖκες : (Ἀναχωρήσατε ἀπὸ τῶν καλπίδων. ταῦτα λέγουσι διὰ μέσου ἕως τοῦ προσώπου Λυσιστράτης.) — εἰσάγει αὐτὰς ὀρχουμένας ἐν τῇ σκηνῇ. παρακελεύονται γὰρ ἀλλήλαις αἱ ὑδροφόροι τῶν καλπίδων ἀναχωρῆσαι, ὅπως ἐν τῷ μέρει ὀρχήσωνται. R.

542. οὔτε τὰ γόνατα κόπος : Ἀντὶ τοῦ οὐδὲ τὰ γόνατά μου ἔλαβε καματηρὸς πόνος.

543. ἐθέλω δ' ἐπὶ πᾶν ἰέναι : Ἢν πρᾶγμα ποιῆσαι πανταχοῦ.

548. ἀρετὴ φρόνιμος : Ἀντὶ τοῦ φρονίμη.

549. ἀλλ' ὦ τηθῶν : Τήθας ἐκάλουν τὰς μάμμας, τηθίδας δὲ τὰς θείας, τὰς πατρὸς ἢ μητρὸς (ἀδελφάς). τήθας δὲ καὶ τὰς τροφούς. εἰσὶ δὲ καὶ ὄστρεα θαλάσσια. (καὶ) Ὅμηρος [Il. II, 747] « πολλοὺς ἂν κορέσειεν ἀνὴρ ὅδε τήθεα διφῶν. » ἀκαλήφας δὲ λέγουσι μὲν καὶ τὰς θαλασσίας, λέγουσι δὲ καὶ τὰς κνίδας Ἀττικοί. καὶ κνίδη μὲν ὅσον ἁπαλή ἐστιν, ἐπὰν δὲ σχῇ τὰς μητέρας, τουτέστι τὰς τοῦ σπέρματος σφαίρας, ἀκαλήφη λέγεται. ἀκαλήφας οὖν τὰς γραίας ἐκάλεσεν, ἐπειδὴ στερραὶ ἦσαν καὶ γενναῖαι. καὶ γὰρ τὸ φυτάριον δάκνει. ἐπεὶ οὖν εἶπε τηθῶν, εἶπε μητριδίων. μητριδίας δὲ λέγουσι τὰς ἐχούσας τὸ σπέρμα τῆς βοτάνης τῆς ἀκαλήφης· δάκνουσι δὲ αὗται. τοιαῦται γὰρ ἦσαν καὶ αἱ γραῖαι δριμεῖαι.

μητριδίων ἀκαληφῶν : Δριμυτάτων. — λείπει παῖδες. R.

550. καὶ μὴ τέγγεσθε : Ἀντὶ τοῦ βλάπτεσθε καὶ μεταβλήθητε. ἔτι γὰρ κρατοῦμεν τῶν ἀνδρῶν. ἀλλήλαις δὲ παρακελεύονται.

553. κἄτ' ἐντέξῃ τέτανον : Παράσχῃ τὴν τάσιν τοῦ αἰδοίου. ὅταν γὰρ στῇ (τὸ αἰδοῖον), ὡς ῥόπαλον γίνεται.

556. ἀγοράζοντας : Ἐν (τῇ) ἀγορᾷ διατρίβοντας. τινὰ δὲ τὸ « νὴ τὴν Παφίαν Ἀφροδίτην » τοῦ προβούλου, ἵν' ᾖ κατ' εἰρωνείαν. τινὰ δὲ καὶ συνάπτουσιν (αὐτὸ) τοῖς ὀπίσω. (χύτραις δὲ καὶ λαχάνοις ἀντὶ τοῦ) χυτροπωλίοις καὶ λαχανοπωλίοις.

558. Κορύβαντες : Ἔνιοι τοὺς Κούρητας καὶ Κορύβαντας τοὺς αὐτοὺς ὑπειλήφασιν. ἦσαν δὲ Διὸς τροφεῖς οὗτοι καὶ φύλακες. τινὲς δὲ αὐτοὺς δέκα φασὶν, ἄλλοι δὲ ἐννέα. ἦσαν δὲ τῆς Ῥέας παῖδες.

562. εἰς τὸν χαλκοῦν ἐμβαλλόμενον : Εἰς χαλκῆν περικεφαλαίαν. (λέκιθος δὲ, ἐπεὶ ἔοικε λεκίθῳ ὠοῦ.)

563. πέλτην : Ἀσπίδα.

564. ἐδεδίσκετο : Ἐφόβει.

ἰσχαδόπωλιν : Ἰσχὺν μὴ ἔχουσαν.

δρυπέτεις : Τὰς ἐπὶ τῶν δένδρων πεπανθείσας ἐλαίας φασὶ δρυπέτεις. νῦν δὲ ἐπὶ τῶν ἰσχάδων.

566. φαύλως πάνυ : Εὐχερῶς.

567. κλωστήρ : Νῦν τὸ νῆμα κλωστήρ.

575. τὴν οἰσπωτήν : Τοῦ ἐρίου ὁ βύπος οἰσπωτὴ λέγεται. καὶ Κρατῖνος Διονυσαλεξάνδρῳ « οὐκ, ἀλλὰ « βόλιτα χλωρὰ κὠσπώτην πατεῖν. »

576. τοὺς τριβόλους : Τοὺς μοχθηρούς. ἔστι δὲ ἀκανθῶδες φυτόν.

577. συνισταμένους : Συμπεπλεγμένους καὶ πιλοῦντας. ἀπὸ μεταφορᾶς τῶν ἐρίων· ὥσπερ γὰρ πολλάκις τὸ ἕτερον τῷ ἑτέρῳ κολλᾶται ἐρίῳ, καὶ διαχωρίζουσιν αὐτὰ ἀπ' ἀλλήλων, οὕτως, φησὶν, ἐπὶ τῶν κεκολλημένων ταῖς ἀρχαῖς ὀφείλετε ἀποχωρίζειν, καὶ εὔνοιαν πρὸς ἀλλήλους ἔχειν ἅμα.

συνισταμένους : Συνηγόρους.

καὶ πιλοῦντας : Τοὺς θλίβοντας εἰς τὴν πολιτείαν ἑαυτούς.

578. ἐπὶ ταῖς ἀρχαῖσι : Ἐπ' ἐλπίδι τοῦ ἄρχειν. τουτέστιν ἐνδύνοντας ἑαυτοὺς καὶ συναθροιζομένους, καὶ θλίβοντας εἰς τὴν πολιτείαν. τῶν γὰρ ἐρίων οἱ μαλλοὶ ἔχουσι τὰς κορυφὰς πεπιλημένας, καὶ ἐπὰν τιλθῶσι, διαλύεται ὁ μαλλός. πρὸς ἑκάτερον οὖν καὶ τὰς κορυφὰς πεπιλημένας τοῦ ἐρίου ἐν τῷ πόκῳ, καὶ τὰς κεφαλὰς τῶν πονηρῶν καὶ συνισταμένων τοῖς πράγμασι (διαλῦσαι χρή).

τὰς κεφαλάς : Ὡς τὰ ἄκρα τῶν ἐρίων.

581. καὶ τούτους ἐγκαταμίξαι : Αἱ γὰρ γυναῖκες ἐργαζόμεναι ἀφ' ἑκάστου ἐρίου λαμβάνουσιν ἕν τι καὶ μιγνύουσιν ἄλλοις. — ἕκαστον γὰρ τῶν ἐρίων χωρίζεται καὶ ὕστερον πάντα μίγνυται. R.

(ἐγκαταμίξαι : Ἐπιτίμους ποιῆσαι.)

582. ἀντὶ τῆς πόλεως. R.

583. κατάγματα : Τὰ τῶν ἐρίων κατασπάσματα οὕτω ἐκάλουν.

586. τολύπην : Συναγωγήν.

587. καὶ τολυπεύειν : Ὡς ἐπὶ τῶν ἐρίων. ἐπέμεινε τῇ τροπῇ.

589. πλεῖν ἢ διπλοῦν : Τὸ ἐντελὲς πλέον. πλέον, φησὶν, ἢ διπλοῦν τὸν πόλεμον φέρομεν, γεννῶσαι τὰ παιδία.

590. μὴ μνησικακήσῃς : Ἀντὶ τοῦ μὴ μνησθῇς τῶν κακῶν λέγουσα ὅτι τοὺς παῖδας ἔτι νεωτέρους ὄντας ἐκπέμπουσιν εἰς πόλεμον.

592. καὶ θἠμέτερον : Ἀντὶ τοῦ τὸ καθ' ἡμᾶς.

593. περὶ τῶν δὲ κορῶν : Κορῶν περισπωμένως. οὐκ ἔστι γὰρ τριγενές.

597. ὀττευομένη : Ἀντὶ τοῦ κληδονιζομένη, περὶ γάμου χρησμῳδουμένη. αἱ γὰρ χῆραι συνεχῶς μαντεύονται πότε γαμηθήσονται.

599. ἀποθνήσκεις : Ὦ πρόβουλε.

600. χωρίον ἐστί : Εἰς τὸ ὑποδέξασθαί σου τὸ σῶμα· οἷον ἔστι τόπος οὗ τεθήσει.

601. μελιτοῦτταν : Ἡ μελιτοῦττα ἐδίδοτο τοῖς νεκροῖς, ὡς εἰς τὸν Κέρβερον, καὶ ὀβολὸς μισθὸς τῷ πορθμεῖ, καὶ στέφανος ὡς τὸν βίον διηγωνισμένοις.

καὶ δημάζω : Γράφεται καὶ δὴ μάζω. δημάζω ἀντὶ

τοῦ παίζω. παρ' ὃ καὶ τὸ δημοῦσθαι. κάλλιον (δὲ οὕτως). ὅσον οὔπω μάζω μελιτοῦτταν.

603. καὶ ταυτασί : Τὰς ταινίας, ἃς τοῖς νεκροῖς ἔπεμπον οἱ φίλοι. ἐν ἄλλῳ δὲ εὗρον, τὰς δραχμὰς, εἰς μισθὸν τῷ πορθμεῖ.

605. τίνος δέει. R.

607. σὺ δὲ κωλύεις ἀνάγεσθαι : Τὸν Χάρωνα δηλονότι ἀναπλεῖν.

609. τοῖς προβούλοις : Τοῖς ἄλλοις δηλονότι τοῖς κ' τοῖς ἐκ τῆς συναρχίας. οὐ γάρ ἐστιν εἷς ὁ πρόβουλος.

610. ὡς ἔχω : Βεβρεγμένον.

611. ὅτ' οὐχὶ προυθέμεσθά σε : Τοὺς νεκροὺς γὰρ οἱ ἀρχαῖοι προετίθεσαν πρὸ τῶν θυρῶν καὶ ἐκόπτοντο.

612. ἀλλ' ἐς τρίτην : Ἐπειδὴ τῇ τρίτῃ τὸ τῶν νεκρῶν ἄριστον ἐκφέρεται.

613. τὰ τρίτ' ἐπεσκευασμένα : Ἀντὶ τοῦ τὰ τρίτα σου ποιούμενα.

615. ἀλλ' ἐπαποδυώμεθ' : Ἀντὶ τοῦ ἐπιχειρήσωμεν.

616. ὄζειν ταδὶ μειζόνων : Τὰ τῶν γυναικῶν πράγματα.

619. τῆς Ἱππίου τυραννίδος : Τεσσάρων ὄντων τῶν Πεισιστρατιδῶν, εἰκότως τοῦ Ἱππίου μόνου ἐμνημόνευσεν. πρεσβύτατος γὰρ ἦν οὗτος τῶν ἄλλων καὶ τὴν τυραννίδα ὑπέθετο, καθάπερ Θουκυδίδης [6, 54] φησί. κατέσχε δὲ ἡ τυραννὶς ἐπὶ ἔτη γ', οἱ δὲ δ', Ἡρόδοτος δὲ ς'. Ἄλλως. οὗτος τύραννος ἦν, ὃς ἐποίησε τοὺς Ἀθηναίους κατωνάκας φορεῖν, ὅπως μὴ δυνηθῶσι προενεγκεῖν τὰς χεῖρας. τοῦτον δὲ κατέλυσαν οἱ Λακεδαιμόνιοι.

622. ἐς Κλεισθένους : Ἐπεὶ οὗτος γυναικώδης ὁ Κλεισθένης καὶ ὡς γυναικῶν συναθροιζομένων παρ' αὐτῷ.

624. τὰ χρήμαθ' ἡμῶν : Τὰ ἐν ἀκροπόλει.

629. λύκῳ κεχηνότι : Ὥσπερ οὐδεὶς δύναται πιστεῦσαι λύκῳ χαίνοντι. ἡ παροιμία ἐπὶ τῶν μάτην χαινόντων. (ἢ ἐπὶ τῶν ἀλλότρια ἁρπαζόντων.) ὃν γὰρ τρόπον λύκοις οὐκ ἔστι πίστις, οὐδὲ τούτοις.

630. ἀλλὰ ταῦθ' ὕφηναν : Ἀλλ', ὦ ἄνδρες, ταῦτα ἐποίησαν αἱ γυναῖκες ἵνα τυραννήσωσιν.

632. ἐν μύρτου κλαδί : (Ἀντὶ τοῦ κλάδῳ, κατὰ μεταπλασμόν. Ἄλλως.) πρὸς τὸ κομμάτιον, ὅτι ἐκ τοῦ σκολιοῦ ἐστιν ὅτι ἐν μυρσίνῳ κλάδῳ τὸ ξίφος φορέσομεν, ὥσπερ Ἁρμόδιος καὶ Ἀριστογείτων. οὗτοι γὰρ ἀπὸ τῶν μυρσίνων κλάδων τὰ ξίφη ἀνασπάσαντες τὸν τύραννον κατέβαλον.

633. ἀγοράσω τ' ἐν τοῖς ὅπλοις : (Ἀντὶ τοῦ ἐν τῇ ἀγορᾷ διατρίψω μετὰ Ἀριστογείτονος.) — ἀντὶ τοῦ ἐγγύς. R.

634. γίνεται : Λείπει βοηθός. R. L.

635. χλευάζει ὅτι καὶ αὐτοὶ γέροντες. R.

636. οὐ γὰρ εἰσιόντας : Ἀπὸ τῶν πληγῶν τῶν παρ' ἡμῶν ἀλλοῖος γενήσῃ. R. L.

642. ἠρρηφόρουν : Οἱ μὲν διὰ τοῦ α, ἀρρηφορία, ἐπειδὴ τὰ ἄρρητα ἐν κίσταις ἔφερον τῇ θεῷ αἱ παρθένοι. οἱ δὲ διὰ τοῦ ε ἐρσεφορία. τῇ γὰρ Ἕρσῃ πομπεύουσι, τῇ Κέκροπος θυγατρὶ, ὡς ἱστορεῖ Ἴστρος.

643. εἶτ' ἀλετρὶς ἦ : Ἢ ἀντὶ τοῦ ἦν, ὑπῆρχον. γίνονται δέ τινες τῶν εὖ γεγονυιῶν ἀλετρίδες τῇ θεῷ παρθένοι, αἵτινες τὰ εἰς τὴν θυσίαν πόπανα ἀλοῦσι· καὶ ἔστιν ἔντιμον τοῦτο. ἦσαν δὲ καὶ ἱεροὶ μυλῶνες.

ἦ : Ἕα καὶ κατὰ συναίρεσιν ἦ.

644. οὖσά τ' ἀρχηγέτι : Τῇ δεσποίνῃ Ἀρτέμιδι, ἢ Δήμητρι.

645. ἄρκτος ἦ Βραυρωνίοις : (Ἄρκτον μιμούμεναι τὸ μυστήριον ἐξετέλουν. αἱ ἀρκτευόμεναι δὲ τῇ θεῷ κροκωτὸν ἠμφιέννυντο, καὶ συνετέλουν τὴν θυσίαν τῇ Βραυρωνίᾳ Ἀρτέμιδι καὶ τῇ Μουνυχίᾳ, ἐπιλεγόμεναι παρθένοι, οὔτε πρεσβύτεραι δέκα ἐτῶν οὔτ' ἐλάττους πέντε. ἐπετέλουν δὲ τὴν θυσίαν αἱ κόραι ἐκμειλισσόμεναι τὴν θεὸν, ἐπειδὴ λιμῷ περιεπτώκασιν οἱ Ἀθηναῖοι, ἄρκτον ἡμέραν ἀνηρηκότες τῇ θεᾷ. οἱ δὲ τὰ περὶ τὴν Ἰφιγένειαν ἐν Βραυρῶνι φασὶν, οὐκ ἐν Αὐλίδι. Εὐφορίων

Ἀρχίαλον Βραυρῶνα κενήριον Ἰφιγενείας.

δοκεῖ δὲ Ἀγαμέμνων σφαγιάσαι τὴν Ἰφιγένειαν ἐν Βραυρῶνι, οὐκ ἐν Αὐλίδι. καὶ ἄρκτον ἀντ' αὐτῆς οὐκ ἔλαφον φονευθῆναι. ὅθεν μυστήριον ἄγουσιν αὐτῇ. Ἄλλως.) ἄρκτος τις δοθεῖσα εἰς τὸ ἱερὸν τῆς Ἀρτέμιδος ἡμερώθη. ποτὲ οὖν μία τις παρθένος ἔπαιξε πρὸς αὐτῇ, καὶ ἐξύσθη ἡ ὄψις αὐτῆς ὑπὸ τῆς ἄρκτου. καὶ λυπηθεὶς ὁ ἀδελφὸς αὐτῆς ἀνεῖλε τὴν ἄρκτον. ἡ δὲ Ἄρτεμις ὀργισθεῖσα ἐκέλευσε παρθένον πᾶσαν μιμήσασθαι τὴν ἄρκτον πρὸ τοῦ γάμου, καὶ περιέπειν τὸ ἱερὸν κροκωτὸν ἱμάτιον φοροῦσαν. καὶ τοῦτο ἀρκτεύεσθαι ἐλέγετο. — οἱ δὲ καὶ λοιμώδη νόσον τοῖς Ἀθηναίοις ἐμπεσεῖν. καὶ ὁ θεὸς εἶπεν λύσιν τῶν κακῶν ἔσεσθαι, ἐὰν τῆς τελευτησάσης ἄρκτου ποινὰς ἀρκτεύειν τὰς ἑαυτῶν παρθένους ἀναγκάσωσι. δηλωθέντος δὲ τοῦ χρησμοῦ τοῖς Ἀθηναίοις, ἐψηφίσαντο μὴ πρότερον συνοικίζεσθαι ἀνδρὶ παρθένον, εἰ μὴ ἀρκτεύσειεν τῇ θεῷ. R.

646. κἀκανηφόρουν ποτ' οὖσα : Ταῖς πομπαῖς ἐκανηφόρουν αἱ παρθένοι. ἐφόρουν δὲ καὶ λοπάδας τινὰς ὁλοχρύσους.

647. ἔχουσ' ἰσχάδων ὁρμαθόν : Οὕτως ἐπόμπευον καὶ ὁρμαθοὺς ἔχουσαι τῶν ἰσχάδων.

651. τοὐράνου γάρ μοι μέτεστιν : Τοῦ ἐράνου φησὶ μετέχω. ἄνδρας γὰρ εἰσφέρω εἰς τοῦτο, καθὸ τίκτουσιν ἄνδρας αἱ γυναῖκες. ἐγένετο δὲ ἐπὶ τῶν Μηδικῶν ψήφισμα, ὥστε ἕκαστον κατὰ δύναμιν συμβάλλεσθαι εἰς τὰ κοινὰ χρήματα.

τοὐράνου : Τοῦτό φησιν ὅτι τρέφομεν τοὺς πολεμοῦντας. R. L.

εἰσφέρω : Ἀντὶ τοῦ γεννῶ.

653. τὸν ἔρανον τὸν λεγόμενον παππῷον ἐκ τῶν Μηδικῶν : Ὡς αὐτῶν τὰ Μηδικὰ χρήματα δαπανησάντων. — παρήταξεν Ἀριστείδης δοῦναι τοῖς συμμάχοις εἰ ἐπὶ τοὺς βαρβάρους πολεμοῖεν. R.

654. (εἶτ' ἀναλώσαντες : Τὸ εἶτα παρέλκει.)

656. ἆρα γρυκτόν ἐστιν : Ἆρα γρύξαι ὀφείλετε, ἢ παρρησίαν ἄγειν. ἀψήκτῳ δὲ ἀκαταμάκτῳ, ἢ σκληρῷ καὶ ἀμαλάκτῳ. κοθόρνῳ δὲ τῷ ὑποδήματι.

660. κἀπιδώσειν μοι δοκεῖ : Ἀντὶ τοῦ προσθήκην σχήσειν.

663. τὴν ἐξωμίδα : Εὐτελὲς ἱμάτιον.

664. ἐντεθριῶσθαι: Ἐντετυλίχθαι, ἐσκευάσθαι. μετενήνεκται δὲ ἀπὸ τοῦ λεγομένου θρίου σκευάσματος, ὃ ἐν σύκου φύλλοις εἱλεῖται.

665. λυκόποδες : Λυκόποδας ἐκάλουν, ὡς μὲν Ἀριστοτέλης, τοὺς τῶν τυράννων δορυφόρους. τοὺς γὰρ ἀκμάζοντας τῶν οἰκετῶν ἐπὶ τῇ τοῦ σώματος φυλακῇ ἔβαλλον. λυκόποδες δὲ ἐκαλοῦντο, ὅτι διὰ παντὸς εἶχον τοὺς πόδας λύκων δέρμασι περικεκαλυμμένους, ὥστε μὴ ἐπικαίεσθαι ἐκ τοῦ περιέχοντος. τινὲς δὲ λυκόποδας, διὰ τὸ ἔχειν ἐπὶ τῶν ἀσπίδων ἐπίσημον λύκον. (ὁ δὲ Ἀριστοφάνης ἔφη τοὺς νῦν λεγομένους Ἀλμαιωνίδας. οὗτοι γὰρ πόλεμον ἀράμενοι πρὸς Ἱππίαν τὸν τύραννον καὶ τοὺς Πεισιστρατίδας ἐτείχισαν τὸ Λειψύδριον.)

666. Λειψύδριον : Χωρίον τῆς Ἀττικῆς περὶ τὴν Πάρνηθον, εἰς ὃ συνῆλθόν τινες ἐκ τοῦ ἄστεος, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

667. ὅτ' ἦμεν ἔτι : Λείπει νεώτεροι.

669. κἀναπτερῶσαι : Ἐλαφρύνασθαι καὶ ἀνθῆσαι.

673. λιπαρᾶς χειρουργίας : Ἀντὶ τοῦ τόλμης. λιπαρὲς ἔλεγον τὸ προσεχές, ἐκ τοῦ λίαν παρεῖναι. φησὶν οὖν ὅτι οὐκ ἀφέξονται προσεχοῦς ἔργου αἱ γυναῖκες.

675. Ἀρτεμισία Λυγδάμιδος θυγάτηρ τὸ γένος Ἐφεσία, ἥτις συνεμάχησε Ξέρξῃ κατὰ τῆς Ἑλλάδος καὶ ἱκανῶς ἠνδραγάθησεν.

676. διαγράφω τοὺς ἱππέας : Περιαιρῶ, ἀπὸ μεταφορᾶς τῶν δικαζόντων, οἳ ἐχάραττον τοὺς κατεγνωσμένους. (ἐκ δὲ τούτου εὐτελεῖς ἡγήσομαι αὐτούς.) νικηθήσονται γὰρ ὑπὸ τῶν γυναικῶν.

677. κἄποχον : Τουτέστι δυνάμενον ἐποχεῖσθαι. — παίζει δὲ πρὸς τὴν συνουσίαν.

679. ἃς Μίκων ἔγραψε : Ποικίλη στοὰ Ἀθήνησιν οὕτω λεγομένη διὰ τὴν ἐνοῦσαν γραφήν. ἔνθα πεποίηκεν ὁ Μίκων τῶν Ἀμαζόνων τὴν μάχην. ἦν δὲ Φανόχου υἱός, Ἀθηναῖος. ἔστι δὲ καὶ ἕτερος Μίκων εἰς πενίαν κωμῳδούμενος.

680. τὸν κύφωνα λέγει. R.

682. ζωπυρήσεις : Ἀντὶ τοῦ ἀνεγείρῃς.

683. λύσω τὴν ἐμαυτῆς ὖν : Ὑν τὴν φύσιν λέγει, τὴν ὀργήν.

684. καὶ ποιήσω τήμερον : Ποιήσω σε δερόμενον ἐπικαλεῖσθαι εἰς βοήθειαν τοὺς δημότας.

685. πεκτούμενον : Τιλλόμενον, ξεόμενον.

687. ἀλλὰ χήμεῖς, ὦ γυναῖκες : Μιμοῦνται τοὺς τῶν ἀνδρῶν λόγους.

688. ὡς ἄν : Ὅπως ἄν.

τὼτοδὰξ ὠργισμένων : Πάνυ ὠργισμένων.

690. ἵνα μήποτε φάγῃ : Ἵνα μὴ εἰς ὥραν ἔλθῃ. παίζει δὲ ἀπὸ τῶν εὐτελῶν. ἵνα μὴ δικάσῃ μηδὲ πολεμήσῃ. εἰς γὰρ τὸν πόλεμον φέρουσι σκόροδα. οἱ δὲ δικασταὶ τρώγουσι κυάμους, ἵνα μὴ κοιμηθῶσιν. ὅθεν [Eq. 41] « κυαμοτρώξ, ἀκρόχολος. »

694. (ὑπερχολῶ γάρ : Διὰ μέσου τὸ ὑπερχολῶ γάρ.)

695. αἰετὸν τίκτοντα : Λείπει τὸ ὡς. παροιμία, ἧς μέμνηται καὶ ἐν Εἰρήνῃ [133]. τὰ γὰρ ᾠὰ τῶν ἀετῶν οἱ κάνθαροι κυλίοντες διαφθείρουσιν. — ἐπεὶ τοὺς καθάρους οἱ ἀετοὶ ἀναλέγονται. R. L.

697. Ἰσμηνία : Ὄνομα γυναικός.

698. οὐδ' ἦν ἑπτάκις σὺ ψηφίσῃ : Οἱ γὰρ γέροντες ἀεὶ ἐψηφίζοντο κελεύοντες τί πρακτέον καὶ τί μή.

700. παιγνίαν : Ἑορτήν.

701. λείπει ταῖς ἐμαῖς. R. τὴν ἑταίραν : Τὸ χ (ἐνταῦθα)· ὅτι τὴν γυναῖκα ἑταίραν εἶπεν ὡς ἑταῖρον τὸν συνήθη καὶ φίλον.

702. ἐκ Βοιωτῶν ἔγχελυν : Παρὰ προσδοκίαν πέπαιχεν. ἐν γὰρ τῇ Κωπαΐδι λίμνῃ μέγισται ἐγχέλεις (γίνονται).

703. διὰ τὰ σὰ ψηφίσματα : Τὰ ψηφίσματα κωλύοντα.

706. ἄνασσα πράγους : Ἐκ Τηλέφου Εὐριπίδου.

707. γυνὴ πρὸς Λυσιστράτην. R.

713. ἀλλ' αἰσχρὸν εἰπεῖν : Ἐξ Εὐριπίδου.

715. ἦ βράχιστον τοῦ λόγου : Ἀντὶ τοῦ ἵνα συντόμως εἴπω.

719. ἱκανή. R.

720. διαλέγουσαν : Διορύττουσαν. κακεμφάτως.

721. ἦ τοῦ Πανός ἐστι ταῦλιον : Ὅπου. ἐν τῇ ἀκροπόλει ἱερόν ἐστι τοῦ Πανός.

722. κατειλυσπωμένην : Εἱλυσπᾶσθαι κυρίως τὸ ἐπὶ γῆς ἕρπειν, ὥσπερ οἱ ὄφεις καὶ οἱ σκώληκες. (ἀπὸ τοῦ εἱλεῖν καὶ σπᾶσθαι. τροχιλία δέ ἐστιν ὁ τροχὸς τοῦ ξύλου τοῦ φρέατος, δι' οὗ ἱμῶσι. δεδήλωται δὲ περὶ τούτου καὶ ἐν Ὀλκάσι.)

723. τὴν δ' ἐπὶ στρουθοῦ μίαν : Παρ' ὅσον τὸ ὄρνεον θερμὸν εἰς συνουσίαν.

725. ἐς Ὀρσιλόχου χθές : Ὀρσίλοχος πορνοβοσκὸς καὶ μοιχὸς, καὶ ἐπὶ θηλύτητι κωμῳδεῖται.

729. ἔριά μοι Μιλήσια : Ὡς τῆς Μιλήτου καλὰ ἐχούσης ἔρια.

730. ὑπὸ τῶν σέων : (Τῶν) σητῶν. πρὸς τὴν κλίσιν δὲ τῶν σέων· ὅτι ἀπὸ τῆς σεὺς εὐθείας.

732. ὅσον διαπετάσασα : Διαπετάσασα τὰ ἔρια. εἰς τὸ κακέμφατον δὲ αἰνίττεται.

734. ἦν τούτου δέῃ : Τοῦ ἀπολέσθαι. (ἢ) κἂν δέῃ ἀπελθεῖν; καὶ χρῄζεις μὴ ἀπέλθῃς.

735. τῆς ἀμόργιδος : Τῆς λινοκαλάμης. ἔστι δὲ ἡ ἄμοργις ὅμοιον ἀλεπίστῳ λίνῳ. περιλεπίζουσι δὲ αὐτὸ καὶ ἐργάζονται. ἔστι δὲ σφόδρα λεπτὸν, ὑπὲρ τὴν βύσσον, ἢ τὴν κάρπασον· ἅμα δὲ καὶ ἐπὶ τοῦ ἀνδρείου αἰδοίου παίζει, ὅτι καὶ βάμμα γίνεται ἐξ αὐτῆς ἐρυθρόν.

736. (αὕθ' ἡτέρα : Αὕτη ἄλλη τῆς ἄλλης κακίων.)

737. τὴν ἄλοπον : Ἀλέπιστον καὶ ἀκάθαρτον. πρὸς τὴν ὑπόνοιαν.

738. (χώρει πάλιν δεῦρο : Ἐπὶ τὴν ἀκρόπολιν.)

739. ἐγὼ δ' ἀποδείρασα : Ἀποπλύνασα. δηλοῖ δὲ καὶ τὸ κακέμφατον.

743. ἕως ἂν εἰς ὅσιον : Ἀντὶ τοῦ εἰς βέβηλον καὶ μὴ ἱερὸν, ἀλλ' ὅσιον εἰς τοχετόν. ἐπειδὴ ἐν τῇ ἀκροπόλει ἦσαν. παρθένος δὲ ἡ θεός. περικεφαλαίαν εἶχεν ὥστε δοκεῖν κύειν.

746. ὡς τὴν μαῖαν : Ἀντὶ τοῦ ὡς πρός.

748. ἄρρεν παιδίον : Ἀπτομένη τῆς γαστρὸς αὐτῆς τοῦτο φησί.

755. εἰσβᾶσα ταύτην ὥσπερ : Ὅτι ἐν κοιλώμασι τίκτουσιν.

757. οὐδ' ἀμφιδρόμια : Δέον παιδίου, εἶπε κυνῆς. κυνῆν γὰρ εἶχε προσποιουμένη κύειν. ἀμφιδρόμια δὲ ἡ δεκάτη ἡμέρα τῶν τικτομένων παιδίων, ἐν ᾗ τὰ ὀνόματα αὐτοῖς τιθέασι περιδραμόντες κειμένοις.

758. οὐδὲ κοιμᾶσθ' ἐν πόλει : Ἐν τῇ ἀκροπόλει. τοῦτο δὲ ἑτέρα γυνή φησιν.

759. ἐξ οὗ τὸν ὄφιν εἶδον : Τὸν ἱερὸν δράκοντα τῆς Ἀθηνᾶς, τὸν φύλακα τοῦ ναοῦ.

762. τῶν τερατευμάτων : Τῶν προφάσεων καὶ πλασμάτων.

763. ἡμᾶς δ' οὐκ οἴει : Οὐ νομίζεις κἀκείνους ποθεῖν ἡμᾶς.

770. χελιδόνες : Αἱ γυναῖκες δηλονότι. χρησμός.

771. φαλήτων : Τῶν μορίων.

772. τὰ δ' ὑπέρτερα νέρτερα : Τὰ ἐπικρατέστρα εὐτελέστερα ποιήσει, τοὺς ἄνδρας δηλονότι.

773. ἐπάνω κατακεισόμεθα : Ἐρωτᾷ ἐπάνω τοῦ αἰδοίου. κακεμφάτως δὲ ἐδέξατο.

774. (διαστῶσι : Διχῶς ἀποστῶσι.)

776. καταπυγωνέστερον : Μαλακώτερον καὶ πορνικώτερον τῶν χελιδόνων, τουτέστι τῶν γυναικῶν.

785. (ἦν νεανίσκος Μειλανίων : Μήποτε παρὰ τὴν ἱστορίαν εἴρηκεν. οὐ γὰρ Μειλανίων ἔφευγε μᾶλλον, ἀλλ' ἡ Ἀταλάντη. ἐπίτηδες δὲ τοῦτο ὁ τῶν ἀνδρῶν χορὸς ἱστορεῖ.)

789. ἐλαγοθήρα : Ἐκυνηγέτει, λαγοὺς ἐθήρα.

790. πλεξάμενος ἄρκυς : Εἶδος δικτύου. λίνα κυνηγετικά.

795. κατὰ κοινοῦ τὸ μισοῦμεν τὰς γυναῖκας.

796. οἱ σώφρονες : Ἐσμὲν, βδελυττόμεθα.

798. κρόμμυόν τ' ἄρ' οὐκ ἔδει : Οἷον κλαύσει καὶ χωρὶς κρομμύων. ἢ κατὰ τὸ εἰρημένον ἄνω, ἵνα μήποτε φάγῃ σκόροδα καὶ κυάμους μέλανας. ἢ ὅτι δακρύεις καὶ χωρὶς τοῦ κρόμμυον ἐσθίειν. ἢ οὐ πολεμήσεις.

799. τὸ σκέλος ἢ τὸ αἰδοῖον. R.

800. οἷον τιλθήσῃ. R.

801. καὶ Μυρωνίδης γὰρ ἦν : Δύο Μυρωνίδαι ἦσαν, ὡς ἐν ταῖς Ἐκκλησιαζούσαις [303] δεδήλωται. ἐνθάδε τοίνυν μέμνηται τοῦ ἐν Οἰνοφύτοις νικήσαντος.

802. μελάμπυγός τε : Τοὺς λευκοπύγους ὡς γυναικώδεις ἐκωμῴδουν.

804. ὡς δὲ Φορμίων : Φορμίων, στρατηγὸς, σφόδρα εὐδόκιμος, Ἀσωπίου υἱός. ὡς τριχῴδης δὲ καὶ αὐτὸς καὶ μελαίνας πυγὰς ἔχων ἐκωμῳδεῖτο.

807. τῷ Μελανίωνι : Σοὶ τῷ γέροντι.

808. Τίμων ἦν τις : Τίμων οὗτος ἦν ὁ λεγόμενος μισάνθρωπος, ὃν φησι Νεάνθης ἀπὸ ἀχράδος πεσόντα χωλὸν γενέσθαι, μὴ προσιέμενον δὲ ἰατροὺς ἀποθανεῖν σαπέντα. καὶ μετὰ τὴν τελευτὴν αὐτοῦ τὸν τάφον ἄβατον γενέσθαι ὑπὸ θαλάσσης περιρραγέντα, ἐν ὁδῷ τῇ ἐκ Πειραιῶς εἰς Ζωστῆρα καὶ Σούνιον φερούσῃ.

809. ἀντὶ τοῦ ἄβατος καὶ ἄστατος. R. — αἰδρυτος ἀβάτοισιν : Οἷον ἀκάνθαις τετριχωμένος, σκληρός. Ἄλλως. σκόλοψι καὶ παττάλοις ἠσφαλισμένος.

810. τὸ πρόσωπον περιειργασμένος : Ἀντὶ τοῦ σκυθρωπός.

811. ἀπορρώξ : Διὰ τὴν μισανθρωπίαν.

815. πολλὰ καταρασάμενος : Ἐπιεικὴς ἦν καὶ ἔφευγε τοὺς πονηρούς.

817. ὡς εἰ ἡμεῖς ὑμᾶς.

821. κατ' ἐρώτησιν.

822. ἢ εἰρωνείᾳ φησὶν, ἢ ἀληθῶς ἐφοβήθη.

823. λακτίσω.

824. τὸ γυναικεῖον αἰδοῖον.

826. ὅτι ἀπεψιλωμένον φησί.

832. μαινόμενον τῷ ἔρωτι.

834. τουτέστι τῆς αὐτῆς ὁδοῦ καὶ διανοίας.

835. Χλόης Δήμητρος ἱερὸν ἐν ἀκροπόλει, ἐν ᾧ οἱ Ἀθηναῖοι θύουσι μηνὸς Θαργηλιῶνος, ὡς Φιλόχορός φησιν ἐν ς'.

838. κωμῳδεῖ Κινησίαν ὡς κατωφερῆ εἰς συνουσίαν. ἦν δὲ διθυραμβοποιός.

839. πέπαιχεν παρὰ τὸ κινεῖν.

840. παραλογίζεσθαι καὶ τὰ ταύτην παρακολουθοῦντα πλὴν ὧν συνωμοσάμεθα μὴ ποιεῖν, τουτέστι συνουσιάζειν.

841. εἰς ἣν ὠμόσαμεν.

844. σύν σοι ὀπτήσω τῷ ἔρωτι ἀπὸ μεταφορᾶς τῶν κρεῶν.

847. λείπει τὸ ἐγγύς.
ὁ ἐντὸς τῶν φυλασσουσῶν γυναικῶν.

849. ἐν ἡμέρᾳ σκοποῦσα.

852. παίζει πρὸς τὸ πέος ὡς ἀπὸ δήμου τινός. ἢ ἵνα διαβάλῃ αὐτὸν ξένον καὶ Θρᾷκα.

855. διαπαίζει τὰς γυναῖκας ὡς ἐρώσας τοῦ κινεῖν. διὰ στόματος.

857. ἀντὶ τοῦ φυλαττέσθω.

861. ἐν ἐρωτήσει.

862. τὸ αἰδοῖον δείκνυσιν.

863. ἢ ἀργύριον ἢ μερίδα.

864. ἀπὸ τοῦ τείχους κατελθοῦσα ὅπου ἐφύλασσον αἱ ἡμεροσκόποι.

873. τὸ πλῆρες αὐτόσε οὐ καταβήσομαι ἀπὸ τῆς ἀκροπόλεως.

876. οὐδενὸς χρήζων. ὑπὸ τοῦ ἔρωτος θηλυνότι.

877. ἀντὶ τοῦ μὴ ἀπέλθῃς.

878. πρὸς τὸν παῖδα λέγει.

881. οἷον ἄτροφον ἀπὸ τῆς θηλῆς τοῦ μαστοῦ. μὴ θηλασθέν.

883. ἀντὶ τοῦ διὰ τὸ παιδίον.

886. ποθεινότερον, πραότερον.

887. ἀλαζονικῶς θρύπτεται. ἡ δὲ μεταφορὰ ἀπὸ τοῦ βρενθίου μύρου.

888. τὸ ἐντελὲς ὂν τά ἐστιν.

889. διὰ τὸ ὡραῖον αὐτοῦ.

890. τῇ μαμμίᾳ : Ἀντὶ τοῦ ἐμοί.

893. μὴ πρόσαγε τὴν χεῖρά μοι : Ὡς αὐτοῦ ἁπτομένου αὐτῆς αἰσχρῶς.

896. ὀλίγον μέλει σοι : Ἀντὶ τοῦ οὐδὲ ὀλίγον μέλει σοι.

τῆς κρόκης φορουμένης : Διαφορουμένης, διασπωμένης.

898. ἀνοργίαστά σοι : Ἀτέλεστά σοι. ἀντὶ τοῦ οὐκ ὠργίασας τῇ Ἀφροδίτῃ.

900. πρὸς Λάκωνας. R.

903. νῦν δ' ἀπομώμοκα : Ἀντὶ τοῦ ὁρκωμοσίαν πρὸς τὰς γυναῖκας πεποίηκα.

ἀπομώμοκα : Πρὸς σέ. L.

905. καί τοι σ' οὐκ ἐρῶ : Οὐ κρύπτω τὸν ἐμὸν πόθον.

907. ἐναντίον τοῦ παιδίου : Οὐκ ἀποτόμως παραιτεῖται, ἀλλὰ διὰ προφάσεως πλείονος ἐρεθίζει. — ἐκοιμήθης. R.

908. ὦ Μανῆ : Οἰκέτης ὁ Μανῆς.

911. ὅπου τὸ Πανὸς καλόν : Ἐπεὶ ἐρωτικὸς ὁ Πάν. πλησίον δὲ τοῦ Πανείου ἡ Κλεψύδρα ἦν κρήνη.

913. λουσαμένη τῇ Κλεψύδρᾳ : Ἐν τῇ ἀκροπόλει ἦν κρήνη ἡ Κλεψύδρα, πρότερον Ἐμπεδὼ λεγομένη. ὠνομάσθη δὲ Κλεψύδρα, διὰ τὸ ποτὲ μὲν πλημμυρεῖν, ποτὲ δὲ ἐνδεῖν. ἔχει δὲ τὰς ῥύσεις ὑπὸ γῆν, φέρουσα εἰς τὸν Φλεγρεώδη λειμῶνα. — εἰς τὴν ἀκρόπολιν. R.

917. μὰ τὸν Ἀπόλλω : Οὐκ ἔστιν ὅρκος γυναικῶν.

920. καὐγὼ 'κδύομαι : Λείπει τὸ ἱμάτιον.

923. αἰσχρὸν γὰρ ἐπὶ τόνου γε : Ἀντὶ τοῦ ἐπὶ ἐπιτόνου. λείπει γὰρ ἡ ἐπί. δηλοῖ δὲ ἐπὶ δέρματος. (καὶ) Ὅμηρος [Od. M, 423] « ἐπίτονος βέβλητο. »

925. καὶ δὴ 'κδύομαι : Λείπει τὸ ἱμάτιον.

928. Ἡρακλῆς ξενίζεται : Παροιμία ἐπὶ τῶν βραδυνόντων. οἱ γὰρ ὑποδεχόμενοι τὸν Ἡρακλέα βραδύνουσιν. ἀδηφάγος γὰρ ὁ ἥρως.

929. ἀνιστὰς ἀναπήδησον : Ἵνα προσκεφάλαιον αὐτῷ θῇ.

930. ἅπαντα ὄντα : Κατ' ἐρώτησιν.

933. σισύραν οὐκ ἔχεις : Διφθέραν, ἱμάτιον πυκνόν. ἄκναπτον ἱμάτιον καὶ παχὺ ἡ σισύρα.

936. ἄνθρωπος ἐπιτρίψει με : Ἀντὶ τοῦ ἡ γυνὴ ἡ ἄνθρωπος (εἶπε).

937. ἀλλ' ἐπῆρται τοῦτό γε : Τὸ αἰδοῖον δείκνυσι. παρ' ὑπόνοιαν δὲ ἀπήντησε.

943. εἰ μὴ διατριπτικόν γε : Παρὰ τὸ διατρίβειν καὶ ἀναβάλλεσθαι. οἷον διατριβῆς γέμον καὶ βραδυτῆτος· ἐπεὶ καὶ τριβόμενα ἔνια τῶν μύρων ἡδίω γίνεται. (ἅμα δὲ καὶ πρὸς τὴν διατριβὴν λέγει.)

944. τάλαιν' ἐγώ : Τοῦτο φησὶν ἵνα πάλιν ἀπέλθῃ. (οὐ τὸ Σύριον.) Ῥόδιον δὲ μύρον τὸ ἀπὸ τῆς Ῥόδου· ὃ καλοῦμεν ἡμεῖς ῥόδινον.

947. τὸν ἀλάβαστρον : Τὴν μυροθήκην.

ἀλλ' ἕτερον ἔχω : Τὸ αἰδοῖόν φησι.

948. μή μοι φέρε : Τοῦ μύρου.

951. σπονδὰς ποιεῖσθαι ψηφιεῖ : Τοῦτο εἰρηκυῖα ἡ γυνὴ ἄπεισι.

952. ἀπολώλεκέ με : Ὁ ἀνὴρ ἀπελθούσης τῆς γυναικὸς ὀδύρεται.

953. κἀποδείρασ' οἴχεται : Εἰς τὸ αἰσχρόν.

955. ψευσθείς : Ἀντὶ τοῦ ἀπατηθείς.

956. πῶς ταύτην παιδοτροφήσω : Ὡς θυγατρὸς αὐτῷ ἐπομένης. κακεμφάτως δὲ καὶ ἐπὶ τοῦ αἰδοίου δύναται ἀκούεσθαι.

957. ποῦ κυναλώπηξ : (Ὁ Φιλόστρατος.) καὶ ἀλλαχοῦ [Eq. 1069] « Φιλόστρατος ἡ κυναλώπηξ. » ὡς πορνοβοσκοῦ ὄντος τοῦ Φιλοστράτου. βούλεται δὲ τίτθην μισθώσασθαι, ἵνα θρέψῃ τὸ παιδίον.

962. ποῖος γὰρ ἡ νεφρὸς ἀντίσχοι : Πῶς δυνήσῃ σαυτὸν ἐπισχεῖν, οὕτως ἠρεθισμένος.

963. ποία ψυχή : Παρὰ τὰ ἐξ Ἀνδρομέδας « ποῖαι λιβάδες, ποία σειρήν; »

ποῖος ἂν ὄρρος : Ἀντὶ τοῦ πρωκτός.

966. τοὺς ὄρθρους : Ἀντὶ τοῦ ἐν τοῖς ὄρθροις.

973. θωμούς : Σωροὺς ξύλων. θωμοὶ δὲ λέγονται οἱ τῶν πυρῶν σωροί. τυφὼς δὲ ἡ ἐξ ἀναθυμιάσεως τῆς γῆς συστροφὴ, πρὶν ἐκπυρωθῆναι τὸν ἀέρα.

974. μεγάλῳ τυφῷ : Μεγάλῳ καύσωνι.

980. πᾷ τᾶν Ἀσανᾶν : Ἀντὶ τοῦ ποῦ τῶν Ἀθηνῶν ἐστιν ἡ γερουσία, τουτέστιν ἡ ἐκκλησία, καὶ ἡ σύνοδος. διατεταμένος δὲ ἦλθεν. ἀπὸ κοινοῦ δὲ ποῦ εἰσὶ καὶ οἱ πρυτάνεις, οἷς θέλω τι νέον εἰπεῖν.

982. Κονίσαλος : Δαίμων πριαπώδης ὁ Κονίσαλος· ἐκ τοῦ μὴ ὀκνεῖν καὶ ἐπὶ κόνεως μίγνυσθαι.

983. ὦ κυρσάνιε : (Ἀντὶ τοῦ ὦ νεανία, ὦ ἔφηβε. ἢ) ἀντὶ τοῦ εὐτελέστατε. κυρσὸς γὰρ εὐτελὲς λάχανον.

985. κἄπειτα δόρυ ὄντα : Διὰ τὸ τὸ αἰδοῖον αὐτοῦ μέγα εἶναι, ἐξέτεινε τὰ ἱμάτια τῇ χειρί. ὁ δὲ εἶπε δόρυ ἔχεις.

986. (οὐ τὸν Δία : Οὐ μὰ τὸν Δία.)

988. (παλεός γα νὴ τὸν Κάστορα : Ὥσπερ τὸ πήγανον ἔνιοι ἀφαιρέσει τοῦ π ἤγανον λέγουσιν, οὕτως ἐνταῦθα κατὰ τὸ ἐναντίον πλεονάζει τὸ π. ἠλεὸς, ἀλεὸς, παλεός. τουτέστι λῆρος καὶ μάταιος.)

990. μηδ' αὖ πλαδδείη : Μηδὲ πλησίον γένοιτό μοι τὸ στύειν.

991. τί δ' ἐστί σοι τοδί : Τὸ αἰδοῖον δείκνυσι.

σκυτάλα Λακωνικά : Ξύλον ἐστὶν εἰς δύο τεμνόμενον. καὶ τὸ μὲν ἓν δίδοται τῷ στρατηγῷ ἐξερχομένῳ, τὸ δὲ ἄλλο κεῖται ἐν τῇ πόλει.

992. εἴπερ γε χ' αὕτη ὕστι : Καὶ ὁ Ἀθηναῖος δείκνυσιν αὐτῷ τὸ ἑαυτοῦ αἰδοῖον.

995. ὀρσά : Ἀντὶ τοῦ ὀρθή.

πᾶα, πᾶσα, οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν.

996. Πελλάνας δὲ δεῖ : Ὄνομα γυναικὸς ἑταίρας. ἦν γὰρ παρ' αὐτοῖς πόρνη Πελλήνη τοὔνομα. ἐπιθυμοῦσιν οὖν τῆς πόρνης, ἦγουν τῆς πόλεως Πελλήνης. ἀντεποιοῦντο γὰρ αὐτῆς οἱ Λάκωνες.

997. ἀπὸ τοῦ : Ἀπὸ τίνος.

998. ἀπὸ Πανός : Κατ' ἐρώτησιν.

οὐκ. ἀλλ' ἀρχὰ μέν : Ὁ νοῦς· ἤρξατο τὸ κακὸν τοῦτο διδόναι ἡμῖν ἡ Λαμπιτώ. οἰῶ δὲ (κατ' αὐτοὺς) ἀντὶ τοῦ οἶομαι.

1000. ἅπερ : Ὥσπερ.

ἀπὸ μιᾶς ὑσπλαγίδος : (Ἀφέσεως. βαλβῖδος.) ἀπὸ μιᾶς ἀφετηρίας, ἦγουν ἀπὸ ἑνὸς κανόνος καὶ καμπτῆρος.

1001. ἀπήλων : Ἀπήλασαν.

ὑσσάκων : Τῶν γυναικείων μορίων.

1002. ἂν γὰρ τὰν πόλιν : Τὸ τέλειον ἀνά.

1003. ἅπερ : Ὥσπερ.

ἅπερ λυχνοφορίοντες : Οἱ γὰρ λυχνοφοροῦντες κεκύφασι διὰ τὸν ἄνεμον.

1004. οὔτε τῶ μύρτω σίγειν : Οὐδὲ θίγειν τοῦ γυναικείου μορίου.

1007. τουτὶ τὸ πρᾶγμα : Οἱ Ἀθηναῖοι πρὸς τὸν κήρυκα.

1013. ποτάομαι : Δραμοῦμαι. πετήσομαι.

1014. γυναικὸς ἀμαχώτερον : Ἐν ἄλλῳ Κινησίας ἦν ὁ λέγων.

1019. ἀλλ' ὅταν βούλῃ σύ : Ἀπὸ κοινοῦ βεβαίαν φίλην ἔχειν με. καὶ ἔξωθεν ὑπακουστέον τὸ ἔχε.

1020. γυμνὸν ὄνθ' οὕτως : Γυμνὸς γὰρ ἦν.

1023. καὶ τότ' ἀπέδυν ἐγώ : Ἀντὶ τοῦ ἀπεδύσαντο κατὰ τῶν γυναικῶν.

1024. (εἶτ' οὐ καταγέλαστος εἶ : Εἶτα οὐ καταγελασθήσῃ.)

1025. τόδε τὸ θηρίον : Τὴν ἐμπίδα.

1026. ἐξεῖλον : Ἀντὶ τοῦ ἐξέλοιμι.

1027. τοῦτ' ἄρ' ἦν : Ἡ ἐμπὶς δηλονότι.

δακτύλιος οὑτοσί : Δίδωσιν αὐτῇ δακτύλιον, ἵνα ἐξενέγκῃ τὴν ἐμπίδα τοῦ ὀφθαλμοῦ.

1028. ἐκσκάλευσον : Ἐξένεγκε.

1032. οὐκ ἐμπὶς ἥδ' ἐστὶ Τρικορυσία : Ἐμπὶς ζῷον κώνωπι παραπλήσιον. ὡς ἐν Τρικορύθῳ πολλῶν ἐμπίδων γινομένων. ἔστι γὰρ ἀλσώδης καὶ κάθυγρος. ἢ ἐπεὶ πονηροί εἰσιν οἱ Τρικορύσιοι.

1033. ἀπὸ μεταφορᾶς τῶν τὰ φρέατα ὀρυττόντων εἰς βάθος ὡς φρέαρ ἀνώρυττέν φησι. R.

1037. κολακευτικαί. R.

1038. κἄστ' ἐκεῖνο τοὔπος : Ἐν παροιμίᾳ τοῦτο ἔλεγον « κακὸν γυναῖκες, ἀλλ' ὅμως, ὦ δημόται, οὐκ ἔστιν οἰκεῖν οἰκίαν ἄνευ κακοῦ. » καὶ Ἡσίοδος [Op. 58] « ἓν κακὸν ἀμφαγαπῶντες. »

1043. οὐ παρασκευαζόμεσθα : Λέγει ὅτι ὦ ἄνδρες οὐ παρασκευαζόμεσθα εἰπεῖν κακῶς τινα, ἀλλὰ μᾶλλον καλῶς. ὡς ἀπὸ τοῦ ποιητοῦ δέ ἐστιν.

1047. ἱκανὰ γὰρ τὰ κακά : Τὸν πόλεμον λέγουσιν. ἱκανῶς γὰρ ἐκακοπράγουν ἤδη μετὰ τὰ ἐν Σικελίᾳ.

1049. καὶ τὰ παρακείμενα : Τὴν τῶν γυναικῶν καὶ ἀνδρῶν στάσιν λέγει τὰ παρακείμενα.

1050. λεγέτω τίνος δέεται. R.

1053. ἔσω ἡμῖν ἐστιν. R.

1055. κἄν ποτ' εἰρήνη φανῇ : Δηλονότι οὐδὲν αὐτοῖς προήσονται.

1057. ἀντὶ τοῦ κερδάνῃ. R.

ἀντὶ τοῦ ἀποδῷ παρ' ὑπόνοιαν. R.

1058. Καρυστίους : Κάρυστος πόλις Εὐβοίας. διαβάλλονται δὲ ὡς μοιχοὶ οἱ Καρύστιοι.

1064. ἐν ἄλλῳ γενέσθαι ἀντὶ τοῦ ἔξεστι. R.

1066. τὸ ἐλθεῖν. R.

1071. τοῦτο εἰς γέλωτα εἶπεν. R.

1072. παρ' ὑπόνοιαν, δέον ἀνεωχθήσεται. R.

1073. ἔχοντες πώγωνας.

1074. διὰ τὴν τοῦ αἰδοίου ἐξοχήν. (τοῦτο δέ φασιν, ἐπεὶ καθελκόμενα εἶχον τὰ ἱμάτια, ὥστε δόξαι ἀγγεῖά τινα ἔχειν αὐτούς.) τὸ δὲ χοιροκομεῖον ἔοικε πλεκτὸν ἀγγεῖον εἶναι, ἐν ᾧ τοὺς νέους ἔτρεφον χοίρους περιδήσαντες. νῦν δὲ λέγει τὸν πάτταλον, ἐν ᾧ δεσμεύουσι τοὺς χοίρους καὶ τρέφουσιν. ἐπεὶ οὖν ἐντεταμένοι ἦλθον, ἤκασεν αὐτοὺς παττάλοις.

1078. νενευρωμένη δὲ συμφορά : Τὴν ἔντασιν τοῦ αἰδοίου λέγει. νεῦρον γὰρ (τὸ αἰδοῖον).

1079. χεῖρον φαίνεται : Ἀντὶ τοῦ, χεῖρον τῆς τάσεως τοῦ Ἑρμοῦ φαίνεται. τουτέστι χεῖρον τέταται τοῦ Ἑρμοῦ. ἐπειδὴ ὁ Ἑρμῆς πριαπῶδες ἔχει τὸ αἰδοῖον καὶ ἐντέταται μεγάλως.

1080. ὅπα, ὅπου. σέλει, θέλει. ἐλσών, ἐλθών. ἀντὶ τοῦ, πάντα πράττων τις ἀγέτω ἡμῖν εἰρήνην.

1083. ὥσπερ παλαιστάς : Οἱ γὰρ ἀσκοῦντες παῖδες συστέλλουσι τὰ ἱμάτια, ὅπως μὴ προστρίβωνται (τὰ αἰδοῖα) καὶ μιανθῇ τὰ ἱμάτια. τοὺς δὲ Ἀθηναίους λέγει τεταμένους. φαίνονται δὲ οἱ ἀσκοῦντες παῖδες, ὡς μὴ παρατρίβοιντο τὰ αἰδοῖα εἰς ὑπόμνησιν (τῆς) συνουσίας ἀφιστάναι τὰ ἱμάτια ἑαυτῶν.

1085. ἀσκητικὸν τὸ χρῆμα τοῦ νοσήματος : Ἀντὶ τοῦ μέγα. διὰ τὴν ἐπιθυμίαν τῆς εἰρήνης εἶπε τοῦ νοσήματος.

1087. δείκνυσιν. R.

1088. ὁμοία. R.

1089. σπασμός: Τέτανος. — οἱ γὰρ σπασμὸν ἔχοντες περὶ τὸν ὄρθρον αἴσθονται σφόδρα. R. Bar.

1090. συγκόπτοντες, τὰ ἱμάτια συστέλλοντες. R.

1092. οὐ Κλεισθένη βινήσομεν : Οὗτος Σιβυρτίου παῖς ἐπὶ θηλύτητι κωμῳδούμενος.

1093. εἰ σωφρονεῖτε : Τοῦτο φησίν· εἰ μὴ περιβαλεῖσθε, ἀλλὰ φανερὰ ἕξετε τὰ αἰδοῖα, ἀκρωτηριάσει τις ὑμᾶς τῶν Ἑρμοκοπιδῶν. ἐξ οὗ δῆλον ὅτι μετὰ τὸ εἰσελθεῖν ἀπεγυμνώθησαν φορτικῶς πάνυ.

1094. Ἑρμοκοπιδῶν : Παρόσον οἱ Ἑρμοκοπίδαι ἠκρωτηρίασαν τοὺς Ἑρμᾶς, ὅτε ἐπὶ Σικελίας ἔμελλον πλεῖν (πρὸ ἐτῶν τεσσάρων τῆς καθέσεως τούτου τοῦ δράματος. τὴν δὲ αἰτίαν ταύτην οἱ μὲν τοῖς περὶ Ἀλκιβιάδην προσέγραφον, ὡς Θουκυδίδης· οἱ δὲ Κορινθίοις, ὡς Φιλόχορος. μόνον δὲ φησὶν οὐ περικοπῆναι τὸν Ἀνδοκίδου Ἑρμῆν.)

1099. ἄνδρες οἱ Ἑρμοκοπίδαι. ἐκδεδαρμένους, τὰ αἰδοῖα ἀνατεταμένους.

1100. οἱ Βοιωτοὶ πρὸς τοὺς Λάκωνας.

1105. παίζει, μὴ μόνον Λυσιστράτην. παρὰ τὸ λύειν τὸν στρατόν.

κἂν λῆτε : κἂν βούλησθε. διαβάλλει τινά.

1110. τῷ σῷ πόθῳ, τῇ σῇ θέλξει. ἴυγξ ὄρνεόν ἐστιν ἐπιτήδειον πρὸς τὰς τῶν φίλτρων κακίας.

1113. μὴ συνόντας ἀλλήλοις μήτε πεῖραν ἑαυτῶν δεχομένους· ὀργῶντας, πρὸς εἰρήνην.

1114. ὡς πρός τινα ἐξυπηρετουμένην ἣν καλεῖ Διαλλαγήν. καὶ ὅλως ἐκ τοῦ μέρους τούτου Λυσιστράτη ἡ διαλλαγαὶ κέκληται τὸ δρᾶμα.

1117. ὡς ὀχληρῶν ὄντων τῶν Ἀθηναίων ἐν μάχαις.

1119. σκώπτει αὐτοὺς ὡς μαινομένους ἐπὶ τῷ ἔρωτι. τῆς σάθης, τοῦ αἰδοίου.

1121. ἄν σοι δῴη ἢ τὴν χεῖρα ἢ ἄλλο τι.

1123. ὦ Ἀθηναῖοι.

1125. ὁ στίχος ἐκ σοφῆς Μελανίππης Εὐριπίδου.

1127. οὐ πεπαίδευμαι κακῶς.

1129. τοὺς αὐτοὺς θεοὺς τιμῶντες οὐχ ὁμονοοῦμεν ἀλλήλοις.

1131. τοὺς αὐτοὺς ἀγῶνας ἄγομεν, Ὀλύμπια καὶ Πύθια. Ἄλλως. ἐν Πύλαις ἀντὶ τοῦ ἐν Θερμοπύλαις. ἔπεμπον γὰρ εἰς τὴν Πυλαϊκὴν πανήγυριν τοὺς λεγομένους ἱερομνήμονας. ὅλος ὁ ἴαμβος λέλεκται ἐξ Ἐρεχθέως.

1132. εἰ δέον ἐστί μοι μακρολογεῖν.

1133. ὡς τῶν Λακώνων χρωμένων συμμάχοις βαρβάροις.

1137. εἰς σύμβασιν αὐτοὺς καὶ φιλίαν προτρεπομένη ἄρχεται τοῦ αὐτοὺς ὑπομιμνήσκειν ὧν ἦσαν ἐξ ἀλλήλων εὖ πεπονθότες. οἱ μὲν γὰρ Ἀθηναῖοι καταπονουμένους αὐτοὺς ὑπὸ Μεσσηνίων διέσωσαν, οἱ δὲ Λακεδαιμόνιοι καθεῖλον τὴν τῶν Πεισιστρατιδῶν τυραννίδα βοηθοῦντες Ἀθηναίοις.

1138. ταῦτα καὶ οἱ συντεταχότες τὰς Ἀτθίδας ἱστοροῦσιν περὶ τῶν Λακεδαιμονίων· ὁ δὲ Φιλόχορός φησι καὶ τὴν ἡγεμονίαν τοὺς Ἀθηναίους λαβεῖν διὰ τὰς κατασχούσας τὴν Λακεδαίμονα συμφοράς.

ὁ στρατηγὸς Λακεδαιμονίων.

1141. σημαίνει ὅτι πόλεμος ἦν αὐτοῖς πρὸς Μεσσηνίους.

1142. σείων μέγα, ὁ Ποσειδῶν. σεισμοὶ γὰρ συχνοὶ ἐγένοντο ὅτε ὁ πόλεμος συνειστήκει.

1144. Κίμων, μετὰ τὴν ἐν Πλαταιαῖς μάχην ιϛ' ἔτει ὕστερον. ταῦτα ἦν ἐπὶ Θεαγενίδου. καὶ γὰρ τοῦ Ταϋγέτου τι παρερράγη καὶ τὸ ᾠδεῖον καὶ ἕτερα καὶ οἰκίαι πλεῖσται, καὶ Μεσσήνιοι ἀποστάντες ἐπολέμουν καὶ οἱ εἵλωτες ἐπέστησαν, ἕως Κίμων ἐλθὼν διὰ τὴν ἱκετηρίαν ἔσωσεν αὐτούς.

1148. ὡς πρὸς γυναῖκα. λέγει δὲ τὴν γῆν τῆς Ἀττικῆς λιπαρὰν εἶναι.

1149. ἀφήσειν τῆς μέμψεως οἴει.

1152. καὶ γὰρ τῶν Θετταλῶν οἱ πλεῖστοι ἐβοήθουν Ἱππίᾳ.

1153. Ἀριστοτέλης φησὶ μετὰ τὸν Ἱππάρχου θάνατον χρησμὸν γενέσθαι τοῖς Λάκωσιν καταλύειν τὴν τυραννίδα, τῆς Πυθίας, ὡς οἱ Ἀλκμαιωνίδαι ἐμισθώσαντο τὸν ἐν Δελφοῖς νεὼν οἰκοδομεῖν, συνεχῶς τοῦτο χρώσης αὐτοῖς μαντευομένοις, ἕως πρότερον μὲν Ἀγχιμόλιον ἔπεμψαν κατὰ θάλασσαν, ἀποκρουσθέντος δὲ αὐτοῦ ὀργισθέντες οἱ Λάκωνε Κλεομένη τὸν βασιλέα σὺν μείζονι ἐξέπεμψαν στόλῳ, καὶ νικήσας τοὺς Θετταλοὺς εἰσῆλθεν εἰς τὴν Ἀττικὴν καὶ τὸν Ἱππίαν συνέκλεισεν εἰς τὸ Πελαργικὸν τεῖχος, ἕως οἱ παῖδες τῶν τυράννων ἐξιόντες ἐάλωσαν.

1157. ἀγαθωτέραν.

1162. ἡμεῖς θέλομεν, ἐάν τις ἡμῖν θελήσῃ ἀποδοῦται τὸ ἔγκυκλον, τουτέστι τὴν Ὕλον, διὰ τὴν τῶν τειχῶν περιβολήν.

1164. ἀντὶ τοῦ ψηλαφῶμεν καὶ ἐπιθυμοῦμεν.

1166. ἀντὶ τοῦ οἰκήσομεν.

1169. ταῦτα οἱ Λακεδαιμόνιοι ἐδόκουν οὐκ ἐπιτηδείως ἔχειν. ἔστι δὲ ὁ Ἐχινοῦς κόλπος. λιμήν ἐστιν ὄπισθεν τοῦ Ἐχινοῦντος.

1170. σκέλη τόπος οὕτω καλούμενος τῆς Μεγαρίδος. σημαίνει δὲ καὶ τὸ κακέμφατον. οἱ δὲ τὰ Μεγαρικὰ τείχη.

1171. ὦ μαινόμενε.

1173. ἀπαλλαγεὶς τοῦ πολέμου γυμνὸς βούλομαι γεωργεῖν, ἀντὶ τοῦ θέλω τὴν εἰρήνην.

1174. ἀντὶ τοῦ κόπρον ἄγειν πρῶτον, ὡς μὴ εὐπορούντων αὐτῶν ἀροσίμης γῆς.

1176. δρᾶν ταῦτα, τὰ τῆς γεωργίας.

1180. κατ' ἐρώτησιν.

1181. τοῖς ἐμοῖς.

τοὺς Καρυστίους ὡς μοιχοὺς κωμῳδοῦσιν. ἦσαν δὲ Ἀθηναίων σύμμαχοι.

1184. ἀντὶ τοῦ ὧν εἴχομεν ἐδεσμάτων ἐν τῇ κίστῃ.

1189. ἀποκοπή ἐστι τοῦ ἄλλου χοροῦ, ὡς παρ' Εὐπόλιδι ἐν Κόλαξι.

πορφυρῶν περιβολαίων.

1194. χρυσοφοροῦσι γὰρ αἱ κανηφόροι.

1198. εὖ ἐσφραγίσθαι ὅσα εὑρίσκει ἔνδον.

1200. ῥύπους : τὰς σφραγῖδας· ἐκ πηλοῦ γὰρ ὑπῆρχον.

1202. παίζουσα λέγει μηδὲν εἶναι ἔνδον. περιβλεπόμενος δὲ, φησὶν, οὐδὲν εὑρήσει.

1204. εἰ δέ τινι.

1206. ἀντὶ τοῦ πυροὺς ὑποκοριστικῶς.

1209. μέγας.

1211. θυλάκους. πλέγμα δεκτικὸν ἄρτων.

1212. ὁ δοῦλος.

1213. γέλωτος χάριν.

1216. ἐπικωμάζει λαμπάδα ἔχων. δεῖ δὲ νοεῖν ὅτι πρὸς τὴν θυρωρὸν λέγει.

1218 — 1220. τὸ πρᾶγμα, τὸ ὑμᾶς καῦσαι. ὑμῖν τοῖς θεαταῖς τελειώσομεν τὸ δρᾶμα. φορτικὸν μέν ἐστιν εἰσελθεῖν εἰς τὴν σκηνὴν μετὰ λαμπάδος καὶ καταφλέξαι τινά· εἰ δὲ βούλεσθε, ὦ θεαταὶ, καὶ τοῦτο ποιήσομεν προσχαριζόμενοι ὑμῖν.

1222. ἀντὶ τοῦ τὸν ἐγκέφαλον ἢ τὰς τρίχας καιομένας.

1225. ἐξέρχεταί τις τῶν Ἀθηναίων ἀπὸ τοῦ συμποσίου.

1227. σκώπτει τοὺς Ἀθηναίους ὅτι νήφοντες μὲν καλῶς βουλεύονται, μεθύοντες δὲ καλῶς διαπράττονται.

1237. Τελαμῶνος : (Ἀρχή τινος σκολίου « παῖ Τελαμῶνος αἰχμητά, » περὶ οὗ δεδήλωται ἤδη.) ὁ δὲ νοῦς ὅτι τὰ ἐναντία λέγομεν ἑαυτοῖς καὶ πράττομεν. ὅταν γάρ τις ἄσῃ ἀπὸ τῶν σκολίων Πινδάρου, λέγομεν ὅτι δεῖ μᾶλλον ᾄδειν ἀπὸ Κλειταγόρας τῆς ποιητρίας· ἡ γὰρ Κλειταγόρα ποιήτρια ἦν Λακωνικὴ, ἧς μέμνηται καὶ ἐν Δαναΐσιν Ἀριστοφάνης.

1239. αὖθις ἔρχονται πάλιν : Τουτέστι συνήχθησαν πάλιν. ἦν γὰρ θεράπων διασκορπίσας αὐτοὺς τῇ λαμπάδι.

1242. ὦ Πολυχαρίδα : Πιθανώτερόν ἐστι, Βοιωτῶν αὐτὸν εἶναι. ἀλλὰ γὰρ ἐν τοῖς πρέσβεσιν οὐδαμοῦ παρέδωκεν, ὅτι καὶ ἕτεροι παρῆσαν. γυναῖκες μὲν γὰρ ἐληλύθασι καὶ Κορίνθιαι καὶ Βοιώτιαι ἐπὶ τῆς πρεσβείας. οὐ λέγει δὲ Λάκων, ἀλλὰ Λάκωνες. ἀπίθανον δέ ἐστι μὴ παρεῖναι τοὺς παραληψομένους τὴν Βοιωτίαν καὶ τὴν Κορινθίαν. ἡ μὲν γὰρ Λαμπιτὼ εἰς Λακεδαίμονα ᾤχετο.

1243. ἵν' ἐγὼ διποδιάξω γε : Τοῖς δύο ποσὶ χορεύσω. εἶδος δὲ ὀρχήσεως ἡ διποδία, ἧς μέμνηται καὶ Κρατῖνος ἐν Πλούτοις « ἄρξει γὰρ αὐτοῖς διποδία καλῶς. » — τοὺς αὐλοὺς, ἀπὸ τοῦ φυσᾶν. R.

1247. ὅρμαον : Ἄρχεται τῇ ἰδίᾳ διαλέκτῳ τοὺς αὐλοὺς φυσᾶν ὁ Λάκων. ὁ δὲ νοῦς· ὅρμησον, ὦ μνημοσύνη, τῷ ἐφήβῳ τὴν σὴν μοῦσαν. κυρσανίους δὲ καλοῦσιν οἱ Λάκωνες τὰ μειράκια, καὶ τοὺς εὐτελεῖς ἀνθρώπους παρ' αὐτοῖς. (λείπει δὲ ἡ εἰς πρόθεσις, εἰς τοὺς κυρσανίους.)

ἀντὶ τοῦ μέλλοντας ὀρχεῖσθαι. R.

1249. μοῦσαν. R.

1250. τοὺς Ἀθηναίους. R.

1251. ἐπ' Ἀρτεμισίῳ : Ἄκρα ἐστὶν Εὐβοίας τὸ Ἀρτεμίσιον, ἔνθα ἐπολέμησαν τῷ Ξέρξῃ οἱ Ἀθηναῖοι.

1252. τὸ πλῆρες θεοείκελοι ἐμάχοντο, θεοῖς ὅμοιοι προέκρουον καὶ ἐμάχοντο. R.

1253. πρὸς τὰ πλοῖα. R.

1254. Λεωνίδας στρατηγὸς Λακεδαιμονίων. R.

1255. ἅπερ τὼς κάπρως : Ὥσπερ τοὺς κάπρους· συνεβοήθουν γὰρ κατὰ Περσῶν τοῖς Ἀθηναίοις οἱ Λακεδαιμόνιοι.

1257. πολὺς δ' ἀμφὶ τὰς γένυας : Πρὸς τὸ παρὰ τῷ Ἀρχιλόχῳ « πολλὸς δ' ἀφρὸς ἦν περὶ στόμα. » καὶ Σοφοκλῆς [El. 1219]. Αἰσχύλος δὲ « ἀφρὸς βορᾶς βροτείας ἐρρύη κατὰ στόμα. » — ἀντὶ τοῦ ἤνθει. R.

1259. ἔπαιζεν. ἐπὶ δειλίᾳ δὲ αὐτοὺς κωμῳδεῖ ὡς ἐναφιέντας.

1260. ἦσαν γὰρ οἱ Πέρσαι οὐκ ἐλάσσονες τῶν ψάμμων.

1262. θηροκτόνε.

1263. παρθένε θεά.

1266. τῶν πανούργων ῥητόρων.

1274. παραδίδωσι λοιπὸν μετὰ ταῦτα τοῖς μὲν Λάκωσι τὰς Λακαίνας, τοῖς δὲ Ἀθηναίοις τὰς ὁμοφύλους.

1276. ἐπ' εὐτυχίαις.

1281. ἐπὶ δὲ Δίδυμον : Ἀπὸ Διδύμου τῆς Μιλήτου τόπου Διδυμαῖος Ἀπόλλων καλεῖται. ἢ ὅτι δύο εἰσὶ χοροὶ, ὁ τῶν Λακώνων καὶ ὁ τῶν Ἀθηναίων.

1283. μετὰ τῶν βακχῶν. βλέπει. R.

1285. ἀντὶ τοῦ φλέγοντα διὰ τῶν κεραυνῶν. R.

1286. ὑμνήσατε. Ἥραν. ἢ τὴν Ἀριάδνην. R.

1287. δαίμονας : Ἄλλους. καὶ τοὺς ἄλλους θεοὺς κάλεσον.

1289. τῆς εἰρήνης.

1296. ἐπὶ νέα νέαν : ἐπὶ νεώτερα πράγματα, νέαν μοῦσαν.

1297. ἐκλιποῦσα μοῦσα.

1299. κλείουσαι καὶ ὑμνοῦσαι.

1300. οὕτω χαλκιοίκου Ἀρτέμιδος ἱερὸν ἐν Λακεδαίμονι. ἢ Ἀθηνᾶς. διχῶς. ἄνασσαν Ἀθήνην. χαλκίοικος δὲ ἡ Ἀθηνᾶ τιμᾶται ἐν Σπάρτῃ.

1301. ἀγαθούς.

1302. παίζουσιν.

1303. ἄγε. ἐπίφθεγμα παρακελευστικόν.

1306. ἥτινι οἱ χοροὶ τῶν θεῶν μέλουσιν.

1308. ἤ τε, ὅπου. ἢ ὡς εἴτε ὥσπερ.

1310. λείπει τὸ κτύπον.

1311. ἀνακινοῦσαι.

1313. θυρσαδδωᾶν : Ὥσπερ αἱ τῶν βακχῶν. ἀντὶ τοῦ θυρσαζουσῶν καὶ παιζουσῶν, παρὰ τὸ δονεῖν τοὺς θύρσους.

1316. παραμπυκίδδετε : Παραπλέκετε, ποικίλλετε. ὁ ἀντὶ τοῦ σκέπασον τῇ ἄμπυκι.

1317. οἷον πήδα. R.

1318. ὡς ἔλαφος. R.

1319. χορωφελέταν : Ἀντὶ τοῦ, ποίει κρότον ὠφελοῦντα τὸν χορόν.

1320. καὶ τὰν σιὰν δ' αὐτάν : Καὶ τὴν θεὰν Ἀθηνᾶν. 5

ΘΕΣΜΟΦΟΡΙΑΖΟΥΣΑΙ.

SCHOLIA IN THESMOPHORIAZUSAS.

Προλογίζει Μνησίλοχος κηδεστὴς Εὐριπίδου.

ὁ χορὸς ἐκ θεσμοφοριαζουσῶν.

καὶ τοῦτο τὸ δρᾶμα τῶν κατ' Εὐριπίδου πεποιημένων. ἀπὸ δὲ τῶν θεσμοφορίων τὰς θεσμοφοριαζούσας γυναῖκας ἐπέγραψεν, ἀφ' ὧν καὶ ὁ χορός.

Εὐριπίδου γυνὴ μὲν Χοιρίλη, μήτηρ δὲ Κλειτώ.

1. ἐπεὶ εἰώθασιν ἀπὸ χειμῶνος εὔχεσθαι ἔαρ, τῷ δὲ ἔαρι χελιδόνες φαίνονται, οὗτος δὲ ὥσπερ ἐχειμάσθη περιαγόμενος ὑπὸ Εὐριπίδου ἀλύοντος. τοῦτο ἔφη ἐν ἤθει οἷον πότε ἀπαλλαγήσομαι τοῦ κακοῦ τούτου, ὥσπερ οἱ ἐκ χειμῶνος ἐπιθυμοῦντες ἔαρ ἀφικέσθαι.

2. ἀλοῶν : Ἔξωθεν ἐν κύκλῳ περιάγων ὡς οἱ ἐν ταῖς ἅλωσι. καὶ τὸ τύπτειν ἀλοᾶν λέγουσιν ἀπὸ τῶν κοπτόντων τοὺς στάχυας.

3. οἷόν τε : δυνατὸν, ἐρωτηματικῶς.

5. ὁ μὲν τραγικώτερον καὶ ὑψηλότερον φράζει, ὁ δὲ ταπεινότερον ἢ δεῖ ἀκούει.

11. ταῦτα τῶν φυσικῶν λόγων. χωρὶς, τοῦ ἀκούειν καὶ ὁρᾶν.

12. ἀντὶ τοῦ εἰπεῖν τοῦ ἀκούειν καὶ ὁρᾶν εἶπε τοῦ μήτ' ἀκούειν μήθ' ὁρᾶν.

15. ἐπεὶ ὁ αἰθὴρ δοκεῖ τρέφειν ἡμᾶς. κινούμενα : οὐδὲν γὰρ δίχα κινήσεως γίνεται. ξυνετέκνου δὲ ἀντὶ τοῦ ἐτεκνοποίει.

17. ἀντίμιμον : ὅμοιον. λείπει τὸ περιφερές.

18. λείπει ὡς.

21. διὰ τούτου ὑπονοεῖ Εὐριπίδου εἶναι ἐκεῖνο τὸ « σοφοὶ τύραννοι τῶν σοφῶν ξυνουσίᾳ. » ἔστι δὲ Σοφοκλέους ἐξ Αἴαντος Λοκροῦ. ἢ οὖν ἐπίτηδες, ἵνα καὶ τοὺς ἄλλους ἐξαπατήσῃ, ἢ συνέμπτωσις Σοφοκλεῖ καὶ Εὐριπίδῃ ἐγένετο. οἷόν γε πού 'στιν αἱ σοφαί : καὶ διὰ τούτου φαίνεται ὑπονοῶν Εὐριπίδου εἶναι τὸ « σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ. » ἔστι δὲ Σοφοκλέους ἐξ Αἴαντος Λοκροῦ. ἐνταῦθα μέντοι ὑπονοεῖ μόνον, ἐν δὲ τοῖς Ἥρωσιν ἀντικρυς ἀποφαίνεται. καὶ Ἀντισθένης καὶ Πλάτων [Rep. 8, p. 568, A; Theag. p. 125, D] Εὐριπίδου αὐτὸ εἶναι ἡγοῦνται, οὐκ ἔχω εἰπεῖν ὅ τι παθόντες. ἔοικε δὲ ἤτοι πεπλανημένος ἢ συνεξαπατῆσαι τοὺς ἄλλους, ὥσπερ ὑπονοοῦσί τινες συμπτώσεις τῷ τε Σοφοκλεῖ καὶ τῷ Εὐριπίδῃ, ὥσπερ καὶ ἐπὶ ἄλλων τινῶν. τὸ μέντοι δρᾶμα ἐν ᾧ Εὐριπίδης ταῦτα εἶπεν οὐ σώζεται.

24. ἵνα μὴ περιπατήσῃ μετ' αὐτοῦ.

25. πρόσεχε ἀντὶ τοῦ μνῆσαι.

27. λείπει ἡ διά, οἷον σιωπῶ διὰ τὸ θύριον. ἔπαιξε δέ.

31. οἱ περὶ Ἀρίσταρχον καὶ Δίδυμόν φασιν εἶναι τοιοῦτον Ἀγάθωνα. ἐγὼ δὲ οὐχ ἡγοῦμαι, ἀλλ' ἐπειδὴ βούλεται κωμῳδεῖν τὸν Ἀγάθωνα ὡς μήτε καρτερὸν μήτε μέλανα, τοῦτο εἶπεν. ἢ ἄσημόν τινα.

32. ἐπειδὴ οὐ πάλαι ἤρξατο διδάσκειν, ἀλλὰ τρισὶν πρὸ τούτων ἔτεσιν.

33. διαβάλλει τὸν Ἀγάθωνα πάλιν ὡς λεῖον καὶ ἀποτίλλοντα αὐτοῦ τὰς τρίχας τοῦ πώγωνος.

36. κρυβῶμεν. κυρίως δὲ πτήσσειν ἐστὶ τὸ φεύγειν καὶ φοβεῖσθαι.

38. ὅτε γὰρ δρᾶμα ποιῆσαι ἤθελον, πρότερον θυσίας ἐποίουν.

λείπει τὸ ὡς, ὡς ἔοικε.

39. παρὰ τοῖς τραγικοῖς οὕτω λέγεται, πᾶς ἔστω λαός.

41. ὁ ἱερὸς χορός.

43. ἐπεχέτω.

45. ἐπίρρημα ἐπὶ θαυμασμοῦ λαμβανόμενον.

48. ἀναδιπλασιάζει τὴν λέξιν.

52. προοίμια. κυρίως δὲ δρύοχοί εἰσιν οἱ ἐντιθέμενοι πάτταλοι ναυπηγουμένης νεώς.

53. ὡς ἀπὸ τῶν οἰκοδομούντων.

54. ὡς ἐπὶ τεκτόνων.

μέλη κολλᾷ.

55. ὄνομα ἀντὶ ὀνόματος τίθησιν.

56. ὡς ἐπιπηγνύντος καὶ συντιθέντος.

μεταστρέφει.

57. χωνεύει.

58. τοῖς φραγμοῖς τῶν οἴκων.

60. ἀντὶ τοῦ ἐπὶ τοῦ θριγκοῦ.

61. συγκάμψας.

62. ὡς εἰς χόανον τὸν πρωκτὸν ἐμβαλεῖν.

68. ὡς ἀπὸ τῶν λυόντων τὸν κηρὸν ἐν τῷ ἡλίῳ.

ἐπειδὴ δύσκαμπτοι αἱ στροφαί. καὶ Ἀριστοφάνης [Nub. 971] τὰς δυσκολοκάμπτους αὐτὰς φησιν. εἴρηται δὲ καὶ διὰ τὴν φωνὴν, ἐπεὶ λέγεταί τι κάμπτειν καὶ ἐν ταῖς ᾠδαῖς.

71. στενάζει φοβούμενος τὰς γυναῖκας.

74. τὸ σημεῖον· οὐ μόνον κηδεστὴς ὁ ἐκδιδοὺς, ἀλλὰ καὶ ὁ λαμβάνων.

80. τοῦτο τῶν ζητουμένων ἐστὶ, πῶς καὶ τρίτην καὶ μέσην εἶπεν. ια' γὰρ ἄνοδος, εἶτα ιβ' νηστεία, εἶτα τρισκαιδεκάτη καλλιγένεια, ὥστε μέση μὲν εἶναι δύναται, τρίτη μὲν οὔ, ἀλλὰ δευτέρα. ἀλλ' οὐδὲ ψυχρεύεσθαί τις δύναται λέγων ὅτι τρίτη ἡ τρισκαιδεκαταία, ὡς ἑκταία ἑκατηβόλος σελάνα, ἑκκαιδεκαταία· ἡ γὰρ μέση οὐκ ἔστιν ιγ', ἀλλὰ δωδεκάτη. ἡ λύσις οὖν ἥδε. δεκάτῃ ἐν Ἁλιμοῦντι Θεσμοφόρια ἄγεται, ὥστε τρίτην

μὲν ἀπὸ δεκάτης ιϐ' εἶναι, μέσην δὲ μὴ συναριθμουμένης τῆς δεκάτης. τοῦτο δὲ αἰνιγματῶδες κατὰ Καλλιμάχου ἄν τις φαίη, ἔνθα μὲν τρίτη λέγεται, συναριθμεῖν τὴν ι', ἔνθα δὲ μέση, μηκέτι συναριθμεῖν. καὶ ὅπου γε λιμώττουσιν, ἀστειζόμενοι τὴν μέσην τῶν Θεσμοφορίων ἄγειν φασὶν, ἐπεὶ αὕτη ἡ νηστεία. ἑνδεκάτη Πυανεψιῶνος ἄνοδος. δωδεκάτη νηστεία, ἐν ᾗ σχολὴν ἄγουσαι ὑπόκεινται αἱ γυναῖκες ἐκκλησιάζουσαι περὶ Εὐριπίδου. τρισκαιδεκάτη καλλιγένεια. γ' οὖν συναριθμουμένης ι', μέσην δὲ τῆς ἀνόδου καὶ τῆς καλλιγενείας.

83. κἀν θεσμοφόροιν : Ἀττικὴ σύνταξις καὶ δυϊκὴ, ἀντὶ τοῦ ἐν τῷ τῶν θεσμοφόρων ἱερῷ, Δήμητρος καὶ Περσεφόνης.

93. ἀεὶ γὰρ τὸν Εὐριπίδην ὡς πανοῦργον διαβάλλει.

94. εἶδος πλακοῦντος ὁ πυραμοῦς. οὗτος δὲ ἐτίθετο τοῖς διαπαννυχίζουσιν ἔπαθλον, καὶ ὁ ἐγρηγορὼς ἕως πρωΐας ὡς νικῶν αὐτὸν ἐλάμβανε. νῦν οὖν ταύτῃ τῇ μεταφορᾷ ἐχρήσατο ὡς νικῶντος αὐτοῦ τῇ πανουργίᾳ πάντας, ἤτοι τὰς γυναῖκας.

96. ἐπὶ ἐκκυκλήματος γὰρ φαίνεται.

98. Κυρήνην : Τὴν ἑταίραν, περὶ ἧς πολλάκις φησί. τοιοῦτον δὲ τὸν Ἀγάθωνα καὶ οἱ ἄλλοι κωμῳδοῦσιν.

100. ὡς λεπτὰ καὶ ἀγκύλα ἀνακρουομένου μέλη τοῦ Ἀγάθωνος· τοιαῦται γὰρ αἱ τῶν μυρμήκων ὁδοί. μεταξὺ δὲ τῶν δυοῖν ἀξιοῦσί τινες γράφειν μινυρισμὸς, ὡς πολλὰ τοιαῦτα παρεπιγράφεται.

101. ὁ Ἀγάθων ὑποκριτικὰ μέλη τέως ποιεῖ. ἀμφότερα δὲ αὐτὸς ὑποκρίνεται.

μονῳδεῖ ὁ Ἀγάθων ὡς πρὸς χορὸν, οὐχ ὡς ἐπὶ σκηνῆς, ἀλλ' ὡς ποιήματα συντιθείς. διὸ καὶ χορικὰ λέγει μέλη αὐτὸς πρὸς αὑτὸν, ὡς χορικὰ δέ. χθονίαις δὲ τῇ Δήμητρι καὶ τῇ Κόρῃ.

105. εὐπίστως ἔχω πρὸς τὸ τοὺς θεοὺς ὑμνῆσαι καὶ εὐλογῆσαι.

109. ὃς τὴν Ἴλιον ἐτείχισεν.

117. τὴν παρθένον.

121. τῇ Φρυγίᾳ ἁρμονίᾳ ἡρμοσμένα.

καὶ τὰ κρούματα τοῦ Ἀπόλλωνος κιθάρας σέβομαι, ἐπειδὴ εἶπε κάτω « κιθάραν ματέρα ὕμνων. » Ἀσιάδα δὲ τὴν κιθάραν λέγει.

122. ὀρχήματα.

123. τὸ σέβομαι κοινόν.

125. εὐτόνῳ. προεῖπε γὰρ ὅτι ἐκ παρθένων ἐστὶν ὁ χορός. ἢ ἄρσενι βοᾷ δοκίμῳ, ἐπεὶ Ἀπόλλων ἐστὶν ὁ κιθαρίζων. τῆς οὖν κιθάρας ἄρσενι βοᾷ δοκίμου οὔσης φῶς ἔσσυτο. ἐπάγει δὲ σημεῖον τοῦ παρὰ Ἀπόλλωνος λελέχθαι.

τῇ θαυμαστῇ φωνῇ καὶ δεδοκιμασμένῃ.

126. τῆς κιθάρας φῶς ἔσσυτο τοῖς σοφοῖς· ἀπὸ γὰρ τῆς κιθάρας ἐδιδάχθησαν οἱ παλαιοὶ ᾄδοντες καὶ γράφοντες ποιήματα. ἢ τῇ Λητοῖ λαμπρότατα ὄμματα λέγει.

πάλιν δὲ φῶς ἐγένετο αὐτοῖς ἀπὸ τῆς ἡμετέρας φωνῆς· ἄνευ γὰρ κιθάρας ἢ ἄνευ ἀνδρὸς τοῦ διδάσκοντος οὐ μαθήσεταί τις.

127. ἀντὶ τοῦ ἐνθουσιαστικῆς.

129. ὀλολύζει. παρεπιγραφὴ τοῦτο· εἰπόντος γὰρ τοῦ Ἀγάθωνος ὁ κηδεστὴς τοῦ Εὐριπίδου ὀλολύζει εἰς τὴν θηλύτητα αὐτοῦ καὶ μόνον οὐχὶ γυναικὸς εὐχήν.

130. δαίμων ἡ Γενετυλλὶς περὶ τὴν Ἀφροδίτην. φασὶ δὲ παρὰ τὴν γέννησιν πεποιῆσθαι τὸ ὄνομα. τινὲς δὲ περὶ τὴν Ἄρτεμίν φασιν αὐτὰς τῶν τοκετῶν ἐφόρους, καὶ πάλιν παρὰ τὴν γέννησιν τὸ ὄνομα πεποιῆσθαι.

131. ποικίλον καὶ ἡδύ. ἔστι δὲ εἶδος φιλήματος πολλαῖς γλώτταις μεμιγμένον. γλῶττα δέ ἐστι καὶ ἡ λέξις· κυρίως δὲ κατεγλωττισμένον ἐστὶ τὸ ἔγγλωττον φίλημα.

135. τὴν τετραλογίαν λέγει Λυκουργίαν, Ἠδωνοὺς, Βασσαρίδας, Νεανίσκους, Λυκοῦργον τὸν σατυρικόν. λέγει δὲ ἐν τοῖς Ἠδωνοῖς πρὸς τὸν συλληφθέντα Διόνυσον « ποδαπὸς ὁ γύννις; »

137. ἐντεῦθεν τὴν ἀρχὴν Εὔβουλος ἐποιήσατο τοῦ Διονυσίου, τὰ ἀνόμοια τῶν ἐν τῇ Διονυσίου οἰκίᾳ καταλέγων· ἐπὶ πλέον μέντοι. ἡ κιθάρα.

139. ζωνάριον.

141. γρ. σύ τ' αὐτός.

ἀντὶ τοῦ τρέφῃ· τὸ γὰρ τρέφει Ἀττικόν.

142. ἀνδρεῖα ὑποδήματα.

144. στοχάζομαί γε ἐκ τῆς μελοποιίας οἷος ἄν τις εἴης.

147. ἀντὶ τοῦ οὐκ ἐλυπήθην.

152. ἀντὶ τοῦ τὴν σκέψιν.

154. γυναικεῖα δράματα λέγεται ἐν οἷς ὁ χορὸς ἐκ γυναικῶν ἐστὶν, ἀνδρεῖα δὲ ἐν οἷς ἐξ ἀνδρῶν.

158. ἐπεὶ ὡς ἐπίπαν ἐστυκότας τοὺς σατύρους εἰσάγουσιν.

160. ἀγροῖκον καὶ πώγωνα μέγαν ἔχοντα.

161. Ἴβυκος ὁ Ῥηγῖνος καὶ Ἀνακρέων ὁ ἀπὸ Τέω (αὕτη δὲ πόλις τῆς Ἰωνίας), καὶ Ἀλκαῖος ὁ Λέσβιος μέλη ἔγραψαν πρὸς λύραν.

162. ἔγχυμον ἐποίησαν. ἐν ἐνίοις δὲ Ἀχαιὸς γέγραπται, καὶ τὰ παλαιότερα ἀντίγραφα οὕτως εἶχεν. Ἀριστοφάνης δέ ἐστιν ὁ μεταγράψας Ἀλκαῖος· περὶ γὰρ παλαιῶν ἐστὶν ὁ λόγος, ὁ δὲ Ἀχαιὸς νεώτερος. τὸ δὲ λεγόμενον ὑπὸ Διδύμου πρὸς Ἀριστοφάνην, ὅτι οὐ δύναται Ἀλκαίου μνημονεύειν (οὐ γὰρ ἐπεπόλαζε, φησὶ, τὰ Ἀλκαίου διὰ τὴν διάλεκτον), λελήρηται ἄντικρυς. καὶ ἐν τῷ πρὸ τούτου δράματι, τοῖς Ὄρνισι, παρῴδηται τὸ « ὄρνιθες τίνες οἷδ' ὠκεανῶ γᾶς ἀπὺ περράτων » οὕτως « ὄρνιθες τίνες οἷδ' οὐδὲν ἔχοντες » καὶ ἐν Σφηξὶν « ὦνηρ οὗτος ὁ μαιόμενος τὸ μέγα κράτος. » ἀλλαχοῦ δὲ ὁ Δίδυμός φησιν, ἡ μὲν γραφὴ δύναται μένειν, οὐκ ἂν δὲ τούτου τοῦ μελοποιοῦ μέμνηται, πάλιν τὸ αὐτὸ λέγω ὅτι οὐκ ἐπεπόλαζε τὰ μέλη, ἀλλ' Ἀλκαίου τοῦ κιθαρῳδοῦ, οὗ καὶ Εὔπολις ἐν Χρυσῷ Γένει μέμνηται « ὦ Ἀκταῖε Σικελιῶτα Πελοποννήσιε. » τί δὲ ἐνταῦθα κιθαρῳδοῦ, περὶ ποιητοῦ ὄντος τοῦ λόγου;

163. ἁβρῶς.

164. Φρύνιχος ὁ τραγικὸς, ἐπεὶ Ἀθηναῖος ἦν.

168. ἐκ τούτου . . . . καὶ ἐν τοῖς Ὄρνισιν [1295] οὐκ ἄλλοθεν κορυδὸν αὐτὸν ὠνόμασεν ἀλλ' ἢ ὅτι μικρὸς καὶ αἰσχρός. καὶ Τηλεκλείδης Ἡσιόδοις « ἀλλ' ἡ τάλαινα « Φιλοκλέα * * * * οὖν, εἰ δ' ἐστὶν Αἰσχύλου φρόνημ' « ἔχων. »

τραγῳδίας ποιητὴς αἰσχρὸς τὸ πρόσωπον καὶ σιμὸς καὶ μικρὸς τὸ σῶμα.

173. κακὸς ἦμην.

177. σοφοὺς μᾶλλον ἔλεγον καὶ σοφιστὰς τοὺς περὶ μουσικὴν καὶ ποιητικήν.

179. μεγάλη καὶ θαυμαστῇ.

190. γέρων γὰρ τότε Εὐριπίδης ἦν· ἔκτῳ γοῦν ἔτει ὕστερον τελευτᾷ.

194. ἐξ Ἀλκήστιδος Εὐριπίδου [694].

199. ἐκφεύγειν.

203. ἐὰν τοῦτο ποιήσωμεν.

214. ἀληθῶς.

215. τὰ γένεια. ταῦτα δὲ ἔλαβεν ἐκ τῶν Ἰδαίων Κρατίνου.

220. παρὰ τὸ δουροδόκης ὡς πολλὰ αυ . .

221. ἵνα ἀποτεταμένης αὐτῆς καλ . . . νεν.

224. ἀντὶ τοῦ εἰς τῶν Ἐρινύων. ἄσυλον γὰρ εἶχον οἱ καταλαμβάνοντες τὰ ἱερὰ τῶν Ἐρινύων.

227. τὴν μίαν κομῶν γνάθον, τὴν ἑτέραν ἐψιλωμένος.

231. ὅτι τὸ μύζειν παρῆκται ἀπὸ τοῦ μῦ πολλοῖς ἄλλοις ὁμοίως. μύζειν δέ ἐστι τὸ τοῖς μυκτῆρσι ποιὸν ἦχον ἀποτελεῖν.

232. ψιλὴ τάξις ἐστὶν ἀγεννεστάτη, ἥτις βάλλεται ἔμπροσθεν τοῦ στρατοπέδου γυμνὴ οὖσα ὅπλων, καὶ ἐὰν ταραχὴ γένηται, ἐκείνη πρώτη ἀναιρεῖται. τοῦτο δὲ λέγει, ἐπεὶ ἐψίλωται.

235. διαβάλλει τοῦτον ὡς ξυρούμενον.

236. μετὰ γὰρ τὸ τυθῆναι τὰ δελφάκια φλογίζονται, ἵνα ψιλωθῶσιν.

242. ὡς εἰ ἔλεγεν οἰκίαν.

245. ἄσβολος καλεῖται ἡ αἰθάλη τοῦ πυρός.

246. τράμις ὁ πρωκτός.

254. δέον εἰπεῖν μύρου εἶπε ποσθίου. πόσθιον δέ ἐστι τὸ αἰδοῖον τοῦ ἀνδρός. διαβάλλει δὲ αὐτὸν ὡς μετ' αὐτοῦ ἑταιρίζοντα.

258. ὅτι τὴν περίθετον οὕτως. καὶ τοῦτο δὲ εἰς μαλακίαν, ἵνα λανθάνῃ νυκτὸς καὶ ὡς γυνὴ πάσχῃ. λέγουσι δὲ περίθετον πρόσωπον, ὡς Ἀριστομένης ἐν Γόησιν « παντευχίαν δὲ τοῦ θεοῦ ταύτην λαβεῖν καὶ « περίθετον πρόσωπον, ὃ λαβὼν ἔσταθι. »

259. πάντα ἔχουσα τὰ τοιαῦτα ἐν ἑαυτῇ.

261. τῆς κλίνης. στρῶμα δίδωσιν αὐτῷ.

βάθριόν τι ἡ κλινὶς εἰστεταμένον. δῆλον δὲ ὅτι τὸ ἔγκυκλον ἱμάτιον, ὁ δὲ κροκωτὸς ἔνδυμα.

263. χαῦνα. διαβάλλει δὲ πάλιν τὸν Ἀγάθωνα ὡς χαῦνον.

268. ὡς γυνὴ λαλήσεις.

272. ἐκ τῆς Μελανίππης Εὐριπίδου.

273. Ἱπποκράτης ἐγένετο Ἀθηναῖος, ὃς εἶχεν υἱοὺς * * διεβάλλετο δὲ σὺν αὐτοῖς ὡς ἀπαίδευτος.

274. ὅτι κατὰ δύναμιν τῆς λέξεως, ἀντὶ τοῦ ἀθρόους πάντας. τὸ γὰρ ἄρδην ὅμοιόν ἐστι τῷ φοράδην ἐνέγκαι· ἡ γὰρ ἄρσις τοῦτο δηλοῖ. εἰ μὴ νῦν τοῦτο βούλεται, πάντας ὁμοῦ αἴρω.

276. ἐπειδὴ ἐν Ἱππολύτῳ [608] τοῦτο εἶπεν Εὐριπίδης, νῦν εὐλαβούμενος λέγει ὅτι ἡ φρήν σου ὀμώμοκε καὶ οὐχ ἡ γλῶττα.

277. παρεπιγραφή. ἐκκυκλεῖται ἐπὶ τὸ ἔξω τὸ θεσμοφόριον.

278. ὅτε ἔμελλε γίνεσθαι ἐκκλησία, σημεῖον ἐτίθετο. οὕτως οὖν καὶ τῶν γυναικῶν μελλουσῶν ἐκκλησιάζειν σημεῖον τίθεται.

279. μιμεῖται τὴν φωνὴν γυναικός.

282. δυϊκόν. τὸ ἐντελὲς περικαλλέε.

289. ὡς τῆς θυγατρὸς αὐτοῦ κατ' ἐπίκλησιν οὕτω καλουμένης. οἷον βοίδιον ἢ χρυσίον ἢ μύρτιον. ἴσως δὲ τὸ αἰδοῖον τὸ γυναικεῖον αἰνίττεται.

290. ἀναισθήτου καὶ μωροῦ, ἵνα κρατῇ αὐτοῦ.

291. τὸν παιδαρίσκον. ἴσως δὲ παρὰ τὴν πόσθην αὐτὸ συνέθηκεν. ἀντὶ τοῦ κατωφερῆ τὸν νοῦν μου ποίησον.

295. γυνὴ μιμουμένη κήρυκα.

πεζῇ εὐφημίᾳ χρῶνται οἱ κωμικοὶ, ἐπειδὰν εὐχὴν ἢ ψήφισμα εἰσάγωσιν.

298. ὡς ἀνδρὶ τῆς Περσεφόνης.

δαίμων περὶ τὴν Δήμητραν, ἣν προλογίζουσαν ἐν ταῖς ἑτέραις Θεσμοφοριαζούσαις ἐποίησεν.

299. εἴτε τῇ γῇ εἴτε τῇ ἑστίᾳ, ὁμοίως πρὸ τοῦ Διὸς θύουσιν αὐτῇ.

310. ἀπὸ κοινοῦ εὔχεσθε.

312. ὁ χορὸς ἀπὸ γυναικῶν θεσμοφοριαζουσῶν.

324. τὸν ὑπὸ τῶν ἀνέμων κινούμενον. πᾶσαν δὲ κίνησιν καλοῦσιν οἶστρον.

327. ἡ τοῦ Ἀπόλλωνος.

329. ἐπὶ τὸ τελεστικὰ τὰ πράγματα γενέσθαι.

εἰς τέλος ἄγοιμεν τὰ δόξαντα.

336. φιλίαν σπένδει.

339. ἐκ τῆς κατάρας τῆς ἐπὶ τοῖς Πεισιστρατίδαις γενομένης ταῦτα παρέμιξεν. ἔοικέ τινα παραμιγνύναι τῶν ἐφ' Ἱππίᾳ ψηφισθέντων.

341. κατεῖπε πρὸς τὸν δεσπότην.

345. ἵνα αὐτῇ συγγένηται.

346. ἢ καὶ δέχεται δῶρα παρ' ἑταίρας ἐπὶ τῷ προδιδόναι καὶ συγχωρῆσαι αὐτῇ τὸν φίλον. γράφεται ἔν τισιν ἑταίρα καὶ ἔστιν ἕτερος νοῦς. Ἄλλως. ἐὰν μὲν ἄνευ τοῦ ι γρ. ἑταίρα, οὕτως· ἢ δέχεται δῶρα ὑπὲρ τοῦ ἑταίρα οὖσα προδιδόναι τὸν φίλον. ἐὰν δὲ σὺν τῷ ι, προδιδοῦσάν τινα ἑταίραν τὸν ἑαυτῆς φίλον.

347. τοῦ διξέστου. χοὺς γὰρ δύο ξέσται, χοεὺς δὲ ἕξ.

350. καταρᾶσθε.

355. ὅσαις δὲ προσήκει τὰ ἄριστα λέγειν, ταύτας νικᾶν λεγούσας.

359. ὑφ' ἡμῶν.

363. δηλοῖ ἐνταῦθα ὅτι λέγουσι καὶ ὁμοίως ἡμῖν τὰ ἀπόρρητα, οὐ μόνον ἀπηγορευμένων.

365. ἀντὶ τοῦ εἰπεῖν πολεμίους εἶπε Μήδους. κατ' ἐξοχὴν δὲ εἴρηται, ὥσπερ καὶ παρ' Ὁμήρῳ [Il. N, 1] « Ζεὺς ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα. »

370. συμμαχεῖν.

373. ἐπιστάτις ἐστὶν ἡ Τιμόκλεια. ἀρχὴ δέ τίς ἐστιν ἐπιστάτις, ἥτις ἀνισταμένη συμβουλεύει περὶ πολέμου ἢ εἰρήνης ἢ περὶ ἄλλου τινός.

376. ἐν γὰρ ταῖς ἄλλαις ἡμέραις περὶ τὰς θυσίας γίνονται. — ἦ, ὅπου. *Pal.*

377. χρηματίζειν ἐστὶ τὸ λόγους διδόναι ἀλλήλοις.

380. ἀντὶ τοῦ στέφανον· ἔθος γὰρ ἦν τοῖς λέγουσι στεφανοῦσθαι πρῶτον. τὸ δὲ περίθου, ὅπερ ἡμῖν σύνηθες ἐπίθου λέγειν.

383. καλλιλεξία. γυνή.

386. ὑβριζομένας.

389. ἐπιχρίει, ἐπιζύει. σμῆξαι δέ ἐστι τὸ τὸν ῥύπον ἐπιξύσαι.

μεταφορικῶς ἀπὸ τοῦ σμήχειν, οἷον ἐπιτρίβει· σφοδρὰν γάρ τινα τρίψιν καὶ τὴν σμῆξιν εἶναι. τάχα δὲ καὶ τὴν σμώδιγγα εἰρῆσθαι ἀπὸ τούτου. Διόδωρος οὐ μεταφορικὴν, ἀλλ' ἐξ ἔθους γλωσσηματικὴν, καὶ μὴ εἶναι ἐπιτρίβειν ἀλλὰ τύπτειν ἢ σκώπτειν τὸ σμώχειν. Ἄλλως. ἐπισμῆ : καὶ παρὰ Κρατίνῳ ἐστὶν ἐν Κλεοβουλίναις τὸ ἐπισμῆ. ἔστι δὲ λοιδορία, ἀπὸ τοῦ καθάπτεσθαι τῶν σμωμένων.

393. ὁ Σύμμαχός φησι παρὰ τὸ πιπίζειν τὸν οἶνον. ἐγὼ δὲ οὐχ ὁρῶ τὸ πιπίζειν ἐπὶ ταύτης τῆς ἐννοίας παρὰ τοῖς Ἀττικοῖς κείμενον, ἀλλὰ κατὰ μίμησιν φωνῆς λεγόμενον. ἄμεινον οὖν, ὥσπερ παιδοπίπης λέγεται, οὕτω καὶ οἰνοπίπης. Ἄλλως. τὰ πλεῖστα οἰνοπίπους ἔχει ἀντὶ τοῦ τὰς μεθύσους ἀπὸ τοῦ πιπίζειν, ὅπερ ἐστὶν ἐκμύζειν.

395. ὡς ἔτι ἰκρίων ὄντων ἐν τῷ θεάτρῳ καὶ ἐν ταῖς ἐκκλησίαις ἐπὶ ξύλων καθημένων. πρὶν γὰρ γενέσθαι τὸ θέατρον, ξύλα ἐδέσμευον καὶ οὕτως ἐθεώρουν.

397. ἀντὶ τοῦ ἐν ὅλοις αὐτοῦ τοῖς δράμασι.

401. νεωτέρων καὶ ἐρωτικῶν τὸ στεφανοπλοκεῖν.

πρὸς τὸ ἔθος, ὅτι ἐστεφανηπλόκουν αἱ παλαιαί. Σαπφὼ « αὐταόρα αἰστεφανηπλόκουν. »

402. περιερχομένη.

403. ἀντὶ τοῦ εἰς τίνα τὸν νοῦν ἐχούσης σου κατέαγεν ἡ χύτρα.

ὡς διὰ τὸ ἐρᾶν μὴ προσεχουσῶν ἐπεφώνουν ταῦτα οἱ ἄνδρες, εἰ ἡ γυνή τι ἐκ τῶν χειρῶν ἀφίοι.

404. ἐκ Σθενεβοίας Εὐριπίδου. διαβάλλει δὲ ὡς μοιχοὺς τοὺς Κορινθίους.

409. ὅτε τίκτουσιν αἱ γυναῖκες.

410. πρὸς τοὺς γέροντας διαβέβληκεν, οἱ πρὸ τοῦ τὰς μείρακας ἤγοντο.

412. ἀντὶ τοῦ διὰ τὸν ἴαμβον τοῦτον. πᾶν γὰρ μέτρον οἱ παλαιοὶ ἔπος ἐκάλουν.

416. ἠπειρωτικούς.

417. φόβον ἀπὸ τῶν προσωπείων.

419. ἐκ τοῦ ταμείου λαβεῖν.

420. ὅτι ἑνικῶς τὸ ἅλφιτον.

423. τὰ γὰρ ἀρχαῖα μονοβάλανά φασιν εἶναι. γομφίους δὲ, οὓς ἡμεῖς ὀδόντας. Μένανδρος Μισουμένῳ « Λακωνικὴ κλεὶς ἐστιν ὡς ἔοικέ μοι περιοιστέα. » καί φασιν ὅτι ἔξωθεν περικλείεται μοχλοῦ παρατιθεμένου ἢ τινος τοιούτου, ὥστε τοῖς ἔνδον μὴ εἶναι ἀνοῖξαι.

περιβόητοί εἰσιν αἱ Λακωνικαὶ κλεῖδες.

425. σφραγίδιον παραπλήσιον ᾧ ἐσφράγιζεν ὁ ἀνήρ.

427. ξύλα ὑπὸ θριπῶν βεβρωμένα, οἷς ἐσφράγιζον. θρῖπες δὲ εἶδος σκωλήκων.

428. ἐξάψαντας ἑαυτῶν.

429. ταράττειν καὶ κινεῖν.

441. διὰ τὸ εὐμήχανον ἐν τοῖς δράμασι λέγεσθαι τὸν Ξενοκλέα πρὸς τὰς τῆς γυναικὸς μηχανὰς παρελήφθη. χλευάζων δὲ λέγει οὐκ ἀπὸ σπουδῆς, ὡς ἐπὶ συμμέτρου. Ἄλλως. ὁ τραγῳδοποιός. ἤτοι δὲ διαβάλλει αὐτὸν ὡς ἀφυᾶ.

442. φανερῶς.

445. ὑπὸ Εὐριπίδου.

448. διὰ μυρρινῶν στεφάνους ποιοῦσα.

449. ἀντὶ τοῦ πρότερον.

458. οὓς ἡμεῖς ἐκδοτικοὺς λέγομεν.

459. φρόνημα.

469. ἐπίτηδες ὁ κηδεστὴς ὑπὲρ τὰς ἄλλας γυναῖκας γυναικίζεται, ἵνα διὰ τούτου λάθῃ.

472. ἀντὶ τοῦ μόναι.

οὐδεμία ἐκφέρουσα τοὺς λόγους πρὸς τοὺς ἄνδρας.

473. διὰ τί.

481. ἕξυεν ἠρέμα, παρὰ τὸ κνᾶν.

485. λείπει τὸ ἔφη.

486. ἐλελίσφακον. ὡς ἐπιτήδεια παῦσαι στρόφον.

487. ἵνα ὀλισθηρὸς γενόμενος μὴ ψοφῇ.

489. ἀγυιεὺς οὕτω καλούμενος Ἀπόλλων τετράγωνος.

491. τῶν νῦν καλουμένων σταβλίτων ἢ βουρδωναρίων, τῶν τοὺς οὐρῆας κομούντων.

495. διὰ γὰρ τὸν πρὸς Πελοποννησίους πόλεμον ἐφύλαττον Ἀθηναῖοι τὰ τείχη.

499. στολῆς εἶδος.

500. ὅτι καὶ συστολαῖς βιαίοις χρῶνται καὶ ἐκτάσεσι. καὶ ἄνω [176] « ἀλλ' ὥνπερ οὕνεκ' ἦλθον ἀλλ' εἰπεῖν βούλομαι. »

505. ὅτι ἐν χύτρᾳ τὰ παιδία ἐξετίθεσαν.

506. τὸ στόμα πεπληρωμένον. καὶ ἄλλως οὐ γάλα πρότερον τοῖς βρέφεσιν ἐδίδοσαν, ἀλλὰ μέλι ἀπολείχειν. Μένανδρος δὲ οὐκ ὀρθῶς ποιεῖ τὰ ἀρτίτοκα γάλακτος δεόμενα.

509. δέον εἰπεῖν « τὸ βρέφος τὸ ἧτρον τῆς μήτρας ἐλάκτισεν » εἶπε τῆς χύτρας, ἐπειδὴ ἐν χύτρᾳ εἰσῆλθε

τὸ παιδίον. τὸ κάλυμμα τῆς μήτρας, ὃ καλοῦμεν ἔλυτρον.

516. Θεόφραστος τὴν προάνθησίν φησι τῆς πίτυος καὶ τῆς πεύκης. Ἐρατοσθένης ἀγγεῖον τοῦ σφηκὸς ἢ τῆς μελίσσης, ὅπου οἱ σκώληκες ἔπεισιν. ἀλλ' οὐδὲ οὕτως πάνυ σώζεται ἡ ἀκολουθία. δεῖ οὖν χωρίζειν ἑκάτερον οὕτως, καὶ ὡς στρεβλὸν καὶ ὥσπερ κύτταρον, προσόμοιον κυττάρῳ πλήρει καὶ ἔχοντι τὸν σκώληκα. Ἄλλως. κύτταρος καλεῖται τὰ κοιλώματα τῶν μελικηρίδων· ὁμοίως δὲ καὶ τὸ πῶμα τῆς βαλάνου, ὅπου ἐγκάθηται ἡ βάλανος, ὅπερ νῦν ἀκουστέον· περὶ γὰρ αἰδοίου λέγει.

519. παρὰ τὰ ἐκ Τηλέφου Εὐριπίδου « εἰ δὴ θυμούμεθα παθόντες οὐδὲν μᾶλλον ἢ δεδρακότες. »

529. ἐκ τῶν εἰς Πράξιλλαν ἀναφερομένων « ὑπὸ παντὶ λίθῳ σκορπίον ὦ 'ταῖρε φυλάσσεο. » καὶ ἑτέρα « πάντα λίθον κίνει. »

531. τοῦτο ἰαμβικὸν τετράμετρον καταλῆγον.

532. εἰ μὴ ἄλλη γυνή.

533. κατὰ τῆς Ἀγραύλου ὤμνυον, κατὰ δὲ τῆς Πανδρόσου σπανιώτερον· κατὰ δὲ τῆς Ἕρσης οὐχ εὑρήκαμεν.

536. συντιμωρεῖσθαι αὐτὸν βουλόμεναι, ἐπειδὴ ἐπὶ σκηνῆς εἰσίν.

547. τοῦτο μόνον τὸ τετράμετρον ἰαμβεῖον ἀνάπαιστον ἔχει τὸν καταλήγοντα. ἄξιον οὖν αὐτὸν τηρῆσαι.

556. ξύστρας.

557. κατεχρήσατο εἰποῦσα σιφωνίζομεν σῖτον. κυρίως γὰρ σιφωνίζειν τὸ τὰ ὑγρὰ ἀποσπᾶν.

560. κατέκοψεν.

τοῦτο διὰ τὴν Κλυταιμνήστραν, οὐκ ἀπὸ ἱστορίας.

561. οὐκ ἀπὸ ἱστορίας παλαιᾶς εἴληφεν, ἀλλ' ὡς ἐν τῇ Ἀττικῇ τούτου γενομένου.

562. ὡς καὶ τούτου πάλιν γενομένου.

564. ὡς καὶ τούτου πάλιν γενομένου.

565. ἐπιτετήδευκεν ὑφαρπάζουσαν τὴν ἑτέραν ποιῆσαι τὸν λόγον, ἐπεὶ ἔλειπε τὸ λαβεῖν.

563. ὡς τὼ χεῖρε. οὐκέτι δὲ τοῖν θεοῖν, ἀλλὰ ταῖν θεαῖν.

567. ὅτι ἐπὶ γυναικείων τριχῶν ὡς τὸ πολὺ, καὶ ὅτι παρετυμολογεῖ τὸν πόκον οὐ κακῶς. Λυκόφρων δὲ ἁπλῶς τὰς τρίχας. ἐμπλοκὴ δέ τις φαίνεται, καὶ ὡς πλοκαμῖδες σπανίως ποτὲ ἐπὶ ἀνδρὸς λέγεται.

572. ἀντὶ τοῦ ἐγγὺς παρὰ τοῖς Ἀττικοῖς. καὶ Μένανδρος « ἔστιν δ' ὁμοῦ τὸ χρῆμα. »

574. τὰ αὐτά μοι πράττουσα.

575. ἐψίλωτο γὰρ ὁ Κλεισθένης τὰς γνάθους γυναικωδῶς.

576. προΐσταμαι.

578. πρὸ ὀλίγου.

585. ὅτι ἀναπέμψαι κυρίως. διὸ καὶ ἄνοδος ἡ πρώτη λέγεται, παρ' ἐνίοις καὶ κάθοδος, διὰ τὴν θέσιν τῶν θεσμοφορίων. ἐπεὶ καὶ ἄνοδον τὴν εἰς τὸ θεσμοφόριον ἄφιξιν λέγουσιν· ἐπὶ ὑψηλοῦ γὰρ κεῖται τὸ θεσμοφόριον.

600. ἀντὶ τοῦ κεκρυμμένος. καλοῦνται μὲν γὰρ καὶ κρύπται παρὰ Πλάτωνι τῷ φιλοσόφῳ [Leg. I, 633, A] καὶ παρ' Εὐριπίδῃ καὶ ἐν ταῖς τῶν Λακεδαιμονίων πολιτείαις. καὶ ἐν Θάσῳ ἀρχή τις κρύπται. ἁπλῶς ἀντὶ τοῦ κεκρυμμένος.

602. ὦ προστάτα.

603. Μνησίλοχος τοῦτο διὰ τὸ μέλλειν ἔρευναν γίνεσθαι.

612. ἀντὶ τοῦ οὖρει.

616. ἐπισχετικὰ γάρ ἐστιν οὖρου τὰ κάρδαμα καὶ πτύσματος. καὶ διὰ τοῦτό φασι τοὺς Πέρσας αὐτοῖς χρῆσθαι. ὅτι μὲν γὰρ χρῶνται καὶ Ξενοφῶν φησι [Cyrop. I, 2, 16.] « φυλάττονται πολλὰ οὐρεῖν, ὥσπερ καὶ « πτύειν καὶ ἀπομύττεσθαι. »

620. Κοθωκίδαι δῆμος τῆς Οἰνηίδος φυλῆς.

622. οἱ μὴ δυνάμενοί τι λέγειν τοιαῦτα λέγουσιν.

623. καὶ τοῦτο πρὸς τὴν ἄνοδον, ἐπειδὴ ἄνοδος ἦν πρὸς τὸ ἱερόν.

624. φίλη συνδίαιτος. σκηνὰς γὰρ ἑαυταῖς ἐποίουν τὸ ἱερόν.

630. διαβάλλει πάλιν τὰς γυναῖκας ὡς μεθύσους.

631. ἀλλήλας ἐδεξιούμεθα.

633. μὴ εὑρίσκων τί εἴπῃ ὁ κηδεστής φησιν ὅτι ἀντὶ ἀμίδος σκάφιον ᾔτησεν ἡ Ξένυλλα. ἀμὶς δέ ἐστιν οὐροδόχον ἀγγεῖον.

641. ἀντὶ τοῦ στείρα.

646. οὐκ ἐνταῦθά γε. παρατετήρηται καὶ πρότερον.

648. ἐπεὶ τὰς ναῦς διὰ τοῦ Ἰσθμοῦ εἷλκον Κορίνθιοι, ὥστε μὴ περιέρχεσθαι. τοῦτο δὲ διισθμονίσαι ἐκάλουν.

649. ἀντὶ τοῦ διὰ ταῦτα.

656. τῶν ἐγκύκλων ἀποδυσαμένας.

657. ἐπεὶ μόνων γυναικῶν ἐστιν ἡ ἐκκλησία.

περιδραμεῖν.

658. τὴν ἐκκλησίαν παρὰ τὸ πυκνοῦσθαι τοὺς ὄχλους. ἐπεποίηντο γὰρ ἐκκλησίαν. τὰς δὲ σκηνὰς διὰ μέσου εἴρηκε. καὶ γὰρ πρὸς τῇ πυκνὶ σκηναὶ ἦσαν, ὡς καὶ αὐτὸς Ἀριστοφάνης μέμνηται τούτου.

664. παρακαθεζόμενος.

680. ἀντὶ τοῦ διάπυρος ὢν ταῖς μανίαις.

682. γελοίως εἶπεν, ὡς Ἀλέξανδρος « ἦσαν ἄνθρωποι πέντε καὶ γυναῖκες τρεῖς. » πέπαικται οὖν τοῦτο ὡς ἐν κωμῳδίᾳ.

684. ἀποδίδωσιν.

688. ..... ἁρπάζει παιδίον μιᾶς γυναικὸς, καὶ καταφεύγει ἐν τῷ ἱερῷ, λέγων ὅτι ἐάν με τύψητε, κατασφάξω τοῦτο τὸ παιδίον. ἀντὶ δὲ παιδίου ἀσκὸν οἴνου λαμβάνει, καὶ αὐτὸν ἐνδύει κροκωτὸν, καὶ ποιεῖ αὐτῷ χεῖρας καὶ πόδας, καί φησιν αὐτὸ παιδίον. διαβάλλει δὲ τὰς γυναῖκας ὡς ἐν ταῖς μάχαις αὐτῶν τοὺς ἀσκοὺς τῶν οἴνων κατέχουσιν.

693. τῶν βωμῶν, ἀπὸ τοῦ τὰ μηρία ἐπάνω ἀποκεῖσθαι. ἐκ δὲ τοῦ περιεχομένου τὸ περιέχον εἶπεν.

697. τροπαῖον προπερισπωμένως ἀναγνωστέον παρὰ

Ἀριστοφάνει καὶ παρὰ Θουκυδίδῃ, τρόπαιον δὲ προπαροξυτόνως παρὰ τοῖς νεωτέροις ποιηταῖς.

701. παροιμία.

710. ἐκ τῶν ἀνδρῶν φησὶν, ὅθεν οὐκ ἔξεστιν. ὁ Σύμμαχος· γελοίως φησὶν ὅθεν ἥκεις φαύλως ἥκεις. ἥκεις, φησὶν, εἰς τὰς χεῖρας ἡμῶν, ὅθεν οὐ φεύξῃ.

714. τοῦτο τὸ παθεῖν.

717. κάθηται ἐπὶ βωμοῦ ὡς ἱκετεύων, ἡρπακώς τινος θυγάτριον· φαίνεται δὲ ἀσκὸν ἔχων.

726. πρὸς τὰς γυναῖκας.

728. ὄνομα κύριον δούλης τὸ Μανία. καὶ ἐκτεταμένον ἔχει τὸ α.

729. σπινθῆρα.

730. εἶδος ἱματίου. ἠμφίεσται δὲ ὡς παιδίον καὶ ὑποδήματα ἔχει ὁ ἀσκός.

734. ὁ ἀσκός. εἶδος δὲ ὑποδημάτων αἱ Περσικαί.

735. ὦ μέθυσοι.

738. ἅπαντα γὰρ ἕνεκα τοῦ πιεῖν ἐνέχυρα τίθεται καὶ πιπράσκεται.

742. ἀλλ' οὐ δέκα μῆνας κυοῦσιν αἱ γυναῖκες, ἀλλ' ἐννέα. εἰώθασι δὲ οὕτω πλήρει ἀριθμῷ χρῆσθαι ἀντὶ τῶν ἐννέα μηνῶν.

743. τρεῖς κοτύλας οἴνου χωροῦν.

746. τοῦτο πάλιν ὡς ἐπὶ ἀσκοῦ· ἀντὶ γὰρ τοῦ εἰπεῖν ἔτη εἶπε χοᾶς.

750. εἰώθασι λέγειν, ἐάν τις ἐν Διονυσίοις ἢ Διασίοις ἢ Σκίροις μικρόν τι προσεναγισμάτων φησὶν εὐπ. ἅμα δὲ ὅτι καὶ περὶ οἴνου ἐστὶν ὁ λόγος. Ἄλλως. ουτο... λέγοντος ἃ δὲ ἔχει ἐκ Διονυσίων ἢ Ἀπατουρίων, τὸν ὑπερπίπτοντα τῶν μηνῶν ἀριθμὸν οὕτω δηλοῖ τις. τοῦτο ἔθος ἦν Ἀττικοῖς, λέγειν τὰ ἔτη κατὰ τὸν ὑπερπίπτοντα ἀριθμὸν ἀπὸ τῶν Διονυσίων.

754. τοῦτο αἱματοδεκτικὸν ἀγγεῖον, ὃ εἶπεν ὁ ποιητὴς ἄμνιον.

756. τοῦτο ἅμα εἰπὼν ἐχέει τὸν οἶνον ὁ κηδεστὴς ἐν τῷ βωμῷ.

758. ἀπὸ ἔθους. ἐκδερματώσαντες γὰρ τὰ ἱερεῖα διδόασι τὰ δέρματα ταῖς ἱερείαις. ἐχέας οὖν τὸν οἶνον χαρίζεται αὐτῇ τὸν ἀσκόν.

760. ἐνταῦθα ἀπέδωκεν ὁ Ἀριστοφάνης τὸ ὄνομα τῆς γυναικὸς, ἧς ἥρπασε τὸ παιδίον ἤτοι τὸν ἀσκὸν ὁ κηδεστής.

766. ὁ Εὐριπίδης.

771. ὁ γὰρ Εὐριπίδης ἐν τῷ Παλαμήδει ἐποίησε τὸν Οἴακα τὸν ἀδελφὸν Παλαμήδους ἐπιγράψαι εἰς τὰς ναῦς τὸν θάνατον αὐτοῦ, ἵνα φερόμεναι αὗται ἔλθωσιν εἰς τὸν Ναύπλιον τὸν πατέρα αὐτοῦ καὶ ἀπαγγείλωσι τὸν θάνατον αὐτοῦ. ὥσπερ Οἴαξ τῷ Ναυπλίῳ γράφει ἐν τῷ Παλαμήδει Εὐριπίδου. ὁ γὰρ Οἴαξ ἐγχαράττει πολλαῖς πλάταις τὰ περὶ τὸν Παλαμήδην καὶ ἀφίησιν εἰς θάλασσαν, ὥστε μιᾷ γέ τινι τὸν Ναύπλιον προσπεσεῖν.

773. πᾶν ἐφ' ᾧ τις ἀγάλλεται. πινάκια δὲ ἦσαν ἀνακείμενα. πίνακες γὰρ ἦσαν ἐν τῷ ἱερῷ, καὶ ἀπὸ τούτων λαβὼν γράφει, καὶ ῥίπτει αὐτὰς λέγων « ἀπέλθετε, σημάνατε Εὐριπίδῃ. »

777. ἄνυσιν ἔχοντι καὶ ἐπίνοιαν.

779. σμίλης λέγει ἀντὶ τοῦ γραφείου. ὀλκοὺς λέγει τὰ σημεῖα, ἐπειδὴ ἕλκομεν γράφοντες.

781. ὡς Εὐριπίδην γράφων, ἐν ᾧ τὸ ρ. ἐν τῷ γράφειν τὸ τοῦ Εὐριπίδου ὄνομα τοῦτό φησιν.

785. τῇ παραβάσει χρησάμεναι.

790. μήτε καταληφθῆναι παρακύπτουσαν.

804. πέπλασται τὰ ὀνόματα, ἐπεὶ εὐδοκίμουν οἱ Ἀθηναῖοι τότε τῷ ναυτικῷ. Χαρμῖνος δὲ περὶ Σάμον συνεστρατήγησε κατὰ τὸν καιρὸν τοῦτον τοῖς περὶ Φρύνιχον. Ναυσιμάχη δὲ πόρνη καὶ Σαλαβακχώ. Ἄλλως. συνεμάχησε γὰρ Φρυνίχῳ ἐν Θράκῃ ὁ Χαρμῖνος, καὶ ἴσως οὐδὲν ἀξιόλογον ἔπραξεν. διὸ λέγει « δῆλα τὰ ἔργα. »

805. Κλεοφῶντα λέγει τὸν λυροποιόν. διαβάλλει δὲ αὐτὸν ὡς κίναιδον.

806. πόρνης ὄνομα.

808. καὶ ἡ Εὐβούλη πέπλασται. τὸ δὲ ὅλον τί βούλεται, οὐκ ἔστι σαφές. ἀλλ' οὐδὲ παρὰ Πλάτωνι ἐν τῷ Ὑπερβόλῳ· λέγει γάρ τι περὶ τοῦ ἐπιλαγχάνειν τοῖς βουλευταῖς « εὐτυχεῖς ὦ δέσποτα. τί δ' ἔστι; βουλεύειν « ὀλίγου ἔλαχες πάνυ. ἀτὰρ οὐ λαχὼν ὅμως ἔλαχες, « ἦν νοῦν ἔχῃς. πῶς ἦν ἔχω νοῦν; ὅτι πονηρῷ καὶ « ξένῳ ἐπέλαχες ἀνδρί· * * * οὐδέπω γὰρ ἐλευθέρῳ. » καὶ ἐν ταὐτῷ « ἄπερρ'· ἐγὼ δ' ὑμῖν τὸ πρᾶγμα δὴ « φράσω. Ὑπερβόλῳ (βουλῆς γὰρ) ἄνδρες ἐπέλαχον. » τὸ βουλεῦσαι βουλείαν ἔλεγον.

811. λέγει ἀπὸ συμμάχων ἢ στρατείας. τὸ δὲ ζεύγει ἀντὶ τοῦ ἁμάξαις ἐκφέρειν δεῖ. * * διὸ καὶ οὐκ εἶπεν οὕτως πεντήκοντα, ἀλλὰ κατὰ πεντήκοντα, τὸ συνεχὲς ἐκφαίνων.

823. σκέπασμά τι ἐπὶ τῆς κεφαλῆς βαλλόμενον, ἢ μέρος τοῦ ἱστίου.

825. τὴν κάμακα τῆς λόγχης λέγει. οἱ μέν φασι κανόνα αὐτὸν λέγειν τὸ ξύλον τῆς λόγχης, οἱ δὲ τὸν κανόνα τῆς ἀσπίδος.

826. τῷ σιδήρῳ.

828. συνέχεεν καὶ οὕτος ὡς Εὔπολις πολλάκις· στρατιὰ μὲν γὰρ τὸ πλῆθος, στρατεία δὲ ἡ στράτευσις.

829. τὴν ἀσπίδα λέγει· σκιάζει γὰρ τὸν ἄνδρα. αἰνίττεται δὲ καὶ εἰς Κλεώνυμον.

834. ἀμφότεραι ἑορταὶ γυναικῶν, τὰ μὲν Στήνια πρὸ δυεῖν τῶν Θεσμοφορίων Πυανεψιῶνος θ', τὰ δὲ Σκίρα λέγεσθαί φασί τινες τὰ γινόμενα ἱερὰ ἐν τῇ ἑορτῇ ταύτῃ Δήμητρι καὶ Κόρῃ. οἱ δὲ, ὅτι ἐπὶ Σκίρῳ θύεται τῇ Ἀθηνᾷ.

838. εἶδος κουρᾶς δουλικῆς. τὸ ἑξῆς. ὑστέραν τῆς τὸν ἀνδρεῖον τεκούσης. ἀντὶ τοῦ μιᾶς γυναικὸς ὑστέραν. ἐὰν δὲ ὑστάτην, ἁπάντων ὑστάτην.

840. πολλάκις εἶπον ὅτι προβάλλει ὁ Ὁμηρικὸς ἐν τῷ πρὸς Πολύβιον προτατικῷ τίς ἡ Ὑπερβόλου μήτηρ.

οὐκ ἔχομεν δὲ εἰπεῖν. εἰ δὲ χρὴ τὰ τοιαῦτα ζητεῖν, ζητείτωσαν καὶ τὴν ἑξῆς, τὴν Λαμάχου· τὸν γὰρ πατέρα μόνον οἶδα Λαμάχου, Ξενόφαντον.

841. ἐπαινεῖ τὸν Λάμαχον νῦν· ἤδη γὰρ ἐτεθνήκει ἐν Σικελίᾳ τετάρτῳ ἔτει πρότερον.

846. τυφλὸς, διεστραμμένος τὴν ὄψιν. Σώφρων « ἰλλοτέρα τᾶν κορωνᾶν. »

848. ἄνω γὰρ ἐκέχρητο τῇ ἐκ Παλαμήδους ἐπινοίᾳ.

850. ὑπόγυον δεδιδαγμένην.

852. τὸ κοικύλλειν, φασὶν, ἐπὶ τοῦ περιβλέπεσθαι δύναται καὶ ἐνθάδε. βέλτιον δὲ ἐπὶ τοῦ κακοτεχνεῖν. τὸ δὲ ἔχων παρέλκει Ἀττικῷ ἔθει.

855. ἐξ Ἑλένης Εὐριπίδου πολλὰ τούτων.

857. μέλανα καὶ συρμαϊζόμενον. ἡ δὲ συρμαία κρίθινόν ἐστι πότημα.

861. ἐπὶ πονηρίᾳ διαβάλλεται. τινὲς δὲ καὶ πατέρα αὐτῷ φασὶν ἀληθῶς εἶναι τοῦτον.

863. τῆς γυναικείας μιμήσεως.

868. ὅτι πονηροὶ οἱ κόρακες, καὶ ὅτι μέχρι νῦν οὐκ ἐσπάραξάν σε.

869. σαίνει τὸ ᾆσμα.

870. σύνηθες τὸ σχῆμα. Μένανδρος « οἶσθ' ὃ ποίησον. » Σοφοκλῆς Πηλεῖ « μὴ ψεῦσον ὦ Ζεῦ· μή μ' ἔλῃς ἄνευ δορός. » « οἶσθ' οὖν ὃ δρᾶσον » Εὐριπίδης Πολυΐδῳ.

871. ὁ Εὐριπίδης ἀναλαμβάνει τὸ πρόσωπον τοῦ Μενελάου καὶ ὑποκρίνεται.

876. Πρωτέας οὕτω καλούμενος Ἀθηναῖος, ὃς ἐτεθνήκει πρόπαλαι.

878. διαβάλλει τὴν Αἴγυπτον ὡς ἀλίμενον καὶ ὡς κίνδυνον ἐμποιοῦσαν ταῖς ναυσίν.

882. ἐκ τῆς θαλάσσης.

897. ἣν εἶπεν Ὅμηρος [Od. Θ, 366] Εἰδοθέαν.

898. ἀπὸ δήμου τῆς Αἰγηίδος φυλῆς, ἔνθα τὸ Εὐρυσθέως ἀπόκειται σῶμα ἐν τῷ ἀκρωτηρίῳ. ἐπίρρημα δὲ τὸ Γαργηττόθεν.

902. τὰς κόρας σου ἀντιπροσώπους μοι στρέψον.

903. ἐπειδὴ ξυρηθεὶς ἦν.

910. δέον εἰπεῖν ἐκ τῶν ὄψεων, εἶπεν ἐκ τῶν ἰφύων. ἴφυον δέ ἐστιν εἶδος ἀγρίου λαχάνου, ὅτι Εὐριπίδης λαχανοπώλιδος Κλειτοῦς υἱὸς ἦν δηλονότι.

913. καὶ ταῦτα ἐκ τῆς Ἑλένης, καὶ καθόλου τὰ πλεῖστα.

915. ταῦτα λέγει ἀκολουθῶν αὐτῷ καὶ βουλόμενος ἐκφυγεῖν.

917. τὸ χ παράκειται τῷ στίχῳ. καί φησι Καλλίστρατος ** οὐ τῇ λαμπάδι εἶπεν, ἀλλὰ νὴ τῇ δᾳδὶ, ὡς δῆλον εἶναι ὅτι ἑκατέρως ἔλεγον. ἀνάξιος δὲ ἂν εἴη ὁ Καλλίστρατος πιστεύεσθαι ὡς ἂν περὶ διδασκάλου τοῦ Ἀριστοφάνους λέγων.

921. οὐ κυρίως, ἀλλ' οἷον κοινόβουλος.

922. ἐπανουργεῖτε, ὡς δὴ τῶν Αἰγυπτίων πανούργων ὄντων.

926. ἕως ζῶ.

928. ἡ σπάρτος. ἀντὶ τοῦ ἡ μηχανή. παροιμία ἐπὶ τῶν ἐπιχειρούντων τι ποιεῖν καὶ ἀποτυγχανόντων.

935. ἐπεὶ ἄνω αἰγυπτιάζειν αὐτοὺς ἔφη, οἱ δὲ Αἰγύπτιοι λινοποιοί εἰσιν. ὁ πανοῦργος. ἀπὸ μεταφορᾶς τῶν τὰ ἄρμενα ραπτόντων.

940. πρὸς σανίσιν ἐδεσμεύοντο πολλάκις, ὡς καὶ Κρατῖνος δηλοῖ. « ἐπίτρεψον οὖν τῷ τοξότῃ » φησὶ « γυμνόν με πρὸς τῇ σανίδι δῆσαι. »

941. μετὰ κροκωτοῦ τοῖς κόραξιν ἑστίασιν παρέχων. ἀντὶ τοῦ ἑστίασιν παρέχων. Ἀττικὴ δὲ ἡ σύνταξις, ὅτι τὸ ἑστιᾶν καὶ δοτικῇ συντάσσουσιν, ὡς καὶ παρ' Εὐπόλιδί ἐστιν ἐν Αὐτολύκῳ θατέρῳ « ὥστ' οὔτ' ἐκεῖ οὔτ' « ἐνθάδε δεῖ ξενίζεσθαι. »

944. ὅτι ἐνδυσάμενος καὶ ἐλθὼν εἰς τὰς γυναῖκας κατάδηλος ἐγενόμην.

947. τὸ παίζωμεν οἱ Ἀττικοὶ παίσωμεν ἔλεγον, καὶ τὸ παίσωμεν πάλιν παίξωμεν. καὶ [Hom. Od. Ψ, 134] « πολυπαίγμονος ὀρχηθμοῖο. »

948. ὅταν τὰ μυστήρια αὔξωμεν, φησὶν, τῶν θεῶν. λέγει δὲ Δημήτρας καὶ Περσεφόνης. Ἄλλως. ὅταν τὰς τελετὰς αὔξωμεν· τοῖς γὰρ ὕμνοις ἐπαίρομεν αὐτάς. καὶ τοῦτο ἐστὶ τὸ ἀνέχωμεν.

949. Παύσων ὁ ζωγράφος εἰς πενίαν διαβάλλεται, καὶ διὰ τοῦτο εἶπε νηστεύει.

968. ὅτι ἐν θεάτρῳ ἦσαν.
ἐπειδὴ μέλλουσιν ἐλθεῖν εἰς τὴν ᾠδήν.

969. τὸν Ἀπόλλωνα.

971. τὴν παρθένον.

973. Ἥρα τελεία καὶ Ζεὺς τέλειος ἐτιμῶντο ἐν τοῖς γάμοις ὡς πρυτάνεις ὄντες τῶν γάμων. τέλος δὲ ὁ γάμος. διὸ καὶ προτέλεια ἐκαλεῖτο ἡ θυσία ἡ πρὸ τῶν γάμων γινομένη.

977. ἔφορος γὰρ τῶν θρεμμάτων ὁ θεός.

986. τορῶς καὶ τρανῶς λέγε τὴν ᾠδήν.

1001. ἀντὶ τοῦ πρὸς τὴν αἰθρίαν. βαρβαρίζει δὲ ὁ τοξότης.

1003. ἀντὶ τοῦ ὁρῶ. τοῦτο δὲ εἰπὼν πλέον αὐτὸν ἐπισφίγγει.

1007. πορμὸς ἀντὶ τοῦ φορμὸς, ψίαθος.
ἀντὶ τοῦ ἵνα φυλάξω σε.

1009. ὁρᾷ Εὐριπίδην προσιόντα.

1011. ἀντὶ τοῦ ὡς Περσεύς.

1012. Ἀνδρομέδαν : πιθανῶς· συνδεδίδακται γὰρ τῇ Ἑλένῃ.

1015. παρὰ τὰ ἐξ Ἀνδρομέδας Εὐριπίδου « φίλαι παρθένοι, φίλαι μοι. » τὰ δὲ ἐπιφερόμενα πρὸς τὸ αὐτὸ χρήσιμον.

1018. πάλιν ἐξ Ἀνδρομέδας.
πρὸς τὴν ἠχὼ Ἀνδρομέδα λέγει « προσαιδουσσαι τὰς « ἐν ἄντροις ἀπόπαυσον ἔασον ἀχοῖ με σὺν φίλαις γόου « πόθον λαβεῖν. »
διὰ τὸ λαμβάνειν ἀποσπάσματα ἀσύνδετον τὸ ὅλον γίνεται.

1021. ὡς ἐν κωμῳδίᾳ.

1022. παρὰ τὸ τοῦ χοροῦ ἐν Ἀνδρομέδᾳ « ἄνοικτος « ὃς τεκών σε τὴν πολυπονωτάτην βροτῶν μεθῆκεν « Ἅιδᾳ πατρὸς ὑπερθανεῖν. »

1024. τὴν τηρήσασαν αὐτὸν ἐν τοῖς θεσμοφορίοις.

1025. δέον εἰπεῖν ἐσώθην, ἀπωλόμην εἶπε χάριν γέλωτος.

1030. πάλιν ἐξ Ἀνδρομέδας. τὸ δὲ ἐπιφερόμενον σκώπτοντός ἐστι τοὺς Ἀθηναίους ὡς φιλοδίκους.

1031. παρὰ τὴν ψηφοθήκην. οὐ δικάζω, φησὶν ὁ γέρων.

1033. ἐπεὶ ὀψοφάγος καὶ γαστρίμαργος ὁ Γλαυκέτης, ὡς ἐν Εἰρήνῃ [1008] δηλοῦται.

1034. καὶ τοῦτο ἐξ Ἀνδρομέδας.

1040. ἀπὸ κοινοῦ λάβωμεν πέπονθα ἄνομα πάθεα. καὶ ταῦτα ἐξ Ἀνδρομέδας.

δεομένη τοῦ βαρβάρου. προεῖπε δὲ « γοᾶσθέ μ' ὦ γυναῖκες. » γρ. καὶ φῶτα ἀντομένα· καὶ τοῦτο ἔχει νοῦν πρὸς τὰ ἑξῆς, φῶτ' ἀντομέναν, ὃς ἔμ' ἀπεξύρησε πρῶτον.

1041. ἀντὶ τοῦ πολυδακρύτου.

1044. ἀντὶ τοῦ κροκωτὸν ἀμφέδυσεν.

1050. ἴσως τὸν ἥλιον ἀστέρα ἐκάλεσεν, ἢ μᾶλλον τὸν κεραυνόν.

1051. διχῶς, τὸν ἄθλιον.

1054. λείπει ἔσχον, ἐκ τῶν δαιμόνων τὰ ἄχη ἔσχον. σκοτεινήν.

1056. ὑποκρίνεται Εὐριπίδης τὸ πρόσωπον τῆς Ἠχοῦς. πατὴρ γὰρ τῆς Ἀνδρομέδας ὁ Κηφεύς.

1059. εἰωθυῖα γελᾶν, γελάστρια. ἐπεὶ εἰσήγαγε κακοστένακτον τὴν Ἠχὼ ὁ Εὐριπίδης ἐν τῇ Ἀνδρομέδᾳ, εἰς τοῦτο παίζει. ἐζήλωσε δὲ αὐτὸν Πτολεμαῖος ὁ Φιλοπάτωρ ἐν ᾗ πεποίηκε τραγῳδίᾳ Ἀδώνιδι, περὶ ἧς ὁ ἐρώμενος αὐτῷ Ἀγαθοκλῆς γέγραφεν, ὁ ἀδελφὸς τῆς ἐρωμένης αὐτοῦ πάλιν Ἀγαθοκλείας.

1060. ἐπεὶ πέρυσιν ἐδιδάχθη ἡ Ἀνδρομέδα.

1064. ἠρέμα ὁ κηδεστὴς τοῦτο πρὸς τὸν Εὐριπίδην.

1065. ὁ Μνησίλοχος ὡς Ἀνδρομέδα.
τοῦ προλόγου Ἀνδρομέδας εἰσβολή.

1066. πορείαν.

1069. τοῦτο ἡ ἠχὼ λέγει.

1070. καὶ τοῦτο ἐκ τοῦ προλόγου.

1072. λείπει μέλλουσα τυχεῖν.

1073. φλυαροῦσα.

1077. τὸ πλῆρες ὠγαθή.

1083. χωρὶς τοῦ ε γράφεται· ὁ γὰρ Σκύθης βαρβαρίζει.

1085. ἀντὶ τοῦ σοὶ κακόν.

1086. πόθεν ἡ φωνή; θαυμάζει τὴν ἠχώ.

1089. καταγελᾷς μοι.

1090. τοῦτο ὁ χορὸς ἢ ὁ γέρων.

1094. ἀντὶ τοῦ οὐ χαιρήσεις.

1095. λαλεῖς.

1096. κάτεχε.

1097. τὴν λάλον καὶ κατάρατον γυναῖκα.

1098. εἰς Περσέα ἐξ Ἀνδρομέδας τρία τὰ πρῶτα. καὶ λοιπὸν ἐπέζευξε τὰ ἑξῆς.

1099. ἐλέγετο γὰρ ὁ Περσεὺς εἰς τοὺς πόδας ἔχειν τὰ πτερά.

1103. τί λέγει περὶ τῆς κεφαλῆς τοῦ Γόργου τοῦ γραπτέως, ἐπεὶ προεῖπεν ἐκεῖνος « Γοργόνος κάρα κομίζων. » ὁ δὲ Γόργος γραμματεύς, ἀλλὰ καὶ βάρβαρος.

1105. πάλιν ἐξ Ἀνδρομέδας « ἔα, τίν' ὄχθον τόνδ' « ὁρῶ περίρρυτον ἀφρῷ θαλάσσης, παρθένου τ' εἰκώ « τινα. »

1109. ἀποθανουμένη τολμᾷς λαλῆσαι.

1114. δείκνυσιν αὐτῷ τὸ αἰδοῖον.

1118. οὐ ζηλῶ σε, φησὶν, εἰ ἑρᾷς.

1119. εἰ μὴ τὸν νῶτον ἦν, φησὶ, πρὸς τῇ σανίδι, ἀλλὰ πρὸς ἡμᾶς ἐτέτραπτο, οὐκ ἄν σοι ἐφόνησα ἀπαγαγόντι περανεῖν.

1127. ἔλεγε τὸ ξιφομάχαιρα ὡς δρεπανομάχαιρα.

1130. παρὰ τὰ ἐκ Μηδείας [298].

1151. ὅπου.

1168. λάθρα ποιεῖτε.

1170. Ἀττικῶς ἀντὶ τοῦ πεπείσμεθα.

1172. Εὐριπίδης ἐν σχήματι προαγωγοῦ γραός. ἑταίρας ὄνομα Ἐλάφιον ὡς Χρυσίον, . . ον καὶ τὰ ὅμοια.

1174. σημειωτέον τοῦτο. σημαίνει δὲ τὸ ἁβρῶς βαδίζειν. ἡ αὐλητρίς.

1175. βαρβαρικὸν καὶ Περσικὸν ὄρχημα ὄκλασμα καλεῖται, περὶ οὗ Ἰόβας μακρὸν πεποίηται λόγον ἐν τοῖς περὶ τῆς θεατρικῆς ἱστορίας, ὥστε λελύσθαι τὴν Σελεύκου πρότασιν. προτείνει γὰρ ἐν τῷ πρὸς Ζήνωνα προτατικῷ τὸ Περσικὸν ὄρχημα.

1176. διχῶς, κωμοδρίαν.

1180. κατὰ δέρμα.

1185. ὡς στέριφα τὰ τιτθία.

1186. πρὸς τὴν αὐλητρίδα.

1187. πρὸς τὸ πέος λέγει ἐπιπλήττων ἐντεινομένῳ.

1190. οὐχὶ φιλήσειν.

1197. τὴν τοξοθήκην. συβήνη αὐλοθήκη. λέγουσι δὲ καὶ τὸν φαρετρεῶνα συβήνην.

1199. παρακελεύεται αὐτῷ τηρεῖν τὸν γέροντα, αὐτὸς δὲ εἰσέρχεται μετὰ τῆς ὀρχηστρίδος.

1202. ἐπειδὴ τῶν δόλων ἔφορος ὁ Ἑρμῆς.

1203. τὴν τοξοθήκην καὶ τὰ ὄργανα τῆς ὀρχηστρίδος.

1205. δραμῆ.

1214. ἐξηπάτησε. παρὰ τοῖς Ἴωσιν. ὁ αὐτὸς ἐν Ὄρνισιν [1648] « διαβάλλεταί σ' ὁ θεῖος. »
ἑαυτῷ παρακελεύεται.

1218. ὁ χορὸς ἐμπαίζει τῷ Σκύθῃ, ἵνα μὴ διώκων

καταλάβῃ αὐτούς· συνέθετο γὰρ Εὐριπίδης ἐλθὼν φιλίαν πρὸς αὐτάς.

πηκτὶς ὄργανον κιθαρῳδικόν. ἔφερεν δὲ τοῦτο· ἦν γὰρ μετ' αὐτῆς ἡ αὐλητρίς.

1222. ποίαν ὁδὸν, φησὶ, περιπατήσω.

1224. ὡς αὐτοῦ τὴν ὁδὸν ἐκείνην θέλοντος ἀπελθεῖν, οἵαν ἀπῆλθον οἱ περὶ τὸν Εὐριπίδην.

1226. ἐπιδραμών.

1227. πέπαικται.

1230. ἡ Δημήτηρ καὶ ἡ Περσεφόνη.

ΒΑΤΡΑΧΟΙ.

ΥΠΟΘΕΣΕΙΣ.

I.

Διόνυσός ἐστι μετὰ θεράποντος Ξανθίου κατὰ Εὐριπίδου πόθον εἰς Ἅδου κατιών· ἔχει δὲ λεοντῆν καὶ ῥόπαλον, πρὸς τὸ τοῖς ἐντυγχάνουσιν ἔκπληξιν παρασχεῖν. ἐλθὼν δὲ ὡς τὸν Ἡρακλέα πρότερον, ἵνα ἐξετάσῃ τὰ κατὰ τὰς ὁδούς, ᾗ καὶ αὐτὸς ἐπὶ τὸν Κέρβερον ᾤχετο, καὶ ὀλίγα ἄττα περὶ τῶν τραγικῶν τούτῳ διαλεχθεὶς ὁρμᾷ πρὸς τὸ προκείμενον. ἐπεὶ δὲ πρὸς τῇ Ἀχερουσίᾳ λίμνῃ γίνεται, ὁ μὲν Ξανθίας, διὰ τὸ μὴ συννεναυμαχηκέναι τὴν περὶ Ἀργινούσας ναυμαχίαν, ὑπὸ τοῦ Χάρωνος οὐκ ἀναληφθεὶς πεζῇ τὴν κύκλῳ πορεύεται. ὁ δὲ Διόνυσος δύο ὀβολῶν περαιοῦται, προσπαίζων ἅμα τοῖς κατὰ τὸν πόρον ᾄδουσι βατράχοις καὶ γελωτοποιῶν. μετὰ ταῦτα ἐν Ἅδου τῶν πραγμάτων ἤδη χειριζομένων οἵ τε μύσται χορεύοντες ἐν τῷ προφανεῖ καὶ τὸν Ἴακχον ᾄδοντες ἐν χοροῦ σχήματι καθορῶνται, ὅ τε Διόνυσος μετὰ τοῦ θεράποντος εἰς ταὐτὸν ἔρχεται τούτοις. τῶν δὲ προηδικημένων ὑπὸ Ἡρακλέους προσπλεκομένων τῷ Διονύσῳ, διὰ τὴν ἐκ τῆς σκευῆς ἄγνοιαν, μέχρι μέν τινος οὐκ ἀγελοίως χειμάζονται, εἶτα μέντοι γε ὡς τὸν Πλούτωνα καὶ τὴν Περσέφατταν παραχθέντες ἀλεώρας τυγχάνουσιν. ἐν δὲ τούτῳ ὁ μὲν τῶν μυστῶν χορὸς περὶ τοῦ τὴν πολιτείαν ἐξισῶσαι καὶ τοὺς ἀτίμους ἐντίμους ποιῆσαι χἀτέρων τινῶν πρὸς τὴν Ἀθηναίων πόλιν διαλέγεται. τὰ δὲ λοιπὰ τοῦ δράματος μονόκωλα, ἄλλως δὲ τερπνὴν καὶ φιλόλογον λαμβάνει σύστασιν. παρεισάγεται γὰρ Εὐριπίδης Αἰσχύλῳ περὶ τῆς τραγικῆς διαφερόμενος, τὸ μὲν ἔμπροσθεν Αἰσχύλου παρὰ τῷ Ἅδῃ βραβεῖον ἔχοντος, τότε δὲ Εὐριπίδου τῆς τιμῆς ἀντιποιησαμένου καὶ τοῦ τραγῳδικοῦ θρόνου. συστήσαντος δὲ τοῦ Πλούτωνος αὐτοῖς τὸν Διόνυσον διακούειν, ἑκάτερος αὐτοῖν λόγους πολλοὺς καὶ ποικίλους ποιεῖται, καὶ τέλος πάντα ἔλεγχον καὶ πᾶσαν βάσανον οὐκ ἀπιθάνως ἑκατέρου κατὰ τῆς θατέρου ποιήσεως προσαγαγόντος, κρίνας παρὰ προσδοκίαν ὁ Διόνυσος τὸν Αἰσχύλον νικᾶν, ἔχων αὐτὸν ὡς τοὺς ζῶντας ἀνέρχεται. οὗ δεδήλωται μὴν ὅπου ἐστὶν ἡ σκηνή· εὐλογώτατον δ' ἐν Θήβαις· καὶ γὰρ ὁ Διόνυσος ἐκεῖθεν καὶ πρὸς τὸν Ἡρακλέα ἀφικνεῖται Θηβαῖον ὄντα.

Τὸ δὲ δρᾶμα τῶν εὖ πάνυ καὶ φιλολόγως πεποιημένων. ἐδιδάχθη ἐπὶ Καλλίου τοῦ μετὰ Ἀντιγένη διὰ Φιλωνίδου εἰς Λήναια. πρῶτος ἦν· δεύτερος Φρύνιχος Μούσαις· Πλάτων τρίτος Κλεοφῶντι. οὕτω δὲ ἐθαυμάσθη τὸ δρᾶμα διὰ τὴν ἐν αὐτῷ παράβασιν, ὥστε καὶ ἀνεδιδάχθη, ὥς φησι Δικαίαρχος.

II.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΓΡΑΜΜΑΤΙΚΟΥ.

Μαθὼν παρ' Ἡρακλέους Διόνυσος τὴν ὁδὸν
πρὸς τοὺς κατοιχομένους πορεύεται, λαβὼν
τὸ δέρμα καὶ τὸ σκύταλον, ἀναγαγεῖν θέλων
Εὐριπίδην· λίμνην τε διέβαινεν κάτω
καὶ τῶν βατράχων ἀνέκραγεν εὔφημος χορός.
ἔπειτα μυστῶν ἐκδοχή. Πλούτων δ' ἰδὼν
ὡς Ἡρακλεῖ προσέκρουσε διὰ τὸν Κέρβερον.
ὡς δ' ἀνεφάνη, τίθεται τραγῳδίας ἀγών,
καὶ δὴ στεφανοῦταί γ' Αἰσχύλος. τοῦτον δ' ἄγει
Διόνυσος εἰς φῶς, οὐχὶ μὰ Δί' Εὐριπίδην.

III.

[ΘΩΜΑ ΤΟΥ ΜΑΓΙΣΤΡΟΥ.

Διόνυσος Εὐριπίδου πόθῳ ληφθεὶς καὶ οὐχ οἷός τ' ὢν ἄλλως θεραπεῦσαι τὸν ἔρωτα, εἰς Ἅδου κατελθεῖν ἠβουλήθη, ὅπως ἐκεῖ τούτῳ ἐντύχῃ. ἐπεὶ δὲ τῆς ὁδοῦ ἄπειρος ἦν, ἔγνω δεῖν εἰς Ἡρακλέα πρόσθεν ἐλθεῖν. οὗτος γὰρ πάλαι, κελεύσαντος Εὐρυσθέως, Κερβέρου χάριν εἰς Ἅδου κατῆει. ἐλθὼν δὲ καὶ πυθόμενος περὶ τῆς ὁδοῦ, ἤκουσε παρ' αὐτοῦ, ὅπως ἄρα δεῖ κατελθεῖν, χαριεντισαμένου πρὸς αὐτὸν πρότερον. Διόνυσος δὲ καὶ πρὶν ἀπαντῆσαι πρὸς Ἡρακλέα, κατ' αὐτὸν ἐσκευάσθη, λεοντῆν ἐνδεδυμένος καὶ ῥόπαλον φέρων. ὡς οὖν ἤκουσε παρ' Ἡρακλέους περὶ τῆς ὁδοῦ, μεθ' ἑαυτοῦ δοῦλόν τινα ἔχων Ξανθίαν, ἐχώρει πρὸς Ἅδην, καὶ πρῶτον μὲν ἐντυγχάνει τῇ Ἀχερουσίᾳ λίμνῃ, καὶ ὁρᾷ ἐν αὐτῇ τὸν Χάροντα μετὰ σκάφους, δι' οὗ τοὺς τεθνεῶτας εἰς Ἅδου ἐπέρα. καὶ ὁ μὲν Ξανθίας οὐκ ἐπέβη τοῦ σκάφους, διὰ τὸ μὴ τὴν ἐν Ἀργινούσαις ναυμαχῆσαι μάχην· πεζῇ δὲ περιῄει τὴν λίμνην. Διόνυσος δὲ ἐπιβὰς, καὶ τῶν ἐν αὐτῇ βατράχων ἀκούσας μέλη παρὰ τὸν πλοῦν, διαπεραιοῦται, καὶ αὖθις Ξανθίᾳ συγγίνεται, καὶ σὺν αὐτῷ πάλιν ἀφάμενος τῆς ὁδοῦ εὑρίσκει,

ἃ Ἡρακλῆς αὐτῷ προειρήκει, δυσχερῆ τινα θεάματα· καὶ τοὺς μύστας παρ' αὐτὰς τὰς πύλας τοῦ Ἅδου χορεύοντας. εἶτα ὡς Ἡρακλῆς εἰσελθών, καὶ μεταξὺ πολλῶν τούτῳ συμβάντων, παραγίνεται πρὸς Πλούτωνα, καὶ ὅτου χάριν ἦκεν εἰπών, ἔσχεν ὑπακούοντα Πλούτωνα, οὐχ ἵν' Εὐριπίδην ἀναγάγῃ, ἀλλ' ἵν' ἀγωνισαμένων Αἰσχύλου καὶ Εὐριπίδου, ὅστις τούτων ἄριστος τὰ εἰς τέχνην φανείη, τοῦτον αὐτὸς εἰληφὼς ἀνενέγκῃ πρὸς βίον. τούτου δὲ γενομένου, καὶ κρείττονος ἀναφανέντος Αἰσχύλου, Διόνυσος τοῦτον λαβὼν ἀνῆλθε.

Τὸ δὲ δρᾶμα τῶν εὖ καὶ φιλοπόνως πεποιημένων. Ἐδιδάχθη δὲ ἐπὶ Καλλίου ἄρχοντος, τοῦ μετὰ Ἀντιγένη. οὕτω δὲ ἐθαυμάσθη διὰ τὴν ἐν αὐτῷ παράβασιν, καθ' ἣν διαλλάττει τοὺς ἐντίμους τοῖς ἀτίμοις καὶ τοὺς πολίτας τοῖς φυγάσιν, ὥστε καὶ ἀνεδιδάχθη, ὡς φησι Δικαίαρχος.]

IV.

[ΣΚΟΠΟΣ ΤΟΥ ΠΑΡΟΝΤΟΣ ΔΡΑΜΑΤΟΣ.

Ὁ παρὼν ποιητής, ὡς ἐν τῷ δράματι τοῦ Πλούτου τῷ τότε τῶν Ἀθηνῶν ἄρχοντι ὁπωσδήποτε χαριζόμενος, τότε τὸν Πλοῦτον ἀναβλέψαι φησὶ καὶ πλουτῆσαι τοὺς ἀγαθούς· τῶν Νεφελῶν δὲ τὸ δρᾶμα κατὰ τὸ φαινόμενον γράψας κατὰ Σωκράτους, κατὰ παντὸς συνετάξατο φιλοσόφου καὶ μετεωρολέσχου καὶ φυσικοῦ· [Σωκράτης γὰρ μετερχόμενος τὴν ἠθικὴν φιλοσοφίαν, κατεγέλα μεταρσιολογίας καὶ φυσικῆς, ὡς γράφει Ξενοφῶν ἐν τοῖς Ἀπομνημονεύμασι, θεολογίας δὲ ὡς ἀκαταλήπτου πάντη ἀπείχετο· ὡς οὖν τὸ δρᾶμα τοῦ Πλούτου ὑπὲρ τοῦ τότε ἄρχοντος Ἀθηνῶν ἀσυμφανῶς ξυνετάξατο, κατὰ παντὸς δὲ φιλοσόφου μεταρσιολέσχου καὶ ψευδοτύπου τὸ δρᾶμα τῶν Νεφελῶν·] οὕτω καὶ τήνδε τὴν κωμῳδίαν τῶν Βατράχων κατὰ παντὸς ὑποψύχρου καὶ ὑποξύλου καὶ ἀψυοῦς καὶ ἀτεχνότατα γράφοντος, τῷ μεμηνέναι δὲ οὐ συνιέντος ἑαυτὸν ὄντα βάρβαρον, οἰομένου δὲ μὴ μόνον ἰσοῦσθαι, ἀλλὰ καὶ τὰ κρείττονα φέρεσθαι τῶν λίαν ἐπιστημόνων. ὡς τῷ ὑπὲρ φύσιν Ὁμήρῳ τις ἀνώνυμος ἤριζε Σάτυρος, Ἡσιόδῳ δὲ Κέρκωψ, ἢ πλέον εἰπεῖν, Εὔρυτος μὲν τοξικῇ, Μαρσύας δὲ μουσικῇ τῷ Ἀπόλλωνι· Σειρῆσι δὲ καὶ Μούσαις Θάμυρις ὁ μαινόμενος· ἢ ὡς ὁ Αἰγύπτιος Σῶφις καὶ ὁ Θετταλὸς Σαλμωνεὺς ταῖς οὐρανίαις ἀντιπαταγοῦντες βρονταῖς καὶ τοῖς κεραυνοῖς δῆθεν ἀνταστράπτοντες. κατὰ τοιούτου παντὸς μὴ συνιέντος ἑαυτὸν, [ἐξομοιουμένου δὲ φιληταῖς ἀλογίστοις καθάρμασι, δίκην βατράχων βοῶσι θορυβωδέστατα,] τὸ τοιοῦτον ὁ ποιητὴς ἐξέθετο δρᾶμα. Διασκευὴ δὲ καὶ ἔκθεσις τοιάδε τοῦ δράματος· πλάττεται τῷ ποιητῇ δυσφορῶν ὁ Διόνυσος διὰ τὸ ἐν τοῖς Διονυσίοις μὴ εἶναι τραγικὸν ἢ κωμικὸν δεξιὸν ποιητήν. ὅθεν καὶ βουληθεὶς κατιέναι εἰς ᾅδου, ὡς Εὐριπίδην ἐκεῖθεν ἀνάξειεν, ἐπὶ Διονυσιακοῖς τοῖς κοθόρνοις, καὶ λεοντῆν καὶ ῥόπαλον ἔχων τρόπῳ τοῦ Ἡρακλέους, μετὰ Ξανθίου οἰκέτου, ὄνῳ ἐποχουμένου, τοῖς ὤμοις δὲ ἀνάφορον φέροντος, ὃ ἀλλαχτὸν δημωδεστέρως καλεῖται, εἰς Θήβας ἢ Τίρυνθα, πόλιν τοῦ Ἄργους, ἀφικνεῖται πρὸς Ἡρακλέα, ὁδοὺς τὰς εἰς ᾅδου χρῄζων μαθεῖν ἐξ αὐτοῦ καὶ πανδοχεῖα καὶ ἐκτροπὰς, ἅτε τοῦ Ἡρακλέους εἰς ᾅδου πρὶν κατελθόντος ἐπ' ἀναγωγῇ τοῦ Κερβέρου· εἰ καὶ δυσὶ γενεαῖς προγενέστερος ἦν Ἡρακλέους ὁ Διόνυσος. παρ' οὗ μαθὼν ὅσων ἔχρῃζεν, ἀπάρχεται τῆς πορείας. παρὰ τὴν λίμνην δὲ πεφθακὼς τὴν Ἀχερουσίαν, αὐτὸς μὲν ὁ Διόνυσος δυσὶν ὀβολοῖς περαιοῦται τῷ Χάρωνι, Ξανθίας δ', ἀνθ' ὧν τῇ περὶ Ἀργινούσας οὐκ ἐναυμάχησε ναυμαχίᾳ, τῷ Χάρωνι μὴ ἀναληφθεὶς πεζῇ τὴν λίμνην κύκλῳ περιπορεύεται· καὶ τί δεῖ λεπτολογεῖν τὸ πᾶν τοῦ συγγράμματος τέλος; Διόνυσος ξενίζεται Περσεφόνῃ καὶ Πλούτωνι, καὶ κρίσιν ποιησάμενος ποιητῶν, Εὐριπίδου καὶ Αἰσχύλου, καὶ ἄριστον τῷ ὄντι Αἰσχύλον νομίσας, καὶ παρὰ προσδοκίαν τοῦτον λαβὼν ἀλλ' οὐκ Εὐριπίδην, αὖθις ἐς τοὺς ζῶντας ἀνέρχεται.]

SCHOLIA IN RANAS.

Ὁ Ξανθίας ἐπὶ ὄνου παράγεται καθεζόμενος, ἔχων ἐπὶ τῶν ὤμων ἀνάφορον, ὅπου ἦν τὰ στρώματα. (εὐθὺς ἐν τῇ εἰσβολῇ διαβάλλει τούς τε κωμῳδοὺς ὡς γελοίοις χρωμένους καὶ παρατρέποντας τοὺς θεατὰς ἀπὸ τῆς ἀκριβείας.)

1. τῶν εἰωθότων : Ἀντὶ τοῦ τῶν ἐθίμων, ἡ μετοχὴ ἀντὶ τοῦ ὀνόματος· καὶ Ὅμηρος [Od. A, 213]

τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος

ἀντὶ τοῦ πινυτός. — εἰωθότων : Τῶν συνήθων διαλέγεσθαι εἰς ἡδονὴν τοῦ θεάτρου. Θ. τῶν συνήθων. *Br.*

2. θεώμενοι : Οἱ θεαταί. Θ. *Br.*

3. νὴ Δί' ὅ τι βούλει γε : Ἴδιον αὐτοῦ τὸ εἰς ταῦτα ὀλισθαίνειν· ὡς καὶ ἐν δευτέραις Θεσμοφοριαζούσαις [fr. 307] ὁ θεράπων φησὶν

ὡς διά γε τοῦτο τοῦπος, οὐ δύναμαι φέρειν
σκεύη τοσαῦτα, καὶ τὸν ὦμον θλίβομαι.

ἐνταῦθα δέ φησιν ὅτι οὐ δύναμαι ἀνέχεσθαι τοῦ θλίβομαι λεγομένου.

4. πάνυ γάρ ἐστ' ἤδη χολή : Ἀντὶ τοῦ πολύ. τὸ δὲ πολὺ, κἂν ᾖ γλυκὺ, πικρόν ἐστιν. (Ἄλλως. ὡσανεὶ ἔλεγε ναυτία, διὰ τὸ ἐπιδαψιλεύειν τὴν παιδιὰν ταύ-

την. συνεχῶς γὰρ εἰσῆγον τοὺς τὰ τοιοῦτα λέγοντας.) — χολή : Λύπη. *D.*

5. ἀντὶ τοῦ χωρὶς τοῦ εἰπεῖν θλίβομαι. R. ἀντὶ τοῦ ἄνευ εἰπεῖν πιέζομαι. V.

6. γέλοιον Ἀττικῶς, γελοῖον δὲ κοινόν. ἡ δὲ σημασία ἡ αὐτή.

8. μεταβαλλόμενος : Ἀντὶ τοῦ μεταφέρων, μετατιθεὶς ἀπὸ ὤμου εἰς ὦμον. τἀνάφορον δὲ ξύλον ἀμφίκοιλον, ἐν ᾧ τὰ φορτία ἐξαρτήσαντες οἱ ἐργάται βαστάζουσι. — μεταθέμενος τὸ ἐπὶ ὤμου φορτίον. Θ. χεζητιᾷς : Μέλλεις ἀποπατεῖν. *Vict.*

9. (μηδ' ὅτι τοσοῦτον : Μὴ οὕτω ποιήσαιμι καίτοι ἄχθος τοσοῦτον φέρων.)

10. ἀποπαρδήσομαι : Εἰς τὸ αὐτὸ κατήντησεν ὡς ὄπισθεν ἄκων. — καθαιρήσει : Καταβιβάσει ἀπὸ τοῦ ὤμου. Θ. *Vict.* καθαίρω παροξυτόνως τὸ ἀποπλύνω, καθαιρῶ δὲ περισπωμένως τὸ καταβάλλω. Θ. Vict.

11. πλήν γ' ὅταν μέλλω ξεμεῖν : Οἷον, εἰ ὅλως λέγεις, τότε εἰπέ, ὅτε μέλλω ἐξεμεῖν, ἵνα ἅπαξ ἐμέσω καὶ μὴ καὶ τότε ὅτε λέγεις. Ἄλλως. τότε, φησὶ, λέγε, ἐὰν θέλῃς, ἐπιτηρήσας, ὅτε μέλλω ἐξεμεῖν. ῥᾷστα γὰρ ἂν ἐξεμέσαιμι, ἐὰν εἴπῃς.

13. Φρύνιχος : Δίδυμός φησιν ὅτι νῦν Φρυνίχου τοῦ κωμικοῦ μέμνηται, ὡς παρ' ἕκαστα ἐν ταῖς κωμῳδίαις φορτικευομένου. ἔστι δὲ πατρὸς Εὐνομίδου. κωμῳδεῖται δὲ καὶ ὡς ξένος, καὶ ἐπὶ φαυλότητι ποιημάτων, καὶ ὡς ἀλλότρια λέγων καὶ ὡς κακόμετρα. εἰσὶ δὲ καὶ ἄλλοι τρεῖς Φρύνιχοι. (Φρύνιχος δὲ ὁ κωμικὸς οὐδὲν τούτων ἐποίησεν ἐν τοῖς σωζομένοις αὐτοῦ· εἰκὸς δὲ ἐν τοῖς ἀπολωλόσιν εἶναι αὐτοῦ τοιοῦτόν τι.)

14. Λύκις : Κωμῳδίας ποιητής. ὡς ψυχρὸς κωμῳδεῖται· λέγει δὲ αὐτὸν καὶ Λύκον· οὗ οὐδὲν φέρεται. (Ἄλλως. ὁ δὲ νοῦς, εἴπερ ποιήσω μηδὲν ὧν οὗτοι εἰώθασι ποιεῖν τοῖς σκευοφοροῦσιν· ἵνα τὸ φέρουσι σημαίνῃ πτῶσιν δοτικήν. Ἄλλως.) τριχῶς λέγεται. ἢ γὰρ σκευηφοροῦσιν, ἢ σκεύη φέρουσιν, ἢ [σκευοφοροῦσιν. ἀντὶ τοῦ] σκευοφόρους ἄνδρας ποιοῦσιν. ἔστι δὲ βεβιασμένος ὁ λόγος, εἴπερ ποιήσω μηδὲν ὧν οὗτοι ποιοῦσι, σκευηφοροῦντας εἰσάγοντες μετὰ πολλῶν. περιλείπεται οὖν ἀκούειν ἁπλῶς ὧν οὗτοι εἰώθασι ποιεῖν τοῖς σκευηφοροῦσιν, ἵνα τὸ σκευηφοροῦσι σημαίνῃ πτῶσιν δοτικήν. — καὶ αὐτὸς ὡς κακὸς ποιητὴς κωμῳδεῖται. V.

15. σκευοφοροῦσ' : Τοῖς. *E.* καὶ οὗτοι οἱ τρεῖς κωμικοὶ εἰσὶ ποιηταὶ, σκευοφοροῦντας εἰσάγοντες ἐν ταῖς κωμῳδίαις καὶ αἰσχρὰ ποιοῦντας. E.

17. τῶν πράξεων τῶν ἀπατηλῶν. Θ. εἰρωνεία. πανουργευμάτων, ἀπατηλῶν ποιημάτων. M.

18. πλεῖν ἢ 'νιαυτῷ : Παρὰ τὸ Ὁμηρικὸν [Od. T, 360]

αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν.

καὶ τὸ [Od. O, 357] « ἐν ὠμῷ γήραϊ θῆκε. » διὰ τὴν ἀηδίαν οὖν γηράσκω, φησίν.

19. ἄρ' ὁ τράχηλος οὑτοσὶ : Ὁ Ξανθίας ἀχθόμενος ἐφ' ᾧ βαστάζει φόρτῳ λέγει.

20. ὑπὸ τοῦ φορτίου ἐρεῖ. Θ.

21. ἀλαζονεία. R. V. ἡμετέρα ἀτιμία αὐτοῦ ἀλαζονεία καὶ ἔπαρσις. Θ.

22. υἱὸς Σταμνίου : [Δέον εἰπεῖν υἱὸς Διὸς Σταμνίου εἶπε παρ' ὑπόνοιαν, ἐπειδὴ ὁ οἶνος ἐν σταμνίῳ βάλλεται. ὁ δὲ Διόνυσος εἰς τὸν οἶνον ἀλληγορεῖται.] (σταμνία καὶ στάμνους τοὺς ἀμφορεῖς τοῦ οἴνου φασίν. παίζει δὲ ἅμα καὶ πρὸς τὸ σχῆμα ὅτι υἱός εἰμι σταμνίου. Ἄλλως.) ἔπαιξεν, ἐπεὶ ὁ κέραμος ἐν ἑαυτῷ βαστάζει τὸν οἶνον ὥσπερ παῖδα καὶ τρέφει.

23. τοῦτον δ' ὀχῶ : Ὀχεῖσθαι ποιῶ· ἐπὶ τοῦ ὄνου γὰρ ἦν καθήμενος ὁ Ξανθίας· [νοεῖται δέ τι καὶ αἰσχρόν· ἀντὶ τοῦ, ἐπιβαίνω αὐτόν. — ὀχῶ μὲν ἐνεργητικῶς τὸ ἀφροδισιάζω καὶ ὀχεύω τὸ αὐτὸ, καὶ τὸ πρᾶγμα ὀχεία. ὀχοῦμαι δὲ παθητικῶς ἤτοι ἐπιβάτης εἰμὶ καὶ ἐφ' ἵππου κάθημαι ἢ ἑτέρου τινός. καὶ ἀπὸ τούτου ὄχημα τὸ ἅρμα. Οἱ δὲ Ἀττικοὶ τὸ ὀχεῖν ἐνεργητικὸν καὶ ἐπὶ τοῦ ὀχεῖσθαι ποιεῖν ἐκλαμβάνουσι καὶ ἐπιβάτην καθιστάναι ἕτερον, ὡς καὶ ὁ Ἀριστοφάνης ἐνταῦθα « τοῦτον δ' ὀχῶ » ἀντὶ τοῦ ὀχεῖσθαι ποιῶ. Θ.]

25. ὀχεῖ : ἀντὶ τοῦ βαστάζει. R. V. ἐπ' ὀχήματος φέρῃ. *Vict.*

28. οὐ δῆθ' ὅ γ' ἔχω 'γὼ καὶ φέρω : Ἐπάνω γὰρ τοῦ ὄνου καθεζόμενος ὁ οἰκέτης, ἐβάσταζε τὸ ἀνάφορον. τινὲς εἰς τὸ φέρω δύο στιγμὰς ποιοῦσιν, ἀφαιροῦντες τοῦ μὰ τὸν Δί' οὔ τὴν μίαν στιγμήν.

30. πιέζεται : Κατηνέχθη ὤμως καὶ αὐτὸς ἐπὶ τὸ πιέζομαι.

32. ἐν τῷ μέρει σὺ τὸν ὄνον : Ἀντὶ τοῦ, κατά τι μέρος, (ἢ ἐν τῷ ἴσῳ μέρει) κατὰ τὴν ἀμοιβὴν βάστασον τὸν ὄνον.

33. (τί γὰρ ἐγὼ οὐκ ἐναυμάχουν : Πρὸς τοὺς χρόνους, ὅτι τῷ προτέρῳ ἔτει ἐπὶ Ἀντιγένους περὶ Ἀργίνουσαν ἐνίκων ναυμαχίᾳ οἱ Ἀθηναῖοι συμμαχούντων δούλων, προκακωθέντες ἄλλαις ναυμαχίαις, οὕστινας ἠλευθέρωσαν· πρὸς τοῦτο οὖν χαριεντιζόμενος λέγει, ὅτι εἴπερ ἐνεναυμαχήκειν, κἂν ἀφείμην ἐλεύθερος. ὥστε οἰμώζειν ἂν ἔλεγόν σοι. ἡ δὲ Ἀργίνουσα, πόλις τῆς Αἰολίδος, ἀντικρὺ δὲ Λέσβου κειμένη καὶ Μαλίας καλουμένης ἄκρας.)

35. (κατάβα πανοῦργε : Τὸ χ, ὅτι κατάβα φησί. πρὸς τοὺς ἀξιοῦντας, ὅτι κατάβηθι λέγεται μόνως. τὸ δὲ πανοῦργε, ἡμεῖς μὲν μετριώτερον φαμὲν, Ἀττικοὶ δὲ ἐπὶ σφοδρᾶς βλασφημίας.)

38. ὡς Κενταυρικῶς : (Πρῶτον μὲν ἕως τούτου ὑπακούων τῷ Διονύσῳ λέγει ὁ Ἡρακλῆς, ἐνήλαθ' ὅστις· εἶτα τὴν ὄψιν καταπλαγεὶς τὸ μὲν ἀκόλουθον οὐκ ἀνεπλήρωσεν, εἰπὼν ὅστις ἐστίν, ἀλλὰ θαυμάσας ἐπηρώτησε τίς εἴη.) ἀντὶ τοῦ ἀκόσμως καὶ ὑβριστικῶς, ὅτι καὶ οἱ Κένταυροι ὑβρισταί. καὶ τοῦτο οἶδεν Ἡρακλῆς ἐκ τῆς πρὸς αὐτοὺς μάχης. τινὲς δὲ ἀντὶ τοῦ μαλακῶς. εἰρωνεύεται γὰρ ὁ Ἡρακλῆς. ὁ γὰρ Διόνυσος μαλακὸς

καὶ τρυφηλός. — Κενταυρικῶς : Λίαν ἀγρίως, δίκην Κενταύρων. Θ. ἀτάκτως. *Vict.*

39. ὅστις : Ἦν. *Vict.* πρός τινα τῶν ἑαυτοῦ παίδων τοῦτό φησιν, οὕπω τῆς θύρας ἀνοιγείσης. Vict.

40. ὁ παῖς : Ὁ Διόνυσος νεύει πρὸς τὸν Ξανθίαν, καὶ λέγει μειρακευόμενος, ὡς δείσαντος αὐτὸν τοῦ Ἡρακλέους. καθόλου γὰρ τοιοῦτον εἰσάγουσι τὸν Διόνυσον, ὡς ὄντα δειλόν, (μόνον δὲ καυχηματίαν). — ὁ παῖς : Ὦ παῖ. *E.*

41. μὴ μαίνοιό γε : Δίδυμος ἀντὶ τοῦ, μὴ μανείης. πιθανώτερον δὲ ἀντὶ τοῦ, ὑπέλαβέ σε μαίνεσθαι ὁ Ἡρακλῆς. Ἄλλως. μὴ οὕτω μανείης, ὡς ὑπολαβεῖν σε τὸν Ἡρακλέα φοβηθῆναι.

46. ἐπὶ κροκωτῷ : Διονυσιακὸν φόρεμα ὁ κροκωτός. ἐφόρει δὲ λεοντῆν, ἵνα ᾖ φοβερὸς ὡς Ἡρακλῆς. Ἡρακλέους γὰρ φόρεμα ἡ λεοντῆ. [κροκωτῷ, γυναικείῳ ἐκ πήνης ἐνδύματι.] — γυναικείῳ ἐνδύματι ἐκ μετάξης. Θ. *E.*

47. τίς ὁ νοῦς ἀντὶ τοῦ τί ὁ νοῦς θέλει εἶναι. V. ποία διάνοια. G.

κόθορνος : Τινὲς ὅτι ὁ κόθορνος εἰς ἀμφοτέρους τοὺς πόδας ἁρμόζει, οἱ δὲ ὅτι ἀνδράσι καὶ γυναιξὶν ἁρμόττει. (ἔνθεν καὶ Θηραμένης κόθορνος ἐλέγετο, ὅτι τοῖς καιροῖς καθομιλεῖν δύναται. ὁ δὲ Ξενοφῶν ἐν Ἑλληνικοῖς [2, 3, 31] ἀμφοτέροις τοῖς ποσὶν ἁρμόζειν αὐτόν φησιν. ἐκπλήττεται δὲ ὁ Ἡρακλῆς ὁρῶν τὴν ἄτοπον ταύτην σκευήν, καὶ ὅτι τὰ ἄμικτα ἔμιξεν. ὁ μὲν γὰρ κροκωτὸς καὶ ὁ κόθορνος γυναικεῖά ἐστιν, ἡ δὲ λεοντῆ καὶ τὸ ῥόπαλον ἀνδρῷα.)

48. ἐπεβάτευον Κλεισθένει : Παίζει. λέγεται γὰρ καὶ ἐπὶ νεὼς τὸ ἐπιβατεύειν καὶ ἐπὶ συνουσίας κατὰ μεταφορὰν τῶν ἀλόγων ζῴων, ἃ ἐπιβαίνοντα συνουσιάζει. Ἄλλως. Κλεισθένης ὁ Σιβυρτίου ἐπ' αἰσχρότητι κωμῳδεῖται. ἦν δὲ λεῖος τὸ γένειον· διὸ καὶ εὐνούχῳ εἰκάζει αὐτόν. (Ἄλλως. τὸν Κλεισθένην καὶ ἐπὶ τοῦ πασχητιᾶν κωμῳδοῦσιν. ἐμφαίνει οὖν ὅτι εἰ κατὰ στρατείαν ἀπεδήμουν, μετὰ Κλεισθένους ἂν ἐστρατευσάμην. καὶ τὸ ἐπεβάτευον ἐκείνῳ, κακεμφάτως. ἐστρατήγησε δὲ νεωστὶ καὶ ἐνίκησεν οὗτος.)

49. κατεδύσαμεν : Ἐβυθίσαμεν εἰς τὴν θάλασσαν. *Victor.*

51. σφὼ νὴ τὸν Ἀπόλλω : Θαυμάζων (καὶ ἀπιστῶν) λέγει ὁ Ἡρακλῆς τὸ σφώ. τινὲς δὲ εἰς τὸν Ἀπόλλω δύο στίζουσι καὶ εἰς τὸ ἐξηγρόμην.

κἄτ' ἔγωγ' ἐξηγρόμην : Σκώπτει τὸν Διόνυσον. καὶ ἐγὼ, φησὶν, ἀνέστην ἐξ ὀνείρου· δηλῶν ὅτι ὄναρ ταῦτα ἔπραξεν. οἱ δέ φασιν ὡς ὁ Διόνυσος ταῦτα λέγει, κἄτ' ἔγωγ' ἐξηγρόμην, ὡς τῶν ἐπίτηδες ψευδομένων ἐπιλεγόντων τοῦτο, καθ' ὃ δηλοῦται ὅτι ἐνυπνίῳ ἔοικε τὸ λεγόμενον. οἱ δὲ τῷ Ἡρακλεῖ προσνέμουσι τοῦτο, [οἱ δὲ τῷ Ξανθίᾳ. καὶ τὸ, νὴ τὸν Ἀπόλλω, τῷ Διονύσῳ. μόνον γὰρ τὸ σφὼ λέγειν τὸν Ἡρακλῆν.] — σφώ : Ὑμεῖς οἱ θηλυμανεῖς. ἐξηγρόμην : Ἐξηγειρόμην ἐξ ὕπνου. Θ. *Br., Vict.* ἐξ ὕπνου. *E.* τὸ ἐξηγρόμην λέγει δεικνὺς αὐτὸν, ὅτι ὀνείρατα φθέγγεται. E.

53. τὴν Ἀνδρομέδαν : (Τῶν καλλίστων Εὐριπίδου δρᾶμα ἡ Ἀνδρομέδα.) διὰ τί δὲ μὴ ἄλλο τι τῶν πρὸ ὀλίγου διδαχθέντων καὶ καλῶν, Ὑψιπύλης, Φοινισσῶν, Ἀντιόπης; ἡ δὲ Ἀνδρομέδα ὀγδόῳ ἔτει προεισῆλθεν. ἀλλ' οὐ συκοφαντητὰ ἦν τὰ τοιαῦτα.

54. ἐπάταξε : Ἔπληξε. *Vict.*

55. μικρὸς ἡλίκος Μόλων : (Παίζει. ἔστι γὰρ μεγαλόσωμος ὁ Μόλων. Ἄλλως.) Δίδυμός φησιν ὅτι δύο Μόλωνές εἰσιν, ὁ ὑποκριτὴς καὶ ὁ λωποδύτης· καὶ μᾶλλον τὸν λωποδύτην λέγει, ὃς ἐστι μικρὸς τὸ σῶμα. Τιμαχίδας δὲ τὸν ὑποκριτὴν λέγεσθαι νυνὶ Μόλωνα.

56. γυναικὸς οὐ δῆτα : Τινὲς ἀπὸ τοῦ γυναικὸς ἀμοιβαῖα ποιοῦσι, τινὲς δὲ ὅλον φασὶ τὸν Ἡρακλέα λέγειν, λογιζόμενον τίνος ἠράσθη Διόνυσος. τοῦ δὲ Διονύσου εἰπόντος τὸ ἀτταταῖ, ὁ Ἡρακλῆς ὑποπτεύει ἀνδρὸς ἐρασθῆναι Κλεισθένους τὸν Διόνυσον.

57. (ἀτταταῖ : Γράφεται ἀππαπαῖ. διὰ τούτου συγκαταθεμένου τοῦ Διονύσου καὶ ὁ Ἡρακλῆς ἐπήνεγκε, μὴ τοῦ Κλεισθένους, διὰ τὸ, ἐπεβάτευον Κλεισθένει.) — ξυνεγένου : Αἰσχρῶς ἠνώθης. *Vict.*

58. (οὐ γὰρ ἀλλ' ἔχω κακῶς : Ἀντὶ τοῦ καὶ γὰρ ἀλλά. τὸ ἀλλὰ παρέλκει Ἀττικῶς. ἀντὶ τοῦ, ἔχω γὰρ κακῶς.) — Ἄλλως. οὐ γὰρ ἀλλά ἀντὶ τοῦ καὶ γὰρ ἀλλά. Καλλίμαχος « οὐ γὰρ ἀλλ' ἦκω. » V. οὐ γὰρ τοῦτό ἐστι. *C.* οὐ γὰρ τούτου ἐπιθυμῶ, ὃ λέγεις· ἀλλὰ κακῶς ἔχω. *D.*

59. ἐπιθυμία ἡ ἀγάπη. V.

61. δι' αἰνιγμῶν : Ἀντὶ τοῦ δι' ἀσαφείας. R. V. αἰνιγμάτων. Θ.

63. ἔτνους : Ὀσπρίου πισίνου. ὡς ἀδηφάγον δὲ τὸν Ἡρακλέα κωμῳδοῦσι. (τὸ δὲ ἔτνος εἶδος ἀθάρας.) [οἱ δὲ ἀνδρεῖοι καὶ πρὸς τὰς μάχας θαυμαστοὶ ἔτνος ἐσθίουσιν ὡς συντελοῦν αὐτοῖς πλεῖστα, ὡς οἱ περὶ ταῦτα δεινοὶ λέγουσιν.]

64. ἑτέρᾳ φράσω : Διδάσκω οἵως ἐρῶ, ὑποβαλών σοι τὸν ἔρωτα τοῦ ἔτνους. ἀντὶ τοῦ ἄλλῳ τινὶ ὑποδείγματι, οἷον ἄλλῳ τρόπῳ. ἔστι δὲ τὸ ἡμιστίχιον ἐξ Ὑψιπύλης Εὐριπίδου.

67. (καὶ ταῦτα τοῦ τεθνηκότος : Τινὲς βούλονται ἓν πρόσωπον λέγειν ὅλον. τινὲς δὲ διορίζουσι τὸ τοῦ τεθνηκότος· ὡς τοῦ Ἡρακλέους λέγοντος αὐτό. οὕτω γὰρ καὶ αἱ διδασκαλίαι φέρουσι, τελευτήσαντος Εὐριπίδου τὸν υἱὸν αὐτοῦ δεδιδαχέναι ὁμώνυμον ἐν ἄστει Ἰφιγένειαν τὴν ἐν Αὐλίδι, Ἀλκμαίωνα, Βάκχας.)

71. αὐτοῦ γὰρ τοῦ Διονύσου ἐστὶν ὁ ἀγών.

72. (οἱ μὲν γὰρ οὐκ ἔτ' εἰσὶν : Εὐριπίδου ἐξ Οἰνέως

σὺ δ' ὦδ' ἔρημος ξυμμάχων ἀπόλλυσαι·
οἱ μὲν γὰρ οὐκ ἔτ' εἰσὶν, οἱ δ' ὄντες κακοί.)

73. (τί δ' οὐκ Ἰοφῶν : Υἱὸς Σοφοκλέους ὁ Ἰοφῶν. ἠγωνίσατο δὲ καὶ ἐνίκησε λαμπρῶς ἔτι ζῶντος τοῦ πατρὸς αὐτοῦ. διὸ ἀμφιβάλλει μήποτε τοῦ Σοφοκλέους εἴη εἰρηκὼς τραγῳδίαν.)

75. ἐπαινέσας αὐτὸν ὁ Ἀριστοφάνης ὅτι τοῦτο καὶ μόνον ἐστὶ λοιπὸν ἀγαθὸν, προελθὼν ἔψεξεν αὐτόν. V. [ὅπως ἔχει : Εἴτε αὐτοῦ δηλονότι τὰ ποιήματα εἴτε τοῦ πατρὸς αὐτοῦ Σοφοκλέους. τοιαύτη γὰρ περὶ αὐτοῦ τοὺς πολλοὺς δόξα κατεῖχε.] (πρότερον δὲ, τῇ ἡλικίᾳ, ἢ τιμιώτερον.)

78. οὗ, πρίν γ' ἂν Ἰοφῶντα : Κωμῳδεῖται γὰρ ὁ Ἰοφῶν ὁ υἱὸς Σοφοκλέους ὡς τὰ τοῦ πατρὸς λέγων ποιήματα. (Ἄλλως. οὐ μόνον ἐπὶ τῷ ταῖς τοῦ πατρὸς τραγῳδίαις ἐπιγράφεσθαι κωμῳδεῖται, ἀλλ' ἐπὶ τῷ καὶ ψυχρὸς καὶ μαλακὸς εἶναι.) — Νικοστράτης δὲ υἱὸς ἦν. φασὶ δὲ ὅτι καὶ Ἀρίστων τοῦ Σοφοκλέους νόθος υἱὸς ἐγεγόνει ἔκ τινος Θεωρίδος Σικυωνίας. V. τὸ δὲ κωδωνίσω ἀντὶ τοῦ δοκιμάσω, ὅτι τινὰ τῶν ὀρνέων δοκιμάζεται τῷ τοῦ κώδωνος ψόφῳ. (καὶ τοὺς ἵππους οὕτως ἐδοκίμαζον κώδωσιν εἰ ψοφοδεεῖς εἶεν, καὶ τοὺς ὄρτυγας. οἱ γὰρ ὑπομένοντες τὸν ἦχον τοῦ κώδωνος ἐπιτηδείως ἔχουσι πρὸς μάχην. τινὲς δὲ ἀπὸ τῶν ἀγγείων τῶν σαθρῶν, ἐπεὶ οὕτω δοκιμάζουσι διακρούοντες. τινὲς δὲ ἀπὸ τῶν φυλακῶν. βέλτιον δὲ τὸ ἐπὶ τῶν ἵππων καὶ τῶν ἀγγείων· τὰ δὲ ἄλλα ἐσχεδίασται. Ἄλλως. ἡ μεταφορὰ ἀπὸ τῶν ἵππων τῶν κώδωνι δοκιμαζομένων εἰ θόρυβον ὑπομένειν δύνανται. Δημήτριος δὲ προσλαμβάνει καὶ ὅτι κατὰ τὰς φυλακὰς εἰ ἐγρηγόρασι κώδωσι διεσήμαινον, ὅπως ἂν φθέγγωνται.)

79. κωδωνίσω : Δοκιμάσω, ἐκ μεταφορᾶς τῶν νομισμάτων. *C.* διακηρύξω. *D.* δοκιμάσω, ἐξετάσω. *Vict.*

82. εὔκολος : Ἁπλοϊκὸς καὶ ἐλευθέριος. τοιοῦτος δὲ ὁ Σοφοκλῆς. — μαλακογνώμων. Θ. *Vict.*

83. Ἀγάθων δὲ : Οὗτος τραγῳδίας ποιητὴς (Ἀθηναῖος, υἱὸς Τισαμενοῦ). κωμῳδεῖται δὲ εἰς θηλύτητα. (ἦν δὲ καὶ κωμῳδοποιὸς τοῦ Σωκρατικοῦ διδασκαλείου.)

84. ποθεινὸς τοῖς φίλοις : Γράφεται δεξιός. φίλοις δὲ ἀντὶ τοῦ τοῖς σοφοῖς. οὗτος δὲ ἀγαθὸς ἦν τὸν τρόπον καὶ τὴν τράπεζαν λαμπρός. καὶ φασὶν ὅτι τὸ Πλάτωνος συμπόσιον ἐν ἑστιάσει αὐτοῦ γέγραπται, πολλῶν ἅμα φιλοσόφων παρ' αὐτῷ καταχθέντων.)

85. ἐς μακάρων εὐωχίαν : Ἢ ὡς περὶ τετελευτηκότος λέγει, ὡσανεὶ εἶπε τὰς μακάρων νήσους· ἢ ὅτι Ἀρχελάῳ τῷ βασιλεῖ μέχρι τῆς τελευτῆς μετὰ ἄλλων πολλῶν συνῆν ἐν Μακεδονίᾳ, καὶ μακάρων εὐωχίαν ἔφη τὴν ἐν τοῖς βασιλείοις διατριβήν. [τοῦτο δὲ παρ' ὑπόνοιαν.]

86. Ξενοκλῆς : Υἱὸς Καρκίνου, ὃς κωμῳδεῖται ὡς ἄξεστος ἐν τῇ ποιήσει (καὶ ἀλληγορικός). ἀδελφοὶ δὲ αὐτοῦ Ξενόκλειτος, Ξενότιμος, Δᾶτις. (εἰσὶ δὲ, ὥς φασι, δύο Ξενοκλεῖς τραγῳδοὶ γεγονότες. τρίτος δέ ἐστι τούτοις ὁμώνυμος, πολιτικὸς, φαύλου μὲν πατρὸς, τῶν δὲ δήμων Χολαργεύς.)

87. Πυθάγγελος δέ : Τραγῳδίας ποιητὴς μοχθηρὸς καὶ ἄσημος. ὁ Ξανθίας δὲ ὑπομνησθεὶς τῆς Πυθαγγέλου φωνῆς φησὶν ὅτι οὐ φροντίζετέ μου Πυθαγγέλου καὶ ταῦτα (φροντίζοντες καὶ) μνημονεύοντες. (καλῶς δὲ καὶ πικρῶς ἔδειξεν ὡς δοῦλος τὸ προκείμενον.)

91. (λαλίστερα : Πολυλογώτερα. εἰς τοῦτο γὰρ Εὐριπίδης ἐκακίζετο.) πλεῖν ἢ σταδίῳ : πλέον ἢ σταδίῳ Εὐριπίδου φλυαρότερα. R. V. τοῦτο δὲ ὡς ἐπὶ δρόμου, καθὼς καὶ ἐν τῇ συνηθείᾳ λέγομεν. V. ἀντὶ τοῦ λάλοι καὶ πιθανολόγοι. *R. V.*

92. ἐπιφυλλίδες : Κυρίως δὲ ἐπιφυλλίδες· οὕτω λέγεται τὰ βοτρύδια τὰ μετὰ τὸ πατεῖσθαι τῶν στεμφύλων ἐξερχόμενα. ταῦτα δὲ οὐ χρήσιμα. Ἄλλως. V. τὰ ἐπικείμενα τοῖς μεγάλοις βότρυσι βοτρύδια. (Καλλίστρατος δὲ, τὰ αὐτὰ καθ' ἑαυτὰ μικρά.) κέκληται δὲ οὕτως, διὰ τὸ τοῖς φύλλοις καλύπτεσθαι. (ἢ τὰ πρὸς αὐτοῖς τοῖς φύλλοις. Ἄλλως. ἐπιφυλλίδες εἰσὶ τὰ ἐν τοῖς βότρυσιν ἐν ἀρχῇ περιττώματα. οἱ δέ φασι τὰ ἐν κορυφαῖς τῶν κλημάτων. ταῦτα γὰρ οὐχ ὑποκάτω τῶν φύλλων, ὡς οἱ βότρυες, ἀλλ' ἐπάνω φύονται. δείκνυσι δὲ ἐντεῦθεν ὡς οὐδὲν περὶ λόγους εἰσ'.)

93. χελιδόνων μουσεῖα : Παρὰ τὰ ἐν Ἀλκμήνῃ Εὐριπίδου

πολὺς δ' ἀνεῖρπε κισσὸς, εὐφυὴς κλάδος,
χελιδόνων μουσεῖον.

ἀντὶ τοῦ βάρβαρα καὶ ἀσύνετα. καὶ γὰρ ἡ χελιδὼν ἐπὶ τῶν βαρβάρων καὶ ἐν τοῖς ἑξῆς [680] « οὗ περιβρέμεται Θρηϊκία χελιδών. — » τὸ χελιδόνων μουσεῖα παροιμία ἐπὶ τῶν πολυλόγων καὶ ἐπαχθῶν ταττομένη. τοιοῦτον γὰρ τὸ τῶν χελιδόνων γένος, πλέον διὰ τὸ πολὺ τῆς ὠδῆς ἀνιῶν τοὺς ἀκούοντας ἢ διὰ τὸ μέλος εὐφραῖνον. καὶ ἐν τοῖς ἑξῆς « οὗ περιβρέμεται Θρηϊκία χελιδών. » Θ. a m. rec.

94. [ἃ φροῦδα : Ἀφανῆ ὑπὸ τῆς χαρᾶς.

ἦν μόνον : Ἤγουν, εἴπερ ἅπαξ τοὺς περιεστῶτας ἐπαινέτας σχοῖεν τῶν δραμάτων.]

95. [προσουρήσαντα : Εὐθυδρομήσαντα, εὐδοκιμήσαντα ἐν τραγῳδίας δράματι ἐπαινεθέντα. — οὐρίζω, τὸ ἀπὸ τοῦ οὔρου ἀνέμου. οὐρῶ, τὸ ἀπὸ τοῦ οὔρου, τοῦ ἐκκρινομένου ὑγροῦ. προσουρήσαντα οὖν, τὸ βραχύν τινα χρόνον διατρίψαντα, καὶ τῶν αὐτῶν λήρων ἐκχέαντα τῇ τραγῳδίᾳ. C.]

96. γόνιμον δὲ ποιητὴν : Ἀντὶ τοῦ φυσικόν τινα καὶ μὴ βεβιασμένον. ἢ γεννητικόν.

99. παρακεκινδυνευμένον : Ἀντὶ τοῦ ὑψηλὸν, βλάσφημον, (καὶ ὀγκώδες.) [παράδοξον, ἀσύνηθες.]

100. αἰθέρα Διὸς : Εὐριπίδου ἐκ Μελανίππης

ὄμνυμι δ' ἱρὸν αἰθέρ', οἰκησιν Διός.

τὸ δὲ χρόνου πόδα ἐστὶν ἐξ Ἀλεξάνδρας « καὶ χρόνου « προὔβαινε πούς. »

102. γλῶτταν δ' ἐπιορκήσασαν : Παρὰ τὰ ἐξ Ἱππολύτου Εὐριπίδου [612]

ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος.

103. σὲ δὲ ταῦτ' ἀρέσκει : Ἀντὶ τοῦ σοί Ἀττικῶς. (σημειωτέον δὲ ὅτι οἱ Ἀττικοὶ κέχρηνται τῷ τοιούτῳ σχηματισμῷ. ὡς καὶ Εὐριπίδης ἐν Βάκχαις [503] « καταφρονεῖ με καὶ Θήβας ὅδε. »)

μάλα πλεῖν ἢ μαίνομαι : Οἱ μὲν βραχύνουσιν, ἵνα τοῦ η ἔκθλιψις εἶναι δοκῇ, οἱ δὲ ἐκτείνουσι τὸ α, κρᾶσιν πιστεύοντες εἶναι τοῦ η καὶ τοῦ α βραχέος εἰς τὸ α μακρόν. V. [μᾶλλον ἢ μαίνομαι. οἱ μὲν, φασὶν, ἐκτείνουσιν· οἱ δὲ συστέλλουσι.] (μεταλαμβάνεται δὲ εἰς τὸ μὲν οὖν, ἢ οὔκ· ἀλλὰ καὶ μᾶλλον. ἡ γὰρ μὴ ἀπαγόρευσις παρὰ τοῖς παλαιοῖς ἀντὶ τῆς οὐ ἀρνήσεως παραλαμβάνεται. Ἄλλως. ἀλλὰ πλέον ἢ μαίνομαι ἐπ' αὐτῷ· τουτέστιν, ὑπερβαλλόντως μοι ἀρέσκει.)

104. κόβαλα : Ἀντὶ τοῦ κακοῦργα καὶ ἀνελεύθερα. (Δίδυμος, κατεστωμυλμένα, ἀπατητικά. καὶ κακοβούλους, κοβάλους.)

105. (μὴ τὸν ἐμὸν οἴκει : Καὶ τοῦτο παρὰ τὸ ἐν Ἀνδρομάχῃ

μὴ τὸν ἐμὸν οἴκει νοῦν, ἐγὼ γὰρ ἀρκέσω.)

106. καὶ μὴν ἀτεχνῶς γε : Ἀντὶ τοῦ ἀληθῶς ἢ ὅλως καὶ συνόλως, καὶ ἔστιν οἷον ἀδόλως. τέχνας γὰρ ἔλεγον οἱονεὶ τοὺς δόλους. [Hom. Od. Θ, 296 :] « ἀμφὶ δὲ δε- « σμοὶ τεχνήεντες ἔχυντο. »

107. δειπνεῖν με δίδασκε : [Τοῦτο γὰρ ἐπίστασαι, ἐκεῖνο δ' οὔ.] ταῦτά με, φησὶ, δίδασκε, καὶ μὴ κρῖνε τραγῳδίας. ὅτι ἀδηφάγος ὁ Ἡρακλῆς.

113. κρήνας : [Γράφεται κρημνούς. ἐκτροπαὶ δὲ, ἐκνεύσεις τῶν ὁδῶν,] ὅπου τις ἐκτραπῆναι δύναται. (διὰ τὸ ἐκτρέπεσθαι τῆς ὁδοῦ καὶ κρύπτεσθαι, ὅταν ταραχή τις γένηται τῶν νεκρῶν.) [ὅσα δὲ οἱ ὁδοιποροῦντες ἐπάνω τῆς γῆς εὑρίσκουσι καθ' ὁδὸν, ταῦτα καὶ αὐτὸς οἰόμενος καὶ ὑπὸ γῆν εἶναι, ἐρωτᾷ περὶ τούτων.]

115. ἐπειδὴ ῥυπαρὸς οὗτος ὁ τόπος· ὅπου δὲ ῥυπαρία, κόρεις εἰσίν. V.

116. ὁ Ἡρακλῆς πρὸς τὸν Ξανθίαν τὸ ὦ σχέτλιε. R. ὁ Ἡρακλῆς ἀκούσας τοῦ Ξανθίου λέγοντος ὅτι περὶ ἐμοῦ οὐδεὶς λόγος, πρὸς αὐτὸν ποιεῖται τὸν λόγον ὅτι καὶ σὺ τολμήσεις καταβῆναι. V.

118. ἀντὶ τοῦ διὰ ποίας ὁδοῦ. V.

119. μήτε θερμὴν : Μήτε ὅπου ἐστὶ καῦμα μήτε δυσχείμερον ὁδὸν εἴπῃς.

121. θρανίου : Θράνους καὶ θρανάτια ταπεινά τινα διῤῥίδια καὶ ὑποπόδια λέγονται· καὶ ἡ παρὰ τῷ ποιητῇ θρῆνυς· ἐφ' ὧν ἱστάμενοι οἱ ἀπαγχόμενοι ἀρτῶσιν ἑαυτοὺς, ἀπολακτίζοντες αὐτά. τοῦ δὲ κάλω ἡ εὐθεῖα ὁ κάλως.

122. πνιγηρὰν λέγεις : Πρὸς τὸν πνιγμὸν τῆς ἀγχόνης καὶ ὥσπερ ὁδοῦ καυματώδους. Ἄλλως. V. καυματώδη· ἅμα μὲν ἀντὶ τοῦ θερμήν· πνιγεὺς γὰρ ἡ κάμινος· ἅμα δὲ ὅτι πνίγει τῷ χρόνῳ τὸ σχοινίον καὶ τὸ θρανίον.

123. σύντομος : Ὅτι οὐ μόνον ἐπίτομον λέγουσιν, ἀλλὰ καὶ σύντομον. τετριμμένην δὲ, ἅμα μὲν ὡς ἐπὶ ὁδοῦ [κατημαξευμένης], ἅμα δὲ καὶ πρὸς τὸ κώνειον διὰ θυείας τρίβεσθαι.

125. ψυχράν γε καὶ δυσχείμερον : (Καὶ ὡς ἐπὶ ὁδοῦ ψυχρᾶς, καὶ ὅτι κατὰ ψύξιν φονεύει τὸ κώνειον.) [πήγνυσι δὲ, εἶπε, ταντικνήμια.] ἀπὸ τῶν ποδῶν γὰρ οὗτος ὁ θάνατος ἄρχεται, πρώτους αὐτοὺς καταψύχων. [ὡς τοῦ ζωτικοῦ αἵματος περὶ τὴν καρδίαν συστελλομένου.]

127. κατάντη : Οὕτως Ἀττικοὶ ἀντὶ τοῦ κατωφερῆ. εὐκολώτεραι γὰρ καὶ ταχύτεραι αἱ ταιαῦται ὁδοί.

128. ὡς ὄντος γε μὴ βαδιστικοῦ, ἐμοῦ δηλονότι ταχέως βαδίζειν μὴ δυναμένου. V. ὀξύποδος ἐμοῦ. R.

131. ἀφιεμένην τὴν λαμπάδα : Τοὺς λαμπαδιστὰς ἀγῶνας. λαμπαδηδρομίαι δὲ γίνονται τρεῖς ἐν τῷ Κεραμεικῷ, Ἀθηνᾶς, Ἡφαίστου, Προμηθέως. Κεραμεικὸς τόπος Ἀθήνησιν ὅπου συνετέλουν οἱ Ἀθηναῖοι κατὰ ἐνιαυτὸν λαμπαδοῦχον ἀγῶνα. πρὸς δὲ τῷ τόπῳ τούτῳ πύργον τινὰ ὑπάρχειν φασίν. ἐφ' ὃν συμβουλεύει αὐτὸν ἀναβάντα θεωρεῖν τὴν λαμπάδα, καὶ ὅταν οἱ πρῶτοι λαμπαδίζοντες ἀφεθῶσι, καὶ αὐτὸν ἀπὸ τοῦ πύργου ἀφεῖναι ἑαυτὸν κάτω.

133. εἶναι, τόθ' εἶναι : (Ἀντὶ τοῦ ἀφεῖναι τοὺς δρομεῖς. τινὲς δὲ γράφουσιν εἴητε, ἀντὶ τοῦ ἀφείητε, οἱ δρομεῖς δηλονότι.) τοῦτο δὲ γνωριμώτερον ἔχει τὸν νοῦν, ἐπειδὰν οἱ θεώμενοι εἴπωσιν ἀφείητε, δηλονότι οἱ τρέχοντες, καὶ σὺ σαυτόν. (γράφεται δὲ ἐν πολλοῖς εἶναι, ἀντὶ τοῦ εἴητε. μήποτε τὸ δεύτερον εἶναι, τὸ ἐς καὶ σὺ σαυτὸν, ἁμαρτανομένου τοῦ προτέρου. λέγοι δ' ἄν τις καὶ τοῦτο λόγον ἔχειν· ὡς τῶν θεωμένων ἐπικελευόντων τῷ τὸ σημεῖον ἀφιέντι κατὰ τὸ ἀρχαῖον σχῆμα, οὕτως εἶναι). [Ἄλλως. ὅτι ἐν τῇ ἀφέσει τῆς λαμπάδος σημεῖον ἦν τοῖς μέλλουσι δραμεῖν, ὡς δεῖ τοῦ δρόμου κατάρξασθαι. ἦν δὲ τοῦτο πρὸ τοῦ εὐρεθῆναι παρὰ Τυρσηνοῖς τὴν σάλπιγγα. — εἶναι, τόθ' εἶναι : Τὸ εἶναι σημαίνει καὶ τὸ κορευσθῆναι, ὡς ἐν τῷ « ἐξ ἔρον ἔντο, » καὶ ἔστι δασυνόμενον ὡς ἀπὸ τοῦ ἵω καὶ ἔημι τὸ πληρῶ. σημαίνει δὲ καὶ τὸ ἀφεῖναι καὶ πέμψαι, καὶ τοῦτο δασυνόμενον ὁμοίον ὡς ἐνταῦθα. κανονίζεται δὲ οὕτως· ἵημι τὸ πέμπω, ὁ μέλλων ἥσω, ὁ β' ἀόριστος ἦν, ἡ μετοχὴ εἷς, ἕντος, καὶ τὸ ἀπαρέμφατον εἶναι. *Vict.*

134. ἀλλ' ἀπολέσαιμ' ἂν ἐγκεφάλου : (Καὶ γὰρ ὁ ἐγκέφαλος τῶν ἀνθρώπων ἔχει ὑφ' ἑαυτὸν ὑμένας ἐοικότας τοῖς τῆς συκῆς φύλλοις. Ἄλλως.) Ἀρίσταρχος, πρὸς τὸ σχῆμα, φησὶ, τοῦ ἐγκεφάλου. ἔστι γὰρ ὥσπερ δύο ὀρῖα συγκείμενα. ὀρῖα δὲ, τὰ τῆς συκῆς φύλλα, καὶ τὰ ὀρῖα δὲ οὕτως σκευάζεται. λέγεται δὲ ἀπὸ τοῦ κατειλεῖσθαι τοῖς τῆς συκῆς φύλλοις. ἡ δὲ σκευασία ἐστὶ, στέαρ, μέλι, ᾠὰ, σεμίδαλις. εἰώθασι δὲ καὶ τὸν ἐγκέφαλον ὀπτᾶν κατειλήσαντες τοῖς τῆς συκῆς φύλλοις, ἢ μετὰ τῆς ἄλλης τοῦ ὀρίου κατασκευῆς, ἢ καὶ μόνον, πρὸς ὃ καὶ παρέθηκε τὸ ὀρῖον.

138. ἄβυσσος : Ἦν οὐδὲ βυθὸς χωρῆσαι δύναται. Ἴωνες δὲ τὸν βυθὸν βυσσόν φασι.

139. τυννουτωί σε : Συνάγων τοὺς δακτύλους φησὶν· ἀντὶ τοῦ μικρῷ. ὁμοίως δὲ καὶ τυτθὸν, τὸ νήπιον, ἀντὶ τοῦ τιτθόν· τὸ ἔτι παρὰ τοῖς τιτθίοις καθεστηκός. φοβεῖ

δὲ αὐτὸν, ἐπίτηδες σμικρύνων τὸ πλοῖον. — τύννος τὸ μικρὸν, ὁμοίως καὶ τυτθόν. R.

140. δύ' ὀβολὼ μισθὸν λαβών : Οὐχ ὡς τοῦτο λαμβάνοντος, ἀλλὰ πρὸς τὸν δικαστικὸν μισθὸν, ὅτι δύο ὀβολῶν ἦν. ἅμα δὲ διὰ τὸ λεγόμενον, ὅτι τοῖς νεκροῖς ἐπὶ τοῦ στόματος βάλλουσι δύο ὀβολοὺς, καὶ ὅτι τὸ δικαστικὸν μισθάριον δύο ὀβολοὶ ἦσαν. ἐπιφέρει γοῦν

ὡς μέγα δύνασθον πανταχοῦ τὼ δύ' ὀβολώ.

ἦν δὲ καὶ τριώβολον, τοῦτο τῶν στρατηγῶν κολακείας χάριν προστιθέντων. ἐπὶ δὲ Ἀριστοφάνους καὶ δραχμὴν ἦν λαβεῖν.

141. ἀντὶ τοῦ μεγάλην δύναμιν ἔχουσιν. R.

142. Θησεὺς ἦγαγε : Ὅτε κατῆλθε μετὰ Πειρίθου [εἰς Ἀΐδωνέα, ἁρπάσαι βουλομένου τὴν κόρην τῆς Δήμητρος Περσεφόνην. ἢ διὰ τὸ θητεύειν τὸν Χάρωνα διαπορθμεύοντα.]

144. μή μ' ἔκπληττε : Μή μ' εἰς ἔκπληξιν καὶ φόβον ἔμβαλε· οὐ γάρ μ' ἀποστήσεις τῆς ὁρμῆς. *C.* δειμάτου : Ἐκφόβει. *Vict.*

146. καὶ σκὼρ ἀεὶ νῶν : Ὅτι τινές φασι τῷ σκώρ πρῶτον κεχρῆσθαι Στράττιν ἐν Ἀταλάντῃ δράματι· ψεῦδος δὲ, πολλῷ γὰρ ὕστερον τῶν Βατράχων δεδίδακται ἡ Ἀταλάντη Στράττιδος. — νῶν δὲ ἀντὶ τοῦ ῥέον, νᾶον νῶν. σκὼρ δὲ ἀποπάτημα, χέσμα. κειμένους δὲ ἀντὶ τοῦ κολαζομένους. R. V. νῶν : Ῥέον. *C.* νάον *D.* σκὼρ : Κόπρον. *Vict.*

149. ἠλοίησεν : Ἔτυψεν. *R. Br.*, *Vict.* ἐφαρύτωσεν. ἢ γεραιὰν γνάθον ἔκρουσε. V.

151. ἢ Μορσίμου : Τραγῳδίας ποιητὴς ὑπόψυχρος. (ἔστι δὲ Φιλοκλέους υἱός. ἦν δὲ ὀφθαλμῶν ἰατρὸς ἀγαθός. ἦν δὲ καὶ σμικρός. υἱὸν δὲ ἔσχεν Ἀστυδάμαντα.) — ἀντὶ τοῦ θανάσιμόν τινα λόγον ἔγραψεν, οἷα νῦν πολλὰ γίνονται τοῖς φαρμακοῖς. V.

153. τὴν Κινησίου : Κινησίας διθυραμβοποιός· ὃς ἐποίησε πυρρίχην. ἢ ὅτι ἐν τοῖς χοροῖς πολλῇ κινήσει ἐχρῆτο. (τινὲς δὲ οὐ γράφουσι τὸν, νὴ τοὺς θεοὺς, στίχον, ἀλλ' ἀφαιροῦσιν αὐτὸν καὶ τὸν ἑξῆς οὕτω γράφουσιν

ἢ πυρρίχην τις ἔμαθε τὴν Κινησίου.

διὸ καὶ Ἀριστοφάνης παρατίθησι τὸ ἀντίσιγμα καὶ τὸ σίγμα. Ἄλλως. ὁ Κινησίας ἐπραγματεύσατο κατὰ τῶν κωμικῶν, [ὡς εἶεν ἀχορήγητοι. ἦν δὲ καὶ τὸ σῶμα ὀκνηρὸς καὶ κατεσκελετευκώς. δοκεῖ δὲ καὶ] κατησχημονηκέναι τοῦ τῆς Ἑκάτης ἀγάλματος. διὸ καὶ ἐν τοῖς ἑξῆς [366] φησιν

ἢ κατατιλᾷ τῶν ἑκαταίων, κυκλίοισι χορσῖσιν ὑπάδων.

ἦν δὲ Θηβαῖος, μελοποιὸς κάκιστος, ὃς ἐν τοῖς χοροῖς ἐχρῆτο πολλῇ κινήσει.)

156. τοὺς τόπους τῶν μυρρίνων. R. μυρρινῶν ὁ τόπος τῶν μυρρίνων. V. τόπους μεστοὺς μυρινῶν. Θ.

158. οἱ μεμυημένοι : [Λόγος γὰρ ἐκράτει παρ' Ἀθηναίοις ὡς ὁ τὰ μυστήρια διδαχθεὶς μετὰ τὴν ἐνθένδε τελευτὴν θείας ἠξιοῦτο τιμῆς. διὸ καὶ πάντες πρὸς τὴν μύησιν ἔσπευδον.] — οἱ εἰδότες τὰ μυστήρια. R. οἱ τὰ μυστήρια διδαχθέντες. Θ.

159. ὄνος ἄγων μυστήρια : Τοῖς μυστηρίοις ἐξ ἄστεως εἰς Ἐλευσῖνα διὰ τῶν ὄνων φέρουσι τὰ εἰς τὴν χρείαν· ὅθεν ἡ παροιμία, διὰ τὸ κακοπαθεῖν μάλιστα τοὺς ὄνους ἀχθοφοροῦντας. ὡς ἂν οὖν ὅμοιόν τι πάσχων διὰ τὸ πιέζεσθαι τῷ ἐπικειμένῳ ἄχθει, τὴν παροιμίαν μίγνυσιν.

160. (ἀτὰρ οὐ καθέξω : Ἅμα τῷ λόγῳ ῥίπτει τὰ σκεύη, ἵνα ὕστερον φαίνηται γελοιότερος, κελευόμενος ἆραι τὰ σκεύη. λέγει γοῦν, πρὶν καὶ καταθέσθαι, εἰπόντος, σὺ δὲ τὰ στρώματα αὖθις λάμβανε.)

165. τῷ Ξανθίᾳ φησὶν ὁ Διόνυσος. V.

168. τῶν νεκρῶν δηλονότι τῶν ἐπὶ τὸ ἀπελθεῖν μελλόντων εἰς τὸν Ἅδην. V. ἐκ τοῦ κόσμου πρὸς τὸν Ἅδην, ἢ τῶν ἐκφερομένων τῆς πόλεως, ἀφ' οὗ καὶ ἐκφορὰ, ἐπὶ τὸν Ἅδην, ὁ κοινῶς ἐξόδιον λέγεται. Θ.

169. ἐὰν δὲ μὴὖρω : Ἀντὶ τοῦ, ἐὰν δὲ μὴ εὕρω. γράφεται καὶ ἔχω, ἤγουν, ἐὰν μὴ ἔχω ἀργύριον· ἵνα λείπῃ τὸ ἀργύριον.

171. πρὸς τὸν βασταζόμενον νεκρόν. R. V.

173. πόσ' ἄττα : Ἀντὶ τοῦ, πόσα σκεύη ἔχετε. γελοίως δὲ ὁ βασταζόμενός φησιν, ἀσθενῶς δὲ ἐρεῖ. ἡ δραχμὴ δὲ, ἓξ ὀβολῶν. δώδεκα οὖν ὀβολοὺς αἰτεῖ.

174. (ὑπάγεθ' ὑμεῖς : Ἀντὶ τοῦ ἀναχωρεῖτε. ἀποστρέφεται δὲ αὐτοὺς ὁ νεκρὸς, μὴ βουλόμενος σκευηφορεῖν, διὰ τὸ ἐλάχιστον εἶναι τὸν μισθόν. τὸ δὲ, ὑπάγετε ὑμεῖς τῆς ὁδοῦ, ὁ νεκρός φησι πρὸς τοὺς νεκροφόρους.)

175. ἐὰν ξυμβῶ τί σοι : Ἐὰν ξυμβῶ σοι ἀντὶ τοῦ ἵνα ξυμφωνήσω σοί τι. (ἔλεγον δὲ τὸ ἵνα ἀντὶ τοῦ ἐάν. καὶ Ὅμηρος [Il. H, 353] « ἵνα μὴ ῥέξομεν ὧδε. »)

177. ἐννέ' ὀβολούς : Ἀντὶ τοῦ μίαν ἥμισυ δραχμήν· ἡ γὰρ δραχμὴ ἓξ ὀβολοί. R. Θ. μίαν ἥμισυ δραχμὴν δίδωσιν ὁ Διόνυσος. V. ἀναβιώην νῦν : (Ὀχλούμενος ὑπ' αὐτῶν τοῦτο λέγει. ἐν ἤθει δὲ ἐκ τοῦ ἐναντίου ἡμῖν· οἷον ἀπολοίμην. οἱ δὲ, ὅτι χαλεπὸν ἦν τότε τὸ ζῆν, ὥστε ἄμεινον εἶναι τὸ τεθνάναι. εἰς κατάραν οὖν λαμβάνει τὸ ἀναζῆσαι ἐν Ἀθηναίοις. κατηγορίαν δὲ ἔχει οὐ τὴν τυχοῦσαν. Ἄλλως. ἐν ἤθει, ἐπεὶ ἁπλῶς ὁ) ἀνθρώπινος βίος μοχθηρός. ἢ ὅτι τότε Ἀθηναίων δυστυχούντων οἱ ἀπολλύμενοι ἐμακαρίζοντο.

178. ἀντὶ τοῦ βαστάσω. V. ἐγὼ βαστάζω. R.

180. ὠόπ, παραβαλοῦ : Ἐλατικὸν ἐπίφθεγμα τὸ ὠόπ. τὸ δὲ παραβαλοῦ ἀντὶ τοῦ ὅρμισον τῇ γῇ τὴν ναῦν. ἐν τῇ νηὶ γὰρ ὁ Χάρων λέγει. — πλησίασον τὸ σκάφος τῷ λιμένι. *Br.*

181. (τοῦτο λίμνη νὴ Δία : Τοῦτο οἱ μέν φασι τὸν Διόνυσον λέγειν, οἱ δὲ τὸν Ξανθίαν. ἐνταῦθα δὲ τοῦ πλοίου ὀφθέντος ἠλλοιῶσθαι χρὴ τὴν σκηνὴν καὶ εἶναι κατὰ τὴν Ἀχερουσίαν λίμνην τὸν τόπον ἐπὶ τοῦ λογείου, ἢ ἐπὶ τῆς ὀρχήστρας, μηδέπω δὲ ἐν Ἅδου.)

184. χαῖρ' ὦ Χάρων : Δημήτριός φησιν Ἀχαιοῦ ὅλον εἶναι ἐκ τοῦ Αἰθωνος. λέγουσι δ' αὐτὸ οἱ σάτυροι,

Χαῖρ' ὦ Χάρων χαῖρ' ὦ Χάρων χαῖρ' ὦ Χάρων.

ἢ που σφόδρα θυμοῖ. Ἄλλως. πιθανὸν ὑπονοεῖν τρεῖς τοῦτο λέγοντας, ἀσπαζομένους τὸν Χάρωνα, Διόνυσον, Ξανθίαν καὶ τὸν νεκρόν. δεῖ γὰρ ὑπονοῆσαι βούλεσθαι καὶ αὐτὸν συνεμβαίνειν αὐτοῖς.

185. [τίς εἰς ἀναπαύλας : Εἰς ἀναπαύσεις γὰρ ἐκ κοσμικῶν ὀχλήσεων χωροῦσιν οἱ μεθιστάμενοι.]

186. τίς εἰς τὸ Λήθης πεδίον : Τοῦτο κηρύσσει ὁ Χάρων. ὡς τόπους δὲ καταλέγει. ἐκ δὲ τοῦ δευτέρου τὸ ἀδύνατον τῶν καθ' Ἅδου δηλοῖ, τοῦ (ἢς ὄνου πόκας ἀντὶ τοῦ) ἢ εἰς ὄνου πόκας. ἀδύνατον γὰρ πόκας ἀποκείρασθαι τῶν ὄνων. φαίνεται δὲ καὶ παροιμιῶδες ἤδη εἶναι. τὸ δὲ Λήθης πεδίον, Δίδυμός φησι, χωρίον ἐν Ἅδου διατετύπωκεν (οὕτω λεγόμενον, ὡς καὶ τὸν Αὐαίνου λίθον ἔπλασεν ἀπὸ τοῦ τοὺς νεκροὺς αὐαίνεσθαι καὶ ἀλίβαντας εἶναι. ὄνου δὲ πόκας τὸ ἄχρηστον· οὐδὲ γὰρ αἱ τοῦ ὄνου πόκες χρησιμεύουσιν. ἡ παροιμία δὲ λέγεται ἐπὶ τῶν ἀνηνύτων, ἐν ᾧ τρόπῳ φαμὲν καὶ τὸ χύτραν ποικίλλειν, καὶ κόπρον ἀναθυμιᾶς. ἀνήνυτα δὲ καὶ τὰ ἐν Ἅδου. διὰ τοῦτο οὖν ὄνου πόκας ἀνέπλασε ποιητικῶς.) — ἢ 'ς ὄνου πόκας : Εἰς τὸ μηδέν. *Vict.*

187. ἢ 'ς Κερβερίους : (Τινὲς καὶ παρ' Ὁμήρῳ [Od. Λ, 14] γράφουσιν « ἐνθάδε Κερβερίων » ἀντὶ τοῦ Κιμμερίων· ἢ μᾶλλον τοὺς Κιμμερίους φασί. παίζει δὲ παρὰ τὸν Κέρβερον. — ὄνομα τόπου κηρύσσει ὁ Χάρων. Κερβερίους δὲ τοὺς Κιμμερίους λέγει. R. περαιωθῆναι μὲν ἐκεῖ οὐκ ἐστι, κατάβασις δὲ εἰς Ἅδου ἐκεῖ, ὡς μυθεύεται. V.

188. σχήσειν : Ὁρμίσειν. V. ἐλλιμενίσειν. *E.*

189. [ἐς κόρακας : Παίζει ἐνταῦθα εἰπὼν ἐς κόρακας. Ἀθήνησι γὰρ τόπος ἦν οὕτω καλούμενος, οὐχὶ ἐν Ἅδου. ἢ τοῦτο λέγει, ἐπειδὴ καὶ οἱ ἐκεῖσε ριπτόμενοι εἰς ἀπώλειαν ἤρχοντο.]

ναὶ μὰ Δία σοῦ γ' εἵνεκα : Παρόσον οὕτως οἱ ναῦται εἰώθασι λέγειν χαριζόμενοι τῷ ἐπιβάτῃ.

191. εἰ μὴ νεναυμάχηκε : (Τὴν περὶ Ἀργίνουσαν φησὶ ναυμαχίαν. ἦσαν γὰρ οἱ δοῦλοι τότε ναυμαχήσαντες, περὶ οὐδενὸς ἄλλου ἢ περὶ τῶν ἰδίων κρεῶν, τουτέστι σωμάτων. φησὶν οὖν, οἷον οὐ περὶ χρημάτων καὶ πατρίδος, ἀλλὰ περὶ τοῦ ἰδίου σώματος. κρέας γὰρ τὸ σῶμα. φέρεται δὲ καὶ ἄλλη γραφή· τὴν περὶ τῶν νεκρῶν. εἴη δ' ἂν λέγων περὶ τῆς ἐν Ἀργινούσαις ναυμαχίας, ἐν ᾗ ἐνίκων μὲν οἱ Ἀθηναῖοι, τοὺς νεκροὺς δὲ ἐκωλύθησαν ἀνελέσθαι ὑπὸ χειμῶνος. ἐξ οὗ καὶ τῶν δέκα στρατηγῶν ἀπώλοντο καταδικασθέντες οἱ ὑπομείναντες ἐξ. ἐπεὶ οὖν συνεναυμάχουν καὶ οἱ δοῦλοι, τοιοῦτό τι λέγει, δοῦλον οὐκ ἄγω, εἰ μὴ ἀνῄρηται τοὺς ἐκ τῆς θαλάσσης νεκρούς. οὐκ ἔχει δὲ νοῦν τὸ λεγόμενον. ναυμαχίας γὰρ οὐδεμιᾶς ἔδει πρὸς τὴν ἀναίρεσιν. χειμῶνι δὲ ἐκωλύθησαν. Ἄλλως. διὰ τί τὸν δοῦλον μόνον ἀπελαύνει, ἀλλ' οὐχὶ καὶ τῶν ἐλευθέρων εἴ τις μὴ ἀνῄρηται τοὺς νεκρούς; παρίησι γὰρ τὸν Διόνυσον. ἢ εἴη ἂν λέγων νεκροὺς τοὺς Ἀθηναίους, διὰ τὸ ἐσχάτως τότε πράττειν. Ἄλλως.) διάφοροι αἱ γραφαί· οἱ μὲν γὰρ κρεῶν, ὡς Ἀρίσταρχος φησὶν ἐπὶ τῶν σωμάτων λαμβάνεσθαι πολλάκις, καὶ παρὰ τῷ Σοφοκλεῖ ἐν Χρύσῃ

τοιοῦτος ὢν ἄρξειε τοῦδε τοῦ κρέως.

ἐνθάδε οὖν εἰ μὴ νεναυμάχηκε περὶ τῆς ψυχῆς τῆς ἑαυτοῦ· ὡς ποτὲ τῶν Ἀθηναίων ἐν περιστάσει γενομένων καὶ ὑπὲρ τῶν ψυχῶν ἀγωνιζομένων, προσλαβεῖν τοὺς δούλους καὶ ὕστερον ἐλευθερίας ἀξιῶσαι. ἕτεροι δέ φασιν αἰνίττεσθαι τὴν περὶ Ἀργινοῦσαν ναυμαχίαν, ἣν διὰ τοὺς νεκροὺς ἠγωνίσαντο, τὴν δευτέραν γραφὴν αἱρούμενοι. — τὴν περὶ τῶν κρεῶν : Τῶν νεκρῶν σωμάτων. *D.*

193. (οὐκοῦν περιθρέξει : Περικυκλεύσεις. ὁ Χάρων πρὸς τὸν δοῦλον. ἀντὶ τοῦ οὐ λαμβάνω σε.) [ἀντὶ δὲ τοῦ τρέχων, γράφεται καὶ κύκλῳ.]

194. παρὰ τὸν Αὐαίνου λίθον : Παρὰ τὸ αὔους τοὺς νεκροὺς εἶναι, ὡς ὄντος τινὸς ἐν ᾅδου οὕτως λεγομένου λίθου. (φασὶ δὲ αὐαίνου λίθον τινὰ λέγεσθαι Ἀθήνησι, παρ' ὃν οἰκείως ἀπὸ τοῦ αὐαίνου παρήχθη, ἐπειδὴ οἱ πολὺν χρόνον περιμείναντές τινας εἰώθασι λέγειν, αὖος γέγονα περιμένων. ἔοικε δὲ θρυλούμενον τοῦτο ἤδη. Ἄλλως. τοῦτο ἀναπλάττει ἀπὸ τοῦ τοὺς νεκροὺς ξηροὺς εἶναι καὶ ἀλίβαντας. ἀμφίβολον δὲ, πότερον ἀπὸ τῆς εἰς ος εὐθείας, ἢ ἀπὸ τῆς εἰς ης. Ἄλλως. τὸ μὲν φαινόμενον λίθος ἦν Αὐαίνου καλούμενος, τὸ δ' ἀληθὲς οὕτως ἔχει· παρὰ τὸν λίθον αὐαίνου καὶ ξηραίνου. ἢ ὅπου ξηραίνονται οἱ νεκροί.)

196. τῷ ξυνέτυχον : Ἀντὶ τοῦ, τίνι οἰωνῷ συνέτυχον ἐκ τῆς οἰκίας ἰών; δύναται δὲ τοῦτο καὶ ὁ Διόνυσος καὶ ὁ Ξανθίας λέγειν. — ξυνέτυχον : Συνήντησα. ἐξιών : Τῆς οἰκίας. *Vict.*

197. (κάθιζ' ἐπὶ κώπην : Τοῦτο ἀκούσας ὁ Διόνυσος ἐπάνω τῆς κώπης ἐκάθισε.) — κάθιζ' ἐπὶ κώπην : Ἤγουν ἐπὶ τῷ μεταχειρίζεσθαι ταύτην· ὁ δὲ παρανοήσας ἐπάνω ταύτης ἐκάθισεν. C. ὁ μὲν Χάρων, κάθιζε ἐπὶ κώπην, εἴρηκε τοῖς ἐν τῷ σκάφει, ὥστε μεταχειρίζεσθαι ταύτην καὶ κωπηλατεῖν. ὁ δὲ Διόνυσος παρανοήσας ἐκάθισεν ἐπάνω τῆς κώπης· διὸ καὶ ἐπιπλήττεται παρὰ τοῦ Χάρωνος. Vict.

199. τοπικὸν τὸ οὗ. R.

200. γάστρων : Γαστρίμαργε. (εἰσάγουσι γὰρ τὸν Διόνυσον προγάστορα καὶ οἰδαλέον ἀπὸ τῆς ἀργίας καὶ οἰνοφλυγίας.)

202. πρὸς τὰ ῥεύματα ἀντιβάς. R. V. μὴ φλυαρήσῃς ἔχων : Καὶ Πλάτων Εὐθυδήμῳ [p. 224, E] « ὅτι ἔχων « φλυαρεῖς, καὶ ἀρχαιότερος εἶ τοῦ δέοντος. » Junt. ἔχων : Περισσόν. *C.*

203. ὁ κἄτα ἀντὶ τοῦ καί. R. V.

204. ἀθαλάττωτος : (Θέλει εἰπεῖν,) μὴ ὢν ναυτικός. (ἀθαλάττωτος δὲ καὶ ἀσαλαμίνιος ταυτόν ἐστιν. Ἄλλως. ἢ διὰ τὴν περὶ Σαλαμῖνα ναυμαχίαν, ἢ ὅτι ἡ μὲν ἑτέρα τῶν ὑπηρετίδων νεῶν Σαλαμινία ἐκαλεῖτο, ἡ δ' ἑτέρα Πάραλος.) — ἀπὸ τῆς νεὼς ἡ ὀνομασία. R. ἀμέτοχος θαλάττης. μὴ ναυμαχήσας περὶ Σαλαμῖνα. τὰ κατὰ Ξέρξου δὲ οἶμαι. Θ.

208. [ὠὸπ, ὀπ, ὠὸπ, ὀπ : Εἴσθεσις μέλους χοροῦ μονοστροφικὴ· ἧς προτίθεται τὸ τοιοῦτον κῶλον δακτυλικὸν ὂν δίμετρον ἀκατάληκτον. κατὰ γὰρ μονοποδίαν μετρεῖται τὰ δακτυλικά. τὰ δὲ τοῦ χοροῦ κῶλά εἰσι δυοκαίδεκα, ὧν τὸ πρῶτον καὶ δεύτερον τροχαϊκὰ ἐφθημιμερῆ, τὸν πρῶτον ἔχοντα πόδα τρίβραχυν ἤτοι χορεῖον. εἰ δὲ βούλει, παιωνικὰ δίμετρα ἀκατάληκτα, ἐκ παίωνος τετάρτου καὶ διιάμβου. τὰ ἑξῆς δύο χοριαμβικὰ δίμετρα καταληκτικά, ἤτοι ἐφθημιμερῆ. τὸ πέμπτον τρίμετρον καταληκτικόν. τὸ ἕκτον μονόμετρον, ἡ ἰαμβικὴ βάσις. τὸ ἕβδομον δίμετρον ὑπερκατάληκτον Ἰωνικὸν ἀπὸ μείζονος. τὸ ὄγδοον χοριαμβικὸν τρίμετρον ἀκατάληκτον, τοῦ μὲν πρώτου ποδὸς πεντασυλλάβου τῆς πρώτης μακρᾶς εἰς δύο βραχείας διαλυομένης ἐκ χορείου καὶ ἰάμβου· ὅθεν ἴσως καὶ χοριαμβικὸν ἐκλήθη· τοῦ δὲ δευτέρου Ἰωνικοῦ ἀπὸ μείζονος, τοῦ δὲ τρίτου διιάμβου. τὸ ἔνατον χοριαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ἑξῆς ὅμοιον. τὸ παρατέλευτον τρίμετρον ἀκατάληκτον· ὃ καλεῖται προσῳδιακόν, διὰ τὸ τὸν πρῶτον ἔχειν πόδα Ἰωνικὸν ἀπὸ μείζονος. τὸ τελευταῖον ὡς τὸ πρῶτον. ἐπὶ τῷ τέλει κορωνίς.] (ὠόπ : ἐλατικὸν ἐπίφθεγμα. ναυτικῶς οὖν κελεύων ταῦτά φησι.)

209. (βατράχων παραχορήγημα. ἐπίφθεγμα δὲ ποιὸν τοῦτο.) κέχρηται δὲ αὐτῷ ὡς ἐφυμνίῳ ὁ τῶν βατράχων χορός. (Ἄλλως. ταῦτα καλεῖται παραχορηγήματα, ἐπειδὴ οὐχ ὁρῶνται ἐν τῷ θεάτρῳ οἱ βάτραχοι, οὐδὲ ὁ χορὸς, ἀλλ' ἔσωθεν μιμοῦνται τοὺς βατράχους. ὁ δὲ ἀληθῶς χορὸς ἐκ τῶν εὐσεβῶν νεκρῶν συνέστηκεν.) ἐλλείπει ὁ καί, ἵν' ᾖ λιμνῶν καὶ κρηνῶν τέκνα. καὶ γὰρ ἐν κρήναις γίνονται καὶ εὑρίσκονται οἱ βάτραχοι.

212. τὴν μετ' αὐλῶν κοινήν. R. V. ὁμόηχον. Θ.

213. δεῦτε ἵνα. Θ. ἐμὰν ἀοιδὰν : Τὸ ἡμέτερον μέλος, ἢ ὃν εἰώθαμεν ὕμνον ἡμεῖς προσφέρειν. Θ. Junt.

216. Διὸς Διόνυσον ἐν Λίμναις : [Λείπει παῖδα.] (ἀπὸ τῶν ἑαυτῶν λιμνῶν μεταφέρουσιν ἐπὶ τὸν ἐν Λίμναις Διόνυσον λεγόμενον. Λίμναι δὲ χωρίον τῆς Ἀττικῆς, ἐν ᾧ Διονύσου ἱερόν.) Λίμνη τόπος ἱερὸς Διονύσου, ἐν ᾧ καὶ οἶκος καὶ νεὼς τοῦ θεοῦ. R. Καλλίμαχος ἐν Ἑκάλῃ [fr. 280] « Λιμναίῳ δὲ χοροστάδας ἦγον ἑορτάς. » — Νῦσα δὲ τόπος τῆς Ἀραβίας, ἔνθα γεννᾶται ὁ Διόνυσος. τὸ ἰαχήσαμεν ἀντὶ τοῦ ἰαχοῦμεν. V. τὸν ἐν Νύσῃ χώρᾳ Αἰθιοπίας γεννηθέντα υἱὸν δηλονότι. Θ. [Νύσιος δὲ ὁ Διόνυσος τοῖς Ἰνδοῖς ὀνομάζεται ἀπὸ τῆς ἐν Ἰνδοῖς Νύσης· οὐ μόνον δὲ Ἰνδοῖς, ἀλλὰ καὶ πᾶσι τοῖς πρὸς ἀκτῖνα ἔθνεσιν, ὥς φησι Φιλόστρατος ἐν τῷ Ἀπολλωνίου τοῦ Τυανέως βίῳ (p. 51).] κραιπαλόκωμος : ὁ κωμάζων ἐν κραιπάλοις τοῖς ἱεροῖς. V. τοῦτο μετωνυμία καλεῖται· ὁ κατὰ μέθην γινόμενος ὕμνος.

218. τοῖς ἱεροῖσι Χύτροισι : Χύτροι ἑορτὴ παρ' Ἀθηναίοις. ἄγεται δὲ παρὰ ταύτην τὴν αἰτίαν, ἣν καὶ Θεόπομπος ἐκτίθεται γράφων οὕτως « διασωθέντας οὖν τοὺς « ἀνθρώπους, ἧπερ ἐθάρρησαν ἡμέρᾳ, τῷ ταύτης ὀνό« ματι προσαγορεῦσαι καὶ τὴν ἑορτὴν ἅπασαν. ἔπειτα « θύειν αὐτοῖς ἔθος ἔχουσι, τῶν μὲν Ὀλυμπίων θεῶν « οὐδενὶ τὸ παράπαν, Ἑρμῇ δὲ χθονίῳ καὶ τῆς χύτρας, « ἣν ἕψουσι πάντες οἱ κατὰ τὴν πόλιν, οὐδεὶς γεύεται « τῶν ἱερέων. τοῦτο δὲ ποιοῦσι τῇ ἡμέρᾳ, καὶ τοὺς « τότε παραγενομένους ὑπὲρ τῶν ἀποθανόντων ἱλάσα« σθαι τὸν Ἑρμῆν. » ἤγοντο δὲ ἀγῶνες αὐτόθι οἱ Χύτρινοι καλούμενοι, καθά φησι Φιλόχορος ἐν τῇ ἕκτῃ τῶν Ἀτθίδων.

219. [ἑαυτῶν τέμενος λέγουσι τὸ ἐν Λίμναις τοῦ Διονύσου ἱερόν.] [πρὸς δὲ τὴν ὁμωνυμίαν, ὅτι ἐν Λίμναις εἰσὶν οἱ βάτραχοι. λίμναι δὲ καὶ τὸ ἱερόν. ἐφεξῆς δὲ σύστημα καὶ περίοδος ἀμοιβαία ἑπτάκωλος ἰαμβικῶν διμέτρων ἀκαταλήκτων, πλὴν τοῦ κώλου, ᾧ κέχρηνται ὡς ἐφυμνίῳ ὁμοίου τῷ πρώτῳ τοῦ μέλους αὐτῶν. ἐπὶ τῷ τέλει παράγραφος.]

222. ἐγὼ δὲ γ' ἀλγεῖν ἄρχομαι : Ὁ Διόνυσος (λέγει) δεινοπαθῶν ἐπὶ τῷ κωπηλατεῖν· ὄρρον δὲ, τὸν καλούμενον ταῦρον. μέρος δέ ἐστι τῆς πυγῆς. Ἡρωδιανὸς δὲ (καὶ τῷ λόγῳ καὶ κατὰ τὴν διάλεκτον) βαρέως.

223. [ὦ κοὰξ, κοάξ : Διὰ τὸ συνεχὲς αὐτῶν ἐπίφθεγμα, παίζων λέγει· ὄρρον δὲ, τὸν λεγόμενον ταῦρον, τὸ μεταξὺ τῶν διδύμων. Καλλίστρατος, τὴν ὀσφῦν καὶ τὸ ἱερὸν ὀστοῦν. Δίδυμος, τὴν τράμιν, οὐχ ὥς τινες τὸ ἰσχίον. ἔνθεν καὶ τὸ ὀρρωδεῖν, τὸν ὄρρον ἰδροῦν. Ὅμηρος [Od. Υ, 204] « ἴδιον ὡς ἐνόησα. » τοῦτο γὰρ πάσχουσιν οἱ φοβούμενοι.] τὸ ὀρροπύγιον ἢ τὸ ἰσχίον. δεινοπαθεῖ δὲ ὁ Διόνυσος ἐπὶ τῷ κωπηλατεῖν. ὄρρον δὲ τὸν καλούμενον ταῦρον. ἔστι δὲ μέρος τῆς πυγῆς. Ἄλλως. ὄρρον τὸν λεγόμενον ταῦρον· οἱ δὲ τὴν ὀσφῦν καὶ τὸ ἱερὸν ὀστοῦν. πῶς οὖν ἐν Λυσιστράτῃ [964] διώρισται « ποία δ' ὀσφύς, ποῖος δ' ὄρρος »; τῇ προφορᾷ δὲ Τιμαχίδας ὀρρόν ὡς ὀρθόν. Δίδυμος δὲ τὴν τράμιν φησὶν, οὐχ ὥς τινες τὸ ἰσχίον. ἐτυμολογεῖται δὲ τὸ ὀρρωδεῖν· οἱ γὰρ δεδοικότες ἰδίουσι τὸν ὄρρον. V.

226. (ἀλλ' ἐξόλοισθ' αὐτῷ κοάξ : Σὺν αὐτῷ δηλονότι τῷ κοάξ. Ὅμηρος [Il. Φ', 8] « ἀλλ' αὐτοῖς ἵπποισι καὶ ἀνδράσιν. »)

228. [εἰκότως : Εἴσθεσις μέλους ἑτέρου μονοστροφικοῦ ἐκ κώλων διαφόρων ὀκτώ· ὧν τὸ πρῶτον τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον. τὸ δεύτερον Ἰωνικὸν τρίμετρον ἀκατάληκτον, τοῦ πρώτου ποδὸς παίωνος τετάρτου, τῶν δὲ ἑξῆς διτροχαίων. τὸ τρίτον χοριαμβικὸν δίμετρον βραχυκατάληκτον ἐκ παίωνος τετάρτου καὶ τροχαϊκῆς συζυγίας. τὸ τέταρτον δίμετρον ἀκατάληκτον ἐκ παίωνος τετάρτου καὶ διτροχαίου. τὸ πέμπτον χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον ἐκ παίωνος τετάρτου καὶ ἰαμβικῶν συζυγιῶν ἤτοι διιάμβων. τὸ ἕκτον δίμετρον ἀκατάληκτον, ἔχον ἄμφω τὼ πόδε ἑξασυλλάβω. τὸ ἕβδομον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ τελευταῖον δῆλον. ἐπὶ τῷ τέλει κορωνίς.]

(εἰκότως οὐδὲν ἄλλο ἐσμὲν ἢ) κοάξ· αὐτὸ γὰρ

τοῦτο πράττομεν. [ἢ εἰκότως ἀλγεῖς τὸν ὄρρον. πολυπραγμονεῖς γάρ.]

ὦ πολλὰ πράττων : [Ὦ πολυπραγμονῶν.] ἤτοι ὅτι οὐχ ἡσυχίαν ἔχων πλεῖ, ἀλλὰ χλευάζει αὐτούς· ἢ ὅτι καὶ εἰς Ἅιδου ὑπέμεινεν ἐλθεῖν. ἢ ὦ πολλὰ περιεργαζόμενε.

230. καὶ κεροβάτας : [Ὁ εἰς τὰ κέρατα τῶν ὀρῶν βαίνων· ἢ ὁ ἐπὶ κέρατος βαίνων. ἢ] ἐπειδὴ χηλὰς ἔχειν δοκεῖ τράγου. διὸ καὶ αἰγοβάταν καὶ τραγοβάμονα λέγουσιν. — ἢ οἷον κερατοβάτης. Ἄλλως. ὁ βαίνων ἐπὶ τῶν κεράτων. κέρατα δέ φασι τὰ ἀκρωτήρια. V. Δίδυμος δέ φησιν, ἤτοι ὅτι κέρατα ἔχει, ἢ οἷον κεροβάτης, τὴν βάσιν ἔχων κερατίνην· εἴπερ ἱστορεῖται τὰ κάτω τράγου ἔχων. ὥστε ἀπὸ τῶν ποδῶν κεροβάτης. — Ἄλλως. διὰ τὸ κεκερατωμένην ἔχειν τὴν βάσιν. οὕτω γὰρ ὠνύχωται ὥστε δοκεῖν κεκερατῶσθαι. οὕτω γοῦν καὶ αἰγίπους. V.

231. καλαμόφθογγα : [Ἐξ οὗ ἡ σῦριγξ.] ὅτι οἱ ἀρχαῖοι καλάμῳ ἀντὶ κερατίου ἐχρῶντο. ἢ ἤδεσαν μὲν τὸ κέρας, ἀνέφερον δὲ τῷ ὀνόματι ἐπὶ τὴν ἀρχαίαν χρῆσιν, ὡς καὶ χορδὰς λέγομεν ἔτι νῦν τὰς ἐκ τῶν νεύρων, ὅτι τὸ παλαιὸν ἐντέριναι ἦσαν. Ἄλλως. ἐπεὶ σύριγγι ἥδεται ὁ Πάν, ἥτις ἐστὶν ἐκ καλάμων. — ἠχώδη δὲ ἠδὺ ἀπὸ τῆς λύρας ἀνεπέμπετο, ἢ ὅτι κάλαμος πάλαι ἀντὶ τοῦ κέρατος ὑπετίθετο τῇ λύρᾳ. καὶ διὰ τοῦτο ἐκ συνηθείας κάλαμον καλοῦσι τὸ κέρας, ὡς Σοφοκλῆς ἐν Αἰχμαλώτισι « ὑφῃρέθη σοὺ κάλαμος ὥσπερεὶ λύρας. » V. [δόνακος δὲ, τοῦ λεπτοκαλάμου, μέλος ἀποτελοῦντος τῇ τοῦ ἀνέμου συγκρούσει. ἐν εἰσθέσει δὲ κῶλα πέντε· ὧν τὰ τρία ἰαμβικὰ δίμετρα ἀκατάληκτα, τὸ τέταρτον δῆλον. τὸ πέμπτον χοριαμβικὸν τρίμετρον ἐξ ἐπιτρίτων βραχυκατάληκτον.]

234. ἐν λίμναις : ἐν τοῖς ὕδασι. R.

(236). φλυκταίνας : Τὰ τῶν χειρῶν ἐπαναστήματα ἀπὸ τοῦ κωπηλατεῖν. — Ἄλλως. τὰ ἕλκη, τὰ οἰδήματα τὰ ἀπὸ καύσεως, ἃ καὶ φῶδας καλοῦσι. νυνὶ δὲ ἀπὸ τοῦ κωπηλατεῖν. V. λείπει δὲ ἐν ταῖς χερσί. — τὸ δὲ ἰδίει ἀντὶ τοῦ ἱδροῖ. καὶ Ὅμηρος [Od. Υ, 204] « ἴδιον ὡς ἐνόησα. » V. ἱδρώττει. Θ.

240. πρὸς τοὺς βατράχους φησὶ διὰ τὸ φιλεῖν ὠδήν. R.

241. [μᾶλλον μὲν οὖν : Εἴσθεσις μέλους ἑτέρου μονοστροφικοῦ ἐκ κώλων διαφόρων δέκα· ὧν τὸ πρῶτον χοριαμβικὸν τρίμετρον ἐξ ἐπιτρίτων καὶ κρητικοῦ. τὸ β' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ τρίτον ὅμοιον, τοῦ τρίτου ποδὸς τριβράχεος ἢ χορείου. τὸ τέταρτον ὅμοιον καθαρόν· τὸ πέμπτον ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ παίωνος τετάρτου καὶ χοριάμβου. τὸ ἕκτον ὅμοιον σπονδειοκατάληκτον τῷ δευτέρῳ ποδί. τὸ ἕβδομον ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. τὰ ἑξῆς δύο τῷ δευτέρῳ πέφυκεν ὅμοια. τὸ τελευταῖον δῆλον. ἐπὶ τῷ τέλει κορωνίς.]

εἰ δήποτ' εὐηλίοις : Ἀντὶ τοῦ θερμαῖς. R. V. ὅτι ἐν τῷ χειμῶνι φοβούμενοι φεύγουσι καὶ ἀποσιωπῶσιν, ἐν δὲ τῷ θέρει ἄφοβοί εἰσιν. — ἢ ὅτι νηνεμίας οὔσης ᾄδουσιν οἱ βάτραχοι καὶ ὅταν τύχῃ ἀνέφελος ὁ ἀήρ. V. ἡλίου γὰρ ὄντος καὶ θαυμαστῆς οὔσης αἰθρίας τὸ τῶν βατράχων γένος ἄνω καὶ κάτω χωρεῖ καὶ πρὸς τὴν γῆν ἔσθ' ὅτ' ἐκφέρεται. Vict.

243. [ἡλάμεσθα : Ἐπηδήσαμεν, ὡρμήσαμεν. κύπειρος δὲ εἶδος βοτάνης.]

244. [καὶ φλέω : Φλέως λοχμῶδες φυτὸν, οὗ μνημονεύει Θεόφραστος, παραδηλῶν ὅτι ποτάμιος βοτάνη ἐστὶν ὡς τὸ βούτομον. μέμνηται αὐτοῦ καὶ ἐν Ἀμφιαράῳ

πόθεν ἂν λάβοιμι βύσμα τῷ πρωκτῷ φλέων;]

(κύπειρον καὶ φελεὺς εἶδη βοτανῶν. τοῦ δὲ φέλεως γεγεμισμένον ἦν τὸ ὄρος τῆς Ἀττικῆς, ἀφ' οὗ καὶ ὁ δῆμος ἐκλήθη. Ἄλλως. κύπειρον καὶ φελεὺς εἴδη εἰσὶν ἀνθέων φυόμενα παρὰ χείλη ποταμῶν. ἢ ὅτι λοχμῶδες φυτὸν ὁ φελεὺς, οὗ μνημονεύει Θεόφραστος, ὅτι ποτάμιός ἐστι βοτάνη καθάπερ καὶ τὸ βούτομον. V.

245. νηκτικὸν γὰρ τὸ ζῷον. V.

246. (ἢ Διὸς ὄμβρον φεύγοντες : Τὸν ἥλιον καὶ τὴν ἀλέαν διώκουσιν οἱ βάτραχοι, τὸν δ' ὄμβρον φεύγουσιν, ἴσως ἐπεὶ τῶν χειμάρρων ποταμῶν πληρουμένων ἐκ τοῦ Διὸς ὄμβρου παρασύρονται.)

247. ἔνυδρον ἐν βυθῷ χορείαν : Τὴν νῆξιν χορείαν εἶπε. καὶ οὐ φθέγγεται μὲν ἐν τῷ βυθῷ, ἀλλ' ἄνω κέκραγεν. ἁπλούστερον δὲ εἶπεν.

248. τὴν πηδητικήν. R.Θ.M. αἰόλαν : Ποικίλην. Θ. *Vict.*

249. πομφολυγοπαφλάσμασιν : [Ἐν φύσκαις βηγνυμέναις καὶ ἦχόν τινα ἀποτελούσαις. ἢ ἐν ταῖς δίναις τῶν ὑδάτων. πομφόλυγες γὰρ αἱ φλυκταινώδεις δῖναι. τοῦτο δέ φησιν, ἐπειδὴ τῶν ἐξ ὑετοῦ σταγόνων πιπτουσῶν ἐν τῷ πηγῶν ἢ λιμνῶν ὕδατι πομφόλυγες ἤτοι φύσκαι συνιστάμεναι, αὐτίκα διαφθειρόμεναι ἦχον ἀποτελοῦσί τινα.] — πομφόλυγές εἰσι τὰ ἐπαναστήματα τῶν ὑδάτων. Ἄλλως. βοήμασι καὶ κεκράγμασι. πομφόλυξ δὲ καλεῖται ἡ σταγὼν τοῦ ὑετοῦ· καταπεσοῦσα γὰρ ἠχεῖ. V.

251. [τουτὶ παρ' ὑμῶν : Ἡ ἀμοιβαία αὕτη ἔκθεσις τῶν μελῶν τρισὶ διαιρεῖται περιόδοις· καὶ εἰσὶ τῆς μὲν πρώτης περιόδου κῶλα πέντε· ὧν τὸ μὲν πρῶτον δίμετρον ἀκατάληκτον καθαρὸν ἰαμβικόν. τὸ δεύτερον τροχαϊκὸν δίμετρον ὅμοιον. τὸ τρίτον ὅμοιον τοῦ δευτέρου τρίβραχυν ἔχοντος ἢ χορεῖον. τὸ τέταρτον ὅμοιον ἐφθημιμερές. τὸ τελευταῖον δῆλον.]

[τὸ λέγειν βρεκεκὲξ παρ' ὑμῶν ἔμαθον.] — τοῦτο ἀφ' ὑμῶν λαμβάνω, ὅ ἐστιν ἀντὶ τοῦ ἀφαιροῦμαι, ἵνα μὴ λέγητε τὸ κοάξ. V.

252. [δεινὰ γ' ἄρα πεισόμεσθα : Πάθοιμεν ἂν ἐκ τῆς βοῆς, ἣν ἐπὶ τοσοῦτον παρατενοῦμεν, ἐφ' ὅσον οἷοί τε ὦμεν.] — εἰ μέλλεις ἀφαιρεῖσθαι ἡμῶν δηλονότι τὸ βρεκεκέξ. V. εἰ κωλύσεις ἡμᾶς τοῦ βοᾶν. *Vict.*

257. [οἰμώζετ', οὐ γάρ μοι μέλει : Τῆς δευτέρας

περιόδου τὰ κῶλα ὁμοίως πέντε τοῖς ἄνω καθ' ἕκαστον ὁμοίως ἔχοντα. ὁ μέντοι πρῶτος τοῦ τρίτου κώλου ποὺς τρίβραχύς ἐστι.] δεῖ νοεῖν ὡς οἱ βάτραχοι ὑπὸ σκηνήν εἰσιν, ἀλλ' οὐκ ἐν τῷ φανερῷ. ἡ μέντοι φωνὴ αὐτῶν ἐξακούεται, ὥσπερ καὶ αὐτοὶ κατὰ τὴν λίμνην ἠχοῦσιν. ἐπεὶ οὖν διαλελοίπασι καὶ χορὸς ἐγεγόνει, διὰ τοῦτο λόγον ἐποίησεν ὁ Διόνυσος, ἔμελλον ἄρα ὑμᾶς παύσειν. θηλυκῶς δὲ τὴν φάρυγγα λέγει.

260. χανδάνῃ : Ἀντὶ τοῦ δύνηται καὶ ἐξισχύῃ. R.V. χωρῇ. δι' ἡμέρας : Δι' ὅλης ἡμέρας. Θ. *Vict.*

263. [οὐ νικήσετε : Τῆς τρίτης περιόδου τὰ κῶλα ὀκτώ· ὧν τὰ μὲν πέντε ὅμοια πάντως τοῖς ἄνω πλὴν τοῦ τετάρτου τὸν δεύτερον πόδα τρίβραχυν ἔχοντος. τὸ δὲ ἕκτον καὶ ὄγδοον ἰαμβικὰ τρίμετρα ἀκατάληκτα. τὸ γὰρ ἕβδομον δῆλον. ἐπὶ τῷ τέλει κορωνίς.]

264. ἀντὶ τοῦ ἐπὶ τούτῳ τῷ λέγειν βρεκεκεκέξ. πάντως ἀντὶ τοῦ παντελῶς. ἔξωθεν δὲ προσληπτέον τὸ νικήσεις. R.V.Θ. M.

268. ἔμελλον ἄρα : Σιωπῶσιν οἱ βάτραχοι καὶ ἕτερος χορὸς εἰσέρχεται, ὡς προείπομεν, ὁ τῶν μυστῶν, ὅς ἐστιν ἀναγκαῖος.

269. [ὦ παῦε παῦε : Κορωνὶς ἀμοιβαία εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι μς'. ὧν τελευταῖος

ἀλλ' ἠρεμεῖ πτήξαντες ἀκροασώμεθα.

μετὰ δὲ τὸν μβ' κῶλον ἰαμβικὸν ἐφθημιμερὲς τὸ, αὐλεῖ τις ἔνδον· ὃ κατὰ παρεπιγραφὴν φασι κεῖσθαι· ὡς καὶ ἑξῆς τὸ, διαύλιον προσαυλεῖ. ἐπὶ τῷ τέλει κορωνίς.] — παῦσαι τῆς κωπηλασίας, παραβαλοῦ δὲ τῷ πλοίῳ. R.V.Θ.M. ἢ παῦε τῆς ὁμιλίας. τῷ δὲ πλοίῳ παραβαλοῦ. πρὸς τὴν γῆν δὲ φθάσας φησὶ ταῦτα. M. παῦε, ὦ Διόνυσε, τῆς κωπηλασίας. πλησίασον τὴν ναῦν τῷ λιμένι. Θ. / . παραβαλοῦ τῷ κωπίῳ : Πλησίασον τὴν ναῦν τῷ λιμένι διὰ τοῦ κωπίου. *Vict.*

270. ἀπόδος τὸν ναῦλον : Καλλίστρατος ὅτι τὸν ναῦλον ἀρσενικῶς, καὶ οὐχὶ τὸ ναῦλον εἰώθασι λέγειν. διασώζεται δὲ (καὶ ἔν τισιν) ἡ γραφή. καὶ ἔστι παρὰ τοῖς νεωτέροις καὶ ἡ ναῦλος « ἡ ναῦλος ἡμῖν τῆς νεὼς ὀφείλεται. » οὐ μόνον δὲ ἀρσενικῶς, ἀλλὰ καὶ διὰ δύο λλ λέγεται ναῦλλος καὶ ναῦλλον.

ἔχε δή : Ἀντὶ τοῦ κράτει. ἐν Ἅιδου λοιπὸν τὰ πράγματα.

271. ἦ Ξανθίας : Ὄντως ὑπάρχει ὁ Ξανθίας, ὃν ὁρῶ; *Br.*

272. ἰαῦ : [Μίμημά ἐστι συριγμοῦ.] — τοῦτο ὁ Ξανθίας φησί. R.V.

274. μεταβέβληται ἡ σκηνὴ καὶ γέγονεν ὑπόγειος. μεταβέβληται δὲ καὶ ὁ χορὸς τῶν βατράχων εἰς τοὺς μύστας. ἵνα δὲ κωμῳδήσῃ τοὺς Ἀθηναίους ὡς τοιούτους σκώπτει τοὺς ἐν τῷ θεάτρῳ, λέγων ὅτι καὶ νῦν ὁρῶ ἐνταῦθα τοὺς πατραλοίας. V.

275. ὁ Ἡρακλῆς δηλονότι. R. ἀντὶ τοῦ ὁ Ἡρακλῆς. Ven.

276. καὶ νυνί γ' ὁρῶ : Τοὺς ἐν τῷ θεάτρῳ πεῖσρκους ὁρᾶν φησιν.

280. ἠλαζονεύετο : Ἀντὶ τοῦ ἐψεύδετο. καὶ Μένανδρος « ἀλλ' ἀλαζὼν καὶ θεοῖσιν ἐχθρός. »

281. γενναῖον. R.Θ. γενναῖον, ἰσχυρὸν, πολεμικόν. M. ἐπιδεικνύμενος. Θ.

282. οὐδὲν γὰρ οὕτω γαῦρον : Παρὰ τὰ ἐκ Φιλοκτήτου Εὐριπίδου

οὐδὲν γὰρ οὕτω γαῦρον ὡς ἀνὴρ ἔφυ.

κενοδοξῶν. R.M. κομπαστικόν. Θ.

284. ἀγώνισμα : Ἄθλου κατόρθωσιν ἀξίαν.

286. ἐξόπισθε νῦν ἴθι : Ὡς φοβούμενος ὁ Διόνυσος ταῦτα λέγει· ὅθεν δὲ αἰσθάνεται τοῦ ψόφου, ἐκεῖθεν αὐτὸν ἄγει καὶ προβάλλει.

291. (φέρ' ἐπ' αὐτὴν ἴω : Ὡς κατωφεροῦς τοῦ Διονύσου ἐπιτηδείως.)

293. Ἔμπουσα τοίνυν : Φάντασμα δαιμονιῶδες ὑπὸ Ἑκάτης ἐπιπεμπόμενον. καὶ οἱ μέν φασιν αὐτὴν μονόποδα εἶναι, καὶ ἐτυμολογοῦσιν οἱονεὶ ἑνίποδα (διὰ τὸ ἑνὶ ποδὶ κεχρῆσθαι)· οἱ δὲ ὅτι ἐξηλλάττετο τὴν μορφήν. δοκεῖ δὲ καὶ ταῖς μεσημβρίαις φαντάζεσθαι, ὅταν τοῖς κατοιχομένοις ἐναγίζωσιν. ἔνιοι δὲ τὴν αὐτὴν τῇ Ἑκάτῃ, ὡς Ἀριστοφάνης ἐν τοῖς Ταγηνισταῖς (« χθονία θ' Ἑκάτη σπείρας ὄφεων ἑλελιζομένη. » εἶτα ἐπιφέρει « τί καλεῖς τὴν Ἔμπουσαν; »)

294. καὶ σκέλος χαλκοῦν ἔχει : Τῷ χαλκῷ προσέθηκε τὸ βολίτινον ἐπίτηδες. ἔνιοι δὲ ὄνου σκέλος λέγουσι. διὸ καὶ παρά τισι καλεῖσθαι ὀνόκωλον· τὸ δὲ ὅλον, φησὶ Κράτης, ἔοικέ τι εἶναι φάντασμα παντοδαπὸν γινόμενον. τινὲς ἐν πρόσωπον ὅλον λέγουσι. R.V.Θ. βολίτινον δὲ, ὄνειον. βολιτος γὰρ κυρίως τὸ τῶν ὄνων ἀποπάτημα. [τὸ αὐτὸ δὲ καὶ βόλβιτος.]

297. ἱερεῦ διαφύλαξον : Ἱερέως τινὸς ἀκολουθοῦντος αὐτῷ μέμνηται. R.V.Θ.M. (ἐν προεδρίᾳ κάθηται ὁ τοῦ Διὸς ἱερεύς. ἀποροῦσι δέ τινες πῶς ἀπὸ τοῦ λογείου περιελθὼν καὶ κρυφθεὶς ὄπισθεν τοῦ ἱερέως τοῦτο λέγει. φαίνονται δὲ οὐκ εἶναι ἐπὶ τοῦ λογείου, ἀλλ' ἐπὶ τῆς ὀρχήστρας, ἐν ᾗ ὁ Διόνυσος ἐνέβη καὶ ὁ πλοῦς ἐπετελεῖτο, ὥστε μηκέτι ὁμοίως λόγον εἶναι, ἀλλὰ μὴν οὐ διὰ παντὸς ὄπισθε δεῖ γενέσθαι αὐτόν. Ἄλλως. V. παρὰ ταῖς θέαις προεδρίᾳ ἐτετίμητο ὁ ἱερεὺς τοῦ Διονύσου. πρὸς συνήθειαν οὖν καλεῖ ὁ Διόνυσος τὸν ἱερέα. Ἄλλως. ἤδη γὰρ ἦν τῶν μεμυημένων κατὰ τὴν σκηνὴν γενόμενος.)

[οἱ δέ φασιν ἄτοπον εἶναι νομίζειν ἀκολουθεῖν αὐτοῖς ἱερέα· μὴ γὰρ ἐμφαίνεσθαι· τὸ δ' ἀληθὲς οὕτως ἔχειν· οἱ μεγάλοις κακοῖς περιπίπτοντες, πρὸς ἱερεῖς ἐρχόμενοι, ἱκέτευον αὐτοὺς εὐχὰς ὑπὲρ αὐτῶν ποιεῖσθαι εἰς ἀπαλλαγήν. κατὰ οὖν μίμησιν ἐκείνων καὶ οὗτος νῦν λέγει. ἔχειν δέ φασι καὶ λόγον εἶναί τινος τὸν στίχον ποιητοῦ νῦν διασυρόμενον.]

298. Ἡράκλεις : Εἶχε γὰρ σχῆμα Ἡρακλέους ὁ Διόνυσος. ἢ καὶ ὡς ἀλεξίκακον Ἡρακλέα καλεῖ.

299. μ' ὦνθρωπε : (Πρὸς τὸ συνεχὲς τῆς ἀρχῆς τοῦ δευτέρου στίχου· διότι ἀπὸ συναλοιφῆς ἄρχεται.) εὐλαβεῖται δὲ καταφανὴς γενέσθαι ὁ Διόνυσος.

300. τοῦτο γ' ἔθ' ἧττον θατέρου : Πιθανῶς τὸ τοῦ δειλοῦ ἦθος, τὸ μηδαμῶς θέλειν φανερὸν γενέσθαι. θέλει δὲ εἰπεῖν ὅτι τοῦτο χεῖρόν ἐστι τοῦ ἑτέρου.

301. ἴθ' ἥπερ ἔρχει : Τοῦτο ἔμφασιν παρέχει, ὡς προερχομένου αὐτοῦ πρότερον ὄπισθεν τοῦ ἱερέως ὄντος.

302. πεπράγαμεν : Ἐπάθομεν. *Br.*

303. Ἡγέλοχος : Τραγῳδίας ὑποκριτὴς, ὃν καὶ ἐν τῷ Ὀρέστῃ Εὐριπίδου, προστάντος αὐτῷ τοῦ πνεύματος ἐν τῷδε τῷ στίχῳ [269]

ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλήν' ὁρῶ·

(αἰφνιδίως ὀφθῆναι συνελόντα τὴν συναλοιφήν.) τοῦτον δὲ καὶ ὡς ἀτερπῆ τὴν φωνὴν Πλάτων σκώπτει. — ὅτι Ἡγέλοχος ὁ τραγικὸς ὑποκριτὴς ὢν τοῦ Εὐριπίδου Ὀρέστην ὑποκρινόμενος οὕτω προηνέγκατο ὥστε μὴ ὑποχωρῆσαι ἐκ τῆς συναλοιφῆς τὸ γαληνά, ἀλλὰ διαχωρῆσαι μᾶλλον, ὥστε δόξαι τὴν γαλῆν αὐτὸν εἰπεῖν. διὸ καὶ ἐνθάδε πειρατέον οὕτω προφέρεσθαι. ἐν ἐνίοις μέντοι τῶν Εὐριπίδου εὐκρινῶς γράφεται γαληνά. ὡς δ' ἀξιοῦσί τινες Ἀττικοὶ γαλῆν περισπῶσι λέγοντες ὡς χρυσῆν. πῶς ἔδοξεν ὁ Ἡγέλοχος ἐκ τῆς συναλοιφῆς γαλῆν εἰπεῖν; τὸ μὲν γὰρ περισπωμένως προενέγκασθαι οὐ πιθανόν. μήποτε οὖν οὐκ ἔλεγον οὕτως, ἀλλὰ γαλῆν. ὡς ἀηδὴς δὲ τὴν φωνὴν κωμῳδεῖται ὁ Ἡγέλοχος. V. ἔστι δὲ παροιμία ἐπὶ τῶν διαφυγόντων τὰ λυπηρά. οἱ δὲ λέγοντες ποιήτριαν εἶναι τὸν Ἡγέλοχον Ἀθήνησι τούτῳ συνεχῶς χρωμένην τῷ ἔπει καὶ ἄλλ' ἄττα τῶν αὐτοσχεδίως συντιθέντων οὐκ ἀνεκτὰ τερατεύονται. — ἀποροῦσιν ἐνταῦθα πῶς ἐν Εὐριπίδου μὲν Ἠλέκτρᾳ τοῦθ' εὕρηται, ὁ δὲ λέγει, ὥσπερ Ἡγέλοχος. Cant. 2.

308. (ὀδὶ δὲ δείσας : Ὁ τοῦ Διονύσου ἱερεύς. πυρρὸς γὰρ ἦν κατὰ φύσιν. παρ' ὑπόνοιαν δὲ τὸ ἐπυρραίασε πρὸς τὸ ὠχρίασεν. Ἀρίσταρχος δέ φησιν ἐφ' ἑαυτοῦ λέγειν τὸν Ξανθίαν· καὶ γὰρ διότι πυρρὸς, οὕτως ἐπικεκλῆσθαι, καθάπερ Πυρρίας καὶ Σμικρίνης· ὁ δὲ Ἰξίων, ἐπί τινος τῶν καθημένων, ξανθὸν τὸ χρῶμα ὄντος. ἐν ἕθει γὰρ εἶναι διασκώπτειν τοὺς ἀκρωμένους, ὡς καὶ Πλάτων ἐν Παιδαρίῳ ποιεῖ. Εὔπολις δὲ τὸν τοῦ Διονύσου ἱερέα ὀνομάζει αἰγίπυρρον ἀντὶ τοῦ πυρρόν. τὸ γὰρ ἄνθος ἔχειν φησὶ Δημήτριος ἱκανῶς ἐρυθρόν.) — ἐκκαλύψας τὸ αἰδοῖον εἶπε τοῦτο πρὸς τὸ ἐπυρρίασε παίζων. πυρρὸν γὰρ ἦν καὶ τὸ αἰδοῖον. V. ὑπερεπυρρίασε : Ἐξεκαύθη κατὰ τὸ πρόσωπον. Θ. *Br.*

311. αἰθέρα Διὸς : Ἀντὶ τοῦ τὸν Εὐριπίδην· αὐτοῦ γὰρ ὁ ἴαμβος. ἢ τὴν ἐπιθυμίαν Εὐριπίδου τοῦ ταῦτα λέγοντος. R. V. Θ. M. πρὸς τὸ ἄνω εἰρημένον. αὐτὸς γὰρ αἴτιος τοῦ ταῦτα παθεῖν τὸν Διόνυσον. (V. Θ. M.) καὶ γὰρ δι' αὐτὸν κατῆλθεν εἰς Ἅδου. V.

312. κατήκουσας : Περισσὴ ἡ κατά. R. V.

αὐλεῖ τις ἔνδοθεν : Παρεπιγραφή. σημαίνει γὰρ ὅτι ἔσωθέν τις ηὔλησε μὴ ὁρώμενος τοῖς θεαταῖς.

314. [αὔρα τις : Μακροκαταληκτεῖ. τὰ γὰρ εἰς ρα εἰ μὲν μονοφθόγγῳ παραλήγει, μακροκαταληκτεῖ, πήρα. εἰ δὲ διφθόγγῳ, βραχυκαταληκτεῖ· πλὴν τοῦ αὔρα, καὶ Φαίδρα παρ' Εὐριπίδῃ [Hipp. 48]

Φαίδρα· τὸ γὰρ τῆσδ' οὐ προτιμήσω καλόν.]

ἀποροῦσι τινὲς ἐνταῦθα, πῶς οὐ θέρμη δᾳδῶν εἶπεν, ἀλλὰ αὔρα. καὶ φαμὲν, ὅτι τοῦτο λέγει δεικνὺς, ὅτι καὶ δᾷδας οἱ μύσται ἔφερον, καὶ θεία πνοή τις ἐξ αὐτῶν ἐφέρετο. Junt.

μυστικωτάτη : Τῶν ἐν Ἐλευσῖνι μυστηρίων. τινὲς δὲ εἰς τὸ μυστικωτάτη δύο ποιοῦσιν.

315. ῥέμα : Ἡσύχως. *Br.* πτήξαντες : Συστείλαντες ἑαυτούς. *C.*

316. Ἴακχ', ὦ Ἴακχε : (Ἡ πάροδος τῆς ᾠδῆς ταύτης τοῦ τῶν μυστῶν χοροῦ κώλων ἐστὶν ἀντισπαστικῶν δύο διμέτρων βραχυκαταλήκτων. ἐξῆς δὲ τούτων σύστημα ἀμοιβαῖον ἐκ στίχων ἰάμβων τριμέτρων ἀκαταλήκτων πέντε.) — μετεβλήθη ὁ χορὸς εἰς μύστας. R. V.

319. ἔφραζε : Ὁ Ἡρακλῆς. V. R.

320. ὅνπερ Διαγόρας : Διαγόρας μελῶν ποιητὴς ἄθεος, ὃς καὶ καινὰ δαιμόνια εἰσηγεῖτο, ὥσπερ Σωκράτης. (καὶ ὁ μὲν Ἀρίσταρχος Διαγόρου νῦν μνημονεύειν φησὶν οὐχ ὡς ἄδοντος αὐτοῦ τοὺς θεοὺς, ἀλλ' ἐν εἰρωνείᾳ κειμένου τοῦ λόγου, ἀντὶ τοῦ χλευάζοντος, ἐξορχουμένου. ἀνακινεῖ οὖν τοὺς Ἀθηναίους ὁ κωμικὸς· ὅθεν καὶ οἱ Ἀθηναῖοι ὡς διαχλευάζοντος τοὺς θεοὺς καταψηφισάμενοι ἀνεκήρυξαν τῷ μὲν ἀναιρήσοντι ἀργυρίου τάλαντον, τῷ δὲ ζῶντα κομίσαντι δύο. ἔπειθον δὲ καὶ τοὺς ἄλλους Πελοποννησίους, ὡς ἱστορεῖ Κρατερὸς ἐν τῇ συναγωγῇ τῶν ψηφισμάτων. ἦν δὲ οὗτος Τηλεκλύτου παῖς, Μήλιος τὸ γένος, τὸν χρόνον κατὰ Σιμωνίδην καὶ Πίνδαρον. οἱ δὲ τὸ δι' ἀγορᾶς περισπῶσιν, ὡς Ἀπολλόδωρος ὁ Ταρσεὺς, καί φασιν — Ἴακχον λέγειν, ὃν ἄδουσιν ἐξ ἄστεως διὰ τῆς ἀγορᾶς ἐξιόντες εἰς Ἐλευσῖνα. γέγονε δὲ καὶ ἕτερος κωμῳδούμενος ἐπὶ μεγέθει. Ἕρμιππος ἐν Μοίραις

μείζων γὰρ ἢ νῦν δή 'στι, καὶ δοκεῖ γέ μοι,
ἐάν τι τούτων ἐπιδίδωται ἡμέρας
μείζων ἔσεσθαι Διαγόρου.

V. [Ἄλλως. διθυραμβοποιὸς ὁ Διαγόρας ποιητὴς, συνεχῶς Ἴακχε Ἴακχε ᾄδων. ἢ κωμικὸς διθυραμβικὰ, τουτέστι Διονυσιακὰ δράματα ποιῶν.]

324. [Ἴακχ' ὦ πολυτιμήτοις : Ὠδὴ καὶ στροφὴ κώλων ιδ'· ὧν τὸ πρῶτον ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον· ὃ καλεῖται Γλυκώνειον. τὸ δεύτερον δίμετρον καταληκτικὸν, ἢ ἐξ ἀντισπάστου καὶ βακχείου. τὸ τρίτον ὅμοιον ὁποτερῳοῦν τῶν ἐν τῇ παρόδῳ. τὸ τέταρτον ἐκ διτροχαίου ἀντισπαστικοῦ καὶ βακχείου, Ἀλκαϊκὸν, φασὶ, καλούμενον. τὸ πέμπτον Ἰωνικὸν δίμετρον ἀκατάληκτον ἀνακλώμενον καθ' Ἡφαιστίωνα καλούμενον, ἀντ' Ἰωνικῶν παίωνα τρίτον καὶ ἐπίτριτον δεύτερον ἔχον. τὰ ἑξῆς δύο τὸν αὐτὸν τρόπον. τὸ ὄγδοον Ἰωνικὸν ἀπ' ἐλάττονος πενθημιμερές. τὸ ἔνατον

ἐξ ἀντισπάστου καὶ βακχείου δίμετρον, ἢ ἐφθημιμερές. τὰ ἑξῆς δύο Ἰωνικὰ ἐκ παιώνων τρίτων καταληκτικὰ ἢ ἐκ παίωνος καὶ, εἰς ὃν συναιρεῖται, βακχείου. τὸ δωδέκατον Ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον καθαρόν. τὸ τρισκαιδέκατον καθαρὸν μέν, καταληκτικὸν δέ. τὸ τελευταῖον, ὡς τὸ δυωκαιδέκατον, ἐπιμεμιγμένον μέντοι ἐπιτρίτῳ δευτέρῳ, ἢ διτροχαίῳ. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλῆ ἔξω νενευκυῖα. ἑξῆς δὲ τριστιχία ἰαμβικὴ παραγράφῳ τερματιζομένη· μεθ' ἣν ἀντῳδὴ καὶ ἀντιστροφή, παραπλησίως καθ' ἕκαστον σχεδὸν τῇ τε ποσότητι καὶ ποιότητι τῶν κώλων ἔχουσα τῇ στροφῇ. ἔφ' ἧς τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι, ἡ μὲν ἐν ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος.]

Ἴακχ' ὦ πολυτιμήτοις : Μία τῶν μυστηρίων ἐστὶν ἡ εἰκὰς, ἐν ᾗ τὸν Ἴακχον ἐξάγουσι. πολυτιμήτοις δὲ ἐν ἕδραις, καθὸ συνίδρυται τῇ Δήμητρι ὁ Διόνυσος. εἰσὶ γοῦν οἳ φασὶ Περσεφόνης αὐτὸν εἶναι· οἱ δὲ τῇ Δήμητρι συγγενέσθαι. ἄλλοι δὲ ἕτερον Διονύσου εἶναι τὸν Ἴακχον, οἱ δὲ τὸν αὐτόν. τινὲς δέ φασι, πολυτιμήτοις ἐν ἕδραις, καθὸ φιλοτιμότεροί εἰσιν οἱ μεμυημένοι ἐν Ἅιδου, ὡς σαφὲς ποιεῖ ἐν Εἰρήνῃ [375]

δεῖ γὰρ μυηθῆναί με πρὶν τεθνηκέναι.

ναίων : Κατοικῶν. *Vict.*

326. ἀνὰ λειμῶνα χορεύσων : Ἐν τοῖς λειμῶσι τὰς χορείας ἐποιοῦντο διὰ τὰ ἄνθη, χορεύοντες ἐν τῷ προφανεῖ ἐν χοροῦ σχήματι. — ἀνὰ λειμῶνα : Διὰ γὰρ τὰ ἄνθη ἐν λειμῶσι τὰς χορείας ἐποιοῦντο. *Vict.*

327. θιασώτας : Τοὺς χορευτάς. R. συγχορευτάς. Θ. οὕτω λέγει, οὐχ ὥς τινες, συνθιασώτας. V.

328. τινάσσων : Κινῶν. Θ. *Vict.*

329. βρύοντα : Ἀνθοῦντα. V. θάλλοντα. Θ. *Vict.*

330. στέφανον μύρτων : Μυρσίνῳ στεφάνῳ ἐστεφανοῦντο οἱ μεμυημένοι, οὐχ, ὥς τινες νομίζουσι, κισσίνῳ. ὁ δὲ Ἀπολλόδωρος καὶ τοὺς θεσμοθέτας φησὶ διὰ τοῦτο μυρσίνῃ στέφεσθαι, ὅτι οἰκείως ἔχει πρὸς τὸ φυτὸν ἡ θεὸς καὶ ὅτι τοῖς χθονίοις ἀφιέρωτο. — ἡ μυρσίνη ᾠκείωται τοῖς χθονίοις θεοῖς, Διονύσου δεδωκότος, ὅτε ἀνήγαγε τὴν Σεμέλην. τρία γὰρ αὐτῷ ᾠκείωται, κισσὸς, ἄμπελος, μυρσίνη. μυθολογοῦσι δ' ἐν Σάμῳ μόνῃ θεῶν μὴ προσφέρεσθαι τῇ Ἥρᾳ. ἐπεὶ γὰρ, ὥς φασιν, ἐξητεῖτο τὴν ψυχὴν τῆς Σεμέλης τοὺς κάτω θεοὺς, καθάπερ ἦν ἐπηγγελμένον, ὑποσχέσθαι λέγουσιν αὐτῇ τὸν Ἅιδην τοῦτο δράσειν, τοῦ Διονύσου τῶν μάλιστα τερπόντων αὐτῷ ἀντίψυχον ἀντ' ἐκείνης πέμψαντος· τὸν δὲ Διόνυσον πυθόμενον τὰ παρὰ τῶν κάτω θεῶν ἐπεσταλμένα σοφίσασθαι πρὸς ταῦτα καὶ τριῶν ὄντων αὐτῷ μάλιστα ἠγαπημένων, τοῦ τε κισσοῦ καὶ τῆς ἀμπέλου καὶ τῆς μυρσίνης, ἀποστεῖλαι τοῖς κάτω θεοῖς αὐτήν. δηλοῖ δὲ καὶ Ἰοφῶν ὁ τραγικός. V.

331. λείπει γέραιρε ἢ αὔξανε. ἀκόλαστον δὲ τὴν μὴ δεομένην κολάσεως, τὴν ἀναμάρτητον, ἣν οὐκ ἄν τις κολάσειε χορείαν. R. V. Θ. M. τὴν ἱεράν. *R. V.*

ἀκόλαστον : Μανιώδη, βακχικὴν, ὁσίαν· οὐ γὰρ δὴ αἰσχρὰν καὶ ἀσελγῆ. τὸ δὲ ἐγκατακρούων πρὸς τὸ ὁσίοις μύσταις. — ἀκόλαστον : Μὴ κολάσεως ἀξίαν ἡγοῦν μέμψεως. *Vict.*

335. ἀντὶ τοῦ χαρίτων πεπληρωμένην, ὅ ἐστι κεχαριτωμένην. R. V.

336. λείπει γεραίρων. R.

338. τοῦτο εἶπε διὰ τὸ κρεοφαγεῖν ἐν τοῖς Θεσμοφορίοις καὶ ὅτι Δήμητρι καὶ Κόρῃ θύουσι τὸ ζῷον. R. ἐπειδὴ ἐν τοῖς Δημητρίοις χοίροις θύονται. V. Θ. ἔνιοι δέ φασιν οὕτω λέγειν τοὺς Ἀττικοὺς περισπωμένως τὸ κρεῶν. οὐκ ἄλογος δὲ ἡ περισπωμένη· γέγονε γὰρ τὸ πάθος ἐν αὐτῇ τῇ γενικῇ, κρεάων ὡς γεράων, εἶτα κρεῶν ὡς γερῶν. τοῦτο δὲ εἶπε διὰ τὸ χοιροσπαθεῖν τοῖς Θεσμοφορίοις. θύουσι γὰρ ἐν τοῖς μυστηρίοις τοῦ Διονύσου καὶ τῆς Δήμητρος τὸν χοῖρον, διότι λυμαντικός ἐστιν ἀμφοτέρων. V. Θ.

[χοιρείων κρεῶν : Παρόσον χοῖροι τῇ Δήμητρι καὶ τῷ Διονύσῳ ἐθύοντο, ὡς λυμαντικοὶ τῶν θεοῖν δωρημάτων. εἰκότως δ' ἐν ᾅδου ὢν ἐπιβοᾶται τὴν Περσεφόνην.] — χοιρείων κρεῶν : Πνοὴ δηλονότι. *Vict.*

339. χορδῆς λάβῃς : Ἡ εἴλησις ἡ τῶν ἐντέρων ἐστὶ χορδή. ἣν εἰλητὸν καλοῦμεν ἡμεῖς.

340. ἔγειρε φλογέας : Νοητέον οὕτως, ἔγειρε φλογέας λαμπάδας ἐν χερσὶ τινάσσων. [ἥκεις γὰρ νυκτέρου τελετῆς φωσφόρος ἀστήρ.]

343. φωσφόρος ἀστήρ : Τὸ μυστηριακὸν πῦρ φωσφόρον λέγουσι. λέγει δὲ, ἐπεὶ τὴν νύκτα λέγουσιν αἰνιγματωδῶς, διὰ τὸ λαθεῖν τοὺς ἀμυήτους. ἢ ὅτιρὲν νυκτὶ ἄγεται τὰ μυστήρια. (ἀξιοῦσι δέ τινες αὐτὴν τὴν λαμπάδα φωσφόρον ἀστέρα λέγειν. ὁ δὲ λόγος κολοβός ἐστιν, εἰ μὴ τὸ τινάσσων ἀντὶ τοῦ τινασσόμενος λαμβάνεται.) [ἐν δέ τισιν ἐκλέλοιπε τὸ τινάσσων. Ἴακχ', ὦ Ἴακχε, ἀναλόγως τῇ στροφῇ γράφουσι καὶ τὸ χερσίν εἰς τὸ ἔγειρε συνάπτουσιν· ἥκεις γὰρ κατὰ ἀναστροφήν. νύκτωρ δ' ἐτελεῖτο τὰ μυστήρια. ὧν τῆς τελετῆς οὐ μόνον χορευτὴς, ἀλλὰ καὶ ἔξαρχος ἦν ὁ Διόνυσος. καὶ μὲν δὴ Διονύσου ἐν Ἐλευσῖνι ἱερόν ἐστι καὶ ἐν Διονυσίοις ἐτελεῖτο τὰ μυστήρια.]

344. φλέγεται δὲ λειμών : Λειμὼν γὰρ ἀνάκειται καὶ ἄνθη ἀνειμένα τοῖς μύσταις ἐν τῷ πεδίῳ. δηλοῖ δὲ καὶ Σοφοκλῆς. — φλέγεται : καταλάμπεται. *R. V. C.* φέγγεται : Καταλάμπεται. *E.*

345. διὰ τὴν χαρὰν νεάζουσιν οἱ γέροντες. ἡ δὲ δύναμις ἐν γόνασιν, ὡς καὶ ὁ ποιητὴς λέγει. — ὡς τῶν μυστῶν ὄντων γερόντων. V.

346. ἀντὶ τοῦ τὸ βαρὺ τῆς ἡλικίας καὶ τοῦ γήρως. V. [χρονίων τ' ἐτῶν : Εἰ μὲν οὕτω γράφεται, Ἰωνικόν ἐστι πενθημιμερὲς ἐκ παίωνος τρίτου ἀναλόγως τῷ ἐν τῇ στροφῇ ὀγδόῳ. εἰ δὲ χρόνους τ' ἐτῶν, ὡς ἐν τοῖς πλείοσιν, ἰαμβικὴ ταυτοποδία. — ζητεῖται ἐνταῦθα, πῶς εἶπεν ἐνιαυτοὺς ἐτῶν, ἐπεὶ ἔτος καὶ ἐνιαυτὸς ταὐτόν. λύεται δὲ παρὰ τῶν παλαιῶν οὕτως· τὸ ἰαύειν ποτὲ μὲν ἐπὶ ὕπνου καὶ ἀνακλίσεως τίθεται, ὡς παρ' Ὁμήρῳ « τῇ παριαύων τερπέσθω, » ἤγουν παρακεί-

μενος· ὡς ἐπὶ πολὺ δὲ ἡ λέξις ἐπὶ διατριβῆς καὶ ἀργίας λέγεται, ὅθεν καὶ ἐνιαυτὸς ὁ μακρὸς καὶ πολλὴν ἔχων διατριβήν. διὸ καὶ τὸ ἐτέων ἐνιαυτοὺς ἀντὶ τοῦ διατριβὰς ἐξειλήφασιν. Vict. ἐνιαυτοὺς : Διατριβάς. *Vict.*]

350. λαμπάδι : ἅπτων τῇ λαμπάδι. R. V. φλέγων : Λάμπων. Θ. *Vict.* προβάδην : προβαίνων τῷ ῥυθμῷ. R. V.

351. πάνθηρον ἔλειον : Προσληπτέον τὸ εἰς. ἔξαγε εἰς τὸ πάνθηρον καὶ ἔλειον δάπεδον. πάνθηρον δὲ παντοδαπῶν θηρίων δεκτικόν. τινὲς δὲ ἀναγινώσκουσιν ἐπ' ἀνθηρόν. — ἀνθηρὸν : Ἀνθῶν πλῆρες. *Br.* ἔλειον : ἑλῶδες. R. V.

352. Τὴν εὐωχίαν, τὴν εὐτονίαν, τὴν χορείαν. V. χοροποιὸν ἦθος λέγει ἢ τὴν αὐτοῦ τοῦ Διονύσου ἡλικίαν τὴν τοὺς χορεύοντας μύστας. C. ἦσαν : Ἡμᾶς χορευτάς. μάκαρ : Ὦ. *Vict.*

354. εὐφημεῖν χρὴ : Ἀρίσταρχος ἐπὶ τούτων λέγει τὸν χορὸν μεμερίσθαι (εἰς μερικὰ ἀνάπαιστα, ἄλλα δὲ ἀμείβεσθαι τὸν χορόν. καὶ τί ἄρα συνεῖδεν ὁ Ἀρίσταρχος; δύναται δὲ καὶ ἐνσύζυγον εἶναι τὸ λεγόμενον, πολλαχοῦ δὲ μεμερίσθαι καὶ εἰς διχορίαν τὸ λοιπὸν, ὥστε εἰς δώδεκα καὶ δώδεκα διαμεμερίσθαι.) [Ἄλλως. εὐφημεῖν χρή, στροφὴ καὶ εἴσθεσις χοροῦ ἐπιρρηματική. ἔθος γὰρ ἐν τῷ ἐπιρρήματι χρηστὰ συμβουλεύειν τῇ πόλει, ἢ ἐλέγχειν τοὺς πονηρευομένους. ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ὀκτωκαίδεκα, ὧν τελευταῖος

καὶ παννυχίδας τὰς ἡμετέρας, αἳ τῇδε πρέπουσιν ἑορτῇ.

ἐπὶ τῷ τέλει παράγραφος. ὁ δὲ λόγος ἀπὸ τοῦ ποιητοῦ, καίτοι δοκῶν εἶναι χοροῦ. ἰστέον δὲ ὅτι εἰ καὶ διὰ τοὺς ἐν Ἅδου μύστας φαίνεται λέγειν, ἀλλὰ τῇ ἀληθείᾳ διὰ τοὺς ἐν Ἐλευσῖνι. ἐνταῦθα καὶ ὑφίστατο ἡ σκηνὴ τοῦ δράματος.] — καὶ ἵστασθαι : ἐκχωρεῖν. V.

356. μὴ ἐμυήθη. ὄργια δὲ τὰ μυστήρια. R.

357. μήτε Κρατίνου : Πρὸς τοὺς περὶ Ἀρίσταρχον οἰομένους ὅτι ταῦρος ἦν αὐτοῖς τὸ ἔπαλθον. εἴρηται δὲ παρὰ τὸ Σοφοκλέους ἐκ Τυροῦς « Διονύσου τοῦ ταυροφάγου. » ἢ ὅτι φιλοινος ἦν καὶ διὰ τοῦτο ἐπίθετον τοῦ Διονύσου αὐτῷ περιτιθέασιν. (οἱ δὲ ἔτι περιεργότερον ὅλον τὸν λόγον ἀποδιδόασι. μήτε Κρατίνου βακχεῖ' ἐτελέσθη, ἅ ἐστι τοῦ μοσχοφάγου Διονύσου.) ἢ τολμηρόν· (ἀπὸ τῶν βακχῶν). τολμηροὺς γὰρ διέσυρε τοὺς Ἀθηναίους ἐν τοῖς δράμασι. βωμολόχοις δὲ, τοῖς πρὸς χάριν λέγουσι καὶ ἀπὸ κολακείας. ἀπὸ δὲ τῶν λοχώντων περὶ τοὺς βωμοὺς καὶ βουλομένων τι λαβεῖν μετενήνεκται ἡ λέξις. οὗτοι γὰρ ἐπὶ τῶν βωμῶν πολλὰ λιπαροῦσι κολακεύοντες λαβεῖν τι παρὰ τῶν θυόντων. [τινὲς δὲ, τοῦ ταῦρον ἔπαθλον λαμβάνοντος. ἢ τοῦ λαιμάργου.] — μηδὲ Κρατίνου : τινὲς βούλονται τὴν φιλονεικίαν αὐτοῦ δηλοῦσθαι ἐκ τοῦ ταυροφάγου, ὅ ἐστι Διονύσου. ταυρόκερως γὰρ ὁ θεός. Εὐριπίδης [Bacch. 918]

καὶ ταῦρος ἡμῖν πρόσθεν ἡγεῖσθαι δοκεῖ.

οἱ δὲ οὕτως. μηδὲ Κρατίνου βακχεῖα ἐτελέσθη, ἅ ἐστι τοῦ ταυροφάγου Διονύσου, ἀπὸ τοῦ συμβαίνοντος ταῖς βάκχαις. διέσπων γὰρ βοῦς καὶ ἦσθιον ὠμὰ κρέα. Ἀπολλώνιος δέ φησι ταυροφάγον τὸν Διόνυσον ἀπὸ τῶν διδομένων τοῖς διθυράμβοις βοῶν. V.

359. ὁ ἐναντιούμενος τῷ δυσκόλῳ. R. ὁ ἐναντίος τῷ δυσκόλῳ. V.

360. τοῦτο πρὸς τοὺς ῥήτορας. R. V.

361. ἤγουν πρὸ τῆς πόλεως. δῶρα λαμβάνει. R.

362. ἢ προδίδωσι φρούριον : (Πρὸς τοὺς ποιήσαντας τοὺς Φερεκράτους Πέρσας. τὰ γὰρ ἀπόρρητα ἤκουσαν ὡς νῦν ἡμῖν ἔθος. διὸ καὶ ἐντεῦθεν λοιδορεῖται τῷ Θωρυκίωνι καὶ αὐτὸς ὅσον μὴ οἶδεν. ἀπόρρητα δὲ ἔλεγον τὰ ἀπειρημένα ἐξάγεσθαι. ἐν γοῦν τούτοις ἐπιφέρει ἀσκώματα καὶ λίνα καὶ πίτταν. δῆλον ὅτι οὐδὲν ἔδει ἀποπέμπειν τούτων ἐξ Αἰγίνης, ὧν Θωρυκίων τὰ ἀπόρρητα Ἀθήνηθεν ἀποπέμπει. ὅτε οὖν πρὸς τοὺς Πελοποννησίους ἦν ὁ πόλεμος, ἀπόρρητον ἦν τὰ πρὸς ναυπηγίαν ἐξάγειν. ἤτοι δὲ ὁ Θωρυκίων ἐξ Αἰγίνης ὢν, ἢ εἰς Αἴγιναν ἐξάγων. καθὸ δὴ κοινὸν ἐμπόριον ἡ Αἴγινα.) οὗτος ταξίαρχος ἦν ἐν τοῖς Πελοποννησιακοῖς τῶν Ἀθηναίων, ὃς πίσσαν ἔπεμψε τοῖς ἀντιπάλοις εἰς τὸ ἀνάψαι τὴν ἑαυτοῦ πόλιν. ὅθεν γνωσθεὶς ἐκωμῳδεῖτο ἐπὶ προδοσίᾳ. (τινὲς δὲ Θορυκίων γράφουσιν, ἀντὶ τοῦ τὰ τῶν Θορυκίων μιμούμενος.) — τἀπόρρητ' : τὰ τῆς πόλεως μυστήρια. R.

363. εἰκοστολόγος : Τὰ εἰκοστὰ ἐν τῇ κρίσει συνάγων. — ἐπεὶ οἱ στρατηγοὶ ἀπῄτουν τὰς εἰκοστὰς τῶν λιμένων καὶ τῶν νήσων καὶ οὕτως ἀνήλισκον εἰς τὰ πολεμικά. V.

364. ἀσκώματα : Εἰς διφθέρας γὰρ τὰς διανοίας τὰς ἑαυτοῦ γράψας ἔπεμπε τοῖς πολεμίοις ἐν τῇ Λακωνικῇ. (ἄσκωμα δερμάτιόν τι, ᾧ ἐν ταῖς τριήρεσι χρῶνται, καθ' ὃ ἡ κώπη βάλλεται.) — δέρματα. *Br.*

(Ἐπίδαυρον : Πόλιν Λακωνικήν.)

365. (ἢ χρήματα : Κῦρος γὰρ Λυσάνδρῳ ἔπεμψε χρήματα τότε εἰς πόλεμον δανείου χάριν.)

366. τῶν τῆς Ἑκάτης μυστηρίων. R. V. τοῦτο δὲ εἰς Κινησίαν τὸν διθυραμβοποιόν· οὗτος γὰρ ᾄδων κατετίλησε τῆς Ἑκάτης. R. Κινησίαν τὸν διθυραμβοποιὸν κωμῳδεῖ, ὃς εἰσήνεγκεν ἐν δράματι τὴν Ἑκάτην καὶ κατετίλησεν αὐτῆς. ἢ ἐπειδὴ ἠρυθρίασε ποίημα γράψας εἰς Ἑκάτην. V. Θ. M. [ἢ κατατιλᾷ : Ἤγουν ἀσεβῶς διάκειται περὶ τὰ τῆς Ἑκάτης ἀγάλματα, ὅτε πανηγυρίζει. Κινησίας δὲ τοῦτο πεποίηκε.] — ἢ κατατιλᾷ τῶν Ἑκαταίων, ἤτοι κατὰ τῶν ἀγαλμάτων τῆς Ἑκάτης κόπρον ἐκκρίνει διάρρυτον, τουτέστι ὑγρὰν, ὑπάδων τοῖς χοροῖς κυκλίοις ἤγουν λυρικοῖς ποιήμασιν. Vict.

367. τοῦτο εἰς Ἀρχῖνον. μήποτε δὲ καὶ εἰς Ἀγύρριον. μέμνηται δὲ τούτων καὶ Πλάτων ἐν Σκευαῖς καὶ Σαννυρίων ἐν Δανάῃ. οὗτοι γὰρ προϊστάμενοι τῆς δημοσίας τραπέζης τὸν μισθὸν τῶν κωμῳδῶν ἐμείωσαν κωμῳδηθέντες. V. M. [ἢ τοὺς μισθοὺς : Οὓς ἔλαβε παρὰ τῆς

βουλῆς αὐτοῖς παρασχεῖν. λέγει δὲ διὰ τὸν Ἀρχῖνον.]

368. [τελεταῖς : Τὸ τέλος ἐξαχῶς λέγεται· σημαίνει γὰρ τὸ στρατιωτικὸν σύνταγμα, τὸ τῶν πραγμάτων πέρας, τὴν ταῖς πόλεσιν φοιτῶσαν πρόσοδον, τὸ ἀξίωμα, ὡς Εὐριπίδης [Sophocles Antig. 67]

τοῖς ἐν τέλει βεβῶσι πείσομαι.

τὸ δαπάνημα, ὡς ὁ αὐτὸς

μάτην γὰρ οἶκῳ σὸν τόδ' ἐκβαίη τέλος.

καὶ τὴν μυστικὴν καὶ οὕτω τελοποιὸν ἑορτήν. ὅθεν καὶ ἡ τελετὴ λέγεται καὶ τελεῖσθαι, τὸ μυεῖσθαι καὶ τελούμενοι, οἱ τὰ μυστικὰ ἤτοι θεῖα διδασκόμενοι. Θ. a m. sec. Vict.]

369. (τούτοισιν ἀπαυδῶ : Παρὰ τὴν τοῦ ἱεροφάντου καὶ δαδούχου πρόρρησιν τὴν ἐν τῇ ποικίλῃ στοᾷ.)

372. χώρει νῦν : [Εἴσθεσις ἑτέρα μέλους μονοστροφικοῦ διαιρεθέντος τοῦ χοροῦ, ἐκ κώλων ἀναπαιστικῶν ι', ὧν τὰ μὲν ἄκρα καὶ τὸ δ' καὶ ε' δίμετρα ἀκατάληκτα, τὸ δὲ δεύτερον καὶ ἕκτον ἐφθημιμερῆ. τὸ τρίτον καὶ τὸ ὄγδοον δίμετρα βραχυκατάληκτα. τὰ δὲ λοιπὰ τρίμετρα καταληκτικὰ εἰς συλλαβήν. ἐξῆς δὲ στίχοι δύο ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ ὡς ἐξ ἑτέρας στροφῆς. ἐπὶ τῷ τέλει παράγραφος.] ἐντεῦθεν Ἀρίσταρχος ὑπενόησε μὴ ὅλου τοῦ χοροῦ εἶναι τὰ πρῶτα. τοῦτο δὲ οὐκ ἀξιόπιστον. πολλάκις γὰρ ἀλλήλοις οὕτω παρακελεύονται (οἱ περὶ τὸν χορόν). — τῶν καθ' Ἅδου. οἱ τοῦ χοροῦ δὲ μύσται ἀλλήλοις παρακελεύονται. R.

374. ἐγκρούων : (Βαίνων εὐρύθμως. ἢ ἀντὶ τοῦ ἐκβάλλων.) — ἤτοι βάλλων ἢ βαίνων. R.

376. ἠρίστηται : Ἄριστον γεγένηται τὸ τῆς τελετῆς.

ἔμβα δὲ, ἀντὶ τοῦ χόρευε.

377. χόρευε. R. V.

378. αἰρεῖς τὴν Σώτειραν : (Οἷον ὑψώσεις τοῖς ἐπαίνοις.) ἔστιν Ἀθήνησι Ἀθηνᾶ Σώτειρα λεγομένη, ᾗ καὶ θύουσιν. — χῶπως αἴρεις : Σκόπει ὅπως μεγαλύνεις. C. χῶπως αἴρῃς : Καὶ σκόπει ὅπως ὑψώσῃς. D.

379. μέλπω μολπάζω ὡς τρέχω τρόχω τροχάζω. V.

380. εἰς νέωτα. R. V.

381. ὁ γὰρ πόλεμος αὐτῷ ἐλυσιτέλει. R. V. M.

382. ἕτερον τρόπον. R. V.

384. Δήμητερ : [Εἴσθεσις ἑτέρα μέλους μονοστροφικοῦ ἐκ κώλων ἰαμβικῶν δέκα· ὧν τὸ πέμπτον καὶ τὸ δέκατον ἐφθημιμερῆ Ἀνακρεόντια, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα, ὧν τελευταῖον « – κήσαντα ταινιοῦσθαι. » ἐξῆς δὲ ὡς ἐξ ἑτέρας στροφῆς κῶλα τέσσαρα, ὧν τὸ πρῶτον καὶ τὸ τρίτον ἰαμβικά· τὸ μὲν τρίμετρον, τὸ δὲ δίμετρον. τὰ δὲ λοιπὰ τροχαϊκὰ δίμετρα βραχυκατάληκτα, ἰθυφαλλικὰ καλούμενα Ἀρχιλόχεια. ἐπὶ τῷ τέλει παράγραφος.] — δίμετρα ἀκατάληκτα ἰαμβικά. ἕως τοῦ « τίς σὰς παρήειρε φρένας. » V. M.

388. παῖσαι : Ὅπερ ἡμεῖς παῖξαι. Ὅμηρος [Od. Θ, 251] « παίσατε, ὡς χ' ὁ ξεῖνος. » — παῖσαι : Ἀντὶ τοῦ παῖξαι Ἀττικῶς. *Vict.*

393. ταινιοῦσθαι : Ἀντὶ τοῦ στεφανοῦσθαι. ταινία γὰρ τὸ ῥάμμα τοῦ στεφάνου.

395. τὸν ὡραῖον : Τὸν κατὰ καιρὸν φαινόμενον Διόνυσον· [ἐπεὶ τὸν καιρὸν τοῦ ἔαρος τὰς ἑορτὰς αὐτοῦ ἦγον, καὶ τὰ κωμικὰ δράματα ἐν ταύταις εἰσήγετο.] — ἄγ' εἶα : Τοῦτο λέγει, ἐπειδὴ, ὅτε ἔδευον, ἀπὸ τοῦ Κεραμεικοῦ εἰς Ἐλευσῖνα προέπεμπον τὸν Διόνυσον. Vict.

396. ξυνοδευτήν. V.

398. [Ἴακχε : Εἴσθεσις ἑτέρου μέλους διαιρεθέντος αὖθις τοῦ χοροῦ, ἐκ κώλων ὀκτωκαίδεκα· ὧν τὰ μὲν α', β', δ', ς', ιθ', ιγ', ιε' τρίμετρα καταληκτικά· τὰ δὲ γ', η', θ', ιδ' δίμετρα ἀκατάληκτα. τὰ δὲ ε', ια', ις' καὶ τὸ τελευταῖον τρίμετρα ἀκατάληκτα. τὰ δὲ ζ' καὶ ι' ἐφθημιμερῆ. τὸ δὲ ιζ' τετράμετρον καταληκτικόν. ἐν ταῖς ἀποθέσεσι τῶν συστημάτων παράγραφος.]

μεμιγμένως λέγει τὰ μὲν πρὸς τὸν Ζαγρέα Ἴακχον, τὰ δὲ πρὸς τὸν Διόνυσον. V.

399. συνακολούθει : Τοῦτο, ἐπεὶ ὁδεύουσιν ἀπὸ τοῦ Κεραμεικοῦ εἰς Ἐλευσῖνα προπέμποντες τὸν Διόνυσον. [τὸ δὲ ἄνευ πόνου πολλὴν ὁδὸν περαίνεις, ἀντὶ τοῦ, μεθ' ἡμῶν ὢν ῥᾳδίαν πάνυ τὴν ὁδὸν ποιήσεις. ἢ ὅτι ἐν τοῖς ναοῖς διατρίβων, εἰ φανείης ἡμῖν ἐξαίφνης ἐπικαλεσαμένοις, ἐνταῦθα δείξεις τὰς ὁδοὺς ἄνευ πόνου τοῖς θεοῖς ποιεῖσθαι. πάντα γὰρ αὐτοῖς εὐπετῆ. — πάντα γὰρ εὐπετῆ φασὶ τοῖς θεοῖς. Cant. 2.]

400. τὴν Δήμητραν. V.

401. περαίνεις : Εἴρηται γὰρ ὅτι ἐξ ἄστεως μέχρι Ἐλευσῖνος πολλὴν ὁδὸν πορεύεται. V. ἀπὸ ἄστεως μέχρι Ἐλευσῖνος. R. τελεῖς, διέρχῃ. εἴρηται γὰρ ὅτι ἐξ ἄστεος εἰς Ἐλευσῖνα ἐπορεύοντο. *Vict.*

404. σὺ γὰρ κατεσχίσω : Ἴσον τῷ διὰ σὲ κατεσχίσθη. εἴρηται γὰρ ὁ αὐτὸς Ἴακχος τῷ Διονύσῳ κατά τινας. τῷ δὲ Διονύσῳ αἱ κωμῳδίαι ἀνάκεινται. ἔοικε δὲ παρεμφαίνειν ὅτι λιτῶς ἤδη ἐχορηγεῖτο τοῖς ποιηταῖς. (ἐπὶ γοῦν τοῦ Καλλίου τούτου φησὶν Ἀριστοτέλης ὅτι σύνδυο ἔδοξε χορηγεῖν τὰ Διονύσια τοῖς τραγῳδοῖς καὶ κωμῳδοῖς· ὥστε ἴσως ἦν τις καὶ περὶ τὸν Ληναϊκὸν ἀγῶνα συστολή, χρόνῳ δ' ὕστερον οὐ πολλῷ τινι καὶ καθάπαξ περιεῖλε Κινησίας τὰς χορηγίας· ἐξ οὗ καὶ Στράττις ἐν τῷ εἰς αὐτὸν δράματι ἐφῆ σκηνῆ μὲν τοῦ χοροκτόνου Κινησίου.) — ἢ οὕτως. κατηρτίσω καὶ σχιστὰ ὑποδήματα φορέσαι ἐποίησας. R.

406. καὶ τὸ ῥάκος : Ἔτι δύναται καὶ ταῦτα τὴν αὐτὴν ἔννοιαν ἔχειν. ῥάκος δὲ οἱ μὲν τὸ τριβώνιον, οἱ δὲ τὸ προσωπεῖον, ὅτι ῥάκεσι κατακολλᾶται. — ἐπὶ εὐδαιμονίᾳ πρὸς τὸ εὐτελεῖν. R. V.

407. ὅτι σύνηθες ἦν τὸ ἐπιλέγειν, ὁπότε ἐπαινοῖέν τι ἢ συνομολογοῖεν, καὶ Εὔπολις Κόλαξι. καὶ ἐν τοῖς πρόσθεν κεῖται. V. M.

408. ἀπὸ τοῦ ἄστεως μέχρι Ἐλευσῖνος. V.

410. ἀντὶ τοῦ πρὸ ὀλίγου, ἀρτίως. R.

411. συνεχόρευον γὰρ καὶ αἱ γυναῖκες. R. V.

414. [καὶ μετ' αὐτῆς : Τοῦτο πρὸς τὸ ἄνω τὸ, συμ-

παιστρίας. μετ' αὐτῆς τῆς συμπαιστρίας δηλονότι.]

415. κἄγωγε πρός : Τινὲς τοῦτο τοῦ Διονύσου φασὶ μεταξὺ παρεμβάλλοντος λέγειν.

416. [βούλεσθε δῆτα : Στροφὴ καὶ εἴσθεσις χοροῦ ἐπιρρηματικὴ ἐκ κώλων πεντεκαίδεκα ἰαμβικῶν ἑφθημιμερῶν, πλὴν τοῦ γ', ς', θ', ιθ', καὶ τελευταίου τριμέτρων ἀκαταλήκτων. ἐπὶ τῷ τέλει παράγραφος. τὸ δὲ πρὸς λαγνείαν ἐπιρρεπὲς ἀμφοτέρων σκώπτων, τοῦ τε δεσπότου καὶ τοῦ δούλου, τοῦτό φησιν. ὁ δὲ Ἀρχέδημος ὡς ξένος παρ' αὐτοῦ κωμῳδεῖται. νόμος γὰρ ἦν τοὺς ἐξ ἀλλοδαπῆς Ἀθήνησι κατοικεῖν ἐθέλοντας εἰς πολίτας, ἐνταῦθα χρόνον ὀλίγον διατρίψαντας ἐγγράφεσθαι. ὅπερ Ἀρχέδημος οὐκ ἐποίησε. δέον οὖν εἰπεῖν ὅτι οὐκ ἐπολιτογραφήθη, ὥστε τοὺς πολίτας ὥσπερ συγγενεῖς ἔχειν, οὐκ ἔφυσεν, εἶπεν. ἐξῆς δὲ ταύτης τῆς στροφῆς ἐν εἰσθέσει σύστημα κατὰ περικοπὴν ἀμοιβαῖον ἐκ κώλων ἀναλόγως τῇ στροφῇ κειμένων· ὧν τὸ τελευταῖον παραγράφῳ σημειοῦται.]

418. οὐκ ἔφυσε φράτορας : (Ἀντὶ τοῦ εἰπεῖν, οὐκ ἔφυσεν ὀδόντας, εἶπε φράτορας, ἵνα ὡς ξένον διαβάλῃ. ἡ δὲ παροιμία, ἑπτέτης ὢν ὀδόντας οὐκ ἔφυσεν. Ἄλλως.) ἀντὶ τοῦ εἰπεῖν ὀδόντας φραστῆρας, φράτορας εἶπε, τουτέστι συγγενεῖς. ἡ μεταφορὰ ἀπὸ τῶν παίδων, οἵτινες ὄντες περὶ τὰ ἑπτὰ ἔτη ἔχουσι πάντας τοὺς ὀδόντας. λέγει οὖν ὅτι χρονίσας ἐν ταῖς Ἀθήναις οὐκ ἠδυνήθη ἀναγραφῆναι εἰς τοὺς πολίτας. οὗτος ὡς ξένος κωμῳδεῖται. καὶ Εὔπολις Βάπταις « ἐπιχώριος δ' ἔστ' ἢ ξένης ἀπὸ χθονός; »

419. ἀντὶ τοῦ ἄρχει τοῦ δήμου. R. V.

420. ἐν τοῖς ἄνω νεκροῖς : Οὐχ ὡς Ἀπολλώνιος πρὸς τὴν ἐξήγησιν τὴν

εἰ μὴ νεναυμάχηκε τὴν περὶ τῶν κρεῶν,

ὅτι διὰ τὴν κακοπραγίαν νεκροὺς τοὺς Ἀθηναίους λέγουσι· ψυχρὸν γάρ· ἀλλὰ πιθανῶς οἱ κάτω τοὺς ζῶντας ἄνω νεκρούς φασιν, (ὅτι κατετρίβησαν ἐν τοῖς κακοῖς ὑπὸ τῶν στρατηγῶν). [Ἄλλως. νεκροὺς τοὺς Ἀθηναίους λέγει ἢ διότι τὸ ἀρχαῖον φρόνημα ἀποβεβλήκασιν· ἢ διότι οἱ ἐν τῷ κόσμῳ ἄνθρωποι, εἰ καὶ ζῶσιν, ἀλλὰ τοῖς τοῦ βίου ματαίοις ἐγκυλινδούμενοι, δεινότερα τῶν τεθνηκότων πάσχουσι ζῶντες κολαζόμενοι· ἢ διότι πολλοῖς κακοῖς ὑπὸ τῶν δημαγωγῶν κατατριβόμενοι ἀναισθήτως ἔχουσιν ὡς νεκροί, αὐτοὺς ἀτιμωρήτους ἐῶντες. χάριεν δὲ τὸ ὑπὸ τῶν νεκρῶν τοὺς ζῶντας καλεῖσθαι νεκρούς.] — ἵνα διαβάλῃ τοὺς Ἀθηναίους ὡς ἀσθενεῖς καὶ νεκρούς. V.

421. τῆς ἐκεῖθεν μοχθηρίας : Ἀντὶ τοῦ εἰπεῖν, δημαγωγίας, ἢ πολιτείας, μοχθηρίας εἶπεν, χαριέντως πρὸς τὰ κακὰ αὐτῶν. — τὰ πρῶτα ἔχων. R. V.

422. τὸν Κλεισθένη : Διαβάλλει τὸν Κλεισθένη ὡς φαυλόβιον, καὶ πρὸς τοῦ Σεβίνου πορνευόμενον. διὸ καὶ δεινοπαθοῦντά φησιν ἐπὶ τῇ τούτου τελευτῇ. — τὸν Κλεισθένην : Ἀντὶ τοῦ τὸν Καλλίαν. R. τὸν Καλλίαν. C. V. ὑποτίθεται υἱὸν Κλεισθένους, οὗ τὸ ὄνομα οὐκ εἶπε. καθ' ὁμοιότητα γὰρ τοῦ πατρὸς ἐν ταῖς ἐρημίαις καὶ περὶ τὰς ταφὰς καὶ τοὺς τάφους κακῶς ἔπασχεν. Ven.

423. ἐν ταῖς ταφαῖσι : (Ταφαί, ὅπου οἱ ἐν πολέμῳ ἐνδόξως τετελευτηκότες μετὰ τιμῆς ἐθάπτοντο δημοσίᾳ. Ἄλλως.) τοῖς κατὰ τὸν πόλεμον ἀποθανοῦσι δημοσίᾳ τάφους προὐτίθεσαν. τὸ οὖν τίλλειν τὰς τρίχας καὶ κόπτεσθαι ἅμα μὲν ὡς ἐπὶ τετελευτηκότι (ἀναγκαίως), ἅμα δὲ εἰς μαλακίαν καὶ τὸ κόπτεσθαι κακεμφάτως.

427. Σεβῖνον, ὅστις ἐστὶν Ἀναφλύστιος : Ὀνοματοποιεῖ τοῦτο, ὡς πρὸς τὴν μαλακίαν Κλεισθένους, (παρὰ τὸ αἰσχρόν). πιθανῶς δὲ τὸ ὅστις ἐμφαίνει οὐ τὸν ὑπὸ ἑνὸς μόνον περαινόμενον. πέπλασται δὲ αὐτῷ ὥσπερ ὁ Σεβῖνος, οὕτω καὶ ὁ Ἀναφλύστιος. ἀναφλᾶν γὰρ ἔλεγον τὸ μαλάσσειν τὸ αἰδοῖον. — καὶ ὑποσύρειν τὸ καλύπτον τὴν βάλανον δέρμα. βάλανος δέ ἐστι τὸ ἄκρον τῆς πόσθης. *Vict.* (καὶ Σεβῖνος ἴσως παρὰ τὸ βινεῖν. ἔστι δὲ καὶ Σεβῖνος ὠνομασμένος παρὰ Πλάτωνι ποιητῇ.) ἔστι δὲ καὶ δῆμος Ἀττικῆς Ἀναφλύστιος.

429. (τουτονὶ τὸν Ἱπποβίνου : Παρεγραμμάτισε διὰ τὴν ἀσέλγειαν παρὰ τὸ Ἱππονίκου εἰς πορνομανῆ. τὸ δὲ ἵππος πολλαχοῦ ἐπὶ τοῦ μεγάλου λαμβάνουσιν· ἱππόπορνε. κωμῳδεῖται δὲ καὶ ὁ Καλλίας ὡς σπαθῶν τὴν πατρικὴν οὐσίαν, καὶ μάλιστα ἐπὶ γυναιξὶ μεμηνώς. ἢ τοῦ κτηνοβάτου). — τοῦτον : Ὃν πάντες ἴσασι δηλονότι. C.

430. ἐνημμένον : Ἐνδεδυμένον. Θ. *Vict.*

431. Διόνυσος. ἄλλοι δὲ Ξανθίας. ἐρωτᾷ. R.

434. μηδὲν : Τὸ δεν παρέλκει. R. V.

435. ἐρωτήσῃς με. R.

436. τὸ ὁμοῖον καὶ ἐν Γηρυτάδῃ. V.

437. αἴροι' ἄν : Λάβοις ἄν. Θ. E. τὰ στρώματα δηλονότι. V.

439. ἀλλ' ἡ Διὸς Κόρινθος : (Παροιμία ἐπὶ τῶν τὰ αὐτὰ συνεχῶς λεγόντων.) τῶν Μεγαρέων ἀποστάντων Κορινθίων, ἀπεστάλη κῆρυξ πολλάκις λέγων ὅτι οὐκ ἀνέξεται ὑμῶν ὁ τοῦ Διὸς Κόρινθος· καὶ ἐπέμενέ τε τὸ αὐτὸ λέγων, ἕως οἱ Μεγαρεῖς σιχανθέντες ἔλεγον, παῖε παῖε τὸν Διὸς Κόρινθον, καὶ παροιμία ἐλέχθη ἐπὶ τῶν ταυτολογούντων ἀεὶ καὶ ταὐτὸ πραττόντων. ὁ δὲ Διὸς Κόρινθος, παῖς Διός, βασιλεὺς Κορίνθου. Μεγαρεῖς δὲ ὑποτελεῖς ἦσαν Κορινθίοις. — παροιμία ἐστὶν ἐπὶ τῶν τὰ αὐτὰ λεγόντων. προφέρονται δὲ παρὰ τὸν Διὸς Κόρινθον. καὶ Πίνδαρος μνημονεύει τῆς παροιμίας ἐν Νεμεονίκαις. Μεγαρεῖς ὑποτελεῖς ἦσαν τοῖς Κορινθίοις καὶ ἀπαιτούμενοι, φησὶν, ἀεὶ ὑπὸ τοῦ κήρυκος ταῦτα λέγοντος, οὐ τιμᾶτε τὸν Διὸς Κόρινθον. ὁ δὲ Διὸς Κόρινθος παῖς Διὸς βασιλέως Κορίνθου. οἱ δὲ ἀπέκτειναν αὐτὸν ἐπιφωνοῦντες παῖε παῖε τὸν Διὸς Κόρινθον. ἔνθεν ἡ παροιμία ἐπὶ τῶν τὰ αὐτὰ λεγόντων καὶ πραττόντων. Ἄλλως. Μεγαρεῖς συνῴκουν Κορινθίοις καὶ πολλὰ πάσχοντες κακῶς ὑπ' αὐτῶν ἀπέστησαν. εἶτα πρὸς αὐτοὺς ἀπελθόντες πρέσβεις ἠξίουν ἐπανελθεῖν

καὶ συνεχῶς ἔλεγον, ὁ Διὸς Κόρινθος ὑμᾶς ποθεῖ, ὁ Διὸς Κόρινθος δι' ὑμᾶς λυπεῖται, καὶ συνεχῶς τὸ ὁ Διὸς Κόρινθος ἔλεγον, ὅθεν εἰς παροιμίαν ἦλθεν ἐπὶ τῶν τὸ αὐτὸ ποιούντων. Ἄλλως. Κόρινθος παῖς ἦν τοῦ Διός, ἔκτισε δὲ τὴν Κόρινθον. καὶ ἀποθανόντα τοῦτον ἐσέβοντο οἱ Κορίνθιοι. Κερκυραῖοι δὲ ἄποικοι ὄντες Κορινθίων καὶ ὑποτελεῖς ὄντες τῇ μητροπόλει ὕστερον ἀφωσιώθησαν. καὶ οἱ Κορίνθιοι ἐπικηρυκευόμενοι πρὸς αὐτοὺς ἔλεγον, μνήσθητε τοῦ Διὸς Κορίνθου. καὶ οὕτως ἀπειρηκότες οἱ Κερκυραῖοι ἀπήλασαν τὸν κήρυκα λέγοντες παῖε παῖε τὸν Διὸς Κόρινθον. V.

440. ὁ λόγος πρὸς τὸν χορόν. R.

[χωρεῖτε νῦν : Εἴσθεσις ἑτέρου μέλους προῳδικῆ διαιρεθέντος αὖθις τοῦ χοροῦ, καὶ τοῦ μὲν τὴν προῳδὴν ἄσαντος, τοῦ δὲ τὴν ἀντιστροφήν. καὶ εἰσὶ τῆς μὲν προῳδῆς τὰ κῶλα ὀκτώ. τὸ πρῶτον Ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον καταληκτικὸν, τοῦ δευτέρου ποδὸς ἐξασυλλάβου. τὰ β', δ' καὶ τελευταῖον παιωνικὰ δίμετρα καταληκτικὰ ἐκ παίωνος πρώτου, ἢ τετάρτου, καὶ βακχείου, ἢ ἀμφιβράχεος. τὸ τρίτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ πέμπτον καὶ ἕβδομον ἐπιχοριαμβικὰ δίμετρα ἀκατάληκτα ἐκ διιάμβου, ἢ ἐπιτρίτου τρίτου, καὶ χοριάμβου. τὸ ἕκτον τροχαϊκὸν ἰθυφαλλικόν. τῆς δὲ στροφῆς τὰ κῶλα ἓξ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. ὧν τὰ πρῶτα ἰαμβικὰ δίμετρα ἀκατάληκτα. τὰ δεύτερα καταληκτικὰ ἤτοι ἐφθημιμερῆ. τὸ μέντοι τῆς ἀντιστροφῆς τρίβραχυν ἔχει τὸν δεύτερον πόδα· ἔνθα καὶ ἀντὶ τοῦ ἱλαρὸν, ἱερὸν γράφεται. τὰ τρίτα Ἰωνικὰ ἀπὸ μείζονος δίμετρα καταληκτικὰ ἐκ παίωνος δευτέρου καὶ κρητικοῦ ἤτοι ἀμφιμάκρου. τὰ πέμπτα καὶ τὰ ἕκτα ὁμοίως. τὰ μέντοι τῆς ἀντιστροφῆς ἀντ' Ἰωνικῶν ἔχει παίωνας δευτέρους. τὰ τελευταῖα Ἰωνικὰ ἡμιόλια ἤτοι δίμετρα βραχυκατάληκτα. ἐπὶ τῷ τέλει τῆς μὲν προῳδοῦ καὶ τῆς στροφῆς παράγραφος, τῆς δὲ ἀντιστροφῆς κορωνίς.]

(χωρεῖτε : Δύνανται πάντες οἱ κατὰ τὸν χορὸν ἀλλήλοις παρακελεύεσθαι, καὶ μὴ εἰς ἀμοιβαῖα διαιρεῖσθαι. ἀλλὰ τοῦτο εἰς οὐδὲν φαίνοιτο ἂν οἰκονομούμενος.)

441. ἤτοι Κόρης ἢ Δήμητρος. R.

443. οἷς μέτεστιν, οἷς ὅσιον. R.

445. τῇ Δήμητρι καὶ τῇ Κόρῃ τὸ φέγγος οἴσων. R. V. Θ. M.

448. πολυρρόθους : Πολυήχους. *Bar.*

450. τὸν ἡμέτερον : Ἀντὶ τοῦ κατὰ τὸν ἡμέτερον τρόπον καὶ ὡς ἔθος ἔχομεν παίζοντες.

453. Μοῖραι οἱ θεσμοί. R. M.

456. ὅσοι μεμυήμεθ' : Ἀντὶ τοῦ ἐμυσταγωγήθημεν. μυστήρια δὲ ἐκλήθη παρὰ τὸ τοὺς ἀκούοντας μύειν τὸ στόμα, [καὶ μηδενὶ ταῦτα ἐξηγεῖσθαι. μύειν δέ ἐστι τὸ κλείειν τὸ στόμα]. — τοῖς μυσταῖς. R. V.

459. καὶ τοὺς ἰδιώτας : Ἀντὶ τοῦ, τοὺς ἰδίους, τοὺς πολίτας. ἀντέστραπται δὲ τοῦτο τὸ ἴδιον ἀντὶ τοῦ ἰδιωτικοῦ, καὶ οὕτω πολλάκις εἴρηται. σημειωτέον δὲ ὅτι καὶ ἰδιώτης λέγεται ὁ πρὸς γένος ἴδιος καὶ ὁ ἀμαθής. — ἀντὶ τοῦ ἰδίους. ἐν παραγωγῇ ἴδιος ἰδιώτης. V. καὶ ἰδιώτας : Τὸ ἰδιωτικὸν κατὰ τοὺς παλαιοὺς τέσσαρα σημαινόμενα ἔχει. σημαίνει γὰρ τοὺς ἰδίους ἢ συγγενεῖς ἢ πολίτας, ὡς ἐνταῦθα. σημαίνει καὶ τὸν ἀμαθῆ. ἐλέγοντο καὶ ἰδιωτικὰ τὰ ἀντιδιαστελλόμενα πρὸς τὰ θεῖα, ἤτοι τὰ ἀνθρώπινα, ὡς ὅταν φῶμεν θεῖα χρήματα καὶ ἰδιωτικά. καὶ τέταρτον τὸ ἀντιδιαστελλόμενον πρὸς τὸ δημοτικόν. Vict.

460. [ἄγε δὴ : Κορωνὶς εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι οὗ. ὧν τελευταῖος

ἐμοῦ δεηθείης ἄν, εἰ θεὸς θέλει.

ἐπὶ τῷ τέλει κορωνίς.]

ἐπαναλῆψις τὸ τίνα. R. V.

461 ὡς ἐπὶ ξένων. R.

462. ἀντὶ τοῦ ἅψαι. V. ἅψαι. Ἀττικῶς. Θ.

463. τὸ φρόνημα. R. V. Θ.

465. εἷς τῶν ἐν Ἅιδου λέγει. τινὲς δὲ τὸν Αἰακὸν λέγουσιν ἀποκρίνασθαι· ὅπερ ἀπίθανον. V.

467. παραπλήσιά ἐστι τούτοις τὰ ἐν τῷ Θησεῖ πεποιημένα παρ' Εὐριπίδῃ. ἐκεῖ γὰρ τοιοῦτος ἦν σπουδάζων καὶ τοιαῦτα λέγει πρὸς τὸν Μίνωα. διστάσαι δὲ ἄν τις μὴ καὶ ταῦτα μιμεῖται Ἀριστοφάνης. προείρηται ὅτι πολὺς ἐν τούτῳ τῷ γένει ἐστὶν Ἀριστοφάνης. V.

468. ἀντὶ τοῦ ἀπέδρασας. R. V.

469. ἀλλὰ νῦν ἔχει μέσος : Ἀντὶ τοῦ, μέσον ἐλήφθης. τοῦτο δὲ ἐκ μεταφορᾶς τῶν ἀθλητῶν. τὸ ἔχει δὲ, οὕτως Ἀττικοὶ, ἀντὶ τοῦ ἔχῃ· ἀπὸ τοῦ ἔχομαι δευτέρου προσώπου.

470. μελανοκάρδιος : Διὰ τὸ τῆς λέξεως φοβερὸν εἶπε μελανοκάρδιος πέτρα. οὐ γὰρ ἔχει καρδίαν ἡ πέτρα. [ἐκ μεταφορᾶς τῶν ἀγρίων ἀνθρώπων, οὓς διὰ τὴν ἐνοῦσαν αὐτοῖς ἀγριότητα μελανοκαρδίους φασί.] — ἐκ Θησέως Εὐριπίδου. Θ. (καὶ τὰ μὲν ἑαυτῷ πλάττων λέγει, τὰ δὲ ἐξ Εὐριπίδου, πρὸς φόβον Διονύσου.)

472. περίδρομοι : Οἷον πανταχοῦ δυνάμενοι περιστρέφεσθαι· λέγει δὲ τὰς Ἐρινύας.

473. (Ἐχιδνά θ' ἑκατοντακέφαλος : Ὁ τόπος οὗτος παρὰ τὰ ἐν Θησεῖ Εὐριπίδου

κάρα τε γάρ σου συγχέω κόμαις ὁμοῦ,
ῥανῶ τε πεδόσ' ἐγκέφαλον, ὀμμάτων δ' ἄπο
αἱμοσταγεῖς πρηστῆρες ὕσονται κάτω.)

474. πνευμόνων : Ἀττικοὶ τὸν πνεύμονα πλεύμονα λέγουσιν, ὡς καὶ τὸ νίτρον λίτρον. R. V. Cant. 2.

475. Ταρτησία μύραινα : Μύραινα, δαίμων φοβερά· παρὰ τὸ μύρεσθαι. παρὰ τὰ ἐν τῷ Θησεῖ Εὐριπίδου. Ταρτησίαν δὲ εἶπε μύραιναν πρὸς τὸ ἐκπληκτικώτερον, διὰ τὸ ἐκτετοπισμένον. λέγουσι δὲ Ταρτησίαν γαλῆν, ἀντὶ τοῦ μεγάλην. ἡ δὲ Τάρτησος Ἰβηρικὴ πόλις περὶ τὴν Ἄορνον λίμνην. μύραινα δὲ ἰχθὺς θαλάσσιος. ἀντὶ δὲ τοῦ εἰπεῖν ἔχιδναν, μύραιναν εἶπε. (τὸ γὰρ Στυγὸς ἐπὶ πλησίον εἶπε τούτοις. ἔστι δὲ ταῦτα ἐν Θησεῖ πεποιημένα Εὐριπίδῃ· ἐκεῖ γὰρ τοιοῦτός ἐστι σπουδάζων ὁ Εὐριπίδης οἷος ἐνταῦθα παίζων.)

477. Γοργόνες Τιθράσιαι : Ἀπὸ δήμου τῆς Ἀττικῆς πονηροῦ. οὐκ εἰκῆ δὲ τοῦτο εἶπεν, ἀλλ' ἐοίκασι τὸν δῆμον τοῦτον διαβάλλειν ὡς κακοπράγμονα. εἰσὶ δὲ οὗτοι ἀπὸ Τίθραντος τοῦ Πανδίονος παιδὸς ἐπώνυμοι. εἰς δὲ τὴν Αἰγηΐδα φυλὴν κατανενέμηνται. (Ἄλλως. Τιθράσιος, τόπος τῆς Λιβύης, ἔνθα αἱ Γοργόνες διέτριβον). — διασπαράξωσι. τόπος τῆς Λιβύης. R.

478. ἀντὶ τοῦ νικήσω.

479. οὗτος, τί δέδρακας : Ἰδὼν ὁ Ξανθίας διὰ τὸν φόβον ἀποπατήσαντα τὸν Διόνυσον, φησὶν, οὗτος, τί δέδρακας; τὸ δὲ κάλει θεὸν τινὲς οὕτως ἀποδεδώκασιν. ἐν τοῖς Ληναϊκοῖς ἀγῶσι τοῦ Διονύσου ὁ δᾳδοῦχος κατέχων λαμπάδα, λέγει, καλεῖτε θεόν. καὶ οἱ ὑπακούοντες βοῶσι, « Σεμελῆϊ' Ἴακχε πλουτοδότα. » ἢ πρὸς τὸ ἐν ταῖς θυσίαις ἐπιλεγόμενον. ἐπειδὰν γὰρ σπονδοποιήσωνται, ἐπιλέγουσιν, ἐκκέχυται, κάλει θεόν· πρὸς ὃ ἐξείλεκται εἰς τοῦτο. Ἄλλως. κάλει θεόν : Πρὸς βοήθειαν κάλει θεόν. οὐ γὰρ Διόνυσος θεὸς ἦν, ὅτι εἶπεν αὐτῷ, κάλει θεόν. τοῦτο δὲ ὡς ἐν κωμῳδίᾳ πέπλασται. [Ἄλλως. εἰώθασιν οἱ μεγάλοις κακοῖς περιπίπτοντες θεὸν ἐπικαλεῖσθαι πρὸς ἀρωγὴν θυσίας τινὸς ὑποσχέσει. δείκνυσι δὲ ἐντεῦθεν ὡς ὁ Διόνυσος οὐκ ἔστι θεὸς, ὡς ἐν κωμῳδίᾳ παίζων. τὸ δὲ ἐγκέχοδα ἀπὸ τοῦ χέζω μέσος παρακείμενος.]

481. ἀλλ' ὡρακιῶ : Ἀντὶ τοῦ ὠχριῶ, φροντίζω. ὥρα γὰρ ἡ φροντίς. ἐκ δὲ φροντίδος ἐκλύεταί τις. (ὡρακιᾶσαι δὲ λέγεται τὸ ὑπὸ φόβου ὠχριᾶσαι· [ἀπὸ τοῦ τὴν ὥραν αἰκίζειν. τοῦτο δὲ Σοφοκλῆς εἶπεν ἐν Ἀμφιαράῳ σατυρικῷ. τὸ ὠχριᾶσαι] θλιβομένης τῆς καρδίας. τοῦτο δὲ πολλοῖς γίνεται.)

483. ποῦστιν : Ὁ Διόνυσος φοβούμενος λέγει, ποῦ ἐστιν ἡ καρδία μου; — ποῦ 'στιν ἡ καρδία σου; ὦ χρυσοῖ θεοί, ἐνταῦθ' ἔχεις τὴν καρδίαν, ἔνθα μου τὴν χεῖρα προσήγαγες; C.

484. ἐνταῦθ' ἔχεις τὴν καρδίαν : [Ἔνθα μου τὴν χεῖρα προσήγαγες· ἤγουν περὶ τὸν πρωκτόν.] λαμβάνει ὁ Διόνυσος τὴν χεῖρα τοῦ Ξανθίου, καὶ προστίθησιν εἰς τὸν πρωκτόν. ὁ δὲ τίθησι τὸν σπόγγον εἰς τὸ αἰδοῖον αὐτοῦ γέλωτος χάριν.

487. πῶς δειλὸς : (Δειλός εἰμι ἐγὼ, ὅτι ἤτησά σε σπογγίαν;) τοῦτο δὲ ὡς θαυμάζων ἑαυτὸν ὁ Διόνυσος λέγει, ὅτι οὐκ ἂν ἄλλος ἤτησέ σε, ὦ Ξανθία, σπόγγον, ἀλλ' ἐσιώπησεν ἄν. (τοῦ γὰρ δειλοῦ τὸ οἰκεῖον σιωπᾶν, οὐ τὸ λαλεῖν.) [τὸ δὲ ἐγώ ἢ μόνον κατ' ἐρώτησιν, ἢ καθ' ὁμαλισμὸν μέχρι τοῦ δειλός.]

489. (ὀσφραινόμενος : Οἱ τῷ φόβῳ ἐκλυόμενοι ὀσφρήσει τὸν πόνον παύουσιν. ὁ δὲ πόνος αὐτοῖς ἐκ καρδίας γίνεται.)

490. ἀπεψησάμην : [Κατεμαξάμην.] (ἀποψᾶν λέγουσι τὸ ἐκμάσσειν. καὶ ἐν Πλούτῳ [818] « ἀποψώμεσθα δ' οὐ λίθος ἔτι. ») — ψῶ σημαίνει πέντε. τὸ λεπτύνω, ἐξ οὗ καὶ ψιλὸν στρατιώτην λέγομεν τὸν ἄοπλον καὶ γυμνόν. τὸ ψαύω καὶ προσεγγίζω, ἐξ οὗ καὶ ψώρα καὶ τὸ ἀπεψησάμην. τὸ τέμνω, ἐξ οὗ καὶ ψωμὸς ὁ εἰς μικρὰ τεμνόμενος. τὸ συντρίβω, ἐξ οὗ καὶ ψώχοντες τοὺς στάχυας ἀντὶ τοῦ ταῖς χερσὶ συντρίβοντες. καὶ ψῶ τὸ καίω, ἐξ οὗ καὶ ψωλὸς ὁ κεκαυμένος καὶ ψωλόεις εἶδος κεραυνοῦ. Θ.

494. ἴθι νῦν : Τὸ ἴθι ἀντὶ τοῦ ἄγε. (συνομωνυμεῖ γὰρ τὸ δεῦρο, ὃ σημαίνει καὶ τὸ ἄγε.)

λημματίᾳς : Λῆμά ἐστι τὸ φρόνημα. λημματίᾳς οὖν, μέγα φρονεῖς. (γράφεται καὶ ληματίας, χωρὶς τοῦ ι· οἷον μεγαλόφρων καὶ ἰσχυρός.)

496. [ἀφοβόσπλαγχνος : Ἄφοβος. ἐπειδήπερ ὁ φόβος, ὥς φασιν, ἐν τοῖς σπλάγχνοις ἐστίν. ἢ ὅτι ἡ καρδία ἐν τοῖς σπλάγχνοις, περὶ ἣν ὁ φόβος γίνεται.]

497. (ἀνὰ μέρος) ἐν ἴσῃ μερίδι. R. V.

498. φέρε δὴ ταχέως : Οὐδαμῶς, φησὶν, ὀφείλεις λέγειν, ἀλλὰ καὶ διδόναι, ἵνα σοι πιστεύσω, ὅτι ἀληθῶς ἐπαγγέλλῃ μοι αὐτὰ διδόναι.

499. εἰς τὸν Ἡρακλειοξανθίαν : Αὐτὸς Ξανθίας ἐκαλεῖτο. παραπλήσια δὲ ὅπλα τοῖς Ἡρακλέους εἶχε. συμμιγνὺς οὖν τὰ δύο [ὁμοῦ] εἶπεν Ἡρακλειοξανθίαν.

501. δὺκ Μελίτης μαστιγίας : Ἀντὶ τοῦ, ὁ ἐκ Μελίτης τῆς Ἡρακλῆς. ἐν γὰρ Μελίτῃ δήμῳ τῆς Ἀττικῆς ἐμυήθη Ἡρακλῆς τὰ μικρὰ μυστήρια. ἔστι δὲ ἐκεῖ καὶ ἱερὸν Ἡρακλέους. ἐκλήθη δὲ ἀπὸ Μελίτης νύμφης, (ἣ ἐμίγη ὁ Ἡρακλῆς). μαστιγίαν δὲ ὡς πρὸς δοῦλον. (παρὰ δὲ τὴν ὑπόνοιαν σκώπτει, ἐπειδὴ ἐν Μελίτῃ ἐστὶν ἐπιφανέστατον ἱερὸν Ἡρακλέους ἀλεξικάκου, ὃ δὲ Ξανθίας ἀντιμετείληφε τὴν τοῦ Ἡρακλέους σκευήν. τὸ δὲ τοῦ Ἡρακλέους ἄγαλμα ἔργον Γελάδου τοῦ Ἀργείου, τοῦ διδασκάλου Φειδίου. ἡ δὲ ἵδρυσις ἐγένετο κατὰ τὸν μέγαν λοιμόν· ὅθεν καὶ ἐπαύσατο ἡ νόσος, πολλῶν ἀνθρώπων ἀπολλυμένων. Ἀπολλώνιος δὲ οὐ κακῶς ὑπονενοῆσθαί φησι τὸ κωμῳδεῖσθαί τινα. ἴσως δὲ ὅτι ἦρχε, διὰ τοῦτο οὐκ ὠνομάσθη. ἢ ὀλίγον πρότερον [429] εἰρῆσθαι. Καλλίας γὰρ ὁ Ἱππονίκου ἐν Μελίτῃ ᾤκει. παρεικάζει δὲ αὐτὸν ἅμα τῷ Ἡρακλεῖ, ἅμα χλευάζων διὰ τὸ λεοντῆ ἐν ταῖς μαχαῖς χρῆσθαι, ὡς ἐν τοῖς ὀπίσω

κύσθου λεοντῆν ναυμαχεῖν ἐνημμένον.

ἐπεὶ εἴ γε ὄντως ἐπὶ τὸν Ἡρακλέα ἀνέφερε, τί μᾶλλον εἶπε τὸ ἐκ Μελίτης, καὶ μὴ ἐξ ἄλλου δήμου; παντα-χοῦ γὰρ Ἡράκλεια ἐπιφανῆ. σύνηθές τε οὐχ οὕτω λέγειν ἐπὶ θεῶν, οὐκ Μελίτης, ἀλλ' ὁ ἐν Μελίτῃ, ὡς καὶ Ζεὺς ὁ ἐν Ὀλυμπίᾳ· ἐπὶ δὲ ἀνθρώπων, ἐκ Μελίτης, ἐξ Οἴου, ἐκ Κοθωκιδῶν. πῶς δὲ καὶ παλαιότερον εἶναι Ἀριστοφάνους τὸ ἄγαλμα, εἰ ἀκμάζοντος τοῦ λοιμοῦ ἱδρύθη; σχεδὸν γὰρ μειρακίσκος ἤδη ἥπτετο τῶν ἀγώνων.)

503. θεράπαινα Περσεφόνης (Ἅδου R.) λέγει ταῦτα πρὸς τὸν Ξανθίαν ἔχοντα τὴν λεοντῆν. R. V. Θ. θεράπων, ὡς δέ τινες φασὶν, δούλη (οἱ δέ φασιν δούλην G.) Περσεφόνης. V.

504. ἡ Κόρη δηλονότι. R.

505. κατερικτῶν χύτρας : Τῶν κατακεκομμένων ὀσπρίων, ἢ τῶν κυάμων τῶν σχιζομένων. (λέγει δὲ τὰ

σχιζόμενα ὄσπρια, τοὺς κυάμους),[τὰ ἐρεικόμενα. καὶ τὴν ἐρίγμην δὲ ἐντεῦθεν ἐτυμολογοῦσί τινες.]

506. ἔτνος ἐστὶν ἀθάρα μετὰ γάλακτος. R. [ἔτνους : Ὁ νῦν φάβα οἱ ἰδιῶται καὶ οἱ ἄγροικοι, τὸ διαλελυμένον ὑπὸ τῆς ἑψήσεως καὶ τῆς τορύνης. τορύνη δὲ, ὁ χυτρόπους. Ἄλλως. πρῶτον εἰπὼν καθολικῶς κατεριπτῶν, ἤτοι κατεσχισμένων ὀσπρίων, ἐπειδὴ οὐδὲν ἄλλο τῶν ὀσπρίων σχίζομεν ἀλλ' ἢ τοὺς κυάμους, ὅταν ἔτνος ποιῆσαι θέλωμεν, ἐπήγαγε τὸ ἔτνους. ἔχαιρε γὰρ τούτῳ πάνυ ὁ Ἡρακλῆς. ἢ τὸ ἔτνους ἑρμηνεία τοῦ κατεριπτῶν.]

507. κολλάβους : Λέγει τοὺς ἄρτους, τοὺς ἐοικότας τὴν πλάσιν τοῖς κολλάβοις τῆς κιθάρας. οἱ δὲ εἶδος πλακοῦντος τετραγώνου, ἢ ἄρτου μικροῦ, παρὰ τὸ ἐκ μεγάλων κολλυβίζεσθαι. [Ἄλλως. ἄρτοι νέοι ἐκ πυρῶν. καὶ οἱ λάσταυροι ὑπὸ Σικυωνίων λέγονται. καὶ ἡ νευρὰ τοῦ ὀργάνου.] — τὰ γὰρ ὀπτὰ καλὰ τὰ ἐξ ἀνθράκων ὀπτώμενα. V. Θ. τοὺς λεγομένους κόλλικας. φασὶ δὲ κολλάβους καὶ τὰ τῆς μουσικῆς ἰδιωτικῶς λεγόμενα καβάλια. Θ.

508. ἐπαινῶ : Οὐ βούλομαι εἰσελθεῖν. *Vict.*

511. ἔφρυγε : Ἐτηγάνιζε. *Vict.* (κῷνον) ἀντὶ τοῦ καὶ οἶνον. R.

512. πάνυ καλῶς : (Παραιτούμενοι οἱ παλαιοὶ ἔλεγον, κάλλιστ' ἐπαινῶ, καὶ, ἐπήνουν. νῦν οὖν παραιτούμενος εἰσιέναι φησὶν ὁ θεράπων,) ἀντὶ τοῦ ἔασον.

ληρεῖς ἔχων : Τοῦτο λέγει κρατῶν αὐτὸν ὁ Διόνυσος, καὶ μὴ συγχωρῶν αὐτὸν εἰσελθεῖν ἅμα τῇ θεραπαίνῃ τῆς Περσεφόνης. περιττὸν δὲ τὸ ἔχων.

513. [καὶ γὰρ αὐλητρὶς : Αὕτη ἡ κατασκευὴ πρὸς τὸ, ἀλλ' εἴσιθ' ἅμ' ἐμοί.]

514. τὸ τέλειον ἥδε. V.

515. εἰσάγεται καταφερὴς Διόνυσος. V.

[516]. ἠβυλλιῶσαι : (Ἠβῶσαι καὶ αἰσχρῶς τίλλουσαι τὸ αἰδοῖον. ἢ) ἀντὶ τοῦ ἀκμάζουσαι τὴν ἡλικίαν.

[ἄρτι παρατετιλμέναι : Ἐκ τούτου δείκνυται ὅτι παρέτιλλον, καὶ οἱονεὶ ἐξέδερον ἢ ἔτυπτον τὸ γυναικεῖον αἰδοῖον. οὕτως γὰρ πάλαι ἐψίλουν. καὶ δορίαλος τὸ γυναικεῖον αἰδοῖον, ὡς παρὰ τῷ αὐτῷ ποιητῇ [fr. 336] αἱ γυναῖκες τὸν δορίαλον φράγνυνται. » τίλλουσι δὲ τὰς τρίχας αἱ νεόνυμφοι. ἢ ἑσπασμέναι τὰς ἐπανθούσας τῷ προσώπῳ τρίχας, καὶ τὰς τῶν ὀφρύων. κρεῖττον γάρ ἐστι τοῦτο τοῦ ξυρεῖν.] — παρατετιλμέναι : λείπει τὰς τρίχας. R. αἱ γὰρ μελλόνυμφοι τίλλουσι τὰς τρίχας. R. V. Θ.

517. [τεμάχη : Τὰ κόμματα τῶν ἰχθύων.]

518. [ἀφαιρεῖν : Ἀντὶ τοῦ κόπτειν, ἢ διαιρεῖν ἐκ τῶν ὀβελίσκων, ἢ κλέπτειν.

ἐσήρετο : Νῦν ἀντὶ τοῦ εἰσεφέρετο.]

520. αὐτὸς : Ἀντὶ τοῦ ὁ δεσπότης.

521. τῷ Διονύσῳ φησί. R. ὁ Ξανθίας πρὸς τὸν Διόνυσον. μετεστόλισται γὰρ ὁ Διόνυσος εὐλαβηθεὶς καὶ περιβέβληται τὴν τοῦ Ξανθίου στολήν. V.

522. ἐπίσχες : Κρατεῖ τὸν Ξανθίαν ὁ Διόνυσος. [τὸ δὲ οὔτι που, ἢ ἀντὶ τοῦ ἆρα· ἢ πρὸς τὸ οὔτι που στικτέον. τὸ δὲ λοιπὸν κατ' ἐρώτησιν λέγε. οὔτι που, ἦγουν οὐδαμῶς σπουδὴν ποιεῖς· ἦγουν ἀληθὲς τοῦτο ἐνόμισας, ὅτι σε παίζων Ἡρακλέα ἐσκεύασα;] ἆρα, φησὶ, νομίζεις σεαυτὸν Ἡρακλέα εἶναι, ἐπεὶ ἐποίησα παίζων (σχῆμά σε παραπλήσιον ἔχειν τοῦ Ἡρακλέους, διὰ τὴν λεοντῆν καὶ τὸ ῥόπαλον;)

526. οὐ δήπου μ' ἀφελέσθαι διανοεῖ : Ἀντὶ τοῦ ὄντως διανοῇ, ὥστε ἀφελέσθαι με τὰ ὅπλα. ἡ γὰρ οὐ ἄρνησις συγκατάθεσιν δηλοῖ.

527. οὐ τάχ' ἀλλ' ἤδη ποῶ : Οὐδ' ὅλως, φησὶ, διανοοῦμαι, ἀλλ' ἤδη αὐτὰ ἀφαιροῦμαι· οἷον, οὐ διστάζω. — ἐπεὶ εἶπε σπουδάσεις, λέγει οὐ σπουδάσω λόγοις ἀλλ' ἔργῳ. V.

528. τὴν λεοντῆν. V.

529. ἀνατίθημι. R.V.

530. τὸ προσδοκῆσαι σεαυτὸν Ἡρακλέα εἶναι. V.

534. ταῦτα μὲν πρὸς ἀνδρός ἐστιν : [Εἴσθεσις μέλους χοροῦ προῳδικὴ στροφῆς λόγον ἔχουσα, (ἔχει γὰρ καὶ ἀντίστροφον, τὸ, νῦν σὸν ἔργον ἐστίν) ἐκ κώλων τροχαϊκῶν ι', ὧν τὰ γ', ς', θ', δίμετρα καταληκτικὰ, ἤτοι ἐφθημιμερῆ Εὐριπίδεια, τὰ δὲ λοιπὰ ἀκατάληκτα· πλὴν τοῦ τελευταίου τετραμέτρου ὄντος καταληκτικοῦ. ἑξῆς δὲ σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς, ἀναλόγως τῇ στροφῇ τῇ τε ποσότητι καὶ ποιότητι τῶν κώλων. ἐπὶ τῷ τέλει ἑκατέρου παράγραφος καὶ ἔσω νενευκυῖα διπλῆ διὰ τὴν ἀνταπόδοσιν.] ταῦτα λέγει ὁ χορὸς διὰ τὸν Διόνυσον· ἐπειδὴ οὗτος, ὅτε ἐφοβήθη διὰ τὰς τοῦ διακόνου ἀπειλὰς, τὸν Ξανθίαν ἐποίησεν ὡς δεσπότην, ἑαυτὸν δὲ δοῦλον. ὅτε δὲ ὁ θεράπων τοῦ Ἅδου ἀπήγγειλε τῷ Ξανθίᾳ, ὅτι ἡ κόρη (δεῖπνον καὶ) ὄψα ἐποίησε, δεσπότην πάλιν ἑαυτὸν ποιεῖ, τὸν δὲ Ξανθίαν δοῦλον. ἀποδέχεται δὲ τὸν Διόνυσον ὁ χορὸς ὡς μὴ μένοντα ἐπὶ τοῖς αὐτοῖς.

535. ἀντὶ τοῦ εἰς πάντα τετριμμένος. R.

536. (μετακυλίνδειν : Ὅμοιον τῷ ἐν Ἀλκμήνῃ Εὐριπίδου

οὐ γάρ ποτ' εἴων Σθένελον ἐς τὸν εὐτυχῆ
χωροῦντα τοῖχον τῆς δίκης ἀποστερεῖν.)

[παροιμία δέ ἐστι, πρὸς τὸν εὖ πράττοντα τοῖχον ῥέπειν, ἐπὶ τῶν περὶ τὸ λυσιτελοῦν αὐτοῖς ἀεὶ στρεφομένων. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν ἐπιβατῶν τῆς νεὼς, ὅταν θατέρου μέρους αὐτοῖς κατακλυζομένου, πρὸς τὸ ἕτερον οὗτοι μεθίστανται.] — τὴν μεταφορὰν εἶπεν ὡς ἐπὶ τοῦ ἐπιβάτου· ὅταν γὰρ ταραχθῇ ἡ θάλασσα καὶ κινδυνεύῃ τὸ πλοῖον, ὁ ἐπιβάτης σωφρονῶν τὸν μὲν ἕτερον τοῖχον ἐᾷ, εἰς δὲ τὸν ἕτερον μετακυλίνδει ἑαυτόν. V.

537. τὸ καλῶς πρᾶττον μέρος. R.

538. ἢ γεγραμμένην : Ἀντὶ τοῦ, μηδὲν ἀνύοντα· ὅτι ἀκίνητον τὸ ἐπιγεγραμμένον τῇ εἰκόνι.

539. μεταστρέφειν : Μεταστρέφεσθαι. *C.*

τὸ ἡδύτερον καὶ εὖ ἔχον. V.

541. Θηραμένης : Οὗτος τῶν τὰ πολιτικὰ πραττόντων. σκώπτει δὲ αὐτὸν ὡς εὐμετάβολον ὄντα καὶ πρὸς τὸν καιρὸν ἁρμόζοντα. οὗτος δὲ γέγονεν ὁ Θηραμένης διδάσκαλος Ἰσοκράτους, (στρατηγὸς δὲ καὶ ὑποκριτὴς εὐμετάβλητος, Ἄγνωνος παῖς, Στειριεὺς τῶν δήμων. τούτῳ πολλὰ μὲν καὶ ἄλλα παρανενόμηται, δύο δὲ τὰ μέγιστα καὶ σχετλιώτατα, ἥ τε τῶν ἐν Ἀργεννούσῃ στρατηγῶν ἀπαγωγὴ, ἣν αὐτὸς συνεστήσατο μετὰ Καλλιξένου, καὶ ἡ τῶν λ' ἐπὶ καταλύσει τοῦ δήμου κατάστασις. τοιγάρτοι τῆς τοῦ βίου προαιρέσεως ἐπαξίας τῆς τελευτῆς ἔτυχεν· ὑπὸ γὰρ αὐτῶν τῶν λ' ἀνῃρέθη, Κριτίου κρίναντος αὐτόν. ἔνιοι δέ φασι καὶ καταφυγόντα αὐτὸν ἐπὶ τὴν ἑστίαν ἀποσπασθῆναι. τοῦτον διὰ τὴν ποικιλίαν τοῦ ἤθους Κόθορνον ἐκάλουν, ἐπειδὴ ἑκατέρᾳ στάσει τῇ τῶν πολιτευομένων ἑαυτὸν παρετίθει, καθομιλῶν τοῖς καιροῖς καὶ τὸ συμφέρον ἑαυτοῦ τοῦ πιστοῦ προτάσσων, ἐπειδὴ καὶ ὁ κόθορνος ἀνδράσι καὶ γυναιξὶ πρὸς τὰς ὑποδέσεις ἁρμόττει. δοκεῖ δὲ οὗτος καὶ τὰ τρία ψηφίσασθαι ἐπιζήμια, ἢ δεσμεύεσθαι ἐν τῷ ξύλῳ, ἢ πιεῖν κώνειον, ἢ ἐκφυγεῖν. δοκεῖ δὲ ἀπὸ Κέω τῆς νήσου εἶναι, οὐκ εἶναι δὲ γνήσιος, ἀλλὰ ποιητὸς υἱὸς τοῦ Ἄγνωνος. ὁ Θουκυδίδης δὲ [8, 68] αὐτὸν ἐπαινεῖ.) [Ἄλλως. ὁ Θηραμένης οὗτος ἀνὴρ πανοῦργος ἦν, καὶ πρὸς τοὺς καιροὺς μεταβαλλόμενος. Χῖοι γὰρ καὶ Κῖοι πόλεμον εἶχον πρὸς ἀλλήλους. ὅτε οὖν παρὰ Χίοις ἦν, Χῖόν ἑαυτὸν ἐκάλει· ὅτε δὲ παρὰ Κίοις, Κῖον· τῇ δὲ ἀληθείᾳ Χῖος ἦν.]

542. ἐν στρώμασι Μιλησίοις : Ἐκεῖ γὰρ ἐν Μιλήτῳ καλὴ ἡ τῶν στρωμάτων ἐργασία. (καὶ τὰ Μιλήσια στρώματα ποικίλα καὶ ἁπαλὰ γίνεται καὶ διάφορα.) [εἰς τρυφὴν δὲ οἱ Μιλήσιοι διαβάλλονται, καὶ εἰς τὸ στολῆς πολυτελές· ἐσθῆτές τ' ἐνταῦθα κατεσκευάζοντο ποικίλαι καὶ τάπητες· ὡς καὶ Θεόκριτος [15, 125]

πορφύρεοι δὲ τάπητες ἄνω μαλακώτεροι ὕπνου,
ἃ Μίλατος ἐρεῖ χὠ τὰν Σαμίαν καταβόσκων.]

ἀμίδα δὲ, τὴν οὐρητρίδα, τὸ οὐρηρὸν ἀγγεῖον.

543. ἀνατετραμμένος : Ἀνακείμενος καὶ φιλῶν ὀρχηστρίδα. R.V. ἄνω χάσκων. V. ἀνακεκλιμένος καὶ ἐξηπλωμένος. κινῶν : Συνουσιάζων. *E.*

544. ἐγὼ δὲ πρὸς τοῦτον : Ὁρῶν γὰρ ὁ Διόνυσος συνιόντα τῇ ὀρχηστρίδι τὸν Ξανθίαν, καὶ ὥσπερ ἐρεθιζόμενος τοῦ αἰδοίου ἐδραττόμην (φησὶν) ἀντὶ τοῦ ἐμαυτοῦ, ὁ δὲ Ξανθίας γνοὺς ἅτε καὶ αὐτὸς πρότερος τὰ αὐτὰ ποιῶν ἐπάταξεν ἄν με.

545. τοῦ ῥεβίνθου : Τοῦ αἰδοίου. τὸ δὲ ὅλον, ὡς ταῦτα τοῦ Ξανθίου ποιοῦντος, ἐπειδὰν διακονῇ τῷ Διονύσῳ, καὶ διὰ τοῦτο ἐπιγνόντος ἂν αὐτὰ, εἰ ἀνὰ μέρος ἐποίει ὁ Διόνυσος. — ἢ κυρίως ἐρεβίνθου· εἰώθασι γὰρ οἱ δοῦλοι ἐν τοῖς τῶν δεσποτῶν πότοις εἰς παραμυθίαν ἑαυτῶν τοιαῦτα περιφέρειν. V.

548. τοὺς χοροὺς τοὺς προσθίους : Ἀντὶ τοῦ εἰπεῖν ὀδόντας, εἶπεν χορούς. Διόνυσος γάρ ἐστιν ὁ τῶν χορῶν προστάτης. τὸ δὲ ὅλον παρὰ τὴν ὑπόνοιαν.

549. Πλαθάνη, Πλαθάνη : [Κορωνὶς ὁμοία εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι μα', ὧν τελευταῖος

δέχομαι τὸν ὅρκον κἀπὶ τούτοις λαμβάνω.]

πανδοκεύτρια πρὸς Πλαθάνην θεράπαιναν ἑαυτῆς λέγει. εἰσάγει δὲ τὸν Ἡρακλέα νῦν βεβρωκότα τι. (554) ἀνημιωβολιμαῖα δὲ, ἀντὶ τοῦ, ἕκαστον αὐτῶν ἥμισυ ὀβολοῦ ἦν, ἄξιον ἡμιωβολίου. (ἢ ὠμὰ ὄντα κατὰ τὸ ἥμισυ. Ἄλλως. ὅτι ἰδίως ἐπὶ τοῦ ἀνημιωβολίου πωλούμενα. ἀπὸ δὲ συντάξεως ὀνόματα γίνεται καλὸς καὶ ἀγαθὸς, καλοκαγαθία· θεοῖς ἐχθρὸς, θεοεχθρία· οὕτως ἂν' ἡμιωβόλιον, ἀνημιωβολιαῖον. δηλοῖ δὲ ἡμιωβόλου ἄξια. ἐπισημειοῦσθαι δὲ τὴν λέξιν ἔδει τῷ χ. ἀνάβραστα δέ,) ζεστὰ, ἡψημένα. — ζεστὰ, παρὰ τὸ βράσσειν. V.

ἀνημιωβολιαῖα : Ἄξιον ἡμίσεος ὀβολοῦ ἓν ἕκαστον. *C.* παλαιόν : Ὅτι ὥσπερ ἀπὸ τοῦ καλὸς καὶ ἀγαθὸς σύνθετον ὄνομα γίνεται καλοκαγαθία, καὶ ἀπὸ τοῦ θεὸς καὶ τοῦ ἐχθρὸς θεοεχθρία, οὕτω καὶ ἀπὸ τοῦ ἥμισυ καὶ τοῦ ὀβολὸς, ἡμιωβολιαῖον, τὸ ἡμιοβόλου ἄξιον. διὸ καὶ ἐπισημειοῦσθαι τὴν λέξιν τῷ χ. Cant. 2.

550. ὅτε ἦλθεν ἐπὶ τὸν Κέρβερον. V.

551. ἡ ἑτέρα πανδοκεύτρια. R.

552. τῷ Διονύσῳ ὀηλονότι. R.V.

554. ἀντὶ τοῦ ὁ Διόνυσος. ὁ Ξανθίας δὲ ἠρέμα λαλεῖ. V.

555. [ληρεῖς ὦ γύναι : Οὐ δείκνυται Ἡρακλῆς σκορόδων γευσάμενος. διὸ πρὸς ταύτην φησὶ, ληρεῖς, ὦ γύναι.]

556. [οὐμενούν με προσεδόκας : Οὐ προσεδόκας με γνῶναί σε, ἐπειδὴ κόθορνος τοῦ Διονύσου ἐστὶν, οὐ τοῦ Ἡρακλέους.] — κοθόρνους τὰ ὑποδήματα. R.V.

558. τὸ τάριχος : Οὕτως ἔλεγον οἱ Ἀττικοὶ, οὐδετέρως. ἐπελαθόμην δὲ, φησὶν, εἰπεῖν τὸ τάριχος.

559. νέον, ἁπαλόν. V.

560. αὐτοῖς τοῖς ταλάροις : Ἔτι ὄντα, φησὶν, ἐν τοῖς μικροῖς καλαθίσκοις. — ταλάροις : Τυροβόλοις. Borg. τοῖς μικροῖς καλαθίοις, ὅπου ὁ τυρὸς ἐστι. R. αὐτοῖς : Σύν. ταλάροις : Καλαθίσκοις. λέγει δὲ τὰ λεγόμενα ἰδιωτικῶς τυροβόλια. *C.*

561. ἀπῄτουν. V. Θ.

562. κἀμυκᾶτο (κἀπεμυκᾶτο E.) : Ἐπεβριμήσατο. *D. E.* πικρὸν ἐβρυχᾶτο, ἐμήνιεν. R. V. Θ. M.

563. οὗτος ὁ τρόπος πανταχοῦ : Τὸ τρώγειν καὶ μὴ διδόναι, φησὶ, τὸν μισθόν. τοῦτο δὲ ὁ Ξανθίας, ἐπαίρων κατὰ τοῦ Διονύσου τὰς γυναῖκας.

564. (μαίνεσθαι δοκῶν : Καὶ παρ' Εὐριπίδῃ μαινόμενος Ἡρακλῆς καὶ σπῶν τὸ ξίφος. πρὸς τοῦτο οὖν παίζει.)

565. ἀντὶ τοῦ δείσασαι δυϊκῶς. R.V.

566. κατήλιφα : Τὴν μεσόδομον, (ἢ τὴν κλίμακα). — κλίμακα. *Br.* σανίδα, ἐν ᾗ πάντα τὰ πωλούμενα τιθέασιν, εἰς ἣν ἀναβαίνοντες οἱ κατοικίδιοι ὄρνις ἐκεῖ κοιμῶνται. νομίζουσι δὲ Ἡρακλέα τὸν Διόνυσον εἶναι

ὡς ἡρπακότα τὰ χρειώδη καθ' Ἅδου, ὅτε κατῆλθεν ἐπὶ τὸν Κέρβερον. V.

567. τὰς ψιάθους : Οἷον καὶ τὰ στρώματα τοῦ πανδοχείου. ἐν δὲ τῷ Καλλιστράτῳ γέγραπται τοὺς ψιάθους, καὶ ὅτι σεσημείωται τοῦτο, ὅτι ἀρσενικῶς εἶπε. — ὅτι ὧδε ἀρσενικῶς, ὧδε δὲ θηλυκῶς, διὸ τὸ χ. V. Θ. (τὸ δέ, ἀλλ' ἐχρῆν τι δρᾶν, δύναται καὶ ἡ γυνὴ λέγειν, ἀντὶ τοῦ τιμωρήσασθαι.) — ἐχρῆν ὑμᾶς τι δρᾶν περὶ αὐτόν. *Br.*

569. τὸν προστάτην Κλέωνα : Ἦν γὰρ ἀποθανὼν τότε. τὰ δὲ δράματα καθ' ἅδου νῦν. Κλέωνα δὲ τὸν βυρσοδέψην, εἰς ὃν γέγραφε τοὺς Ἱππέας. Ὑπέρβολον δὲ, εἰς ὃν καὶ Εὔπολις ἔγραψε τὸν Μαρικᾶν. ἀπώλετο δὲ περὶ τὴν Σάμον, πολεμούντων αὐτῷ τῶν Σαμίων.

570. ἐάνπερ ἐπιτύχῃς : Ὡς καὶ τοῦ Ὑπερβόλου τεθνηκότος. παρατηρητέον δὲ ὅτι τέσσαρες ἐπὶ σκηνῆς διαλέγονται.

573. [φορτία : Ψωμοὺς, κρέα, τυροὺς, καὶ τἆλλα. τινὲς δὲ ἤκουσαν τὰ κόπρια φορτικῶς.]

574. τινές φασι τὸν Διόνυσον λέγειν τοῦτον τὸν στίχον. R. ὄργυμα ἐν Ἀθήναις, εἰς ὃ ἐβάλλοντο οἱ κακοῦργοι. V.

576. κόλικας : Ἢ ἄρτους, ἢ ἕντερα. τὸ δὲ ᾧ, οὐ πρὸς τὸ ὀρέπανον, ἀλλὰ πρὸς τὸν λάρυγγα.

κατέσπασας δὲ ἀντὶ τοῦ κατεβρόχθισας.

578. ἐκπηνιεῖται : Ἃ ἔφαγεν ἡμῶν, ἀφελκύσει. ἀπὸ τῶν τὴν κρόκα μηρυομένων εἰς πηνία. (Ἄλλως. ἐξελκύσει ἀπὸ τοῦ πηνίου. Ὅμηρος [Il. Ψ, 762] « πηνίον ἐξέλκουσα. ») [ἢ ἐξάξει. ἀπὸ μεταφορᾶς τῆς κατὰ μικρὸν ἐκ τοῦ σκώληκος ἐξαγομένης πήνης. εἰ δὲ διὰ τῆς οι διφθόγγου γράφεται, μετὰ τιμωρίας ἀπαιτήσει.]

τὸ ἐκποινιεῖται ἢ διὰ τοῦ ο καὶ ι γράφεται, ἀντὶ τοῦ μετὰ τιμωρίας ἀπαιτήσει. ἢ διὰ τοῦ η, ἵν' ᾖ ἀντὶ τοῦ ἐξάξει. ἐπειδὴ καὶ τὴν μέταξαν καταρχὰς ἐκ τοῦ σκώληκος ἐξάγομεν κατὰ μικρόν. πήνη δὲ ἡ μέταξα. C. E. ἐξελκύσει. *D.* ἐκποινιεῖται : Μετὰ τιμωρίας λάβοι. *E.*

προσκαλούμενος : Ἀντὶ τοῦ ἐγκαλῶν, εἰς δικαστήριον ἕλκων, (κατηγορῶν αὐτοῦ).

579. (κάκιστ' ἀπολοίμην : Ἐνταῦθα φοβούμενος ὁ Διόνυσος ὑποκρίνεται φιλίαν πρὸς Ξανθίαν, ἵνα πάλιν Ἡρακλῆς γένηται, καὶ αὐτὸς Ξανθίας κελευόμενος ὑπὸ Διονύσου.)

582. [καὶ πῶς ἂν Ἀλκμήνης : Ἅπερ πρὸς αὐτὸν ὁ Διόνυσος πρότερον ἔλεγε, ταῦτα λέγει καὶ αὐτὸς εἰρωνευόμενος καὶ παίζων.]

588. γλάμων : (Ὁ ἔχων λῆμας, ὁ ἀκάθαρτος), [παρόσον ἐρώμενος, φασὶν, ἦν Διονύσου.] Καλλίστρατός φησιν ὅτι οὕτως ἐκαλεῖτο Γλάμων, ὡς Χάρων. ἄλλοι δὲ, τὸν λημῶντα καὶ δίυγρον τοὺς ὀφθαλμούς. Σοφοκλῆς ἐν Μάντεσιν ἐπί τινων ὀρνέων « τοὺς γλαμυροὺς « κατὰ φορβάν. »

589. κἀπὶ τούτοις λαμβάνω, ἐπὶ τῷ μὴ ἀφαιρεῖσθαί με τὸ Ἡρακλέους σχῆμα. V.

590. νῦν σὸν ἔργον : [Εἴσθεσις μελῶν χοροῦ περιοδικὴ καὶ ἀντίστροφος ὁμοία τῇ προρρηθείσῃ, καὶ τὸ σύστημα τοῖς αὐτοῖς τῶν ἐν τῇ στροφῇ κατά τε πυσότητα καὶ ποιότητα κώλοις συγκείμενον ἔχουσα. ἧς ἐπὶ τῷ τέλει παράγραφος. τοῦ δὲ συστήματος δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος.] — ὁ χορὸς πρὸς τὸν Ξανθίαν. R. V. (τὸ δὲ ἑξῆς·) νῦν σὸν ἔργον ἐστὶν ἀνανεάζειν.

593. ἀντὶ τοῦ Ἡρακλέους. R. V. μωραίνων ληφθήσῃ. V.

594. παραληρῶν : [Ἀγενές τι ποιῶν, καὶ οὐ τῆς Ἡρακλέους σκευῆς ἄξιον.] — οὐδὲν πλέον τοῦ ληρῶν. R. V.

595. ἀντὶ τοῦ μαλακισθείς. R. V. ἀντὶ τοῦ ἂν εἴπῃς τι. V.

603. ὀρίγανον : [Ἀντὶ τοῦ δριμύ. τοιοῦτον γὰρ τὸ φυτόν.] — πρὸς τὸ ἄνω. δεῖν δὲ ἔοικε δριμὺ βλέπειν. R. V.

604. ἀντὶ τοῦ φοβεῖσθαι. R. V.

605. ξυνδεῖτε ταχέως : [Κορωνὶς αὖθις ἑτέρα εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ξε'· ὧν τελευταῖος

πρότερον ποιῆσαι πρίν με τὰς πληγὰς λαβεῖν.

ὁ ξ' μέντοι ἰαμβικὸς ἐφθημιμερής. εἶτα κῶλον ἀντισπαστικὸν ἐξ ἐπιτρίτου πρώτου ἡμιόλιον. μεθ' ὃ μονόμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου τετάρτου, καὶ Ἰωνικὸν ἀπ' ἐλάσσονος ἡμιόλιον. ἐπὶ τῷ τέλει πάντων κορωνίς.] τὸν κλέψαντα τὸν κύνα τὸν Κέρβερον.

[606]. ἥκει τῳ κακόν : Ὁ Διόνυσος τοῦτο λέγει, ὅπερ καὶ ὁ Ξανθίας περὶ αὐτοῦ ἀνωτέρω. ἀμέλει δώσει δίκην. (ἡσυχῇ δὲ ταῦτα λέγει.)

607. μὴ πρόσιτον : (Οὐκ εὖ οὐδὲ κυρίως τὸ πρόσιτον προκαλεῖται. δύναται δὲ ἄλλοις μὲν λέγειν τὸ πρόσιτον ἑπομένοις αὐτῷ, ἄλλους δὲ ἔτι καλεῖν.) ὧν καὶ τὰ ὀνόματα εἰρηκεν ὡς δούλων, ἢ τοξοτῶν βαρβάρων. τινὲς δέ φασιν, ἐκ τοῦ, εἶεν καὶ μάχει, τὸν παρὰ τοῦ Πλούτωνος ἐξελθόντα λέγειν ἕως τοῦ, κλέπτοντα τἀλλότρια. τὸ δὲ μᾶλλ' ὑπερφυᾶ, τὸν Διόνυσον λέγειν. εἶτα πάλιν τὸν παρὰ τοῦ Πλούτωνος, σχέτλια μὲν οὖν καὶ δεινά. ἔνιοι δέ φασι πάντα αὐτὸν λέγειν τὸν Πλούτωνα, ἀγανακτοῦντα ἐπὶ τῷ τύπτεσθαι τοὺς ἀκολούθους ὑπὸ Ξανθίου, ἀπὸ τοῦ εἶεν καὶ μάχει, ἕως τοῦ, σχέτλια μὲν οὖν καὶ δεινά. — εἶεν ταῦτα ἃ λέγεις καὶ μάχῃ ἡμῖν. *Br.*

610. εἶτ' οὐχὶ δεινὰ : [Εἶτ' οὐχὶ δεινὰ, κλέπτοντα τοῦτον τὰ ἀλλότρια πρὸς τούτῳ τύπτειν;] — δεινὰ ἀντὶ τοῦ μεγάλα. R. V. οὐ δεινὸν, φησὶν, ὅτι καὶ τύπτει κλέψας; R.

611. (μᾶλ' ὑπερφυᾶ : Τιμαχίδας βραχέως ἀξιοῖ προφέρεσθαι, οὐ πιθανῶς, συναλοιφῆς οὔσης ἐκ τοῦ μή καὶ ἀλλά. ὅτι γὰρ τῷ μή πολλαχῇ ἀντὶ τοῦ οὐ χρῶνται, πολλάκις εἴρηται.)

614. ἀντὶ τοῦ τυχόν. R. V.

615 σοι : Χάριν σου. *C.* γενναῖον : Ἀντὶ τοῦ εὐγενές. R. V.

616. βασάνιζε γὰρ τὸν παῖδα : Λέγεται βασανίζειν καὶ τὸ χωρὶς πληγῶν ἀνακρίνειν, ἀπὸ τῆς βασάνου λίθου. — τὸν Διόνυσον. V.

618. ἐν κλίμακι δήσας : Τὸ ἐν πρὸς τὸ δήσας, ἀντὶ τοῦ ἐνδήσας κλίμακι. ἀντὶ τοῦ, εἰς κλίμακα δήσας, ὡς Ὅμηρος [Il. A, 593] « κάππεσον ἐν Λήμνῳ. » ἀντὶ τοῦ εἰς τὴν Λῆμνον.

619. ὑστριχίδι : Ἐκ δέρματος μετ' αὐτῶν τῶν τριχῶν μάστιξ. R. V. ἐξ ὑείων τριχῶν μάστιγι. *Br.*

621. ὀπτὰς πλίνθους. V. πλὴν πράσῳ μὴ τύπτε τοῦτον : Ἐπεὶ οἱ ἐλεύθεροι πρὸ τούτου πράσοις ἐδέροντο καὶ σκορόδοις. (τὸ δὲ χ πρὸς τὸ ἔθος τοῦ τύπτειν. οἱ δὲ ὅτι διώρισται τὸ πράσον ἀπὸ τοῦ γητείου. τινὲς γὰρ οἴονται εἶναι τὸ τοῦ πράσου φύλλον. δύναται μὲν οὖν ἐν ἤθει τὰ ὄντως χαλεπὰ προσθεὶς, ἐπιφέρειν· πλὴν μὴ τούτοις αὐτὸν τύπτε, ἅπερ ἐστὶν ἐλαφρότατα. δύναται δὲ καὶ ἀντικρυς· βασάνιζε πανταχῶς αὐτὸν, μὴ ἐν παιδιᾷ, μηδὲ ὡς τοὺς ἐλευθέρους παῖδας τῷ ἐκκαυλήματι τοῦ πράσου τύπτουσιν ἢ τοῦ γητείου.)

623. κἄν τι πηρώσω : Ἐὰν βλάψω μέρος τοῦ σώματος τοῦ παιδίου τύπτων, τὴν τιμὴν λήψῃ.

625. μὴ δῆτ' ἔμοιγε : Οἷον ἄνευ τιμῆς, οὐδὲν θέλω ὑπὲρ αὐτοῦ. [τινὲς δὲ, μὴ δῆτ' ἐμέ γε, τοῦτον δὲ βασάνιζ' ἀπαγαγών. αὐτὸν μὲν οὖν. εἶναι δὲ καὶ ὅλον τοῦ Ξανθίου.] — μὴ δῆτ' ἔμοιγε πηρώσῃς αὐτὸν, ἀλλ' ἀπαγαγὼν αὐτὸν, οὕτως ὡς ἔφην βασάνιζε. *E.*

626. ἡ κατά ἀντὶ τῆς ὑπό. R.

627. κατάθου : Ἀπειλῶν τῷ Διονύσῳ λέγει τὸ κατάθου.

628. μηδὲν ψεῦδος : Ὁ γὰρ τόπος οὐ δέχεται ψεῦδος, ὅπου πᾶσα κρίσις. τὸ δὲ ἀγορεύω ἐν ὀργῇ λέλεκται.

632. ταῦτ' ἀκούεις : Ὁ παρὰ τοῦ Πλούτωνος τοῦτό φησι τῷ Ξανθίᾳ. ἀντὶ τοῦ, ὄντως εἶ δοῦλος.

636. οὐ καὶ σὺ τύπτει : Τὸ τύπτει δεύτερον πρόσωπον, Ἀττικῶς. — [ὁ Διόνυσος πρὸς τὸν Ξανθίαν] ὅτι Ἡρακλέα σαυτὸν λέγεις. R. V. τινές φασι τοῦ Ξανθίου ὅλον εἶναι. (τινὲς δὲ, τοῦ Διονύσου πρὸς τὸν Ξανθίαν.) [θεὸς γὰρ ὁ Ἡρακλῆς, ὃν ὁ Ξανθίας ἐμιμεῖτο.]

638. ἢ προτιμήσαντά τι : Φροντίσαντα τῶν πληγῶν, Ἀττικῶς. ἢ ἐπιστραφέντα, τοῦ δακρῦσαι ἢ ἀποιμῶξαι ἕνεκα. — προτιμήσαντα : Φροντίσαντα, ἢ αἴσθησιν λαβόντα. *Br.*

[644]. παρακινήσαντα : Κινηθέντα, ἢ σαλευθέντα, (ἐκτραπέντα τοῦ καθεστηκότος. ἢ αἰσθανθέντα, παρόσον ὁ αἰσθανόμενος μάστιγος κινεῖται.) — ἀποκινήσαντ' : Ἐκτραπέντα τοῦ καθεστηκότος. *E.*

645. ἤδη πάταξά σ' : Πιθανὸν τὸν Ξανθίαν πρῶτον τύπτεσθαι. (οὕτω γὰρ καὶ τὸ « οὐ μὰ Δί' ἀλλ' ἐφρόντισα, ὁπόθ' Ἡράκλεια τἀν Διομείοις. » τινὲς [μὲν ὅτι Ξανθίας]. εἰς αὐτὸν [γὰρ] ἐλεύσεται, ἅτε δὴ Ἡρακλέα τέως ὄντα. τινὲς δὲ, ὅτι Διόνυσος. ἔχει δὲ καὶ τοῦτο λόγον, ὅτι θεράπων νῦν ἐστιν ὁ Διόνυσος καὶ πρῶτος τύπτεται.) προσποιεῖται γοῦν (ὁ ἕτερος) μὴ αἰσθάνεσθαι, λέγων, οὐδ' ἐμοὶ δοκεῖς.

646. πηνίκα : Ὡς μὴ αἰσθανόμενος καὶ αὐτὸς ὁ Διόνυσος λέγει· πότε με ἔτυψας.

647. κᾆτα πῶς οὐκ ἔπταρον : Οὐκ ἠσθόμην. ὁ γὰρ πταρμὸς κεφαλῆς κίνησις καὶ αἴσθησις. ἢ ἐπεὶ οἱ θιγόντες τοῦ μυκτῆρος λεπτῷ κάρφει πτάρνυνται, ἢ ὀσφραίνονται προσενεγκόντες. οὕτω, φησὶν, ἥψατό μου ἡ πληγὴ, ὃν τρόπον ἅπτεται κάρφος μυκτῆρος.

649. οὔκουν ἀνύσεις : Οὐ σπεύσεις· αὐτὸς ὁ μαστιγούμενος ἐπικελεύων τῷ τύπτοντι.

651. τἀν Διομείοις : Δῆμος τῆς Αἰγηίδος φυλῆς, ἀπὸ Διόμου (ἐρωμένου) τοῦ Ἡρακλέους. ἔστι δὲ Ἡράκλειον αὐτόθι. περὶ οὗ καὶ Ῥιανός φησι δηλῶν, ὅτι Δίομος Ἡρακλῆς ἐγένετο. — τοῦτο ὡς ἀλγήσας φησί. R.

652. ἐπὶ τὸν ἕτερον, ἵνα τύψῃ αὐτόν. R. ἄνθρωπος ἱερός : Ἀποδέχεται αὐτὸν ὁ τύπτων ὡς δερόμενον καὶ φροντίζοντα τῶν μυστηρίων. [τυπτόμενος γὰρ θείας τελετῆς μέμνηται.]

653. τὸ ἰοὺ ἰού ὡς αἰσθόμενος ὁ Διόνυσος λέγει. R. ἱππέας ὁρῶ : Ὡς θαυμάζων ἱππέων ἔφοδον. προφάσεις δὲ ἐξευρίσκουσι γελοίως.

654. κρομμύων ὀσφραίνομαι : Τοῦτο γὰρ συμβαίνει, τὸ δακρύειν ἀκουσίως, τοῖς ὀσφραινομένοις κρομμύων. — ταῦτα γὰρ παρεκτικὰ δακρύων. Θ.

655. (ἔπειτα προτιμᾷς οὐδέν : Καὶ νῦν οἷον οὐκ ἐπιστρέφῃ. δύναται δὲ τὸ αὐτὸ πρόσωπον λέγειν ὅλον.)

657. τὴν ἄκανθαν ἕξελε : Ὁ Ξανθίας ἀλγήσας λέγει. R. ἐπάρας (τὸν πόδα) τὴν πτέρναν δείκνυσι.

658. τί τὸ πρᾶγμα τουτί : Ὡς δυσκρίτως ἔχων τοῦτο λέγει ὁ Αἰακός.

659. (Ἄπολλον, ὅς που : Ἄδειν προσποιεῖται αἰσθόμενος ὁ Διόνυσος. οἱ γὰρ ἀλγοῦντες τοὺς θεοὺς ἀνακαλοῦνται.)

661. (ἴαμβον Ἱππώνακτος : Ὡς ἀλγήσας καὶ συγκεχυμένος οὐκ οἶδε τί λέγει· ἐπεὶ οὐχ Ἱππώνακτος, ἀλλ' Ἀνανίου. ἐπιφέρει δὲ ὁ Ἀνανίας αὐτῷ

ἢ Νάξον, ἢ Μίλητον, ἢ θείαν Κλάρον
ἵκου καθ' ἱέρ', ἢ Σκύθας ἀφίξεαι.)

662. τὰς λαγόνας σπόδει : Κάθαιρε. σποδεῖν γὰρ κυρίως τὸ τοὺς βωμοὺς καθαίρειν.

664. ὁ ἕτερος τῶν τυπτομένων λέγει. R.

665. (ὃς Αἰγαίου πρῶνας : Παρὰ τὰ Σοφοκλέους ἐκ Λαοκόωντος « Πόσειδον, ὃς Αἰγαίου μέδεις πρῶνας, ἢ « γλαυκᾶς μέδεις εὐανέμου λίμνας, ἐφ' ὑψηλαῖς σπιλάδεσσι στομάτων. »)

668. ἀμφότεροι γὰρ ὠδυνήθησαν. R. V.

670. ὁ Ἅδης. R. ὁ Πλούτων. Θ. τὸν θεὸν ἐξ ὑμῶν. R. V.

675. [Μοῦσα χορῶν ἱερῶν : Κἀνταῦθα παράβασίς ἐστιν, ἀλλ' οὐκ ἔχει πάντα μέρη τῆς παραβάσεως, ἀλλὰ μόνα τὰ τέσσαρα, τὴν ᾠδὴν, τὸ ἐπίρρημα, τὴν ἀντῳ-

δὴν, τὸ ἀντεπίρρημα. ἔστι γοῦν ἡ παροῦσα ᾠδὴ ἐκ κώλων πολυσχηματίστων ιϐ'. ὧν τὸ πρῶτον τετράμετρον βραχυκατάληκτον ἀσυνάρτητον προσοδιακὸν ἀναπαιστικὸν καλούμενον, ἢ δακτυλικὸν τετράμετρον ἀκατάληκτον. τὸ δεύτερον ἀναπαιστικὸν δίμετρον καταληκτικόν. τὸ τρίτον ὅμοιον τρίμετρον ἀκατάληκτον, κατὰ τὴν τρίτην χώραν τῆς μὲν ᾠδῆς ἀμφιβράχεος, τῆς δ' ἀντῳδῆς κρητικοῦ κειμένου. τὸ τέταρτον χοριαμβικὸν, τοῦ δευτέρου ποδὸς ὄντος διτροχαίου, τρίμετρον βραχυκατάληκτον. τὸ ε' ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ ς' δίμετρον ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου ἀκατάληκτον. τὸ δὲ τῆς ἀντῳδῆς ἐκ διαμβου καὶ διτροχαίου, τὸ ἕβδομον δακτυλικὸν πενθημιμερές. τὸ ὄγδοον χοριαμβικὸν ἡμιόλιον, συνίζησιν ἔχον εἰς τὸ Θρηϊκία, διὰ τὸ ἡμιόλιον εἶναι τὸ τῆς ἀντῳδῆς ἐκ διτροχαίου. τὸ ἔνατον ὅμοιον τῷ πέμπτῳ καὶ τὸ δέκατον. τὸ ἑνδέκατον μονόμετρον ὑπερκατάληκτον. τὸ δωδέκατον τροχαϊκὸν δίμετρον βραχυκατάληκτον ἰθυφαλλικόν. ἡ δὲ ἀντῳδὴ ἰσόμετρος. ἐπὶ τῷ τέλει τῆς μὲν ᾠδῆς παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα· τῆς δὲ ἀντῳδῆς δύο διπλαῖ ἔξω νενευκυῖαι, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος.] — Μοῦσα : Τερψιχόρη. Θ.

679. Κλεοφῶντος : Κλεοφῶν στρατηγὸς τῶν Ἀθηναίων. καὶ εἰς τοῦτον τὸν δημαγωγὸν ὅλον δρᾶμα φέρεται Πλάτωνος καὶ ἐπιγράφεται ὁμωνύμως αὐτῷ Κλεοφῶν. τοῦτον δὲ κωμῳδεῖ ὡς ξένον καὶ ἀμαθῆ καὶ φλύαρον (καὶ δυσγενῆ. Θρᾷκα γὰρ αὐτὸν ἔλεγεν. ἀντεποιεῖτο δὲ τῶν πρωτείων τῆς πόλεως).

681. (Θρηκία χελιδὼν : Ἵνα διαβάλλῃ αὐτὸν ὡς βάρβαρον. κωμῳδεῖται δὲ ὡς υἱὸς Θρᾴσσης. οὗτος δὲ ἦν ὁ καλούμενος Κλεοφῶν ὁ λυροποιός. καὶ Πλάτων ἐν Κλεοφῶντι δράματι βαρβαρίζουσαν πρὸς αὐτὸν πεποίηκε τὴν μητέρα. καὶ αὐτὴ δὲ Θρᾷσσα ἐλέγετο.) [χελιδὼν δὲ, ἀπαιδευσία. ἀηδόνιον δὲ νόμον, παρόσον ἡ ἀηδὼν τὸν ἑαυτῆς υἱὸν Ἴτυν θρηνεῖ. καὶ τοῦτον ἐπίκλαυτον ᾄδειν λέγει συνειδότα ἑαυτῷ δεινότατα περὶ τὴν πόλιν πεπανουργηκότι.] — ἀντὶ τοῦ ἀπαιδευσία. σκώπτει δὲ αὐτὸν ὡς Θρᾷκα. R. V.

684. γοερὸν, θρηνητικόν. R.

685. κἂν ἴσαι γένωνται : Αἱ ψῆφοι δηλονότι [αἱ λευκαὶ καὶ αἱ μέλαιναι]. ὑπερβολικῶς δὲ εἶπεν, ὅταν γὰρ ἴσαι αἱ ψῆφοι γένωνται, ἀπολύεται ὁ κατηγορούμενος. πρὸς τὸ ἔθος δὲ, ὅτι ὁ φεύγων ἀπολύεται ἴσων τῶν ψήφων ἐνεχθεισῶν, ἀπὸ τοῦ κατὰ τὸν Ὀρέστην γενομένου. Εὐριπίδης ἐν Ἰφιγενείᾳ τῇ ἐν Ταύροις [1469]

ἐξέσωσά σε
καὶ πρίν γ' Ἀρείοις ἐν πάγοις ψήφους ἴσας
κρίνασ', Ὀρέστα.

686. παράβασις τοῦ χοροῦ πρὸς τοὺς θεατάς. ἐπίρρημα. V. τὸν ἱερὸν χορὸν δίκαιόν ἐστι : Τὸ τοιοῦτον παράβασις καλεῖται, ἅπερ ἔλεγον ἐπιστρέφοντες πρὸς τοὺς θεωμένους. ἔστι δὲ ὁ τρόπος ὅταν καταλιπὼν τὰ ἑξῆς τοῦ δράματος ὁ ποιητὴς συμβουλεύσῃ τοῖς θεωμένοις, ἢ ἄλλο τι ἐκτὸς λέγῃ τῆς ὑποθέσεως. [σύγκειται δὲ ἐκ στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν κ'. ὧν τελευταῖος

ὑστέρῳ χρόνῳ πότ' αὖθις εὖ φρονεῖν οὐ δόξομεν.

ἐπὶ τῷ τέλει διπλῆ ἔσω νενευκυῖα διὰ τὴν ἀνταπόδοσιν.]

688. ἐξισῶσαι τοὺς πολίτας : Τουτέστιν, ἐντίμους ποιῆσαι τοὺς ἀτιμωθέντας. τοιαύτη γὰρ κατάστασις ἐνειστήκει, καθ' ἣν ἐφυγαδεύθησάν τινες τῶν πολιτῶν καὶ ἄτιμοι ἐγένοντο. — δημοκρατίαν ποιῆσαι. R. Θ. M. (Ἄλλως.) ἴσως κἀνταῦθα περὶ τῶν δ' λέγει στρατηγῶν, οἷον, καὶ εἴ τις ἥμαρτε σφαλεὶς, ἀπολογησάσθω κατακληθείς. δείματα δὲ τὰς ἀτιμίας λέγει, τοὺς φόβους ἀφελεῖν ἀπὸ τῶν εὐλαβουμένων. — τὰ δείματα : Τοὺς φόβους τοῦ ἐπικειμένου πολέμου. *Vict.* τὸ δὲ Φρυνίχου παλαίσμασιν, ἐπεὶ ὁ τραγικὸς Φρύνιχος ἐν Ἀνταίῳ δράματι περὶ παλαισμάτων πολλὰ διεξῆλθεν, ὡς πρόκειται. ἔθος δὲ ἔχουσιν οἱ κωμικοὶ παρακωμῳδεῖν τοὺς τραγικοὺς, ὅταν πολλάκις καὶ συνεχῶς χρῶνται τοῖς αὐτοῖς. [Ἄλλως. στρατηγοῦντος αὐτοῦ ἡττήθησαν Ἀθηναῖοι, καὶ πολλοὶ αὐτῷ προσεκρούσθησαν, ὡς προδόντι τὸν πόλεμον. τινὲς δὲ τοῦτον κωμικὸν ποιητὴν λέγουσιν, ὃς κινουμένους τοὺς χοροὺς εἰσῆγε καὶ παλαίοντας.] ἐγένετο δὲ στρατηγὸς, ἐφ' οὗ πολλοὶ ἥμαρτον τῶν στρατηγῶν καὶ ἄτιμοι ἐγένοντο.

690. τοῖς ἡμαρτηκόσιν. R.V. ἐγγενέσθαι : Εἰς φιλίαν ἐλθεῖν. *Vict.*

692. (εἶτ' ἄτιμον φημὶ χρῆναι, ἕως τοῦ, κἀντὶ δούλων δεσπότας : Ἐπειδὴ τοὺς συνναυμαχήσαντας δούλους ἐλευθέρους ἐποίησαν. καὶ Πλαταιᾶς δὲ εἶπεν, ὡς καὶ τῶν Πλαταιέων ἀφέντων ἐλευθέρους τοὺς συνναυμαχήσαντας περὶ Σαλαμῖνα.)

694. καὶ Πλαταιᾶς : (Ἀντὶ τοῦ Πλαταιέας.) τοὺς συνναυμαχήσαντας δούλους Ἑλλάνικός φησιν ἐλευθερωθῆναι, καὶ ἐγγραφέντας ὡς Πλαταιεῖς συμπολιτεύσασθαι αὐτοῖς, διεξιὼν τὰ ἐπὶ Ἀντιγένους τοῦ πρὸ Καλλίου. (Καλλίστρατός φησιν οὐ συναλοιφὴν εἶναι, ἀλλὰ διάλεκτον ἰδίαν, σημαίνουσαν τὸ δέον εἶναι.) [ἢ ὁμοίους ἡγεῖσθαι τοῖς ἐν Πλαταιάσι τὸ Ξέρξου νενικηκόσι πεζόν.]

695. οὐ μέμφομαι ὑμῖν. V. M.

697. λείπει τούτοις. R.

698. χοἱ πατέρες ἐναυμάχησαν : Ἴσως περὶ τῶν δ' στρατηγῶν λέγει τῶν σωθέντων ἐκ τῶν δέκα τῶν περὶ Ἀργέννουσαν ναυμαχησάντων. κατεδικάσθησαν γὰρ αὐτοὶ μὴ ἀνελόμενοι τοὺς νεκρούς. καὶ οἱ μὲν ἓξ ὑπομείναντες θανάτῳ ἐκολάσθησαν, οἱ δὲ λοιποὶ δ' ἔφυγον· οὓς Ἀριστοφάνης κατακαλεῖσθαί φησι δεῖν καὶ ἐπιδίκους εἶναι. (ἡ δὲ Ἀργίνουσα κώμη ἦν τῆς Αἰολίδος. συμβαλόντες γὰρ ἐνίκησαν Ἀθηναῖοι Λακεδαιμονίους καὶ νικήσαντες ἐπανῆλθον. ἐν δὲ τῇ ὁδῷ χειμῶνι περιπεσόντες πολλοὶ τεθνήκασιν αὐτῶν καὶ τούτους ἐάσαντες οἱ στρατηγοὶ ἐπανῆλθον οἱ ι'. καὶ οἱ μὲν ἓξ ἐκολάσθησαν,

οἱ δὲ δ' ἔφυγον. ἴσως δὲ καὶ ἐν τῷ, εἴτις ἥμαρτε Φρυνίχου παλαίσμασι, περὶ τῶν αὐτῶν δ' λέγει· οἷον, καὶ εἴτις ἥμαρτε σφαλείς, ἀπολογησάσθω κατακληθείς.)

703. εἰ δὲ ταῦτ' ὀγκωσόμεθ' : Ἐὰν δὲ ὡς μεγάλα ἁμαρτήματα ὑπερφρονήσωμεν καὶ μὴ θελήσωμεν ἀνεῖναι τοῖς συνναυμαχήσασι. [ὑπερφρονήσωμεν, ἀλαζονευθῶμεν, μεγαλαυχήσωμεν.]

704. κυμάτων ἐν ἀγκάλαις : (Δίδυμός φησι παρὰ τῷ Αἰσχύλῳ. ἔστι δὲ ὄντως παρὰ Ἀρχιλόχῳ·

ψυχὰς ἔχοντες κυμάτων ἐν ἀγκάλαις.

θέλει δὲ εἰπεῖν,) καὶ ταῦτα ὄντες ἐν πολλοῖς κινδύνοις. ἐνειστήκει γὰρ ὁ Πελοποννησιακὸς πόλεμος.

705. [ὑστέρῳ : Ὅτε βλαβησόμεθα τῷ πολέμῳ.]

706. (εἰ δ' ἐγὼ ὀρθῶς ἰδεῖν : Τοῦτο Ἰωνός ἐστιν ἐκ Φοίνικος ἢ Καινέως « εἰ δ' ἐγὼ ὀρθὸς ἰδεῖν βίον ἀνέρος, ᾧ πολιῆται. » θέλει δὲ εἰπεῖν ὅτι εἰ δύναμαι κρίνειν.) [οἰμώξεται δὲ, τιμωρηθῆναι ὀφείλει. τὸ δὲ οὐ πολὺν, σύναπτε εἰς τὸ χρόνον.] — ἐπιστήμων καὶ δυνατός. R.

707. πολύν : Συναπτέον εἰς τὸ χρόνον. Θ. ὁ πίθηκος : Ὁ ἐοικὼς κατὰ τὴν ἡλικίαν πιθήκῳ. Θ. *Vict.*

709. ὁ μικρὸς : [Τῷ σώματι δηλονότι.] [φαίνεται δὲ ὁ Κλειγένης περὶ τὰ πολιτικά. καὶ τῶν πλουσίων μέν ἐστι, ξένος δὲ καὶ βάρβαρος οὗτος.]

710. ὁπόσοι κρατοῦσι : Δέον εἰπεῖν, ὁπόσης κρατοῦσι γῆς, οὐκ εἶπεν, ἀλλ' ἐπήνεγκεν, ὅσα παρέχεται βαλανεὺς τοῖς λουομένοις σμήγματα. — οἱ βαλανεῖς τοῖς λουομένοις ἐχορήγουν σμήγματα· τοῦτον δὲ ὡς βαλανέα ἐξάγει. V. Θ. M.

711. κυκησιτέφρου κτλ. : Ταῦτα τοιαῦτα καθάρματά ἐστιν, οἷς οἱ λουόμενοι χρῶνται τῶν βαλανέων πωλούντων. γίνεται δὲ κυκησίτεφρον ἀπὸ τοῦ κυκῶ, τὸ ταράσσω, καὶ τοῦ τέφρα. Vict.

712. καὶ Κιμωλίας γῆς : Μία τῶν Κυκλάδων αὕτη ἡ νῆσος (ἡ Κιμωλία), νιτροποιὸς γῆ, (ἐξ ἧς τὸ νίτρον ἢ τῶν Ἐρυθρῶν τῆς Ἰωνίας ἀκρωτήριον, φέρον ἄμμον στυπτικήν). τὸν οὖν Κλειγένην ἐν τοιούτῳ ἤθει λέγει· ὥσπερ εἰ ἔλεγε, πονηρότατός ἐστι πάσης γῆς, ὁπόσης οἱ βαλανεῖς κρατοῦσι, Κιμωλίας καὶ τέφρας καὶ τῆς λοιπῆς τῆς τοιαύτης. — ἔστι δὲ εἶδος λευκῆς γῆς. R.

714. εἰδὼς δὲ τάδε : Ἃ πείσεται, οὐκ ἄοπλος διάγει, ἀλλ' ἐν χειρὶ ξύλον ἀεὶ φέρει, μήποτε καὶ ἀποδυθῇ. πολλοὶ γὰρ αὐτῷ ἀπειλοῦσι. *Br.* ἀντὶ τοῦ βιώσεται ὅτι οἰμώξεται. R.

715. οὐκ εἰρηνικὸς : Ἀντὶ τοῦ οὐχ ἥσυχος, ἀλλ' οἷον ἔνοπλος. εἰδὼς δὲ, φησὶ, τάδε, προσεποιεῖτο πρόφασιν καὶ μανίαν, εἰδὼς ὅτι μισεῖται παρὰ τῶν πολιτῶν. διὸ καὶ βακτηρίαν ἔχων περιήει, δι' ἧς ἠμύνετο τοὺς ἐπερχομένους αὐτῷ. — ἵνα μή ποτε κ. τ. λ. : Πολλοὶ γὰρ αὐτῷ ἀπειλοῦσι. *Vict.*

717. [πολλάκις ἡμῖν ἔδοξε : Τὸ ἀντεπίρρημα ὅμοιον κατὰ πάντα τῷ ἐπιρρήματι, ἐκ στίχων κ' τροχαϊκῶν τετραμέτρων καταληκτικῶν συγκείμενον, ὧν ὁ τελευταῖος

ἤν τι καὶ πάσχητε, πάσχειν τοῖς σοφοῖς δοκήσετε.

ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα.]

τὸ αὐτὸ πέπονθεν ἡ πόλις εἰς τοὺς χρηστοὺς τῶν ἀνθρώπων καὶ εἰς τὸ ἀρχαῖον νόμισμα. ὥσπερ γὰρ τῷ παλαιῷ νομίσματι οὐ χρώμεθα καλῷ ὄντι, ἀλλὰ τῷ καινῷ κακῷ ὄντι, οὕτω καὶ τοῖς ἀρχαίοις ἀνθρώποις οὐ χρώμεθα καλοῖς οὖσι, τοῖς δὲ νῦν στρατηγοῖς κακοῖς οὖσι χρώμεθα. — πεπονθέναι : Ἀντὶ τοῦ πεποιηκέναι. διαβάλλει τοὺς Ἀθηναίους ὡς φιλοπονήρους. R.

720. (εἷς τε τἀρχαῖον νόμισμα : Τῷ προτέρῳ ἔτει ἐπὶ Ἀντιγένους Ἑλλάνικός φησι χρυσοῦν νόμισμα κοπῆναι. καὶ Φιλόχορος ὁμοίως τὸ ἐκ τῶν χρυσῶν Νικῶν.)

721. (οὐ κεκιβδηλευμένοις : Ἀντὶ τοῦ, οὐ κακούργοις, οὐδὲ κεκαπηλευμένοις, ἀλλὰ καθαροῖς. τοῖς παλαιοῖς δηλονότι ἀνδράσι.)

723. κεκωδωνισμένοις : Δεδοκιμασμένοις, (ἐκλελεγμένοις ἀκριβῶς). — χαραχθεῖσιν, ἐξητασμένοις καὶ δεδοκιμασμένοις. Θ.

725. τοῖς πονηροῖς χαλκίοις : (Τοῖς χαλκοῖς κτίσμασι,) τοῖς ἀδοκίμοις καὶ μεμιγμένοις χαλκῷ. ὡς ἐπὶ νομισμάτων. (χαλκία δὲ ὡς χρυσία ἔλεγον τῷ σχήματι, χαλκᾶ σκεύη. νῦν δὲ ὡς κακὸν νόμισμα τὸ χρυσοῦν οὕτως εἶπεν. δύναιτο δ' ἂν καὶ τὸ χαλκοῦν λέγειν. ἐπὶ γὰρ Καλλίου χαλκοῦν νόμισμα ἐκόπη.

726. (χθές τε καὶ πρώην : Ἀντὶ τοῦ καινοῖς. ὡς ἐπὶ νομίσματος δὲ τῷ κόμματι.)

730. προσελοῦμεν : Ἀντὶ τοῦ προπηλακίζομεν, ἐλαύνομεν, ἐκβάλλομεν. — προσέλοῦμεν : Ὑβρίζομεν, ἀτιμάζομεν. *Br.* ἀτιμάζομεν. *Vict.* προσελεῖν τὸ ὑβρίζειν Ἀττικοὶ φασίν. E. προσελεῖν τὸ ὑβρίζειν. *Vict.*

καὶ πυρρίαις : Ἀντὶ τοῦ δούλοις. ὄνομα γὰρ δούλου ὁ Πυρρίας. [ἀπό τινος δούλου Πυρρίου, ὡς καὶ Ξανθίας ἀπὸ Ξανθίου τινός. ὧν ὁ μὲν πυρρὸς ἦν τὴν κόμην, ὁ δὲ ξανθός. φαρμακοῖσι δὲ,] τοῖς λεγομένοις καθάρμασιν. — καθάρμασιν. *Br.* φαρμακοῖσι, καθάρμασι. τοὺς γὰρ φαύλους καὶ παρὰ τῆς φύσεως ἐπιβουλευομένους εἰς ἀπαλλαγὴν αὐχμοῦ ἢ λιμοῦ ἤ τινος τῶν τοιούτων ἔθυον, οὓς ἐκάλουν καθάρματα. C.

736. χρῆσθαι δηλονότι. R. ἐξ ἀξίου γοῦν τοῦ ξύλου : Παρὰ τὴν παροιμίαν, ἀπὸ καλοῦ ξύλου κἂν ἀπάγξασθαι. θέλει οὖν λέγειν, βέλτιόν ἐστι χρῆσθαι τοῖς γενναίοις στρατηγοῖς καὶ δεδοκιμασμένοις ἢ τοῖς φαύλοις. κἂν γὰρ δέῃ παθεῖν, κρεῖττον ἀπ' ἀγαθοῦ ἢ φαύλου πάσχειν.

738. νὴ τὸν Δία τὸν Σωτῆρα : [Αἰακὸς ἢ] Πλούτωνος οἰκέτης πρὸς τὸν τοῦ Διονύσου Ξανθίαν. [χορωνὶς δὲ εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ος'. ὧν τελευταῖος

ἐσπουδάκωσι, κλαύμαθ' ἡμῖν γενήσεται.]

746. [βινεῖν : Συνουσιάζειν, γαμεῖν. ὅτι οἱ κομίζον-

τες τὴν ἡλικίαν τὸ συνουσιάζειν ἀρχὰς ἔχουσι τοῦ βίου. ἄλλοι δὲ παρὰ τὸ βύειν δεδώκασιν.]

741. ἐξελέγξαντ' ἄντικρυς: (Γράφεται ἐξελεγχθέντα.) λείπει δὲ τὸ θαυμάζω, ἢ τοιοῦτόν τι. — φανερῶς. R. V.

743. [οἰμωζε μέν τ' ἄν : Ἀντὶ τοῦ ἔφευγον καὶ εἴων αὐτὸν οἰμώζειν, εἰ ἔτυψέ με.]

τοῦτο μέντοι δουλικόν : Τὸ λοιδορεῖν τὸν δεσπότην ἀπόντα.

745. μαλ' ἐποπτεύειν δοκῶ : (Σύμμαχος οὕτως αὐτῇ τῇ λέξει φαίνεται συνεχῶς λέγειν· εὐφημοῦντες τὴν τῶν μυστηρίων ἐποπτείαν.) οἱ τὰ μυστήρια παραλαμβάνοντες, μύσται καλοῦνται. οἱ δὲ παραλαβόντες τὰ μυστήρια τῷ αὖθις ἐνιαυτῷ ἐφορῶσιν αὐτὰ καὶ ἐποπτεύουσι, καὶ ἐποπτεύοντες χαίρουσιν ἐπὶ τῷ πολλὰ πράττειν. (ὁ δὲ νοῦς·) ὅταν, φησὶ, λάθρα καταράσωμαι τῷ δεσπότῃ, λίαν οὕτως ἥδομαι, ὡς δοκεῖν μυστήρια ἐποπτεύειν καὶ ἑορτάζειν. τὸ δὲ μᾶλλ' εἶπεν ἀντὶ τοῦ οὐκ ἀλλά· ἐν οἵῳ τρόπῳ λέγομεν, οὐχ οἷον ἥδομαι, ἀλλ' ὑπερήδομαι. [ἔστι δὲ καὶ ἄλλη γραφὴ, μάλα γ' ἐποπτεύειν δοκῶ. ἔτι δὲ καὶ, μάλ' ἐποπτεύειν μοι δοκῶ. τονθορύζων δὲ, ψιθυρίζων, ἠρέμα γογγίζων, ἢ λάθρα φθεγγόμενος, ὑποτρέμων, τὰ χείλη κινῶν. τὸ δὲ, πολλὰ πράττων, ἢ ἀντὶ τοῦ, χαίρεις τονθορύζων, ἡνίκα πολλὰ μοχθῇς κελεύοντος τοῦ δεσπότου, νοητέον· ἢ οὕτω, τί δὲ χαίρεις πολλὰ πράττων, ἤγουν πάσχων, ἢ μοχθῶν· ἵν' ᾖ ὁ τοῦ Ἰακοῦ λόγος κατ' εἰρωνείαν. ἢ τοῦ οἰκέτου λέγοντος οὕτω· χαίρω ὡς μὰ τὸν Δία οὐδὲν ἄλλο οἶδα, εἰς ὃ χαίρω ἐγώ.]

749. πολλὰ πράττων : Πάσχων. *D.*

750. Ὁμόγνιε Ζεῦ : Τὴν ὁμοιότητα θαυμάζων, λέγει· οἷον, ὦ ὁμοιότητος. (τὸ δὲ παρακούων, οὐχ ὡς ἡμεῖς εἰώθαμεν λέγειν, καταφρονῶν τῶν λεγομένων παρὰ τῶν δεσποτῶν, ἀλλ' ἴσως τὸ λάθρα ἐπακροώμενος. ἔνθεν καὶ ὠτακουστὰς οἱ Ἀττικοί φασι.) [τὸ δὲ, πλεῖν ἢ μαίνομαι, ἀντὶ τοῦ, ἐξανίσταμαι ἑαυτοῦ ἐκ τῆς ἀξίας.]

752. τοῖς θύραζε : Τοῖς ἐκτός. *Br.*

753. κἀκμιαίνομαι : Οὕτως ἔλεγον τὸ ἀποσπερματίζειν, ὡς οἱ ὀνειρώττοντες. τοῦτο οὖν φησιν, ὅτι ἥδομαι ὡσανεὶ ἀποσπερματίζων. — ἀποσπερματίζω. ἀγνισμὸν λογίζομαι. *Br.*

756. ὁμομαστιγίας : [Ὥσπερ φαμὲν ἑταιρεῖος Ζεὺς καὶ ὁμόγνιος καὶ ἱκέσιος καὶ ξένιος, καὶ ὅσα τοιαῦτα, οὕτω καὶ δούλιος, ὁ τῶν δούλων ἔφορος. ἐπεὶ δὲ οἱ δοῦλοι μάστιξιν ὑπόκεινται καὶ πληγαῖς, διὰ τοῦτο ὁμομαστιγίας εἶπεν. ἢ βουλόμενος εἰπεῖν, ὃς ἡμᾶς νῦν εἰσήγαγε, παίζων παρ' ὑπόνοιαν εἶπεν ὁμομαστιγίας. Ἄλλως.] ἀντὶ τοῦ εἰπεῖν ὁμόγνιος, (ὡς ἔμπροσθεν, ἢ ὁμάδελφος,) εἶπεν ὁμομαστιγίας, οἷον ὁμόδουλος. στικτέον δὲ ἐπὶ τοῦ μαστιγίας. μέλλων γὰρ αὐτοῦ πυνθάνεσθαι περί τινος πράγματος δουλικοῦ, σιωπᾷ, ἀκούσας ἔνδον γενομένου θορύβου, περὶ οὗ καὶ ἐξῆς πυνθάνεται. οὐ γὰρ ὁρκίζει αὐτὸν κατὰ τοῦ Διὸς, ἵνα εἴπῃ αὐτῷ περὶ τῆς ἔνδον βοῆς. δύναται δὲ συνάπτεσθαι καὶ ἀπὸ τοῦ, καί μοι φράσον, μέχρι τοῦ, χὠ λοιδορησμός.

761. νόμος τις ἐνθάδ' ἐστὶ : Ἀπό τινος νόμος ἐστὶν ἐν τῷ ᾅδῃ, τὸν βελτίονα ἄνδρα τῶν ἑαυτοῦ συντέχνων ἐγγὺς τοῦ Πλούτωνος καθέζεσθαι.

762. τῶν μεγάλων. R.

764. (σίτησιν αὐτὸν : Ταῦτα μεταφέρει ἀπὸ τῶν ἐν τῇ Ἀττικῇ ἐθῶν εἰς τὰ καθ' ᾅδου.)

765. [τοῦ Πλούτωνος ἑξῆς : Ἀντὶ τοῦ, ἐγγὺς τοῦ θρόνου τοῦ Πλούτωνος.]

767. τῷ εὑρισκομένῳ σοφῷ. R.

772. [βαλαντιητόμοις : Τοῖς τὰ βαλάντια τέμνουσιν, ἃ ἐν ταῖς ζώναις ἀπῃωρημένα φέρουσιν ἄνθρωποι.]

774. ἀντὶ τοῦ πλῆθος τῶν τοιούτων ἐστὶν ἐν Ἅιδου. R.

775. τῶν ἀντιλογιῶν : Παρίστησιν αὐτοῦ τὸ περὶ τοὺς λόγους σαθρόν. καὶ ἐν ἄλλοις [fr. 542] « στρεψίμαλ- « λος τὴν τέχνην Εὐριπίδης. »

λυγισμῶν : Καμπῶν. [γράφεται λογισμῶν, τουτέστι] παραλογισμῶν. τὸ δὲ κάμπτειν, ἅμα μὲν πρὸς τὰ μέλη, ἅμα δὲ πρὸς τὸ ἐξελίττειν καὶ ἀναδύεσθαι. Ὅμηρος [Il. A, 105] « δίδη μόσχοισι λύγοισι. » Δίδυμος δὲ, λυγισμῶν, [ἀπὸ τῶν συνδέσεων τοῦ λόγου].

776. [ὑπερεμάνησαν : Ἀντὶ τοῦ, λίαν ἐχάρησαν. τούτων γὰρ οἱ τοιοῦτοι ὀρέγονται, ἵν' ὁπότε φωραθῶσι κλέπτοντες, διὰ τούτων τοὺς κεκρατηκότας φεύγωσι. διαβάλλει δὲ Εὐριπίδην ἐνταῦθα ὡς λίαν πανοῦργον καὶ τὰ τοιαῦτα ἐν τοῖς δράμασιν ἐπιτηδεύοντα.]

778. οὐκ ἐβάλλετο : Λίθοις δηλονότι. εἶτα οὐκ ἐλιθοβολεῖτο, φησὶ, τοῦτο ποιήσας.

781. οὐράνιόν γ' ὅσον : Ἀντὶ τοῦ, πολὺ (καὶ μεγάλως ἐβόησαν).

783. ὀλίγον τὸ χρηστόν ἐστιν : Δείκνυσιν ὡς πρὸς τὸ θέατρον. μιγνύει δὲ τὰ ἐνθάδε τοῖς ἐκεῖ. νῦν γὰρ οὐ καθ' ᾅδου ἔφη.

789. ὁ Σοφοκλῆς. R.

790. (κἀκεῖνος ὑπεχώρησεν αὐτῷ τοῦ θρόνου : Καλλίστρατος, οὐχ ὡς παραδεδωκότος Αἰσχύλου τὸν θρόνον τῷ Σοφοκλεῖ, ἀλλ' ὡς παραδεδεγμένου αὐτὸν καὶ ὑποκεχωρηκότος.)

791. (Κλειδημίδης : Καλλίστρατος, ὅτι ἴσως Σοφοκλέους υἱὸς οὗτος. Ἀπολλώνιος δὲ, ὅτι Σοφοκλέους ὑποκριτής. τοῦτο δὲ πόθεν, σκέψασθε. διαβάλλει δὲ καὶ Κλειδημίδην ὡς κακόζενον.)

792. ἔφεδρος : Κριτής. *Br.* ἔφεδρος, ὁ μαχομένων τινῶν παρακαθήμενος, καὶ μέλλων τῷ νενικηκότι μαχήσασθαι. Br.

793. (ἔξειν κατὰ χώραν : Ἀντὶ τοῦ, ἐάσειν οὕτως ὡς εὗρεν Αἰσχύλον καθέζεσθαι.)

795. ἀντὶ τοῦ ἄρτι. R.

ζυγοστατηθήσεται. V.Θ.

798. μειαγωγήσουσι τὴν τραγῳδίαν : Μεῖον λέγουσι τοὺς ὑπὲρ τῶν υἱῶν εἰς τὰ Ἀπατούρια [ὅτις] ὑπὸ τῶν πατέρων εἰσφερομένους, διὰ τὸ ἐπιφωνεῖν τοὺς φράτορας ἐπὶ τοῦ σταθμοῦ τοῦ ἱερείου, μεῖον μεῖον. ὅτι δὲ ἴστατο, Ἀριστοφάνης ἐν Δράμασι δεδήλωκε. τοῦτο δὲ κέκληται κουρεῖον, ἀπὸ τῶν κούρων, ὑπὲρ ὧν ἐθύετο.

μεῖον δὲ, διὰ τὴν προειρημένην αἰτίαν. καὶ ἐπιζήμιόν τι τοῖς ἧττον εἰσάγουσιν ἀπεδέδοτο, καθάπερ αὐτός φησιν Ἀριστοφάνης

(ἀλλ' εὔχομαι 'γωγ' ἑλκύσαι σε τὸν σταθμὸν,
ἵνα μή με προσπράττωσι γραῦν οἱ φράτορες.)

μειαγωγὸς δὲ ἐλέγετο ὁ προάγων τὸ ἱερεῖον, (ὅτι μεῖον τὸ ἱερεῖον ἔλεγον, τὸ παριστάμενον ὑπὲρ τῶν εἰς τοὺς φράτορας εἰσφερομένων. μεῖον δὲ ἐκλήθη ἀπὸ τοῦ συμβαίνοντος. ἔδει γὰρ αὐτὸ ἔλαττον ἔχειν σταθμοῦ τινος ὡρισμένου διὰ τοὺς φιλοδοξοῦντας. οἱ δὲ φράτορες, ἵνα μείζονας νέμωνται μερίδας, ἐπεφώνουν, οὐκ ἐῶντες ἱστάναι, διὰ τοῦ μεῖόν ἐστιν.) [Ἄλλως. ἐάν τις εἰσάγῃ εἰς τοὺς ἰδίους φράτορας υἱὸν ἐν ἡλικίᾳ γενόμενον, παρίστη αὐτοῖς ἐπὶ ὡρισμένῳ σταθμῷ ἱερεῖον, πρὸς ὃν ἔδει προσάγειν, καὶ οὐκ ἐξῆν μεῖζον παρασχεῖν. ὅτε δὲ ἐντεθείη τὸ ἱερεῖον εἰς τὸν ζυγὸν, περιεστῶτες ἐβόων, μεῖον μεῖον· τοῦτο δηλονότι ἐλαττόν ἐστι. παρὰ τοῦτο οὖν λέγει καὶ μειαγωγεῖν τὴν τραγῳδίαν, τουτέστι πρὸς τὸν ζυγὸν προσάξουσι καὶ στήσουσιν.] (Ἄλλως. ἐπεὶ εἰώθασι προσφέρειν οἱ εἰς τοὺς φράτορας γραφόμενοι πρόβατον, καὶ οἱ ἱστάμενοι ἔλεγον, μεῖον μεῖον. καὶ τὸν εἰσάγοντα μειαγωγὸν ἐκάλουν.) — μειαγωγήσουσι : ὡς πρόβατον στήσουσι. R. V. ζυγοστατήσουσι. *Br.*

799. τοὺς κανόνας : Κυρίως τὸ ἐπάνω τῆς τρυτάνης ὃν καὶ εἰς ἰσότητα ταύτην ἄγον.

800. καὶ πλαίσια : Τὰ τῶν ξύλων τετράγωνα. — ὥσπερ πλινθία, ἐν οἷς πλινθεύουσι. τὸ δὲ ξύμπηκτα πρὸς οὐδὲν, ἀλλ' οἷον περιττὰ καὶ σοφά. τοῦτο δὲ πρὸς Εὐριπίδην. R. V. Θ. M. καὶ διαμέτρους τοὺς διαβήτας ὡς Ὅμηρος [Il. B, 765] « σταφύλην ἐπὶ νῶτον εἶσας. » V. [πλαίσιον γὰρ, πλινθίον τετράγωνον. Ἀφθόνιος [p. 106, 16 W.]· καὶ τὸ σχῆμα πλαίσιον τυγχάνει τοῦ μηχανήματος. διάμετρος δὲ, ἡ ἐν τῷ κύκλῳ κέντρον τέμνουσα μέσον γραμμή. διαβήτης, σταφύλη· ὅπερ ἐστὶν ὄνομα παρὰ τοῖς ἀρχιτέκτοσιν ἐπὶ τῆς καθιεμένης μολύβδου τιθέμενον. Ὅμηρος « σταφύλην ἐπὶ νῶτον ἔχουσα. » οὐδὲν δὲ ἀλλ' οἷον περιττὰ καὶ σοφά. ἢ διὰ τούτων δείκνυσιν ὅτι παντοδαπῶς ἐξετασθήσεται.] — ξύμπηκτα : Ἡνωμένα. *Br.*

801. ἀπὸ (ἀντὶ V.) τοῦ καθιεμένου μολίβου. R. V.

804. ταυρηδὸν : Τοιοῦτος γὰρ τῷ σχήματι ὀργιζόμενος ὁ Αἰσχύλος.

807. οὔτε γὰρ Ἀθηναίοισιν : Ἀντὶ τοῦ οὐκ ἤρεσκεν. R. [ὡς φαύλων περὶ τὰς ἀποκρίσεις ὄντων οὐκ ἐστοίχησεν.] — ξυνέβαινεν : Ἔχαιρεν, ἀπεδέχετο αὐτούς. *Brunck.*

808. [τοὺς τοιχωρύχους : Τοὺς προσέχοντας Εὐριπίδῃ πονηρούς.]

809. λῆρόν τε τἄλλ' ἡγεῖτο : [Ἀντὶ τοῦ, τοὺς ἄλλους.] Ἀθηναίους μὲν συνετοὺς ἡγεῖτο, πονηροὺς δὲ τοὺς πλείστους. διὸ μὴ ἐπιτρέψαι αὐτοῖς τὴν κρίσιν. τοὺς δὲ ἄλλους ἀνθρώπους λῆρον ἡγεῖτο πρὸς τὴν τοιαύτην ἐξέτασιν.

811. αὐτοῦ γὰρ ὁ ἀγών. R.

812. ὡς ὅταν γ' οἱ δεσπόται : Ὅταν γὰρ οἱ δεσπόται σπουδάζωσι θᾶττόν τι ἀπαρτισθῆναι, ἐπιπλήττουσι τοῖς δούλοις, ἵνα θᾶττον ἐνεργῶσιν.

814. [ἧπου δεινὸν ἐριβρεμέτας : Κορωνὶς καὶ εἴσθεσις μέλους χοροῦ μονοστροφικὴ, τέσσαρος περιόδου ὁμοίους ἔχουσα. τὰ κῶλα δ' ἑκάστης περιόδου εἰσὶν ἑπτὰ ἰσόμετρα. ὧν τὰ μὲν πρῶτα καὶ τρίτα καὶ πέμπτα δακτυλικά. ἀλλὰ τὰ μὲν ἑφθημιμερῆ, τὰ δὲ πέμπτα πενθημιμερῆ. τὰ δεύτερα καὶ τέταρτα καὶ ἕκτα ἀναπαιστικὰ ἑφθημιμερῆ. τὰ δ' ἕβδομα τροχαϊκὰ ἑφθημιμερῆ Εὐριπίδεια. μετροῦνται μέντοι καὶ κατὰ δύο δακτυλικοὺς ἑξαμέτρους καὶ ἕνα πεντάμετρον καὶ ἕνα τροχαϊκὸν δίμετρον καταληκτικόν.]

ἧπου δεινὸν ἐριβρεμέτας : Ὁ Αἰσχύλος πρὸς τὸ βροντῶδες τῶν ῥημάτων καὶ κομπῶδες· οἷά ἐστι κἀκεῖνα ἐν ἀρχῇ τοῦ Προμηθέως

χθονὸς μὲν ἐς τηλουρὸν ἥκομεν πέδον,
Σκύθην ἐς οἶμον, ἄβροτον εἰς ἐρημίαν.
Ἥφαιστε, σοὶ δὲ χρὴ μέλειν ἐπιστολὰς,
ἃς σοι πατὴρ ἐφεῖτο, τόνδε πρὸς πέτραις
ὑψηλοκρήμνοις τὸν λεωργὸν ἀχμάσαι,
ἀδαμαντίνων δεσμῶν ἐν ἀρρήκτοις πέδαις.

καὶ πάλιν

ἀδαμαντίνου νῦν σφηνὸς αὐθάδη γνάθον
στέρνων διαμπὰξ πασσάλευ' ἐρρωμένως.

ἐριβρεμέτας : Ὁ μεγαλόφωνος Αἰσχύλος. *Br.*

815. τὸν ὀξέως λαλοῦντα. R. V.

θήγοντος ὀδόντας : Ἀπὸ μεταφορᾶς εἶπε τῶν χοίρων, οἳ ὅταν εἰς μάχην παρασκευάζωνται, τοῦτο ποιοῦσι. στροβήσεται δὲ, ἀντὶ τοῦ ταραχθήσεται.

816. Εὐριπίδου. R.

817. ταραχθήσεται. R.

818. ὑψιλόφων τε λόγων : Τῶν τοῦ Αἰσχύλου· διὰ τὸ ὑψηλόν. [τουτέστι μετεώρων, μεγάλων.] χαρακτηρίζει δὲ ἀμφοτέρους, Εὐριπίδην καὶ Αἰσχύλον.

819. σκινδαλμῶν τε παραξόνια : Σκινδαλμὸς κυρίως τὸ περὶ τὸν φλοιὸν τοῦ καλάμου ξέσμα. παραξόνια δὲ, οἷον κινδυνώδη καὶ παράβολα, περὶ τὸν τροχὸν ἑλκόμενα. (καὶ ἄνω [99] ἔφη ἐπ' αὐτοῦ τοῦ Εὐριπίδου « τοιουτονί τι παρακεκινδυνευμένον. » Ἄλλως. παραξόνια, κινδυνώδη·) ἀπὸ τοῦ ἄξονος. ἀεὶ γὰρ τὸ μέρος τοῦτο κινδυνεύει. σμιλεύματα δὲ, τὰ ἐκβαλλόμενα ἀπὸ σμίλης. ἀντὶ τοῦ διαγλύμματα, ἐρεθίσματα. — σκινδαλμῶν : Λεπτολογιῶν. *Br.* φιλονεικήματα. R.

820. [φρενοτέκτονος : Τοῦ ἐκ τῆς αὐτοῦ φρενὸς τεκταινομένου καὶ συντεθέντος Αἰσχύλου. ταῦτα δὲ λέγει, ἐπειδὴ τοιούτοις ὀνόμασιν Αἰσχύλος ἐκέχρητο κτύπον ἀποτελοῦσι. τὸ δὲ ἑξῆς, φωτὸς ἀμυνομένου, τουτέστι τοῦ Εὐριπίδου ἀμυνομένου τὰ ἱπποβάμονα ῥήματα τοῦ φρενοτέκτονος ἀνδρός· τουτέστι τοῦ Αἰσχύλου.]

821. παρὰ τὴν βάσιν τῶν ἵππων. R.

822. φρίξας δ' αὐτοκόμου : Ὡσεὶ εἶπεν, ὀργισθεὶς ὥσπερ σῦς·

πᾶν δέ τ' ἐπισκύνιον κάτω ἕλκεται.

(εἰς ἓν δὲ συνήγαγεν ὁμοῦ ἀμφοτέρας τὰς Ὁμηρικὰς εἰκόνας, τήν τε ἐπὶ τοῦ λέοντος, [ἐν τῷ, λασιαύχενα χαίταν,] καὶ τὴν ἐπὶ τοῦ συός.)

813. [ἐπισκύνιον ξυνάγων : Ὅμηρος [Il. P, 136]

πᾶν δέ τ' ἐπισκύνιον κάτω ἕλκεται, ὅσσε καλύπτων·

τὸ περὶ τὰς ὀρρῦς δέρμα· κατὰ μετάθεσιν τοῦ λ εἰς ν. σκῦλος γὰρ λέγεται τὸ δέρμα· ἔνθεν καὶ σκυλοδέψης, ὡς βυρσοδέψης. τὸ ἐπάνω τῶν ὀφθαλμῶν μέρος ἤτοι δέρμα. τὸ συνοφρύωμα τοῦ μετώπου. ὅθεν καὶ σκύζεσθαι, τὸ ὀργίζεσθαι, διὰ τὸ ἐνδιάθετον γίνεσθαι τοῦτο τὸ μέρος τοῖς ὀργιζομένοις, καὶ ἐπισκύσαι, τὸ χαλεπῆναι· ἀπὸ τοῦ τὸ ἐπισκύνιον καθέλκειν τοὺς χαλεπαίνοντας. Junt. ἐπισκύνιον ξυνάγων : Συστέλλων. *C.* ἐπισκύνιον ξυνέχων : Συνάγων, ὥσπερ οἱ θυμούμενοι θῆρες. *D.*]

[824.] γομφοπαγῆ : Ἀκριβέστατα, πολυσύνθετα, (σκληρὰ, καὶ ἦχον ποιοῦντα, ὥσπερ αἱ κεκαρφωμέναι σανίδες).

πινακηδὸν ἀποσπῶν : Ἀποσπῶν τὰ ῥήματα ὥσπερ πίνακας ἀπὸ πλοίων, οὐχ ὡς Εὐριπίδης, σκινδαλμούς. πινακίδες δὲ αἱ μεγάλαι σανίδες τῶν πλοίων, [δίκην σανίδων τῶν ἐκ νεὼς ἀποσπωμένων ἐν τρικυμίᾳ].

825. γηγενεῖ φυσήματι : Ἀντὶ τοῦ μεγάλῳ, ὥστε σεισμοὺς ποιεῖν. ἀρχαία γὰρ ὑπόνοια τὸ ὑπὸ πνευμάτων (κατεχομένην) σείεσθαι τὴν γῆν.

826. λίσπη : Τῷ τόνῳ ὡς κίστη. Ἀπολλώνιος δὲ ὀξύνει ὡς ψιλή. λίσπη δὲ ἡ ἐκτετριμμένη καὶ λεία. οὕτω γὰρ λέγονται οἱ τοιοῦτοι ἀστράγαλοι· ἀφ' οὗ καὶ οἱ λίσποι τὰ ἰσχία. Καλλίστρατος δὲ θηρίδιον λεπτὸν σφόδρα· ἀφ' οὗ καὶ οἱ τὰ ἰσχία λεπτοὶ λίσποι λέγονται. Ἄλλως. λίαν ἐκτετριμμένη καὶ ὀλισθηρὰ γλῶσσα· διὰ τὸ ἐν τοῖς λόγοις εὐαπόφυκτον. [Ἄλλως. λίσπους καλοῦσι τοὺς ὑφ' ἡμῶν καλουμένους στρυφνοὺς ἀστραγάλους. οἱ τοιοῦτοι δὲ δυστροπικοί εἰσιν ἐν τῷ παίζειν. λέγει δὲ τὴν Εὐριπίδου. πρὸς δὲ τὸ ἱπποβάμονα, καὶ τὰ λοιπὰ, τὸ ἰνοῦσα χαλινοὺς εἶπε. φθονεροὺς δὲ, ὡς φθονουμένου τοῦ Εὐριπίδου ἐπὶ σοφίᾳ. δαιομένη δὲ, διαμερίζουσα, διαιροῦσα, κατατέμνουσα τὰ Αἰσχύλου ῥήματα. καταλεπτολογήσει δὲ, τὴν τοῦ Αἰσχύλου λεπτολογίαν λεπτῶς βασανίσει ὁ Εὐριπίδης.]

828. διαμερίζουσα, διαιροῦσα. R.

τὴν τοῦ Αἰσχύλου λεπτολογίαν καταλεπτολογήσει ὁ Εὐριπίδης. R.

829. (πλευμόνων πολὺν πόνον : Τὰ γὰρ τοιαῦτα ῥήματα μετὰ πολλοῦ ἐξέρχονται πόνου.)

830. οὐκ ἂν μεθείην : [Γράφεται καὶ μεθείμην. κορωνὶς δὲ εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι μέ'. ὧν τελευταῖος

ὑμεῖς δὲ ταῖς Μούσαις τι μέλος ἐπάσατε.

ἐπὶ τῷ τέλει κορωνίς.] — πρὸς τὸν Αἰσχύλον Εὐριπίδης. R.

832. [αἰσθάνει γὰρ τοῦ λόγου : Ὃν λέγει, ὡς οὐ παραχωρήσει σοι τοῦ θρόνου, φάσκων εἶναί σου κρείττων.]

833. ἀποσεμνυνεῖται : Ἀντὶ τοῦ, ἀπονοεῖται σιωπῶν. ὑπερηφανεῖ πάλιν, ὅπερ ἐποίει ζῶν. Ἄλλως. σεμνότητος γὰρ ἕνεκα ἐπιπολὺ ἐσιώπα Αἰσχύλος, ἐν τοῖς θεάτροις εἰσιών. — σεμνῶς ἑαυτὸν σχηματίσει. *Br.*

834. ὡς τοῦ Αἰσχύλου τερατευομένου ἐν ταῖς ἀρχαῖς τῶν δραμάτων. R.

835. λείπει κατ' αὐτοῦ. R.

837. ἀγριοποιὸν : Ἀγρίους εἰσάγοντα καὶ ὠμοὺς τοὺς ἥρωας.

838. (ἀπύλωτον στόμα : Φρύνιχος, ἀθύρωτον. οἱ δὲ γράφουσιν ἀπύλωτον, ἀντὶ τοῦ ἀνεῳγμένον καὶ πύλην μὴ ἔχον, μὴ χαλιναγωγούμενον, μηδὲ κρατούμενον.)

839. ἀπεριλάλητον : Ἤτοι οὐκ εἰδότα λαλεῖν, ἢ οἷον οὐκ ἄν τις περιλαλήσαι. (κομποφακελορρήμονα δὲ,) βαρυρρήμονα, [σκληρὰ καὶ συνδεδεμένα ἔπη λέγοντα]. φάκελοι γὰρ τὰ βαρέα [καὶ συνδεδεμένα] φορτία τῶν ξύλων. — σκληρὰ καὶ συνδεδεμένα ἔπη λέγοντα. *Br.*

840. ἄληθες ὦ παῖ : (Ἐν ἐρωτήσει. ἀντὶ τοῦ, ὄντως δὴ σύ.(ὅτι δὲ λαχανοπώλιδος υἱὸς ἦν Κλειτοῦς ὁ Εὐριπίδης, Ἀλέξανδρός φησιν. εἴρηται δὲ ὁ στίχος παρὰ τὰ Εὐριπίδου)

ἄληθες ὦ παῖ τῆς θαλασσίας θεοῦ.

βαρυτονητέον δὲ τὸ ἄληθες. [ἀρουραίας δὲ, διότι τὰ λάχανα ἐκ τῆς γῆς φύεται.]

842. [πτωχοποιεῖ : Ὁ τὸν Τήλεφον τὸν βασιλέα Μυσῶν πτωχὸν ποιήσας. στωμυλιοσυλλεκτάδη δὲ, ὁ πολυλογίας συνάγων.] — ἀντὶ τοῦ στωμύλα ῥήματα συλλέγων. R. Θ. πολυλογίας συλλέγων. *Br.* [ῥακιοσυρραπτάδη δὲ, ὁ τὰ ῥάκη συρράπτων καὶ ἐνδύων τοὺς βασιλεῖς. ἢ ὁ τὰ τῶν ἄλλων ποιητῶν συλλέγων καὶ οἰκεῖα ἑαυτοῦ λογιζόμενος.] — τὰ ῥάκη συλλέγων. R.

844. [σπλάγχνα θερμήνης : Θυμὸς γάρ ἐστι ζέσις τοῦ περὶ τὴν καρδίαν αἵματος, δι' ὄρεξιν ἀντιλυπήσεως κινούμενος. ἢ ὀργὴ ἐναρχομένη. κότος δὲ, ὀργὴ θυμὸν ἐπιτηροῦσα. μῆνις δὲ ὀργὴ εἰς παλαίωσιν ἀποτιθεμένη. χόλος δὲ, ὀργὴ διοιδοῦσα. ὀργὴ δὲ, ἐπιθυμία τιμωρίας τοῦ ἠδικηκέναι δοκοῦντος (ἤγουν προσηκόντως. Vict.).] ἢ λύπη μεθ' ὑπολήψεως τοῦ ὀλιγωρεῖσθαι.

846. τὸν χωλοποιὸν : Διὰ τοὺς τρεῖς, Βελλεροφόντην, Φιλοκτήτην, Τήλεφον.

847. ἆρ' ἄρνα μέλαιναν : Ὡς τοιαύτης γινομένης θυσίας τῷ Τυφῶνι ἐπὶ τῷ λῆξαι τὰς καταιγίδας. — ἆρ' ἄρνα μέλαιναν : Τοιαῦτα γὰρ ἔθυον τῷ Τυφῶνι, ὁπότε στροβιλώδης ἐκινήθη ἄνεμος. τῶν γὰρ τοιούτων οὗτός ἐστιν ἔφορος. εἰκότως δὲ μέλαιναν, καὶ οὐ λευκὴν, ἐπειδὴ καὶ ὁ Τυφὼς μέλας. Br.

848. τυφὼς γὰρ ἐκβαίνει : (Οἷον ἀθρόως ἐκβαίνειν μέλλει.) τοὺς δὲ καταιγιδώδεις ἀνέμους τυφὼς καλοῦσι. τούτῳ ἐνόμιζον μέλανα ἄρνα σφάζειν, ὅπως λήξῃ τὸ πνεῦμα. εἰς τὸν Αἰσχύλον δὲ τοῦτο.

849. ὦ Κρητικὰς μὲν : (Ἐν γὰρ τοῖς Κρησὶν Ἴκαρον μονῳδοῦντα ἐποίησε. καὶ) οἱ μὲν εἰς τὴν τοῦ Ἰκάρου μονῳδίαν ἐν τοῖς Κρησί. θρασύτερον γὰρ δοκεῖ εἶναι τὸ πρόσωπον. Ἀπολλώνιος δὲ, ὅτι δύναται καὶ εἰς τὴν Ἀερόπην τὴν ἐν ταῖς Κρήσσαις εἰρῆσθαι· ἣν εἰσήγαγε πορνεύουσαν. οἶμαι δὲ διὰ τὰ ἐν τῷ Αἰόλῳ. Τιμαχίδας δὲ, διὰ τὴν (ἐν τοῖς Κρησὶ) μίξιν Πασιφάης πρὸς τὸν ταῦρον. [Ἄλλως. ἐκ τῶν ἐν τῷ Αἰόλῳ Κανάχης καὶ Μακαρέως, ἢ, ὥς τινες, Δανάης καὶ Μεγαρέως ἀδελφῶν. ἐδόκει γὰρ τοῖς παλαιοῖς πάνυ ἐναγὲς εἶναι ταῖς ἀδελφαῖς μίγνυσθαι. ἢ ὅτι ἡ Φαίδρα, ἧς τὸ πάθος ἐδραματούργησε, Κρῆσσα ἦν. καὶ γάμους ἀνοσίους λέγει, διὰ τὸ αὐτὴν ἐρασθῆναι μὲν Ἱππολύτου, ὃν ὁ Θησεὺς ἐξ Ἱππολύτης ἔσχε, μιᾶς τῶν Ἀμαζόνων, μὴ δυνηθεῖσαν δὲ τελέσαι τὸν ἔρωτα διὰ τὴν Ἱππολύτου σωφροσύνην, ἀγχόνῃ χρήσασθαι.]

852. πόνηρον ἐνταῦθα ἢ τὸν κακὸν νοεῖ, εὕρηται γὰρ καὶ οὕτως, ἢ τὸν γεωργόν. Cant. I.

854. ἵνα μὴ κεφαλαίῳ : Ἀντὶ τοῦ ἁδρῷ. καὶ ἐν Νεφέλαις [981] κεφάλαιον ῥαφανῖδος,

οὐδ' ἐλέσθαι δειπνοῦντ' ἐξῆν κεφάλαιον τῆς ῥαφανῖδος.

κεφαλαίῳ : Καθολικῷ καὶ μεγάλῳ. *Br.* κεφάλαιόν ἐστι τὸ πρὸς τὰ φύλλα καυλῶδες. οὐκ ἔτεμον δὲ κατὰ μῆκος ὡς νῦν, ἀλλὰ κατὰ κύκλον τὰς ῥαφανῖδας. *Vict.*

855. ἐκχέη τὸν Τήλεφον : Ὡσανεὶ ἔφη τὸν ἐγκέφαλον. ἰδιώτατα δὲ τὸν Τήλεφον κωμῳδεῖ.

857. ἔλεγχ' αὐτὸν, ἐλέγχου παρ' αὐτοῦ. *C. D.*

859. ὥσπερ πρῖνος : Ὅτι ἡ πρῖνος καιομένη ψόφον ποιεῖ. — ἔστι δὲ ἡ πρῖνος ξύλον πικρότατον. R. V. Θ.

861. ὡς ἐπὶ ἀλεκτρυόνων. R. V.

862. τὰ κεφάλαια. R.

864. κἄτι μάλα τὸν Τήλεφον : Ὡσεὶ ἔφη, καὶ ὃν κωμῳδεῖς Τήλεφον, εἰς μέσον φέρε.

868. ὅτιὴ ποίησις οὐχὶ συντέθνηκεν : Ἐπεὶ τὰ Αἰσχύλου ἐψηφίσαντο διδάσκειν. κομπῶδες δὲ τοῦτο ἔφη. τῶν γὰρ δυνατῶν καὶ μετὰ θάνατον ᾄδονται τὰ ποιήματα. — ὅτιὴ : Διότι. ποίησις : Ἡ. *D.*

869. τούτῳ δὲ συντέθνηκε : Συναποθανοῦσα πάρεστιν ἐνθάδε ἐν τῷ Ἅιδῃ, καὶ ἕξει αὐτὴν ξύμμαχον.

874. ὑμεῖς δὲ ταῖς Μούσαις : Πρὸς τὸν χορόν. ἴσον τῷ προάσατε, ὡς ὑπογραμμὸς, προγραμμός τις ὤν.

875. [Διὸς ἐννέα : Κορωνὶς καὶ εἴσθεσις ἐπῳδικὴ διὰ τὸ μετὰ τὴν κορωνίδα τίθεσθαι, ἐκ κώλων ἀναπαιστικῶν μὲν διμέτρων ἐφθημιμερῶν κατὰ τὰς περιττὰς χώρας, κατὰ δὲ τὰς ἀρτίας ἀντισπαστικῶν ἡμιολίων ἐξ ἐπιτρίτου τετάρτου, ἢ καὶ πενταπλάσου, πλὴν τοῦ τρισκαιδεκάτου ἰαμβικοῦ καθαροῦ ὄντος ἐφθημιμεροῦς· ἐφ ᾧ κορωνίς. ἑξῆς δὲ σύστημα κατὰ περικοπὴν ἀμοιβαῖον. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι δέκα· ὧν τελευταῖος

ὀρθῶς μ' ἐλέγχειν, ὧν ἂν ἅπτωμαι λόγων.

ἐπὶ τῷ τέλει παράγραφος.] — ἀντὶ τοῦ θυγατέρες. R. Ven.

876. περὶ Αἰσχύλου. R. V.

877. γνωμοτύπων : [Τῶν τὰς οἰκείας γνώμας διὰ τῶν λόγων τυπούντων. ἢ τῶν τύπους αὐτὰς τοῖς ὕστερον καταλιμπανόντων. ἢ] τῶν ταῖς γνώμαις ἀλλήλους τυπτόντων.

ὀξυμερίμνοις : Τοῖς μετὰ σκέψεως εὑρισκομένοις καὶ ἀσαφέσι.

881. ῥήματα καὶ παραπρίσματα : Τὰ μὲν ῥήματα πρὸς τὸν Αἰσχύλον, τὰ δὲ παραπρίσματα πρὸς τὸν Εὐριπίδην λεπτολόγον ὄντα.

886. Δήμητερ ἡ θρέψασα : Παρόσον Ἐλευσίνιος τῶν δήμων ἦν ὁ Αἰσχύλος. [ἢ ὅτι ἐν τοῖς Ἐλευσινίοις ἐτελεῖτο τὰ δράματα τοῦ Αἰσχύλου. ἔστι δὲ τοῦτο τὸ ἔπος Αἰσχύλου.]

887. λείπει ποίησον ἢ δός. R. M.

888. τὸν καρπόν. R. (καλῶς : Ὅτι καὶ νῦν τὸ καλῶς ἐπὶ παραιτήσει. ἀποστρεφόμενος δὲ καὶ παραιτούμενος ὁ Εὐριπίδης λέγει τὸ καλῶς.)

889. ἕτεροι γάρ εἰσιν οἵσιν εὔχομαι : Ὅτε δὴ Σωκρατικὸς ὢν καινὰ δαιμόνια ἔπλασεν.

890. ὡς ἐπὶ νομισμάτων. R.

891. (τοῖσιν ἰδιώταις θεοῖς : Τινὲς ἐν τῷ θεοῖς δύο τιθέασιν, ἵνα ἓν ᾖ τὸ, ἰδιοί τινές σοι κόμμα καινόν.)

892. αἰθὴρ ἐμὸν βόσκημα : (Καὶ Σωκράτης ἐν Νεφέλαις [627]

μὰ τὴν ἀναπνοὴν, μὰ τὸ χάος, μὰ τὸν ἀέρα.)

χαρακτηρίζει δὲ Εὐριπίδην, εὐεπίφορον ὄντα ἐπὶ τὸ ὀνομάζειν αἰθέρα. στρόφιγξ δὲ, ἀπὸ τοῦ στρέφειν αὐτὸν καὶ πανουργεύεσθαι. — ἀντὶ τοῦ στροφὴ, κίνησις. R. [μυκτῆρες δὲ ὀσφραντήριοι, ὡς συντελούντων τῶν μυκτήρων εἰς τὴν φωνήν.]

894. λείπει τὸ ποιήσατε R. δότε ἢ θελήσατε. Θ.

895. [καὶ μὴν ἡμεῖς : Κορωνὶς καὶ εἴσθεσις χοροῦ προῳδικὴ, ὅτι προτίθεται τῆς διπλῆς, ἐκ κώλων τροχαϊκῶν ιδ'· ὧν τὰ μὲν α', β', ε', ς', η', θ', ια', ιϐ', ιδ' δίμετρα ἀκατάληκτα, τὰ δ' ἄλλα ἐφθημιμερῆ, πλὴν τοῦ παρατελεύτου μονομέτρου ἀκαταλήκτου ὄντος. ἐπὶ τῷ τέλει κορωνίς.]

896. [λόγων ἐμμέλειαν : Ὅτι καταχρηστικῶς νῦν τὴν εὐρυθμίαν. κυρίως γὰρ ἡ μετὰ μέλους τραγικὴ ὄρχησις. οἱ δὲ, ἡ πρὸς τὰς ῥήσεις ὑπόρχησις.] — ἔπιτε : ἐπέλθετε. *R. D.*

897. δαΐαν ὁδὸν : Ἀγωνιστικὴν, ἔμπειρον, (ἀπὸ τοῦ δαῆναι). — ἢ φιλόνεικον. R. ἤγουν μαθεῖν. *Vict.* ἐπὶ τούτοις δὲ δαΐαν ὁδὸν, ἔμπειρον. ἢ ἀντὶ τοῦ φιλόνεικον.

900. (προσδοκᾶν οὖν : Ἔθος τοῖς ποιηταῖς προλέγειν,

ἃ εἰς τὸ ἑξῆς λέγειν μέλλουσι. κἀνταῦθα οὖν οὗτος τοῦτο ποιεῖ.)

902. κατερρινημένον : Ἐξεσμένον. ῥίνη γὰρ ἐργαλεῖον τεκτονικόν, (ᾧ ῥινοῦσιν. ἢ εὐτελὲς, ὅτι ἐξευτελίζομεν τῇ ῥινί). — τὸν Εὐριπίδην. R.V.

903. αὐτοπρέμνοις : Δυσκόλοις, προρρίζοις, ἢ μεγάλοις. — τὸν Αἰσχύλον. V.

904. ἀλινδήθρας : (Συναγωγὰς, στροφὰς, λεπτολογίας, πλοκὰς τοῦ Εὐριπίδου.) — ἀλινδῆθραι ἀπὸ τοῦ ἁλίζω, τὸ συναθροίζω. *Vict.* κυλίστρας. R.

905. [ἀλλ' ὡς τάχιστα : Εἴσθεσις διπλῆς ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν Ἱππωνακτείων τετραμέτρων καταληκτικῶν ξς'· ὧν τελευταῖος

πέπτωκεν ἔξω τῶν κακῶν, οὐ Χῖος, ἀλλὰ Κῖος.

ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα.]

907. οἷον τὸν ἐμὸν χαρακτῆρα. R

908. ἐν τοῖς τελευταίοις. R.

910. παρὰ Φρυνίχῳ τραφέντας : (Ἀπατεὼν γὰρ, ὡς ἀφελέστερος ὁ Φρύνιχος. νῦν δὲ) Φρύνιχον λέγουσι τὸν τραγῳδοποιητήν. τοῦτον δὲ ἐπαινοῦσιν εἰς τὴν μελοποιίαν. νυνὶ δὲ ὡς ἀφελοῦς ὄντος αὐτοῦ μνημονεύει ὁ Ἀριστοφάνης. ἦν δὲ πρὸ Αἰσχύλου.

911. ἐγκαλύψας : Ὡς αὐτοῦ εἰσφέροντος ἐν δράματι τινὰ κεκαλυμμένον. ὁ Ἀχιλλεὺς δὲ καθήμενός ἐστι καὶ οὐκ ἀποκρινόμενος παρ' Αἰσχύλῳ ἐν δράματι ἐπιγραφομένῳ Φρυξὶν ἢ Ἕκτορος λύτροις. οὐδὲν δὲ ὁ Ἀχιλλεὺς φθέγγεται. (Ἄλλως. εἰκὸς τὸν ἐν τοῖς Φρυξὶν Ἀχιλλέα ἢ Ἕκτορος λύτροις· ἢ τὸν ἐν Μυρμιδόσιν, ὃς μέχρι τριῶν ἡμερῶν οὐδὲν φθέγγεται.)

913. (οὐδὲ τουτί : Εἰκὸς αὐτὸν ἀποκροτοῦντα τῷ δακτύλῳ δεικνύειν τὸ οὐδὲ τουτί.) [τὸ δὲ, οἱ δ' ἐσίγων, ὁ Ἀχιλλεὺς, φασὶ, καὶ ἡ Νιόβη.]

914. σωρούς. R.

916. καί με τοῦτ' ἔτερπε : Μᾶλλον τῇ σιωπῇ ἐτερπόμην ἢ τοῖς νῦν λαλοῦσιν. ὅτι οἱ πολλοὶ ἐν σκηνῇ ἐλάλουν.

917. πρὸς τὸν Διόνυσον. R.

918. ὁ δεῖνα : Ὅτι ἐπὶ δείξεως. δείκνυσι γὰρ τὸν Αἰσχύλον παρόντα.

920. διήει : Ἀνύοιτο (ἂν, εἰς τέλος ἂν ἦλθεν).

921. [ὦ παμπόνηρος : Ἢ ἐγὼ, ἢ αὐτὸς νόει. καὶ πρὸς μὲν τὸν Διόνυσον, ὦ παμπόνηρος ἐγὼ, ὁ εἰς πάντα πονηρευόμενος καὶ πάντα ἐξετάζων, οἷα ἐφενακιζόμην ὑπ' αὐτοῦ ἐπὶ τούτῳ· πρὸς δὲ τὸν Αἰσχύλον, στίζον εἰς τὸ παμπόνηρος, καὶ τὸ ὦ ἀντὶ τοῦ φεῦ· ὦ παμπόνηρος ὑπάρχει αὐτὸς, ταῦτα πονηρευόμενος εἰς ἀπάτην τῶν θεατῶν.] — ὑπὸ τοῦ Αἰσχύλου. R.

922. τί σκορδινᾷ : Οὕτως ἔλεγον τὸ παρὰ φύσιν τὰ μέλη ἐκτείνειν, σκορδινᾶσθαι. γίνεται δὲ περὶ τοὺς ἐγειρομένους ἐξ ὕπνου, ὅταν χασμώδεις ὄντες ἐκτείνωσι τὰ μέλη· ὅπερ συμβαίνει καὶ περὶ τοὺς ἄλλως πως βασανιζομένους καὶ διαστρεφομένους τὰ μέλη. — σκορδονιᾷ : Δριμύτατα βλέπεις. δριμέα γὰρ τὰ σκόροδα. *Cant.* I.

924. βόεια : [Μεγάλα καὶ κτύπου πλέα, ὀφρῦς ἔχοντα,] ὑψηλὰ καὶ ὑπερήφανα.

925. μορμορωπὰ : Καταπληκτικὰ, φοβερά. ἐκ μεταφορᾶς τῆς μορμοῦς, τῆς τὰ βρέφη φοβούσης.

926. ἄγνωτα τοῖς θεωμένοις : (Ἀπὸ τοῦ ἄγνωτος. οὐ γὰρ παρασχηματίζεται ἀπὸ τοῦ ἀγνὼς εἰς οὐδέτερον γένος, ὥς φησιν Ἡρωδιανός.) — ἄγνωστα. R.

928. ἢ Σκαμάνδρους : Χαρακτηριστικὸν καὶ τοῦτο· ὅτι πολὺς Αἰσχύλος ἐν τῷ ποταμοὺς καὶ ὄρη λέγειν.

929. γρυπαιέτους : Ἐπίσημα ἀσπίδος ἀλλόκοτα. (εἰώθασι γὰρ ζωγραφεῖν εἰς τὰς ἀσπίδας ἀετούς.) ζητεῖται δὲ, ποῦ μᾶλλον τὸ ἢ συναπτέον· εἰς τὸ, ἢ π' ἀσπίδων ἐπόντας· ἢ τοῖς ἄνω· ἢ τῷ γρυπαιέτους χαλκηλάτους. — Ἄλλως. ἐπὶ ἀσπίδων ὄντας. R.

931. ἤδη ποτ' ἐν μακρῷ : Παρὰ τὸ ἐξ Ἱππολύτου [378]

ἤδη πότ' ἄλλως νυκτὸς ἐν μακρῷ χρόνῳ.

932. προείρηται ὅτι ἐκ τῶν Μυρμιδόνων ἐστὶν ἐπὶ νεὼς « ἐπὶ δ' αἰετὸς ξουθὸς ἱππαλεκτρυών. » τὸ δὲ ἵππος ἐπὶ τοῦ μεγάλου. R. ἱππαλεκτρυόνα : Γράφεται κολοκτρυόνα, ὡς γένος τι Περσικὸν ἀττελάβοις ὅμοιον. [Ἄλλως. ἱππαλεκτρυὼν εἰ καὶ τοῖς φιλοσόφοις ἀπηγόρευται μὴ εἶναι, ἀλλ' ἐστὶ τῇ ἀληθείᾳ ζῷον θαλάσσιον, ὃν καί τις τῶν καθ' ἡμᾶς εὑρὼν κατὰ τύχην ἐξιόντα ἀπεκτονὼς καὶ πᾶσι νεκρὸν δείξας, ἐνέγραφεν ἐν τῇ σημαίᾳ αὐτοῦ καὶ τῇ ἀσπίδι, ὡς ἂν καὶ τοῖς μὴ εἰδόσιν ὁ ἆθλος κηρύττοιτο. τινὲς δὲ τὸ ἵππος ἐπὶ τοῦ μεγάλου.]

934. Ἔρυξιν : Οὗτος γὰρ ὡς ἄμορφος καὶ ἀηδὴς διαβάλλεται. — ἵνα διαβάλλῃ αὐτὸν ὡς ἀμορφον. R. V. Θ. Μ. οὗτος γὰρ ὡς κτηνοβάτης ἐκωμῳδεῖτο, ἢ ὡς ἀηδής. Θ.

937. ὥσπερ σύ. R.

938. παραπετάσμασι : [Ταῖς σκηναῖς,] τοῖς Περσικοῖς βήλοις, [ἢ βηλοθύροις.]

939. ἐγὼ δηλονότι. R.

940. κομπώδη οὖσαν. R.V.

941. ἔξυσα. R.

942. [ἐπυλλίοισιν : Ἀντὶ τοῦ λογίοις μικροῖς· ὡς δὲ βρέφος βρεφύλλιον, καὶ εἶδος εἰδύλλιον· οὕτω καὶ ἔπος ἐπύλλιον.]

περιπάτοις : Εἰώθασι γὰρ οἱ κακούμενοι περιπατεῖν. ἢ ἀντὶ τοῦ διατριβαῖς. ὡς ἐπὶ ἀσθενοῦντος δὲ διαλέγεται. [ἐκ μεταφορᾶς τῶν λεπτυνομένων σωμάτων διὰ τῆς καθάρσεως.]

[τευτλίοισι : Εἰώθασιν οἱ τῶν ἰατρῶν παῖδες τὰς τῶν σωμάτων καθάρσεις διὰ περιπάτων καὶ τεύτλων λευκῶν καὶ ἑτέρων ποτῶν ποιεῖσθαι. τὸ δὲ ἐπυλλίοις ἀντὶ τοῦ λογίοις μικροῖς. Cant. I. 2. μικροῖς : Γράφεται λευκοῖς.]

943. χυλὸν διδοὺς : Οὐκ ἀπὸ πτισάνης, ἀλλ' ἀπὸ ἠθῶν ἀνδρῶν καὶ βιβλίων. [γράφεται δὲ καὶ ἀπηθῶν, ἀντὶ τοῦ ἐκλεγόμενος. μογῳδίαις δὲ, γυμνάσμασι μογῳδικοῖς.]

944. Κηφισοφῶντα : Ὅτι ἐδόκει δοῦλος ὢν ὁ Κηφισοφῶν συμπονεῖν αὐτῷ, καὶ μάλιστα τὰ μέλη, ὃν καὶ συνεῖναι τῇ γυναικὶ αὐτοῦ κωμῳδοῦσιν. (ἕτερος δέ ἐστι Κηφισοφῶν ὁ καὶ τὸ ψήφισμα εἰσενεγκὼν ὑπὲρ τοῦ εἰρχθῆναι τῆς ἐν πρυτανείῳ σιτήσεως.)

946. τὴν ὑπόθεσιν. R.

947. [ἢ τὸ σαυτοῦ : Ὅτι δυσγενὴς ὁ Εὐριπίδης. ἐπῶν δέ, τῶν ἰαμβείων. ἔπη γὰρ καὶ αὐτὰ καλοῦσιν.]

948. [ἀργόν : Ὥσπερ σὺ τὴν Νιόβην καὶ τὸν Ἀχιλλέα ἐποίησας μηδὲν λέγοντας.]

949. ἡ γυνή τέ μοι χώ δοῦλος : Ἀντὶ τοῦ τὰ αὐτά. καὶ εἰς τοῦτο κωμῳδεῖται ὁ Εὐριπίδης, ὅτι διαφόροις τοῖς προσώποις ἀνοικείους λόγους περιτίθησιν.

950. ὅτι καὶ παρθένος ἐν τραγῳδίαις λέγει. R. V.

951. [ταῦτα : Τὸ τοὺς δούλους τοῖς δεσπόταις ἰσοτίμους ποιεῖν.]

952. δημοκρατικὸν : Τὰ περὶ δημοκρατίας καὶ ἰσότητος, φησὶν, ἔασον. ἐμὸν γάρ ἐστι μᾶλλον ἐμπεριπατῆσαι περὶ τούτου, οὐ σόν. παρόσον ἡσυχίας καὶ εἰρήνης ὁ θεὸς αἴτιος. (ἔασον οὖν ὦ τᾶν· ὀρθῶς γάρ σου κατηγορεῖ ἐπὶ τῇ πάντων ἀδολεσχίᾳ ὁ Αἰσχύλος, καὶ οὐκ ἂν ἔχοις ἐμπεριπατῆσαι οὐδὲ ἐπαινέσαι σεαυτὸν ἐπὶ τούτῳ.) [Ἄλλως. οὐ δεῖ σε, φησὶ, ζητεῖν ὅπως ἂν ἀποδείξῃς ὡς κάλλιστα τοῦτο ἐποίεις. οὐ γὰρ καλὸν ἐξ ἴσου τοὺς δούλους τοῖς δεσπόταις παρρησιάζεσθαι. περίπατος δὲ διατριβή.]

954. τοὺς ἐν δράματι. R.

956. γωνιασμοὺς : Πλαγιασμοὺς, ἀπάτας. καχυποτοπεῖσθαι δὲ, ἀντὶ τοῦ κακὰ ὑπονοεῖν, ἐάν τις εἰς αὐτοὺς τεχνάσηται. — ἀποφυγὰς καὶ ἀπαγωγάς. R. M.

958. κάχ' ὑποτοπεῖσθαι : Τὸ τέλειον κακὰ ὑπονοεῖν. R. V. ὑπονοεῖν, ἐάν τις εἰς αὐτοὺς τεχνάσηται. *E.*

960. εἰ κακῶς ἔλεγον. R. V.

961. οὐκ ἐκομπολάκουν : Κενοὺς οὐκ ἐποίουν ψόφους. οὐκ ἔλεγον κομπώδη ὡς ὁ Αἰσχύλος. — ἐμεγαλορρημόνουν. Θ.

962. ἀπὸ τοῦ φρονεῖν ἀποσπάσας : Οὐ τὴν φρόνησιν αὐτῶν ἀφειλόμην, ἀπὸ τοῦ φρονεῖν καὶ συνεῖναι τὸ λεγόμενον ἀποσπάσας αὐτούς.

963. [Κύκνους : Ὅτι δύο Κύκνοι ἐγένοντο· ὁ μὲν Ἄρεος υἱὸς, ὁ ὑφ' Ἡρακλέους φονευθεὶς, ὡς ἐν τῇ Ἀσπίδι Ἡσίοδος, ὁ δὲ Ποσειδῶνος, ὁ ὑπ' Ἀχιλλέως· ὡς καὶ Πίνδαρος ἱστορεῖ.]

κωδωνοφαλαροπώλους : Ἀπολλώνιός φησιν ὅτι παρήνεγκε χρωμένους κώδωσί τινας. [κώδωνας ἐν τοῖς φαλάροις καὶ χαλινοῖς τῶν ἵππων ἔχοντας.]

965. Φορμίσιος : Δίδυμός φησιν ὅτι Φορμίσιος δραστικὸς ἦν καὶ τὴν κόμην τρέφων καὶ φοβερὸς δοκῶν εἶναι. διὸ καὶ Αἰσχύλου μαθητὴν αὐτόν φησιν εἶναι. βαθὺς δὲ ἦν καὶ καθίει τὸν πώγωνα. κωμῳδεῖται δὲ καὶ εἰς δωροδοκίαν.

Μεγαίνετός θ' ὁ Μάνης : Ὁ Μεγαίνετος, ὅτι οὐ πάντως βάρβαρος, ἀλλ' ἀναίσθητος καὶ οὐκ ἀστεῖος. αὐθάδης δὲ οὗτος καὶ τῶν στρατηγιώντων ἐστὶ καὶ ἄλλως θρασύς. τινὲς δὲ δούλων ὀνόματα. — Μεγαίνετός θ' ὁ Μάγνης : Ἀμφότεροι βάρβαροι. *A.*

966. σαλπιγγολογχυπηνάδαι : Σάλπιγγας καὶ λόγχας καὶ ὑπήνας ἔχοντες. τοῦτο δὲ εἰς τὸν Φορμίσιον ἀποτείνει — ὡς μέγαν ἔχοντα πώγωνα. εἶπε δὲ συνθέτως τὸ μὲν ἀπὸ τοῦ πολέμου, τὸ δὲ ἀπὸ τοῦ πώγωνος. R. V. Θ. M.

σαρκασμοπιτυοκάμπται : Ὡς σαρκάζοντας μὲν καὶ προσποιουμένους τὰ πολεμικὰ, οὐκ ἀληθῶς δὲ τοιούτους· ἰσχύος δὲ ἐπιμελουμένους. διὸ καὶ τὸν Μεγαίνετον Μάνην εἶπεν, οὐ πάντως βάρβαρον, ἀλλ' ἀναίσθητον. ἐπίτηδες δὲ ἐχρήσατο τοῖς συνθέτοις διὰ τὸ Αἰσχύλου ἦθος. — ἀντὶ τοῦ μεγάλαι. R. V. [Ἄλλως. σαρκασμοπιτυοκάμπτης συνετέθη παρὰ τὸ σαρκασμὸς καὶ τὸ πίτυς καὶ τὸ κάμπτω. ἔστι δὲ σαρκασμὸς εἰρωνεία δακνηρὰ καὶ βαρύτης, ὅθεν καὶ τὴν κλῆσιν ἔχει ὡς οἷά τι θηρίον σαρκὶ ἐμφυές. ἄλλοι δὲ σαρκασμοὺς νοοῦσι τοὺς μαλακοὺς καὶ φθορεῖς ἀπὸ τοῦ τὰς σάρκας κάμπτειν, ἤτοι συνθλίβειν δίκην πίτυος. ἔστι δὲ καὶ πιτυοκάμπτης φάρμακον φθοροποιὸν, ὡς ἐν τοῖς νόμοις εὕρηται. Victor. βυκινοκονταρογέναι. μαλακοὶ καὶ φθορεῖς. Θ.]

967. Θηραμένης : Ὡς ἀστεῖος (καὶ πιθανὸς), Κλειτοφῶν δὲ ὡς ἀργὸς ἐκωμῳδεῖτο. νῦν δὲ ὡς παλίμβολον καὶ πανοῦργον βούλεται τοῦτον ἀποδεῖξαι, καὶ παραπλήσιον Θηραμένει. — ὁ ἀστεῖος. R.

970. οὐ Χῖος, ἀλλὰ Κῖος : (Ὅτι δοκεῖ προσγεγράφθαι τῇ πολιτείᾳ, Ἀγνώνος αὐτὸν ποιησαμένου, ὡς Εὔπολις Πόλεσιν. Ἀρίσταρχος δὲ ὡς γεγραμμένου Κῷος ἐξηγεῖται· ὅτι πρὸς τὸ Κῷος εἰσήγαγε τὸ Χῖος. τὸν γὰρ ἀντίστροφον τῷ Χίῳ λέγεσθαι.) τοῦτο οὖν φησιν, ὅτι οὐδέποτε κακοβολεῖ ὁ Θηραμένης ὡς ἐν ἀστραγάλοις, ἀλλ' ἐπιτυγχάνει. ἐπιπλήττει δὲ αὐτῷ ὁ Δημήτριος, ὡς τελέως ἀγνοοῦντι ὅτι Κῖος ἦν. (παραλείπει δὲ ὅμως καὶ αὐτὸς ὅτι οὐδὲν ἧττον παρὰ τὴν ὑπόνοιαν εἴρηται ἀντὶ τοῦ Κῷος Κῖος. Δίδυμος δέ φησιν ὅτι δύναται καὶ τῆς παροιμίας μεμνῆσθαι, οὐ Χῖος, ἀλλὰ Κῖος, παρόσον ποικίλος τις ὢν καὶ ἀγχίστροφος, καθωμίλει τοὺς καιροὺς, πρὸς τὸ κρεῖττον μέρος ἀεὶ διδοὺς ἑαυτόν. Κῷος δὲ ἐλέγετο εἶναι.)

971. τοιαῦτα μέντοι 'γὼ φρονεῖν : Τὸ πλῆρες μέντοι ἐγώ. [εἴσθεσις τῆς διπλῆς εἰς δύο περιόδους διῃρημένη, ἐκ κώλων ἰαμβικῶν διμέτρων ἀκαταλήκτων κα'. εἰσὶ δὲ τῆς μὲν πρώτης περιόδου κῶλα θ', τῆς δὲ δευτέρας κῶλα δυοκαίδεκα. ἧς τὰ η', ια', ιϐ', καταληκτικά εἰσιν. ἐπὶ τῷ τέλει τῆς μὲν πρώτης περιόδου παράγραφος, τῆς δὲ δευτέρας δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος, ἀμφότεραι ἔξω νενευκυῖαι.]

973. τῇ τραγῳδίᾳ. R. V.

974. διαγινώσκειν. R. V.

976. καὶ τὰς οἰκίας : Προσέχειν τῇ οἰκίᾳ καὶ οὐ πολέμοις.

980. ἐκ τῆς λεπτολογίας Εὐριπίδου μεμαθηκὼς καὶ πεπαιδευμένος. R. V.

983. ποῦ 'στιν ἡ χύτρα : Ταῦτα πάντα μικροπρεπείας παραδείγματα.

985. τὸ πινάκιον. οἱ δέ φασι τὸ σαλτζάριον. Θ.

986. τέθνηκέ μοι : Ἀντὶ τοῦ κέκλασται, (ἢ ἀπώλετο. πρὸς τὰς λέξεις Εὐριπίδου).

988. τῆς ἐλάας : Μέχρι καὶ τῶν εὐτελῶν ἐρωτῶσιν. (ἐλάα δὲ ὁ καρπὸς τῆς ἐλαίας. καταχρηστικῶς δὲ θάτερον ἀντὶ θατέρου λαμβάνεται.)

990. Μαμμάκυθοι : (Ἀρίσταρχός φησιν ὠνοματοπεποιῆσθαι. πῶς οὖν, Δημήτριός φησιν, εἰ μὴ σύνηθες αὐτοῖς τὸ ὄνομα, οὗ καὶ δρᾶμα ὅλον οὕτως ἐπιγέγραπται Μαμμάκουθοι; ὅ τινες Πλάτωνος λέγουσιν. Ἄλλως.) ἀντὶ τοῦ μαμμόθρεπτοι. Δίδυμος, ὅτι Μαμμάκυθος καὶ Μελητίδης ἐπὶ μωρίᾳ διεβέβληντο, καθάπερ καὶ ὁ Βουταλίων καὶ ὁ Κόροιβος. (Μελιτίδην δὲ, τὸν εὐήθη· παρὰ τὸ μέλι. ἢ καὶ γέγονέ τις οὕτω μωρός.)

992. τάδε μὲν λεύσεις φαίδιμ' : [Κορωνὶς καὶ εἴσθεσις χοροῦ, ἐπῳδικὴ μὲν διὰ τὸ μετὰ τὴν διπλῆν κεῖσθαι, προῳδικὴ δὲ διὰ τὸ προτίθεσθαι ἑτέρας διπλῆς, ἐκ κώλων ιγ'. ὧν τὸ α' ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ β' ἰαμβικὸν τρίμετρον ἀκατάληκτον. τὰ γ', ς', ιγ' τροχαϊκὰ ἑφθημιμερῆ. τὰ δὲ λοιπὰ ἀκατάληκτα καὶ δίμετρα, πλὴν τοῦ μονομέτρου παρατελεύτου. ἐν ἐκθέσει δὲ στίχοι δύο ἀναπαιστικοὶ τετράμετροι καταληκτικοί, ὅμοιοι τοῖς ἑξῆς διπλῆς ἀμοιβαίας εἰσθέσεως ἑβδομήκοντα κώλοις, ὧν τελευταῖον

καὶ μινθῶσαι τὸν ξύσσιτον κἀκβάς τινα λωποδυτῆσαι.

ἐπὶ τῷ τέλει τῆς μὲν προῳδικῆς χορωνίς· τῶν δὲ τεταμέτρων διπλῆ ἔξω νενευκυῖα.] πρὸς τὸν Αἰσχύλον ὁ χορὸς ἀπὸ τῶν αὐτοῦ. ἔστι δὲ ἀρχὴ αὕτη Μυρμιδόνων Αἰσχύλου. τοῦτο δὲ παρὰ τὴν ὑπόνοιαν.

995. ἐκτὸς οἴσει : (Ἀντὶ τοῦ, ἐκτὸς τῶν ὡρισμένων λόγων.) ἐμφαίνει δέ τι ὡρισμένον λέγειν, καὶ μάλιστα ὡς ἐπ' ἄκρου ἱπποδρόμου ἐλαῖαι ἦσαν, καθ' ἃς ἐξεφέροντο οἱ ὑποπίπτοντες κατὰ τὸν δρόμον. θέλει δὲ εἰπεῖν, ἐκτὸς τοῦ προκειμένου. ἢ ἐπεὶ εἶπεν ὁ Διόνυσος

τίς τῆς ἐλάας παρέτραγεν;

παρὰ τὸ παρέτραγε παίζων ὁ χορὸς τοῦτό φησι

μή σ' ὁ θυμὸς ἁρπάσας
ἐκτὸς οἴσῃ τῶν ἐλαῶν.

[Ἄλλως. ἐν τῷ τέλει τοῦ τόπου οὗ ἐτελεῖτο ὁ δρόμος, ἐλαῖαι στιχηδὸν ἵστανται, οὖσαι κατάντημα τοῦ δρόμου, καὶ οὐδεὶς ἐπέκεινα τούτων ἐχώρει. ὅστις οὖν πέρα τοῦ δέοντος ἔπραττέ τι, ἔλεγον ὡς ἐκτὸς τῶν ἐλαιῶν φέρεται. ἐπεκράτησε δὲ εἰς παροιμίαν.] — σημείωσαι δὲ ὅτι μὴ μόνον ἐλαία, ἀλλὰ καὶ ἐλάα παρὰ ποιηταῖς τε καὶ λογογράφοις εὕρηται. Cant. I.

1000. [χρώμενος τοῖς ἱστίοις : Λείπει ὁ καί. ἔστι γὰρ, καὶ ἄκροισι χρώμενος.] [τοῦτο δὲ εἴρηκεν ἐκ μεταφορᾶς τῶν πλεόντων, οἳ, ὅταν πνεῦμα σφοδρὸν ἐμπνεύσῃ, συστέλλουσι τὰ ἱστία, ἵνα μὴ τῇ βιαίᾳ τούτου φορᾷ ἀνατραπείη τὸ σκάφος. χαλῶντες δὲ ἤδη κατὰ μικρὸν ἄγουσι τὴν ναῦν εἰς τὸ πρόσω τοῦ πλοῦ. ἄκροισι δὲ τοῖς ἐν ἄκρῳ δεχομένοις τὸ πνεῦμα καὶ μὴ κατὰ τὸ μέσον.]

1001. ἐπάξεις τὸν λόγον κατ' αὐτοῦ. R.V.

1004. [πυργώσας : Ἔτι ὁ χορὸς αὐξήσας καὶ μεγάλα οὖν εἰπών.]

1005. τραγικὸν λῆρον : (Παρ' ὑπόνοιαν,) ἀντὶ τοῦ τέχνην. τραγικὸν δὲ, ὅτι ἀλλήλους διαβάλλουσι κωμικοὶ καὶ τραγικοί.

1011. ἐκ χρηστῶν καὶ γενναίων : Ἀλλ' ἀπὸ καλῶν κακοὺς καὶ αἰσχροτέρους ἐποίησας. μοχθηροὺς δὲ, ἀντὶ τοῦ αἰσχροτέρους.

1012. (τεθνάναι· μὴ τοῦτον ἐρώτα : Οὐδὲ τοῦτο συκοφαντητέον, ὅτι νεκρὸν λέγει τεθνάναι. ἴσως γὰρ πρὸς τὸ γελοῖον ἐπιτετήδευται.) γελοίου χάριν εἶπεν. ἤδη γὰρ ἀπέθανε.

1014. διαδρασιπολίτας : Ἀντὶ τοῦ, δειλούς. μὴ ἀποδιδράσκοντας τὴν πολιτείαν.

1015. κοβάλους : [Ἐκ παραλλήλου κοβάλους καὶ] πανούργους.

1017. ἑπταβοείους : Ἀντὶ τοῦ μεγάλους· ἀπὸ μεταφορᾶς τῆς ἀσπίδος τοῦ Αἴαντος.

1018. [κρανοποιῶν : Κράνη καὶ λόφους διηγούμενος ἀφανιεῖ με τῷ πατάγῳ τῶν ὀνομάτων.]

1021. τοὺς ἑπτ' ἐπὶ Θήβας : Οἱ Πέρσαι πρότερον δεδιδαγμένοι εἰσίν· εἶτα οἱ ἑπτὰ ἐπὶ Θήβας. νῦν δὲ τὸ ὕστερον πρότερον εἶπε. (πλὴν οὐδὲ τῷ ποιητῇ ἐγκλητέον.) οὐδὲ γάρ ἐστιν ἀκριβῶσαι τὸ τοιοῦτον, οὐδὲ τοῖς ἀπελέγχουσιν αὐτόν.

1023. (Θηβαίους γὰρ πεποίηκας : Δῆλον ὡς οὐ φίλων ὄντων τοῖς Ἀθηναίοις τῶν Θηβαίων, ἀλλὰ διαφερομένων.) — ἀνδρειοτέρους : Τῶν Ἀργείων, ὧν πολὺ κατὰ πόλεμον κλέος. Θ. *Br.*

(1025). ἀλλ' ὑμῖν αὖτ' ἐξῆν : Ὑμῖν ἐξῆν τοῖς Ἀθηναίοις μιμήσασθαι [καὶ ἀσκεῖν τὰ πολεμικά]. — αὖτ' : Τὰ πολεμικά. *Br.*

οὐκ ἐπὶ τοῦτο : Ἀλλ' εἰς ἐγκλήσεις καὶ δικορραφίας· κατηγορεῖ δὲ Ἀθηναίων ἐντεῦθεν.

1026. (τοὺς Πέρσας : Αἰσχύλου δρᾶμα οὕτω καλούμενον. τὸ δὲ εἶτα, καὶ τὸ μετὰ τοῦτο, οὐ θέλουσιν ἀκούειν πρὸς τὰς διδασκαλίας, ἀλλ' ἐν ἴσῳ τῷ καὶ τοῦτο ἐδίδαξα καὶ τὸ ἕτερον.)

1028. ἐχάρην γοῦν ἡνίκ' ἤκουσα : Ἐν τοῖς φερομένοις Αἰσχύλου Πέρσαις οὔτε Δαρείου θάνατος ἀπαγγέλλεται οὔτε χορὸς τὰς χεῖρας συγκρούσας λέγει ἰαυοῖ, ἀλλὰ τὰ μὲν πράγματα ὑπόκειται ἐν Σούσοις καὶ περίφοβός ἐστιν ἡ μήτηρ Ξέρξου ἐξ ὀνείρου τινός· χορὸς δὲ Περσῶν γερόντων διαλεγόμενος πρὸς αὐτὴν, εἶτα ἄγγελος ἀπαγγέλλων τὴν περὶ Σαλαμῖνα ναυμαχίαν καὶ τὴν Ξέρξου φυγήν. (Χαῖρις δέ φησι τὸ Δαρείου ἀντὶ τοῦ Ξέρξου. σύνηθες γὰρ τοῖς ποιηταῖς ἐπὶ τῶν

υἱῶν τοῖς τῶν πατέρων ὀνόμασι χρῆσθαι. πρὸς ὃν ἐστιν εἰπεῖν ὅτι ἐν τῷ δράματι [297] λέγεται

Ξέρξης μὲν αὐτὸς ζῇ τε καὶ βλέπει φάος.

Ἡρόδικος δέ φησι διττὰς γεγονέναι τὰς καθέσεις, καὶ τὴν τραγῳδίαν ταύτην περιέχειν τὴν ἐν Πλαταιαῖς μάχην. δοκοῦσι δὲ οὗτοι οἱ Πέρσαι ὑπὸ τοῦ Αἰσχύλου δεδιδάχθαι ἐν Συρακούσαις, σπουδάσαντος Ἱέρωνος, ὥς φησιν Ἐρατοσθένης ἐν γ' περὶ κωμῳδιῶν. Ἄλλως. Δίδυμος, ὅτι οὐ περιέχουσι θάνατον Δαρείου οἱ Πέρσαι τὸ δρᾶμα. διὸ τινὲς διττὰς καθέσεις τουτέστι διδασκαλίας τῶν Περσῶν φασι, καὶ τὴν μίαν μὴ φέρεσθαι. τινὲς δὲ γράφουσι Δαρείου τοῦ Ξέρξου. οἱ δὲ ὅτι τοῖς κυρίοις ἀντὶ τῶν πατρωνυμικῶν κέχρηνται, καὶ ὅτι ὁ Ξέρξης, οἱ δὲ, ὅτι εἴδωλον Δαρείου φθέγγεται, ἐκείνου τεθνηκότος δηλονότι.)

1032. Ὀρφεὺς γὰρ τελετάς θ' ἡμῖν : Ὅτι πολλὴ δόξα κατεῖχε περὶ Ὀρφέως, ὡς τελετὰς συντετάχοι.

1033. Μουσαῖος δὲ : Τὸν Μουσαῖον παῖδα Σελήνης καὶ Εὐμόλπου Φιλόχορός φησιν. οὗτος δὲ παραλύσεις καὶ τελετὰς καὶ καθαρμοὺς συνέθηκεν. ὁ δὲ Σοφοκλῆς χρησμολόγον αὐτόν φησι.

Ἡσίοδος δὲ : Ὡς πρώτου ὄντος Ἡσιόδου μέμνηται.

1035. (χρήστ' ἐδίδαξε : Τινὲς συναλοιφὴν λέγουσιν. χρηστὰ δὲ ἀντὶ τοῦ χρήσιμα.)

1036. (καὶ μὴν οὐ Πανταχλέα : Διαβάλλει τὸν Παντακλέα ὡς ἀμαθῆ ἐν τῷ ὁπλίζεσθαι. μέμνηται δὲ τούτου καὶ Εὔπολις ἐν Χρυσῷ γένει « Παντακλέης σκαιός. »)

1037. ἐπόμπευεν. R.

1038. τὸ κράνος πρῶτον περιδησάμενος : Δέον ἐπιδῆσαντα τὸν λόφον τότε τὸ κράνος περιθέσθαι. καὶ Ὅμηρος [Il. Γ, 336] ἐμφαίνει τοῦτο

κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὐτυκτον ἔθηκεν,
ἵππουριν, (δεινὸν δὲ λόφος καθύπερθεν ἔνευε).

1039. [Λάμαχος ἥρως : Ὁ Λάμαχος οὗτος ἄριστος ἦν τὰ πολεμικά. ἦν δὲ ἐπὶ τῶν χρόνων Αἰσχύλου καὶ Ἀριστοφάνους, στρατηγὸς Ἀθηναίων. μέμνηται δὲ τούτου καὶ ἐν Ἀχαρνεῦσιν. ὅθεν δὲ, ἤγουν ἐκ τοῦ Ὁμήρου.]

1040. ἀπομαξαμένη : Τὸ ἀπομαξαμένη ἀπὸ μεταφορᾶς εἴρηται τῶν σπόγγῳ ἢ τινι τοιούτῳ σώματός τινος ἰκμάδα ἀφαιρουμένων, καὶ τοῦτο νοτίδος πληρούντων, ὥσπερ ἦν ἐκεῖνο τὸ σῶμα πρότερον διάβροχον. *Vict.*

1042. ἀντεκτείνειν : Ἀνταποδιδόναι, ὁμοιοῦν, ἐξισοῦν.

1043. οὐ Φαίδρας : Διὰ τὸν Ἱππόλυτον, δρᾶμα Εὐριπίδου. Σθενέβοια δέ ἐστιν, ἣν Ὅμηρος Ἀντειαν λέγει, ἥτις ἠράσθη τοῦ Βελλεροφόντου. [οὗ μὴ ὑπακούοντος κατεψεύσατο πρὸς τὸν ἴδιον ἄνδρα Προῖτον ὡς βιαζομένη. καὶ ὃς ἔπεμψε τοῦτον εἰς τὸν πενθερὸν αὐτοῦ ἀναιρεθησόμενον. ἐλθόντος οὖν ἐκεῖσε Βελλεροφόντου καὶ καθαροῦ φανέντος, μὴ φέρουσα τὴν αἰσχύνην ἡ Σθενέβοια κωνείῳ ἐχρήσατο.]

1047. ὥστε καὐτόν σε : Ἵνα διαβάλῃ τὴν γυναῖκα τοῦ Εὐριπίδου. [τὸ δὲ ἃ γὰρ εἰς τὰς ἀλλοτρίας ἐποίεις, διπλῶς νοητέον· ἢ ὅτι τὰς τῶν ἄλλων μοιχεύων γυναῖκας καὶ αὐτὸς ὑφ' ἑτέρων τουτὶ πέπονθας· ἢ ἃ ἐποίεις περὶ τὰς ἑτέρας, λέγω δὴ Φαίδραν καὶ Σθενέβοιαν, μοιχευομένας αὐτὰς λέγων, τούτοις ἐπλήγης. ἀντὶ τοῦ, καὶ αὐτὸς τὴν γυναῖκα μεμοίχευσαι.] — μεμοίχευσαι γὰρ τὴν γυναῖκα. *Br.*

1051. κώνεια πίνειν : Ὅτι πληθυντικῶς (εἶπε) κώνεια, ἕνεκα τοῦ πολλὰς εἶναι. ἦν δὲ καὶ ἑνικῶς εἰπεῖν. τάχα μέντοι μᾶλλον πρὸς τὸ περὶ γυναικῶν ἱστορούμενον. πολλαὶ (γὰρ) τὴν Σθενέβοιαν μιμησάμεναι πιοῦσαι κώνειον ἐτελεύτησαν.

1054. τοῖς μὲν γὰρ παιδαρίοισιν : Ὁ διδάσκαλος τοῖς μικροῖς· ὁ δὲ ποιητὴς τοῖς ἡβῶσι.

1056. ἀντὶ τοῦ χρήσιμα. R.

1057. καὶ Παρνασσῶν : Οἷον ῥήματα ὄρεσι παραπλήσια. ὁ δὲ Λυκαβηττὸς ὄρος τῆς Ἀττικῆς, Παρνασσὸς δὲ Φωκίδος. [ἢ τὸ Λυκαβηττοὺς καὶ Παρνασσῶν μεγέθη Αἰσχύλος ἔν τινι τῶν αὐτοῦ πεποίηκε δραμάτων. ἔστι δὲ Λυκαβηττὸς ὄρος Ἀθηναίων.]

1058. συμμέτρως. R. μετρίως. V.

1059. (γνωμῶν καὶ διανοιῶν : Σημειωτέον ὅτι πρὸς γενικὴν ἔταξε τὸ ἴσα.)

1060. ἀξιοπιστοτέροις. R.

1062. ἃ 'μου χρηστῶς : [Τὸ λέγειν τοὺς ἥρωας μείζω ῥήματα, καὶ πρὸς τὰς μεγίστας διανοίας καὶ τοὺς λόγους τοιούτους προάγειν.] — ἅπερ ῥήματα. Venet.

1063. ῥάκι' ἀμπίσχων : Διὰ Οἰνέα καὶ Τήλεφον καὶ τοὺς ἄλλους.

1066. περιειλλόμενος : Ἀντὶ τοῦ περιειληθεὶς ἢ συστραφείς. εἴλλειν γὰρ τὸ συστρέφειν.

1067. οὔλων ἐρίων : Ὁ Διόνυσός φησιν, οἷον ἐνδεδυμένος ἔνδοθεν ἐρίων χιτῶνα. περιείληται γὰρ ῥάκη προσποιούμενος εἶναι πένης. — λείπει τὸ πένεσθαι. Rav.

1068. παρὰ τοὺς ἰχθῦς ἀνέκυψε : Ἀντὶ τοῦ παρὰ τὰ ἰχθυοπώλια. τὸ δὲ τοιοῦτον Ἀττικόν. Εὔπολις

περιῆλθον ἐς τὰ σκόροδα καὶ τὰ κρόμμυα.

φησὶν (οὖν) ὅτι ἀναφαίνεται περὶ τὰ ἰχθυοπώλια ἀγορασείων· ἀντὶ τοῦ τρυφῶν εὑρίσκεται.

1069. (στωμυλίαν : Σκώμματα, κολακείαν, πανουργίαν.)

1071. τῶν μειχαρίων στωμυλλομένων : Ἄπειροι οὗτοι ἐκκλησίας. φησὶν οὖν ὑπὸ Εὐριπίδου διατραφέντας ἐπὶ τὸ λέγειν ὁρμῆσαι. παράλους δὲ τοὺς κωπηλάτας. Πάραλος γὰρ καὶ Σαλαμινία τριήρεις εἰρηναρχικαί. κοινῶς δὲ παράλους τοὺς ἐκ τῶν τριήρων ναύτας.

οὐ γὰρ ἴδιόν τι λέγοι ἂν περὶ τῆς παράλου τριήρους νεώς. ἄτιμοι δὲ οὗτοι ἦσαν.

1073. ῥυππαπαῖ : Ἐπίφθεγμα ναυτικὸν, παρασκευαστικὸν κωπηλασίας τὸ ῥυππαπαῖ. — ἐπιφώνημα ναυτικόν. *Br.*

1074. τῷ θαλάμακι : τῷ κωπηλατοῦντι ἐν τῷ κάτω μέρει τῆς τριήρους. οἱ δὲ θαλάμακες ὀλίγον ἐλάμβανον μισθὸν, διὰ τὸ κολοβαῖς χρῆσθαι κώπαις παρὰ τὰς ἄλλας τρεῖς τάξεις τῶν ἐρετῶν, ὅτι μᾶλλον εἰσιν ἐγγὺς τοῦ ὕδατος. (ἦσαν δὲ τρεῖς τάξεις τῶν ἐρετῶν· καὶ ἡ μὲν κάτω, θαλαμῖται, ἡ δὲ μέση ζυγῖται, ἡ δὲ ἄνω θρανῖται. θρανίτης οὖν, ὁ πρὸς τὴν πρύμναν· ζυγίτης ὁ μέσος· θαλάμιος ὁ πρὸς τὴν πρῷραν. καὶ θαλαμία ὀπὴ, δι' ἧς ἐξέρχεται ἡ κώπη. οἷον οὖν παρὰ τῷ συγκαθέδρῳ παρδεῖν.)

1075. (μινθῶσαι : Διοσφρᾶναι, δυσοσμίας ἀναπλῆσαι, μιᾶναι, ῥυπῶσαι. μίνθη δὲ τὸ παρ' ἡμῖν ἡδύοσμον. οἱ δὲ τὸν θύμον.) [ἢ κόπρον αἰγῶν.]

1076. [νῦν δ' ἀντιλέγει : Εἴσθεσις τῆς διπλῆς εἰς δύο περιόδους διηρημένης ἐκ κώλων ὁμοίων ἀναπαιστικῶν κγ'. ὧν τὰ μὲν πρῶτα δύο κῶλα δίμετρα ὄντα ἀκατάληκτα τῇ διπλῇ συνάπτεται. τῆς δὲ πρώτης περιόδου εἰσὶ κῶλα ια' ἀκατάληκτα, πλὴν τοῦ τελευταίου ἐφθημιμεροῦς. ὁμοίως δὲ καὶ τὰ τῆς δευτέρας ἔχει. τὸ μέντοι παρατέλευτον ἀναπαιστικὴ ἐστι βάσις. ἐπὶ τῷ τέλει τῆς μὲν πρώτης περιόδου παράγραφος, τῆς δὲ δευτέρας δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος.]

ἀντιλέγει ὁ πάραλος καὶ οὐ κωπηλατεῖ. R.

1080. [καὶ τικτούσας : Ἔγραψε γὰρ τὴν Αὔγην ὠδίνουσαν ἐν ἱερῷ.]

1081. [τοῖσιν ἀδελφοῖς : Ὡς αἱ τοῦ Αἰόλου θυγατέρες.]

1082. καὶ φασκούσας οὐ ζῆν : Ἔστι μὲν παρὰ τὰ ἐκ Φρίξου Εὐριπίδου

τίς δ' οἶδεν, εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,
· τὸ κατθανεῖν δὲ ζῆν;

ἀλλ' ὁ λέγων ἐστὶ Φρίξος, οὗτος δὲ ὡς παρὰ γυναικὸς εἰρημένον αὐτὸ λέγει. (ἰδεῖν οὖν χρὴ, μήποτε τὸν αὐτὸν νοῦν παρ' Εὐριπίδῃ γυνὴ λέγῃ, καὶ μήποτε τὸ ὑπὸ τῆς τροφοῦ ἐν Ἱππολύτῳ λεγόμενον

ἀλλ' ὅ τι τούτου φίλτρον ἄλλο',
σκότος ἀμπίσχον κρύπτει νεφέλαις

καὶ τὰ ἑξῆς.)

1084. ἀνεμεστώθη : Ἀνεπληρώθη τῶν γραμματεύειν βουλομένων καὶ μὴ στρατεύεσθαι. ἢ καὶ ἐπὶ κακοπραγμοσύνῃ τοὺς γραμματεῖς διαβάλλει. « ὅλεθρος γραμματεὺς συκοφαντῶν. » [Ἄλλως. ἐπειδὴ ἀφέντες τὰ γενναῖα πράγματα φορολόγοι γεγένηνται· οἱ δὲ μετιόντες τὸν λόγον κέρδους ἕνεκα τούτοις εἵποντο. δημοπιθήκους δὲ τοὺς πανούργους περὶ τὸν δῆμον, ὡς τὸ ζῷον ὁ πίθηκος. ἢ τοὺς τὸν δῆμον κολακεύοντας καὶ πείθοντας.]

1087. λαμπάδα δ' οὐδεὶς : (Ἔδει γὰρ λαμπαδουχεῖν ἐν Ἡφαιστείοις καὶ Παναθηναίοις.) ἐν Ἀθήναις ἐστὶ γυμνάσιον, ἐν ᾧ ἐλαμπαδηφόρουν οἱ γυμναζόμενοι. ὅτι τῆς λαμπάδος ἀγὼν Ἀθήνησιν ἦγετο, Προμήθεια, Ἡφαίστεια, Παναθήναια.

1089. [ἀπεφαυάνθην : Ἐξηράνθην.]

1092. ἐν ἑνὶ λευκοπίων ἀντὶ τοῦ λιπαροῦ. ἀντὶ τοῦ ὀπίσω ὤν. R.

1093. κᾆθ' οἱ Κεραμῆς : (Οἱ τὸν Κεραμεικὸν οἰκοῦντες.) δῆμος δὲ Ἀθηναίων. ἐκεῖ γὰρ ὁ ἀγὼν ἐγίνετο. (καὶ ἐν Πλούτῳ πρώτῳ « τῶν λαμπαδηφόρων τε πλεῖ« στον αἰτίαν τοῖς ὑστάτοις πλατείων. » τοῦτο δέ φησιν Εὐφρόνιος, ὅτι ἀπὸ τοῦ ἐν τῷ Κεραμεικῷ ἀγῶνος τῆς λαμπάδος, καὶ τοὺς ὑστάτους τρέχοντας ἀπὸ τῶν ἀγοραίων τύπτεσθαι πλατείαις ὑπὸ τῶν νεανίσκων χερσί· καὶ λέγονται αἱ τοιαῦται Κεραμεικαὶ πληγαί. ἐμφαίνεται δὲ ἀπὸ τούτων ὅτι παρὰ τοῖς Κεραμεικοῖς τοῦτο μάλιστα γίνεται.) πύλαις δὲ ταῖς εἰσόδοις (τοῦ ἀγῶνος). — ταῖς εἰσόδοις τοῦ δρόμου. Θ.

1096. ταῖς πλατείαις : (Ταῖς πλατείαις) χερσὶ δηλονότι. ἢ μάστιξιν. ἢ οὕτω λεγομέναις Κεραμεικαῖς πληγαῖς πλατείαις.

1098. ἀνεχώρει καὶ ἔφευγεν. R.

1099. [μέγα τὸ πρᾶγμα : Ἡ παροῦσα στροφὴ καὶ ἀντιστροφὴ κώλων ἐστὶν ἑκατέρα δέκα ἐπιμεμιγμένων τριβράχεσιν· ὧν τὰ α', δ', ς', ι' τροχαϊκὰ τετράμετρα καταληκτικά· τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα. τὸ μέντοι ζ τῆς στροφῆς ἀναπαιστικὸν πενθημιμερὲς, καὶ τὸ ἑξῆς δίμετρον βραχυκατάληκτον. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος· τῆς δὲ ἀντιστροφῆς κορωνίς.]

1100. διακρίνειν. R. V. Θ.

1011. φιλονεικήσῃ. R. V.

1102. ἀντιλέγειν. R.V. σαφῶς, ἀκριβῶς. R.

1103. μὴ 'ν ταὐτῷ κάθησθον : Ἀντὶ τοῦ μὴ ἐν τῷ αὐτῷ τόπῳ καὶ λόγῳ καὶ τρόπῳ τὰς ἀντιλογίας ποιεῖσθε.

1104. εἰσβολαὶ : Ἀφορμαὶ, ἀρχαὶ, φιλονεικίαι, εἴσοδοι.

1106. ἐπέρχεσθε, ἐπιπορεύεσθε. R.V. ἀναδέρετον : Ἀνακαλύπτετε. *C.D.* ἀνακαλύπτετε, καὶ εἰς τὸ μέσον προφέρετε. *E. Cant.* I.

1108. καποκινδυνεύετον : Κινδυνεύοντες λέγετε, τουτέστι τολμῶντες.

1112. [οὐκ ἔθ' οὕτω : Ὡς τῶν Ἀθηναίων οὐχ ὁμοίως πρότερον γεγυμνασμένων ἐν τοῖς ποιητικοῖς σοφίσμασιν.]

1114. τὰ δεξιὰ : Δεξιοὺς νομίζουσι τοὺς ἐστρατευμένους καὶ ἐπαίνου ἀξίους· τοὺς δὲ διαδιδράσκοντας τὰς στρατείας φιλοδίκους εἶναι καὶ συκοφάντας. ἢ τὸ ἐναντίον, ἵνα ᾖ, πάντες οἱ ἀμαθεῖς ἔξω ἐστρατευμένοι εἰσίν.

[ἐν εἰρωνείᾳ δεξιά.]

1116. παρηκόνηνται : Παρωξυμμένοι εἰσὶν οἱ θεαταὶ (δηλονότι).

[ἐκ μεταφορᾶς τῶν ξιφῶν, ἅπερ ἀκονῶσιν εἰς μάχην ἐρχόμενοι οἱ ἄνθρωποι. οἰκειοῦται δὲ ἐνταῦθα ὁ Ἀριστοφάνης τοὺς θεατάς.]

1119. [καὶ μὴν ἐπ' αὐτοὺς : Κορωνὶς ἑτέρα εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρλϑ'. ὧν τελευταῖος

μελοιποιὸν ὄντα καὶ ποιοῦντα ταῦτ' ἀεί.

ἐπὶ τῷ τέλει κορωνίς.] — εἰς τὰ προοίμια δηλονότι. ὁ γὰρ πρόλογος μέρος πρῶτον τῆς τραγῳδίας. R.

1121. τοῦ δεξιοῦ : (Ἀντὶ τοῦ ἐπιδεξίου.) ἐν εἰρωνείᾳ δὲ τοῦτό φησι.

1122. γράφεται καὶ ῥημάτων. R.

1124. (ἐξ Ὀρεστίας : Τετραλογίαν φέρουσι τὴν Ὀρέστειαν αἱ διδασκαλίαι, Ἀγαμέμνονα, Χοηφόρους, Εὐμενίδας, Πρωτέα σατυρικόν. Ἀρίσταρχος καὶ Ἀπολλώνιος τριλογίαν λέγουσι, χωρὶς τῶν σατυρικῶν.)

1126. πατρῷ' ἐποπτεύων : Τὸ πατρῷα κεκίνηκε τὴν ἀμφιβολίαν. ἤτοι γὰρ τοῦ ἐμοῦ πατρὸς Ὀρέστης φησίν, ἢ τὰ καθ' Ἅδου λέγει πατρῷα κράτη τοῦ Ἑρμοῦ, καθ' ὃ καὶ χθόνιος ὁ Ἑρμῆς, [ὁ ἐκ πατρὸς ἔχων τὰς ἐν τῷ κόσμῳ βασιλείας ἐπιτηρεῖν. δέον δὲ εἰπεῖν πατρόθεν, πατρῷα εἶπε πρὸς τὸ κράτη. δῆλον δὲ ἐκ τοῦ, « πατρῷον τοῦτο κέκτηται γέρας. »]

1127. [σωτὴρ γενοῦ μοι : Ἐπὶ τοῦ παρόντος ἀγῶνος, ὃν ἀγωνίζομαι, θέλων τιμωρῆσαι τῷ πατρί.]

1130. (ἀλλ' ἢ τρία : Ἔξωθεν προσληπτέον τὸ ἔπη, ἢ ἰαμβεῖα.)

1133. [προσοφείλων : Χρεωστῶν αὐτῷ καὶ ἑτέραν μέμψιν πρὸς τῇ προτέρᾳ, ἢ τιμωρηθῆναι.]

1136. ὁρᾷς ὅτι ληρεῖς : Ὁ Αἰσχύλος φησὶ πρὸς τὸν Διόνυσον, ὡς ἀπατώμενον ὑπὸ Εὐριπίδου. διὸ ἐπιφέρει Διόνυσος, « ἀλλ' ὀλίγον γέ μοι μέλει. »

ἀλλ' ὀλίγον γέ μοι : Οὐ μέλει μοι ὑβριζομένῳ, ἀλλὰ καταφρονῶ σου. οὐ φροντίζω, φησί, κἂν λέγῃς ὅτι ἥμαρτεν.

1144. [οὐ δῆτ' ἐκεῖνον : Τὸν δόλιον δηλονότι, ἀλλὰ τὸν Ἐριούνιον.]

πρὸς τὴν ἐκδοχὴν τοῦ Ἐριουνίου, ὅτι οὐκ ὀρθῶς. (Ἀρίσταρχος δέ φησι τῶν ἐξηγήσεων τοῦ στίχου τὴν προτέραν κατὰ τὸν ποιητὴν εἶναι, ἣν ὁ Εὐριπίδης ἔφη. τὰ τοῦ ἐμοῦ πατρὸς κράτη ἐποπτεύων, ὃς κρατηθεὶς ὑπὸ τῶν περὶ Αἴγισθον ἀπώλετο.)

1146. τοῦτο κέκτηται : Τὸ εἶναι χθόνιον, ὡς νῦν ὁ πατήρ. [ἢ] τὸ ἐποπτεύειν τὰ ὑποχθόνια.

1149. οὕτω γ' ἂν εἴη πρὸς πατρὸς τυμβωρύχος : Οἷον τυμβωρύχου πατρός. [ἐπειδὴ ὁ χθόνιος λέγεται μὲν καὶ ὁ γήϊνος· λέγεται δὲ καὶ ὁ ὑπὸ γῆν· τὰ δ' ὑπὸ γῆν οἱ κλέπται ζητοῦσι.] τοῦτο ὁ Διόνυσος λέγει, ὑποτεμνόμενος τὸν Εὐριπίδου λόγον, διὰ τὸ ὑπερσπεύδειν, ὡς καὶ Ἀρίσταρχός φησιν. οὕτω γὰρ εἰκότως Αἰσχύλος ἐπήγαγε

Διόνυσε πίνεις οἶνον οὐκ ἀνθοσμίαν.

1150. Διόνυσε πίνεις οἶνον : (Οἷον κραιπαλᾷς [ἱκανῶς] καὶ ληρεῖς, σκληρὸν οἶνον πιών, ἀλλ' οὐχ ἡδὺν οὐδὲ ἁπαλόν.) οἷον, μεθύεις· ἵνα μὴ κατ' ἐρώτησιν λέγῃ, ἀλλ' ἐν ἀποφάνσει. (ἀνθοσμίας δὲ ὁ εὐώδης, ἐγκειμένου τοῦ ἄνθους καὶ τῆς ὀσμῆς. καὶ γέγονε παράγωγον ἀνθόσμιος καὶ ἀνθοσμίας.) [ἢ οὕτως· ἃ οὐκ ἀποδέχῃ ἀκούεις· φληνάφους φημὶ καὶ λόγους ἀπρεπεῖς.]

1151. σὺ δ' ἐπιτήρει τὸ βλάβος : (Ὦ βλάψεις αὐτὸν ἐν τῇ κατηγορίᾳ, ἢ) τὸ ἁμάρτημα.

1154. τὸ ἥκω, φησὶ, ταυτόν ἐστι τῷ κατέρχομαι. R. V.

1159. μάκτραν, εἰ δὲ βούλει, κάρδοπον : (Εἴρηται ἐν τοῖς πρόσθεν ὅτι τοῦτο ἀρχαιότερόν ἐστι τὸ τὰς μεταλήψεις τῶν λέξεων τῶν ἰσοδυναμουσῶν ἐπιτηδεύειν. Πλάτων Ποιητῇ « ὁρᾶτε τὸ διῆρες ὑπερῷον. ») [ὡς τὸ παρ' Ὁμήρῳ [Il. Λ, 163]

Ἕκτορα δ' ἐκ βελέων ὕπαγε Ζεὺς, ἔκ τε κονίης,
ἔκ τ' ἀνδροκτασίης ἔκ θ' αἵματος ἔκ τε κυδοιμοῦ.

καὶ τὸ [Il. Η, 279]

μηκέτι παῖδε φίλω πολεμίζετε, μηδὲ μάχεσθον,

πρὸς Ἕκτορα καὶ Αἴαντα μονομαχοῦντας ἀπὸ τοῦ Ἰδαίου κήρυκος εἰρημένον. καὶ τὸ [Od. Υ, 241]

μνῆστηρες δ' ἄρα Τηλεμάχῳ θανάτόν τε μόρον τε ἤρτυον.

καὶ τὸ [Il. Β, 8] « βάσκ' ἴθι οὖλε Ὄνειρε· » καὶ « βάσκ' ἴθι Ἶρι ταχεῖα. »]

1161. ταῦτ' : Οὕτως.

1162. κατὰ τί λέγεις διαφορὰν ἔχειν. R. V.

1163. (ἐλθεῖν μὲν εἰς γῆν : Ἐλθεῖν μὲν εἰς τὴν πόλιν, ὅταν μετῇ τινι τῆς πατρίδος, ὅταν δὲ φυγὰς ἔλθῃ, τότε καὶ κατέρχεται. ἰδίως δὲ ἐπὶ τῶν φυγάδων χρῶνται τῷ κατέρχεται.) — ᾧ ἐξουσία ἐστὶ τῆς πατρίδος. R. V.

1168. οὐ πιθὼν : Διὰ τοῦ ι γραπτέον καὶ ὀξυτονητέον τὸ πιθών, ἵνα ᾖ δευτέρου ἀορίστου καὶ μέλλοντος. [τοῦτο δὲ ὅτι οἱ τὰς διώξεις ποιοῦντες οἱ αὐτοὶ τοὺς ὑπομείναντας ἐπανάγουσι.]

1171. σὺ δ' ἐς τὸ κακὸν : Ἀντὶ τοῦ παρατήρει τὸ κακῶς λεγόμενον. (τὸ δὲ, τύμβου δ' ἐπ' ὄχθῳ, τὰ ἑξῆς τοῦ προλόγου.)

1176. ἐξικνούμεθα : Ἀντὶ τοῦ ἀκουόμεθα, [εἰσακουσθῆναι δυνάμεθα]. — παραγινόμεθα. V.

1178. κἄν που δὶς εἴπω ταυτὸν : Κἄν τι ἐλάχιστον ῥῆμα ἢ περισσὸν εὕρῃς καὶ παρέλκον ἐν τῷ λόγῳ.

ἀπὸ τῆς στοιβῆς τῶν φορτίων.

στοιβὴν : Σωρείαν λέξεων ἐνοῦσαν ἔξω τοῦ πρέποντος, παρὰ τὸ πρέπον. *Br.*

1180. οὐ γὰρ μοὐστίν : Γνῶναι πρὸ τοῦ ἀκοῦσαι. *Br.* ἀντὶ τοῦ πάνυ γάρ. R.

1182. ἦν Οἰδίπους : Ἐξ Ἀντιγόνης Εὐριπίδου. [ἔστι δὲ ἀρχὴ τοῦ δράματος.]

1185. ἀποκτενεῖν τὸν πατέρα : [Παρὰ τὰ Εὐριπίδου] ἐν Φοινίσσαις [18] εἰρημένα περὶ Οἰδίποδος καὶ Λαΐου. (καὶ ὁ χρησμὸς δὲ οὕτως ἔχει.)

[πρὶν καὶ γεγονέναι : Ἢ τὸ φῦναι καὶ γεγονέναι ἐκ παραλλήλου ἐστίν· ἡ σύναπτε τὸ φῦναι πρὸς τὸ ἔφη· τὸ δὲ γεγονέναι πρὸς τὸ ἀποκτενεῖν. εἰ δέ τις εἴποι ὡς μετὰ τὸ γεννηθῆναι καὶ εἰς ἀνδρὸς ἡλικίαν ἐλθεῖν τοῦτον ἀπέκτεινεν, ἐροῦμεν ὅτι ἐξ οὗ ἐσπάρη μετὰ τῶν ἀνῃρημένων ἦν ὁ Λάϊος. τὸ δὲ ἐπαύσατο οὐκ ἐπὶ τοῦ ἀεὶ δυστυχοῦντος, ἀλλ' ἐπὶ τοῦ πρόσθεν μὲν εὐδαιμονοῦντος, ὕστερον δὲ προσκεκρουκότος τῇ τύχῃ.]

1190. χειμῶνος ὄντος : Τοῦτο ἔχει διασκευὴν παρ' αὐτῷ, τὸ χειμῶνος ὄντος. τὸ δὲ ἐν ὀστράκῳ, ἐπεὶ ἐν χύτραις ἐξετίθεσαν τὰ παιδία. διὸ καὶ χυτρίζειν ἔλεγον. [ἤρρησε δὲ ἀπὸ τοῦ ἐρρεῖν τοῦ σημαίνοντος τὸ μετὰ φθορᾶς ἐλθεῖν.] — ἤρρησεν : Μετὰ φθορᾶς ἦλθεν. *Br.*

1196. μετ' Ἐρασινίδου : (Εἷς) τῶν περὶ Ἀργέννουσαν στρατηγησάντων δυστυχῶς. ἀπέθανε δὲ δημοσίᾳ, οὗτός τε καὶ οἱ ὑπομείναντες, Θράσυλλος, Περικλῆς, Λυσίας, Ἀριστοκράτης, Διομέδων, ὡς φησι Φιλόχορος. (Δημήτριος δέ φησι, περιττότερόν τι γενέσθαι τῷ Ἐρασινίδῃ, τὸ καὶ κλοπῆς κατηγορηθῆναι τῶν περὶ Ἑλλήσποντον χρημάτων.)

1198. ξέσω, δοκιμάσω. R.

1202. ποεῖς γὰρ οὕτως : Οὕτω γὰρ τοὺς λόγους ποιεῖς ὡς πάντα προσδέχεσθαι. (ὅτι μικροπρεπὲς τὸ κωδάριον. οὐχ οὕτω δὲ θύλακον· ἀλλ' ἐάν τις ποιήσῃ θυλάκιον, ἐγχωρεῖ).

1206. (Αἴγυπτος, ὡς ὁ πλεῖστος ἔσπαρται λόγος : Ἀρχελάου αὕτη ἐστὶν ἡ ἀρχή, ὥς τινες ψευδῶς. οὐ γὰρ φέρεται νῦν Εὐριπίδου λόγος οὐδεὶς τοιοῦτος. οὐ γάρ ἐστι, φησὶν Ἀρίσταρχος, τοῦ Ἀρχελάου, εἰ μὴ αὐτὸς μετέθηκεν ὕστερον, ὁ δὲ Ἀριστοφάνης τὸ ἐξ ἀρχῆς κείμενον εἶπε.)

1211. Διόνυσος, ὃς : Ὑψιπύλης ἡ ἀρχή. [κάθαπτος οὲ ἀντὶ τοῦ πυρφόρος, φωτεινὸς, διὰ τὰς δᾷδας. Ἄλλως.] (κάθαπτος : Τιμαχίδας, ὡς ταρακτὸς, καθειμένος. τὸ δὲ ἑτέρως λεγόμενον δηλοῖ τὸ οἷον καθάπτεσθαι.)

1213. (πηδᾷ χορεύων : Προσήρτησε τὸ, ληκύθιον ἀπώλεσεν. τὸ δὲ λοιπὸν τοῦ ἰάμβου « παρθένοις σὺν Δελφίσιν. »)

1219. ἢ δυσγενὴς ὤν : Τὸ λοιπὸν τοῦ ἰάμβου « πλουσίαν ἐροῖ πλάκα. » (Σθενεβοίας δὲ ἡ ἀρχή. διαβάλλει δὲ τὴν ὁμοειδίαν τῶν εἰσβολῶν τῶν δραμάτων. [ὑφέσθαι δὲ,] ὑποχωρῆσαι, εἶξαι, [ὑποχαλάσαι, ἐνδοῦναι.]

1220. ὡς ἐπὶ ἀνέμου σφοδροῦ λέγει. R.

1223. τὸ λέγειν τὸ ληκύθιον. R.

1224. [κἀπέχου : Τουτέστι, σκόπει μὴ τοιοῦτόν τι εἴπῃς, ὡς προσαφθῆναι τούτῳ δύνασθαι ληκυθον.]

1225. Σιδώνιόν ποτ' ἄστυ : Τοῦ δευτέρου Φρίξου Εὐριπίδου ἡ ἀρχή. [τὸ λοιπὸν δὲ τοῦ στίχου « ἵκετ' ἐς Θήβης πέδον. »]

1227. ἀποπρίω τὴν ληκυθον : (Ἤτοι πρὸς Εὐριπίδην ὁ λόγος, ὅτι ἀγόρασον παρ' Αἰσχύλου τὴν ληκυθον· ἢ πρὸς Αἰσχύλον, ὥστε πωλῆσαι.) ὡσεὶ εἶπεν, ὤνησαι αὐτὴν καὶ ἀπόδος ἀντὶ τῆς ἀπολωλυίας. τὸ δὲ πρίω ἐν ἴσῳ τῷ ὤνησαι. ἀλλ' ἐν τοῖς ἑξῆς φησι Εὐριπίδης, ἐγὼ πρίωμαι τῷδε; ὥστε ματαία ἡ παρατήρησις τῷ Συμμάχῳ.

1229. ἐγὼ πρίωμαι τῷδε : (Ἀντὶ τοῦ, ἀγοράσω τὴν λήκυθον καὶ ἀποδώσω τὴν ἀπολωλυῖαν; δῆλον γέγονεν ὅτι τὸ ἀποπρίω ἀντὶ τοῦ ἐξώνησαι. λέγει δὲ τοῦτο, ἐπειδὴ συνεχῶς ἐκεῖνος, ληκύθιον ἀπώλεσεν. τὸ δὲ πρίωμαι) ἴσον τῷ ὠνήσωμαι.

1233. θοαῖσιν ἵπποις : Τὸ δὲ λοιπὸν τοῦ ἰάμβου « Οἰνομάου γαμεῖ κόρην. » [Ἰφιγενείας δὲ τῆς ἐν Ταύροις ἡ ἀρχὴ αὕτη.]

1235. ἀπόδος πάσῃ τέχνῃ : Λήκυθον αὐτῷ ἀπόδος ἀντὶ τῆς ἀπολομένης. ἐπιλέγει δὲ, λήψει ὁβολοῦ πάνυ καλήν. [διὰ τούτων δὲ ὁ Διόνυσος ἐμφαίνει ὡς ἐπειδὴ ἐν τοῖς προλόγοις τοῖς σοῖς ἀποδίδοται ἡ λήκυθος, ὥσπερ δοκεῖς αὐτὴν ὀφείλειν Αἰσχύλῳ. οὐκοῦν ἀγοράσας ταύτην ἀπόδος αὐτῷ.] — ἀντὶ τοῦ πώλησον. R. V.

1238. Οἰνεύς ποτ' ἐκ γῆς : (Ἔστι μὲν ἐκ Μελεάγρου μετὰ ἱκανὰ τῆς ἀρχῆς. ἡ δὲ ἀρχὴ τοῦ δράματος

Καλυδὼν μὲν ἥδε γαῖα Πελοπίας χθονός.)

[τὸ δὲ λεῖπον τοῦ στίχου « οὐκ ἔθυσεν Ἀρτέμιδι. » Οἰνεὺς δὲ τῆς αὐτοῦ γῆς εὐφορησάσης ἀπαρχὰς πᾶσι θεοῖς θύσας, Ἀρτέμιδι οὐκ ἔθυσεν. ὅθεν ὀργισθεῖσα σῦν μέγαν κατὰ τῆς χώρας αὐτοῦ ἀφῆκεν, ἵνα ταύτην λυμήνηται. ἐπὶ τοῦτον τὸν κάπρον τοὺς ἀρίστους ἐκ τῆς Ἑλλάδος πάντας συνεκάλεσεν, καὶ τῷ κρατύναντι τὸν θῆρα τὴν δορὰν δώσειν ἀριστεῖον ὑπέσχετο. συνελθούσης δὲ μετὰ τῶν ἀριστέων καὶ Ἀταλάντης τῆς Σχοινέως, κοινῇ τὸν κάπρον περιέστησαν ἅπαντες. ἐπεὶ δὲ τὸ δέρας τῇ Ἀταλάντῃ πρώτῃ τὸν κάπρον τοξευσάσῃ ὁ Μελέαγρος χαριζόμενος ἔδωκε, καὶ οἱ πρὸς μητρὸς αὐτοῦ θεῖοι, ἀγανακτοῦντες εἰ τὰ ἀριστεῖα γυνὴ λήψεται, τὸ δέρας μὲν Ἀταλάντης ἀφείλοντο, ὑπὸ δὲ Μελεάγρου ἐφονεύθησαν, ὀλίγον ὕστερον καὶ αὐτοῦ, τῆς μητρὸς ἐπὶ τῇ ἀναιρέσει τῶν ἀδελφῶν λυπηθείσης, καὶ ἀναψάσης τὸν Μοιρῶν δαλὸν, ἀποθανόντος.]

1240. ὀιχῶς, πολύβοτρυν. R.

1243. πρὸς τοδὶ γὰρ εἰπάτω : Εἰς ὃ μέλλω λέγειν, εἰπάτω τὸ ληκύθιον. [ἀκόλουθον τοῦ εἰπέ προστακτικοῦ τὸ τρίτον εἰπέτω, ὡς λεγέτω· τοῦ δὲ εἶπον, εἰπάτω, ὡς γράψον γραψάτω.]

1244. Ζεὺς ὡς λέλεκται : Μελανίππης (τῆς σοφῆς ἡ) ἀρχή.

1245. (ἐρεῖ γὰρ, ληκύθιον ἀπώλεσεν : Ἐπεὶ οὐ προσέθηκε τῷ ἡμιστιχίῳ τὸ ληκύθιον ἀπώλεσε, πεποίηκε τὸν Διόνυσον ὥσπερ ὑφαρπάζοντα τὸν λόγον.)

1247. ὥσπερ τὰ σῦκα : Σῦκα λέγει τὰ συκώματα, ἢ ἕλκος γινόμενον ἐπὶ τοῖς ὀφθαλμοῖς, σῦκον καλούμενον. (Ἄλλως. τὰ ὑπὸ τῶν ἰατρῶν συκώματα λεγόμενα σῦκα ἔφη.) — σῦκον, εἶδος παθήματος ἀεὶ ἐν τοῖς ὀφθαλμοῖς καὶ οὐκ ἐν ἄλλῳ τινὶ μέρει τοῦ σώματος φυόμενον· ὅ φασιν ἰδιωτικῶς συκάμινον. Junt.

1248. [τρόπου : Τοῦτο ἢ πρὸς τὸν Αἰσχύλον δι' Εὐ-

ριπίδην, ἢ πρὸς Εὐριπίδην δι' Αἰσχύλον· εἰ καὶ Εὐριπίδης τὸν λόγον προήρπασε. τὸ δὲ ταὐτ' ἀεὶ ἀντὶ τοῦ ταυτά. διὰ δὲ τὴν συναλοιφὴν ἀναβιβάζεται ὁ τόνος. οὐ δεῖ δὲ περισπᾶν, ὡς ἐν τῷ Πλούτῳ εἴρηται.]

1251. [τί ποτε πρᾶγμα : Κορωνὶς καὶ εἴσθεσις χοροῦ ἐπῳδικὴ διὰ τὸ κεῖσθαι μετὰ τὴν κορωνίδα (ἐνίοτε δὲ καὶ μετὰ τὴν διπλῆν, ὡς πολλάκις εἴρηται), ἐκ κώλων ἀντισπαστικῶν ἐπιμεμιγμένων ἐπιτρίτοις καὶ διαμβοις καὶ διτροχαίοις δέκα. ὧν τὸ πρῶτον δίμετρον ἀκατάληκτον ἐκ πεντασυλλάβου ἀντισπάστου· ὃ καλεῖται γλυκώνειον. τὸ δεύτερον ἐκ παίωνος τετάρτου καὶ διαμβου ὅμοιον. τὸ τρίτον τοῦ πρώτου ποδὸς πεντασυλλάβου καταληκτικόν. τὸ τέταρτον ἐκ διτροχαίου καὶ ἐπιτρίτου τρίτου ἀκατάληκτον. τὸ ε' ὅμοιον τῷ β'. τὸ ἕκτον ἐκ διτροχαίου καὶ ἐπιτρίτου πρώτου. τὸ ζ' ὅμοιον τῷ β'. τὸ η' καταληκτικὸν ἐκ διτροχαίου καὶ βακχείου ἢ ἀμφιβράχεος. τὸ θ' ὅμοιον τῷ β'. τὸ ι' ὅμοιον τῷ ὀγδόῳ. ἑξῆς δὲ ἐν ἐκθέσει στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι γ'. ἑξῆς δὲ τίθεται κῶλον ἰαμβικὸν ἐφθημιμερὲς, τὸ, διαύλιον προσαυλεῖ. ὅπερ κατὰ παρεπιγραφὴν τίθεται. ὥσπερ καὶ τὸ, αὐλεῖ τις ἔνδον· καὶ ἄλλα πολλά. φασὶ δὲ διαύλιον λέγεσθαι ὅταν ἡσυχίας πάντων γενομένης ἔνδον ὁ αὐλητὴς ᾄσῃ. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς κορωνίς. τοῦ δὲ συστήματος παράγραφος.]

1256. τῶν μέχρι νῦν ὄντων ποιητῶν. R.

1259. τὸν βακχεῖον ἄνακτα : Τὸν Αἰσχύλον, οἷον τὸν ἄριστον μελοποιὸν, τὸν ὥσπερ ἐκβακχεύοντα ἐν τῇ ποιήσει. ὁ γὰρ Εὐριπίδης ἔρχεται ἐπὶ τὰ μέλη αὐτοῦ. — τὸν ἔνθεον ἄρχοντα τῶν μελῶν, τὸν ἐκβακχεύοντα ἐν τῇ ποιήσει. *Br.*

1262. εἰς ἓν γὰρ αὐτοῦ πάντα : Εἰς τὸ αὐτὸ τέλος περατούμενα πάντα· ἐπεὶ κἀκεῖνος εἶπεν, ἀπὸ ληκυθίου σου τοὺς προλόγους διαφθερῶ.

1263. καὶ μὴν λογιοῦμαι : Ἀντὶ τοῦ ἀριθμήσω, ψηφίσω. (ἐπει προεῖπεν Εὐριπίδης, εἰς ἓν συγκεφαλαιώσομαι αὐτοῦ πάντα τὰ μέλη. Ἐρατοσθένης δὲ τῶν ψευδαττικῶν τινὰς γράφειν φησὶ, τὼ ψήφω λαβὼν, ἵνα καὶ τὰ πεπλασμένα δράματα, ἐν οἷς τὸ παράπαν τοῦτο ἠγνόηται, δοκῇ μὴ σεσολοικίσθαι.) — λογαριάσω. Θ.

1264. (διαύλιον προσαυλεῖ τις.) τοῦτο παρεπιγραφὴ, ὥσπερ καὶ ἄλλα πολλάκις. φασὶ δὲ διαύλιον λέγεσθαι ὅταν ἡσυχίας πάντων γενομένης ἔνδον ὁ αὐλητὴς ᾄσῃ. R. V.

Φθιῶτ' Ἀχιλεῦ : Εὐριπίδης ἐστὶ τὰ Αἰσχύλου λέγων. ἔστι δὲ ἐκ Μυρμιδόνων Αἰσχύλου. R. V. Θ. M. [τοῦτο ἀπὸ τῶν πρέσβεων πρὸς Ἀχιλλέα Αἰσχύλος πεποίηκεν. ἔστι δὲ ἐκ Μυρμιδόνων. προφέρει καὶ Εὐριπίδης εἰς γέλωτα ἄλλα ἐξ ἄλλων δράματα συναγαγών. διὸ καὶ ἀσαφῆ, μίαν ἁρμονίαν οὐκ ἔχοντα. οὐκ ἄρα τὰ μὴ ξυνετὰ ζητητέον. ἀνδροβάϊκτον δὲ, τὴν ἀνδρῶν φόνον ποιοῦσαν. τὰ δὲ τοιαῦτα εἴδη καλεῖται ἀλλοιόστροφα, ὡς Ἡφαιστίων [c. 9, p. 126] φησίν· ὅσα πάντως διαιρεῖται ἢ κατὰ πρόσωπον ἀμοιβαῖον, ἢ χοροῦ πρὸς ὑποκριτὴν ἀπόκρισιν. ἔστι δὲ τῆς μὲν ᾠδῆς ταύτης τὰ κῶλα ἀναπαιστικὰ ε'. ὧν τὸ πρῶτον τρίμετρον καταληκτικὸν εἰς συλλαβὴν, ὃ καλεῖται Αἰολικὸν, διὰ τὸ ἴαμβον ἔχειν τὸν πρῶτον πόδα. τὸ δεύτερον καὶ τὸ ε' δίμετρα ὑπερκατάληκτα. τὸ γ' πενθημιμερές. τὸ τέταρτον ἑφθημιμερὲς, ὃ καλεῖται, ὡς εἴρηται, παροιμιακόν. ἐπὶ τῷ τέλει παράγραφος. τοῦ δὲ συστήματος τὰ κῶλα ὅμοια πέντε, πλὴν τοῦ τετάρτου τῷ δευτέρῳ τῆς ᾠδῆς ὁμοίου, ἑφθημιμερῆ. ἐπὶ τῷ τέλει παράγραφος. τῆς δὲ ἑξῆς ᾠδῆς τὰ κῶλα ἕξ. τὸ πρῶτον δακτυλικὸν ἑφθημιμερές. τὸ β' ἀναπαιστικὸν ἑφθημιμερές. τὸ γ' καὶ τὸ ς' ὡς τὸ β' τῆς ἄνω ᾠδῆς. τὸ δ' δακτυλικὸν τετράμετρον. ἔστι δὲ κῶλον ἐκ χοροῦ, ὡς ἀνέγνων ἐν Ἀγαμέμνονι δράματι Αἰσχύλου. τὸ ε' ὅμοιον δίμετρον. ἔστι δὲ ἡμιτελὲς ἐνταῦθα. τὸ γὰρ τέλειόν ἐστιν, « αἴσιον ἀνδρῶν ἐκτελέων· » ὅπερ ἑφθημιμερές ἐστιν. ἐπὶ τῷ τέλει παράγραφος. ἑξῆς δὲ σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ἕξ. ἐπὶ τῷ τέλει παράγραφος. ὁ μέντοι ἕκτος στίχος ἓν τισιν οὐ κεῖται· οἷον, ἴθι δὴ πέραινε.]

1266. Ἑρμᾶν μὲν πρόγονον : Ἐκ τῶν Αἰσχύλου Ψυχαγωγῶν. (προφέρεται δὲ οὐκ ἐφεξῆς τὰ αὐτὰ μέλη αὐτοῦ, ἀλλ' ὡς ἔτυχεν ἄλλο ἄλλοθεν, καὶ ἐπιλέγει τὸ ἰήκοπον), [κυρίως ἐκείνων τῶν στίχων ὄν, τοῦ, Φθιῶτ' Ἀχιλλεῦ.]

[τοῦτο ἐκ τῶν Αἰσχύλου Ψυχαγωγῶν. τὸ δὲ Ἑρμὰν μὲν τίομεν λέγουσιν οἱ Ἀρκάδες διὰ ταῦτα· ἐν τῇ Κυλλήνῃ, ἥ ἐστιν ὄρος Ἀρκαδίας, ἐτιμᾶτο ὁ Ἑρμῆς. διὰ γοῦν τὴν ἐξ ἀμνημονεύτων χρόνων τιμὴν ὡς πρόγονος τούτοις ἐδόκει. ᾄδουσι δὲ καί τινα ἱστορίαν μυθώδη. λίμναν δὲ λέγει τὴν Στυμφαλίδα, ἐν Ἀρκαδίᾳ γὰρ καὶ αὕτη. Cant. I.]

1267. ἰστέον ὅτι τὸ ἰήκοπον οὐ πελάθεις ἐπ' ἀρωγάν παίζων πανταχοῦ ἐπιφέρει, κυρίως ἐκείνων τῶν ἰαμβείων ὄν, τοῦ, Φθιῶτ' Ἀχιλεῦ. Barocc.

1270. (κύδιστ' Ἀχαιῶν : Ἀρίσταρχος καὶ Ἀπολλώνιος, ἐπισκέψασθε πόθεν εἰσί. Τιμαχίδας δὲ ἐκ Τηλέφου Αἰσχύλου. Ἀσκληπιάδης δὲ ἐξ Ἰφιγενείας.)

1274. εὐφημεῖτε μελισσονόμοι : Ἐξ Ἱερειῶν Αἰσχύλου. R. V. [οἱ διανέμοντες τὰ τῆς πόλεως, ἢ οἰκοῦντες ἐν τῇ πόλει.] — εὐφήμως λέγετε οἱ δίκην μελισσῶν νεμόμενοι ἐν τῷδε τῷ τῆς θεᾶς ἄλσει. *Br.*

1275. [ἰήκοπον : Τινὲς ἀξιοῦσι τὸ ἰή ψιλοῦν, ὅταν μὴ ᾖ ἐν ὕμνῳ. ἐκεῖ γὰρ δασύνεται. ὡς ἐφυμνίῳ δὲ κέχρηται τῷ ἰήκοπον οὐ πελάθεις.]

1276. ὅσιον κράτος : (Ἐν τοῖς πλείστοις αἴσιον. Ἀσκληπιάδης τὸ ὅσιον. ἔστι δὲ) ἐξ Ἀγαμέμνονος Αἰσχύλου [104]. βουβωνιῶ δὲ ἀντὶ τοῦ φλεγμαίνω τοὺς βουβῶνας. — ὅσιον : Ἁγίαν καὶ δικαίαν ἐπικράτησιν. *Cant.* I.

1278. ἐπεὶ συνεχῶς εἶπε τὸ ἰήκοπον. Θ.

1279. λείπει τὸ ἀπελθεῖν. R. V.

1281. στάσιν μελῶν : Στάσιμον μέλος, ὃ ᾄδουσιν ἱστάμενοι οἱ χορευταί. — σύνοδον, διήγησιν. R. V.

1282. ἐκ τῶν κιθαρῳδικῶν νόμων : Τιμαχίδας γράφει, ὡς τῷ ὀρθίῳ νόμῳ κεχρημένου τοῦ Αἰσχύλου καὶ ἀνατεταμένως. — ἀντὶ τοῦ ξένην τραγῳδιάν. R. Ven.

1283. ἔν τισι οὐ κεῖται. V.

1285. [ὅπως Ἀχαιῶν : Ὠδὴ κώλων ιδ'. ὧν τὸ πρῶτον ἰαμβικὸν ἑφθημιμερές. τὸ β' ἀναπαιστικὸν ἑφθημιμερές. τὸ δ' δακτυλικὸν πενθημιμερές. τὸ ε' Φερεκράτειον. τὸ ζ' τρίμετρον ἀκατάληκτον. τὸ η' δίμετρον. τὸ ι' ὅμοιον τῷ α'. τὸ ια' ὅμοιον τῷ β'. τὸ ιβ' ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐπιμεμιγμένον διτροχαίῳ. ἐπὶ τῷ τέλει παράγραφος. τὸ δ' ἐφύμνιον δίμετρον ἰαμβικὸν ἀκατάληκτον.]

Εὐριπίδης ὁμοίως τὰ Αἰσχύλου χορικὰ μέλη διεσπασμένως λέγει ἐξ ἄλλων καὶ ἄλλων δραμάτων. [τοῦτο μέντοι ἐξ Ἀγαμέμνονος. δίθρονον δὲ κράτος, αὐτόν τε καὶ τὸν Μενέλαον. ἀκμὴν δὲ τὴν νεότητα. ἔστι δὲ ἀναπόδοτον.] — καὶ τοῦτο ἐξ Ἀγαμέμνονος. R. V.

1286. (τὸ φλαττοθραττόφλατ : Τοῦτο λέγει χλευάζων ὡς ἀσυνετοποιόν. τινὲς δὲ καὶ σημειοῦνται αὐτὸ, ὅτι τῶν διορθωτῶν τινὲς περιεῖλον τὰς τοιαύτας ἐν τοῖς μέλεσι προσθέσεις.) [Σφίγγα δὲ δυσαμερίαν, τὴν ἐπὶ κακῷ χρόνῳ Θηβαίοις φανεῖσαν, πάροχον θανάτου. ταῦτα δὲ ἐκ Σφιγγὸς Αἰσχύλου. θούριος δὲ ὄρνις, ἡ πολεμοῦσα Θηβαίοις τύχη. τὸ δὲ ξὺν δορὶ καὶ χειρὶ πράκτορι, ἐξ Ἀγαμέμνονος, ἐκ τῆς συνεπείας τοῦ « κύριός εἰμι θροεῖν. » ἐπειδὴ δὲ οἱ τῆς Σφιγγὸς πόδες λεοντώδεις ἦσαν, ὁ δὲ τοῦ λέοντος ὄνυξ δίκην δόρατος πλήττει, διὰ τοῦτο δόρατι εἶπεν.]

1291. ἐπιτυχεῖν. R. V. Θ.

καὶ τοῦτο ἐξ Ἀγαμέμνονος. R. V. ἀντὶ τοῦ ἀναισχύντοις. R. [ἰταμαῖς κυσὶ : Τοῖς ἁρπακτικοῖς ἀετοῖς. ταῦτα δὲ ὡς ἀσαφῆ πάρελθε.] — διὰ τοῦ ἀέρος φοιτώσαις. V.

1294. (τὸ συγκλινὲς ἐπ' Αἴαντι : Τιμαχίδας φησὶ τοῦτο ἐν ἐνίοις μὴ γράφεσθαι. Ἀπολλώνιος δὲ φησιν ἐκ Θρῃσσῶν αὐτὸ εἶναι.)

1296. [τί τὸ φλαττόθρατ : Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ιγ'. ἐπὶ τῷ τέλει παράγραφος.]

ἐκ Μαραθῶνος : (Ἐπεὶ ὁ φλέως ἄνθος ἐν Μαραθῶνι, ὃν οἱ ἰδιῶται φλόμον.) διὰ τὸ ἔχειν τὸ φλατ ἐν ἀρχῇ παρόμοιον τῷ φλέῳ. ὡς ἐν Μαραθῶνι οὖν τοῦ φλέω πολλοῦ ὄντος· ἑλώδης γὰρ ὁ τόπος.

1297. ἰμονιοστρόφου : (Οἷον σχοινιοστρόφου μέλη, ἃ εἰκὸς ἄνδρα ὕδατα ἀρυόμενον ᾄδειν.) ἰμονιὰ γὰρ καλεῖται τὸ τῶν ἀντληματῶν σχοινίον, καὶ τὸ ᾆσμα, ὃ ᾄδουσιν οἱ ἀντληταὶ, ἰμαῖον. (Καλλίμαχος [fr. 42]

ἀείδει καὶ πού τις ἀνὴρ ὑδατηγὸς ἰμαῖον.)

1298. ἀλλ' οὖν ἐγὼ μὲν ἐς τὸ καλὸν μετήνεγκα : Ἐγὼ, φησὶν, εἰς τὸ καλὸν ἐκ τοῦ καλοῦ αὐτὰ μετήνεγκα. (ἐκ γὰρ τοῦ κιθαρῳδικοῦ καλοῦ ὄντος εἰς τὸ τραγῳδικὸν μετήνεγκα, ἵνα μὴ εἰς ταὐτὰ τοῖς ὑπὸ Φρυνίχου μέλεσι προεισηγμένοις ἐμπίπτω.) ἀποδέχονται δὲ πάντες τοῖς μέλεσι τὸν Φρύνιχον ἐπιτυγχάνοντα.

1299. (ἤνεγκον · Διχῶς ἔλεγον· ἤνεγκον μὲν ἀπὸ τοῦ ἐνέγκω· ἤνεγκα δὲ ἀπὸ τοῦ ἐνείκω.)

ἵνα μὴ τὸν αὐτὸν Φρυνίχῳ : Ἵνα μὴ τὰ αὐτὰ τῷ Φρυνίχῳ μελοποιῶ. ἦν δὲ οὗτος μελοποιὸς ἡδύς. ὁ δὲ λόγος, ἐκ τῶν κιθαρῳδικῶν εἰς τὸ τραγικὸν (γένος) μετήνεγκα. τοῦτο γὰρ ὁ Εὐριπίδης προεῖπεν.

1302. σκολίων : Σκολιὰ λέγονται τὰ παροίνια ᾄσματα. τὰ δὲ Καρικὰ αὐλήματα (καὶ μέλη) θρηνώδη ἐστίν. [ἢ Καρικῶν, βαρβαρικῶν, δουλικῶν.]

Μελήτου : Προείρηται ὅτι τραγικὸς ποιητὴς ὁ Μέλητος. οὗτος δέ ἐστιν ὁ Σωκράτην γραψάμενος. κωμῳδεῖται δὲ καὶ ὡς ψυχρὸς ἐν τῇ ποιήσει καὶ ὡς πονηρὸς τὸν τρόπον. [χορείων δὲ, μικροπρεπῶν, καὶ οἷα ἐν τοῖς χοροῖς ᾄδουσι. λύριον δὲ τὴν μικρὰν λύραν,] ὥστε ψᾶλαι τὰ Εὐριπίδου.

1305. ἢ τοῖς ὀστράκοις : [Ἀπορίᾳ λύρας ὄστρακα τινὲς λαμβάνοντες ἦχον μὲν ἀπετέλουν, πάνυ δὲ ἄσημον. διαβάλλει δὲ ἐντεῦθεν Εὐριπίδην ὡς κακὸν μελοποιόν. Ἄλλως.] ὅτι φαίνονταί τινες ἀγοραῖοι κρούοντες τοῖς ὀστράκοις καὶ προσᾴδοντες τῷ κρούματι τῷ διὰ τούτων. λέγεται δὲ εἰς τὴν Ὑψιπύλην ταῦτα, (ἢ καθόλου τὴν μοῦσαν αὐτοῦ. ἐπιλέγει γὰρ « δεῦρο μοῦσα Εὐριπίδου. » Δίδυμος δὲ προστίθησιν ὅτι εἰώθασιν ἀντὶ λύρας κογχύλια καὶ ὀστράκια κρούοντες ἔνρυθμόν τινα ἦχον ἀποτελεῖν τοῖς ὀρχουμένοις.)

1308. αὕτη ποθ' ἡ Μοῦσα : Ἐν ἐρωτήσει λέγει. αὕτη οὐκ ἠσχροποίει; (καὶ ἐν Σφιξὶν [1346] ἐπὶ τῆς αὐλητρίδος

μέλλουσαν ἤδη λεσβιεῖν τοὺς ξυμπότας.)

λεσβιάζειν δὲ τὸ παρανόμως πλησιάζειν. διεβάλλοντο γὰρ ἐπὶ τούτῳ οἱ Λέσβιοι. (καὶ ἐν τῷ εἰς Φερεκράτην ἀναφερομένῳ Χείρωνι

δώσει δέ τοι γυναῖκας ἑπτὰ Λεσβίδας.
καλὸν τὸ δῶρον, ἑπτ' ἔχειν λαικαστρίας.)

1309. ἀλκυόνες : Χαρακτηρίζει τὰ Εὐριπίδου μέλη ὡς ἐκλελυμένα. [ἀλκυόνες δὲ ἐπάνω τοῦ τῆς θαλάσσης ὕδατος καθήμεναι τὰ αὐτῶν ᾠὰ ἐν τῷ βυθῷ κείμενα θερμαίνουσι. καθ' ὃν δὲ καιρὸν τοῦτο ποιοῦσιν, ἀλκυονίτιδες αὗται αἱ ἡμέραι καλοῦνται, καὶ ἔστιν ἐν αὐταῖς μεγίστη ἡσυχία ἀνέμων τε καὶ κυμάτων. οἱ δέ φασιν ὡς ἐν τῷ ἄκρῳ τῆς θαλάσσης ἐπὶ τῆς ψάμμου τοῦτο ποιοῦσι.]

1310. κύμασι στωμύλλετε : Διὰ τοῦ στωμύλλετε πάλιν εἰς αὐτὸν παίζει. ἐξ ἄλλων δὲ καὶ ἄλλων Εὐριπίδου δραμάτων κόμματα συντίθησι καὶ οὐδὲν κατὰ τὸ ἑξῆς λέγει μέλος. (ἔστι δὲ τὸ προεγκείμενον ἐξ Ἰφιγενείας τῆς ἐν Αὐλίδι.)

1311. τέγγονται νοτεραῖς : Τὸ ἑξῆς, νοτίαις ῥανίσι πτερύγων χρόα δροσιζόμεναι.

1314. εἰειειειει : Ἡ ἐπέκτασις τοῦ εἰ εἰ εἰλίσσετε κατὰ μίμησιν (εἴρηται) τῆς μελοποιίας.

φάλαγγες : [Αἱ λεγόμεναι καματηραί.] (ἀράχνιόν τι ἡ φάλαγξ. λέγουσι δὲ καὶ τῶν δακτύλων τὰ ἄρθρα φάλαγγας, ἅπερ νῦν μᾶλλον λέγει.)

1315. ἱστότονα : [Τοὺς ἱστοὺς, οὓς ἐν τῷ ἀέρι οἱ ἀράχναι ὑφαίνουσι. λάμβανε δὲ ἀπὸ κοινοῦ εἰς τὰς μελέτας τὸ εἰλίσσετε οὕτως· καὶ εἰλίσσετε μελέτας κερκίδος ἀοιδοῦ· τουτέστιν, ὥσπερ αἱ ὑφάντριαι διὰ τῶν κερκίδων γυναῖκες ἐν τῷ ὑφαίνειν ᾄδουσιν, οὕτω καὶ ὑμεῖς ὦ ἀράχναι. πηνίσματα δὲ, ὑφάσματα. τὸ δὲ κερκίδος ἐκ Μελεάγρου Εὐριπίδου. τὸ δὲ, ἵν' ὁ φίλαυλος, ἐξ Ἠλέκτρας (438).] φίλαυλος δὲ ὁ τοὺς αὐλοὺς καὶ τὰ μέλη ποιῶν. αἰνίττεται δ' ἴσως εἰς τὸν Ἀριόνιον μῦθον. κυανεμβόλοις δὲ ταῖς ἐν τῷ μέλανι βυθῷ χωρούσαις.

1316. καὶ ταῦτα Εὐριπίδου. ἔστι δὲ ἀσυνάρτητα. V.

1320. οἰνάνθας : Παρὰ τὸ ἐξ Ὑψιπύλης Εὐριπίδου « οἰνάνθα τρέφει τὸν ἱερὸν βότρυν. » ἡ πρώτη δὲ ἔκφυσις τῆς ἀμπέλου οἰνάνθη λέγεται. [καὶ τὸ, περίβαλ' ὦ τέκνον, ἐξ Ὑψιπύλης.] — ὁ οἶνος. R.

1323. ὁρᾷς τὸν πόδα τοῦτον : (Ὡς καὶ τοιαῦτα ἀμοιβαῖα ἐν τοῖς μέλεσιν ἐπιτηδεύοντος Εὐριπίδου.) καὶ ταῦτα δὲ αὐτὸς προστίθησιν ἀναμωκώμενος Εὐριπίδην, ὡς τὰ τοιαῦτα ἐν τοῖς μέλεσιν αὐτοῦ ἐπιτηδεύοντα. [πόδα δὲ, τὸν ῥυθμὸν, ἢ τὸ μέλος· ἀπὸ μέρους.]

1328. Κυρήνης μελοποιῶν : Κυρήνη τις ἑταίρα ἐπίσημος, δωδεκαμήχανος ἐπικαλουμένη, διὰ τὸ τοσαῦτα σχήματα ἐν τῇ συνουσίᾳ ποιεῖν. ἔστι δὲ (παρὰ τὰ) ἐξ Ὑψιπύλης (Εὐριπίδου « ἀνὰ τὸ δωδεκαμήχανον ἄντρον. ») [ἐκ δὲ τοῦ λέγειν, ἀνὰ τὸ δωδεκαμήχανον Κυρήνης, ἤγουν ἀνὰ τὰς δώδεκα ἐκείνης αἰσχρὰς μηχανὰς, δείκνυσιν αὐτὸν πάνυ φαυλότατον.]

1331. ὦ Νυκτὸς κελαινοφανὴς : [Φασὶν ὡς πάντα ταῦτα τὰ ἔπη ἔκ τινος δράματός ἐστιν Εὐριπίδου.] (Ἀσκληπιάδης,) παρὰ τὰ ἐξ Ἑκάβης Εὐριπίδου [68], (ἐν μιμήσει δηλονότι. οὕτω γὰρ παραγέγραπται) « ὦ στεροπὰ Διὸς, ὦ σκοτία νὺξ, (τί ποτ' αἴρομαι ἔννυχος οὕτως;) » [πρόσπολον δὲ, ὑπηρέτην. ψυχὴν δὲ, ὡς φαινόμενον· ἄψυχον δὲ, ὡς ἄϋλον καὶ εὐθέως οἰχόμενον. νυκτὸς δὲ παῖδα ἐνταῦθα εἴρηκε, καίτοι ἐν Ἑκάβῃ μελανοπτερύγων ὀνείρων εἰπὼν τὴν γῆν μητέρα.] — ἀντὶ τοῦ μέλαινα. R.

1333. πρόμολον : Πρόδρομον καὶ θανάτου σημαντικόν. *E. Cant.* I. [μελανονεκυείμονα δὲ, μέλανα καὶ νεκρικὰ ἱμάτια φοροῦντα ὡς θανάτου σημαντικόν.]

1337. [μεγάλους ὄνυχας ἔχοντα : Ὡς πάνυ τὰς ψυχὰς σπαράττοντα.]

1338. (ἀλλά μοι ἀμφίπολοι : Ἀπολλώνιος παρὰ τὰ ἐκ τῶν Τημενιδῶν.) — Ἀπολλώνιος ἀπὸ τῶν Εὐμενίδων φησὶν εἶναι. Cant. I.

1340. Ὄνειρον ἀποκλύσω : Καὶ τοῦτο μιμεῖται ὁ Αἰσχύλος. τοῦτο δὲ λέγει παρόσον ἀποδιοπομπεῖσθαι εἰώθασι τοὺς χαλεπωτάτους τῶν ὀνείρων. ἀπρόσπλοκα ταῦτα καὶ ἀσυνάρτητα σὺν τοῖς ἑξῆς πᾶσι. [τὸ δὲ ὄναρ, ὃ εἶδε, τοιοῦτον εἶναι δοκεῖ, ὡς γυνή τις ἐκ γειτόνων οὖσα αὐτῇ, Γλύκη καλουμένη, τὸν ἀλεκτρυόνα αὐτῆς ἁρπάσασα ᾤχετο. ἐπικαλεῖται δὲ τὸν Ποσειδῶνα ὡς πλησίον τῆς θαλάσσης ἰδοῦσα τὸν ὄνειρον.]

1344. Νύμφαι ὀρεσίγονοι : Ἐκ τῶν Ξαντριῶν Αἰσχύλου, (φησὶν Ἀσκληπιάδης· εὗρε δὲ Ἀθήνησιν ἔν τινι τῶν διασωθέντων· « Νύμφαις **** θεαῖσιν ἀγείρω, « Ἰνάχου Ἀργείου ποταμοῦ παισὶν βιοδώροις. » ἔοικε δὲ τὸ ὅλον ἐπιτηδεύειν ἀνυπόταχτα. ἄλλως οὐδὲ παρ' Αἰσχύλου ἥρμοζε τὰ τοιαῦτα λαμβάνεσθαι.) [τὸ δὲ Μανία ξύλλαβε, νῦν λέγει διὰ τὸν ἄτοπον ὄνειρον, εὐχομένη μανίας τυχεῖν, ἵνα μηδενὸς τούτων αἰσθάνοιτο. τὸ δὲ ἐγὼ δ' ἁ τλάμων, πρὸς τὸ, φρούδη Γλύκη, ἔχει τὴν ἀκολουθίαν. κνεφαῖος δὲ, ἑωθινή. κνέφας γὰρ τὸ λυκόφως.]

1348. ἀντὶ τοῦ ἄτρακτον κλώθουσα. R. V. Θ.

1350. εἰς ἀγορὰν φέρουσα : Πάλιν ἐπὶ πενίαν καὶ μικροπρέπειαν αὐτὸν κωμῳδεῖ.

1353. ὅτι ἐν τοῖς μέλεσι δὶς τὰ αὐτὰ λέγει Εὐριπίδης.

1356. ἀλλ' ὦ Κρῆτες, Ἴδης : Τοὺς Κρῆτας λέγει. ἔστι δὲ ἐκ Κρητῶν Εὐριπίδου. R. V. Θ. M. [οὐ μόνον ἐν Τροίᾳ, ἀλλὰ καὶ ἐν Κρήτῃ Ἴδη ἐστὶν, ὡς καὶ ὁ Λυκόφρων φησίν. ἐπεὶ δὲ ἐν Κρήτῃ ἦν ἡ τοῦτο λέγουσα, διὰ τοῦτο λέγει, Ἴδης τέκνα τὰ τόξα λαβόντες ἐπαμύνατε. Δίκτυνναν δὲ λέγει τὴν Ἄρτεμιν διὰ ταῦτα, ἐπειδὴ τῶν κυνηγετῶν ἐστι τὸ δίκτυα φέρειν. ἔφορος δὲ κυνηγίας ἡ Ἄρτεμις. φασὶ δὲ ὅτι νύμφη τις Βριτόμαρτις καλουμένη, θηρεύουσά ποτε δικτύοις τισὶ κατὰ τύχην ἐνέπεσε, καὶ ὑπὸ Ἀρτέμιδος ῥυσθεῖσα, Δικτύννης Ἀρτέμιδος ἱερὸν ἱδρύσατο. Ἑκάτην δὲ καὶ Ἄρτεμιν οἱ μὲν τὴν αὐτήν φασιν, οἱ δὲ ἄλλην καὶ ἄλλην· ὡς κἀνταῦθα. ταῦτα δὲ παρὰ τὰ ἐκ Κρητῶν Εὐριπίδου.]

1358. τὰ κῶλα : Τοὺς πόδας ὑμῶν. *Br.*

[1360]. κυνίσκας : Ἀντὶ τοῦ τὰς κύνας. (ὡς φιάλας καὶ φιαλίσκας· διπύρους δὲ, ἀντὶ τοῦ διπλᾶς.)

1361. ἢ ἀντὶ τοῦ διακαπύρους. ἢ ὅτι λαμπάδας ἔχει διττάς. V. διακαεῖς, ἢ διπύρους, ἤτοι διπλᾶς. *C.*

1363. εὔρω, ἐρευνήσω, φωράσω. R. ἐρευνήσω, εὕρω, θεωρήσω. V. Θ.

1367. τὸ γὰρ βάρος : Τινές φασιν ἕως τῶν ἐνταῦθα τὸν Αἰσχύλον λέγειν, τὰ δὲ ἑξῆς τὸν Διόνυσον.

1369. τυροπωλῆσαι : Πρὸς γὰρ τὸν σταθμὸν ἐπωλεῖτο ὁ τυρός. — τυροπωλῆσαι τέχνην : Τυροπωλικῶς ζυγῆσαι. Θ. *E.*

1370. [ἐπίπονοί γ' οἱ δεξιοί : Κορωνὶς καὶ εἴσθεσις μέλους χοροῦ προῳδικὴ, διὰ τὸ προτίθεσθαι τῆς κορωνίδος, ἐκ κώλων τροχαϊκῶν ἐπιμεμιγμένων χορείοις καὶ ἰάμβοις η'. ὧν τὰ γ' ἐφθημιμερῆ· τὰ δ' ἄλλα δίμετρα ἀκατάληκτα, πλὴν τοῦ τελευταίου ἰθυφαλλικοῦ ὄντος. ἐπὶ τῷ τέλει κορωνίς.] — οἱ εὐπαίδευτοι. R. σπουδαῖοι, μηχανικοὶ, οἱ ἐπιτήδειοι, οἱ φρόνιμοι. Θ.

1374. μὰ τὸν : Ἐλλειπτικῶς ὀμνύει. καὶ οὕτως ἔθος

ἐστὶ τοῖς ἀρχαίοις ἐνίοτε μὴ προστιθέναι τὸν θεὸν [εὐλαβείας χάριν]. εἰώθεισαν δὲ τοῖς τοιούτοις ὅρκοις χρῆσθαι ἐπευφημιζόμενοι, ὥστε εἰπεῖν μὲν μὰ τὸν, ὄνομα δὲ μηκέτι προσθεῖναι. (καὶ Πλάτωνα δὲ τῷ τοιούτῳ κεχρῆσθαι. λέγει δὲ, οὐκ ἂν ἐπειθόμην, οὐδὲ εἴ τίς μοι ἔλεγε τῶν ἐπὶ τοῦ πράγματος τυχόντων.) [τὸ δὲ ἐπιτυχόντων, ἀντὶ τοῦ συνελθόντων. ἡ ἐπί ἀντὶ τῆς σύν.] — μὰ τὸν : Δέον εἰπεῖν μὰ τὸν Δία, μὰ τὸν εἶπε μόνον. καὶ ἔστι τοῦτο εὐλαβείας ἴδιον, τὸ [πεφεισμένως καὶ ἐλλειπτικῶς τοῦ ὅρκου ἅπτεσθαι. E.

1378. [ἴθι νῦν παρίστασθον : Κορωνὶς ἑτέρα εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ριε'· ὧν τελευταῖος

νὴ τὸν Δί' οὐ γὰρ ἄχθομαι τῷ πράγματι.

ἐπὶ τῷ τέλει κορωνίς.]

παρὰ τὸ πλάστιγγ' : (Παρὰ τοῖς νῦν λεγομένοις ζυγίοις. τὸ δὲ σχῆμα Ἀττικὸν, ὡς τὸ χεῖρε, τὸ πόλει καὶ νὴ τὸ σιώ.) πλάστιγξ δὲ τὸ κατηρτημένον τοῦ ζυγοῦ μέρος, ᾧ ἐπιτίθεται τὰ ζυγά. — τὸ ἰδού ἀμφότεροί φασι. R.

1380. κοκκύσω : Συρίσω, σύνθημα δῶ, [δίκην ἀλεκτρυόνος βοήσω. τὸ δὲ « εἶθ' ὤφελεν » ἀρχὴ τοῦ Μηδείας δράματος Εὐριπίδου.]

1383. βούνομοι : Ὑπὸ βοῶν καταστρεφόμεναι ἤγουν κατανεμόμεναι. ἐστὶ δὲ ἐκ Φιλοκτήτου Αἰσχύλου.

1386. ἐριοπωλικῶς : Ὡς οἱ τὰ ἔρια πωλοῦντες, βρέχουσιν αὐτὰ, ἵνα βαρύνωσιν ἐν τῷ σταθμῷ. [τὸ δὲ, « οὐκ ἔστι πειθοῦς, » ἐξ Ἀντιγόνης Εὐριπίδου. τὴν δὲ πειθὼ χρῆμα νοῦν οὐκ ἔχον φησὶν, ὅτι τὸ πείθειν ποικιλία καὶ στροφὴ λόγων ἐστὶ, παράγουσα τοὺς ἀκούοντας, καὶ οὐκ ἀληθὴς διάνοια. τὸ δ' ἑξῆς ἐκ Νιόβης Αἰσχύλου.]

1390. ἦν' ἰδού : Ἠνὶ ἰδοὺ ἐκ παραλλήλου. Θ. *Vict.*

1400. βέβληκ' Ἀχιλλεὺς : Ἀρίσταρχός φησιν ἀδεσπότως τοῦτο προφέρεσθαι, ὡς Εὐριπίδου πεποιηκότος κυβεύοντας ἐν τῷ Τηλέφῳ, οὓς καὶ περιεῖλε. (μήποτ' οὖν ἐκεῖθεν ἦν. μᾶλλον δὲ ἐσχεδιακὼς ἂν εἴη Ἀριστοφάνης. οὐδὲ γὰρ τὸν Εὐριπίδην τοῦτο προφερόμενον. ἀλλὰ τὸν Διόνυσον χλευάζοντα. τινὲς δὲ, ὅτι ἐν τῷ Φιλοκτήτῃ ἦν ὁ τόπος. οἱ δὲ ἐν τῇ Ἰφιγενείᾳ τῇ ἐν Αὐλίδι. ἐμφαίνει δὲ καὶ Εὔπολις τοῦτο εἰδὼς

ἀποφθαρεὶς δὲ δύο κύβω καὶ τέτταρα.

τοῦτο δὲ Διόνυσος ὑποβάλλει αὐτῷ χλευάζων.) [Ἄλλως. ἐκ Μυρμιδόνων. πεποίηκε γὰρ αὐτοὺς κυβεύοντας. ἔθος δὲ τοῖς κυβεύουσιν οὕτω λέγειν, β', δ', γ', ε'. τοῦτο δὲ λέγει ὁ Διόνυσος δεικνὺς ὡς Αἰσχύλος νενίκηκε. τὸ δὲ σιδηροβριθὲς, ἐκ Μελεάγρου. τὸ δὲ, ἐφ' ἅρματος γὰρ ἅρμα, ἐκ Γλαύκου Ποτνιέως Αἰσχύλου. τὸ δὲ ἐξηπάτηκεν εἶπεν ἐκ μεταφορᾶς τῶν παλαιστῶν. ἐκεῖνοι γὰρ ἀπατῶντες τοὺς ἀντιπάλους νικῶσιν.]

1401. σφῷν : Γρ. καὶ νῷν. R.

1402. ἐκ Μελεάγρου Εὐριπίδου. R.

1403. ἐκ Γλαύκου Αἰσχύλου. R.

1406. [ἑκατὸν Αἰγύπτιοι : Πολλαχοῦ ὡς ἀχθοφόρων τῶν Αἰγυπτίων μέμνηται.]

1408. (Κηφισοφῶν : Καὶ διὰ τούτου δηλοῖ πάλιν σχεδόν τι τὸ συναμφότερον, ὡς Κηφισοφῶν συνεποίει τὰ δράματα, καὶ τὴν γυναῖκα αὐτοῦ εἶχεν. Ἄλλως. οὐχ ὡς μόνον συμποιοῦντος αὐτῷ τοῦ Κηφισοφῶντος τὰ δράματα, ἀλλὰ καὶ ὡς συνόντος αὐτοῦ τῇ γυναικί.) [οἱ δὲ γράφοντες χὠ Κηφισοφῶν, εἶναι δ' ἀξιοῦντες ἀνάπαιστον τὸν τελευταῖον πόδα, σκεψάσθωσαν εἰ ἡ προπαραλήγουσα συστέλλεται.]

1413. τὸν μὲν γὰρ ἡγοῦμαι σοφὸν : Τὸν Αἰσχύλον σοφὸν, ἥδομαι δὲ τῷ Εὐριπίδῃ. R. σοφὸν μὲν Εὐριπίδην λέγει, ἥδεσθαι δὲ τῷ Αἰσχύλῳ. οὕτως Ἀρίσταρχος. ἄλλοι δὲ τὸ ἐναντίον, καὶ ἑκατέρῳ συνηγορεῖν καὶ μάλιστα, ὅτι ἥδεται Εὐριπίδῃ, ὡς καὶ ἐν ἀρχῇ προεῖπεν.

1414. οὐδὲν ἄρα πράξεις : Ἀπολλώνιος τοῦ Πλούτωνος τοῦτο εἶναί φησι, (καὶ γίνεται πρόσωπα ἐν τῇ σκηνῇ δ'). τινὲς δὲ τοῦ χοροῦ.

1417. πύθεσθε : Ἀκούσατε. *Br.*

1418. τοῦ χάριν : Οὐκ ἔστιν ἄλλου προσώπου τὸ τοῦ χάριν, ἀλλ' ὁ Διόνυσος ἑαυτῷ ἀνθυποφέρει.

1422. πρῶτον μὲν οὖν περὶ Ἀλκιβιάδου : Περὶ τῆς δευτέρας αὐτοῦ λέγει ἀποχωρήσεως, ἣν ἐκὼν ἔφυγε, κατελθὼν μὲν ἐπὶ Ἀντιγένους πρὸ ἐνιαυτοῦ τῶν Βατράχων, διὰ δὲ τὸ πιστεῦσαι Ἀντιόχῳ τῷ κυβερνήτῃ τὸ ναυτικὸν καὶ ἡττηθῆναι ὑπὸ Λυσάνδρου δυσχεραν-θεὶς ὑπ' Ἀθηναίων. (Ἄνδρων δὲ διαφέρεται πρὸς Ξενοφῶντα περὶ τῆς καθόδου. Καλλίστρατος δέ φησιν ὅτι οὗτος ἦν ὁ καιρὸς, καθ' ὃν ἐκὼν ἔφυγεν ὁ Ἀλκιβιάδης. ὁ δὲ Ἀρίσταρχός φησι, καθ' ὃν ἐκπεσὼν ἐν Λακεδαίμονι διατρίβων ἔπεισε Λακεδαιμονίους Ἀθηναίοις Δεκέλειαν ἐπιτειχίσαι· τελέως δὲ πταίουσι. λέγει οὖν περὶ τῆς δευτέρας ἀποχωρήσεως, ἣν ἐκὼν ἔφυγε. γεγόνασι δὲ Ἀλκιβιάδαι τέσσαρες.) [δυστοχεῖ δὲ λέγει ἀντὶ τοῦ ἀγαναχτεῖ καὶ κακῶς πάσχει, ἐκ μεταφορᾶς τῶν δυστοχουσῶν γυναικῶν. ἢ δυστοχεῖ λέγει ἀντὶ τοῦ, κακὰ γεννήματα προάγει. Ἀλκιβιάδης γὰρ φύσει Ἀθηναῖος ὢν ἔφυγε μὲν καὶ πρόσθεν διά τινα αἰτίαν ἐκ πόλεως, κατελθὼν δὲ ὕστερον καὶ ναύαρχος καταστὰς ἐνεπιστεύσατο τὸ ναυτικὸν Ἀντιόχῳ· οὗ καὶ ὑπὸ Λυσάνδρου ἡττηθέντος φοβηθεὶς Ἀλκιβιάδης μεταχωρεῖ πρὸς Λακεδαιμονίους, οὓς καὶ πείθει Ἀθηναίοις ἐπιτειχίσαι Δεκέλειαν. ἡ δὲ Δεκέλεια χώρα ἐν τῇ Ἀττικῇ, ἧς τειχισθείσης μέγας ἦν κίνδυνος Ἀθηναίοις μὴ δυναμένοις ἐξελθεῖν.] — πρὸς τοὺς ποιητὰς ὁ . . . . . R.

1425. (ποθεῖ μὲν, ἐχθαίρει δὲ : Παρὰ τὰ ἐκ τῶν Ἴωνος Φρουρῶν, ὅπου ἡ Ἑλένη πρὸς τὸν Ὀδυσσέα φησὶ

σιγᾷ μὲν, ἐχθαίρει δὲ, βούλεταί γε μήν.

ὁ δὲ λόγος, ποθεῖ μὲν ὡς δραστήριον, μισεῖ δὲ ὡς τυραννικόν.) [ἢ ὡς εἰς Λακεδαιμονίους χωρήσαντα.]

1427. μισῶ πολίτην : Αὕτη Εὐριπίδου ἡ γνώμη, μὴ καταδέχεσθαι καθάπαξ Ἀλκιβιάδην. (χαρακτηρίζει δὲ αὐτὸν ἅμα. ταῦτα δέ φησιν Εὐριπίδης περὶ) Ἀλκιβιάδου, ὡς ὄντος αὐτοῦ τοιούτου, βραδέως μὲν ὠφελοῦντος τὴν πατρίδα, ταχέως δὲ βλάπτοντος.

1432. μάλιστα μὲν λέοντα : (Μάλιστα μὲν) μὴ ἀνατρέφειν φρόνημα, ἐὰν δὲ ἀνατρέφῃ, μὴ ἐρεθίζειν, ἀλλὰ τιθασῶσαι. ὥστε ὁ μὲν Εὐριπίδης συμβεβούλευκε μὴ δέχεσθαι, ὁ δὲ Αἰσχύλος τοιαύτην τινὰ διάνοιαν, ἢ μὴ καταδέξασθαι, ἢ καταδεξαμένους τροποφορεῖν. (ἔν τισι δὲ μετὰ τὸ πρῶτον παραγραφή· ὥστε εἶναι τὸ μὲν πρῶτον ὁμολογουμένως Αἰσχύλου, τοὺς δὲ ἑξῆς ἄδηλον τίνος. ἢ γὰρ Εὐριπίδης δίς ἐστιν ἀποφηνάμενος, ἢ ὁ Διόνυσος ἀντὶ τοῦ ἀκούειν ἐκείνου αὐτὸς λέγων καὶ ταῦτα, ἐπεξεργαζόμενος τὸ παρ' Αἰσχύλου λεγόμενον· ἢ ὁ χορός. ἔν τισι δὲ ἑνός ἐστι τὰ τρία, τοῦ Αἰσχύλου πρῶτον μὲν ἀποφατικῶς λέγοντος, τὰ δὲ ἑξῆς δύο μαλακώτερον ὑποτιθεμένου.)

1434. σοφῶς μὲν ὁ Αἰσχύλος, σαφῶς δὲ ὁ Εὐριπίδης. R.

1437. εἴ τις πτερώσας Κλεόκριτον Κινησίᾳ : Ὁ Κινησίας λεπτὸς ἦν, ὁ δὲ Κλεόκριτος μοχθηρός. φησὶν οὖν ὅτι (εἴ τις ἀντὶ πτερῶν) Κλεοκρίτῳ Κινησίαν παραβάλοι, ὥστε φέρεσθαι μεταρσίους, συμβήσεται αὐτοὺς ὀλέσθαι αὐροφορήτους γενομένους. [Ἄλλως. εἴ τις πτερώσας : Ὡς λεπτὸς σφόδρα ὢν κωμῳδεῖται καὶ ὡς ξένος καὶ ὡς κόλαξ. ἐμνήσθη δὲ καὶ τοῦ Κινησίου ὡς τούτου καὶ τοῦ Κλεοκρίτου ὁμοφρονούντων. ἀθετεῖ δὲ τοὺς πέντε ἑφεξῆς στίχους ἕως τοῦ

ῥαίνοιεν εἰς τὰ βλέφαρα τῶν ἐναντίων

Ἀρίσταρχος. ὅτι φορτικώτεροί εἰσι καὶ εὐτελεῖς, διὰ τοῦτο ὑποπτεύονται. Ἀπολλώνιος δὲ οὐ διὰ τοῦτο, ἀλλ' ὅτι οὐ πρὸς τὴν ὑπόθεσιν ἔχουσί τι. ἐρομένων δὲ αὐτῶν ἑκάτερος μίαν γνώμην λέγει.]

1440. κατέχοντες ὀξίδας : Ὀξυβάφους κατέχοντες ῥαίνοιεν ὄξει τοὺς πολεμίους. (ὀξίδες δὲ κεράμια μικρά. ἢ εἶδος λοπάδος ἡ ὀξίς. ταῦτα δὲ ἠθετημένα μετρίως ἄν τις νομίσειεν ἐνδιεσκευάσθαι. καὶ γάρ ἐστι φορτικά. τὰ δὲ ἑξῆς κείμενα πρέποντα καὶ τῷ ποιητῇ καὶ τῇ ὑποθέσει.) [ὅταν, φησίν, οὓς νῦν ἔχομεν παρεωραμένους καὶ δοκοῦμεν ἐχθροὺς τῆς πόλεως, τούτους ἐπανάγωμεν εἰς τὸ ἀρχαῖον ἀξίωμα, καὶ πιστοὺς νομίσωμεν· οἷς δὲ νῦν χρώμεθα ὡς πιστοῖς, τούτους ἀπίστους καὶ φθορέας τῆς πόλεως ἡγώμεθα, σωθείη ἡ πόλις. τοῦτο δὲ λέγει, διότι τοὺς καλοὺς καὶ λυσιτελοῦντας ἄνδρας τῇ πόλει ἀφέντες, ὡς καὶ ὄπισθεν ἐν τῇ παραβάσει ἔφη, μοχθηροῖς καὶ φαύλοις ἐχρῶντο πρὸς τὰ κοινά.]

1445. ἀμαθέστερόν πως εἰπὲ : [Ἀγροικότερον καὶ παχύτερον.] ἀπαιδευτότερον, ἢ κοινότερον. παρὰ τὴν παροιμίαν

σαφέστερόν μοι κἀμαθέστερον φράσον.

1451. εὖ γ' ὦ Παλάμηδες : [Πρὸς τὸν Εὐριπίδην· ὅτι εἰκὸς ἐκ Παλαμήδους πεπλάσθαι ταῦτα.] [ἢ ἐπειδὴ ὁ Παλαμήδης μηχανικὸς καὶ ἐφευρετὴς ἦν. εὗρε δὲ καὶ οὗτος μηχανὴν σωτηρίας τῇ πόλει. διὰ τοῦτο Παλαμήδην τοῦτον καλεῖ.]

1452. (ταυτὶ πότερ' αὐτὸς : Συναθετεῖται τοῖς ἄνω καὶ οὗτος. μένων γὰρ ἀκυροῖ τὴν ἐκείνων ἀθέτησιν, ἐν ᾗ φαίνεται τὰ μὲν πρότερα Αἰσχύλος λέγων, τὰ δὲ ἑξῆς Εὐριπίδης.)

1453. (τὰς δ' ὀξίδας Κηφισοφῶν : Τιμαχίδας πόρρωθεν ἐκ λαχανοπώλιδός φησι τὸν Εὐριπίδην διὰ τὰς ὀξίδας.)

1455. [πόθεν : Ἀρνητικῶς ἴσον τῷ οὐδαμῶς. πρὸς βίαν δὲ, πρὸς ἀνάγκην· ἐπειδὴ τούτους ὁ καιρὸς ἤγαγεν.]

1456. ἐν ἐρωτήσει. R.

1459. ἢ μήτε σισύρα : (Χλαίνης εἶδος εὐτελοῦς, οἷον ἐξωμίδα ἢ ἁπλοΐδα ἤ τι τοιοῦτον.) [καὶ ἀλλαχοῦ (Eccl. 421)

χειμῶνος ὄντος τρεῖς σισύρας ὀφειλέτω.

τινὲς δὲ ἱμάτιον τραχὺ καὶ παχὺ, περιβόλαιον ἀγροικικὸν, δουλικὸν, παλαιόν· ἢ χιτῶν δερμάτινος. Βορέῃ δὲ λέγουσιν Ἡλίῳ τε τοιαύτην ἔριν γενέσθαι, ὁπότερος ἀνδρὸς ἀγροίκου ὁδοιποροῦντος τὴν σισύραν ἐκδύσῃ.] ὁ δὲ νοῦς, μήτε χρηστὸς μήτε ὀχληρὸς πολίτης συμφέρει. πρὸς δὲ τὴν διαφοράν. ἔν τισι καὶ σισύρα καὶ σισύρνα ἐκ τρίτου τὸ αὐτὸ, πλὴν ὅτι ἡ μὲν σισύρα δοκεῖ βαίτη εἶναι ἐκ δερμάτων αἰγείων, ἡ δὲ χλαῖνα ἀπὸ ἐρίων.

1460. [εἴπερ ἀναδύσει : Ἐπανέλθῃ ἐκ τῆς δυστυχίας ὥσπερ ἐκ βυθοῦ. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν βυθιζομένων νηῶν.]

1461. [ἐκεῖ φράσαιμ' ἄν : Ἐν τῷ βίῳ. ἐπιθυμῶν δὲ ἀναβιῶναι τοῦτο λέγει.]

(1462). ἀλλ' ἐνθάδ' ἀνίει τἀγαθά : [Ἀντὶ τοῦ ἀνάπεμπε.] παρὰ τὴν παροιμίαν

ἐκεῖ βλέπουσα, δεῦρ' ἀνίει τἀγαθά.

1463. τὴν γῆν ὅταν νομίσωσι : Τὴν Περικλέους γνώμην λέγει. (εἰ τὴν μὲν Ἀττικὴν ὡς πολεμίαν ἐάσουσι τέμνεσθαι, ἢ καὶ οὐ τέμνουσι, τὴν δὲ Λακωνικὴν περιπλεύσουσιν. Ἄλλως. ἐπὶ τὴν Περικλέους φέρεται γνώμην, ὃς συνεβούλευσε περιπλεῖν τὴν πολεμίαν, μὴ μάχεσθαι δὲ τεμνομένης τῆς Ἀττικῆς.) [Ἄλλως. τοιαύτην γνώμην καὶ Περικλῆς συνεβούλευσεν Ἀθηναίοις, Λακεδαιμονίων εἰσβαλλόντων εἰς τὴν Ἀττικὴν, μέγα βοήσας ἀπὸ τοῦ βήματος, ὡς οὐκ ἂν ἄλλως ἔσται τοῖς πράγμασι σωτηρία, εἰ μὴ τὸ κατὰ γῆν μάχεσθαι τούτοις ἀφέντες περιπλευσούμεθα Λακεδαίμονα πλήθει νεῶν.]

1465. πόρον δὲ τὰς ναῦς : Καὶ τοῦτο κατὰ τὴν Περικλέους γνώμην, ὃς ἐκέλευεν Ἀθηναίοις, ἐμβαλόντων Λακεδαιμονίων εἰς τὴν Ἀττικὴν, μὴ ἐπεξιέναι, ἀλλ' εἴσω τείχους μένειν, αὐτοὺς δὲ διὰ τῶν πλοίων ἐπιέναι τῇ Λακωνικῇ. τὸν οὖν κατὰ γῆν πόρον ἀπορίαν ἡγεῖ-

σθαι, τὸν δὲ διὰ θαλάσσης, τοῦτον ἡγεῖσθαι πόρον. (ἢ καὶ οὕτως· ἕνα μὲν πόρον ἡγεῖσθαι χρημάτων, τὸ ναῦς ὡς πλείστας ἔχειν· τὸν δὲ ἄλλον πόρον, ὃς ἂν ἔξω τῆς γῆς ᾖ, τοῦτον ἀπορίαν νομίζειν· οἷον τὰ θεωρικά, ἢ διακαστικά, ἢ ἐκκλησιαστικά. συμβουλεύει οὖν πᾶσαν τὴν ἐν τούτοις γινομένην δαπάνην ταῖς ναυσὶν ἀφορίσαι. πρὸς ταύτην δὲ τὴν ἔννοιαν καὶ τὸ ἐπιφερόμενον ἀκόλουθον. φησὶ γὰρ ὁ Διόνυσος, « πλήν γ' ὁ δικαστὴς αὐτὰ καταπίνει μόνος, » ὡς πολλῶν ὄντων τῶν δαπανωμένων εἰς τὸν δικαστικὸν μισθόν.) τοῦτο δὲ παρ' ὑπόνοιαν εἶπε. ⟦νοεῖται μὲν γὰρ κατὰ τὸ φαινόμενον, ὅτι ἐγὼ μόνος ὁ δικάζων ὑμῖν κατὰ νοῦν ταῦτα λαμβάνω καὶ ἀποδέχομαι· τῇ δὲ ἀληθείᾳ κατηγορίαν Ἀθηναίων ἐμφαίνει, ὡς δικορραφούντων καὶ μισθοὺς πολλοὺς περὶ τὰς δίκας διδόντων. τὸ δὲ κρίνοις ἄν τινὲς τὸν Πλούτωνα λέγειν ἀξιοῦσιν. αἱροῦ δὲ τοὺς φίλους ἀντὶ τοῦ ἐμὲ λάβε.⟧

1469. οὓς ὤμοσας : Πρὶν κατελθεῖν. *C.*

1470. τοὺς φίλους : Ἐμέ. *Br.*

1471. ἡ γλῶττ' ὀμώμοκε : Παρὰ τὰ ἐξ Ἱππολύτου [611]

ἡ γλῶττ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος.

1475. τί δ' αἰσχρὸν ἦν μὴ : Παρὰ τὰ ἐξ Αἰόλου Εὐριπίδου

τί δ' αἰσχρόν, ἢν μὴ τοῖσι χρωμένοις δοκῇ;

1478. τὸ πνεῖν δὲ δειπνεῖν : Παρὰ τὰ ἐκ Φρίξου Εὐριπίδου. τὸ δὲ κώδιον προσέθηκεν, ἐπειδὴ καθεύδειν ἔφη. ⟦Ἄλλως. τοῦτο ἐκ Πολυίδου δράματος

τίς οἶδεν, εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,
τὸ κατθανεῖν δὲ ζῆν, ὑπνοῦν δὲ τὸ κατθανεῖν.

Ἀριστοφάνης δέ φησι

τὸ πνεῖν δὲ δειπνεῖν καὶ τὸ καθεύδειν κώδιον.

πεποίηκε δὲ τοῦτο, ἐπειδὴ ὁ Διόνυσος οὐδὲν ἕτερον ἠγάπα ἢ δειπνεῖν καὶ καθεύδειν ἐν μαλακοῖς στρώμασιν, οἷά ἐστιν τὰ ἐκ κωδίων.⟧

1481. τῷ ἑστιᾶσαι· ὡς ἀδηφάγος. τρυφερὸς γάρ. Ven.

1482. ⟦μακάριον : Κορωνὶς καὶ εἴσθεσις χοροῦ ἐπῳδική, διὰ τὸ μετὰ τὴν κορωνίδα κεῖσθαι, ἐκ κώλων τροχαϊκῶν ἐπιμεμιγμένων χορείοις καὶ ἰάμβοις καὶ ἀναπαίστοις διμέτρων ὀκτωκαίδεκα· ὧν τὰ μὲν α', β', γ', η', ι', ια', ιϐ', ιδ', ιε' καταληκτικά ἤτοι ἐφθημιμερῆ Εὐριπίδεια, ἢ ληκύθια· τὰ δ' ἄλλα ἀκατάληκτα, πλὴν τοῦ θ' καὶ τελευταίου βραχυκαταλήκτων ἰθυφαλλικῶν. ἐπὶ τῷ τέλει κορωνίς.⟧ λείπει τὸ πρᾶγμα, ἵν' ᾖ, μακάριον τὸ πρᾶγμα. ⟦φίλους δὲ νῦν ὡς καὶ ἡμεῖς. πολλαχοῦ δὲ τοὺς συγγενεῖς καὶ ἀναγκαίους.⟧ — ξύνεσιν : Ἀντὶ τοῦ φρόνησιν. R. V.

1491. (χάριεν οὖν : Ὅτι νῦν τὴν πρὸς Σωκράτην ἑταιρίαν δηλοῖ. Παναίτιος δὲ ὅλα ταῦτα περὶ ἑτέρου Σωκράτους φησὶ λέγεσθαι, τῶν περὶ σκηνὰς φλυάρων, ὡς Εὐριπίδης.) ⟦Ἄλλως. τὸν Σωκράτη ἐνταῦθα κατηγορεῖ. ζῶν γὰρ οὗτος ὡς πολυλόγος κατηγορεῖτο, ὅτι πολλοὺς λόγους ἐν τοῖς ἐργαστηρίοις καὶ τραπέζαις διεξήρχετο περὶ φιλοσοφίας. λέγει οὖν ὅτι καλόν ἐστι, μὴ μετ' αὐτοῦ τινα διάγειν, ἀφέντα τοὺς ποιητὰς τοιούτους ὄντας ὡς καὶ μετὰ θάνατον ἀναβιοῦν αὖθις δύνασθαι· οὗ νῦν Αἰσχύλος ἔτυχε.⟧

1497. καὶ σκαριφισμοῖς : (Συνεστυμμένοις καὶ στυγνοῖς. παρόσον οὐκ ἀνειδέοις οἱ φιλόσοφοι διαλέγονται. ἢ) οἷον σκαρισμοῖς καὶ λεπτολογίαις, εὐτελείαις, σκιαγραφίαις. σκαριφεύειν γὰρ τὸ τοὺς ζωγράφους ὑποτυπῶσαι (πρῶτον τοὺς γραφομένους). ⟦καὶ σκαριφήσασθαι ἐπὶ τοῦ ἐπισεσυρμένως τι ποιεῖν, καὶ μὴ κατὰ τὴν προσήκουσαν ἀκρίβειαν σκιαγραφεῖν. εἰσὶ δὲ καὶ οἱ φιλόσοφοι λόγοι ὥσπερ σκιαὶ καὶ αἰνίγματα διὰ τὸ ἀερῶδες αὐτῶν καὶ λεπτόν.⟧ (ἴσως δὲ ἐντεῦθεν καὶ τὸ ἐν τῇ συνηθείᾳ σκάριφος,) ⟦ἤγουν τὸ κάρφος, καὶ φρύγανον· μᾶλλον δὲ ἡ γραφίς⟧. — σκαρηφισμοῖσι : Σκιαῖς. *C.*

1499. παραφρονοῦντος ἀνδρός : Λείπει τὸ ἐστίν, (ὡς καὶ τὸ Ὁμηρικὸν [Od. Δ, 834]

εἰ δ' ἤδη τεθνᾶσι, καὶ εἰν ἀΐδαο δόμοισι.

λείπει γὰρ κἀνταῦθα τὸ ἐστί.)

1500. ⟦ἄγε δὴ χαίρων : Ἔκθεσις τοῦ δράματος, ὃ καὶ ἐπίλογος καλεῖται, ἐκ κώλων διμέτρων ἀναπαιστικῶν κζ'· ὧν τὰ ς', ια', ιε', κδ', κζ' ἐφθημιμερῆ· τὰ δὲ λοιπὰ ἀκατάληκτα, πλὴν τῶν η' καὶ ιγ' μονομέτρων. ἐφ' ἑκάστης περιόδου τέλει καὶ συστήματος παράγραφος.⟧

1501. τὴν ἡμετέραν : ⟦Πάντως γὰρ οἱ θεοὶ αὐτὴν φιλοῦμεν διὰ τὴν πρὸς ἡμᾶς εὐσέβειαν.⟧ — τοῦτο ἔφη ὁ Πλούτων, ἐπεὶ προσήκει ἡ Ἀττικὴ Δήμητρι καὶ Κόρῃ. V. Θ. M.

1504. καὶ δὸς τουτὶ Κλεοφῶντι : Ἴσως σχοινίον ἐπιδίδωσιν αὐτῷ ὁ Πλούτων πρὸς ἀγχόνην, ἤ τι τοιοῦτον σύμβολον θανάτου. ὡς ξένος δὲ ὁ Κλεοφῶν κωμῳδεῖται. [ἢ ὅτι γέρων ὢν ἔμελλε μετ' ὀλίγον τεθνήξεσθαι. ἢ ὡς ἀγχόνης ἄξια ἔπραττε.]

1505. καὶ τούτοις τοῖσι πορισταῖς : [Τοῖς φορολόγοις.] (τούτους λέγει, τοὺς περὶ πόρου χρημάτων εἰσηγουμένους. εἴη δ' ἂν σχοινίον, ὃ ἐπιδίδωσιν αὐτοῖς.)

1506. (Μύρμηκί θ' ὁμοῦ ; Ὀνόματα κύρια. ἐπὶ πονηρίᾳ δὲ οὗτοι ἐκωμῳδοῦντο. οὐ πάντως δὲ ὁ Μύρμηξ τῶν πορισταῖν ἐστιν, ἀλλὰ δὴ οἴονται ἀπὸ ἄλλης ἀρχῆς· οὐδὲ γὰρ ὁ Νικόμαχος. ἀλλὰ ἤτοι ὁ τραγικὸς ὑποκριτής, ἢ ὁ πολίτης, περὶ ὧν προείρηται. τί δ' ἂν εἴη διδούς; τάχα βρόχους πρὸς ἀγχόνην, ἤ τι τοιοῦτον.) [ξυμποδίσας δὲ, συνδήσας τοὺς πόδας.]

1513. τοῦ Λευκολόφου : (Εἴη ἂν οὗτος ὁ τοῦ Λευκολοφίδου, οὗ καὶ Πλάτων μέμνηται ἐν τῷ Πρωταγόρᾳ [p. 315, E]. ἦν γὰρ τῶν περὶ τοὺς καιροὺς τούτους στρατηγούντων· ἡγεῖτο δὲ τοῦ μέρους τοῦ ναυτικοῦ. τάχα δ' ἂν οὗτος εἴη, ὃν καὶ παρεγγεγραμμένον λέγουσιν. οἱ-

κεῖον γὰρ αὐτοῦ τὸ, στίξας αὐτούς· ἦν γὰρ ξένος. Ἄλλως.) στρατηγὸς ἦν τοῦ ναυτικοῦ. καὶ Εὔπολις μέμνηται ἐν Πόλεσιν οὕτως περὶ τοῦ Ἀδειμάντου

οὐκ ἀργαλέον ἦῆτ' ἐστὶ πάσχειν τοῦτ' ἐμὲ
τὸν Λευκολοφίδου παῖδα τοῦ Πορθάονος;

1516. τῷ Σοφοκλεῖ δηλονότι ὁ Εὐριπίδης. R.

1517. [ἦν δ' ἄρ' ἐγώ ποτε : Ἀπαγορεύει ὡς οὐκ ἔτι πάλιν εἰς Ἅδου ἀφίξεται.]

1523. [μηδ' ἄκων : Οἷον, μηδὲ εἴ τινες ἄκοντα τοῦτον λαβόντες καθίσαι ἐθελήσουσι.]

1524. [φαίνετε : Πρὸς τὸν χορόν. ἀντὶ τοῦ, ἀνάπτετε ὦ μύσται.]

1528. πρῶτα μὲν εὐοδίαν : [Ἡ τελευταία ἔκθεσις τοῦ δράματος ἐκ στίχων ἐστὶ δακτυλικῶν ς'. ἐπὶ τῷ τέλει κορωνὶς ἡ καὶ τὸ δρᾶμα ἀποπερατοῦσα. εὐοδίαν δὲ, εὐκολίαν περὶ τὴν ὁδόν. ταῦτα δὲ] (παρὰ τὰ ἐν Γλαύκῳ Ποτνιεῖ Αἰσχύλου « εὐοδίαν μὲν πρῶτον ἀπὸ στόματος χέομεν. ») — ἀντὶ τῷ Αἰσχύλῳ. R.

1531. [παυσσίμεθ' ἂν : Τὸ παυσαίμεθα εἶπεν ὁ χορὸς, διότι τῷ μὲν δοκεῖν ἐν Ἅδου ἦν, τὸ δ' ἀληθὲς Ἀθήνησιν, ἔνθα ἐτελεῖτο τὸ δρᾶμα. ξυνόδων δὲ, συμπλοκῶν, ἃς ἡ πόλις νυνὶ πάσχει.] — τῶν πολεμικῶν ἀργαλέων. R.

1532. Κλεοφῶν δὲ μαχέσθω : (Παρόσον, ὡς Ἀριστοτέλης φησὶ, μετὰ τὴν ἐν Ἀργινούσαις ναυμαχίαν Λακεδαιμονίων βουλομένων ἐκ Δεκελείας ἀπιέναι ἐφ' οἷς ἔχουσιν ἑκάτεροι καὶ εἰρήνην ἄγειν ἐπὶ τοῦ Καλλίου, Κλεοφῶν ἔπεισε τὸν δῆμον μὴ προσδέξασθαι, ἐλθὼν εἰς τὴν ἐκκλησίαν μεθύων καὶ θώρακα ἐνδεδυκώς, οὐ φάσκων ἐπιτρέψειν ἐὰν μὴ πάσας ἀφῶσι τὰς πόλεις οἱ Λακεδαιμόνιοι. οὗτος δὲ ὁ Κλεοφῶν ὡς ξένος κωμῳδεῖται· οὗ καὶ ἄνω [678] ἐμνήσθη, εἰπὼν « φιλοτιμότεραι Κλεοφῶντος, ἐφ' οὗ χείλεσιν ἀμφιλάλοις δεινὸν ἐπιβρέμει Θρηϊκία χελιδών. ») μαχέσθωσαν οὖν, φησὶ, Κλεοφῶν καὶ οἱ ἄλλοι, ὅσοι τούτῳ ὅμοιοί εἰσι ξένοι, ἐν ταῖς πατρίσιν αὐτῶν, καὶ μὴ ἐν τῇ Ἀττικῇ κινείτωσαν πολέμους· οὐ γάρ ἐστιν αὐτῶν πατρὶς αὕτη.

1533. (πατρίοις ἐν ἀρούραις : Ἐν ταῖς ἑαυτῶν ἀρούραις. κωμῳδεῖ δὲ αὐτοὺς ὡς ξένους.)

ΕΚΚΛΗΣΙΑΖΟΥΣΑΙ.

ΥΠΟΘΕΣΕΙΣ.

I.

Αἱ γυναῖκες συνέθεντο πάντα μηχανήσασθαι εἰς τὸ δόξαι ἄνδρες εἶναι, καὶ ἐκκλησιάσασαι πεῖσαι παραδοῦναι σφίσι τὴν πόλιν, δημηγορησάσης μιᾶς ἐξ αὐτῶν. αἱ δὲ μηχαναὶ τοῦ δόξαι αὐτὰς ἄνδρας εἶναι τοιαῦται. πώγωνας περιθέτους καὶ ἀνδρείαν ἀναλαμβάνουσι στολήν, προνοήσασαι καὶ προασκήσασαι τὸ σῶμα αὐτῶν, ὡς ὅτι μάλιστα ἀνδρικὸν εἶναι δόξαι. μία δὲ ἐξ αὐτῶν Πραξαγόρα λύχνον ἔχουσα προέρχεται κατὰ τὰς συνθήκας καὶ φησὶν « ὦ λαμπρὸν ὄμμα. »

II.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΓΡΑΜΜΑΤΙΚΟΥ.

Ἐν τοῖς Σκίροις τὰ γύναι' ἔκρινεν ἐν στολαῖς
ἀνέρων προκαθίζοντα, γενομένης ἐκκλησίας,
περιθέμεναι πώγωνας ἀλλοτρίων τριχῶν.
ἐποίησαν οὕτως. ὑστεροῦντες οὖν στολαῖς
ἄνδρες γυναικῶν ἐκάθισαν· καὶ δὴ μία
δημηγορεῖ περὶ τοῦ λαβοῦσα τῶν ὅλων
τὴν ἐπιτροπὴν βέλτιον ἄρξειν μυρίῳ·
ἐκέλευσέ τ' εἰς κοινὸν φέρειν τὰ χρήματα
καὶ χρῆσθ' ἅπασιν ἐξ ἴσου ταῖς οὐσίαις
καὶ ταῖς γυναιξὶ μετατίθεσθαι τοὺς νόμους.)

SCHOLIA IN ECCLESIAZUSAS.

1. Ὦ λαμπρὸν : Πραξαγόρα λύχνον ἔχουσα προέρχεται. (ὑποπτεύεται δὲ ὁ ἴαμβος ἢ τοῦ Ἀγάθωνος ἢ τοῦ Δικαιογένους, διὰ τὰς ἑταίρας ἐγκαθιζομένας. ὁ πρὸς οὐδὲν εἶπεν, ἀλλὰ μόνον ὅτι τὰς ἑταίρας δεῖ πως.) βούλεται δὲ εἰπεῖν ὅτι τοὺς ἄνδρας προλάβωμεν εἰς τὴν ἐκκλησίαν.

τοῦ τροχηλάτου : Διὰ τὸν κεράμεον τροχόν. καταχρηστικῶς δὲ εἶπεν· οὐ γὰρ ἐν τροχῷ ἐλαύνεται, ἀλλὰ τύπῳ γίνεται.

2. κάλλιστα : Ἡ ἔννοια, κάλλιστα τοῖς σοφοῖς εὑρημένον, τοῖς εὖ σκεπτομένοις. οἱ δὲ τοῖς φύλαξιν, ὅτι μετὰ λύχνων σκοποῦσιν. (βύμης δὲ τῆς ὁρμῆς.)

6. ὅρμα φλογός : Σύμβολον ἡμῖν δίδου περὶ τῶν συγκειμένων διὰ τῆς φλογός.

10. χορδουμένων : Κινουμένων. τοῦτο δὲ λέγει, ἐπεὶ οἱ συνουσιάζοντες κινοῦνται.

12. ἀπορρήτους μυχούς : Τὸ αἰδοῖον λέγει τῆς γυναικὸς, διὰ τὸ μηδένα αὐτὸ βλέπειν.

13. (ἀφαύων : Ἀποξυρῶν.)

τρίχα : Τοῦ αἰδοίου τὴν ἐπικειμένην τρίχα.

14. στοάς : Τὰ ταμιεῖα στοὰς λέγουσι. καὶ γὰρ παραμήκη. — ἐν αἷς ὁ σῖτος. R.

18. Σκίροις : Σκίρα ἑορτή ἐστι τῆς Σκιράδος Ἀθηνᾶς, Σκιροφοριῶνος ιϐ'. οἱ δὲ Δήμητρος καὶ Κόρης. ἐν ᾗ ὁ ἱερεὺς τοῦ Ἐρεχθέως φέρει σκιάδειον λευκὸν, ὃ λέγεται σκῖρον.

22. ἂς Σφυρόμαχος : (Γράφεται) ἂς Κλεόμαχος. (καὶ) φασὶ Κλεόμαχον τραγικὸν ὑποκριτήν. οὗτος φαίνεται ὑποκρινόμενός ποτε εἰρηκέναι ἕδρας ἐν δράματι καὶ ἐσκῶφθαι διὰ τὸ κακέμφατον. ὁ δὲ Σφυρόμαχος ψήφισμα εἰσηγήσατο, ὥστε τὰς γυναῖκας καὶ τοὺς ἄνδρας χωρὶς καθέζεσθαι καὶ τὰς ἑταίρας χωρὶς τῶν ἐλευθέρων.

26. θαἱμάτια, τὰ ἱμάτια. R.

30. ὥρα βαδίζειν : Μία τῶν ἐρχομένων γυναικῶν πρὸς τὴν Πραξαγόραν ταῦτα λέγει. — κῆρυξ ὁ ἀλέκτωρ. R.

34. θρυγονῶσα : Ἡσύχως κνῶσα.

36. ὑποδουμένη : Τὰ ὑποδήματα βάλλουσα. κνίσμα σου τὸν ἠρεμαῖον κνισμόν.

38. Σαλαμίνιος : Ὡς ναυτικῶν ὄντων τῶν Σαλαμινίων καὶ κατωφερῶν. δύναται δὲ καὶ ἀπὸ τῆς Σαλαμινίας νεὼς νοεῖσθαι τὸ Σαλαμίνιος, ὡς ἀπὸ τῆς Παράλου Παράλιος.

45. κἀρεβίνθων : Ὑποπίνοντες γὰρ ἔκαπτον φρυκτοὺς ἐρεβίνθους.

46. τὴν Σμικυθίωνος : (Λείπει) γυναῖκα.

47. ἐμβάσιν : Ἐμβὰς ἀνδρεῖον ὑπόδημα.

48. κατὰ σχολήν : ἀντὶ τοῦ μόλις ἢ ἀψοφητί. R. L.

49. Γευσιστράτην : Παρὰ τὴν Λυσιστράτην εἴρηται.

50. τὴν λαμπάδα : Τὴν δᾷδα λέγει διὰ τὸ νύκτα εἶναι.

53. ἔστ' ὄφελος : Ἀντὶ τοῦ αἱ εὐγενεῖς.

56. τριχίδων : Λέγει τῶν καλουμένων νῦν θρισσῶν. αὗται δὲ ἐσθιόμεναι βῆχα ἀνεγείρουσιν.

60. ἔχω τὰς μασχάλας : Ἔθρεψαν γὰρ τρίχας, ἵνα ὅταν χειροτονῶσι, δοκῶσιν ἄνδρες εἶναι.

61. λόχμης : ἀντὶ τοῦ συμφύτου τόπου. R.

61. πρὸς τὸν ἥλιον : Ὥστε μέλαινα γενέσθαι ὡς ἀνήρ.

66. ἔρριψα : Ξυρὸν ἔρριψα, ἵνα μὴ βλέπουσα αὐτὸ ἐρεθιζοίμην πρὸς ξυράν.

71. Ἐπικράτους : (Οὗτος εἰς δασύτητα κωμῳδεῖται.) ἦν δὲ ῥήτωρ καὶ δημαγωγός. οὗτος μέγαν πώγωνα ἔχων, ἐπεκαλεῖτο σακεσφόρος. καὶ Πλάτων ὁ κωμικός φησιν

ἄναξ ὑπήνης Ἐπίκρατες σακεσφόρε.

74. Λακωνικάς : Εἶδος ὑποδήματος.

77. Λαμίου : Λάμιός τις πένης καὶ ἀπὸ ξυλοφορίας ζῶν. (διὸ καὶ βακτηρίαν ἐξενέγκασα αὐτοῦ φησιν εἶναι. κωμῳδεῖται γὰρ καὶ ὡς δεσμοφύλαξ. ἀρσενικῶς δὲ Λαμίαν. ὑπὲρ ἧς ὁ Κράτης λέγει ἐν τῷ ὁμωνύμῳ δράματι, ὅτι σκυτάλην ἔχουσα ἐπέρδετο.)

78. ὧν πέρδεται : Ἀντὶ τοῦ ὧν φέρει. ἢ ἴσως ὑπὸ τοῦ βάρους ἐπέρδετο. — τὸ σκύταλον τὸ ῥόπαλον. R. Γ.

80. (τὴν τοῦ πανόπτου : Τοῦ τὴν Ἰὼ φυλάττοντος. αἰνίττεται δὲ ὡς ὄντος αὐτοῦ δεσμοφύλακος. ἀναφέρει δὲ τοῦτον ἐπὶ τὸν παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ Ἄργον.)

81. εἴπερ τις ἄλλος : Ὡς οὐδεὶς ἄλλος τὸν δῆμον. βουκολεῖν δὲ ὡς τὴν Ἰὼ ὁ Ἄργος ἐν Ἰνάχῳ Σοφοκλέους. R.

87. ὑπὸ τῷ λίθῳ : Ὑπὸ τῷ βήματι.

88. ταυτί γε τοι : Γυνὴ ἔρχεται φέρουσα καὶ ξαίνουσα ἔρια, πρὶν ἀπελθεῖν ἐκεῖσε.

89. πληρουμένης : Οἷον ἕως συνάγονται. φθάσαι γάρ, φησί, δεῖ, καὶ μὴ μεῖναι ἕως πληρωθῇ.

94. παραῇναι : Παραδεῖξαι ὡς πρὸς ἄνδρας.

96. ὑπερβαίνουσαν : Ἐπὶ τὸ βῆμα ἀναβαίνουσαν.

97. Φορμίσιος : (Καὶ) οὗτος δασὺς (ἦν). αἰνίττεται δὲ τὸ (γυναικεῖον) αἰδοῖον.

100. ἀντὶ τοῦ ὅτε καθήμεθα. R.

102. Ἀγύρριος : Ὁ Ἀγύρριος στρατηγὸς θηλυδριώδης, ἄρξας ἐν Λέσβῳ. καὶ τὸν μισθὸν δὲ τῶν ποιητῶν συνέτεμε, (καὶ πρῶτος ἐκκλησιαστικὸν δέδωκεν). ὁ δὲ Πρόνομος αὐλητὴς μέγαν ἔχων πώγωνα, Ἀγύρριος δὲ εὐρύπρωκτος. οὗτος οὖν τὸν Προνόμου ἔχων πώγωνα λανθάνει ὢν γυνή.

105. τούτου γέ τοι : Νὺξ γὰρ ὑπόκειται ἔτι. ὑπερβατόν· καὶ τὸ ἑξῆς· τούτου γέ τοι ἕνεκα τοσοῦτον τόλμημα τολμῶμεν, νὴ τὴν ἐπιοῦσαν ἡμέραν, ἣν πως παραλαβεῖν.

109. νῦν μὲν γάρ : Παρὰ τὴν παροιμίαν

ὄχ' ἀργύριον ἢ πάντα θεῖ κἀλαύνεται.

ὅ ἐστιν οὔτε ἀνέμοις οὔτε κώπαις πλέομεν.

110. (καὶ πῶς γυναικῶν : Ἐκ τραγῳδίας τοῦτο.)

113. σποδοῦνται : Κινοῦνται.

114. (κατὰ τύχην : Ἤγουν κατὰ συνουσίαν.)

115. ἡ μὴ μπειρία : Ἀντὶ τοῦ ἡ ἀπειρία.

116. ἐπίτηδες : Ἀντὶ τοῦ ἐκ σπουδῆς. R. Γ.

117. ἅτινα. R.

118. περιδουμένη : Περιδεσμεύουσα τὴν τριχίνην γενειάδα. γένειον γὰρ ὁ τόπος.

121. περίδου : Περίθες.

122. περιδήσομαι : Ὅτι καὶ οἱ δημαγωγοὶ ἐστέφοντο.

124. (τάλαν : Παρέλκει τὸ τάλαν.)

125. καταγέλαστον : Τὸ ἡμᾶς πώγωνας ἔχειν.

126. σηπίαις : (Σηπία εἶδος ἰχθύος.) ἀπρόσλογος δὲ ἡ εἰκασία. — λευκαὶ γὰρ αἱ σηπίαι. R. ἐσταθευμέναις δὲ, ἐξ ἐπιπολῆς ὀπτηθείσαις. (σταθεύειν γὰρ τὸ μὴ λίαν ὀπτῆσαι. ἢ χλιανθείσαις πυρί.)

128. περιστίαρχος : Ὁ τῶν καθαρσίων προηγούμενος ἐν ταῖς ἐκκλησίαις. περίστια γὰρ τὰ καθάρσια. τὴν γαλῆν : εἰς τὴν λεπτότητα τοῦ δελφακίου. R. Γ.

129. Ἀρίφραδες : Ὡς ἀναμεμιγμένου αὐταῖς. λοιδορεῖται δὲ πρὸς γυναῖκας αἰσχρὸς ὢν κιθαρῳδός.

131. στεφανοῦνται γὰρ οἱ δημηγοροῦντες. Γ.

132. πρὸς τὸ τῶν γυναικῶν φίλοινον. R. Γ.

133. ἐστεφανωσάμην : ἐπεὶ καὶ οἱ ἐν τοῖς συμποσίοις ἐστεφανοῦντο. R. Γ.

137. οὐ μόνον ζωρὸν, ἀλλὰ καὶ εὔζωρον, ἄκρατον. R.

138. ἀντὶ τοῦ ἐνθυμουμένων. R. Γ.

139. μεθυόντων ἐστὶ : Μανικά. διαβάλλει τοὺς Ἀθηναίους ὡς ἀεὶ κακὰ βουλευομένους.

145. μὴ ἔχειν τοῦτον τὸν πώγωνα. R. Γ.

146. ἀφαυανθήσομαι : Ξηρανθήσομαι.

148. ἐργάζεται : Τὸ πρᾶγμα ἀνύεται. λέγει δὲ ὅτι λοιπὸν πρωΐας ἐγένετο.

150. διερεισαμένη : Οἷον διαπηξαμένη, ἀσφαλισαμένη.

151. (τῶν ἠθάδων : Τῶν ἔθος ἐχόντων λέγειν.)

152. ἥσυχος : ἀντὶ τοῦ ἥσυχα τάδε τοιαῦτα ἐστί. Rav.

153. (ἐμὴν μίαν : Λείπει γνώμην.)

155. μὰ τὼ θεώ : (Ἐπειδὴ γυναικῶν ὁ ὅρκος.) παίζει. οὐ γὰρ δεῖ σε, φησὶν, ὑποκρινομένην ἄνδρα γυναικεῖον ὅρκον ὀμνύναι τὰς θεάς.

162. ἀκριβωθήσεται : Ἀκριβῶς μελετηθήσεται.

167. Ἐπίγονόν γ' ἐκεῖνον : Οὗτος κωμῳδεῖται ὡς μαλακὸς καὶ ὡς μετὰ γυναικῶν ἀεὶ εὑρισκόμενος.

169. ἀποφθείρου, πορεύου μετὰ φθορᾶς. R. Γ.

171 τὸν στέφανον. R.

172. ἀντὶ τοῦ κατορθῶσαι. R.

175. τὰ τῆς πόλεως : Ἐντεῦθεν ἡ ὑπόκρισις τῆς δημηγορίας.

185. οὗτος πονηρός ἐστι. R.

188. τοὺς μισθοφορεῖν : Τοὺς μισθοὺς βουλομένους λαβεῖν. καὶ γὰρ παρὰ τῶν δημαγωγῶν λαμβάνουσι, καὶ ὁ μὴ λαβὼν μισεῖ θέλων λαβεῖν.

193. τὸ συμμαχικόν : Τὸ πρὸς τοὺς συμμάχους δίκαιον. R. Γ. ἡ μὲν γνώμη τίς ἦν καὶ ὑπὸ τίνος ἄδηλον. περὶ δὲ τοῦ συμμαχικοῦ Φιλόχορος ἱστορεῖ ὅτι πρὸ δύο ἐτῶν ἐγένετο συμμαχία Λακεδαιμονίων καὶ Βοιωτῶν.

196. ὁ τοῦτ' ἀναπείσας : Κόνωνα λέγει.

198. γεωργοῖς : Ἐβαροῦντο γὰρ (ταῖς) τριηραρχίαις.

199. Κορινθίοις : Ἦσαν γὰρ διάφοροι. τὸ δὲ σοί ὡς πρὸς τὸν δῆμον.

201. Ἱερώνυμος σοφός : Κατ' εἰρωνείαν. ὁ γὰρ Ἀργεῖος σοφὸς, ὁ δ' Ἱερώνυμος ἀμαθής. ταῦτα δὲ εἰς τὸ κωμῳδῆσαί τινας. τὸ δὲ Ἀργεῖος ὄνομα κύριον.

203. Θρασύβουλος : (Οὗτος αὐθάδης καὶ δωροδόκος,) ὑπερόπτης (ὢν) τοῦ δήμου, ἠβούλετο δι' αὐτοῦ πάντα πράττεσθαι.

204. διὰ τὸ ἀνήρ. R.

206. (τὰ δημόσια γὰρ μισθοφοροῦντες : Ὅπως μὲν αὐτοὶ κερδανεῖτε, σκοπεῖσθε· ὅπως δὲ φροντίσετε περὶ τῶν κοινῶν, ἐξ ὧν μισθοφορίαι, ἀμελεῖτε τοῦ κοινοῦ.)

208. Ἄϊσιμος : Χωλὸς ἄτιμος καὶ ἀμαθής. — ἄτιμος οὗτος καὶ χωλός. τὸ δὲ κοινὸν ὅτι τὸ κοινὸν ἀμελεῖτε. σκοπεῖσθε δὲ, τί κερδανεῖτε. R.

209. (σωθήσεσθ' ἔτι : Παρέλκει τὸ ἔτι παρὰ τοῖς Ἀττικοῖς.)

212. (ταμίαις : Ἐφόροις, φύλαξι, διοικητρίαις.)

216. βάπτουσι : Πλύνουσι. — οὐδὲν καινοτομοῦσι, φησί. R.

217. ἁπαξάπασαι : ἀντὶ τοῦ πᾶσαι. τὰ δὲ τοιαῦτα Ἀττικά. μεταπειρωμένας : μεταβαινούσας, μεταβαλλομένας ἀπὸ πράγματος εἰς πρᾶγμα. R.

220. εἰ μή τι καινὸν ἄλλο : Ἀντὶ τοῦ, εἰ μὴ ἐπολυπραγμόνει καὶ καινὰς ἔφερε πολιτείας. — ἀντὶ τοῦ, εἰ ἐφύλαττε τὸν ἀρχαῖον νόμον. R.

φρύγουσι : Λείπει τὸ κριθάς. ἐπιτρίβουσι, μοιχεύουσιν, ἢ ἐν τῷ μηδὲν πράττειν.

226. παροψωνοῦσιν : Ἀντὶ τοῦ λάθρα ὀψωνοῦσιν.

227. εὔζωρον : Ἄκρατον.

230. μὴ περιλαλῶμεν : Μὴ φλυαρῶμεν.

232. σκεψάμενοι : Οἷον ἐκ τῶν ἐπαγομένων λογισάμενοι.

236. πορίζειν : Εὑρίσκειν, συνάγειν.

239. τὰ δ' ἄλλα : Μετὰ τὸ ἐάσω στικτέον. τὸ δὲ ταῦτα, οἷον ταῦτα συμβουλεύων.

243. ἐν πυκνί : Ἀντὶ τοῦ ἐν τῇ ἐκκλησίᾳ. ὡς ἀποκεκρυμμένων ἐκείνων τῶν μερῶν καὶ δυναμένων ἐκεῖ κρύπτεσθαι ἐπὶ τῆς φυγῆς τῶν τριάκοντα.

245. (ὦ μέλ' ἦσθα : Παρέλκει τὸ μέλε.)

246. οὐ ματαίως καὶ ἐτωσίως. δεινὴ καὶ σοφὴ, ἱκανὴ ἐν τῷ λέγειν. R. αὐτόθεν : Ἀπὸ τοῦ παρόντος χρόνου.

248. Κέφαλός σοι : Δημαγωγὸς οὗτος ἕτερος, οὐχ ὃν λέγει Δημοσθένης, ἀλλὰ λοίδορος.

252. τρύβλια : Εἶδος ὀξυβάφου τὸ τρύβλιον.

253. κεραμεύειν : Ἀπὸ κοινοῦ τὸ κεραμεύειν, ἀντὶ τοῦ κατεργάζεσθαι. ἦν δὲ κεραμέως πατρὸς ὁ Κέφαλος. ἔλεγον δὲ κεραμεύειν καὶ τὸ κακῶς ποιεῖν τὰ κοινά.

254. Νεοκλείδης ὁ γλάμων : Ἐκωμῳδεῖτο ὡς συκοφάντης καὶ ξένος καὶ κλέπτης. ὁ λημῶν· ὁ ἔχων τοὺς ὀφθαλμοὺς μεστοὺς ἀκαθαρσίας.

255. ἐς κυνὸς πυγήν : Παροιμία παιδικὴ ἐπὶ τῶν ὀφθαλμιώντων, ἐς κυνὸς πυγὴν ὁρᾶν καὶ τριῶν ἀλωπέκων.

256. ὑποκρούσωσί σε : Ὑποβάλλωσί σε. λαμβάνωνταί σου.

257. πολλῶν κρουμάτων : Καὶ μετὰ τούτου ἔπαιξε πρὸς τὴν ὁμωνυμίαν τῆς συνουσίας.

259. ἐξαγκωνιῶ : Τοὺς ἀγκῶνας ὑπὸ ταῖς πλευραῖς ποιήσω. οὐδέποτε γὰρ οὕτω μέση ληφθήσομαι. (Ἄλλως. παραδώσω, ἵνα τῶν χειρῶν ἕλῃ με, καὶ μὴ μέσην ἄρας με γνῷ ὅτι γυνή εἰμι ἐκ τῶν τιτθίων.)

260. ὠδὶ, οὕτως. R.

263. τίνι. (262) ἔσκεπται. R.

265. αἴρειν τὼ σκέλη : Ἐν τῇ συνουσίᾳ· λέγει τὰς χεῖρας αἴρειν, ὥσπερ οἱ ῥήτορες οἱ κρινόμενοι.

267. ἐξωμισάσαις : Ἄχρι τῶν ὤμων γυμνωσάσαις.

269. ὑποδεῖσθε : Ὑποδεσμεύσατε.

274. ἀκριβῶς ποιήσετε. R.

276. ἐπαναβάλεσθε : ἀντὶ τοῦ περιστολίσασθε. R.

280. προΐωμεν αὐτῶν : Προηγησώμεθα τῶν λοιπῶν γυναικῶν.

281. ἄντικρυς : ἀντὶ τοῦ αὐτίκα. R.

284. ὑπαποτρέχειν : Ὀπίσω τρέχειν.

πάτταλον : Τὸ τυχόν. οἱ γὰρ ὕστερον ἐλθόντες οὐκ ἐλάμβανον τὸ ἐκκλησιαστικόν.

285. τὸ ἄνδρας. R.

286. ἐκπέσῃ. R.

288. (ἐνδούμεναι : Καταδυόμεναι εἰς τηλικαύτην τόλμαν λάθρα.)

289. (χωρῶμεν : Τοῦτ' ἐστὶ τὸ μέλος ὃ εἶπεν ἔνδον αὐταῖς τὸ ἀγροικικόν.)

291. πρῳ μονοσυλλάβως. ἀντὶ τοῦ ἔτι κνέφους ὄντος.

κεκονιμένος : οἷον σπουδάζων πάνυ καὶ σχεδὸν κόνεως πεπληρωμένος. R.

292. ὑπότριμμα : Ἀντὶ τοῦ δριμύ. οἱ γὰρ δικάζοντες ὀφείλουσι δριμεῖς εἶναι.

στέργων : Ἡδόμενος σκοροδοις. καὶ τοῦτο ἀγροικικὸν ἐμφαίνει.

293. ἀναπλάττει ὀνόματα. R.

295. μηδὲν παραχορδιεῖς : Παρὰ ῥυθμὸν ποιήσεις, μηδὲν παραφθέγξῃ, ἀλλὰ δεῖ εἰπεῖν ὅπως. σύμβολον δέ τι δηλοῖ φανερὸν ἤδη.

296. ἀντὶ τοῦ σεαυτόν. R.

297. πλησίον ἀλλήλων. R.

298. ὁπόσ' ἂν : Ὁπόσ' ἂν δέῃ χειροτονεῖν τὰς ἡμετέρας φίλας. R.

300. ὅρα δ' ὅπως : Ὁρᾷ ἄνδρας προσιόντας ἐν τῇ ἐκκλησίᾳ.

302. ἔνθα οἱ στέφανοι πλέκονται. ὡς διὰ τὴν εὐτέλειαν τοῦ μισθοῦ δικάζειν θελόντων. R.

303. Μυρωνίδης : Τῶν εὐδοκιμούντων οὗτος ὁ στρατηγός.

304. παρεγίνετο. R.

306. ἐν ἀσκιδίῳ : Πρὸς τὸ ἀρχαῖον ἔθος σεσημείωται.

310. πηλοφοροῦντες : Ὡς χειροτέχναι καὶ μισθωτοί.

317. ὁ Κοπρεαῖος : Βούλεται εἰπεῖν ὡς ὅτι ἠπειγόμην ἀποπατῆσαι.

318. ἡμιδιπλοΐδιον : Τὸ γυναικεῖον ἱμάτιον, ἢ ἀναβόλαιον γυναικῶν.

319. περσικάς : Εἴδος ὑποδημάτων.

ὑφέλκομαι : Ἀντὶ τοῦ περιδεσμεύομαι, ὑποδέδεμαι.

320. ἐν καθαρῷ : Οἷον ἐν ἐρημίᾳ.

330. Κινησίας : οὗτος μαλακός. R.

332. (κροκώτιον : Ὑποκοριστικῶς. εἴρηται δ' ἐν Βατράχοις [46], ὅτι ἔνδυμά ἐστι Διονυσιακὸν ὁ κροκωτός. ἐνταῦθα δὲ δῆλον ὡς γυναικεῖον. ἀμπισχόμενος δὲ) περιβεβλημένος.

337. ἐκτετρύπηκεν : ἀντὶ τοῦ λάθρα ἐξῆλθεν. R.

338. νεώτερον : Καινὸν καὶ ἄτοπον.

346. (κοθόρνω : Κόθορνος εἶδος ὑποδήματος, ἁρμόζον ἀμφοτέροις ποσί.)

347. (τὴν σισύραν : Τὸ μαλλωτὸν στρῶμα. φανὴ δὲ λαμπρὰ, καθαρά.)

349. γνώμην ἐμήν : Οἷον κατὰ τὴν ἐμὴν γνώμην καὶ οἴησιν.

350. ὅσον ἐμὲ εἰδέναι. R.

351. ἱμονιάν : Ἱμονιὰ καλεῖται τὸ σχοινίον, ἐν ᾧ ἀρύονται τοῦ ὕδατος. ταῦτα δὲ λέγει, ὡς αὐτοῦ μακρὰ ἀποπατοῦντος καὶ χέζοντος.

355. ἀχράς τις : Στένωσιν τῇ γαστρὶ παρέχει (ὁ λεγόμενος παρ' ἡμῖν ἄπιος. οὕτω γὰρ καὶ Πλάτων ἐν Νόμοις ἀπίους εἴρηκεν. οὐ μόνον δὲ, ἀλλὰ καὶ παρ' Ἀλέξιδι· καὶ ἐν Ἀγρίοις Φερεκράτει,

πρὶν ἀνακυκῆσαι τοὺς ἀπίους ἁρπαζέτω.

ἐπέχει δὲ τὴν γαστέρα ἡ ἀχράς.)

356. Θρασύβουλος : Οὗτος ἀντιλέγειν μέλλων τοῖς Λακεδαιμονίοις πρέσβεσι περὶ σπονδῶν ἐληλυθόσιν, εἶτα δωροδοκήσας, ἀχράδας προσεποιήσατο βεβρωκέναι, καὶ μὴ δύνασθαι λέγειν.

357. οἷον ἐπίκειται καὶ θλίβει. R.

359. ἀλλ' ὅταν φάγω : (Ἀγωνιῶ δὲ, ἐὰν φάγω, οὕτω τὴν γαστέρα στενούμενος,) εἰς ποῖον τόπον χωρήσει ἡ ἔνδον κόπρος.

361. (βεβαλάνωκεν : Ἐκλείδωσεν. βάλανος γὰρ τὸ εἰς τὸν μοχλὸν σιδήριον, ὃ καλοῦμεν μάγγανον. ταῦτα δ' εἴρηται καὶ ἐν ἄλλοις.)

362. Ἀχραδούσιος : παρὰ τὴν Ἀχράδα. ἔστι δὲ δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς Ἀχερδούς. R.

365. Ἀμύνων : Ῥήτωρ ἡταιρηκὼς, οὐκ ἰατρὸς ὁ Ἀμύνων.

366. Ἀντισθένην : Ἰατρὸς θηλυδριώδης. καὶ οὗτος τῶν καταπρώκτων. R.

367. σφιγμάτων. R.

369. Εἰλείθυια : Ἐπεὶ αἱ ὠδίνουσαι ἐπικαλοῦνται τὴν Εἰλείθυιαν. καὶ αὐτὸς οὖν στενοχωρούμενος ἐπικαλεῖται αὐτήν.

370. κατεχόμενον ὑπὸ τῆς κόπρου. R.

371. σκωραμίς : (Ἀμὶς μὲν ἐν ᾧ οὐροῦσι,) σκωραμὶς (δὲ) ἐν ᾧ ἀποπατοῦσιν.

372. (οὗτος τί ποιεῖς : Ἀνήρ τις ἐπανιὼν ἀπὸ τῆς ἐκκλησίας Χρέμης.)

378. ἡ μίλτος : Κατὰ γὰρ τὴν ἀγορὰν ἐσόδουν εἰς ἐκκλησίαν τοὺς Ἀθηναίους μεμιλτωμένῳ σχοινίῳ. (μίλτος δὲ χρώματος εἶδος ἐρυθροῦ. καὶ Ὅμηρος [Il. B, 637] « νῆες μιλτοπάρηοι. » προσέρραινον δὲ, προσέβαλον. θύλακον δὲ ἀρτοθήκην σημαίνειν καὶ ἐν Πλούτῳ ζητητέον. αἰσχύνομαι, φησὶν, ἐπεὶ κενὸς ἔσται.)

379. ἔβαλλον κύκλῳ. R.

382. τῶν ἀλφίτων, ἐπεὶ κενός ἐστι. R.

385. σκυτοτόμοι : Ἐπειδὴ οἱ σκυτοτόμοι ἐν σκιᾷ καθεζόμενοι ἐργάζονται, τοῦτο ἔφη.

386. οὐ γὰρ : καὶ γάρ. R.

390. τὸ δεύτερον : Ὁ γὰρ ἀλεκτρυὼν τρίτον κοκκύζει.

392. ἀποίμωξόν με : Παρὰ τὸ ἐξ Αἰσχύλου Μυρμιδόνων

Ἀντίλοχ', ἀποίμωξόν με τοῦ τεθνηκότος
τὸν ζῶντα μᾶλλον.

393. ταῖμὰ γὰρ διοίχεται : Ἀντὶ τοῦ ἀπόλωλα.

395. ἐν ὥρᾳ : Ἀντὶ τοῦ ὄρθρου.

398. παρείρπυσεν : Ὡς ἐπὶ ὄφεως εἶπεν, ἐπειδὴ τυφλὸς ἦν.

402. οὐκ ἐσώσατο : ἀντὶ τοῦ οὐκ ἔσωσε. R.

404. ὀπῷ : Πάνυ γὰρ ὀριμύτατος ὁ ὀπός. τιθύμαλλος δὲ εἶδος βοτάνης ὀριμυτάτης. ἴσως δὲ αὕτη παρὰ Λάκωνιν εὑρίσκεται. εἰώθασι δὲ οἱ ἰατροὶ καὶ πατρίδας ὑπ' ἀλαζονείας τῶν βοτανῶν ὀνομάζειν, (οἷον Κυρηναϊκὸν ὀπὸν καὶ Σμυρναϊκόν. ἦν μέντοι διαβόητος καὶ ὁ Λακωνικὸς τιθύμαλλος).

408. πένης οὗτος. R.

416. ἥλιος τραπῇ : Εἰς χειμερινὴν ὀηλονότι τροπήν.

417. πλευρῖτις : εἶδος νοσήματος. R.

423. ἀντέλεγεν. R.

424. τοῖς πένησι. R.

425. κλάειν μακρά : Τοῦτο λέγει γέλωτος χάριν.

426. Ναυσικύδους : Οἱ μὲν ὅτι ἀλφιταμοιβός. οἱ δὲ ὅτι πένης· οἱ δὲ ὅτι οἱ ἀλφιταμοιβοὶ τοῦ Ναυσικύδους τοῦτο ἀπέλαυσαν.

428. γυναικώδης οὗτος. R.

433. ἀνεβορβόρυξαν : Ἀνετάραττον.

νοῦν γὰρ εἶχον, νὴ Δία : Αἱ γυναῖκες εἰς ἄνδρας σκευασθεῖσαι.

440. ἄλλως ἀντὶ τοῦ ματαίως. τοῦτο δὲ ὡς ἐν ἐρωτήσει. R.

441. νουθυστικὸν : Νοῦ πεπληρωμένον.

443. ἀντὶ τοῦ τοὺς Ἀθηναίους. R.

446. συμβάλλειν : Μεταδιδόναι, κιχρᾶν.

449. ἀποδιδόναι. R.

450. τὸ ἀποστερεῖν. R.

452. εἰς ἀγορὰν φέρειν. R.

453. βλάπτειν. R.

457. φήμ' ἐγώ : Ὡς φιλούντων αὐτῶν τὰ μὴ γενόμενα καινοποιεῖν.

465. τοῖσιν ἡλίκοισι : Ἀντὶ τοῦ τοῖς γέρουσι.

471. ἀηδές. R.

473. λόγος τέ τοι τίς ἐστι : Λέγεται, ὅτε Ποσειδῶν καὶ Ἀθηνᾶ ἐφιλονείκησαν περὶ τῆς Ἀττικῆς, νικῆσαι τὴν Ἀθηνᾶν. καὶ φασὶν ἡττηθέντα τὸν Ποσειδῶνα καὶ λυπηθέντα καταρᾶσθαι τῇ πόλει, καὶ λέγειν αὐτὸν ὅτι γένοιτο τοὺς Ἀθηναίους ἀεὶ κακῶς βουλεύεσθαι, ἀκούουσαν δὲ τὴν Ἀθηνᾶν προσθεῖναι ὅτι κακῶς βουλεύεσθαι καὶ ἐπιτυγχάνειν.

478. (ἔμβα, χώρει : Ἐξέρχεται ὁ χορὸς ἀπὸ τῆς ἐκκλησίας.)

482. τὸ ἀνδρεῖον. R.

483. ψόφον ποιῶν. R.

498. παραβλέπουσα : Μὴ ἀτενίζουσα, φησὶν, ἀλλὰ τῷ ἑτέρῳ ὀφθαλμῷ βλέπουσα.

499. ἧπερ ἦσθα : ἀντὶ τοῦ ὡς ἦσθα. R.

502. σάκον λέγει τὸν πώγωνα.

507. τὰ ὑποδήματα. R.

508. συναπτούς : Τὰς συναπτούσας καὶ δεσμευούσας τὰ ὑποδήματα.

511. παρερπύσασα : Ἡρέμα εἰσελθοῦσα.

519. ἐν τῇ ἐκκλησίᾳ. R.

520. ἀνὴρ Πραξαγόρας. R.

523. ἐξερευνῆσαι. R.

531. ὠδινούσης. R.

533. μηδὲν κλέψας ἔνδοθεν. R.

534. ἥτις μετεκάλεσέ με. R.

536. τὸ γυναικεῖον ἱμάτιον. R.

537. τ ροκείμενον : Νεκρόν.

538. στεφανώσασα : Εἰώθασι γὰρ ἐπὶ τῶν νεκρῶν τοῦτο ποιεῖν.

540. ἀλεαίνοιμι : Θερμανοίμην.

544. ἵνα σε μιμησαμένη σώσαιμι τὸ ἱμάτιον. R.

547. πυρῶν ἑκτέα : Τριωβόλου ἴσως ἦν. λέγει οὖν ὅτι οἶκοι μένων τὸ τριώβολον ἀπολώλεκεν. R.

550. προσποιουμένη ἐρωτᾷ ἐπίτηδες εἰ γέγονεν ἡ ἐκκλησία ὡς ἀγνοοῦσα. R.

554. οἷον ἐντρυφῶσα διὰ τὴν ἐξουσίαν. R.

556. Ἀττικόν ἐστιν ἀντὶ τοῦ πάντων. R.

562. ἄλλος Βλέπυρος ἐλθών. R.

563. μηδ' ἀφέλῃς μου τὸν βίον : Διοικοῦσα μετὰ τῶν ἄλλων γυναικῶν.

567. μὴ 'νεχυραζόμενον : Τὴν ἑαυτοῦ οὐσίαν. ἔθος γὰρ ἦν τοῖς δικαζομένοις ἐνέχυρα διδόναι τὴν ἑαυτῶν οὐσίαν.

574. πολίτην : Τὸν τῆς πόλεως. R.

587. ἄλλης ἀρχῆς : ἀντὶ τοῦ ἄρχειν τὸ καινοτομεῖν. R.

592. οἷον μηδὲ τὸ τυχόν. R.

595. (σπέλεθον : Κόπρον. καὶ ἀλλαχοῦ [Ach. 1169]

κατεάξαι βουλόμενος ἐν σκότῳ λάβοι
τῇ χειρὶ σπέλεθον ἀρτίως κεχεσμένον.)

596. ἔφθης μ' ὑποκρούσας : Ὅτι ὑπεκρούσω καὶ ἠρώτησας πρότερόν μου.

599. θρέψομεν. R.

602. δαρεικὸς εἶδος νομίσματος. R.

603. διὰ τὸ ἐπιορκεῖν. R.

605. ἐν πενίᾳ δράσει : Ἀντὶ τοῦ, οὐδεὶς αἰσχρόν τι δράσει, ἢ ἐργάσεταί τι, παρακειμένων ἀφθόνως ἅπασιν.

611. σκαλαθῦραι : Συνουσιάσαι.

612. τῶν κοινῶν χρημάτων. R.

616. συνουσιάζειν. R.

617. αἱ φαυλότεραι : αἱ ἄμορφοι. R.

620. οὐκ ἐπιλείψει : οὐκ ἀρκέσει. ἐκεῖσ' : πρὸς τὰς εὐμόρφους. R.

622. τὸ περὶ τούτων μάχεσθαι. R.

625. τὸ τοὺς ἀμόρφους. R.

627. τόποις. R.

630. ἡ Λυσικράτους : σιμὸς καὶ αἰσχρὸς ὁ Λυσικράτης. R.

631. καταχήνη : Κατάγελως.

632. τῶν πλουσίων. R. Γ.

633. γεροντικόν τι καὶ εὐτελὲς ὑπόδημα. R.

640. ἀγνὼς ᾖ : ὁ πατήρ. R.

643. λείπει ὁ καί σύνδεσμος. R.

644. οὗτοι αἰσχροί. R.

647. Ἀρίστυλλος : αἰσχροποιὸς οὗτος. R.

648. καλαμίνθης : Δυσώδης βοτάνη (ἡ καλαμίνθη) καὶ ὄφεις ἐλαύνει καιομένη.

649. γενέσθαι ἀντὶ τοῦ ἐγενήθη. R.

652. δεκάπουν : Ἡ τοῦ ἡλίου σκιὰ, ὅταν ᾖ δέκα ποδῶν. θέλει οὖν εἰπεῖν, ὅτε γίνεται τὸ ὀψινόν.

657. ὡς πρὸς φιλόδικον τοῦτο ὁ χορός. R.

658. γνώμην ἐθέμην : Οἷον καμοὶ τοῦτο δοκεῖ σύμφορον εἶναι τὸ μὴ εἶναι δικαστήρια.

663. τῆς αἰκίας : τῆς ὕβρεως. R.

665. ἀπὸ τῆς μάζης : Ἀπὸ τῆς τροφῆς, φησὶν, ἧς λαμβάνει ἀπὸ τοῦ δημοσίου, δίδωσι τὴν ζημίαν.

667. οὐδ' αὖ : ἐρωτηματικῶς. μετὸν : μέτεστι. R.

670. αὐτὸς δώσει : Ὁ ἀποδυόμενος ἑκὼν, ἐξὸν αὐτῷ βέλτιον λαβεῖν.

672. ἕνεκα τίνος. καὶ οἱ κυβευταὶ γὰρ δίκην παρεῖχον. R.

673. τὴν καθ' ἑκάστην τροφήν. R.

677. βῆμα : ὁ λίθος ἐν τῷ δικαστηρίῳ. R.

681. κληρωτήρια : Τὰς κληρωτὰς ἀρχάς.

683. γράμματι δειπνεῖ : Δέον εἰπεῖν δικάζειν, εἶπε δειπνεῖν.

685. βασίλειον : ἐπεὶ τὸ βασίλειον ἀπὸ τοῦ β ἄρχεται. R.

ἐς τὴν παρὰ ταύτην : Τοὺς θῆτας, τοὺς μισθωτοὺς εἰς τὸ Θησεῖον· ἐπεὶ πάλιν ἀπὸ τοῦ θῆτα ἄρχεται.

687. τὸ κάπτωσιν ἀπὸ τοῦ κ. διὸ ἐπὶ τῶν ἐκ τοῦ κ ἔφη.

691. σὺν αὐτῷ τῷ στεφάνῳ. R

693. διόδους : Τὰς ὁδούς. ἀπὸ τοῦ διοδεύειν.

694. συναντῶσαι. R.

702. οἱ ἀμορφότεροι. R.

705. ἀντὶ τοῦ τοῖς ἀμόρφοις. R.

708. διφόρου συκῆς : Ἢ παρὰ τὴν δίκην τὸ διφόρου, ἢ ὅτι καὶ δίφοροί εἰσι. τοῦτο δὲ ἵνα κνησμὸν αὐτοῖς τὸ φύλλον ἐμποιῇ.

713. δυναμένην μεγάλα βοῆσαι. ὡς κήρυκα. R.

714. ἠρημένην : κεχειροτονημένην. R.

724. κατωνάκη : (Ἱμάτιόν ἐστιν ἐκ τῶν κάτω μερῶν νάκος, τουτέστι διφθέραν, περιερραμμένον. ἐνθαῦτα δὲ) δουλικὸς καὶ ἀνελεύθερος χιτών.

729. προχειριοῦμαι : Εὐτρεπίσω. — κἀξετάσω : ἀναζητήσω, ἐρευνήσω. R.

730. κιναχύρα : Ὄνομα δούλης.

731. τῶν χρημάτων : ἀντὶ τοῦ καλλίστην πάντων τῶν χρημάτων μου. R.

732. ἐντετριμμένη : Ἀντὶ τοῦ σμηχθεῖσα, ἢ εἰδυῖα. στρέψασα δὲ κλέψασα. — κανηφορῇς : τὰ κανίσκια ἔχουσα. R.

733 κλέψασα. R.

734. διφροφόρος : Ἡ τὸ σελλίον (ἢ τὸ καθιστήριον) βαστάζουσα.

ἡ χύτρα δεῦρ' ἔξιθι : Ὡς ἐν κωμῳδίᾳ καὶ τὴν χύτραν ἕξω καλεῖ χάριν γέλωτος.

736. μελαίνεται : Ὡς τοῦ Λυσιστράτου φαρμάκῳ μελαίνοντος αὐτοῦ τὰς πολιάς.

737. κομμώτρια : (Ἐμπλέκτρια, ἡ κοσμοῦσα τὰς γυναῖκας.) — ἣν καλοῦμεν νῦν κουρίδα. R.

739. κιθαρῳδός : Ἡ ἀλετρίς.

740. ἀναστήσασα : ἀλήθουσα. R.

741. ἀωρὶ νύκτωρ : ὄρθρου. R. τὸν ὄρθριον νόμον : Οὕτω καλούμενος νόμος κιθαρῳδικὸς ὁ ὄρθριος.

742. τὰ κηρία : Ἴσως τοὺς κηρῶνας λέγει.

743. καθίστη πλησίον : Τοὺς τῆς ἐλαίας κλάδους, ὡς ἐν πομπῇ.

747. ἀντὶ τοῦ οὐδὲ ὀλίγον. R.

748. ἐξερευνήσω. R.

750. τὰ χρήματα. R.

751. πρὸς ἔπος : Ἀντὶ τοῦ ὡς ἔτυχεν, ἕνεκα μηδενός.

753. μετοικίσαι θέλων. R.

756. κατὰ τάξιν. R.

757. πέμπεται : Κῆρυξ οὗτος ὅστις τὰ πιπρασκόμενα ἐκήρυττε. τὸ δὲ πομπὴν ὅτι ὡς ἐν πομπῇ αὐτὰ ἐξάγει.

768. (ἀβέλτερον : Ἀνόητον, ἀσύνετον.)

781. διδόναι τἀγαθά : Ἐπειδὴ ὡς ἐπιτοπλεῖστον τὰ ἀγάλματα τῶν θεῶν ὑπτίας τὰς χεῖρας ἔχουσιν.

784. ὦ δαιμόνι' ἀνδρῶν : (Τοῦτό φησιν) ἀνὴρ ὁ θέλων καταθεῖναι.

794. εἰ γένοιτο : Εἰ γένοιτό τι σύμβολον, οὐκ ἐπιτελοῦσι τὰ δόξαντα.

794. εἰ μὴ 'χοιμ' ὅποι : Ἐὰν ἐμβραδύνων, μηδὲ ὅπη καταθῶ αὐτὰ εὕρω.

796. εἰς τρίτην. R.

798. παρ' ὑπόνοιαν τοῦτο. R.

806. πένης οὗτος καὶ εὐρύπρωκτος. R.

809. Καλλίμαχος : Καὶ οὗτος πένης καὶ χαμαιδιδάσκαλος. (αὐτοῖσι δὲ σὺν αὐτοῖς.)

810. Καλλίου : Καλλίας τις ἐγένετο πλούσιος, ὃς εἰς πόρνας τὴν ἑαυτοῦ οὐσίαν κατηνάλωσε, καὶ λοιπὸν πένης ἐγένετο.

813. ψηφίσματα : Ἐψηφίσαντο γὰρ αὐτοὺς εὐωνοτέρους εἶναι, καὶ τὸ ψήφισμα ἄκυρον γέγονε.

825. τῆς τεσσαρακοστῆς : Οὗτος ἔγραψε τεσσαρακοστὴν εἰσενεγκεῖν ἀπὸ τῆς οὐσίας εἰς τὸ κοινόν.

828. ταυτολογία καὶ λῆροι. R.

831. φυλάξομαι : Ὥστε ἐπιμέλειαν ἡμῶν ποιεῖσθαι.

833. ἀνάφορον : Ξύλον ἀμφίκοιλον, ἐν ᾧ τὰ φορτία ἐξαρτήσαντες οἱ ἐργάται βαστάζουσιν.

834. κοινῇ πάντες ἀστοὶ γεγενήμεθα. R. Γ.

835. ἀντὶ τοῦ πρὸς αὐτήν. Ἀττικὰ γάρ ἐστι τὰ τοιαῦτα. R.Γ.

838. ἐπινενασμέναι : Πεπληρωμέναι.

840. σισυρῶν : Τῶν μαλλωτῶν στρωμάτων. (δαπίδων δὲ) τῶν ταπήτων.

842. ῥιπίζεται : Ἀντὶ τοῦ ὀπτᾶται. τὸ γὰρ πῦρ οἱ ἄνθρωποι ἐρρίπιζον, ἵνα ὀπτήσωσιν.

844. (τραγήματα δὲ) τὰ τρωγάλια λέγει. (ἔτνος δὲ) εἶδος ἀθάρας ἀπὸ φασηλίων.

846. Σμοιός : Κύριον ὄνομα. αἰσχροποιὸς εἰς γυναῖκας, καὶ ἱππεύσας πρότερον, καὶ τοῖς ναύταις διανέμων τὰ τρύβλια.

848. κονίποδα : Στενὸν σανδάλιον.

852. διοίγετε διχῶς. R.

853. ἀνὴρ ὁ μὴ καταθείς. παρέλκεται τὸ ἔχων. Ἀττικὸν γὰρ τὸ τοιοῦτον. R.

862. ἣν δὲ κωλύσωσιν : Ἐξ ὧν πρώην αὐτὸς μὴ βουλόμενος τὴν οὐσίαν καταθεῖναι ἐπηρώτα.

864. εἰς τὸ αὐτό. R.

865. εἰς δικαστήριον. R.

867. ὁ καταθείς. R.

868. παμπησίαν : Τὴν πᾶσαν κτῆσιν.

869. ξυμβαστάσω. ὁ μὴ καταθείς. R.

871. προσποιῇ : Μὴ προσποιῇ διαφέρειν.

873. σὺν τοῖσδε. R.

874. τῶν ματτομένων : Τῶν προσοψημάτων.

880. μινυρομένη : Ἀντὶ τοῦ ἠρέμα ᾄδουσα.

883. τῶν Ἰωνικῶν : Τῶν τρυφηλῶν. Ἴωνες (γὰρ) τρυφηλοί.

888. προσελκύσαι. R.

888. ἐπιβαρές. R.

890. ἡ γραῦς τῷ αἰδοίῳ λέγει. R.

893. ᾄδει ἡ γραῦς. R.

895. τὸ ἔμπειρον. R.

896. ταῖς γραΐσι. R.

900. ἀντᾴδει ἡ νέα τῇ γραΐ. R.

903. ταῖς παρειαῖς. R.

904. γραῦ : Ἢ τὰς πολιάς σου παραλέλεξαι. ἢ ἐπλέξω τὰς τρίχας μίαν παρὰ μίαν.

905. ἐσμήχθη ψιμυθίῳ. R.

906. τρῆμα : (Ἢ τὸ τοῦ κόσμου λέγει, ἢ αὐτὸ τὸ τρῆμα, τὸ αἰδοῖον.) εἶδος κοσμίου τὸ ἐπίκλιντρον. ὅφιν ἢ τὸ ζῷον ἢ ἐπὶ τοῦ αἰδοίου.

915. ἀλλ' ὦ μαῖα : Πρὸς τὴν γραῦν. (ὀφθαγόραν δὲ) τὸ αἰδοῖον.

918. τὸν ἀπὸ Ἰωνίας : Ὡς μαλακῶν ἐκείνων ὄντων.

920. λάβδα : Λαικάζουσιν οἱ Λέσβιοι ἀπὸ τοῦ ἄρχοντος στοιχείου.

922. ταμὰ δὲ παίγνια : Ἀντὶ τοῦ τοὺς ἐμοὺς ἐραστάς.

923. τὴν ἡλικίαν. νικήσεις. R.

926. ἐπ' ἐκφοράν γε : Ὅτι τῶν γραϊδίων ἐκφέρουσι τὴν οὐσίαν οἱ ἐρώμενοι. — καινὸν, ὅτι οὐκ ἐπ' ἐκφοράν. R.

929. ἡ Ὑγχουσα : Ἡ ἄγχουσα βοτάνη δηλονότι, ᾗ ἐχρῶντο εἰς τὰ πρόσωπα αἱ γυναῖκες.

932. Γέρης : Φαλακρὸς οὗτος καὶ πένης. οὐ γὰρ παρὰ τὸ γῆρας.

933. ὁ Ἐπιγένης. R.

936. ἀπέρχομαι : Ἵνα αὐτὸν ἐρεθίσω. — ἡ νεωτέρα. Rav.

940. ἄμορφον. R.

943. τὰ 'πὶ Χαριξένης : Εὐήθης καὶ μωρὰ ἡ Χαριξένη.

954. πολὺς ἢ ὑπὲρ τὸ δέον. R.

956. ταῦτα εἰποῦσα εἰσέρχεται. R.

958. ὑπὸ τοῦ ἔρωτός φησι. R.

963. φίλον : ἀντὶ τοῦ ὦ φίλη. R.

964. πληκτίζεσθαι : διατύπτεσθαι. R.

973. μέλημα : ἀντὶ τοῦ τίμιον. R.

974. καλλώπισμα. R.

977. ἡ γραῦς ἐξελθοῦσα. R.

979. Ἀναφλύστιον : Παρὰ τὸ ἀναφλᾶν παίζει.

984. εἴκοσι γάρ : Ἀπὸ τῶν δικῶν. ἔλεγον γὰρ ἀεὶ τὰ πρὸ τόσων ἐτῶν δικάζομεν.

987. Παιτοί : Ἔθνος μέν ἐστι Θρᾳκικόν. ἔπαιξε δὲ παρὰ τὸ παισίν.

988. τὸν πρωκτὸν λέγει. R.

991. κρησέραν : Τὸ περιβόλαιον τῶν κοφίνων. ἔστι δὲ δι' ἔρωτος. τοῦτο οὖν ὡς πρὸς γραῦν.

996. ζωγραφεῖ : Τοιαῦτα γάρ τινα ἐν τοῖς μνήμασιν ἔγραφον.

998. ἔγωγε νὴ Δία : Βούλομαί σε ἀπιέναι ἐπὶ θάνατον. πρὸς γὰρ τοῦτο παίζει.

999. μὰ τὴν Ἀφροδίτην : Ὡς ἑταίρα οὖσα τοῦτό φησι.

1002. τί δῆτα κρεάγρας : Τοῦτο ὅτι στερρῶς αὐτοῦ εἶχετο ὡς κρεάγρα.

1007. τὴν πεντακοσιοστήν : Εἰ μὴ ὑπὲρ ἐμοῦ κατέβαλες τὴν πεντακοσιοστήν. νόμος γὰρ τοῦ μὴ φέροντος τὴν οὐσίαν δημοσίαν εἶναι.

1020. ἀνατί : Μὴ τιμωρουμένας ὑπὲρ τῆς βίας. — τοῦ πέους. R.

1021. προκρούστης : Ἐπεὶ πολλάκις εἴρηται τὸ κρούειν.

1023. ἐὰν ἀπὸ σοῦ ἀφαιρῆταί με. R.

1025. ὑπὲρ μέδιμνον : Νόμος ἦν ταῖς γυναιξὶ μὴ ἐξεῖναι ὑπὲρ μέδιμνόν τι συναλλάσσειν. οὐκ ἔσονται οὖν, φησὶν, οἱ ἄνδρες οὐδενὸς ὑπὲρ μέδιμνον κύριοι, ἐπειδὴ ἀντέστραπται ἡ πολιτεία.

1026. ὀμόσαι ὡς οὐκ ἂν δυναίμην. R.

1027. ἔμπορος : Προφασίσομαι εἶναι ἔμπορος, ὡς ἐπὶ κινδυνευόντων, ἐπειδὴ οὐκ ἐστρατεύοντο οἱ ἔμποροι.

1029. Διομήδεια : Ὅτι Διομήδης ὁ Θρᾷξ, πόρνας ἔχων θυγατέρας, τοὺς παριόντας ξένους ἐβιάζετο αὐταῖς συνεῖναι, ἕως οὗ κόρον σχῶσι καὶ ἀναλωθῶσιν οἱ ἄνδρες· ἃς καὶ ὁ μῦθος ἵππους ἀνθρωποφάγους εἶπεν.

1032. ταινίωσαι : Στεφάνωσαι ὡς οἱ νεκροί.

1033. κατάθου τοὔστρακον πρὸ τῆς θύρας : πρὸ τῆς θύρας τὰ καλούμενα ἀρδάνια. R.

1034. στεφάνην : Εἶδος κοσμίου. διαπεσεῖσθαι δὲ, τεθνήξεσθαι.

1035. κηρίνων : στεφάνων. R.

1036. διαπεσεῖσθαι : τεθνήξεσθαι. διαρρυῆναι. R.

1042. Οἰδιπόδων : Ἐπειδὴ ὁ Οἰδίπους τὴν μητέρα ἐγάμησε.

1043. ὦ μισητή. R.

1048. παχεῖαν τὴν χάριν : Κακεμφάτως.

1050. τῶν νόμων. R.

1053. χεῖρον. R.

1054. ὁ νεώτερος. R.

1056. ἐμπουσά τις : Ἣν καλοῦμεν νῦν ὀνοσκελίδα. θέλει οὖν εἰπεῖν δαίμονα.

1057. φλύκταιναν : Ἤτοι ὡς ἐχούσης τῆς γραὸς κροκωτὸν, ἢ ὡς ἕλκος ἐχούσης.

1058. μαλακίων : ἀντὶ τοῦ εἰπεῖν μαλακὲ εἶπε μαλακίων. ὑποκοριστικὰ δὲ τὰ τοιαῦτα. R.

1063. μὴ πλέον : Τουτέστι, μὴ πλέον με ἀναγκάσῃς συνελθεῖν ἢπερ βούλομαι. τὸ δὲ καγὼ ἴσως διὰ τὴν ἀνωτέρω ἱστορίαν περὶ τῶν Διομήδους θυγατέρων εἰρημένην.

1065. ἀξιόχρεως : ἀξιολόγους. R.

μή μοι : ἄλλη γραῦς τρίτη πρὸς τὸν νεώτερον. R.

1070. χεῖρον. R.

1071. διαβάλλει αὐτὴν ὡς ἄμορφον. μαστός. R.

1073. παρὰ τῶν πλειόνων : Παρὰ τῶν νεκρῶν.

1074. δύο γὰρ αὐτὸν κατεῖχον. R.

1086. πορθμῆς : Ἐπειδὴ οἱ πορθμῆς τοὺς παριόντας ἀναγκάζουσιν εἰς τὰ ἴδια πλοῖα ἐμβαίνειν.

1087. ἀπεκναίετε : Διεφθείρετε.

1089. κατὰ τὸ Καννώνου : Ψήφισμα γεγράφει κατεχόμενον ἑκατέρωθεν ἀπολογεῖσθαι τὸν κατ' εἰσαγγελίαν κρινόμενον. (Κρατῖνος δὲ καὶ πρὸς κλεψύδραν κελεῦσαι. Ξενοφῶν δὲ εἰς τὸ βάραθρον ἐμβληθέντα ἀποθανεῖν καὶ τὴν οὐσίαν ἀπολέσαντα.)

1090. διαλελειμμένον : Μέσον εἰλημμένον.

1092. βολβῶν χύτραν : Ἐπιτήδειοι γὰρ πρὸς συνουσίαν οἱ βολβοί.

1101. Φρύνην : Φρύνη ἀρχαία γυνή. οἱ δὲ ῥυτίς. λήκυθος δὲ, ᾠδηκυῖα.

1106. κασαλβάδοιν : (Κασαλβὰς ἡ πόρνη, ἀφ' οὗ ποιεῖ. αἱ γὰρ πόρναι καλοῦσι μὲν οὐκ ἔχουσαι τοὺς ἐραστάς· σοβοῦσι δὲ τοὺς ὄντας, ἵνα ἄλλους λάβωσι. παρὰ τὸ καλεῖν οὖν καὶ τὸ σοβεῖν.) — τῶν πορνῶν, ὡς ἐπὶ κινδύνου καὶ θαλάττης. R.

1111. διὰ τὴν αἰτίαν καὶ πρόφασιν. R.

1119. ἀμφορείδια : τὰ κεράμεια. R.

1121. (τὸ ἄνθος, καὶ ὁ Κρατῖνος ἐν τοῖς ἰδίοις τὰς θείας μορφὰς ἐν ἀρχῇ φανείσας.) ὡς ἐπὶ τῶν ἀνθῶν εἶπε τὸ ἀπανθήσαντα. ἀντὶ τοῦ ξηρανθέντα.

1123. εὐφρανεῖ τὰ ἀμφορείδια. R.

1124. ἐπιλεγομένας ἡμᾶς τὰς . . . . τερα. R.

1126. δεσποίνης. R.

1133. οὐ δεδείπνηκας μόνος : Παρ' ὑπόνοιαν. ἔδει γὰρ εἰπεῖν ὅτι μόνος εὐτυχεῖς τῶν πολιτῶν.

1138. τασδὶ τὰς μείρακας : Τὰς τοῦ χοροῦ.

1148. ἀληθῶς λέγει ὅτι οἶκοι γενόμενοι εὕροιεν τί δειπνήσειαν. R.

1151. διατρίβεις ἔχων : Τὸ ἔχων παρέλκεται. Ἀττικὸν γὰρ τὸ τοιοῦτο. R.

1158. μὴ τὸν κλῆρον : Ἐπεὶ τοῦ πρώτου εἰπόντος ὡσπερεὶ ἐμιαίνετο. τὰ ποιήματα δὲ τῶν ἑξῆς λεγόντων.

1159. προείληχα : Ὅτι πρῶτος, εἶπεν, ἐκληρώθην. (τὸ χρῆμα ὁρᾶν.) ἀντὶ τοῦ ἐξιέναι.

1165. ῥυθμός ἐστι Κρητικός.

1169. γαλῆ εἶδος ἰχθύος.

1174. ἀπὸ τῶν τραγανῶν καὶ τῶν πτερῶν.

σιραίῳ βαφέντα, ὅ ἐστιν ἑψήματι, ὃ ἡμεῖς γλυκιδίῳ.

1177. (κόνισαι : Γυμνάσθητι.)

1178. ἰσχυρῶς καὶ δεύτερον δειπνεῖν δυνηθείης.

ΠΛΟΥΤΟΣ.

ΥΠΟΘΕΣΕΙΣ.

I.

[Βουλόμενος Ἀριστοφάνης σκῶψαι τοὺς Ἀθηναίους ἀδικίᾳ καὶ συκοφαντίᾳ καὶ τοῖς τοιούτοις συνόντας, καὶ διὰ τοῦτο πλουτοῦντας, πλάττει πρεσβύτην τινὰ γεωργὸν Χρεμύλον τοὔνομα, δίκαιον μὲν ὄντα καὶ τοὺς τρόπους χρηστόν, πένητα δὲ ἄλλως· ὃς μετά τινος αὐτῷ θεράποντος ἐλθὼν εἰς Ἀπόλλω ἐρωτᾷ περὶ τοῦ ἰδίου παιδὸς, εἰ χρὴ τουτονὶ τρόπων χρηστῶν ἀμελήσαντα ἀδικίας ἀντιποιεῖσθαι καὶ ταὐτὰ τοῖς ἄλλοις ἐπιτηδεύειν, ἐπειδήπερ οἱ μὲν τοιοῦτοι ἐπλούτουν, οἱ δὲ τὰ ἀγαθὰ πράττοντες πένητες ἦσαν, καθάπερ αὐτὸς οὗτος ὁ Χρεμύλος. ἔχρησεν οὖν αὐτῷ ὁ θεὸς σαφὲς μὲν οὐδέν, ὅτῳ δὲ ἐξιὼν ἐντύχοι, τούτῳ ἕπεσθαι. καὶ ὃς γέροντι ἐντυγχάνει τυφλῷ, ἦν δὲ οὗτος ὁ Πλοῦτος, καὶ ἀκολουθεῖ κατὰ τὰς μαντείας, μὴ εἰδὼς ὅστις οὗτός ἐστι. δυσχεραίνων δὲ ἐπὶ τούτῳ καθ' ἑαυτὸν ὁ θεράπων μόλις αὐτὸν ἐρωτᾷ τίνος ἕνεκα τούτῳ ἀκολουθοῦσι. καὶ ὁ Χρεμύλος λέγει αὐτῷ τὴν μαντείαν. ἔπειτα μανθάνουσι παρ' αὐτοῦ Πλούτου ὅστις ἐστὶ καὶ ὅτου χάριν τυφλὸς ἐγεγόνει παρὰ τοῦ Διός. οἱ δὲ ἀκούσαντες ἥσθησάν τε καὶ βουλὴν ἐβουλεύσαντο ἀπαγαγεῖν αὐτὸν εἰς Ἀσκληπιοῦ καὶ τὴν τῶν ὀφθαλμῶν θεραπεῦσαι πήρωσιν. καὶ ἵνα τὰ ἐν μέσῳ παρῶ, τάς τε τοῦ Βλεψιδήμου ἀντιλογίας καὶ τῆς Πενίας αὐτῆς, ἀπήγαγόν τε αὐτὸν ὅτι τάχιστα καὶ ὑγιᾶ ἐπανήγαγον οἴκαδε, ἐπλούτησάν τε ἱκανῶς οὐκ αὐτοὶ μόνον, ἀλλὰ καὶ ὅσοι βίου χρηστοῦ πρόσθεν ἀντεχόμενοι πένητες ἦσαν. ἐπιγέγραπται δὲ τὸ δρᾶμα Πλοῦτος Ἀριστοφάνους.]

II.

Πρεσβύτης τις Χρεμύλος πένης ὢν τὴν οὐσίαν ἀφικνεῖται εἰς θεοῦ· ἐρωτᾷ δὲ τὸν θεὸν πῶς ἂν εἰς ἔχθιλον ἀβρόν τε μετασταίη βίον. τοιόνδε δὲ ἐγγεγύηται ὁ χρησμός. χρᾷ γὰρ αὐτῷ ὁ θεὸς ἐξιόντι τοῦ ναοῦ, τούτῳ ἕπεσθαι, ᾧ πρώτῳ συντύχῃ. καὶ δὴ τυφλῷ γέροντι συντυχὼν εἵπετο πληρῶν τὸν χρησμόν. ἦν δὲ Πλοῦτος οὗτος. ὕστερον δὲ προσδιαλεχθεὶς αὐτῷ εἰσάγει εἰς Ἀσκληπιοῦ, ἰασόμενος αὐτὸν τῆς πηρώσεως, καὶ οὕτω πλούσιος γίνεται. ἐφ' ᾧ δυσχεράνασα ἡ Πενία παραγίνεται λοιδορουμένη τοῖς τοῦτο κατορθώσασι· πρὸς ἣν καὶ διάλογος οὐκ ἀφυὴς γίνεται, συγκρινομένων τῶν φαύλων τῆς Πενίας καὶ τῶν τοῦ Πλούτου ἀγαθῶν ὑπὸ Βλεψιδήμου καὶ Χρεμύλου. πολλῶν τε ἄλλων ἐπεισρεόντων, ἐν τῷ ὀπισθοδόμῳ τῆς Ἀθηνᾶς ἀφιερώσαντο Πλούτου ἐνδάλματα. τὰ μὲν οὖν τῆς ὑποθέσεως ταῦτα. προλογίζει δὲ θεράπων, δυσχεραίνων πρὸς τὸν δεσπότην, ὅτι τυφλῷ καὶ γέροντι κατακολουθεῖν οὐκ ἠσχύνετο.

III.

Πρεσβύτης τις Χρεμύλος πένης ὢν καὶ ἔχων υἱὸν, κατανοήσας ὡς οἱ φαῦλοι τὸ τηνικαῦτα εὖ πράττουσιν, οἱ δὲ χρηστοὶ ἀτυχοῦσιν, ἀφικνεῖται εἰς θεοῦ, χρησόμενος πότερον τὸν παῖδα σωφρόνως ἀναθρέψειε, καὶ ὅμοιον ἑαυτῷ τοὺς τρόπους διδάξειεν (ἦν γὰρ οὗτος χρηστὸς), ἢ φαῦλον, ὡς τῶν φαύλων τότε εὐπραγούντων. ἐλθὼν οὖν εἰς τὸ μαντεῖον, περὶ μὲν ὧν ἤρετο οὐδὲν ἤκουσεν, προστάττει δὲ αὐτῷ, ᾧ τινι πρῶτον ἐξιὼν συντύχῃ, ἀκολουθεῖν. καὶ τὰ λοιπὰ ὡσαύτως.

IV.

Ἐδιδάχθη ἐπὶ ἄρχοντος Ἀντιπάτρου, ἀνταγωνιζομένου αὐτῷ Νικοχάρους μὲν Λάκωσιν, Ἀριστομένους δὲ Ἀδμήτῳ, Νικοφῶντος δὲ Ἀδώνιδι, Ἀλκαίου δὲ Πασιφάῃ. τελευταίαν δὲ διδάξας τὴν κωμῳδίαν ταύτην ἐπὶ τῷ ἰδίῳ ὀνόματι, καὶ τὸν υἱὸν αὐτοῦ συστῆσαι Ἀραρότα δι' αὐτῆς τοῖς θεαταῖς βουλόμενος, τὰ ὑπόλοιπα δύο δι' ἐκείνου καθῆκε, Κώκαλον καὶ Αἰολοσίκωνα.

V.

[Ἰστέον δὲ ὅτι τὰ τοῦ δράματος πρόσωπα πεπλασμένα εἰσὶ παρὰ τοῦ ποιητοῦ. Χρεμύλος γὰρ ἀπὸ τοῦ χρέος καὶ τοῦ αἱμύλλω τὸ ἀπατῶ εἴρηται, ὁ ἀπατῶν δηλαδὴ τοὺς χρεωφειλέτας διὰ πενίαν. καὶ τὸ Καρίων ἐξελληνιζόμενον τὸν δοῦλον δηλοῖ· Κᾶρες γὰρ οἱ δοῦλοι, ὅθεν καὶ ἡ παροιμία, ἐν Καρὸς αἴσῃ, ἤτοι ἐν δούλου τάξει. καὶ τὸ Βλεψίδημος δὲ ἤτοι πτωχὸς, ὁ βλέπων ἀεί ποτε εἰς τὸν δῆμον.]

VI.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΓΡΑΜΜΑΤΙΚΟΥ.

Μαντεύεται δίκαιος ὢν τις καὶ πένης
εἰ μεταβαλὼν πλούτου τυχεῖν δυνήσεται.
ἔχρησεν ὁ θεὸς συνακολουθεῖν ᾧπερ ἂν
ἀνέρι περιτύχῃ. Πλοῦτος ὀπτάνεται τυφλός.
γνοὺς δ' αὐτὸν, ἤγαγ' οἴκαδ', ἄλλους δημότας
καλέσας μετασχεῖν· εἶθ' ὑγιάσαι τὰς κόρας
ἔσπευδον· εἰς Ἀσκληπιοῦ δ' ἀπήγαγον.
ἡ δ' ἄφνω Πενία διεκώλυσεν.
οὕτως ἀναβλέψαντος αὐτοῦ, τῶν κακῶν
οὐδεὶς ἐπλούτει, τῶν δ' ἀγαθῶν ἦν τἀγαθά.

SCHOLIA IN PLUTUM.

[Ἡ εἴσθεσις τοῦ δράματος ἄρχεται ἐκ συστηματικῆς περιόδου, καὶ ἐξ ἀμοιβαίων. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. ὧν τελευταῖος, « τί γὰρ ἄν τις οὐχὶ πρὸς σὲ τἀληθῆ λέγοι. » ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει κορωνὶς, καὶ ἔξῆς τούτων τὸ χοροῦ. ὤφειλε γὰρ χορὸν θεῖναι καὶ διατρῖψαι μικρὸν, ἄχρις ἂν ὁ Καρίων συμμίξῃ τοῖς γέρουσιν. Ὁρῶν ὁ Καρίων τὸν ἑαυτοῦ δεσπότην Χρεμύλον μετὰ τὸ ἐξελθεῖν τοῦ μαντείου τυφλῷ ἀνδρὶ ἑπόμενον, σχετλιάζων καὶ δυσφορῶν φησὶν τὸ ὡς ἀργαλέον ἤτοι τὴν ἀρχήν. Σχόλιον τοῦ λογιωτάτου μαγίστρου, ex cod. Parisino.]

1. (Τοῦ ὡς πέπλεκται ἡ διάνοια ἐκ τοῦ θαυμασμοῦ καὶ σχετλιασμοῦ. τὸ γὰρ ὡς ἐπίρρημα ἐπαμφοτερίζει, ἢ ἐνταῦθα εἴληπται ἐπιτάσεως δηλωτικόν. ἀπαυδᾷ δὲ οὐ διὰ τὴν τύχην, ἀλλὰ διὰ τὸ ἐπαχθὲς τῶν δεσποτῶν.)

ὡς ἀργαλέον : Ὁ θεράπων δυσφορεῖ τοῦ δεσπότου ἑπομένου τυφλῷ ἀνδρί. τὸ δὲ ἀργαλέον, χαλεπὸν, δύσκολον, δυσχερές. εἴρηται δὲ παρὰ τὸ ἄλγος ἀλγαλέον καὶ κατὰ τροπὴν τοῦ λ εἰς ρ ἀργαλέον· (ὡς ποδαλγία, ποδαργία. ἢ ἔργον παρὰ τοῖς παλαιοῖς τὸ δυσχερές· ἐκ τούτου παράγωγον ἀργαλέον· ὡς ἀπὸ τοῦ ἔπω ἀπύω.) — ὡς ἀργαλέον : Ἀργαλέον τὸ βαρὺ καὶ δύσκολον καὶ λυπηρόν· ἀπὸ τοῦ ἄλγος ἀργαλέον ὡς ποδαλγία, ποδαργία· ἢ ἐκ τοῦ ἔργου τὸ δύσκολον, ἀφ' οὗ καὶ τὸ ἐργῶδες, κατὰ παραγωγὴν ἐργαλέον καὶ ἀργαλέον. ἀργαλέον τὸ μετέχον ἄλγους· ὥσπερ καὶ θαρσαλέον τὸ μετέχον θράσους. Dv. ὡς ἀργαλέον : δύσκολον, δυσχερές. R. λίαν δύσκολον καὶ βαρύ. Θ. *et cod. Nanian. in Catalogo p.* 477. ἐστιν : Ὑπάρχει. θεοὶ : Ὦ. Nan.

[ὦ Ζεῦ : Τὸν Δία παρέλαβε κατ' ἐξοχὴν τῶν ἄλλων θεῶν, ὡς τὸ [Hom. Il. N, 1]

Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα νηυσὶ πέλασσε.]

[κἀκεῖ γὰρ τὸν Ἕκτορα ὀνομάζων κατ' ἐξοχὴν παρείληφε.] — προτάττει τὸν Δία θεῶν κρείττονα ὄντα. Θ.

2. δοῦλον γενέσθαι : Χαλεποῦ ὄντος (φύσει) τοῦ δουλεύειν, χαλεπώτερον γίνεται, ἐὰν καὶ ἀνοήτῳ τις δεσπότῃ ὑπηρετῇ. — δοῦλον : Τινὰ ἄνθρωπον ὑπάρξαι. Θ. *Nan.* παραφρονοῦντος : μαινομένου. *Nan.* μαινομένου, οὐκ εἰδότος τί δεῖ ποιεῖν. Θ. δεσπότου : Αὐθέντου. Nan.

παραφρονοῦντος : Ἤγουν μαινομένου, οὐκ εἰδότος τί δεῖ ποιεῖν, ἤτοι ἀνοηταίνοντος καὶ μωροῦ, παρὰ τὸ εἰκὸς φρονοῦντος. ἡ γὰρ παρά ἐνταῦθα τὴν ἔξω σχέσιν δηλοῖ. Junt.

Τὸ ὅλον οὐ πρὸς τὴν τύχην ἐστίν· οὐ γὰρ ὅτι δοῦλός ἐστι λυπεῖται· ἀλλὰ πρὸς τὴν διαφορὰν τῶν κεκτημένων ἔθηκε καὶ παραφρονοῦντος. G.

3. τὸ ἦν ἀπόστροφον λαμβάνει, ὅ ἐστιν ἀντίστροφον. ἔστι δὲ ὥσπερ καὶ ἄλλως τοὐναντίον ὁρῶν. καὶ τοῦτο γὰρ ἀντίστροφον δέχεται. ἔστι γὰρ τὸ ἐναντίον ὁρῶν. ἡ δὲ ἀπόστροφος ἀντίστροφος καλεῖται. Ἀρίσταρχος γὰρ τοῦτο σημειοῦται. ὅ ἐστιν παρ' ἡμῖν ἀπόστροφος, ἀντίστροφος αὐτῷ καλεῖται. G.

τὰ : Περισσὸν Ἀττικῶς. Θ.

λέξας τύχῃ : Περιφραστικῶς, ἀντὶ τοῦ λέξῃ. Θ. *Junt.*

4. [μὴ ὁρᾶν ταῦτα : Οἱ γράφοντες ταὐτὰ οὐ καλῶς γράφουσιν· εὕρηται γὰρ ἐν πολλοῖς τῶν παλαιῶν ἀντιγράφων τὸ ταῦτα, καὶ ἔστι κρεῖττον ἐκείνου.] — ἃ ὁ θεράπων λέξει. γράφεται ταυτά. Θ. ταυτὰ : Ὅμοια τῷ ἔχοντι αὐτόν. *A. B. D.* Θ. ταυτὰ : Καὶ τὰ ὅμοια. *Harl.* G.

5. μετέχειν ἀνάγκη : (Πρὸς) τὸ ποιητικὸν [Hom. Od. P, 322]

ἦμισυ γάρ τ' ἀρετῆς ἀποαίνυται εὐρύοπα Ζεὺς
ἀνέρος, εὖτ' ἂν μιν κατὰ δούλιον ἦμαρ ἕλῃσι.

τί γὰρ κακώτερον τοῦ τὰ ἐναντία ἑαυτῷ διαπράττεσθαί τινα, ἐν τῷ μὴ ποιεῖν ἃ βούλεται, ἀλλὰ καὶ τῆς τῶν ἄλλων ἀφροσύνης ἀνέχεσθαι;

[τῶν κακῶν : Τῶν ἀφροσυνῶν ὧν ὁ δεσπότης ἔχει· ἤγουν τῶν πληγῶν, αἳ τοῖς ἀπειθοῦσι τοῖς δεσπόταις ὀφείλονται. εἰώθασι δὲ οἱ Ἀττικοὶ τὰ ἄρθρα πλεονάζειν. ὥσπερ οὖν ἐν τῷ « τὰ βέλτιστα » περισσὸν ἦν Ἀττικῶς τὸ ἄρθρον, οὕτω κἀνταῦθα τὸ « τῶν. » καὶ ἐν τοῖς ἑξῆς τὸ « τό, » ὡς ἐν τῷ « τὸ ποῖον. » τὸ δὲ [v. 8] « ταῦτα » τὸ δεύτερον οὐκ ἔστιν ἀντὶ τοῦ ταύτῃ, ὡς οἴονταί τινες, ἀλλ' ἀντὶ τοῦ ταῦτα πάλιν Ἀττικῶς.] — τῶν ἐκ τοῦ δεσπότου πληγῶν καὶ τιμωριῶν. Θ.

6. τοῦ σώματος γὰρ : Οἷον, αὐτὸν ἑαυτοῦ τὸν δοῦλον οὐκ ἐᾷ κρατεῖν· μάλιστα γὰρ κύριος τοῦ σώματος ἕκαστος αὐτὸς ἑαυτοῦ. — σώματος : Τοῦ οἰκείου. οὐκ ἐᾷ : Οὐκ ἀφίησι. Θ.

7. κρατεῖν : Ἐξουσιάζειν. Junt.

ὁ δαίμων : Ἡ τύχη. *R.* Θ. *Junt. Dv.*

(τὸν ἐωνημένον : Ἀντὶ τοῦ τὸν ὠνησάμενον, ἀπο

τοῦ ὠνοῦμαι. λέγεται γὰρ καὶ ἡ ἐφεξῆς τοῦ ῥήματος κλίσις. τοῦ δὲ ὀνόματος τὸ πληθυντικὸν οὐκ ἔστιν ὠνησάμενοι. διὸ μεταβαλόντες αὐτὸ ἐπὶ ἑτέραν φωνὴν πριάμενοι λέγουσιν Ἀττικοί.) — τὸν ἀγοράσαντα. Θ. Ἄλλως. διχῶς εὕρηται τὸ ἐώνημαι· καὶ ἐπὶ τοῦ ἠγορακότος καὶ ἐπὶ τοῦ ἠγορασμένου· καὶ ἐπὶ τοῦ μὲν ἠγορακότος ὡς ἐνταῦθα· ἐπὶ δὲ τοῦ ἠγορασμένου, ὡς παρὰ Συνεσίῳ [Epist. 3] » ἡ γὰρ Λαῒς ἀνδράποδον ἦν Ὑκκαρικὸν ἐκ Σικελίας ἐωνημένον. « Junt.

8. τοῦτο παρεπιγραφὴ λέγεται. R.

(καὶ ταῦτα μὲν δὴ ταῦτα : Καὶ ταῦτα μὲν δὴ τοῦτον ἔχει τὸν τρόπον· ἔστι δὲ τὸ σχῆμα ἀποθετικὸν τῆς πρώτης διανοίας.) — κύκλος. Θ.

τῷ δὲ Λοξίᾳ : Τῷ Ἀπόλλωνι· ἤτοι τῷ λοξὴν ἴαν πέμποντι· λοξὰ γὰρ μαντεύεται ὁ θεός. ἢ τῷ λοξὴν πορείαν ποιουμένῳ· ὁ αὐτὸς γάρ ἐστι τῷ ἡλίῳ. — τῷ Ἀπόλλωνι· ἐπειδὴ πλάγιος ἐν τῷ ζωδιακῷ φέρεται ὁ αὐτὸς ἥλιος ὤν· ἢ ἐπεὶ πολλοὺς καὶ ἀσαφεῖς τοὺς χρησμοὺς δίδωσι. V. τῷ δὲ Λοξίᾳ : Ἢ τῷ Ἀπόλλωνι λοξὰ μαντευομένῳ· ἢ ἐπειδὴ ὁ Ἀπόλλων εἰς τὸν ἥλιον ἀλληγορεῖται, Λοξίαν τοῦτον εἴποις, ὡς λοξὴν τὴν πορείαν ποιούμενον. Dv.

9. ὃς θεσπιῳδεῖ : Ἐτραγικεύσατο τῇ φράσει. ἡ δὲ Πυθία ἐπὶ τρίποδος καθημένη χρησμῳδεῖ. καλεῖται δὲ τὸ μέρος, ἐν ᾧ κάθηται, ὅλμος. Ἄλλως. τρίποδι χρῆται ὁ Ἀπόλλων μαντευόμενος διὰ τοὺς τρεῖς καιροὺς τῶν πραγμάτων. Ὅμηρος [Il. A, 70]

ὃς ἤδη τά τ' ἐόντα, τά τ' ἐσσόμενα πρό τ' ἐόντα.

τινὲς φασὶν οὕτω κτήσασθαι [τὸν Ἀπόλλωνα] τὸν τρίποδα. ἁλιεῖς [ἐν Μιλήτῳ τινὲς] μισθῷ βόλον ἔρριπτον, ἵνα τὸ ἀναφερόμενον εἴη τοῦ ἀγοράσαντος τὸν βόλον. συμβέβηκε γοῦν ἀντὶ ἰχθύων τρίποδα χρυσοῦν περιλαβεῖν αὐτοὺς τῷ δικτύῳ. ἐφιλονείκουν οὖν περὶ αὐτοῦ, οἱ μὲν ἁλιεῖς, ὡς ἰχθῦς πεπράκασιν, οὐ τρίποδα· οἱ δὲ ἀγοράσαντες ἔλεγον, ὡς πᾶν τὸ ἀνιὸν καὶ πᾶν ὅ τι τύχοι ὠνήσαντο. οὕτως οὖν αὐτῶν φιλονεικούντων, ἔδοξεν ἐρωτῆσαι τὸν Ἀπόλλωνα. ὁ δὲ ἀνεῖλεν αὐτοῖς ταῦτα,

ἔκγονε Μιλήτου, τρίποδος πέρι Φοῖβον ἐρωτᾷς·
ὃς σοφίῃ πάντων πρῶτος, τούτου τρίποδ' αὐδῶ.

προσήγαγον οὖν αὐτὸν τοῖς ἑπτὰ σοφοῖς· ἕκαστος δὲ τούτων παρητεῖτο σοφὸς εἶναι, διόπερ ἐγνώκασιν, ὡς σοφωτέρῳ πάντων, ἀναθεῖναι αὐτὸν τῷ Ἀπόλλωνι· ὅθεν φασὶν ἐσχηκέναι αὐτὸν τὸν τρίποδα. [ἡ δὲ λέξις ἠτυμολόγηται ἢ παρὰ τὸ θέσπιν ᾠδήν, ἢ παρὰ τὸ τὴν Θέμιν ἐκεῖ τὰς μαντείας ἄγειν.] (χρυσοῦς δέ ἐστιν ὁ τρίπους, ὅτι τιμία ἡ ὕλη· καὶ οἱ διδόμενοι χρησμοὶ τίμιοι.)

[οὕτω φασὶν ἐσχηκέναι τὸν Ἀπόλλωνα τὸν τρίποδα. ἁλιεῖς μισθῷ δίκτυον ἐν θαλάττῃ ἔριπτον, ἵνα τὸ ἀγρευθὲν εἴη τοῦ τὸν μισθὸν διδόντος αὐτοῖς. συμβεβήκει γοῦν ἀντὶ ἰχθύων τρίποδα χρυσοῦν περιλαβεῖν αὐτοὺς τῷ δικτύῳ. φιλονεικούντων οὖν τῶν τε ἁλιέων καὶ τοῦ μισθώσαντος, καὶ τῶν μὲν λεγόντων ὡς οὐ τρίποδα πεπράκασιν, ἀλλ' ἰχθῦς, τοῦ δὲ ὡς πᾶν ὅ τι τύχοι· ἔχρησεν οὖν ὁ Ἀπόλλων, τῷ σοφῷ τοῦτον ἀνενεγκεῖν. ἀγαγόντες οὖν τοῦτον ἐπὶ τοὺς ἑπτὰ φιλοσόφους, ἐπεὶ ἀπηρνεῖτο εἷς ἕκαστος μὴ εἶναι σοφὸς, ἀνέθηκαν τῷ Ἀπόλλωνι εἰκότως· μάντις γὰρ ὤν, τοὺς τρεῖς χρόνους εἶδε, τά τ' ὄντα τά τ' ἐσόμενα πρό τ' ἐόντα. Par. μαντεύεται καὶ χρησμοδοτεῖ καὶ θείας φωνὰς λέγει. χρυσηλάτου : Ἐκ χρυσοῦ πεποιημένος. Θ.]

11. ὅτι ἰατρὸς ὢν καὶ μάντις : Τῶν δυοῖν ἀρετῶν τοῦ θεοῦ μέμνηται κατὰ τὸ παρὸν, θεσπίσεώς τε καὶ τῆς κατὰ τὴν ἰατρικὴν ἐπιστήμης. [εὐκαίρως δὲ τούτων τὴν μνήμην ἐποιήσατο· ἰατρικῆς μὲν, ὅτι ἀνίατον ἀπέπεμψε τὸν δεσπότην, καὶ τὴν μὴ προσοῦσαν περιῆψε μελαγχολίαν. θεσπίσεως δὲ, διὰ τὸ προσεχὲς (τῆς ἐκεῖθεν ἐξόδου). τὴν δὲ μουσικὴν κατέλιπε, μὴ χρείαν αὐτῆς ἔχων.] (τριῶν οὐσῶν τεχνῶν, ὧν μετεῖχεν ὁ θεὸς, νῦν μέμνηται μαντείας καὶ ἰατρικῆς, παρῆκε δὲ τὴν μουσικὴν, ὡς ἐπὶ τοῦ παρόντος μὴ χρείαν αὐτῆς ἔχων· ἢ διὰ τοῦ σοφός τὴν μουσικὴν αἰνίττεται. πρὸς τὸ χάριεν οὖν διαβάλλει τὸν θεὸν, ὅτι τῶν ἄλλων ἰατρὸς ὢν, οὐκ ἰάτρευσεν αὐτὸν, ἐξέπεμψε δὲ πρὸς τούτῳ καὶ τῆς προσούσης αὐτῷ συνέσεώς τε καὶ σοφίας ἀπεστέρησεν, ἐκταράξας διὰ τῆς μαντείας. τοῦτο οὖν ἔοικε λέγειν, ὅτι διὰ τῶν ἑαυτοῦ μᾶλλον οἰκείων ἔβλαψε τὸν δεσπότην.)

[ἰατρὸς ὢν καὶ μάντις : Οὐ μόνον ἰατρὸν καὶ μάντιν φασὶ τὸν Ἀπόλλωνα, ἀλλὰ καὶ μουσικόν· τὸ μὲν μουσικὸν παρῆκε, διὰ τὸ μὴ χρείαν ἔχειν· τῆς δὲ ἰατρικῆς καὶ μαντικῆς ἐμνήσθη, τῆς μὲν, ὅτι ἔδει ὡς ἰατρὸν νοσοῦντα τὸν αὐτοῦ δεσπότην θεραπεῦσαι, ἀλλὰ μὴ εἰς μανίαν μᾶλλον κινῆσαι· τῆς δὲ μαντικῆς, ὅτι οὐκ ἔχρησεν αὐτῷ, ἃ ἐβούλετο, ἀλλὰ μάτην ἀπέπεμψεν. Dv.] τὸ ὡς φασιν ὡς ἀπιστῶν φησιν ἐξ ὧν αὐτὸς ἐπειράθη. R.

12. ψεύδεται ὁ δοῦλος· οὐ γὰρ ἀληθῆ λέγει ὅτι μελαγχολᾷ μου ὁ δεσπότης, ἐπεὶ ἐκεῖνος κατὰ πρόσταξιν τοῦ θεοῦ τοῦτο ἐποίει. οὐ μὴν ἀληθῆ ἦν. V.

μελαγχολῶντα : Χολᾶν παρὰ τοῖς Ἀττικοῖς τὸ μαίνεσθαι· παρὰ δὲ τοῖς κοινοῖς τὸ θυμοῦσθαι. Junt.

15. οἱ γὰρ βλέποντες : Τὸ εὐήθες καὶ μανικὸν κατηγορεῖ τοῦ δεσπότου ἐκ τοῦ κατὰ τὸν περίπατον ἐναντίου· ἡγεῖσθαι γὰρ προσῆκεν, οὐχ ἕπεσθαι τυφλῷ. — τὸ εὐήθες ἢ μανικὸν τοῦ δεσπότου λέγει ἐκ τῆς ἐναντιώσεως· ἡγεῖσθαι γὰρ προσῆκεν, οὐχὶ ἕπεσθαι τυφλῷ. Ἄλλως. τὸ εὐήθες ἢ μανικὸν κατηγορεῖ τοῦ δεσπότου ἐκ τῆς κατὰ τὸν περίπατον ἐναντίον τῷ δέοντι σχέσεως. V.

ἡγούμεθα : Ἡγοῦμαι τὸ προοδοποιῶ, πρὸς δοτικὴν ἀποδιδόμενον δοκεῖ κατὰ τὴν σύνταξιν ἐλλειπῶς ἔχειν· εἰ γὰρ κατὰ τὸ πλῆρες λεχθείη, γενικῆ ἂν καὶ αὐτὸ συνταχθείη, οἷον, ἡγοῦμαί σοι τῆς ὁδοῦ. Junt.

16. κἀμὲ προσδιάζεται : Ἤγουν, σὺν τῷ ἀκολουθεῖν αὐτὸν τῷ τυφλῷ κἀμὲ τοῦτο ποιεῖν ἀναγκάζει. Junt. δηλονότι ἀκολουθεῖν. R.

17. ἀποκρινομένου : Τοῦ τυφλοῦ ἢ τοῦ Χρεμύλου. *D.* τοῦ τυφλοῦ ἀπόκρισιν διδόντος. Borg. τὸν Πλοῦτον φησίν. μὴ ἀποκρινομένου τὸ παράπαν οὐδὲ ὀλίγον. V. οὐδὲ γρὺ : βραχύ. ἔστι δὲ ὄνυχος ῥύπος. τινὲς δὲ παρὰ τὸν γρυλισμὸν, τουτέστι τὴν φωνὴν τῶν χοίρων. ἢ εἶδος μικροῦ νομίσματος· γρὺ γὰρ τὸ μικρὸν καὶ βραχύτατον. ὅθεν καὶ γρύτη τὰ λεπτὰ σκεύη· καὶ γρυτοπώλης, ὅπερ οὐκ εἴρηται παρὰ τοῖς παλαιοῖς, ἀλλ' ἀντὶ τούτου ῥυποπώλης καὶ γρυτάρης. κέχρηται δὲ τῇ λέξει ἐπιτείνων τὸ στεγανὸν τῆς ἀποκρίσεως ἀπὸ τοῦ πρὸς τοὺς ὄνυχας ῥύπου, ὃς μικρὸς καὶ εὐτελής. ὅταν δὲ θέλωμεν ἐκφαυλίσαι τινὰ, φαμὲν οὐδὲ γρὺ φθέγγεσθαι, ἀντὶ τοῦ οὐδὲ τὸ τυχόν· οὐδὲ γὰρ ἔχει τινὰ σύστασιν ὁ τοῦ ὄνυχος ῥύπος, πλὴν ὅσον ἀπὸ τῆς θέας μόνον δοκεῖ τι. εἴρηται δὲ ἀπὸ μεταφορᾶς τῶν πολυκτημόνων ἀνθρώπων, ὡς ὄχλον διὰ τοῦτο ἐχόντων. τὸ δὲ σχῆμα παρ' ὑπόνοιαν. — οὐδὲ γρὺ : Οὐδ' ὁτιοῦν. γρὺ ὁ ῥύπος τοῦ ὄνυχος· καὶ τὰ μικρὰ τῶν γρύλων, ἤτοι τῶν χοίρων. ἀπὸ τούτου δὲ λέγεται ἐπὶ οὐδαμινοῦ πράγματος· ὅταν οὖν θέλωμεν φαυλίσαι τινὰ, λέγομεν ὅτι οὐδὲ γρὺ φθέγγεται, ἀντὶ τοῦ, οὐδὲ τὸ τυχόν· οὐδὲ γὰρ ἔχει τινὰ σύστασιν ὁ τοῦ ὄνυχος ῥύπος, πλὴν ὅσον ἀπὸ τῆς θέας μόνον. Dv.

18. ὅπως σιγήσομαι : Τὸ ὅπως μεταληπτικῶς ἀντὶ τοῦ ὅτι. ἔστι μὲν γὰρ τὸ ὅπως ἀντὶτοῦ ὡς, τὸ δὲ ὡς ἀντὶ τοῦ ὅτι. ἀντὶ τοῦ, οὐδαμῶς σιωπήσω, κατὰ περίφρασιν Ἀττικήν. Junt.

20. πράγματα : Τὰς ὀχλήσεις φησὶν ἐκ μεταφορᾶς τῶν πολυκτημόνων ἀνθρώπων, ὡς ὄχλον διὰ τούτων ἐχόντων. Junt. δώσω ὀχλήσεις. Dv. ἀντὶ τοῦ ἐνοχλήσεις. Ven.

21. οὐ γάρ με τυπτήσεις : (Ἔθος τὸν εἰς θεοὺς ἀπιόντα στεφανοῦσθαι, καὶ ἀνεύθυνον εἶναι.) πρὸς τὸ ἔθος, ὅτι καὶ ἀνακομιζόμενοι ἐκ τοῦ μαντείου ἐστεφανηφόρουν. [ἔθος ἦν εἰς τὸν Ἀπόλλω ἀπιόντας μετὰ στεφάνων ἐντεῦθεν ἀναχωρεῖν. ὡς οὖν στέφανον ἔχων ὁ Καρίων παρρησιάζεται πρὸς τὸν δεσπότην καὶ τοῦτο φησίν. P.] (Ἄλλως.) ἡ στεφανηφορία διακόσμησις τοῖς εἰς τὸν θεὸν ἀπιοῦσιν ἰσοτίμως δούλοις τε καὶ ἐλευθέροις ἐδίδοτο, οὐδὲν πλεονεκτήματος τεκμήριον ἐλευθέροις δωρουμένη· οὐδὲ μὴν δούλοις ὀνειδίζουσα τὸ τῆς τύχης ὑποδεές. ἔπαιξε δὲ ἅμα χαριέντως καὶ δυσωπητικῶς ὁ Καρίων· καὶ ὡς στέφανον ἔχων παρρησιάζεται καὶ τοῦτό φησι. — τὸ δὲ τυπτήσεις Ἀττικόν ἐστιν ἀπὸ τοῦ τυπτέω ἀχρήστου θέματος. Junt.

22. καθίκοιτο γὰρ ἂν οὕτω μᾶλλον τῆς κεφαλῆς. δέχεται γὰρ τὸ σκέπας τὸ ἐν ταῖς καλύψεσι τὸν τῶν προσπιπτόντων φόρτον πληγῶν. ἤτοι τοῖς τοῦ στεφάνου περιθέμασι στερισκόμενος· ἢ ἵνα μᾶλλον ἀλγῇς δεχόμενος τὰς τῶν πληγῶν καταγωγὰς, διὰ τὸ γυμνὸν καθικνεῖσθαι τῆς κεφαλῆς. τὸ δὲ σχῆμα τοῦ λόγου παρ' ὑπόνοιαν. V.

23. λῆρος, οὐ γὰρ παύσομαι : [Εἰ μὲν ἐμφανῶς « τὸ λῆρος » πρὸς τὸν δεσπότην εἶπεν, ἀντὶ τοῦ περιττολογία εἶπεν· εἰ δὲ τὸ « οὐ γὰρ παύσομαι, πρὶν ἂν φράσῃς μοι, » εἰς ἐπήκοον αὐτοῦ εἶπε, τὸ δὲ « λῆρος » καθ' ἑαυτὸν, οὕτως εἴποις· λῆρος καὶ φλύαρος εἶ ταῦτα λέγων.] — τινὲς δέ φασιν ἐσχηματισμένως εἰρῆσθαι ἀντὶ τοῦ λῆρος, ἤγουν μαντικός. Junt. (ἀντὶ τοῦ ληρεῖς, ὅ ἐστι φλυαρεῖς. Ἄλλως.) χαριέντως καὶ τὸν σκοπὸν ἤνυσε καὶ ὑβρίζειν οὐκ ἔδοξε, καίτοι λυπούμενος. ἐπεὶ τὸν δεσπότην ἔμελλεν ὑβρίζειν, εὐστόχως οὐκ εἶπε ληρεῖς, ἀλλὰ λῆρος ἀορίστως. R. V.

25. [πάνυ σφόδρα : Ὅτι σύνηθες Ἀττικοῖς παράλληλα τιθέναι τὰ ἰσοδυναμοῦντα· δηλοῦται δὲ ἕν τι ἐξ ἀμφοτέρων. οὕτως ἔχει καὶ τὸ « τυχὸν ἴσως. »] — Ἄλλως. εἶπεν ἀμφότερα καὶ τὸ πάνυ καὶ τὸ σφόδρα δηλῶν τὴν ὑπερβολὴν τῆς εὐνοίας. τὸ δὲ πυνθάνομαι, τὸ ἐρωτῶ καὶ τὸ ἀκούω· ὧν τὸ μὲν πρὸς γενικὴν συντάσσεται, τὸ δὲ ἀκούω πρὸς ἀπαρέμφατον, ἢ πρὸς αἰτιατικήν. Junt.

27. κλεπτίστατον : Κερδαλέον, συνετόν· ἀντὶ τοῦ φρονιμώτατον, πανουργότατον. Ὅμηρος [Od. T, 396] « κλεπτοσύνη τε. » Ἄλλως. ἀντὶ τοῦ εἰπεῖν ἡγοῦμαί σε εὐνούστατον καὶ φρονιμώτατον, τὸ παρ' ὑπόνοιαν ἐπήγαγε κωμικῶς παίζων. V. [τὸ σχῆμα παρ' ὑπόνοιαν· ἀντὶ τοῦ εἰπεῖν εὐνούστατον, παίζων κωμικῶς ἅμα καὶ χαριεντιζόμενος διὰ τὸ τῆς κωμῳδίας μειδιαστικὸν, ἅμα δὲ καὶ τὸν οἰκέτην ποιεῖ ἀποδοχῆς τε τυγχάνοντα καὶ χλεύης ἐκ τοῦ δεσπότου· ἦν γὰρ ἐλπὶς συμφώνως τῷ πρώτῳ λεχθήσεσθαι τὸ δεύτερον· ἢ ἀντὶ τοῦ κερδαλέον καὶ συνετόν. Ὅμηρος [Il. A, 132] « κλέπτε νόῳ » ἀντὶ τοῦ παραλογίζου. εἰώθαμεν δὲ καὶ ἐν τῇ κοινῇ συνηθείᾳ κλέπτην τὸν φρόνιμον λέγειν· ἢ μυστηριακώτατον· τὰ γὰρ μυστήρια κρυφίως γίνονται.] — Ἄλλως. δέον οὕτως εἰπεῖν, πιστότατον ἡγοῦμαί σε καὶ εὐνούστατον, ὁ δὲ παρ' ὑπόνοιαν κλεπτίστατον εἶπεν. ἀεὶ γὰρ οἱ δοῦλοι τὰ τῶν δεσποτῶν ὑφαιροῦνται. Junt.

[κλεπτίστατον : Ἢ ὅτι τὸν φρόνιμον οἱ Ἀττικοὶ κλέπτην ἐκάλουν. ἢ ἀπὸ μεταφορᾶς τῶν κλεπτῶν τοῦτο φησί. φρονιμώτεροι γὰρ οἱ κλέπτοντες ἑαυτῶν γίνονται, ὅταν κλέπτωσιν, ἀναγκαζόμενοι παντὶ τρόπῳ συγκαλύπτειν ὅπερ ἔδρασαν. ὡς καὶ ἡ ἐτυμολογία δείκνυσι τοῦ ὀνόματος. κλέπτης γὰρ ἀπὸ τοῦ καλύπτω ἐτυμολογεῖσθαι δοκεῖ. B. φρονιμώτατον. *D.*]

28. καὶ δίκαιος ὢν ἀνὴρ : Ἔπεται τῷ θεοσεβεῖ τὸ δίκαιον εἶναι, γνώρισμα γὰρ αὐτοῦ τοῦτο. ὁ γὰρ θεοσεβὴς, ἃ τῷ θεῷ ἐστι φίλα, ταῦτα πράττει. Junt.

29. ἦν : ἀντὶ τοῦ ἦμην Ἀττικῶς. (αἰνίττεται δὲ πρός τί τοῦ δράματος ὁ σκοπός.) R.V.

30. ἱερόσυλοι, ῥήτορες : Τινὲς οὐ στίζουσιν εἰς τὸ ἱερόσυλοι· οἱ ῥήτορες (γὰρ) ὡς φαῦλοι διεβάλλοντο· διὸ εἶπεν ἱερόσυλοι ῥήτορες.

31. καὶ συκοφάνται : Λιμοῦ γενομένου ἐν τῇ Ἀττικῇ τινὲς λάθρα τὰς συκᾶς τὰς ἀφιερωμένας τοῖς θεοῖς ἐκαρποῦντο· μετὰ δὲ ταῦτα εὐθηνίας γενομένης, κατηγόρουν τούτων τινὲς, καὶ ἐκεῖθεν συκοφάνται λέγονται. [Ἄλλως. ἀπείρητο Ἀθήνῃσι μὴ ἐξάγειν

ἐντεῦθεν ἀλλοσέ που σῦκα· βουλομένων οὖν τινων ἐξενεγκεῖν, ἱστάμενοι ἐν ταῖς τῶν πυλῶν ἐξόδοις ἄνδρες πανοῦργοι τὸ τούτων ἐξήλεγχον τέχνασμα, ὃ περὶ τὴν ἐξαγωγὴν ἐποίουν. ἐκαλοῦντο οὖν οὗτοι συκοφάνται, ὡς τὰ σῦκα φαίνοντες. ἐπεκράτησεν οὖν ἐξ ἐκείνου τοὔνομα πρὸς πάντας τοὺς πανούργους.] — εὕρηται δὲ περὶ τούτου καὶ ἑτέρα ἱστορία πάνυ ψυχρά. P. πείθομαι : Πιστεύω. *Dv.*

32. [ἐπερησόμενος οὖν : Ἐπερωτήσων τὸν Ἀπόλλωνα. ὡς τὸν θεόν δὲ, πρὸς τὸν θεόν. τὸ δὲ ἑξῆς, ᾠχόμην οὖν πρὸς τὸν θεὸν, ἐπερησόμενος καὶ ἐρωτήσων, νομίζων τὸν βίον μὲν ἐμοῦ αὐτοῦ τοῦ ταλαιπώρου σχεδὸν ἀντικρυς ἐκτετοξεῦσθαι καὶ κεκενῶσθαι, πευσόμενος δὲ καὶ ἐρωτήσων, εἰ χρὴ μεταβαλόντα τοὺς τρόπους τὸν υἱὸν, ὃς μόνος μοι τυγχάνει, εἶναι πανοῦργον, ἄδικον, μηδεὲν ὑγιὲς (ὁ γὰρ ἄδικος καὶ ἅρπαξ οὐχ ὑγιαίνει τῇ ψυχῇ) ὡς νομίσας τοῦτο αὐτὸ συμφέρειν ἐν τῷ παρόντι βίῳ. εἶπε δὲ τὸ πευσόμενος κατ' ἐπανάληψιν, ἐπειδὴ ἐπερησόμενος προειπὼν ἔθηκε διὰ μέσου, τὸν ἐμὸν μὲν, μέχρι τοῦ βίον.] — ὡς : Εἰς. *Cant.* I. 2. ἀντὶ τοῦ πρὸς τὸν θεόν. V.

33. τὸν ἐμὸν μὲν αὐτοῦ : Ἀντὶ τοῦ ἐμοῦ αὐτοῦ Ἀττικῶς. Junt.

[τοῦ ταλαιπώρου : Τοῦ τλητικοῦ, ἢ τοῦ τετληκότος. ταλαίπωρος δὲ παρὰ τὸ τλῆναι τὸν πῶρον, ὅ ἐστι πένθος. ὅτι δὲ πῶρος πένθος ἐστὶ, καὶ Ἀντίμαχός φησι,

πῶρός τοι ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἕκαστος.]

34. ἐπερωτῶν πρὸς τὸν Ἀπόλλωνα ᾠχόμην, τὸν ἐμὸν, φησὶ, βίον νομίζων ἐκτετοξεῦσθαι, ὅ ἐστιν ἐξαναλωθῆναι, ἀπὸ μεταφορᾶς τῶν τοξευόντων καὶ ἐκδαπανώντων τὴν φαρέτραν. Ἄλλως. ἀντὶ τοῦ ἐξοίχεσθαι πρὸς ἀπόληξιν τῆς ἐν αὐτῷ διατριβῆς ἐκπίπτοντα. Ἄλλως ἀπολέσθαι· ἀπὸ τῶν τοξευομένων, ἢ τῶν ὅλα τὰ βέλη ἀφιέντων τοξοτῶν. V. ἐκκενωθῆναι. *V.* ἐγγὺς ἀπωλείας εἶναι διὰ τὸ γῆρας. V. ἐκτετοξεῦσθαι : Τετελειῶσθαι, ἀνηλῶσθαι, ἐκ μεταφορᾶς τῶν τοξευόντων, ὅταν τὴν φαρέτραν κενώσωσιν. Junt. ἐκκεκενῶσθαι, ἀνηλῶσθαι· ἀπὸ μεταφορᾶς τῶν ἐν τῇ τοξείᾳ ἀναλισκόντων τὰ βέλη. R. ὑπολαμβάνων κατηναλῶσθαι, ἠφανίσθαι τὴν περιουσίαν. *Br.* ἐκ μεταφορᾶς εἴρηται τοῦτο τῶν τοξοτῶν, ὅταν τοξεύοντες πάντας τοὺς ἑαυτῶν οἰστοὺς ἀφήσωσιν. B.

35. τὸν δ' υἱόν : Ἀντὶ τοῦ περὶ τοῦ υἱοῦ Ἀττικῶς. καὶ Μένανδρος ἐν Περικειρομένῃ, τὸ δὲ κεφάλαιον οὔπω λογίζομαι τὸν δεσπότην. V.

36. πευσόμενος : Ἐρωτήσων. *Dv.* τοὺς δικαίους. R.

37. διαβάλλει τὸ δίκαιον τῶν Ἀθηναίων. Ἄλλως. ἀντὶ τοῦ μηδὲν τῶν δικαίων φρονεῖν αὐτόν. V. εἰς τὸ φιλόδικον τῶν Ἀθηναίων σκώπτει. V. (a m. sec.) R.

39. ἔλαχεν ἐκ τῶν στεμμάτων : Ἡ λέξις Εὐριπίδου. ἀντὶ τοῦ ἔχρησε. G. (τραγικώτερον δὲ τοῦτο ἐξ Εὐριπίδου, διασύρων τὸν Εὐριπίδην. οἱ γὰρ τρίποδες δάφνῃ ἦσαν ἐστεμμένοι καὶ ἡ προφῆτις. Ἄλλως.) ἀπὸ τῶν στεμμάτων τῆς προφήτιδος· ἐστεφανηφόρει γὰρ ἡ Πυθία (δάφνῃ. τινὲς δὲ καὶ θεσφάτων. Ἄλλως. γράφεται σκεμμάτων,) ἐπεὶ οἱ μαντευόμενοι ἐγγράφῳ ἀνακοινώσει πρὸς τὸν θεὸν τὰς πεύσεις ἐποιοῦντο, γεγραφότες ἐν πυκτίῳ τὸ κατὰ προαίρεσιν αὐτοῖς κείμενον, στεφάνῳ τε ἀμφιέσαντες ἄβρῳ, τῇ μαντιπόλῳ ἐχειροτόνουν· ἡ δὲ ἐντυχοῦσα σύμφωνον τοῖς προτεινομένοις ἐποιεῖτο τὴν ἀπόκρισιν. οἱ δὲ, ὅτι ἐν μέσῳ τῶν στεφάνων καθημένη ἔλεγεν ἡ Πυθία· ἢ ὅτι δάφνῃ ἔστεπτο ὁ τρίπους, ἐφ' οὗ καθῆστο ἡ Πυθία· καὶ ἀλλαχοῦ [Eq. 1016] « ἴαχεν ἐξ ἀδύτοιο διὰ τριπόδων ἐριτίμων. » — Ἄλλως. στέφανοι ἐπὶ τοῦ τρίποδος ἔκειντο, οὓς ἡ Πυθία ἐν τῇ κεφαλῇ φοροῦσα ἐμαντεύετο. [ἢ τὸν τρίποδα λέγει διὰ τὸ κυκλοτερὲς αὐτοῦ. Dv.] ἦν δὲ ἡ Πυθία γυνὴ, ἥτις, ὥς φασιν, ἐπικαθημένη τῷ τρίποδι τοῦ Ἀπόλλωνος, καὶ διαιροῦσα τὰ σκέλη πονηρὸν κάτωθεν ἀναδιδόμενον πνεῦμα διὰ τῶν γεννητικῶν ἐδέχετο μορίων, καὶ οὕτω μανίας πληρουμένη, καὶ τὰς τρίχας λύουσα, καὶ ἀφρὸν ἐκ τοῦ στόματος ἀποπέμπουσα, καὶ τἄλλα πάντα ποιοῦσα, ὅσα οἱ μαινόμενοι ποιεῖν εἰώθασιν, τὰ τῆς μαντείας, ἢ μᾶλλον μανίας, ἐφθέγγετο ῥήματα· ἢ καὶ δαίμων τις ἦν οὕτω καλούμενος πύθων, ἀφ' οὗ ἡ Πυθία παρωνομάζετο· ἢ καὶ αὐτὸς ὁ Ἀπόλλων Πύθιος ὀνομαζόμενος, διὰ τὸ τοῖς πυνθανομένοις χρησμοὺς διδόναι περὶ ὧν ἂν βούλοιντο. Junt.

40. [πεύσει : Οἱ Ἀττικοὶ τὰ τῶν παθητικῶν χρόνων δεύτερα πρόσωπα ἀεὶ διὰ διφθόγγου γράφουσιν. ὡς καὶ ἐνταῦθα καὶ ἐν τοῖς ἑξῆς εὑρήσεις· οὕτος γὰρ, εἴπερ τις, τῇ Ἀττικῇ διαλέκτῳ χρῆται. ἡ δὲ κοινὴ διάλεκτος μόνου τοῦ βούλει, καὶ ὄψει, καὶ οἴει τὰ ἐνεργητικὰ μὴ ἐν χρήσει εὑροῦσα, τῇ Ἀττικῇ ἑπομένη συνηθείᾳ ἀεὶ διὰ διφθόγγου τὰ τρία ταῦτα ἐκφέρει. ἀπαγορευτικοῦ δὲ ἢ αἰτιολογικοῦ μορίου τεθέντος, οἱ Ἀττικοὶ οὐχ οὕτω τὰ δεύτερα πρόσωπα ἐκφέρουσιν, ὡς εἴρηται, ἀλλ' ὑποτακτικῶς.]

εἶπε : Ἐμαντεύσατο. V.

41. ἐξιών : Ἐκ τοῦ ἱεροῦ δηλονότι. R. V.

42. μὴ μεθίεσθαί μ' ἔτι : Τὸ μεθίημι ἐνεργητικῶς πρὸς αἰτιατικὴν συντάσσεται· ὡς Συνέσιος [Epist. 4, p. 161, D] « μεθῆκε τὸ πηδάλιον ἐκ τῶν χειρῶν. » παθητικῶς δὲ πρὸς γενικὴν, ὡς ἐνταῦθα. Junt. μὴ μεθίστασθαι μηδὲ ἀναχωρεῖν. V.

43. πείθειν : Ἐκεῖνον· πείθειν δ' ἐκεῖνον ἐμοὶ ξυνακολουθεῖν ἕως εἰς τὸν οἶκον. Dv. ξυνακολουθεῖν : Σὺν αὐτῷ πορεύεσθαι. *Cant.* 2.

44. τῷ ξυναντᾶς : Τούτῳ συναντίσας. Dv. τῷ : Τίνι. *E.*

45. οὐ ξυνίης : Οὐ νοεῖς. R. οὐ γινώσκεις. V.

τὴν ἐπίνοιαν : (Τὸ αἴνιγμα,) τὴν γνώμην καὶ τὴν κληδόνα. R. V.

46. σκαιότατε : ἀπαίδευτε. *V.* Θ. *Br.*

47. τὸν ἐπιχώριον τρόπον : Τὴν ἐπιχώριον πολιτείαν (τῶν Ἀθηναίων). αἰνίττεται δὲ αὐτῶν ἤτοι τῆς πολι-

τείας τὸ ἰταμόν τε καὶ δυσοικονόμητον. — μετέρχεσθαι τὸ τῆς χώρας ἔθος. Θ.

48. τῷ τοῦτο κρίνεις : Τίνι σημείῳ τοῦτο κρῖναι θέλεις. V. ποίῳ σημείῳ. R. ἐν τίνι πράγματι καὶ σημείῳ. Θ.

καὶ τυφλῷ : (ἤτοι) πρὸς τὸν Πλοῦτον αἰνιττόμενος, ἢ τὸν πηρὸν τῷ νῷ· (νοῦς γὰρ ὁρᾷ καὶ νοῦς ἀκούει. καὶ καθάπερ ὁ τυφλὸς τὴν πορείαν εὐθεῖαν οὐ ποιεῖται. πρὸς τὸ Ὁμηρικὸν δὲ [Od. Θ, 195]

καί κ' ἀλαός τοι ξεῖνε διακρίνειε τὸ σῆμα.

τυφλῷ δὲ οὐχὶ ὀφθαλμοὺς, ἀλλὰ τὴν καρδίαν, ὅ ἐστιν ἀνοήτῳ. παροιμία δ' ἐστὶ, τυφλῷ δῆλα τὰ μαρτύρια. τὸ δὲ ἑξῆς, ὅτι σφόδρα ἐστὶ τοῦτο συμφέρον, τὸ μηδὲν ὑγιὲς ἀσκεῖν.) — Ἄλλως. παροιμία ἐστὶ, τῷ τυφλῷ δῆλον, ἐπὶ τῶν πάνυ σαφεστάτων λεγομένη· τὰ γὰρ τοῖς τυφλοῖς δῆλα τοῖς βλέπουσι σαφέστατα σφόδρα. λέγει δὲ, ὡς ὁ κελεύσας σε τυφλῷ ἀνδρὶ ἑπακολουθεῖν δῆλόν σοι ἐντεῦθεν καθίστησιν, ὡς καὶ τυφλὸς ἂν γνοίη τοῦτο, ὡς ὃ πάντες μετέρχονται, τοῦτο δεῖ καὶ τὸν σὸν υἱὸν μετελθεῖν. ἢ ὅτι ἐπειδὴ πάντες τὴν ἄδικον πολιτείαν μετέρχονται, εἶπέ σοι ὁ Ἀπόλλων, ὡς ᾧ ἂν ἐντύχοις, πάντως τοιοῦτος ἔσται· καὶ ἀκολούθει αὐτῷ, ἤγουν τὴν αὐτὴν αὐτῷ καὶ σὺ μετέρχου ὁδόν. Junt. δηλονοτιὴ : Φανερὸν γὰρ ὅτι. γνῶναι : Νοῆσαι. *Dv.* φανερόν ἐστιν ὅτι καὶ τυφλῷ νοῆσαι δοκεῖ τοῦτο. *Br.* φανερόν ἐστι... τυφλῷ εἰς τὸ νοῆσαι. Θ.

49. σφόδρα... συμφέρον : Ὅτι λίαν ὠφέλιμον. Θ.

50. ἀσκεῖν ὑγιὲς : Μετέρχεσθαι δίκαιον. Θ.

51. ῥέπει : Φέρεται, ἀποβλέπει, ἐκ μεταφορᾶς τοῦ ζυγοῦ. Junt. ὥσπερ ζυγοῦ εἶπεν. R. ἀντὶ τοῦ ἐπιφέρεται. μεταφορικῶς ἀπὸ τοῦ ζυγοῦ. V.

54. ὁ Πλοῦτος, τίνος ἕνεκεν ἐπὶ τὸ αὐτὸ ἀπήντησεν, εἰς τὸ ἱερὸν τοῦ Ἀπόλλωνος ἐν Δελφοῖς. V. εἰς Δελφούς. R. τίνος χάριν ἦλθεν εἰς τὸ χρηστήριον τοῦ Ἀπόλλωνος. καὶ τίνος χρείαν εἶχεν σὺν ἡμῖν εἰς Δελφούς. Θ.

55. τὸν χρησμὸν ἡμῶν, ὅτι νοεῖ : Καὶ Πλάτων Νόμων η' [p. 837, E] « τὸν δὲ νόμον ὑμῶν ὅ τι νοεῖ περὶ τὰ τοιαῦτα οὐδέν με ἐξετάζειν δεῖ. » Junt. ὅ τι σημαίνει. R.

57. ἢ ταὐτὶ τούτοις : Τὰ ἐπὶ τῇ ἀπειλῇ· καὶ γὰρ ἡ πεῦσις ἄνω ἀπειλητική. λέγει οὖν, βέλτιόν σοί ἐστιν ἐξειπεῖν λόγῳ πεισθέντα ἢ βιασθέντα· ἢ ὡς μὴ λέγοντός σου, βίαιόν τι διαπράξομαι. Ἄλλως. ἢ ταὐτὶ τούτοις : Ἤγουν τὰ ἀκόλουθα τοῖς μὴ ἐθέλουσιν ἑαυτοὺς ἐκφαίνειν. τὰ δὲ ἐστὶ πληγαὶ καὶ τραύματα.

λέγειν χρὴ : Τὸ λέγειν ἐπὶ τοῦ προφορικοῦ λόγου λέγεται, καὶ ἀπὸ τούτου ἐπὶ τοῦ ὀνομάζειν καὶ ἐπὶ τοῦ φράζειν. Junt. πρὸ τοῦ τυφθῆναί σε. Θ.

58. οἰμώζειν : Οἰμώζω, τὸ θρηνῶ. ἀφ' οὗ οἰμωγὴ, ὁ θρῆνος, καὶ οἴμωγμα οὐδετέρως παρ' Αἰσχύλῳ [Sept. 8]

οἰμώγμασίν θ' ὧν Ζεὺς ἀλεξητήριος.

ἐκ τούτου δοκεῖ καὶ οἴμοι θρηνητικὸν ἐπίρρημα γίνεσθαι. Ms. ap. Br.

60. σκαιῶς : Ἀταιδεύτως, σκληρῶς, ἀποτόμως. Θ.

61. τοῦτο πρὸς τὸν Πλοῦτον. πρόσκεισαι. εὐσεβοῦς, δικαίου. ἀποστροφὴ τὸ σχῆμα. Θ. ἀντὶ τοῦ εὐσεβοῦς. (ἀπὸ μέρους δὲ ἀγαθοῦ.) R. V.

62. κλάειν : Ἀττικῶς ἀντὶ τοῦ κλαίειν. Borg.

63. δέχου τὸν ἄνδρα καὶ τὸν ὄρνιν : Τὴν κληδόνα, (τὴν μαντείαν,) καὶ τὸ σύμβολον. οὕτως ὁ Ῥόδιος Ἀπολλώνιος [I, 304] « μηδ' ὄρνις ἀεικελίη πέλε νηΐ. » κοινῶς γὰρ πᾶν σύμβολον ἐκφευκτικὸν ἢ προτρεπτικὸν ὄρνιν καλοῦσιν. ὄρνις, ἐπιφώνησις, πτάρμος, καὶ τὰ τοιαῦτα, ὡς αὐτὸς ἐν Ὄρνισι [720] ἐδήλωσεν. Ἄλλως. τὴν μαντείαν τοῦ Ἀπόλλωνος ὄρνιν λέγει, ἐπειδήπερ οἱ παλαιοὶ οὐ μόνον διὰ τῶν ἄλλων, ἀλλὰ καὶ δι' ὀρνίθων ἐμαντεύοντο. — καὶ ὅτι οἱ παλαιοὶ πᾶν τὸ ἐπὶ σημείῳ καὶ τεκμηρίῳ τινὶ παραλαμβανόμενον ὄρνιν ἐκάλουν, ἀπὸ μεταφορᾶς καὶ τὸ μάντευμα καὶ τὸ σύμβολον. Junt.

64. [μὰ τὴν Δήμητρα : Εἰκότως ταύτην ὅρκον λαμβάνει ὡς γεωργός· ἡ γὰρ Δημήτηρ τῆς γῆς ἔφορος.] — διὰ τὸ μὴ φράσαι οὐκέτι χαιρήσεις. V.

65. ἢν μὴ φράσῃς : Ἐὰν μὴ εἴπῃς. *Br.*

66. ὦ τᾶν : Ἀντὶ τοῦ ὦ ἑταῖρε. τινὲς δὲ λέγουσιν ὅτι οὐ πρὸς ἕνα μόνον τὸ ὦ τᾶν, ἀλλὰ καὶ πρὸς δύο. καὶ Κρατῖνος « ἆρά γε, ὦ τᾶν, ἐθελήσετε. » [Ἄλλως. ὦ τᾶν, ὦ φίλοι, πληθυντικῶς νοητέον. ἢ ἀντὶ τοῦ ὦ φίλε. ἵν' ἢ τὸ μὲν ὦ τᾶν πρὸς μόνον τὸν Χρεμύλον· οὗτος γὰρ αὐτῷ ἠπείλει· τὸ δὲ ἀπαλλάχθητον πρὸς ἀμφοτέρους· ἐπειδὴ καὶ ἄμφω τούτῳ ἠνώχλουν. ὃ καὶ κρεῖττον. εἰώθαμεν γὰρ ἐν τῇ κοινῇ συνηθείᾳ ἔστιν ὅτε τοὺς λόγους οὕτω ποιεῖσθαι.]

πώμαλα : Ἀντὶ τοῦ οὐδαμῶς· ἔστι δὲ Ἀττικόν· (ἔστι γὰρ ἐπίρρημα ἀρνήσεως.)

67. (καὶ μὴν ὃ λέγω : Τινὲς ἓν πρόσωπον αὐτὸ εἶναι λέγουσι τοῦ δούλου ἀπὸ τοῦ πώμαλα ἕως τοῦ ἐκτραχηλισθῇ πεσών.)

70. ἐκτραχηλισθῇ : Τὸν τράχηλον κατακλασθῇ (R. V.), ἐκσπονδυλισθῇ. Junt.

72. ἀλλ' ἦν πύθησθέ μ' ὅστις εἰμ' ἐγώ : Οὕτω τὴν αἰτιατικὴν ἀντὶ γενικῆς, καὶ ἀντὶ δοτικῆς τὴν αἰτιατικὴν Ἀττικοὶ λέγουσιν, [ὡς Θουκυδίδης [I, 28] « εἰ οὖν τί σε τούτων ἀρέσκει, πέμπε ἄνδρα πιστὸν ἐπὶ θάλατταν. » καὶ Σοφοκλῆς [Aj. 584]

οὐ γάρ μ' ἀρέσκει γλῶσσά σου τεθηγμένη.

ἀντὶ τοῦ οὐ γάρ με.] ὡς ἐπὶ ἀψύχου τὸ ἀναθεὶς. ἢ διὰ τὸ τυφλὸν αὐτὸν εἶναι.

74. ἐὰν βούλῃ γε σύ : [Τοῦτο διττῶς νοητέον. νὴ τοὺς θεοὺς ἀφήσομέν σε, ἂν βούλῃ γε σὺ εἰπεῖν ὅστις εἶ. ἢ οὐκ ἀφήσομεν, ἐὰν βούλῃ σὺ μὴ εἰπεῖν ὅστις εἶ.] — ἐὰν βούλῃ καὶ δοκῇ σοι, ἀφήσομέν σε. τοῦτο γὰρ προσληπτέον. V. ἡμεῖς γ', ἐὰν βούλῃ, ἀπολύομεν. τοῦτο δέ φασιν ἀπολύσαντες αὐτόν. Ἄλλως. ἐὰν δὲ σοὶ δοκῇ, τουτέστι τὸ ἀπολυθῆναι. προσληπτέον τὸ ἀφήσομεν. V. a manu sec.

75. μέθεσθε παροξυτόνως οἱ Ἀττικοὶ λέγουσιν. R.

Εἰρηναῖός φησι παροξυτόνως Ἀττικοὺς λέγειν τὸ μέθεσθε. V.

ἦνι : Ἰδού. *Dv., Br.* μέθεσθε ἀντὶ τοῦ ἀπολείφθητε καὶ πόρρω γίνεσθε. κανόνισον· ἴημι τὸ καταλείπω, ὁ μέλλων ἥσω. ὁ δεύτερος ἀόριστος ἦν. ὁ μέσος ἔμην, ἔσο, καὶ τὸ προστακτικὸν ἔσο, καὶ ἐκβολῇ τοῦ σ, καὶ κράσει τοῦ ε καὶ ο εἰς ου δίφθογγον οὗ, καὶ μετὰ τῆς μετά προθέσεως καὶ συγκοπῆς καὶ τροπῆς τοῦ ψιλοῦ εἰς δασὺ, μεθοῦ, μεθέσθω, μέθεσθον, μεθέσθων, μέθεσθε, μεθέσθωσαν. P.

77. ⟦ἢ παρεσκευασμένος : Τὸ ἦ ἄνευ τοῦ ν ἀντὶ τοῦ ἦμην. οἱ γὰρ Ἀττικοὶ τὸ ἦν καὶ ὑπῆρχον ἐγὼ ἦ φασιν, οὕτως· ἀπὸ τοῦ εἰμὶ τὸ ὑπάρχω γίνεται ὁ παρατατικὸς εἶν διὰ διφθόγγου· (ὡς καὶ ἀπὸ τοῦ εἴδημι ᾔδειν· P.) καὶ διαλύσει Ἰωνικῇ τῆς ει διφθόγγου εἰς ε καὶ α γίνεται ἔα, ὡς καὶ τὸ ᾔδεα, καὶ τὸ τιθεῖσι τιθέασιν. ἡ χρῆσις δὲ παρ' Ὁμήρῳ [Il. E, 887], ὡς τὸ « οὐ γὰρ ἀμενηνὸς ἔα· » εἶτα κιρνῶντες τὸ ε καὶ α εἰς η, ἦ φασιν, ὡς καὶ ἐνταῦθα καὶ ἐν τοῖς ἑξῆς εὑρήσεις.⟧ — ἀντὶ τοῦ ἤμην. R. τινὲς ἄνευ τοῦ ν αὐτὸ γράφουσι τὸ η μόνον ἀφιέντες. ἀντὶ τοῦ ἤμην, κατ' ἔλλειψιν τοῦ ν. οἱ δὲ ὅτι ἐπὶ τρίτου προσώπου τίθεται τὸ ῥῆμα. ὅτι δὲ τάσσεται καὶ κατὰ τοῦ ἤμην ὅλον ἐκ τοῦ Ὁμήρου [Il. Ω, 426; Od. T, 315] « εἶπον' ἔην γε. » V.

78. μιαρώτατε ἀνδρῶν ἁπάντων : (Πεφυλαγμένως ποιεῖται τὴν πρὸς τοὺς θεοὺς ὑπέρθεσιν, ἵνα μὴ θεῶν ὑπερτιθεὶς, κἀκείνους πάθει ὑποτάξῃ. ἢ ὅτι ἐν σχήματι ἀνδρὸς ἐφάνη ὁ Πλοῦτος.) δεῖ δὲ ἐννοεῖν τὸν Πλοῦτον ῥυπῶντα καὶ ταπεινὸν ὄντα τὸ σχῆμα.

79. ⟦εἶτ' ἐσίγας : Εἰ μὲν οὕτω τὴν σύνταξιν τρέψεις, τὸ εἶτα ἀργὸν ἐρεῖς, καθὼς ἐν ταῖς ἀποδόσεσι τῶν μετοχῶν ποιεῖν εἰώθαμεν. ὦ μιαρώτατε ἀνδρῶν ἁπάντων, ὧν Πλοῦτος εἶτα ἐσίγας. εἰ δὲ τὸ εἶτα ἐν ἀρχῇ θήσεις, οὐκ ἀργὸν νοήσεις. εἰώθαμεν γὰρ ἐν τοῖς τῆς βαρύτητος σχήμασιν ἐν ἀρχαῖς πολλάκις τιθέναι τὸ εἶτα, οὕτως· εἶτα ὦ μιαρώτατε ἀνδρῶν ἁπάντων ὧν Πλοῦτος ἐσίγας; ⟧

83. αὐτότατος : Ἡ αὐτότατος ἀντωνυμία πέπαικται κωμικῶς. τὰ γὰρ ἀόριστα τῶν πραγμάτων ἀνεπίτατα. εἰ οὖν ἡ ἀντωνυμία ἐπὶ οὐσίας παραλαμβάνεται, κατὰ τοῦτο ἐπίτασιν οὐ δέχεται, ὡς τὰ ἄλλα μέρη. ⟦Ἄλλως. ἔπαιξεν αὐτότατος ὑπερθετικῶς εἰπὼν, ἵνα δείξῃ, ὡς ἀληθῶς αὐτός ἐστιν· ὥσπερ καὶ τὸ μονώτατος. ἰστέον δὲ ὅτι τὸ μὲν μονώτατος εὕρηται ἐν τοῖς λογοποιοῖς, τὸ δὲ αὐτότατος οὔ.⟧ — αὐτότατος οὐ λέγεται, ὡς οὐδὲ ἐγώτατος ἀπὸ τοῦ ἐγώ. τοῦ γελοίου δὲ χάριν οὕτω πέπαικται. Θ.

84. τὸν Πατροκλέα κωμῳδεῖ ὡς Ἀθηναῖον μὲν καὶ πλούσιον, σκνιπὸν δὲ καὶ φειδωλόν. ἦν δὲ τραγῳδίας ποιητὴς, ἄλλως δὲ καὶ κακόβιος καὶ φιλοχρήματος, ὡς καὶ ἐν τοῖς Πελαργοῖς εἴρηται περὶ τούτου, ὅστις ἕνεκεν τῆς φειδωλίας οὐδένα εἶα προσίεσθαι φυλακῆς ἕνεκα τῶν χρημάτων καὶ γλίσχρου βίου. (ἦν δὲ οὗτος εἷς τῶν τὸν Λακωνικὸν ζηλούντων βίον. Ἄλλως. οὗτος ὁ Πατροκλῆς Ἀθηναῖος φιλοχρήματος, ὃς ἐφύλαττε τὰ χρήματα καὶ ἦν ῥυπαρὸς τῷ βίῳ καὶ ηὔχμει.) — ἐκ Πατροκλέους : Ἐκ τῆς οἰκίας τοῦ Πατροκλέους. *Brunck.*

86. τουτὶ δὲ τὸ κακὸν : Ἤγουν τὴν τύφλωσιν. *Br.*

87. φθονῶν : Φθόνος παρὰ τοῖς φιλοσόφοις, ἡ ἐπ' ἀλλοτρίοις ἀγαθοῖς λύπη, ἤτοι ἡ ζηλοτυπία, ὡς ἐνταῦθα· παρὰ δὲ τοῖς ῥήτορσιν ἡ μέμψις, ὡς Εὐριπίδης [Hec. 288] « ἀποκτείνειν φθόνος γυναῖκας. » Junt.

88. ἐγὼ γὰρ ὢν μειράκιον : Τοῦτό φησιν, ἵνα τὸ προπετὲς τῆς ῥήσεως ἀναφέρῃ ἐπὶ τὸ ἐξημμένον καὶ δόξῃ συγγνώμην ἔχειν ἡ ἁμαρτία, ὅτι μειράκιον ὢν ἠπείλησε. καὶ μὴν οὐκ ἔστιν ἁμάρτημα τὸ τοὺς μὲν φαύλους καταλιπεῖν ὁμολογῆσαι, καταλαβεῖν δὲ τοὺς χρηστούς. πῶς οὖν ὁ Ζεὺς νοούμενος εἰς τὸ πρῶτον αἴτιον, καὶ μᾶλλον βουλόμενος τοὺς ἀγαθοὺς εὖ πράττειν, ἐτύφλωσε τὸν Πλοῦτον εἰπόντα τοῦτο; λέγομεν οὖν, ὅτι εἰ πάντως τοῖς ἀγαθοῖς καὶ τοῖς ἀρετὴν ἀσκοῦσι παρείπετο τὸ πλουτεῖν, πάντες ἂν διὰ τὸ πλουτεῖν μετῆσαν τὴν ἀρετὴν, οὐ δι' αὐτὴν τὴν ἀρετήν. ὁ δὲ Ζεὺς βουλόμενος τοὺς ἀνθρώπους οὐ διά τι χρήσιμον καὶ ἐπωφελὲς τὴν ἀρετὴν μετιέναι, ἀλλὰ δι' αὐτὴν τὴν ἀρετὴν, τοῖς ταύτην ἀσκοῦσι καὶ ἀποτυχίαν χρημάτων ἔσθ' ὅτε δίδωσιν ἐν τῷ βίῳ, ἵνα ἕκαστος ἐφίηται τῆς ἀρετῆς δι' αὐτὴν τὴν ἀρετὴν, καὶ μὴ διὰ τὸ ἐλπίζειν ὅτι πάντως διὰ τῆς ἀρετῆς εὐπορήσει χρημάτων.

90. ὁ δέ μ' ἐποίησε τυφλόν : Ἐπεὶ ἔμελλεν ἀνατρέπειν τοὺς ἀδίκους, οὐκ εἴασεν ὁ Ζεύς. τῷ μὲν γὰρ Πλούτῳ συνέφερεν, ὅτι καλῶς αὐτῷ ἐχρῶντο, ἐκεῖνοι δὲ οὔ. V. παρῴδηται ἐκ τῶν Ἡσιόδου [Op. 42]

κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισιν.

ἢ ὅτι ἀνόσιος ὁ διὰ τῆς ἀρετῆς τοῦ πλούτου φόρτος τοῖς δικαίοις, εἰ χαυνωθεῖεν ἐκ περιουσίας.

93. ⟦διὰ τοὺς χρηστούς γε : Ἰστέον ὅτι ἡ διά πρόθεσις οὐ μόνον γενικῇ συντάσσεται, ὅταν δηλοῖ ἐνέργειαν, ἀλλὰ καὶ αἰτιατικῇ, ὡς ἐνταῦθα· εὑρήσεις δὲ τοῦτο καὶ ἐν πολλοῖς τῶν λογοποιῶν. καὶ μὴν ὅταν δηλοῖ αἰτίαν, αἰτιατικῇ μὲν ὡς ἐπὶ τὸ πολὺ συντάσσεται· ἀλλὰ καὶ πρὸς γενικὴν εὕρηται σπανίως.⟧

94. ὁμολογῶ σοι : Ἀντὶ τοῦ συναινῶ σοι. R. συμφωνῶ σοι, ὅμοιά σοι λέγω ἐν τούτῳ· εὑρίσκεται δὲ καὶ πρὸς αἰτιατικήν. Junt.

φέρε, τί οὖν; ἄγε δή. ἔστι δὲ μετάβασις τοῦ λόγου. R. V.

96. ἤδη : ἀντὶ τοῦ λοιπὸν ταχέως. R. V.

97. ὡς : ἀντὶ τῆς πρός. V.

98. πολλοῦ γὰρ αὐτοὺς : Διὰ τὸν ἐπιχώριον τρόπον· ταῦτα γὰρ εἰς τὴν τῶν Ἀθηναίων φησὶ πολιτείαν, ἀποσκώπτων ⟦αὐτοὺς⟧ ὡς πονηρούς.

99. καὶ θαῦμα γ' οὐδέν : Οὐδέν φησι παράδοξον, εἰ τυφλὸς ὢν οὐχ ἑώρακας — αὐτοὺς, ἐπεὶ καὶ ἐγὼ βλέπω μὲν, ἀλλὰ νῦν γε αὐτοὺς οὐχ ὁρῶ. V.

100. ἴστον : ἀντὶ τοῦ ἐγνώκατε. τὸ δὲ ἴστον δυϊκόν. ἀντὶ τοῦ ἴσατε· ἐγνώκατε γάρ. V.

101. ἀντεχόμεθά σου, ἐπειδὴ Πλοῦτος εἶ.

103. καὶ σύ γ', ἀντιβολῶ : Πεποίηται παρὰ τὸ ἄντομαι καὶ βάλλω τὸ ἀντιβολῶ. [ἔχει δὲ τὴν ὁρμὴν πρὸς τὸ « ἀλλὰ πολλῷ μᾶλλον ἐξόμεθά σου. » τὸ δὲ οὐκ ἠγόρευον ὥσπερ διὰ μέσου.] τὸ δὲ πιθοῦ περισπᾶται· ἔστι γὰρ δεύτερος ἀόριστος, (ὡς καὶ ἡ γραφὴ δηλοῖ καὶ τὸ μέτρον βούλεται). τούτους δὲ οἱ Ἀττικοὶ περισπῶσι καὶ ἡ χρῆσις ἠκολούθησε τῇ διαλέκτῳ. ἡ γὰρ ἀναλογία βαρύνει, ὥς φησιν Ἀπολλώνιος.

106. μὰ τὸν Δία : Τὸ μὰ τὸν Δία ἢ πρὸς τὸ ὄπισθεν σύναπτε, καὶ μόνον λέγε, ἵν' ᾖ βεβαιωτικὸν τοῦ οὐχ εὑρήσεις, ἢ πρὸς τὸ ἐπαγόμενον σύναπτε. Junt., P.

109. ἀτεχνῶς : Ἀντὶ τοῦ ἁπλῶς, καθάπαξ, (ὅ ἐστιν ἐνὶ λόγῳ, ἀληθῶς. τέχνη γὰρ ὁ δόλος παρὰ τοῖς Ἀττικοῖς· τὸ δὲ ἄνευ δόλου ἀληθές.) ὁ γὰρ τόνος διαστέλλει τὸ σημαινόμενον, τήν τε τῆς τέχνης στέρησιν καὶ τὸ διάφορον τῆς χρήσεως. ἀτεχνῶς οἱονεὶ ἀτενῶς μετὰ περισσοῦ τοῦ χ. [Ἄλλως. ἁπλῶς, ἄνευ τέχνης· ἐκ μεταφορᾶς τῶν ἀθλητῶν τῶν μὴ τέχνῃ νικώντων, ἀλλὰ δυνάμει. ἢ καθάπαξ, ἢ ἀδόλως. ἐὰν δέ τις παρὰ τὴν τέχνην λέγῃ τι ἢ ποιῇ, οὐκέτι περισπωμένως, ἀλλὰ βαρυτόνως· ἀτέχνως ποιεῖς, ἀτέχνως λέγεις. ὁ δὲ νοῦς, κἂν φύσει τις ᾖ χρηστὸς, ἐπὶ τὸ χεῖρον μεθίσταται ὑπὸ τῶν χρημάτων.)

[ὑπερβάλλουσι : Ὑπερβάλλω καὶ ὑπερβάλλομαι τὸ αὐτὸ, ὡς ποιῶ καὶ ποιοῦμαι· καὶ συντάσσεται πρὸς μὲν τὸ πρόσωπον αἰτιατικῇ, πρὸς δὲ τὸ πρᾶγμα δοτικῇ, οἷον, ὑπερβάλλω τὸν δεῖνα λόγῳ. ὑποβάλλω δὲ λόγους, ἀντὶ τοῦ ὑποτίθημι· ὅθεν καὶ τὸ « ὑποβλήδην » παρ' Ὁμήρῳ [Il. Λ, 292]· καὶ ὑποβάλλω βρέφος· ὅθεν καὶ τὸ ὑποβολιμαῖος· καὶ ὑποβάλλομαι παθητικῶς, ἀντὶ τοῦ ὑπόκειμαι· καὶ ὑποβάλλεται ἡ θεμέλη τῷ τοίχῳ ἀντὶ τοῦ ὑποτίθεται· καὶ ὑποβάλλεται ὁ χόρτος τῇ στρωμνῇ. προβάλλω τὸ εἰς τοὔμπροσθεν τίθημι, ἀφ' οὗ πρόβολοι· προβάλλομαι δὲ μάρτυρα. Junt]

ὑπερβάλλουσι τῇ μοχθηρίᾳ : Τῇ κακίᾳ ἐπὶ τὸ χεῖρον μεθίστανται ὑπὸ τῶν χρημάτων. Junt.

[111]. ἀλλ' ἁπαξάπαντες : (Δύο μέρη τοῦ λόγου τὸ ἁπαξάπαντες.) οὐ φησὶ πάντες, ἀλλ' ὁμοῦ πάντες. τὸ γὰρ ἅπαξ ἐπὶ ἐπιτάσεως λαμβάνεται. (ὑφ' ἓν δὲ ταῦτα τάττει· καὶ προφέρονται ὡς δηλαδὴ, ἁπαξαπλῶς.)

113. ὅρμησόν σου τὸν νοῦν, καὶ ὅρα ἵνα μάθῃς. V.

115. τῆς ὀφθαλμίας : Ἀντὶ τοῦ τῆς πηρώσεως· ἰδίως δὲ ὀφθαλμίαν τὴν πήρωσιν τῶν ὀφθαλμῶν φησι· διὸ καὶ ἐν τῷ δευτέρῳ μεταπεποίηται

τῆς συμφορᾶς ταύτης σε παύσειν ἧς ἔχεις.

[Ἄλλως. ὀφθαλμία κυρίως ἡ κατὰ τοὺς ὀφθαλμοὺς ἀπὸ νοσήματός τινος γινομένη βλάβη, ἥτις καὶ ἰάσιμός ἐστιν· ἐνταῦθα δὲ ἀντὶ τῆς τυφλώσεως παρείληπται· τύφλωσις γάρ ἐστιν ἡ παντελὴς τῆς ὁράσεως στέρησις. Junt.]

119. ὁ Ζεὺς μὲν οὖν εἰδὼς τὰ τούτων : Τὰ τῶν ἀνθρώπων πάντα εἰδὼς, ἐπεὶ οὐδὲν αὐτὸν λανθάνει· μεταπεποίηται δὲ καὶ τοῦτο ἐν τῷ δευτέρῳ. — Ἄλλως. εἰ μὲν γράφεται μῶρ' ἔμ' εἰ, οὕτω συνταχθήσεται, ὁ Ζεὺς μὲν εἰδὼς τὰ τούτων μῶρα ἔπη, εἰ πύθοιτο ἐμὲ ἀναβλέψαντα, ἐπιτρίψεταί με. εἰ δὲ μῶρ' ἔπη, τὸ πύθοιτ' ἂν διὰ μέσου ἔσται· τουτέστι, γνοίη ἂν ταῦτα καὶ οὐδὲν αὐτὸν λήσεται. Junt.

121. περινοστεῖν ἐᾷ : Ἀπὸ τόπου εἰς τόπον μεταβαίνειν. R. ἀντὶ τοῦ περιπατεῖν τὸν σφαλλόμενον καὶ καταπίπτοντα. V. (νόστος κυρίως μὲν ἡ ἀπ' ἀλλοδαπῆς οἴκαδε ἐπάνοδος, καταχρηστικῶς δὲ καὶ ἡ ἀπὸ τόπου [εἰς τόπον μετάβασις καὶ] πορεία.)

[περινοστεῖν ἐᾷ : Περιέρχεσθαι ἀφίησιν, ἀπὸ τόπου εἰς τόπον μεταβαίνειν· ἡ περὶ ἐνταῦθα τὸ κύκλιον δηλοῖ· τυφλὸν γὰρ ὄντα εἰκὸς μὴ ὀρθῶς βαδίζειν αὐτόν. ὑπονοστεῖν δὲ ἀντὶ τοῦ ὑποχωρῆσαι. Dv.]

122. ὀρρωδῶ πάνυ : [Φοβοῦμαι, ἀπὸ τοῦ ὄρρου, ὅ ἐστι μεσοπύγιον τῆς περιστερᾶς· ἔστι γὰρ τρομερὸν τὸ μέρος.] ὀρρωδεῖν κυρίως μὲν ἐπὶ τοῦ τῶν ἀλόγων δέους. πεποίηται δὲ παρὰ τὸ σείοντα τὴν οὐρὰν δηλοῦν τὸ δέος. ἢ παρὰ τὸ ἐγκρύπτειν τούτῳ τῷ μέρει τὰ αἰδοῖα κατὰ τὴν τοῦ δέους διάθεσιν. ἢ ὅτι τῶν φοβουμένων εἴωθεν ὁ ὄρρος πρῶτος ἱδροῦν. — ὀρρωδῶ λέγεται τὸ φοβοῦμαι, ἐκ μεταφορᾶς τῶν ζώων τῶν διὰ τῆς οὐρᾶς δεικνύντων τὸ δέος. εἴωθε γὰρ ταῦτα φοβηθέντα συνάγειν τὴν οὐρὰν ἐντὸς τῶν μηρῶν. ἢ ὅτι τῶν φοβουμένων εἴωθεν ὁ ὄρρος πρῶτος ἱδροῦν. P. ὄρρος δέ ἐστι τὸ ἐπάνω τῆς πυγῆς ὀστοῦν, ἐξ οὗ ἡ οὐρὰ τῶν ζώων φύεται. (ὃ καὶ ὀρροπύγιον λέγεται. P.) Junt., P.

123. (ἀληθες : Ἴσον ἐστὶ τῷ ὄντως. ἀξιοῦσι δὲ ὀξύνειν τὴν πρώτην, ὅταν τοῦτο δηλοῖ· ἔστι δὲ ἐπίρρημα θαυμασμοῦ, ἀντὶ τοῦ ἀληθῶς λέγεις.)

125. τοὺς κεραυνοὺς : Τὰ μέγιστα ἀμυντήρια τοῦ Διός· ἐκ δὲ τούτων τὴν δύναμιν αὐτοῦ λέγει.

126. κἂν μικρὸν χρόνον : Τὸ κἄν δηλοῖ τὸ καὶ ἐάν· (νῦν δὲ ἐπὶ τῆς συνηθείας, ὃ σπανίως εὕρηται.)

127. (ἆ, μὴ λέγ' : Ἐπίρρημα ἐπιτιμητικόν.) [ἐπίρρημα τοῦτο ἐκπληκτικόν. Dv. πόνηρε δὲ, ἤγουν γεωργὲ, ἢ ἄθλιε· εὕρηται γὰρ καὶ οὕτως μετατιθεμένου τοῦ τόνου Ἀττικῶς. — ὦ πονηρὲ : Ὅτι πόνηρος ὁ γεωργὸς ἀπὸ τοῦ πονεῖν. πόνηρος ὁ ἀσθενὴς ἀπὸ τοῦ αἴρειν πόνους. πόνηρος ὁ κακότροπος ἀπὸ τοῦ εἴρειν ἢ πλέκειν πόνους. Borg.]

132. ὅτι μάρτυρος τάξιν ἀναπληροῖ ὁ δοῦλος. εἰπὼν δὲ ὁδὶ τὸν Πλοῦτον δείκνυσι. V.

133. θύουσι δ' αὐτῷ : Ὅπερ ἐπὶ τῶν δυναστευόντων ἀνθρώπων συμβαίνει, τοῦτο ἐπὶ τοῦ Διὸς μετήγαγεν. — θύω σφαγιάζω, ὡς τὸ θύω βοῦν, καὶ συντάσσεται αἰτιατικῇ. θύω δὲ ἀντὶ τοῦ θυσίαν ποιῶ, καὶ συντάττεται δοτικῇ. P. τουτονί : τὸν Πλοῦτον δηλονότι. V.

134. ἄντικρυς : Δι' ἐναντίας, φανερῶς. ὁ δὲ ποιητὴς [Il. Γ, 359] ἐκτεταμένως λέγει καὶ δίχα τοῦ σ, « ἀντικρὺ δὲ παραὶ λαπάρην. »

136. ὅτι τί δή : Ἤγουν, πῶς ἂν τὸ τιμᾶσθαι τὸν Δία καὶ βασιλεύειν τῶν θεῶν παύσω; ἤγουν, πῶς ἄρα, ἢ

διὰ τίνα τρόπον τοῦτ' ἔλεξας. Junt. ἤγουν τὸ τιμᾶσθαι τὸν Δία καὶ βασιλεύειν τῶν θεῶν πῶς οὖν παύσει, ἀντὶ τοῦ διατί ἢ πῶς ἄρα. P. ὅτι τί δή : Διατί. *Br.* ἀντὶ τοῦ διὰ τί ἢ πῶς ἄρα. V.

137. θύσειεν : Ὅτι καὶ ἐπὶ τοῦ θυμιάσαι τὸ θύειν. ἐπὶ μὲν γὰρ τοῦ βοὸς σφάξειεν, ἐπὶ δὲ τοῦ ψαιστοῦ θύσειεν. ψαιστὸν δὲ κυρίως ἄλευρον ἐλαίῳ δεδευμένον· καταχρηστικῶς δὲ καὶ τὸ πόπανον. — Ἄλλως. εἶδος πλακοῦντος ἐξ ἀλφίτων γενομένου. V.

138. ψαιστὸν : Ἔστιν ἄλευρον ἐλαίῳ δεδευμένον. ἔστι δὲ τὸ κοινῶς λαλάγκιον.

139. ὅπως; οὐκ ἔσθ' ὅπως : Τὸ πρῶτον ὅπως εἰ μὲν καθ' ὑποστιγμὴν νοεῖς, ἀντὶ τοῦ πῶς νοήσεις· εἰ δὲ κατὰ ἀπόφασιν, ἀντὶ τοῦ ὅτι.

140. δήπουθεν : Ἀπό τινος πόρου. *C.*

141. ταργύριον : Ἄργυρος ἡ οὐσία τοῦ ἀργύρου. ὥσπερ καὶ χρυσὸς ἡ οὐσία τοῦ χρυσοῦ. τὸ δὲ ἀπὸ τούτου κέρμα ἀργύριον καὶ χρυσίον. P.

142. καταλύσεις : Καταλύω τὸ ἀφανίζω, καὶ διαλύω, ὃ καὶ μεταβαίνει συντασσόμενον μετὰ αἰτιατικῆς, ὡς κἀνταῦθα. καὶ ὁ Φάλαρις [Ep. 5] « εἰ βούλεσθε τὸν πρὸς ὑμᾶς καταλῦσαι πόλεμον. » καταλύω καὶ τὸ ἀναπαύομαι ἀμεταβάτως, ἀφ' οὗ καὶ κατάλυμα, ἡ ἀνάπαυσις. Junt. τὴν δύναμιν... καταλύσεις : Τὴν βασιλείαν ἀφανίσεις, ἣν ἐκεῖνός σε λυπῇ. P.

143. [φήμ' ἐγὼ : Ὅτε ἀναβιβάζεται ὀξεῖα, πάλιν ὀξεῖα ὀφείλει τίθεσθαι· οὐ μὴν περισπωμένη· ἄτοπον γάρ, ὥσπερ ἐνταῦθα τὸ φήμ' ἐγώ· καὶ τὸ χρήστ' ἔδρασε· καὶ τὸ δείν' ἄττα· καὶ τὰ τοιαῦτα. ἀλλὰ καὶ ὅτε περισπωμένη ἔν τινι λέξει κεῖται μονοσυλλάβως, εἰ μὲν πρὸ δύο συλλαβῶν ἐστι τόνος, ἐγκλινέσθω· οἷον [Ran. 525], οὗτοι που σπουδὴν ποιεῖς, [Pl. 399] οὐκ ἔστι πω τὰ πράγματα ἐν τούτῳ· εἰ δὲ πρὸ τριῶν συλλαβῶν ἐστιν ὁ τόνος, ἄτοπον τὴν περισπωμένην ἀναβιβάζειν καὶ ὀξεῖαν ποιεῖν, ὡς ἐν τῷ [Pl. 177] ἕνεκα σοῦ μύθους λέγει, καὶ τοῖς τοιούτοις· χρὴ γὰρ ἀκίνητον τηρεῖν τὴν περισπωμένην, καὶ μὴ διὰ τὸν πρὸς τὴν ἀνάγνωσιν κρότον ἄτοπά τινα καὶ ἀνάρμοστα πάνυ καινοτομεῖν· ἔνθα δὲ ἀνάγκη τίς ἐστι, καὶ οὐκ ἂν ἄλλως ἔχῃ ῥηθῆναι, οὐ καινόν ἐστι καινοτομῆσαί τι· οἷον ἐπὶ τοῦ μέμνηταί μου, καὶ τῶν τοιούτων. ἄνευ δ' ἀνάγκης τοιαῦτα καινοτομεῖν, οὔ μοι δοκεῖ λόγον ἔχειν.]

144. τὸ καλὸν ἐπὶ τοῦ ἐραστοῦ λέγεται, τὸ χάριεν ἐπὶ ἡδονῆς· τὸ δὲ λαμπρὸν ἐπὶ ὄψεως. P.

145. χάριεν : οἱ Ἀττικοὶ πρὸ δύο ἀναπέμπουσι· τὸ δὲ πρὸ μιᾶς κοινὸν χαρίεν. R.V.

146. ἅπαντα τοῦ πλούτου ἐστὶν ὑπήκοα καὶ ὑποτεταγμένα. Ἄλλως. οὐδὲν γὰρ ἐν ἀνθρώποις ἄνευ ἀργυρίου πράττεται. V.

τῷ πλουτεῖν : Τῷ πλούτῳ. *P.*

147. διὰ μικρὸν ἀργυρίδιον : Καλῶς τὸ μικρόν. οὔτε γὰρ πολυτίμητοι οὔτε ἀξιόπιστοι οἱ δοῦλοι. (ἐξηυτέλισε δὲ ἑαυτὸν πρὸς τὸ ἐπιτυχεῖν τοῦ σκοποῦ.) [διαφέρει δὲ ἡ ἔγωγε τῆς ἐγὼ τῷ τὴν μὲν ἔγωγε ἐπὶ ἀρχῆς μόνον τίθεσθαι, καί ἐστιν Ἀττική· τὴν δὲ ἐγὼ καὶ ἐν τῇ ἀρχῇ καὶ μεταξύ, καί ἐστι κοινή. τὸ δὲ ἴσως ἢ διστακτικόν, ἢ ἐπίσης τοῖς ἄλλοις. — τὸ δὲ « γε τοι » ἢ ἀντὶ τοῦ δέ, ἢ ἀντὶ τοῦ γάρ, ὃ καὶ κρεῖττον. εὕρηται δὲ καὶ ἐν πολλοῖς τῶν λογοποιῶν, ὡς ἐξετάζων εὑρήσεις. Λιβάνιος γάρ φησι [Epist. 1044] « σὺ δὲ οὕτω πικρὸς « ὥστε καιροῦ παραπεσόντος ἐτιμωρήσω. Ἰούλιός γε « τοι τῶν μὲν ἄλλων γράμματα ἐκόμισε, παρὰ σοῦ δὲ « σιγῆς αἰτίαν. » Junt.]

148. δοῦλος γεγένημαι : πρότερον ὢν ἐλεύθερος. R.

149. τάς γ' ἑταίρας : Δηλοῖ ὡς ἀπὸ τῆς Λαΐδος· Κορινθία γὰρ ἦν. τὰ δὲ ὀνόματα αὐτῶν Λαΐς, Κυρήνη, Λέαινα, Σινώπη, Μυρρίνη, Σκιώνη. R. τὰς πόρνας· πολλαὶ γὰρ ἐν Κορίνθῳ εἰσὶ πόρναι, Σινώπη, Λαΐς, Κυρήνη, Λέαινα. ἄλλοι δὲ λέγουσιν ἐπισήμους πόρνας ἐν Κορίνθῳ εἶναι. τὸ δὲ πειρῶν ἀντὶ τοῦ πειράζων ἐστὶ καὶ παρακαλῶν. V. πόρνας. Λαΐς, Κύρκη, Λέαινα, Σινώπη, Πυρήνη, Σικιώνη. *P.* ἡ Λαΐς πρώτη ἑταιρὶς ἐν Κορίνθῳ. Dv.

150. πειρῶν : Προσβάλλων ἢ συνουσιάζων. τοῦτο γὰρ δηλοῖ τὸ πειρῶν. R. δοκιμάζων, προσβάλλων. P.

151. οὐδὲ προσέχειν τὸν νοῦν : Οὐ μόνον ὅτι οὐ θέλουσι σὺν αὐτοῖς βιῶσαι, ἀλλ' οὐδὲ προσδιαλέγονται. — προσέχειν τὸν νοῦν : Προσκολλᾶν τοῖς λεγομένοις ἐκείνῳ δηλονότι. P.

152. τὸν πρωκτόν : Ἤγουν εὐθὺς εἰς αὐτὸν τὸν πειρῶντα τρέχειν καὶ περιπλέκεσθαι *P.* τὸν πρωκτὸν αὐτὰς : Πρὸς τὸ ἐρεθίζειν αὐτούς. ἄτοπον δὲ τὴν γυναῖκα τὸ ἔμπροσθεν μόριον ἐπισείειν. σφόδρα δὲ ἄσεμνον τὸ βαδίζουσαν ἐγκρούειν τῷ πρωκτῷ. — πρωκτὸν : Κῶλος. *Dv.*

153. κεκράτητο παρὰ τοῖς παλαιοῖς ἡ τιμωρία τῆς παιδικῆς φύσεως ἀσχημοσύνης. διὸ καὶ οἱ ἐρωτικῶς γεγραφότες περὶ παίδων ἔτυχον διὰ βίου. V.

ἐνταῦθα διασύρει τὴν τῶν Ἀθηναίων διαγωγήν, ὅτι ἦσαν ἀρσενοκοῖται καὶ φαῦλοι. Dv.

154. οὐχ ὅτι ἀγαπῶσιν αὐτούς· ἄπιστοι γάρ εἰσιν. R. V.

155. χρηστοὺς : Οὐ τοὺς σεμνοὺς καὶ ἐπιεικεῖς φασι τοῦτο ποιεῖν, ἀλλὰ τοὺς ἀσελγεῖς, τοὺς ἀναιδῶς τὸ κακὸν πράττοντας. P.

ὅτι ἀρσενικῶς ὁ πόρνος καὶ θηλυκῶς· ζητείσθω δὲ εἰ καὶ οὐδετέρως. (πόρνοι λέγονται οἱ κακὰ βουλευόμενοι κατά τινων ἀνθρώπων, διὰ τὸ πονεῖν αὐτοὺς ποιεῖν οἷς κακά τινα βουλεύονται.) R.V.

156. αἰτοῦσιν : Αἰτοῦμαι τὸ αὐτό, ὥσπερ ποιῶ καὶ ποιοῦμαι· πλὴν ὅτι τὸ μὲν αἰτῶ τὸ ἁπλῶς ζητῶ, τὸ δὲ αἰτοῦμαι τὸ μεθ' ἱκεσίας. Junt.

τί δαί : Σύνδεσμος ἐρωτηματικός· διὰ τὴν ἔκτασιν δὲ διὰ διφθόγγου γράφεται.

157. ἵνα ὁ μὲν ἱππικήν, ὁ δὲ θηρευτικὴν μεταδιώκει. ἀγαθὸν δὲ ἄγαν θέοντα. V..... ἵππου· ὁ δὲ θηρευτικὴν..... διώκῃ. λόγῳ ἑτέρῳ διὰ τὸ αἰτεῖν ἵππον ἢ τοιοῦ-

τόν τι. R. ἀγαθὸν : Ἐπιτήδειον εἰς δρόμον, ἤγουν ἄγαν θέοντα, ἀρετὴ γὰρ ἵππου τοῦτο. P.

158. αἰσχυνόμενοι : Αἰσχύνομαι ἐγὼ ἀμεταβάτως· αἰσχύνω δὲ ἕτερον. Par.

159. ὀνόματι : Ἵππου ἢ ἄλλου τινὸς καλύπτουσι τὴν κακίαν. Dv. ὀνόματι : Τοῦ ἵππου. *P.* (περιπέττουσι : Διὰ τὸ τῷ προσθέτῳ κοσμεῖσθαι κόσμῳ. ὁ αὐτὸς Θεσμοφοριαζούσαις [fr. 310]

ὅσ' ἦν περίεργ' αὐταῖσι τῶν φορημάτων,
ὅσαις τε περιπέττουσιν αὐτὰς προσθέτοις.

μοχθηρίαν δὲ τὴν τοῦ ἀργυρίου ἐπιθυμίαν, ἢ τὴν τῆς αἰτήσεως τοῦ ἀργυρίου. τὸ δὲ περιπέττειν ἤτοι ἀπὸ τοῦ περιπετάσματος εἴρηται, ἢ ἀπὸ μεταφορᾶς τῶν τῇ ζύμῃ τὰ ἅλφιτα περιλαμβανόντων καὶ τούτοις περικαλυπτόντων τινά. ἐκεῖνοι γὰρ τὰ καταλιμπανόμενα ἀφ' ἑκάστου ἄρτου μιγνύντες ποιοῦσιν ἄρτον. φησὶν οὖν ὅτι εἰώθασι καταχρῆσθαι τῷ ὀνόματι τοῦ ἵππου εἰς τὴν μοχθηρίαν.) — Ἄλλως. περιβάλλουσι τὴν μοχθηρίαν, ὡς τὴν φιλαργυρίαν κοσμῆσαι. περικαλύπτουσι καὶ ἀφανίζουσι καὶ διά τινος ὀνόματος περικαλύπτουσι τὴν ἀσέλγειαν. V. δι' ὀνόματος ἑτέρου περικαλύπτουσι τὴν ἐπιθυμίαν τοῦ ἀργυρίου. *Br.* περιπέττουσι : Σκέπουσι. *P.* μοχθηρίαν : Τὴν τοῦ ἀργυρίου ἐπιθυμίαν, τὴν βδελυρίαν καὶ τὴν κακίαν αὐτῶν. *P.*

160. τέχναι δὲ πᾶσαι διὰ σὲ : Οἷον μηχαναί, πλοίων κατασκευαί. — τέχναι λέγονται τὰ τῶν ἀνθρώπων σοφίσματα, οἷον χαλκευτικὴ καὶ τεκτονικὴ, χρυσοχοϊκὴ καὶ ὅσαι ἄλλαι τοιαῦται. τέχνη λέγεται καὶ ἡ μηχανὴ, καὶ ὁ δόλος, ἀφ' ἧς καὶ τεχνάζομαι ἀντὶ τοῦ δολιεύομαι καὶ μηχανῶμαι. σοφίσματα δὲ λέγουσι. Θ. Junt. τὰ διὰ λόγων μαθήματα. — τέχναι λέγονται τὰ τῶν ἀνθρώπων ἐπιτηδεύματα, χαλκευτικὴ, χρυσοχοϊκὴ καὶ ὅσα τὰ τοιαῦτα. τέχνη λέγ. καὶ ἡ μ. κ. ὁ δ. ἀφ' ἧς τεχνάζομαι λέγεται ἀντὶ τοῦ δολιεύομαι καὶ μηχ. σοφίσματα τὰ διὰ λόγων μαθήματα. σοφίσματα ἐφευρέσεις τεχνῶν ἢ εἰδῶν μὴ προϋπαρχόντων. οὐ γὰρ πάντα ἦν εὑρημένα. P. τέχναι : Ἐπιστῆμαι. σοφίσματα : Ὑπὸ σοφίας μηχανήματα. *P.*

161. ἔσθ' εὑρημένα : Τὴν σύνταξιν πρὸς τὸ οὐδέτερον τελευταῖον ἀπέδωκε· λέγω δὴ, τὸ εὑρημένα πρὸς τὸ σοφίσματα. — εἰσὶν ἐπινενοημένα. ἕνεκα τοῦ λαβεῖν τι δηλονότι. *P.*

162. σκυτοτομεῖ : Ἀντὶ τοῦ σκυτοτόμος ἐστὶ, ὁ τέμνων τὰ σκύτη. *P.* ὑποδήματα ῥάπτει. V.

163. χαλκεύει : Χαλκεύς ἐστι. τεκταίνεται : Τέκτων ἐστί. *P.*

164. χρυσοχοεῖ : Χρυσοχόος ἐστὶ, χρυσὸν ἀπὸ σοῦ δεξάμενος. *P.*

165. τὰ ἱμάτια συλῶν· λῶπος γὰρ τὸ ἱμάτιον λέγεται. ὁ δὲ τοιχωρυχεῖ· μειδιασμοῦ ἕνεκα παραπλέκει ἅμα τὰ γελοῖα καὶ τὰ ἀστεῖα. R. λωποδυτεῖ : Κλέπτης ἐστὶ συλῶν τὰ ἱμάτια. τοιχωρυχεῖ : Τοίχους οἴκων διορύττει, τὰ ἐντὸς τούτων ὑφαιρεῖσθαι σπουδάζων. P. τρυπᾷ τοῖχον. *Dv.*

166. κναφεύει : Διαφόρως μὲν διὰ τοῦ κ, διὰ τὴν ἐν τῇ κνήστι ξέσιν. γναφεύει δὲ παρὰ τὴν τοῦ φάρους γνάψιν. Ἄλλως. V. Ἀττικὸν μὲν τὸ διὰ τοῦ κ, κοινὸν δὲ τὸ διὰ τοῦ γ. οἱ παλαιοὶ δὲ Ἀττικοὶ διὰ τοῦ κ παρὰ τὸ κνάφος. ἔστι δὲ ἀκανθῶδές τι, ᾧ ξύουσι τὰ ἱμάτια. οἱ δὲ νεώτεροι διὰ τοῦ γ παρὰ τὴν γνάψιν. (κναφεὺς μὲν παρὰ τὸ κνῶ, ὃ σημαίνει τὸ ξύω. Ὅμηρος [Il. Λ, 638] « ἐπὶ δ' αἴγειον κνῆ τυρὸν κνήστι χαλκείῃ. » γναφεὺς δὲ παρὰ τὴν τοῦ φάρους γνάψιν, ἥτις ἐστὶ παρὰ τὸ γάνος τὸ λαμπρόν.) — κναφεύει : Γναφεύω, τὸ τὰ δέρματα ξέω. γναφεῖον, ὁ τόπος, ὥσπερ κουρεῖον. γνάφαλλα, τὰ ἀποξέσματα. καὶ γναφεὺς, ὁ γνάφων. ἀπὸ τοῦ γνάφω, γναφεύω· ἄρδω, ἀρδεύω. πάντα οἱ Ἀττικοὶ ταῦτα διὰ τοῦ κ γράφουσι. τὸ κναφεύει Ἀττικῶς διὰ τὸ κ. κοινῶς διὰ τὸ γ. κνάφος ἐστὶν ἀκανθῶδες φυτὸν, ᾧ ξύουσι τὰ ἱμάτια. τὸ διὰ τοῦ γ, παρὰ τὴν γνάψιν· τὸ δὲ διὰ τοῦ κ, ἀπὸ τοῦ κνῶ, τὸ ξύω, γίνονται. καὶ Ὅμηρος « ἐπὶ δ' αἴγειον κνῆ τυρόν. » γναφεὺς δὲ παρὰ τὴν τοῦ φάρους γνάψιν, ἥτις ἐστὶ παρὰ τὸ γάνος, τὸ λαμπρόν. C. Ἀττικόν ἐστι τὸ κναφεύειν, ἤγουν πλύνειν, παρὰ τὸ καινὰ φαίνειν τὰ λευκανθέντα. οἱ δὲ νεώτεροι καὶ γναφεύειν γράφουσι, παρὰ τὸ γάνος, τὸ λαμπρόν. Cant. 2. 3. 4. κναφεὺς μὲν ἐπὶ ἱματίων λέγεται· γναφεὺς δὲ ἐπὶ δερμάτων. Taur. κναφεύει : Διὰ τοῦ κνάφου τὰ ἱμάτια καλλωπίζει. ἔστι δὲ κνάφος εἶδος ἀκάνθης. *P.* βάπτει ἢ λευκαίνει. *Dv.* κώδια : Δέρματα. *P.*

167. ἕτερος δὲ τὰς βύρσας ἔψει. λέγονται δὲ βύρσαι τὰ δερμάτια τῶν βοῶν. P.

168. ἁλοὺς : Κρατηθείς. P. (διὰ σέ γε, ὦ Πλοῦτε, ὁ ἁλοὺς γε μοιχὸς παρατίλλεται, ἵνα δοὺς χρυσὸν ἀπολυθῇ. λέγει οὖν, ὅταν ὁ μοιχὸς μὴ ἔχῃ ἀργύριον, διὰ σὲ, ὦ Πλοῦτε, παρατίλλεται. παρατίλλουσι γὰρ ἵνα λάβωσι χρυσὸν καὶ ἀπολυθῶσιν. Ἄλλως.) διασείεται, τὰς τρίχας τοῦ πρωκτοῦ τίλλεται· αὕτη γὰρ ὥριστο δίκη τοῖς μοιχοῖς πένησιν, ἀποραφανίδωσις καὶ παρατιλμοί. οἱ γὰρ πλούσιοι χρήματα παρέχοντες ἀπελύοντο. παρατίλλεται οὖν, φησι, διὰ τὸ ἀπορεῖν σοῦ καὶ μὴ δύνασθαι χρήμασι λυτροῦσθαι (τὴν φυγήν). δημοσίᾳ γὰρ ταῦτα ἔπασχον. — παρατίλλεται : Ἤγουν τὰς περὶ τὸν πρωκτὸν τρίχας ἀφαιρεῖται. . ἤγουν διὰ τὸ μὴ ἔχειν ἀργύριον δοῦναι εἰς ἀπαλλαγὴν, τὰς ὑπογαστρίους παρατίλλεται τρίχας, καὶ τέφραν ζέουσαν περιπάσσεται. P.

170. μέγας δὲ βασιλεὺς : Τὸν τῶν Περσῶν λέγει· [οὕτως γὰρ ἔλεγον] αὐτὸν διὰ τὸ πλείονι δυνάμει χρῆσθαι τῇ Περσικῇ. [κομᾷ δὲ εἶπεν, τουτέστι, σεμνύνεται τῇ περιουσίᾳ τῆς ἀρχῆς, ἀπὸ τῶν μέγα φρονούντων τῇ κόμῃ.]

μέγας βασιλεὺς : Τὸν τῶν Περσῶν βασιλέα, ὡς πάσης τῆς Ἀσίας ἄρχοντα, μέγαν ἐκάλουν. P.

κομᾷ : Ἐπαίρεται, θάλλει. *P.* κομᾷ τις ἀντὶ τοῦ κό-

μην ἔχει. καὶ κομᾷ τις τῷ πλούτῳ, καὶ κομᾷ τις διὰ τὸν πλοῦτον. *P.*

171. ἐκκλησία δὲ : [[Ἵνα πόρον εὕρῃ χρημάτων.]] [ἐκκλησιάζομεν γὰρ ἢ τῶν ἰδίων τι σῶσαι βουλόμενοι, ἢ τῶν ἀλλοτρίων σφετερίσασθαι. διαβάλλει δὲ τὸ ἐπὶ φιλοδικίᾳ τῶν Ἀθηναίων τριώβολον.] — διώβολον γὰρ ἐδίδοτο εἰσιοῦσιν εἰς τὴν ἐκκλησίαν βουλεύεσθαι περὶ πόρων. διαβάλλει δὲ τὸ φιλόδικον τῶν Ἀθηναίων. V.

ἐκκλησία : Ἡ συνέλευσις κριτῶν. *Dv.* ἐκκλησία γίγνεται : Συνάθροισις ἵσταται. *P.* ἐλάμβανον γὰρ οἱ δικάζοντες καθ' ἑσπέραν τριώβολον.

172. τὰς τριήρεις : Οἱ γὰρ εὔποροι τῶν τριηραρχῶν πλείονας ναύτας ἔτρεφον, καὶ διὰ τοῦτο ἐπλήρουν τὰς ναῦς, οἱ δὲ πένητες οὐδαμῶς.

τριήρεις : Τὰς ναῦς τὰς ἐχούσας τρεῖς κώπας, ὅ φασι κοινῶς τριτζέριον. Θ.

πληροῖς : Πεπληρωμένας ναυτῶν δεικνύεις. *P.* ὁ γὰρ τῶν ναυτῶν μισθὸς καὶ τὰ τούτων ἐφόδια ἐκ πλούτου γίνεται. P.

173. τὸ δ' ἐν Κορίνθῳ : (Φασὶ τοὺς Κορινθίους διὰ τὸ τῶν Ἀθηναίων ἐπικρατὲς συμμαχίᾳ κεχρῆσθαι τῇ ξενικῇ δυνάμει. ἦν δὲ καταστήσας ἐν Κορίνθῳ τοὺς ξένους Κόνων ὁ Ἀθηναίων στρατηγὸς, καθελὼν Λακεδαιμονίους, ὅπως φυλάττοι τὴν ἔφοδον αὐτῶν. Ἄλλως. ὡς τῶν Ἀθηναίων δι' ἑαυτῶν μὴ βουλομένων πολεμεῖν πρὸς Κορινθίους διὰ τὸν κίνδυνον, μισθουμένων δὲ ξένους εἰς τὸν πόλεμον καὶ τρεφόντων αὐτούς. τοῦτο δὲ ἐν τοῖς πολλοῖς τῶν πολέμων διεπράττοντο. Ἄλλως. ὡς ἀεὶ ξενικόν τι ἐχόντων Κορινθίων, καὶ οὐχ ὡς ἔνιοι κατὰ τὸν χρόνον τοῦτον· δῆλον δὲ ἐκ τοῦ ἐν δευτέρῳ φέρεσθαι, ὃς ἔσχατος ἐδιδάχθη ὑπ' αὐτοῦ εἰκοστῷ ἔτει ὕστερον· εἰ μὴ, ὅπερ εἰκὸς, ἐκ τοῦ δευτέρου Πλούτου τοῦτο μετενήνεκται. ἐκεῖ γὰρ ὀρθῶς ἔχει. ἤδη γὰρ ὁ Κορινθιακὸς πόλεμος συνέστη τρισὶν ἢ τέτρασιν ἔτεσι πρότερον τοῦ Ἀντιπάτρου, ἐφ' οὗ ἐδιδάχθη, καὶ τὸ συμμαχικὸν ἐπανήθροιστο ἐν Κορίνθῳ· τὸ δὲ Λακεδαιμόνιον ἐν Σικυῶνι. Ἄλλως. μετὰ τὸν πόλεμον τὸν Πελοποννησιακὸν καὶ αὐτοὶ οἱ σύμμαχοι τῶν Λακεδαιμονίων συνεκρότησαν πόλεμον κατ' αὐτῶν· συνέλαβον δὲ αὐτοῖς Ἀθηναῖοι, καὶ ἔσχον τὴν Κόρινθον ὁρμητήριον, εἰς ἣν ἔπεμψαν ξενικὸν στράτευμα, καὶ αὐτοὶ ἕτερον αὐτό. τοῦ δὲ στρατεύματος ἦρχεν Ἰφικράτης ὁ στρατηγός.) — Ἄλλως. τούτου καὶ Δημοσθένης ἐν α' Φιλιππικῶν [p. 46, 19] μέμνηται « ὅτι καὶ πρότερόν ποτ' « ἀκούω ξενικὸν τρέφειν ἐν Κορίνθῳ τὴν πόλιν, οὗ Πο« λύστρατος ἡγεῖτο καὶ Ἰφικράτης καὶ Χαβρίας καὶ « ἄλλοι τινὲς, καὶ ὑμᾶς αὐτοὺς συστρατεύεσθαι· καὶ « οἶδα ἀκούων ὅτι Λακεδαιμονίους παρατατόμενοι μεθ' « ὑμῶν ἐνίκων οὗτοι οἱ ξένοι καὶ ὑμεῖς μετ' αὐτῶν. » V. τινὲς δέ φασι Κορινθίοις ἀδικουμένοις ὑπὸ Λακεδαιμονίων συμμάχους πέμψαι Ἀθηναίους, οὓς ἔτρεφον Κορίνθιοι. [[Ἄλλως. διπλῶς ᾄδεται ἡ ἱστορία· ἢ ὅτι Κορίνθιοι Λακεδαιμονίους ὑφορώμενοι ἐμισθοῦντό τινας τῶν Ἀθηναίων εἰς τὴν αὐτῶν φυλακήν· ἢ Ἀθηναίους ἐφοβοῦντο, ἵνα μὴ ὑπ' αὐτῶν δουλαγωγηθεῖεν, καὶ διὰ τοῦτο ξένους τινὰς ἐν Κορίνθῳ ἔτρεφον, ἀσφαλείας ἕνεκα.]] — ξενικὸν : Τὸ ἀπὸ ξένης ἐλθὸν, στράτευμα δηλονότι. *P.*

174. ὁ Πάμφιλος δὲ : [Ὁ Πάμφιλος οὗτος καὶ ὁ Βελονοπώλης ἀμφότεροι δανεισταὶ Ἀθήνησιν. ἀντὶ τοῦ εἰπεῖν πλουτοῦσιν εἶπεν οὐχὶ κλαύσονται;] [[ὁ Πάμφιλος δὲ δημαγωγὸς ἦν καὶ ἔκλεπτε τὰ τοῦ δήμου, ὡς καὶ Πλάτων φησὶν Ἀμφιαράῳ « καὶ νὴ Δί' εἰ Πάμφιλόν γε « φαίης κλέπτειν τὰ κοινὰ, ἅμα τε συκοφαντεῖν. » οὗτος οὖν ἁλοὺς ἐπὶ κλοπῇ τῶν δημοσίων χρημάτων, ἀθρόως ἐξέπεσε δημευθείς, ταύτην δίκην πεπονθώς.]] τινὲς δὲ τὸν Βελονοπώλην παράσιτόν φασι τοῦ Παμφίλου· δυστυχοῦντος οὖν τοῦ Παμφίλου ἀνάγκη καὶ αὐτὸν συνδυστυχεῖν. — Πάμφιλος, ὅστις γεγένηται κλέπτης τῶν δημοσίων, οὐσίαν ἐδημεύθη. ἐκ τούτων δὲ ἐσπουδακότα πλουτεῖν κλαύσεσθαί φησιν ἁλόντα ἐπὶ κλοπῇ δημοσίων. κωμῳδεῖται δὲ καὶ ὡς δειλός. Ἄλλως. δημαγωγὸς ἦν καὶ κλέπτης τῶν τοῦ δήμου. ὁ δὲ Ἀγύρριος ἐπὶ μαλακίᾳ διαβάλλεται καὶ εἰς θρασύτητα κωμῳδεῖται. V. Πάμφιλος : Κλέπτης. κλαύσεται : Κλαύσει καὶ τιμωρηθήσεται. *P.*

ὁ Πάμφιλος δημαγωγὸς ἦν ἐν Ἀθήναις, καὶ ἐνοσφίζετό τινα τῶν δημοσίων χρημάτων. ἐπεὶ οὖν ἔμελλε φωραθήσεσθαι καὶ δώσειν δίκην ὡς κεκλοφὼς τὰ δημόσια, κωμῳδεῖ αὐτόν. εἶχε οὗτος ὁ Πάμφιλος καί τινα κόλακα παράσιτον βελονοπώλην καλούμενον, ὃς ἔμελλε παραπολαύσειν τῷ Παμφίλῳ τῶν κακῶν. P.

175. Ἀριστόξενος ἐλέγετο παράσιτος. οὗτος πρότερον βελονοπωλῶν, ὕστερον δὲ πεπλούτηκε καὶ ἀλαζονευόμενος. εὑρέθη δὲ καὶ οὗτος μετὰ τοῦ Παμφίλου κλέπτων. ὁ τὰς βελονοθήκας πωλῶν. V. παράσιτος τοῦ Παμφίλου. *P.*

176. Ἀγύρριος δὲ : Οὗτος πλούσιος ὢν πολλὰ πάνυ ἤσθιε. παρέπεται δὲ καὶ τοῖς τρυφῶσι καὶ πολλὰ ἐσθίουσι τὸ πέρδεσθαι. ἢ ὡς εὐρύπρωκτον αὐτὸν, ἢ ὡς τοῦτο ποιοῦντα αὐτὸν ὅτε πασχητιᾷ. V. [Ἀθηναῖος οὗτος ἐπὶ μαλακίᾳ τοσοῦτον διαβάλλεται, ὡς καὶ πορδὰς ἀφιέναι. καὶ εἰς θρασύτητα δὲ τὸν Ἀγύρριον κωμῳδοῦσι. πέρδεται δὲ, στρηνιᾷ πλουτῶν, ἐπεὶ τοῖς πολυφάγοις παρέπεται τὸ πέρδεσθαι.] — Ἀγύρριος πένης ὢν καὶ μὴ ἔχων ὅθεν τὸν βίον πορίζεσθαι, ἐκορδάκιζέ τε καὶ ἔπερδε, καὶ ἕτερα αἰσχρὰ ἐποίει, ἵνα λάβοι ἀργύριον. ἢ τοῦτο λέγει, ὅτι πορνευόμενος τοῦτο ἐποίει. P. πέρδεται : Κλάνει. *Dv.*

177. Φιλέψιος : Οὗτος πένης (ὢν λέγων ἱστορίας ἐτρέφετο). τερατώδης δὲ καὶ λάλος διαβάλλεται, [[ὡς ὁ Πλάτων ὁ κωμικός]]. — Ἄλλως. οὗτος ὡς λάλος καὶ πονηρὸς κωμῳδεῖται. λαλῶν δὲ ἱστορίας καὶ μύθους καὶ παίγνια οὕτως ἐτρέφετο. V. μύθους λέγει : Ἱστορίας πλάττει, μυθοπλαστεῖ. *P.* Φιλέψιος καὶ οὗτος πένης ἦν, συντιθεὶς οὖν μύθους χαρίεντας, ἔθαλε τοὺς ἀκούοντας καὶ οὕτω τὴν τροφὴν αὐτῷ ἐπορίζετο. P.

178. ἡ ξυμμαχία : Ἐπὶ Ἀμάσιδος Αἰγυπτίων βασι-

λέως ἐν σιτοδείᾳ ὄντες οἱ Ἀθηναῖοι ἔπεμψαν πρὸς αὐτὸν αἰτοῦντες σῖτον· καὶ ἔπεμψεν αὐτοῖς ἱκανόν. ἐκ τούτου Ἀθηναῖοι ἔπεμψαν τοῖς Αἰγυπτίοις συμμαχίαν εἰς τὸν πρὸς Πέρσας πόλεμον, καὶ εἶχον φιλίαν καὶ συμμαχίαν πρὸς ἀλλήλους. ὕστερον μέντοι ἐλύθη, καὶ συνεμάχησαν οἱ Ἀθηναῖοι τοῖς βασιλέως στρατηγοῖς κατὰ τῶν Αἰγυπτίων Ἰφικράτους ἡγουμένου. [ἦσαν γὰρ ἄμφω αὐτοῖς φίλοι. διὸ καὶ Ψαμμίτιχος λέγεται πέμψαι πυρῶν μυριάδας τρεῖς. Ἄλλως. Ψαμμίτιχος χαλεπὸς Αἰγυπτίων τύραννος καὶ σκαιότατος, Βούσιριν ὑπερηκοντικῶς, οὗ καταψηφισάμενοι οἱ ἀρχόμενοι πρεσβεύουσι πρὸς Ἀθηναίους, διὰ σίτου ἀποπομπῆς ἀμοιβαῖον αἰτοῦντες, καὶ ἀμείλικτον ἄρχοντα τοῦτον ἐκβαλόντες. Ἄλλως. ὅτε Ξέρξης ἐπ' Αἰγυπτίους ἐστρατεύετο, οἱ Ἀθηναῖοι συμμαχίαν αὐτοῖς ἀπέστειλαν.] — ὁ Ξέρξης ἐπ' Αἰγυπτίους ἐστράτευσεν, οἱ δὲ Ἀθηναῖοι συνεμάχησαν αὐτοῖς. Ἄλλως. Καμβύσης βασιλεὺς τῶν Αἰγυπτίων· τούτῳ Ψαμμίτιχος πόλεμον συνεκρότησεν, Αἰγύπτιοι δὲ ἔπεμψαν πρὸς Ἀθηναίους καὶ εἰλήφασι συμμαχίαν. σίτου δὲ ἔπεμψε τοῖς Ἀθηναίοις μυριάδας τριάκοντα. V. [Ἄλλως. Ἰνάρως ὁ τῶν Αἰγυπτίων βασιλεὺς ἀπέστησε τοῦ βασιλέως Ξέρξου μοῖράν τινα τῆς Αἰγύπτου, καὶ χρήματα πέμψας (τοῖς Ἀθηναίοις ἔλαβε συμμάχους. Junt.), οἵτινες καὶ διαπεράσαντες εἰς τὴν Αἴγυπτον, καὶ ἔν τινι τῶν τοῦ Νείλου στομάτων ἀναπλεύσαντες, προσέσχον τοῖς ἕλεσι. Μεγάβαζος δὲ ὁ τοῦ βασιλέως Περσῶν στρατηγὸς τὸν ποταμὸν διακόψας καὶ ἀλλαχόσε τρέψας εἶλεν ἐκείνους ἐπὶ ξηρᾶς καὶ ἀπέκτεινεν.] — διὰ σὲ : Ἐγένετο δηλ. *Par.*

179. ἐρᾷ δὲ Λαΐς : [Ὅτι Ἀριστοφάνης οὐ λέγει σύμφωνα κατὰ τοὺς χρόνους· ληφθῆναι γάρ φασιν αὐτὴν ἐν Σικελίᾳ πολιχνίου τινὸς ἁλόντος ὑπὸ Νικίου ἑπτέτιν· ὠνηθῆναι δὲ ὑπὸ Κορινθίου τινὸς καὶ πεμφθῆναι δῶρον τῇ γυναικὶ εἰς Κόρινθον.*** ἵνα δὴ ἐπὶ Χαβρίου τὶς ταῦτα γενέσθαι δῷ, ὅτε εὖ ἔπραττον Ἀθηναῖοι ἐν] Σικελίᾳ. ἔστι δὲ ἕως Διοκλέους ἔτη ιδ', ὥστε ἄλογον διὰ ὀνόματος αὐτὴν ἐπαίρειν. ἐμφαίνει δὲ καὶ Πλάτων ἐν τῷ Φάωνι ἑπτακαιδεκάτῳ ἔτει ὕστερον διδαχθέντι ἐπὶ Φιλοκλέους, ὡς μηκέτι αὐτῆς οὔσης. δύναται μέντοι καὶ αὐτῆς ζώσης λέγεσθαι. Φιλωνίδην δὲ οὐ τὸν ποιητήν φησι τὸν ἐν τοῖς Ἀριστοφανείοις ἐγγεγραμμένον δράμασιν, ὡς οἱ περὶ Καλλίστρατον ἐν τῇ ὁμωνυμίᾳ πλανηθέντες· ἀλλὰ παιδιᾶς ἕνεκεν τὸν αἴσχιστον καὶ ἀπαίδευτον. κωμῳδεῖται δὲ ὡς εὔπορος καὶ ὡς μέγας τῷ σώματι καὶ ἡλίθιος. Νικοχάρης Γαλατείᾳ·

τί δῆτ' ἀπαιδευτότερος εἶ Φιλωνίδου
τοῦ Μελιτέως;

περὶ δὲ τοῦ μεγέθους Φιλύλλιός φησιν

ἥτις κάμηλος ἔτεκε τὸν Φιλωνίδην.

καὶ Πλάτων δὲ Λαΐῳ φησὶν

οὐχ ὁρᾷς, ὅτι
Φιλωνίδην που τέτοκεν ἡ μήτηρ ὄνον
τὸν Μελιτέα κοὐκ ἔπαθεν οὐδέν;

καὶ Θεόπομπος Ἀφροδισίοις

ὄνος μὲν ὠγκᾶθ' ὁ Μελιτεὺς Φιλωνίδης·
ὄνῳ μιγείσης μητρὸς ἔβλαστε τῇ πόλει.

δόξειε δ' ἂν ἐρᾶσθαι τῆς Λαΐδος ἐκείνης ὑπαγομένης αὐτόν. οὐ γὰρ ἐκείνου ἠράσθη Λαΐς, ἢ Διογένης ὁ φιλόσοφος ἐπιγράφει τῆς Ἑλληνικῆς ἀκρασίας τὸ τρόπαιον.] Φιλωνίδης οὗτος πλούσιος ἐν Κορίνθῳ. τούτου δὲ προσεποιεῖτο ἐρᾶν διὰ τὸν πλοῦτον Λαΐς. αὕτη δὲ θυγάτηρ ἦν Τιμάνδρας, ἥτις ἐξ Ὑκκάρων τῆς Σικελίας ἦν. [ταύτην δὲ Φιλοξένῳ τῷ διθυραμβοποιῷ δέδωκε Διονύσιος ὁ ἐν Σικελίᾳ τύραννος. εἰς Κόρινθον οὖν ἦλθεν ἅμα Φιλοξένῳ, καὶ ἐπίσημος ἐκεῖ ἐγένετο, καὶ ἐφιλήθη ὑπὸ πάντων, καὶ περιβόητος ἦν ἑταιρίς. λέγουσι δὲ ὅτι ἅμα Ἀλεξάνδρῳ ἀπεδήμησεν εἰς Πέρσας ἐκ Κορίνθου. ἡ δὲ Λαΐς ἐπισημοτέρα γέγονε τῆς μητρὸς ἐν Κορίνθῳ. ὕστερον δὲ καὶ αὐτὴ ἀπεδήμησεν εἰς Θεσσαλίαν, ἔνθα Εὐρυλόχου τινὸς ἡ Ἀριστονίκου ἠράσθη, παρ' ᾧ καὶ ἐβίωσε τὸν λοιπὸν χρόνον. αὐτῆς δὲ πολλοὶ τῶν Θετταλῶν ἠράσθησαν, καὶ τῷ ἔρωτι τὰ πρόθυρα αὐτῆς οἴνῳ ἔρραινον. καὶ φασὶν, ὅτι ζηλοτυποῦσαι αἱ Θετταλαὶ γυναῖκες ἐφόνευσαν αὐτὴν ξυλίναις χελώναις τύπτουσαι ἐν τῷ ἱερῷ τῆς Ἀφροδίτης, πανηγύρεως οὔσης, ἐν ᾗ ἄνδρες οὐ παρεγίνοντο. διὸ τούτου ἕνεκα λοιμὸς κατέλαβε τὴν Θετταλίαν, ἕως ὕστερον ἱερὸν ἐποίησαν ἀνοσίας Ἀφροδίτης, ἐπειδὴ αἱ γυναῖκες ἐν τῷ ἱερῷ ἀνόσιον τετολμήκασι φόνον.]

ἐρᾷ : Ἔρωτα ἔχει. *P.*

Φιλωνίδου : Φιλωνίδης ἀνήρ τις ἦν πλούσιος, οὗτινος ἀμόρφου ὄντος, διὰ τὰ χρήματα ἐρᾷ Λαΐς αὐτοῦ, ἡ ἐν Κορίνθῳ ἀδομένη πόρνη. P.

180. ὁ Τιμοθέου δὲ πύργος : (Οὕτος εἰς τοσοῦτον ἦρθη τύχης, ὥστε καὶ ἐν ὄψει τούτῳ τὴν δαίμονα φαίνεσθαι. κατασκευάσας δὲ πύργον οὐκ ἀπὸ τύχης ἔφη κατεσκευακέναι, ἀλλ' ἀπ' ἀνδρείας. ὀργισθεῖσα δὲ ἡ τύχη πέννητα αὐτὸν ἐποίησεν. οὐκ εἴασε δὲ εἰπεῖν, διὰ τὸν πλοῦτον ἐγένετο, ἀλλ' ἐπήγαγε παρ' ὑπόνοιαν ἐμπέσοι γέ σοι. Ἄλλως.) ὁ Τιμόθεος πλούσιος, ἅμα δὲ καὶ ὄλβιος ἀνήρ, στρατηγὸς Ἀθηναίων, τεῖχος οἰκοδομήσας εἰς τοσοῦτον ἦρθη τύχης, ὡς τὴν δαίμονα φαίνεσθαι ἐκ ὄψει τούτῳ. καὶ ἐν Ἀθήναις δὲ ἐν εἰκόσιν ἐποίουν αὐτὸν κοιμώμενον οἱ ζωγράφοι, καὶ τὰς τύχας φερούσας αὐτῷ (εἰς δίκτυα πόλεις καὶ πορθοῦντα αὐτὰς, αἰνιττόμενοι) τὴν εὐδαιμονίαν (αὐτοῦ. ἀλαζονευόμενος δὲ ἐπὶ τῇ εὐτυχίᾳ ὁ Τιμόθεος ἔφη μᾶλλον αὐτοῦ εἶναι ἢ τῆς τύχης τὰ πραττόμενα. διὸ καὶ ἠτύχηκεν ὕστερον, νεμεσησάσης αὐτῷ τῆς Τύχης. πολλοὶ δὲ Τιμόθεοι κωμῳδοῦνται· νῦν δὲ τοῦ στραγηγοῦ μέμνηται, ὃς ὑψηλὸν πάνυ πύργον ἐποίησεν ὡς πλούσιος.)

ὁ Τιμοθέου δὲ πύργος : Οὐκ ἐγένετο διὰ σέ. *Dv. P.*

ὁ Τιμόθεος στρατηγὸς ἦν Ἀθηναίων, ὃς εἰς τοσοῦτον ἦλθε τῆς τύχης, ὥστε οἱ ζωγράφοι, αἰνιττόμενοι αὐτοῦ τὴν εὐδαιμονίαν, ἐν δικτύῳ ἐζωγράφησαν φέρειν

αὐτὸν τὰς πόλεις. ἀλαζονευσάμενος δὲ ὕστερον ἠτύχησε. ἐποίησε δὲ πύργον πολυτελέστατον ἐν Ἀθήναις. P.

ἐμπέσοι γέ σοι : Παρ' ὑπόνοιαν τοῦτό φησι, δέον εἰπεῖν θαυμαστὸς καὶ μέγας. — ἐμπέσοι : Τοῦτο παρ' ὑπόνοιαν. *Dv.* ἀντὶ τοῦ· εἴθε ἐπάνω σοῦ πεσεῖται. σχῆμα παρ' ὑπόνοιαν. P.

181. αἱ πράξεις πᾶσαι... ἐνεργοῦνται. *P.*

182. μονώτατος γὰρ εἶ σὺ : Λυκοῦργος κατὰ Λεωκράτους [p. 159, 3] « τοιγαροῦν μονώτατοι ἐπώνυμοι τῆς χώρας εἰσί. » Junt. ὡς αὐτότατος πέπαικται. R. αἴτιος : Πρόξενος, πάροχος. *P.*

183. διὰ σὲ ἡ κλοπὴ καὶ τὰ λοιπά· διὰ σὲ καὶ τὰ κάλλιστα ἐν τοῖς ἀνθρώποις. Dv. καὶ τῶν καλῶν : Καλὸς ἐπὶ τῷ σώματι, ἀγαθὸς ἐπὶ ψυχῇ. Borg.

184. κρατοῦσι γοῦν : [Χρήμασι γὰρ ἐπισπῶνται συμμάχους καὶ περιγίνονται.] — οἱ γὰρ πλούσιοι φέροντες χρήματα καὶ παρέχοντες ἐπισπῶνται βοήθειαν καὶ νικῶσι. V. ἄρχουσι. *Dv.* νικῶσι. *P.* (τὸ ἑκάστοτε) ἀντὶ τοῦ ἀεί· οὐ γὰρ λέγεται πάντοτε. R.V.

185. ἐπικαθέζηται : Ἀπὸ μεταφορᾶς τῶν ζυγῶν· ἐπικαθέζεσθαι γὰρ τὸ βαροῦν λέγομεν. — ἐνυπάρχει. *P.*

186. τοσαῦτα : Ὅσα λέγεται. *P.*

187. ναὶ μὰ Δία : Ὅτι καὶ ἐπὶ κατωμοτικοῦ τὸ μὰ Δία, ὅταν αὐτοῦ προτάσσηται τὸ ναί.

188. ὥστ' οὐδὲ τῶν ἄλλων, φησί, πάντων ἡμῖν ἐστι κόρος, τοῦ πλούτου δὲ οὐδαμῶς. ἂν γάρ τις κτήσηται δέκα, θέλει ποιῆσαι δεκαπέντε. V. μεστός : Κεχορτασμένος. *Dv.* πεπληρωμένος. *P.*

189. τῶν μὲν γὰρ ἄλλων ἐστὶ : Παρὰ τὸ Ὁμηρικὸν [Il. N, 636]

πάντων μὲν κόρος ἐστὶ καὶ ὕπνου καὶ φιλότητος.

ἄλλων : Πραγμάτων ὑπάρχει πλήρωσις, κόρος. *P.* πλησμονή : Χορτασία. *Dv.*

190. ἔρωτος : (Ὁ δοῦλος λέγει) τὰ πρὸς τὴν γαστέρα, πρὸς τὸ θυμῆρες τῆς κωμῳδίας τοῖς [ὑπὸ τοῦ δεσπότου λεγομένοις] σπουδαίοις ταῦτα παραπλέξας. — ὅρα πῶς ὁ δεσπότης τὰ πρέποντα αὐτῷ λέγει, ὁ δοῦλος τὰ συμφέροντα αὐτῷ. *Dv.*

τραγημάτων : Τὰ μετὰ τὴν εὐωχίαν τῇ τραπέζῃ τιθέμενα καλοῦσι τραγήματα· ὅθεν καὶ παροιμία, ἐκ τραγημάτων τὴν εὐωχίαν· λέγεται δὲ ἡ παροιμία ἐπὶ τῶν ἀπὸ τῶν ἡττόνων τὰ μείζω θαυμαζόντων. Junt. τρωγαλίων. *P.*

191. πλακούντων : Χλανιδίων. Θ. *P.* ἀνδραγαθίας : Τροπαιουχίας. *P.*

192. φιλοτιμίας : Δόξης, ἐπιδείξεως. μάζης : Ἄρτου μὴ ὄντος ἄζου. στρατηγίας : Ἡγεμονίας στρατοῦ. *P.*

φακῆς : Φακῆ θηλυκῶς ἡ ἑψηθεῖσα, ἀρσενικῶς δὲ ὁ ἀνέψητος. [περισπᾶται δὲ, ὥσπερ συκῆ, ἀμυγδαλῆ, καὶ τὰ τοιαῦτα. Θεόκριτος [10, 54]

κάλλιον, ὦ 'πιμελητὰ φιλάργυρε, τὸν φακὸν ἑψεῖν.]

193. μεστός : Πεπληρωμένος. V.

194. τάλαντα : Ἰστέον, ὅτι ἡ δραχμὴ ἓξ ὀβολοί εἰσιν· ἡ δὲ μνᾶ ἑκατὸν δραχμαί· τὸ δὲ τάλαντον ὀγδοήκοντα μναῖ. καὶ ὁ στατὴρ τὶ νόμισμα. Dv. τάλαντον λέγεται τὸ ἀπὸ θεοῦ δωρηθέν τινι δῶρον, ἤγουν ἡ σοφία, ἢ πλοῦτος, ἢ ἄλλο τι τοιοῦτον. λέγεται τάλαντον καὶ τὸ νόμισμα. λέγεται τάλαντον καὶ σταθμὸς χρυσοῦ πεποσωμένος. P.

195. [ἑκκαίδεκα : Οἱ γράφοντες ἑξκαίδεκα, καὶ φάσκοντες οὕτω κάλλιον γράφειν, ἐπεὶ οὐκ ἔστιν ἐξ πρόθεσις, ἵνα συμφώνου ἐπαγομένου ἐκ γένηται, οὐ καλῶς, οἶμαι, λέγουσι· καὶ δῆλον ἀπό τε τοῦ ἕκτου καὶ τοῦ ἑκτός, καὶ ἀπὸ τοῦ ἑκτικοῦ λεγομένου πυρετοῦ· οὐ γὰρ μόνον ἐν τῇ προθέσει τὸ ξ τρέπεται, ἀλλὰ καὶ ἐν ἑτέροις, ὡς δηλοῖ τὰ εἰρημένα· τὸ γὰρ ἑκτικὸν ἐκ τῆς ἕξεως γέγονε, καὶ τὸ ἑκτὸς ἐκ τοῦ ἕξω, καὶ τὸ ἕκτον ἀπὸ τοῦ ἕξ.]

196. ἀνύσῃ : Ἀναπληρώσῃ. *Dv.* εἰς τέλος ἀγάγῃ ἢ λάβῃ. βούλεται : Λαβεῖν. *P.*

197. ἤ φησιν : Εἰ μὴ λάβοι. *P.* βιωτὸν : Βιώσιμον τὴν ζωήν. P. οὐκ εἶναι βιώσιμον, ἄξιον ζωῆς. Dv. εἰ μὴ λάβῃ, λέγει μὴ εἶναι αὐτῷ τὸ ζῆν ἡδύ. V.

198. ἀντὶ τοῦ δέ. R.V. φαίνεσθον : Τοῦ Χρεμύλου εἰπόντος μόνου, δυϊκὼς ὁ Πλοῦτος ἴσως εἶπεν, ὅτι Ἀττικὸν ἔθος ἐστί. Ἄλλως. ἀντὶ τῆς ἑνικῆς πτώσεως ἐπήγαγεν, ὅτι ἡ σύνταξις Ἀττική. V. φαίνεσθον : Δοκεῖτε. πάνυ : Σύναπτε τοῦτο πρὸς τὸ εὖ. *P.*

199. [πλὴν ἓν μόνον δέδοικα : Τυφλὸς γὰρ ὢν οὐ δύναμαι ἐπελθεῖν, εἰ καί μοι τοσαύτη δύναμίς ἐστι. δέον οὖν ἐστιν ἀναβλέψαι με. — καὶ δέδοικα μὲν ἐγὼ ἀμεταβάτως, δεδίττω δὲ ἕτερον πρὸς αἰτιατικὴν συντασσόμενον. Junt. τοῦ πέρι : Ἀντὶ τοῦ ἕνεκεν τίνος δέδοικας; *P.*]

200. ὅπως : Ἀντὶ τοῦ πῶς. δύναμιν : Ἰσχύν. *P.* δέδοικα ἔχων δὴ τὴν δύναμιν, ἣν ὑμεῖς φατὲ ἔχειν με, πῶς γενήσομαι ταύτης κύριος. μεγάλη γάρ τίς ἐστι καὶ δυσκόλως ἄν τις κτήσαιτο ταύτην ἐξουσιαστικῶς. τοῦτο δέδοικα, ὅπως, ἤγουν πῶς, γενήσομαι δεσπότης τῆς δυνάμεως ταύτης ἣν ὑμεῖς φατέ. Br.

201. δεσπότης : Ἐγκρατής. V. κύριος. *P.*

202. νὴ τὸν Δί', ἀλλὰ καὶ λέγουσιν : Οὐ σὺ μόνος λέγεις σαυτὸν δειλόν, ἀλλὰ καὶ πάντες. τοῦτο δὲ εἶπεν, ἐπειδὴ ὁ Πλοῦτος εἶπεν, πλὴν ἓν μόνον δέδοικα. [τὸ δὲ νὴ τὸν Δία κατωμοτικῶς] ἀντὶ τοῦ ἔσῃ κύριος τῆς δυνάμεως. — οὐ μόνον σὺ λέγεις δῆλον, ὅτι δειλὸς εἶ, ἀλλὰ πάντες. P.

203. (δειλότατον ἔσθ' ὁ πλοῦτος : Ἐπεὶ ἀγωνιᾶν αὐτοῖς ἔδοξεν εἰ δύναται τὴν δύναμιν ἣν φασιν αὐτὸν ἔχειν. λέγεται δὲ περὶ τῶν πλουσίων ὅτι δειλοὶ διὰ τὸ ἀγωνιᾶν περὶ τῶν χρημάτων. αἰνίττεται δὲ εἰς Εὐριπίδην· ἐκεῖνος γάρ φησιν [Phœn. 600]

δειλὸν δ' ὁ πλοῦτος καὶ φιλόψυχον κακόν.)

[ἀναφέρεται δὲ ἐπὶ θεὸν ἡ τῶν χρωμένων κατηγορία.]

204. οὕτως οἱ Ἀττικοὶ διπλασιάζουσιν. ἀσφαλίζονται δὲ οἱ πλούσιοι τὰς οἰκίας αὐτῶν. καὶ ὅτι οἱ πλούσιοι

δειλοὶ, μή πως ἀπολέσωσι τὸν πλοῦτον. Ἄλλως. V. περὶ πολλοῦ γὰρ ποιοῦνται τῶν οἰκιῶν τὴν ἀσφάλειαν οἱ πλούσιοι· καί τις τῶν κωμικῶν φησι

τί ποτ' ἐστὶ χλωρὸν, ἀντιβολῶ, τὸ χρυσίον;
δέδοικ' ἐπιβουλευόμενον ὑπὸ πάντων ἀεί.

πρόχλωρον γὰρ δοκεῖ εἶναι. Ἄλλως. οἱ γὰρ εὔποροι τῷ φόβῳ τοῦ μὴ ληφθῆναι τὰ χρήματα δειλότεροι γίνονται. τὸ ἐπ' ἐκείνων οὖν μετήνεγκεν ἐπὶ τὸν Πλοῦτον.

διέβαλ' : Ἐσυκοφάντησεν. *Dv.* διέστρεψεν, διέσυρεν. *P.* εἰσδὺς : Λάθρα ὑπεισελθών· τοῦτο γὰρ τὸ εἰσδὺς σημαίνει. R.V. εἰσελθών. *P.*

206. [ἁπαξάπαντα : Ἀντὶ τοῦ τέλεον. τὸ δὲ ἑξῆς, εἶτα εὑρὼν ἁπαξάπαντα κατακεκλεισμένα.]

207. ἐὰν λάβῃ. διότι ἐπρονοησάμην, ἐκάλεσέ με δειλόν. V. πρόνοιαν : Τὴν πρόγνωσιν, τὴν περὶ ἐμῶν προμήθειαν. *P.* τύχη λέγεται ἐπὶ τῶν συμβαινόντων καλῶν ἢ κακῶν, μηδενὸς βουλευομένου περὶ αὐτῶν· πρόνοια δὲ ἐπὶ θεοῦ, ἀπὸ τοῦ προνοεῖσθαι. P.

208. μελέτω : Φροντὶς ἔστω σοι. ὡς : Ὅτι. *P.*

209. ἀνὴρ πρόθυμος : Ἐὰν προθυμηθῇς καλῶς μετελθεῖν ταῦτα τὰ πράγματα, ὥστε τοῖς μὲν δικαίοις συνεῖναι, τοῖς δὲ πονηροῖς μηδαμῶς. — πρόθυμος : Σπουδαῖος. πράγματα : Ἃ ἡμεῖς βουλόμεθα ποιῆσαι. *Par.*

210. ἀποδείξω : Ἀποφανῶ. ὀξύτερον τοῦ Λυγκέως : (Τοῦ ἀδελφοῦ Ἴδα, ὡς δ' αὐτὸς ἐν Δαναΐσι φησίν, υἱὸς Αἰγύπτου. ἐροῦμεν δ' ἐκεῖ τὰ περὶ αὐτοῦ· ἐπεὶ δοκεῖ παρ' ἱστορίαν λέγειν.) τοσοῦτον δὲ ὀξυωπέστατος ἦν, ὡς καὶ δι' ἐλάτης ἰδεῖν Κάστορα δολοφονήσαντα τὸν ἀδελφὸν, ὥς φησι Πίνδαρος [Nem. I, 115]. [καὶ Ἀπολλώνιος δέ φησι περὶ αὐτοῦ ἐν τοῖς Ἀργοναυτικοῖς [I, 154]

εἰ ἑτεόν γε πέλει, κλέος, ἀνέρα κεῖνον
ῥηϊδίως καὶ νέρθεν ὑπὸ χθονὸς αὐγάζεσθαι.]

(γεγόνασι δὲ Λυγκεῖς διάφοροι· εἷς παῖς Αἰγύπτου· καὶ ἄλλος Ἀφαρέως παῖς, ὁ Λάκων, λέγεται Λυγκεὺς, οὗ μέμνηται καὶ Θεόκριτος ἐν τῷ εἰς Διοσκούρους ὕμνῳ [22, 137],

[τὼ μὲν ἀναρπάξαντε δύω φερέτην Διὸς υἱὰ
δοιὰς Λευκίπποιο κόρας· δοιὼ δ' ἄρα τώγε
ἐσσυμένως ἐδίωκον ἀδελφεὼ υἷ' Ἀφαρῆος
γαμβρὼ μελλογάμω Λυγκεὺς καὶ ὁ καρτερὸς Ἴδας.]

ὃς ἐλέγετο εἶναι πάνυ ὀξυδερκέστατος, ὥστε καὶ τὰ ὑπὸ γῆν ὁρᾶν. οὕτω μὲν μυθολογοῦσι· πρὸς δὲ τὸ πιθανὸν τοῦ λόγου ἐπινενόηται, ὅτι πρῶτος οὗτος εὗρε μέταλλα χρυσοῦ καὶ σιδήρου καὶ τῶν ἄλλων· ἐν δὲ τῇ μεταλλεύσει λύχνους μεταφέρων ὑπὸ τὴν γῆν, τοὺς μὲν κατέλιπεν ἐκεῖσε, αὐτὸς δὲ ἀνέφερε τὸν χαλκὸν καὶ τὸν σίδηρον, καὶ τἀλοιπά· ἔλεγον οὖν οἱ ἄνθρωποι ὅτι Λυγκεὺς καὶ τὰ ὑπὸ γῆν ὁρᾷ καὶ καταδύνων ἀργύριον ἀναφέρει.)

211. τὸ ποιῆσαί με βλέψαι· θεοῦ γὰρ δεῖται τὸ τοιοῦτον ἔργον. *P.* Θ.

212. καλῶς ἐλπίζω. *P.*

213. Πυθικὴν σείσας δάφνην : Φασὶν ὡς πλησίον τοῦ τρίποδος δάφνη ἵστατο, ἣν ἡ Πυθία, ἡνίκα ἐχρησμῴδει, ἔσειεν. Junt. μαντικήν. V. οὕτω γὰρ μαντεύεται. R.V.

214. κἀκεῖνος : Ὁ Ἀπόλλων. R.V. Θ. ξύνοιδε : Συγγινώσκει. φήμ' ἐγώ : Ναί. *P.*

215. ὁρᾶτε : Σκέψασθε. V. μήπως ὁ Ζεὺς ἀκούσας χαλεπήνῃ. μὴ φροντίζετε μηδέν : Μηδενὸς ἔχετε φροντίδα. *P.*

218. χἄτεροι : Καὶ ἕτεροι ἡμῖν. συνίζησις. Θ.

219. οὐκ ἦν ἀλφιτα : Ἀντὶ τοῦ (οὐκ ἦν) χρήματα, ἀπὸ μέρους τὸ πᾶν· ἀπὸ γὰρ τῶν ἀλφίτων τὴν περιουσίαν δηλοῖ. R. Junt. ἢ ἀπὸ τοῦ προηγουμένου τὸ ἑπόμενον. Junt.

220. παπαὶ, πονήρους εἶπας : Τὸ παπαί σχετλιαστικὸν ἐνταῦθα. πονήρους δὲ, ἐπιπόνους, ἀτυχεῖς, ἀθλίους· ἢ τοῦ πόνου φροντίζοντας. ἴσον τῷ ἀσθενεῖς, ἀπράκτους. ὡς φαμὲν, πονήρως ἔχει τὰ πράγματα ἡμῖν. [στικτέον δὲ εἰς τὸ πονήρους· σημαίνει γὰρ νῦν τὸ ἐπιπόνους.] — πονήρους : Γεωργοὺς ἀσθενεῖς. πόνηρον : Γεωργόν. *Dv.* ξυμμάχους : Βοηθούς. *P.*

221. οὐκ, ἤν γε πλουτήσωσιν : Οὐκ ἔσονται, φησὶ, μοχθηροὶ καὶ ἐπίπονοι ἅπαξ πλουτήσαντες. — πλουτῶ ἀμεταβάτως, ἀντὶ τοῦ πλοῦτον ἔχω· καὶ πλουτῶ μεταβατικῶς πρὸς αἰτιατικὴν, οἷον πλουτῶ ἀρετήν· καὶ πλουτῶ μεταβατικῶς πρὸς γενικὴν, ὡς παρὰ Διφίλῳ, « πλουτῶ ῥημάτων, » ἤγουν ἕνεκα τῶν ῥημάτων. Junt. οὐκ : Οὐκ ἀσθενεῖς ἔσονται. πλουτήσωσιν : Πλοῦτον σχῶσι. *P.*

πάλιν : Ὡς καὶ πρώην. Junt.

222. πρὸς τὸν θεράποντά φησι τὸ ἴθι. τοῦτον δὲ ἀποστέλλει τοῦ καλέσαι τοὺς φίλους αὐτοῦ πένητας ὄντας καὶ δικαίους, ὅπως καὶ αὐτοὶ τοῦ πλούτου μεταλάβωσι καὶ μὴ κακῶς τὸν βίον διάγωσι. V. ἀλλ' ἴθι : Τὸ ἴθι ῥῆμα μὲν ὂν μετὰ μέλλοντος μετοχικοῦ συντάσσεται, οἷον, ἴθι ποιήσων τόδε· ἐπίρρημα δὲ παρακελευσματικὸν, ὥσπερ τὸ ἄγε, μετὰ προστακτικοῦ, οἷον, ἴθι ποίησον τόδε. Junt. ἅπιθι πρὸς τὸν θεράποντα φησίν. *P.*

223. τοὺς ξυγγεώργους : (Ξυγγέωργος) βαρυτόνως· σύνθετον γὰρ, ὡς πάγκαλος, πάνσοφος. τὰ γὰρ εἰς ος ὀξύτονα συντιθέμενα βαρύνεται. R. Junt.

224. ταλαιπωρουμένους : (Ταλαιπώρως καὶ δυστυχῶς διακειμένους.) τοῦτο γὰρ εἶπεν διὰ τὸ δύσεργον τῆς Ἀττικῆς· πετρώδης γάρ ἐστιν. R. V. κακοπαθοῦντας. Θ. κοπιῶντας, ταλαιπώρους. *P.*

225. ὅπως : Ἵνα. ἴσον : Κατὰ, ἤγουν ἐπίσης. παρών : Παραγενόμενος. *P.*

226. ἡμῖν μετάσχῃ : Ὥσπερ μεταλαμβάνω τούτου καὶ τοῦτο φαμὲν, οὕτω καὶ τὸ μετέχω διπλῶς συντάσσεται· καὶ ὅτε μέν ἐστι γενικὴ, τὸ μετὰ ἔχει τὴν δύνα-

μιν· ὅτε δὲ αἰτιατικὴ, τὸ ἔχω, ἢ τὸ λαμβάνω. Junt. μετάσχῃ : Κοινωνήσῃ. *P.*

227. καὶ δή : Ἦδη. *P.* τοῦτο τὸ κρεάδιον : Ὃ ἔρχεται ἀπὸ τῆς θυσίας ἔχων ἐκ τῶν Δελφῶν. οἱ γὰρ ἐκ θυσίας ἰόντες, ἔφερον ἐξ αὐτῆς τοῖς οἰκείοις κατὰ νόμον τινά. Ἄλλως. ὅπερ ἦκον ἄγοντες λοιπασθὲν ἀπὸ τῆς θυσίας. ἔνιοι δὲ, τὸ λεβήτιον. — κρεάδιον : Τὴν χύτραν. Θ. *Dv. Br. P.* κρεάδιον τὴν χύτραν λέγει, ἐν ᾗ τὰ κρέα ἕδονται καὶ κατεσθίονται, καὶ δαπανῶνται ἐψόμενα, ἣν ἐν τῇ ὁδῷ ἔφερον χρείας ἕνεκα. P.

228. τῶν ἐξερχομένων ἀπὸ τῆς οἰκίας εἰσαγαγέτω. *P.*

229. ἐμοὶ μελήσει τὸ εἰσενέγκαι, φησὶ, τὸ κρέας. τὸ δὲ ἀνύσας Ἀττικὸν ἀντὶ τοῦ ἄνυσον, σπούδασον. Ἀττικοὶ δὲ δασύνουσιν αὐτό. V. [ἐμοὶ μελήσει : Τοῦ εἰσενέγκαι, φησὶ, τὸ κρεάδιον. τὸ δὲ ἀνύσας ἀντὶ τοῦ ἄνυσον.] — μελήσει : Διὰ φροντίδος ἔσται. ἀνύσας : Σπεύσας. *P.*

230. σὺ δ', ὦ κράτιστε : Τὸ κράτιστε ἤτοι ἐγκωμιάζων φησὶν, ἢ ὅτι προεδίδαξεν, ὡς καὶ θεῶν ὁ Ζεὺς δι' αὐτὸν βασιλεύει. R. V. Θ. Junt. Ἄλλως. παρεπιγραφὴ, ὅτι εἰς τὴν οἰκίαν ἔφθασαν. τοὺς δὲ λόγους πάντας ἐκείνους ἐρχόμενοι ἐν τῇ ὁδῷ ἔλεγον. Junt.

232. δεῖ : Ἐνδέχεται. *P.*

233. καὶ δικαίως κἀδίκως : Τὸ δικαίως ἄλλως προσείρηται ἀντὶ τοῦ πάσῃ τέχνῃ καὶ μηχανῇ καὶ παντὶ τρόπῳ· τὸ δὲ ἀδίκως ἁπλῶς ἔρριπται, οὐκ ἀπειλητικῶς δὲ, ἀλλὰ μειλικτικῶς προσαγγέλλει. ἢ ὅτι γελοίου χάριν, ἢ μεταβληθεὶς τοὺς τρόπους. ἀντὶ τοῦ παντὶ τρόπῳ. οὕτως Ἀττικοί. V. [τὸ ἀδίκως ἁπλῶς ἔρριπται, οἷον πάσῃ τέχνῃ. οὐ γὰρ ὑπόκειται αὐτῷ, ἄδικος οὗτος· οὐκ ἀπειλητικῶς δὲ, ἀλλὰ μειλικτικῶς προσαγγέλλει.] (Ἄλλως.) ἀντὶ τοῦ παντὶ τρόπῳ· οὕτως Ἀττικοί. — παντὶ τρόπῳ. *P. Vict.*

234. ἄχθομαι : Ἀντὶ τοῦ φορτικὸν ἡγοῦμαι. V. βαρύνομαι. εἰσιὼν : Εἰσελθὼν, εἰσερχόμενος. Θ. εἰσερχόμενος. *P.*

235. ὡς τοῦ Πλούτου ἰδίαν διοίκησιν μὴ ἔχοντος. αὐτοῦ δὲ πώποτε ἀντὶ τοῦ αὐτόθι, τοπικὸν ἐπίρρημα. λέγει δὲ αὐτοῦ τοῦ εἰσελθεῖν. V. ἀλλοτρίαν : Ξένην. πάνυ : Τοῦτο πρὸς τὸ ἄχθομαι συναπτέον. *P.* Θ.

236. αὐτοῦ : Τοῦ εἰσέρχεσθαι. Θ. *Dv.* εἰσελθεῖν. *P.* ὥσπερ κατηγορῶ σου τόδε φαμὲν, οὕτω καὶ ἀπολαύω σου τόδε. ἰστέον δὲ ὅτι τὸ πώποτε ποτὲ μὲν τὴν δύναμιν ἔχει τοῦ ποτέ, ποτὲ δὲ, τοῦ πῶς. P.

237. φειδωλὸν : Φειδωλός ἐστιν ὁ φεύγων τὸ δοῦναι, ὁ περίψηφος. τινὲς δὲ παρὰ τὸ φείδομαι καὶ τὸ δοῦναι, (φειδωδός τις ὤν, καὶ τροπῇ τοῦ δ εἰς λ φειδωλός). — φειδωλὸν : Φειδόμενος ἔνθα οὐ δεῖ. *P.* εἰσελθὼν τύχω : Εἰσέλθω. *Vict.*

238. κατώρυξεν : Κατορύξας ἔκρυψεν ἐμέ. *P.* κατέχωσε. *Dv.* κατορύττω τι τὸ φανερὸν κρύπτω. ἀνορύττω δὲ τὸ κρυπτόμενον εἰς φῶς ἕλκω. P.

239. κἄν τις προσέλθῃ χρηστὸς : Ἵνα τὴν ὑπερβολὴν τῆς φιλαργυρίας σημάνῃ προκεκριμένης καὶ τῶν χρηστῶν φίλων.

240. αἰτῶν : Ζητῶν. *P.* ἀργυρίδιον : Ἢ δανείου χάριν ἢ δωρεὰν ἁπλῶς. Θ. *P.*

241. ἔξαρνός ἐστι : Ἀπαρνεῖται. *P.* ἰδεῖν : Βλέψαι. *Vict.*

242. παραπλῆγα : (Ἄφρονα,) μωρὸν, (ἀπὸ τῶν κρουμάτων τῶν διαπεπτωκότων τοῦ ἐναρμονίου λυρισμοῦ). ἀληθῶς γὰρ ἡ ἀσωτία πεπληγμένη ἐστὶ διάνοια. — ἐν κακίᾳ μανικὸν καὶ ἀκόλαστον. Θ. μανικόν. *Dv.*

παραπλὴξ ὁ παραπαίων ἤτοι ὁ μαινόμενος, ὁ παρακεκομμένος τὴν φρόνησιν. καταπλὴξ δὲ ψοφοδεὴς, ὁ δεδοικὼς τὰ πάντα. P.

243. παραβεβλημένος : Ἐκδεδομένος. *P.*

244. θύραζ' : Ἐκτὸς τῆς θύρας. ἐν ἀκαρεῖ : Ὀλίγῳ. Θ. *P.* ἐπ' ὀλίγῳ. R. ἐν ἀκαρεῖ : Ἐν ὀλίγῳ. ἐπίρρημα τὸ ἀκαρεὶ, ἐξ οὗ παρῆκται τὸ ἀκαρὲς ἐπιρρηματικὸν ὄνομα. V. (πεποίηται δὲ παρὰ τὸ ἄτμητον τοῦ χρόνου, ὡς καὶ τῆς κειρομένης τριχός. ἀκαρὲς δὲ τὸ ἄτμητον Ἄλλως.) τῷ ἐλαχίστῳ, ὃ οὐχ οἷόν τε διακεῖραι καὶ διακόψαι διὰ τὸ βραχύτατον τοῦ χρόνου. πεποίηται δὲ ἀπὸ τῶν μικρῶν τριχῶν τῶν διὰ βραχύτητα μὴ δυναμένων καρῆναι. (Ἄλλως. ἐπίρρημα τὸ ἀκαρῶς, ἀφ' οὗ τὸ ἀκαρὲς ἐπιρρηματικὸν ὄνομα. ὅπερ δὲ πάσχουσιν ἐκεῖνοι δι' ἀσωτίαν γυμνούμενοι, τοῦτο εἰς ἑαυτὸν ἐπήγαγε.)

245. μετρίου : Ἐλευθέρου, μέτρον καὶ τάξιν ἔχοντος ἐν τῷ βίῳ. Θ. P. (μετρίου γὰρ ἀνδρὸς : Τουτέστι, ταῦτα πάσχεις, ἐπεὶ οὐδέποτε μετρίου ἀνδρὸς ἐπέτυχες.)

246. τούτου τοῦ τρόπου : Τῆς μετριότητος δηλονότι. πως εἶμ' ἀεί : Εἰμὶ καταπολύ. Θ. *P.* πῶς εἶμ' ἀεί : (Τὸ πῶς θαυμαστικόν ἐστι·) θαυμάζει γὰρ αὐτὸν ὡς ἀεί ποτε σύμμετρον ὄντα. (μετρίου δὲ λέγει ἀνδρὸς, τοῦ διαμετροῦντος ἑαυτὸν τῷ ζῆν.)

247. φειδόμενος : Ἀρετῆς γάρ ἐστι τῷ δέοντι καιρῷ ἁρμοζόμενον καὶ φείδεσθαι καὶ δαπανᾶν. — φειδόμενος : Ἀκριβολογούμενος τῶν χρημάτων. ὡς οὐδεὶς ἀνήρ : Χαίρει. *P.*

248. ἀναλῶν : Ἀντὶ τοῦ δαπανῶν. V. Χαίρω, ἡνίκ' ἂν τοῦ φείδεσθαι χρεία ᾖ. *P.* ἡνίκ' ἂν τούτου δέῃ : Τὸ ἡνίκ' ἂν τούτου δέῃ κοινῶς λάμβανε, καὶ πρὸς τὸ ἀναλῶν, καὶ τὸ φειδόμενος. Junt.

249. ὡς ἰδεῖν σε βούλομαι : (Οὐχ ἵνα ὁ Πλοῦτος ἴδῃ τὴν γυναῖκα καὶ τὸν υἱὸν, τυφλὸς γὰρ ἦν, ἀλλ') ἵνα ἐκεῖνοι τὸν Πλοῦτον ἴδωσιν· οὕτω γὰρ πρέπει. Ἀττικὸν δὲ τὸ πλεονάζειν τοῖς ἄρθροις. — δεῦρο εἰσέλθωμεν. ὡς : Ὅτι. Θ. *P.*

250. μόνον : Μονογενῆ. *P.*

251. ὃν ἐγὼ : Δείκνυσιν, ὡς καὶ τῶν παίδων αὐτῶν πλέον τὸν πλοῦτον φιλοῦσιν οἱ ἄνθρωποι. P. Vict. πείθομαι : Χαριέντως τοῦτό φησιν· οἶδα γὰρ ὅτι καὶ τέκνων προτιμᾷς τὸν πλοῦτον. — ἢ ὅτι σε φιλῶ μάλιστα μετὰ τὸν υἱόν.

252. τί γὰρ ἄν τις : Ἡ κατασκευὴ αὕτη, ἡ τί γὰρ ἄν τις, πρὸς τὸ, ὃν ἐγὼ φιλῶ μάλιστα μετὰ σέ, τὸ δὲ πείθομαι διὰ μέσου τῷ Πλούτῳ εἴρηται. Junt. τί γὰρ ἄν : Διατί. *P.*

253. [ὦ πολλὰ δὴ τῷ δεσπότῃ : Εἴσθεσις διπλῆς ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν ἐννέα πρὸς τοῖς τεσσαράκοντα, ἄχρι τοῦ, « ἐγὼ δὲ τὴν Κίρκην, » ὧν οἱ μὲν μεʹ τετράμετροί εἰσι καταληκτικοί, οἱ δὲ, « βληχώμενοί τε προβατίων, » καὶ, « αἰγῶν τε κιναβρώντων μέλη, » ἔτι δὲ, « ἡγούμενον τοῖς προβατίοις, » καὶ « εἰκῇ δὲ καταβαρθέντα που, » τέσσαρες ὄντες, δίμετροί εἰσιν ἀκατάληκτοι. καὶ τὸ μὲν τετράμετρον Ἱππωνάκτειον καλεῖται, διὰ τὸ κατακόρως αὐτὸν τούτῳ χρήσασθαι. οἷόν ἐστι καὶ τὸ [Hipponactis ap. Hephæst. p. 30] « εἴ μοι γένοιτο παρθένος καλή τε καὶ τέρεινα. » τὸ δὲ δίμετρον Ἀνακρεόντειον, οἷόν ἐστι τὸ, « καὶ μαίνομαι κοὐ μαίνομαι. » ἐφ' ἑκάστῳ συστήματι παράγραφος· ἐπὶ δὲ τῷ τέλει τῶν στίχων διπλῆ ἔξω νενευκυῖα. ἰστέον ὅτι, ὅτε τίθεται ἐν τοῖς ἀμοιβαίοις τῶν ὑποκριτῶν προσώποις ἐν ἐκθέσει κῶλά τινα μετὰ τὴν περίοδον τῶν στίχων τοῦ αὐτοῦ μέτρου ὄντα, ἢ καὶ ἑτέρου (εὕρηται γὰρ καὶ οὕτως) ὁ τοιοῦτος σχηματισμὸς καλεῖται διπλῆ, διὰ τὸ μετὰ τὴν συμπλήρωσιν τούτων τὸ σημεῖον ἐκτὸς τίθεσθαι τῆς διπλῆς· ὅπερ τριγώνου πλαγίου σχήματι ἔοικεν τῆς βάσεως μόνης λιπούσης· μεθ' ἣν οὐδὲ χοροῦ πάροδος ἀεὶ γίνεται, ἀλλὰ σπανίως. ὅτε δὲ οὐ τίθεται κῶλα τοιαῦτα, ἀλλ' ἐν οἷς ἤρξαντο στίχοις, ἐν τούτοις οἱ ὑποκριταὶ παύονται, τὸ τοιοῦτο καλεῖται κορωνίς, διὰ τὸ μετὰ τὴν συμπλήρωσιν τούτων τὸ σημεῖον τῆς κορωνίδος τίθεσθαι· ὅπερ γραμμή τίς ἐστι βραχεῖα, καμπήν τινα ὑποκάτω ἔχουσα· ἧς ἐξῆς ἀεὶ τίθεται κορωνὶς ἑτέρα χοροῦ, ἐπισφραγίζουσα οἷον τὰ ῥηθέντα. ἐν δὲ ταῖς στροφαῖς καὶ ἀντιστροφαῖς καὶ τῇ μεταξὺ τούτων τῶν ὑποκριτῶν περιόδῳ παράγραφος τίθεται, ὡς Ἡφαιστίων φησίν, ἧς τὸ σχῆμα γραμμή τίς ἐστι βραχεῖα, ὥσπερ τινα στιγμὴν ἐν τῷ ἄκρῳ ἔχουσα. ὅλα δέ ἐστι τὰ τοιαῦτα σχήματα καὶ ἐν τῷ βιβλίῳ κείμενα· μεθ' ὧν ἐστι καὶ ὁ ἀστερίσκος, οὗ τὸ σχῆμα ἀστέρι ἔοικεν. Ἡφαιστίων δέ φησιν [p. 133] ὅτι κατὰ τὴν Ἀριστοφάνειον ἔκδοσιν ὁ ἀστερίσκος ἐπὶ ἑτερομετρίας ἐτίθετο μόνης. χρώμεθα δὲ, φησὶ, τῇ κορωνίδι ἐν τοῖς δράμασιν κατὰ τρόπους τρεῖς· ἤτοι ὅταν, τῶν ὑποκριτῶν εἰπόντων τινὰ καὶ ἀπαλλαγέντων, καταλείπηται ὁ χορός· ἢ ἔμπαλιν· ἢ ὅταν μετάβασις ἀπὸ τόπου εἰς τόπον γίνεσθαι δοκῇ τῆς σκηνῆς· τῇ δὲ παραγράφῳ ἤτοι κατὰ πρόσωπα ἀμοιβαῖα, ἔν τε τοῖς ἰαμβικοῖς καὶ τοῖς χορικοῖς, μεταξὺ τῆς τε στροφῆς καὶ τῆς ἀντιστρόφου. ἐὰν μέντοι ἡ στροφὴ ἐξ ἀμοιβαίων τυγχάνῃ συγκειμένη, οὐκ ἐξαρκεῖ πρὸς τὸ δηλῶσαι, ὅτι πεπλήρωται ἡ στροφὴ, ἡ παράγραφος, ἐπιφερομένης ἄλλης στροφῆς, ἐπεὶ καὶ ἐφ' ἑκάστου κώλου οὐδὲν ἧττον τίθεται· ἀλλὰ κεῖται καὶ ἡ ἔσω νενευκυῖα διπλῆ· τοῦτο δὲ, ἐὰν ἀντίστροφος ἐπιφέρηται, ὡς, ἐάν γε μεταβολὴ μόνον ᾖ στροφῶν, ἡ ἔξω βλέπουσα τίθεται.]

253. πολλὰ : Πολλάκις. ταυτὸν : Ὅμοιον. *P.* θύμος ἐστὶ τὸ ἀγριοκρόμυον, ᾧ δι' ἄκραν ἀπορίαν χρῶνται οἱ πένητες. ἔχει δὲ τὸ υ βραχύ. τὸ δὲ θυμὸς, ὃ δηλοῖ τὴν ψυχὴν, μακρόν. P. εἶδος βοτάνης. πρὸς τὸν χορὸν τῶν γεωργῶν. V. ταὐτὸν θύμον : Ἀντὶ τοῦ, τῆς αὐτῆς πενίας μετασχόντες· θύμος γὰρ εἶδος βοτάνης εὐτελοῦς. τινὲς δέ φασιν ὅτι παρῴδηται ἐκ τῶν Ἡσιόδου [Op. 41]

οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ.

ἀντὶ τοῦ, ὦ δίκαιοι, τὰ εὐτελῆ θέλοντες ἐσθίειν διὰ τὸ μὴ ἐθέλειν ἀδικεῖν· ἅμα δὲ καὶ τὸ τραχὺ (καὶ ἄκαρπον) τῆς γῆς διαβάλλει. (οὐδετέρως δὲ τὸ θύμον λέγεται καὶ βραχυπαραλήκτως καὶ βαρυτόνως· ἐκτεινόμενον γὰρ καὶ ὀξυνόμενον καὶ ἀρσενικῶς κλινόμενον δηλοῖ τὴν ψυχήν.)

254. δημόται : Ἧτοι οἱ ἀπὸ τοῦ αὐτοῦ δήμου. τοῦ πονεῖν ἐρασταί : Τοῦ κοπιᾶν ἐπιθυμηταί. *P.*

255. ἴτ', ἐγκονεῖτε : Ἀντὶ τοῦ ἐνεργεῖτε, ταχύνατε· (ἐπεὶ οἱ τρέχοντες κόνεως πληροῦνται. ἢ ἀπὸ τῶν ἀθλητῶν· ἐν κόνει γὰρ ἐκείνων τὸ ἔργον. ἢ ὅτι πρὸ τοῦ τῆς κόνεως ἅψασθαι νικῶσιν.) — πρόσιτε, κόνιν ἐγείρετε, ὅτι ὁ καιρὸς οὐχὶ βραδύνειν ἐστί. *P.*

(ὁ καιρὸς οὐχὶ μέλλειν : Οὐ τοῦ μέλλειν καὶ ἀναβάλλεσθαι καιρός ἐστιν, ἀλλὰ τοῦ σπεύδειν καὶ κόνιν πέμπειν.)

256. ἦ δεῖ παρόντ' : Καθ' ἣν ἀκμεῖ δεῖ παρόντας βοηθεῖν. *P.*

257. οὐκοῦν : Τὸ λοιπόν. ὁρμωμένους : Κινουμένους. πάλαι : Πρὸ ὥρας. *P.* πάλαι προθύμως : Συντόνως, δεικτικῶς. (τὸ δὲ πάλαι οὐ μόνον βραδυτῆτός ἐστιν ἐπίρρημα, ἀλλὰ καὶ ταχυτῆτος.)

258. ὡς εἰκός ἐστιν : Ὁρμᾷν. ἀσθενεῖς : Ἀδυνάτους. ἤδη : Ἀπὸ τοῦ νῦν. *P.*

259. ἀξιοῖς : Ἄξιον κρίνεις. ἴσως : Ὁμοίως. *P.* ὁμοίως σοι τρέχειν. Θ. ἴσως με θεῖν : Ἐξίσου σοι τρέχειν. τὸ δὲ λοιπὸν ἐν ὑπερβατῷ· καίτοι γε ἐξῆν εἰπεῖν, καὶ ταῦτα πρὶν φράσαι μοι.

260. ὅτου : Οὗτινος. *P.*

261. οὐκοῦν πάλαι δῆπου : (Σύνδεσμος ἀποδεικτικὸς· τοὺς γέροντας δὲ παίζει μηδὲν εἰπὼν, καὶ ὑποκρίνεται εἰρηκέναι, διὰ τὸ αὐτῶν τὰ ὦτα γήρᾳ πεπηρῶσθαι.) ἐπεγγελᾷ οὖν τῷ ἀμυδρῷ τῶν αἰσθήσεων διὰ τὸ γῆρας. — Ἄλλως. δέον ἔλεξα εἰπεῖν πρὸς τὸ πάλαι, ὁ δὲ λέγω εἶπε δεικνύς, ὡς οὐχ ἅπαξ, ἀλλὰ πάλαι καὶ νῦν λέγει. παίζων δὲ ὁ θεράπων τοῦτό φησιν· οὐ γὰρ προεῖπεν αὐτοῖς τίνος χάριν αὐτοὺς καλεῖ. Junt. δῆπου λέγω : Θέλων ὡς κωφοὺς διαβαλεῖν φησίν. ἀκούεις : Ἐμοῦ. *P.*

262. φησιν : Ὑπισχνεῖται. *P.*

263. ψυχροῦ βίου : Ἧτοι τοῦ ταλαιπώρου. ἢ ἐπιμεμφόμενος διὰ τὸ γῆρας τοῦτό φησιν, [ἀντὶ τοῦ εὐτελοῦς· τὸ δὲ ἑξῆς, ὑμᾶς ἅπαντας ἀπαλλαγέντας ψυχροῦ καὶ δυσκόλου βίου ζήσειν.] — ψυχροῦ : Νεκροποιοῦ· τοιοῦτος γὰρ ὁ τῶν πενήτων. δυσκόλου : Δυσπορίστου. ἀπαλλαγέντας : Ἐλευθερωθέντας. *P.*

264. τί δέ ἐστιν... ὅ φησιν : Ὅπερ ὑπισχνεῖται. *P.*

265. φέρων ἦλθεν ἐνταῦθα. *P.* ἀφῖκται : Παραγέγονε. *Vict.* πόνηροι : Γεωργοί. *Dv. P.*

266. ῥυπῶντα : Αὐχμοῦ μεστόν. ἔστι καὶ ῥυπόω, ῶ, καὶ ῥυπάω, ὡς ἐνταῦθα, καὶ ῥυπαίνω. Junt. ῥύπον ἔχοντα. V.

κυφὸν : Κυρτόν. ἄθλιον : παρὰ τὸ ἄθλον, ἐπίπονον. R.V. ῥυσὸν δὲ, ῥυτίδας ἔχοντα. (μαδῶντα : φαλακρόν. V.) νωδὸν δὲ, ὀδόντας μὴ ἔχοντα διὰ τὸ γῆρας· οὐ γὰρ δὴ ἄφωνον· λαλεῖ γοῦν ὁ Πλοῦτος· [ψωλὸν δὲ, ἀσχήμονα κατὰ παρέκτασιν τοῦ μορίου· μαδῶντα δὲ, φαλακρὸν, καθόλου τρίχας μὴ ἔχοντα.]

μυδῶντα : Γράφεται καὶ μυδῶντα καὶ μαδῶντα. καὶ μυδῶντα μὲν ἀντὶ τοῦ δυσώδη ἀποπέμποντα· μαδῶντα δὲ ἀντὶ τοῦ κόμην μὴ ἔχοντα. Junt.

ῥυπούμενον, ζαρομάγουλον, κυρτὸν, ὡς κουκινὸν ἐξεματισμένον, ῥυτίδας ἔχοντα, φαλακρὸν, κυφὸν ἢ κυρτόν. Θ. ῥυπῶντα : Ἐρυπωμένον. κυφὸν : Κυρτόν. *P.* κεκυμμένον. *Vict.* ἄθλιον : Δυστυχῆ. ῥυσὸν : Ῥυτίδας ἔχοντα. μαδῶντα : Φαλακρόν. νωδόν : Ἐστερημένον ὀδοῦ. *P.* ἐστερημένον ὀδόντων. Θ.

267. ψωλὸν : Εἰς τὸ αἰσχρὸν μεταβέβηκε. τουτέστιν ἀσχήμονα κατ' ἐπέκτασιν τοῦ μορίου. καλῶς δὲ τὸ οἶμαι, ἐπειδὴ τὰ μὲν ἄλλα πάθη τοῦ σώματος εἰς ὄψιν ἑώρα, τοῦτο δὲ κρυφῇ ὂν καὶ μὴ ὁρῶν αὐτὸ ἀπὸ εἰκασμοῦ λέγει. V. ψωλὸν : Κηλήτην. *B.* Θ. *P.* ἀσχημόνως κηλήτην. *C.* ἐσπασμένον. *D.* ὡς μετὰ τῶν ἄλλων κακῶν καὶ τὸ τῆς κήλης πάθος ἔχει τὸ γῆρας, χαυνωθέντος τῷ χρόνῳ τοῦ σώματος.—διαβάλλει ὁ ποιητὴς αὐτῶν τὴν κωφότητα· ἕτερα γὰρ εἰπόντος, ἕτερα ἀκούειν ἔδοξαν. μὴ λάβῃς δὲ ἔξωθεν τὴν διά εἰς τὸ ἐπῶν. ἀλλ' ἔστιν ἡ γενικὴ πρὸς τὸ χρυσόν. ὡς φαμὲν σωρὸν χρημάτων. τὸν γὰρ χρυσὸν ἀγγείλας ἐπῶν, ἀντὶ τοῦ ἔπη λέξας χρυσὸν παριστῶντα. P.

268. ὦ χρυσὸν ἀγγείλας ἐπῶν : Ἀττικὴ ἡ σύνταξις· ἀντὶ τοῦ, ὦ πλοῦτον ἐκ τῶν ἐπῶν ἀγγείλας· ἢ ἀντὶ τοῦ, ὦ τιμιώτατον εἰπὼν λόγον.

ἀγγείλας : Εἰπὼν, μηνύσας. ἐπῶν : Διὰ τῶν. *P.*

269. δηλοῖς γὰρ αὐτὸν σωρὸν ἥκειν χρημάτων ἔχοντα : (Ὡς πολύπειροι συνῆκαν τὴν τοῦ Πλούτου [ἐν μύθοις οὕτως ἔχουσαν] ὑπογραφήν.) κυρίως δὲ σωρὸς τὸ ἐκ μικρῶν σπερμάτων συναγόμενον πλῆθος, παρὰ τὸ σῶ (ὅ ἐστι σώζω) συνάγω· (σορὸς δὲ θηλυκῶς ἐπὶ τοῦ τάφου καὶ διὰ τοῦ ο μικροῦ· ἐπὶ δὲ τῶν καρπῶν ἀρσενικῶς καὶ διὰ τοῦ ω μεγάλου.) καλῶς οὖν ἀπὸ τῶν καρπῶν φαίνονται εἰρηκότες· οἱ γὰρ εὐθηνοῦντες καὶ πλούσιοί εἰσιν. ἢ ὡς γεωργοὶ ταύτῃ κέχρηνται τῇ παραβολῇ. — δηλοῖς : Παριστᾷς. αὐτὸν : Τὸν σὸν δεσπότην. σωρὸν : Πλῆθος ἐλθεῖν χρημάτων φέροντα. *P.*

270. πρεσβυτικῶν μὲν οὖν : Διὰ τὸ τῷ γήρᾳ ἕπεσθαι ταῦτα τὰ συμπτώματα· [ἀπὸ κοινοῦ δὲ τὸ δηλῶ.] — πρεσβυτικῶν : Μᾶλλον μὲν οὖν... *P.*

271. μῶν : Μὴ οὖν. V. φενακίσας : Φενάκη τὸ προκόμιον, οἷον τοῦ φαινομένου κρανίου τὸ ἄκος, καὶ σκέπη — Ἄλλως. φενακίσας, ἀπατήσας· φενακισμὸς γὰρ ἡ ἀπάτη. V. ἄλλως δὲ κεφαλῆς τριχῶν πενομένης ἄκος. φενάκη δὲ κυρίως ἡ προσθετὴ καὶ ἐπιτηδευτὴ κόμη, ἀπὸ τῶν κατερρυηκυιῶν γυναικῶν, καὶ οὕτως ἀπατουσῶν διὰ τῆς ἐπεισάκτου κόμης. — μῶν ἀξιοῖς : Ἄρα ἄξιον κρίνεις... φενακίσας : Ἀπατήσας. ἀπαλλαγῆναι : Ἐλευθερωθῆναι. *P.*

272. (ἀζήμιος : Ἀντὶ τοῦ ἀβλαβής· κυρίως δὲ ζημία ἡ τῆς ζωῆς μείωσις, ἢ τὸ ἐν τῇ ζωῇ μιαρόν. βακτηρία δὲ, ἤτοι ἡ τὴν βάσιν ποιοῦσα ἑδραίαν· ἢ βατηρία τίς οὖσα, ἡ τῆς βάσεως αἰτία, κατὰ πλεονασμὸν τοῦ κ. Ἄλλως. πάντες οἱ γέροντες ἐν ταῖς Ἀθήναις δύο βακτηρίας ἐβάσταζον. ἦν δὲ προειρηκὼς, ἀσθενεῖς γέροντας ἤδη. εἶχον δὲ ἢ διὰ τὸ ἐπερείδεσθαι αὐτῇ, ἢ διὰ τὸ ἀμύνασθαι ταύτῃ μὴ δυναμένους χερσί.) — ἀζήμιος : Ἀθῷος. ἔχοντος : Φέροντος, βαστάζοντος. *P.*

273. πάντως γὰρ : Ἀληθῶς γὰρ νομίζετέ με τοιοῦτον ἄνθρωπον τῇ φύσει εἰς ἅπαντα, καὶ οὐδὲν ὑγιὲς εἰπεῖν. — πάντως : Κακῶς κρίνετε. *P.* τοιοῦτον : Ἀπατεῶνα. *Dv.*

274. ὑγιὲς : Οὐδὲν (πρᾶγμα) ὑπολαμβάνετε ἀληθὲς ἐμὲ εἰπεῖν. *P.*

275. ὡς σεμνὸς : Κατ' εἰρωνείαν. οὐπίτριπτος : Ὁ ἄξιος ἐπιτρίψεως, τῆς ἀπωλείας. *P.* ἐπιτριβῆναι ἄξιος. *Vict.* αἱ κνῆμαι : Οἱ ἄντζες. *Dv.* οὐπίτριπτος : Ὁ ἐπιτρίψεως καὶ βλάβης ἄξιος. ἐπιτρῖψαι γὰρ τὸ διαφθεῖραι. κυρίως δὲ χοίνικας καλοῦσι πᾶν περιφερὲς ὡς καὶ τὸ μέτρον. συμπλέκει δὲ οὐχ ὡς ἕτερον σημαῖνον, ἀλλὰ τὸ μὲν ὡς γένος, τὸ δὲ ὡς εἶδος. ὅτι τῷ εἴδει καὶ τὸ γενικόν. αἱ γὰρ χοίνικες πέδαι εἰσί τινες. πέδας δὲ τὰς ἀλύσεις, αἳ ἐξήρτηνται τούτοις καὶ ἐμποδίζουσι τὴν πορείαν. τὸ δὲ ἰοὺ ἰού ὡς τῶν πεπεδημένων οὕτω σχετλιαζόντων. V.

276. τὰς χοίνικας καὶ τὰς πέδας : Ἐν τῷ εἰδικῷ καὶ τὸ γενικὸν ἐπήγαγεν· αἱ γὰρ χοίνικες πέδαι τινές εἰσιν· χοῖνιξ δὲ πᾶν περιφερές· διὸ καὶ τὸ μέτρον χοῖνιξ καλεῖται. — χοίνικας : Τὰ δεσμὰ, καὶ τὰς ἰδιωτικῶς λεγομένας κλάπας. ποθοῦσαι : Ὀνειδίζει αὐτὸν ὡς δοῦλον. Θ. *P.*

277. σορῷ : Μνήματι. V. τάφῳ. λαχὸν : Κληρωθέντος τοῦ γράμματός σου ἀττικοῦ. Θ. *P.* λαχόντος. *D.* ἐν τῇ σορῷ νυνὶ λαχὸν : Δέον εἰπεῖν αὐτὸν ἐν τῷ δικαστηρίῳ σου τὸ γράμμα ἔλαχεν, εἶπεν ἐν τῇ σορῷ, ἐπεὶ γέρων. οἱ δὲ γέροντες πλησίον εἰσὶ τῆς σοροῦ. V. παρὰ τοῖς Ἀθηναίοις δέκα ἦσαν φυλαί. ἔθος οὖν ἀπὸ πασῶν τῶν φυλῶν δικαστὰς καθίζειν· εἶτα ἀπὸ μιᾶς ἑκάστης ἐλάμβανον ἄνδρας πέντε τοὺς ἐπισημοτέρους· καὶ πάλιν ἐκ τῶν πέντε ἕνα τὸν κλήρῳ λαχόντα ἐποίουν δικάζειν. ἀντὶ οὖν τοῦ εἰπεῖν ἐν τῷ δικαστηρίῳ κληρωθὲν τὸ γράμμα καὶ τὸ ψήφισμα, ὅ ἐστιν ὁ κλῆρος, δικάζειν σε καὶ δικαστὴν καθίστησιν, ὡς πρὸς γέροντα παρ' ὑπόνοιαν παίζει. Ἄλλως. ἐν ταῖς Ἀθήναις πολλὰ ἦν δικαστήρια. καὶ ἐν τισὶ μὲν ἐδίκαζον περὶ φονικῶν πραγμάτων, ἐν τισὶ δὲ περὶ δημοτικῶν· καὶ ἕκαστον δὲ τούτων εἶχεν ἕν τι τῶν στοι-

χείων εἰδικὸν ὄνομα. οἷον ἦν τι τῶν δικαστηρίων λεγόμενον ἄλφα, ὁμοίως ἄλλο βῆτα, ἄλλο γάμμα, καὶ ἑξῆς τὸ δ καὶ τὸ ε καὶ οὕτως ἕως τοῦ κ. δέκα γὰρ ἦν δικαστήρια τὰ πάντα ἐν Ἀθήναις, καὶ πρὸ θυρῶν δὲ ἑκάστου δικαστηρίου ἐγέγραπτο πυρρῷ βάμματι τὸ στοιχεῖον, ᾧτινι τὸ δικαστήριον ὠνομάζετο. ὅσοι δὲ δικασταὶ ἦσαν ἐν Ἀθήναις, ἕκαστος καθ' ἕκαστον δικαστήριον εἶχε δέλτον, (τουτέστι πινάκιον, ἐν ᾧ ἐγγεγραμμένον ἦν τὸ ὄνομα αὐτοῦ καὶ τοῦ δικαστηρίου. εἶχε δὲ καὶ ῥάβδον ἅμα τῷ πινακίῳ· καὶ ἐν αὐτῇ δὲ τῇ ῥάβδῳ ἦν τὸ ὄνομα τοῦ δικαστηρίου ἐγγεγραμμένον· ὅτε οὖν συνέβαινε καιρὸς τοῦ δικάζειν, ἤρχοντο πάντες οἱ δικασταὶ εἰς τὴν ἀγορὰν, κἀκεῖ κλήρους ἔβαλλον· καὶ ὅστις ἂν ἐκληροῦτο κλῆρον ἔχοντα τὸ α, ἀπήρχετο εἰς τὸ α δικαστήριον, ὁμοίως εἰς τὸ β καὶ τὰ ἑφεξῆς. καὶ πρῶτον μὲν ἐδείκνυε τῷ κήρυκι τοῦ δικαστηρίου τὸν κλῆρον τοῦ στοιχείου· ὁ δὲ κῆρυξ λοιπὸν ἐδίδου αὐτῷ τὸ πινάκιον αὐτοῦ καὶ τὴν ῥάβδον, εἶτα οὕτως ἐδίκαζεν. εἰ δέ τις δικαστὴς εἰσῄει μὴ κληρωθεὶς εἰς τὸ δικαστήριον, κατηγορεῖτο καὶ ἐζημιοῦτο διαφόρως.) [Ἄλλως. ἔρχεται ἕκαστος εἰς τὸ πινάκιον ἔχων ἐπιγεγραμμένον τὸ ὄνομα αὐτοῦ καὶ πατρόθεν καὶ τοῦ δήμου καὶ γράμμα ἕν τι μέχρι τοῦ κ, διὰ τὸ πάλαι δέκα φυλὰς εἶναι Ἀθήνῃσι, διῄρηντο γὰρ κατὰ φυλάς. εἶτα οἱ θεσμοθέται κατὰ φυλὴν ἕκαστος καὶ δέκατος ὁ γραμματεὺς ἐκλήρουν τὰ γράμματα μέχρι τοῦ κ. καὶ τὰ λαχόντα ἴσα τὸν ἀριθμὸν τοῖς μέλλουσι κληροῦσθαι δικαστηρίοις ὑπηρέτης φέρων ἐτίθει καθ' ἕκαστον δικαστήριον ἕν· εἶτα πάλιν ἀπεκληροῦντο οἱ τὰ εἰληχότα γράμματα ἔχοντες τίνες δικάσουσι καὶ τίνες οὔ. τοῦτο οὖν ἐστιν, ὃ λέγει, ἀμείψας τοῦ γελοίου χάριν. ἀνθυπήλλαξε γὰρ εἰπὼν ἐν τῇ σορῷ, δέον ἐν τῇ Ἰλιαίᾳ. ἐγράφοντο δὲ, ὅτι, ἐπεὶ ἦν πέντε δικαστήρια, ἐκληροῦντο πέντε γράμματα ἀπὸ τοῦ α ἕως τοῦ ε. εἶτα τὸ πρῶτον ἀνενεχθὲν ἐπὶ τοῦ α προετίθετο δικαστηρίου, ὡς ἂν ἔτυχεν, καὶ οἱ δικάζοντες ἐκληροῦντο εἰς οἷον ἕκαστος λάχῃ δικάσαι.] (τοῦτο δὲ ἐγίνετο, ἵνα μὴ διαφθείρηται τὰ δικαστήρια, ἀκρίτως ἐρχομένων τινῶν χωρὶς κλήρου εἰς τὸ δικαστήριον δικάσαι.) [τὸ δὲ, « ὁ Χάρων τὸ ξύμβολον δίδωσι, » τοιοῦτόν ἐστι. τοῖς λαχοῦσι δικάσαι εἰσελθοῦσιν ἑκάστῳ σύμβολον δίδοται δημόσιον παρὰ τῆς ἐπὶ τούτῳ εἰληχυίας ἀρχῆς, ἵν' οἱ ἐξιόντες καὶ τοῦτο προσφέροντες λαμβάνοιεν τὸν δικαστικὸν μισθόν. εἰπὼν οὖν σορὸν, ἐπήγαγε Χάρων. δέον δὲ εἰπεῖν ὁ ἄρχων τὸ σύμβολον δίδωσιν, ὅς ἐστιν ὁ μισθὸς ὁ δικαστικὸς, εἶπεν ὁ Χάρων, ὡς γερόντων αὐτῶν καὶ μελλοθανάτων. — Ἄλλως. δέον οὕτως εἰπεῖν, ὅτι καιρὸς ἦλθεν ὑμᾶς πλουσίους γενέσθαι, ὑμεῖς δὲ μέλλετε, ὁ δὲ οὐχ οὕτως εἶπεν, ἀλλ' ἠθέλησεν αὐτοὺς σκῶψαι ὡς γέροντας ὄντας, καὶ ἐγγὺς τοῦ θανάτου· σκώπτει δὲ οὐ καθαρῶς, ἀλλὰ διὰ τοῦ ἔθους, ὃ Ἀθηναῖοι εἶχον περὶ τὰς δίκας· ἦν δὲ τοιοῦτο. δέκα δικαστήρια ἦσαν παρ' Ἀθηναίοις, τὸ μὲν φόνου, τὸ δὲ μοιχείας, τὸ δὲ ἑτέρου τινός. οὐσῶν δὲ καὶ ι' φυλῶν, ἐξελέγοντο ἐξ ἑκάστης φυλῆς ἕνα ἄνδρα, καὶ ἔταττον αὐτοὺς εἰς τὰ τοιαῦτα δικαστήρια κριτὰς εἶναι· πλὴν ἔγραφον πρότερον τὰ τῶν ἀνδρῶν ὀνόματα, καὶ κλήρου γινομένου, ὁ μὲν εἰς τοῦτο, ὁ δὲ εἰς ἐκεῖνο δικάζειν ἐλάγχανεν. ἐδίδου δὲ ὁ κῆρυξ αὐτοῖς ῥάβδον, ἥτις ἦν σύμβολον τοῦ δικάζειν, ἵνα ἕκαστος καθ' ἑσπέραν ἀποδιδοὺς τῷ πρυτάνει τὴν ῥάβδον τριώβολον λαμβάνῃ μισθὸν τῆς δικάσεως. ἀντὶ οὖν τοῦ εἰπεῖν ἐν τῷ δικαστηρίῳ τὸ γράμμα σοῦ λαχὸν δικάζειν, καὶ διὰ τοῦτο καὶ ὁ κῆρυξ δίδωσί σοι τὸ σύμβολον, ὁ δὲ σκώπτων αὐτοὺς ὡς γέροντας καὶ ἐγγὺς θανάτου ὄντας φησὶν ἐν τῇ σορῷ καὶ ὁ Χάρων. ἔστι δὲ ἡ σύνταξις σολοικοφανής· λαχόντος γὰρ τοῦ γράμματός σου ὤφειλεν εἰπεῖν· ὁ δὲ εὐθεῖαν ἔθηκεν ἀντὶ γενικῆς, Ἀττικῷ ἔθει χρησάμενος· ἔθος γὰρ τοῖς Ἀττικοῖς οὕτω ποιεῖν, ἐπὶ μέντοι τῶν οὐδετέρων μετοχῶν. ἔστιν οὖν ἡ σύνταξις καὶ ἡ διάνοια τούτου αὕτη· λαχόντος τοῦ γράμματός σου δικάζειν σὲ ἐν τῇ σορῷ, ἤγουν ἐν τῷ δικαστηρίῳ, σὺ οὐ βαδίζεις, ὁ δὲ Χάρων, ἤγουν ὁ κῆρυξ δίδωσί σοι τὸ σύμβολον τοῦ κριτὴν εἶναι, τουτέστι τὴν ῥάβδον. πάνυ δὲ ἀστείως καὶ τὸν κήρυκα Χάροντα ὠνόμασεν· ὁ γὰρ Χάρων κατὰ ἀναγραμματισμὸν Ἄρχων λέγεται. Junt.

278. [ὁ δὲ Χάρων τὸ ξύμβολον : Περὶ τοῦ παραδιδομένου τοῖς εἰσιοῦσιν εἰς τὸ δικαστήριον συμβόλου Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ οὕτω γράφει « τοῖς γὰρ δικαστηρίοις χρῶμα * * * * ἐπιγέγραπται « ἐφ' ἑκάστῳ ἐπὶ τῷ σφηκίσκῳ τῆς εἰσόδου. ὁ δὲ λαβὼν « τὴν βακτηρίαν βαδίζει εἰς δικαστήριον τὸ ὁμόχρουν « μὲν τῇ βακτηρίᾳ, ἔχον δὲ τὸ αὐτὸ γράμμα, ὅπερ ἐν « τῇ βαλάνῳ. ἐπειδὰν δὲ εἰσέλθῃ, παραλαμβάνει σύμ« βολον δημοσίᾳ παρὰ τοῦ εἰληχότος ταύτην τὴν ἀρ« χήν. » ἀντὶ δὲ τοῦ εἰπεῖν ὁ κῆρυξ, ἦ ὁ δῆμος, ἀπήντησε πρὸς τὴν σορόν.]

ἀντὶ τοῦ τεθνάναι μέλλεις. V.

279. διαρραγείης : Διασχισθείης. μόθων : Λίαν αἰσχρὸς, ἀνόητος. κόβαλος : Φλύαρος. *P.* μόθων : Φλύαρος. κόβαλος : Ὑβριστής. *Dv.* μόθων : Λίαν ὑβριστής. *Br.* Μόθων : Φλύαρος, αἰσχρὸς, ἄτιμος, φορτικὸς, δουλοπρεπὴς, ἀπὸ Μόθωνος τινὸς αἰσχροποιοῦ. Br. μόθων : (Εἶδος αἰσχρᾶς καὶ δουλοπρεποῦς ὀρχήσεως· οἱ δὲ) Λάκωνες τοὺς παρατρεφομένους τοῖς ἐλευθέροις παῖδας μόθωνας καλοῦσιν. (Ἄλλως. μόθων, φλύαρος, φορτικὸς, ἄτιμος, αἰσχρός. λέγουσι γὰρ τοὺς Ἀθηναίους χειρωσαμένους τοὺς Μόθωνας [δουλικῇ καὶ ἀγεράστῳ] περιστῆσαι τύχῃ, ὅθεν καὶ Ἀττικοὶ μόθωνες. ἢ ἀπὸ Μόθωνός τινος αἰσχροποιοῦντος καὶ ἀεὶ ἐν τοῖς πότοις ὀρχουμένου.) [ἢ ἀντὶ τοῦ ἀνόητος. ἄλλοι δὲ λέγουσι, δουλοπρεπεῖς, σπερμολόγους.] — κόβαλος δὲ ὁ λάλος, ὁ ῥήτωρ. V.

[κόβαλος : Κόβαλοι δαίμονές εἰσί τινες σκληροὶ περὶ τὸν Διόνυσον. — ἀπατεῶνες. Junt. ἀπατεών. *Vict.*]

280. τέτληκας : Ὑπέμεινας. *P.*

281. κέκληκε δεῦρο : Ἐκάλεσεν ἡμᾶς ἐνταῦθα. *Harl.*

282. οἳ : Οἵτινες, ἡμεῖς δηλ. *P.* μοχθήσαντες : Κοπιάσαντες. *Dv. P.* σχολῆς : Ἀναπαύσεως. *P.* οὐκ ἄγον-

τες σχολὴν χάριν τῶν ἔργων. V. ἀντὶ τοῦ οὐκ ὄντος καιροῦ. R. V.

283. πολλῶν θύμων : [Τὸ πολλῶν θύμων ῥίζας ἐκπερῶντες τοιοῦτον ἔχει τὸν νοῦν. οἱ τὴν Ἀττικὴν οἰκοῦντες πένητες, ἐπεὶ μὴ εἶχον τὰς ἐκ τῶν σπερμάτων τροφὰς (ἀνεπιτήδειος γὰρ ὁ τόπος ἦν εἰς γεωργίαν, κατάξηρος ὤν), ἤσθιον θύμους, οὓς οἱ κοινοὶ βολβοὺς ἢ ἀγριοκρόμμυα φασίν. λέγει γοῦν ὁ χορὸς τῶν πενήτων ὅτι ἡμεῖς πολλὰ κοπιάσαντες, καὶ ταῦτα οὐκ οὔσης ἀδείας ἡμῖν, ἤλθομεν μετὰ προθυμίας ὧδε. Junt. θύμων : Ἀγριοκρόμμυον. *Dv.* σκυλοκρομμύων. *P.*] ἀντὶ τοῦ πολλοὺς ἀγρούς. θυμοφόρος γὰρ ἡ Ἀττική. R.

διεκπερῶντες : Ἀντὶ τοῦ παρορῶντες καὶ παρατρέχοντες ὑπὸ τῆς ἄγαν σπουδῆς, καὶ αὐτὰς δὴ τὰς τῶν θύμων ῥίζας πολλῶν ὄντων, ἃς ἐξ ἔθους εἴχομεν συλλέγειν. Junt. ἀνασπῶντες. *Dv.* διασπῶντες. *P.*

284. ἀλλ' οὐκ ἔτ' : Οὐδαμῶς. Πλοῦτον : Τὸν θεόν. *P.*

285. ἄγων ὁ δεσπότης : Ἄγω, τὸ φέρω, τὸ ὁδηγῶ· ἄγω, τὸ νομίζω, ἄγω τὸ τιμῶ· καὶ ἄγω τὸ συντρίβω, ἀφ' οὗ τὸ κατέαξαν, ἀντὶ τοῦ συνέτριψαν. Junt. ποιήσει : Καταστήσει. *P.*

286. ὄντως : Ἔστι πλουτῆσαι ἡμᾶς. *P.* ἡμὶν εἶναι : Ἐν Σοφοκλεῖ εἴρηται περὶ τοῦ ἡμὶν, ὅτι καὶ βραχύ ἐστι, διὸ καὶ ὀξύνεται. P.

287. Μίδας μὲν οὖν : Μίδας, βασιλεὺς ὢν Φρυγίας πλουσιώτατος, ὥστα ὄνου ἔσχε. τοῦτο οὖν παροιμιωδῶς ἐλέγετο ἐπὶ τούτου, ἤτοι ὅτι πολλοὺς ὠτακουστὰς εἶχεν, ἢ ὅτι κώμην Φρυγίας κατέσχεν, ἥτις Ὦτα ὄνου ἐλέγετο. λέγεται δὲ τούτῳ τὸν Πακτωλὸν χρυσὸν ῥεῦσαι. λέγεται δὲ αὐτὸν πάλιν εὔξασθαι ὥστε πάντα γενέσθαι χρυσὸν, ὧν ἂν ἅψαιτο. ἢ ἐπεὶ ὄνος μᾶλλον ἀκούει τῶν ἄλλων ζῴων πλὴν μυός· καὶ Μίδας δὲ πολλοὺς ὠτακουστὰς εἶχεν. οἱ δέ φασιν, ὅτι ψέξας ποτὲ τὸν Διόνυσον ὁ Μίδας μετεβλήθη εἰς ὄνον. ἢ ὅτι ὄνους τοῦ Διονύσου παριόντας ἠδίκησε· διὸ ὀργισθεὶς ὁ θεὸς ὦτα ὄνου αὐτῷ περιῆψεν. οἱ δὲ, ὅτι ὦτα μεγάλα φύσει εἶχεν. [Ἄλλως. οὗτος ὁ Μίδας σφόδρα πλούσιος ἦν· ἤτησε γὰρ, ὥς φασι, τοὺς θεοὺς, ὅ τι ἂν εἰς χεῖρας λάβῃ χρυσὸν γίνεσθαι· καὶ τυχὼν τῆς εὐχῆς, λιμαγχονηθεὶς ἀπέθανεν· ὅσα γὰρ ἐλάμβανεν [εἰς τροφὴν Junt.] εἰς χρυσὸν μετεβάλλετο. μυθεύονται δὲ αὐτὸν καὶ ὦτα ὄνου ἔχειν, ὅτι τὰ τῆς ἀκοῆς αἰσθητήρια μέγιστα εἶχεν, οἷάπερ ὄνος· τὸ δ' ἀληθὲς, ὅτι πολλοὺς εἶχεν ὠτακουστὰς, ὡς πάντ' ἔχειν γινώσκειν τὰ ἐν τῇ ὑπ' αὐτῷ χώρᾳ λεγόμενά τε καὶ πραττόμενα. τὸ δὲ μὲν οὖν, ἀντὶ τοῦ δέ. ἐμφαίνει δὲ ἐντεῦθεν, ὡς οὐχ ἁπλῶς πλουσίους ποιήσει, Μίδας δὲ οἱονεὶ ὑπερβολικῶς πλουσίους, οἷος ὁ Μίδας.]

288. ὡς ἥδομαι : Λίαν εὐφραίνομαι. *P.*

290. θρεττανελὸ τὸν Κύκλωπα : [Ἡ τοῦ Κύκλωπος ἱστορία δήλη· ὅτι ποιμὴν ὢν καὶ λύραν κατέχων, ἠγεῖτο τοῖς αὐτοῦ θρέμμασι, καὶ ὅτι αὐτὸν Ὀδυσσεὺς ἐτύφλωσεν. ὥσπερ οὖν ἐκεῖνος, οὕτω καὶ οὗτος ἦν πρὸς τοὺς γέροντας, ᾄδων καὶ πορευόμενος μετ' αὐτῶν. ἔστι δὲ τὸ θρεττανελὸ τῆς λύρας ἀπήχημα, καὶ οὐ συνάπτεται πρὸς τὴν σύνταξιν· ἀλλὰ διότι καὶ αὐτὸς ᾖδε, τούτου χάριν ἐνέθηκεν. οἱ δὲ λέγοντες τὸν θρεττανελὼ Κύκλωπα, ἤγουν τὸν ᾄδοντα τὸ θρεττανελὼ, καὶ διὰ τοῦτο καὶ τὸ λω μεγεθύνοντες, ἀμαθεῖς. τοῦτο δὲ ἐκ Κύκλωπος Φιλοξένου ἐστί· πεποίηκε γὰρ οὗτος τὸν Κύκλωπα κιθαρίζοντα. διὰ δὲ τοῦ εἰπεῖν, καὶ τοῖν ποδοῖν ὠδὶ παρενσαλεύων, ἔδειξεν ὅτι πρὸς τὴν πυγὴν αὐτοὺς τῷ ποδὶ ἔτυψεν.] (τὸ δὲ ἑξῆς, καὶ μὴν ἐγὼ βουλήσομαι ὑμᾶς ἄγειν. διασύρει δὲ Φιλόξενον τὸν τραγικὸν, ὃς εἰσήγαγε κιθαρίζοντα τὸν Πολύφημον. τὸ δὲ θρεττανελὸ ποιὸν μέλος καὶ κρουμάτιόν ἐστι· τὸ δὲ, « ἀλλ' εἶα τέκεα θαμίν' ἐπαναβοῶντες, » ἐκ τοῦ Κύκλωπος Φιλοξένου ἐστί.)

Φιλόξενον τὸν διθυραμβοποιὸν (ἢ τραγῳδοδιδάσκαλον) διασύρει, ὃς ἔγραψε τὸν ἔρωτα τοῦ Κύκλωπος τὸν ἐπὶ τῇ Γαλατείᾳ· εἶτα κιθάρας ἦχον μιμούμενος ἐν τῷ συγγράμματι, τοῦτό φησι τὸ ῥῆμα θρεττανελό. ἐκεῖ γὰρ εἰσάγει τὸν Κύκλωπα κιθαρίζοντα καὶ ἐρεθίζοντα τὴν Γαλάτειαν. ἐπεὶ οὖν ἔφη ὁ χορὸς, « ᾄδομαι καὶ τέρπομαι καὶ βούλομαι χορεῦσαι, « ὁ οἰκέτης φησὶ, « κἀγὼ βουλήσομαι χορεύειν. » καὶ ἅμα ἀναφωνεῖ τὸ μέλος ἐκεῖνο. ἡ γὰρ κιθάρα κρουομένη τοιοῦτον μέλος ποιεῖ, θρεττανελὸ θρεττανελό. — τινὲς ἀγροικικὴν εἶναί φασι τὴν φωνήν. V. Ἄλλως. ὁ Φιλόξενος ὁ διθυραμβοποιὸς ἐν Σικελίᾳ ἦν παρὰ Διονυσίῳ. λέγουσι δὲ ὅτι ποτὲ Γαλατείᾳ [τινὶ] παλλακίδι Διονυσίου προσέβαλε· καὶ μαθὼν Διονύσιος ἐξώρισεν αὐτὸν εἰς λατομίαν. φεύγων δὲ ἐκεῖθεν ἦλθεν εἰς τὰ ὄρη τῶν Κυθήρων, καὶ ἐκεῖ δρᾶμα τὴν Γαλάτειαν ἐποίησεν, ἐν ᾧ εἰσήνεγκε τὸν Κύκλωπα ἐρῶντα τῆς Γαλατείας· τοῦτο δὲ αἰνιττόμενος εἰς Διονύσιον· ἀπείκασε γὰρ αὐτὸν τῷ Κύκλωπι, ἐπεὶ καὶ αὐτὸς ὁ Διονύσιος οὐκ ὠξυδόρκει.

291. ὠδὶ : Οὕτως. παρασαλεύων : Μετρίως κινῶν, ἔτυψε γὰρ αὐτοὺς πρὸς τὴν πυγήν. *P.* παρενσαλεύων : Παρακινῶν. *Vict.*

292. ἄγειν : Ὁδηγεῖν. ἀλλ' εἶα : Ἄγε. θαμίν' : Συχνῶς, πολλάκις λέγοντες. *P.* χλευάζει αὐτοὺς ὡς γέροντας. R. V.

293. βληχώμενοι : (Ποιᾷ φωνῇ χρώμενοι· βληχᾶσθαι γὰρ τὸ τὰ προβάτια ποιᾷ κεχρῆσθαι φωνῇ. τὸ δὲ ἑξῆς, βληχώμενοι μέλη ὡς οἱ τράγοι ἔπεσθ' ἀπομύζοντες ἑαυτούς. κινάβρα δὲ ἡ δυσωδία τῶν μασχαλῶν, ἢ τῶν αἰγῶν· κιναβρώντων οὖν, τῶν δυσωδίαν ἐχόντων ἢ τῶν) δυσοσμίαν ποιούντων ἐκ τῶν μασχαλῶν. κυρίως δὲ ἡ τῶν κυνῶν βορὰ, κυνοβορά τις οὖσα. — βληχώμενοι : Βοῶντες, ᾄδοντες, λέγοντες. τὸ βληχᾶσθαι ἐπὶ προβάτων. συνάπτεται πρὸς τὸ προβατίων. *P.*

294. κιναβρώντων : Ὀσμὴν ἀποπεμπόντων. μέλη : Ἄσματα. *P.*

295. ἔπεσθ' : Ἀκολουθεῖτε τὰ αἰδοῖα δεικνύντες. *P.* τράγοι δ' ἀκρατιεῖσθε : [Τὸ ἑξῆς, τράγοι δ' ἀπεψωλημένοι ἀκρατιεῖσθε] [λείπει] τὸ ὡς, ἀντὶ τοῦ ὡς τράγοι ἀκρατῆ πράσσετε· ἐπεὶ μετὰ τὴν συνουσίαν οἱ τράγοι λείχουσιν ἑαυτῶν τὰ αἰδοῖα ἐν τῷ ἄκρῳ μέρει. — ἀντὶ

τοῦ φάγοιτε. V. ἤγουν δίκην τράγων τοὺς ὄρχεις λείχετε. *P.* λείχετε τὰ αἰδοῖα δηλονότι. *Br.*

296. θρεττανελὸ τὸν Κύκλωπα : Ὦ σαυτὸν παρείκασας. *P.*

297. βληχώμενοι : Ἀναβοῶντες. καταλαβόντες : Ὥσπερ ἐκεῖνον ὁ Ὀδυσσεὺς, κρατήσαντες. *P.*

298. πήραν ἔχοντα : Φιλοξένου ἐστὶ παρηγμένον καὶ τοῦτο τὸ ῥητόν. τοιοῦτον γὰρ τὸν Κύκλωπα εἰσάγει, πήραν ἔχοντα καὶ ἐπὶ ταύτῃ λάχανα ἄγρια. ταῦτα δέ φησι καὶ τὰ ἑξῆς, ὡς καὶ τῆς τυφλώσεως αὐτοῦ οὔσης ἐν τῷ ποιήματι. — Ἄλλως. ἐνταῦθα ὁ ποιητὴς παιγνιωδῶς ἐπιφέρει τὰ τοῦ Φιλοξένου εἰπόντος πήραν βαστάζειν τὸν Κύκλωπα, καὶ λάχανα ἐσθίειν. οὕτω γὰρ πεποίηκε τὸν τοῦ Κύκλωπος ὑποκριτὴν εἰς τὴν σκηνὴν εἰσαγόμενον. ἐμνήσθη δὲ καὶ τῆς τυφλώσεως, ὡς οὔσης ἐν τῷ ποιήματι. ταῦτα δὲ πάντα διασύρων τὸν Φιλόξενον εἶπεν, ὡς μὴ ἀληθεύοντα. ὁ γὰρ Κύκλωψ, ὥς φησιν Ὅμηρος, κρέα ἤσθιε, καὶ οὐ λάχανα· ἃ τοίνυν ἔφησεν ἐκεῖ ὁ Φιλόξενος, ταῦτα ὁ χορὸς εἰς τὸ μέσον ἀναφέρει. Junt.

πήραν : Σακούλιον, ὥσπερ ἐκεῖνος. λάχανα : Ἃ συνῆγεν ἐκεῖνος εἰς τροφήν. ἐμέθυσε γὰρ ἐκεῖνον Ὀδυσσεύς. δροσερὰ : Τρυφερά. κραιπαλῶντα : Μεθύοντα. *P.*

καὶ κραιπαλῶντα : Ἀντὶ τοῦ ἐκ μέθης ἀτακτοῦντα, μεθύοντα, ἀπὸ τοῦ τῶν καιρίων σφάλλεσθαι. — κραιπάλη γὰρ ἡ χθεσινὴ μέθη καραπάλη τις οὖσα. V.

299. ἡγούμενον : Προοδοποιοῦντα τούτοις, οἷς ἡμᾶς ἀπεικάζεις. Θ. *P.*

300. εἰκῇ : Μάτην, καὶ ὡς ἔτυχεν· ἢ ἀκαίρως. ὅθεν καὶ εἰκαῖος, ὁ μάταιος. Junt.

(εἰκῇ δὲ καταβαρθέντα : Ὡς ἔοικε κατακοιμηθέντα που, ὡς τὸν Κύκλωπα, ὃν μιμεῖται. τοῦ δὲ οἰκέτου μνησθέντος τοῦ Κύκλωπος, οἱ γέροντες ἐπάγουσιν ἃ ἔπαθε παρὰ τοῦ Ὀδυσσέως ὁ Κύκλωψ.) — καταβαρθέντα : Καὶ ὑπνώσαντα καταπεσόντα. *P.*

301. [σφηκίσκον,] ξύλον ὠξυμμένον, ἐπεὶ καὶ ὁ σφὴξ ὀξὺς ἐκ τῶν ὄπισθεν. (Ἄλλως. ἐπιτηδευτὴ ἡ λέξις παρὰ τὸν σφῆκα· τὰ γὰρ μακρὰ τῶν ξύλων καὶ εἰς ὀξὺ συνηγμένα σφηκίσκους καλοῦσιν, ἐπεὶ καὶ οἱ σφῆκες τὴν κοιλίαν ἐπισυνεσταλμένην ἔχουσιν, ἰσχνοὶ ὄντες ὄπισθεν. καὶ τοὺς λαγαροὺς δὲ τοῖς σώμασιν ἀνθρώπους καὶ μὴ προκοιλίους, σφηκώδεις φασίν.) — Ἄλλως. ξύλον τὸ μὲν ἄνω ἔχον παχὺ, τὸ δὲ κάτω λεπτόν. Ἄλλως. ὡς καὶ τῆς τυφλώσεως τοῦ Κύκλωπος περικειμένης ἐν τῷ ποιήματι. V. (ἐκτυφλῶσαί σέ φησιν, ὡς τὸν Κύκλωπα, ὃν μιμῇ.) — ἡμμένον : Κεκαυμένον. σφηκίσκον : Πάλον. Θ. *Dv. P.* δαλόν. *Br.*

302. [ἐγὼ δὲ τὴν Κίρκην : Ἔκθεσις τῆς διπλῆς συστηματικῶν στίχων καὶ κώλων εἴκοσι. εἰσὶ δὲ τοῦ πρώτου συστήματος στίχοι καὶ κῶλα ἑπτά. τούτων ὁ πρῶτος τετράμετρος ἀκατάληκτος, οἷον τὸ τοῦ Ἀλκαίου,

δέξαι με κωμάζοντα, δέξαι, λίσσομαί σε, λίσσομαι.

ὁ δεύτερος τετράμετρος καταληκτικὸς, ὡς τὰ πρὸ τούτων· ὁ δὲ τρίτος δίμετρος ἀκατάληκτος· ὁ δὲ τέταρτος τετράμετρος καταληκτικὸς ὁμοίως τῷ δευτέρῳ· ὁ δὲ πέμπτος ὁμοίως τῷ τρίτῳ· ὁ ἕκτος τρίμετρος ἀκατάληκτος· ὁ δὲ ἕβδομος δίμετρος καταληκτικός· ὡς ἐκεῖνα τοῦ Ἀνακρέοντος

ὁ μὲν θέλων μάχεσθαι,
πάρεστι γὰρ, μαχέσθω.

ἐφθημιμερῆ δὲ τὰ τοιαῦτα καλεῖται, ὡς τρεῖς ἔχοντα πόδας καὶ συλλαβήν· ἐπὶ τῷ τέλει παράγραφος.] — τὴν Κίρκην : Τὴν Λαΐδα. *P.* ἀνακυκῶσαν : Ταράττουσαν. *Dv.* ταράττουσαν, μιγνύουσαν. Θ. *P.*

303. ἑταίρους τοῦ Φιλωνίδου : (Δέον εἰπεῖν Ὀδυσσέως, ὁ δὲ Φιλωνίδου εἶπε. κωμῳδεῖ δὲ αὐτὸν ὡς πλούσιον καὶ παρασίτους ἔχοντα καὶ διὰ τὸν Λαΐδος ἔρωτα ἐν Κορίνθῳ διάγοντα. κωμῳδεῖται δὲ καὶ ὡς συώδης σὺν τοῖς ἑταίροις αὐτοῦ, οὓς κάπρους εἶπε. τὴν δὲ Λαΐδα Κίρκην εἶπε, ἐπεὶ τοὺς ἐραστὰς ἐφαρμάκευεν. Ἄλλως. ὥσπερ καὶ Κίρκην φησὶ παίζων τὴν Λαΐδα φαρμάσσουσαν τοὺς ἐρῶντας. τροπικῶς δὲ παίζει εἰς ταύτην ἐκεῖθεν ἄγων τὴν ἱστορίαν· δῆλον δὲ ἐκ τοῦ περὶ Φιλωνίδου διειληφέναι. κάπρους δέ φησι τοὺς ἑταίρους τοῦ Φιλωνίδου τῷ ὅλῳ ἤθει,) ἢ τῷ διαβεβλημένῳ ὡς ὑώδης. καὶ ταῦτα εἰς Φιλωνίδην τὸν Μελιτέα, ὡς [οὐ μόνον μέγαν, ἀλλὰ καὶ] ἀμαθῆ καὶ ὑώδη. καὶ Νικοχάρης ἐν Γαλατείᾳ

τί δῆτ' ἀπαιδευτότερος εἶ Φιλωνίδου
τοῦ Μελιτέως;

[Ἄλλως. ἐν τῇ νήσῳ τῶν Λαιστρυγόνων ἡ Κίρκη ἦν, πάσας γυναῖκας παρελθοῦσα μαγείαις. προσέσχεν οὖν ὁ Ὀδυσσεὺς ἐν τῇ νήσῳ μετὰ τὸ φυγεῖν τὸν Κύκλωπα, καὶ πέμψας τινὰς τῶν αὐτοῦ ἰδεῖν, τίς ἂν εἴη ἐνταῦθα, ἔρημος γὰρ ἦν ὁ χῶρος, ἐπεὶ ἀπελθόντες οὗτοι, καὶ τὴν Κίρκην εὑρόντες, χοῖροι ὑπ' αὐτῆς διά τινος ποτοῦ γεγόνασιν, αὐτὸς εἰς τὴν τούτων ἀφίκετο ζήτησιν. ἐντυχὼν οὖν ἐν τῷ μέσῳ τῆς ὁδοῦ τῷ Ἑρμῇ, καὶ παρ' αὐτοῦ μαθὼν τὰ περὶ τῶν ἑταίρων, καὶ λαβὼν παρ' αὐτοῦ τὸ μῶλυ, ἥτις ἐστὶν ἀντιφάρμακος βοτάνη, τὸν τῆς Κίρκης οἶκον κατέλαβε· ἐπιχειρησάσης οὖν καὶ αὐτὸν τὰ ὅμοια ὁρᾶσαι, τὸ ξίφος κατ' αὐτῆς ἀνέτεινεν. ὅθεν αὐτὴ φοβηθεῖσα τούς τε ἑταίρους αὐτοῦ πρὸς τὴν ἀρχαίαν μορφὴν ἀποκατέστησε, καὶ πρὸς μίξιν αὐτῷ συνελθεῖν ἐπεθύμησεν. ὁ δὲ καὶ ἐμίγη, καὶ παῖδα ἔσχεν ἐξ αὐτῆς Τηλέγονον, ὑφ' οὗ καὶ ὕστερον κατ' ἄγνοιαν ἀνῃρέθη κέντρῳ τρυγόνος. θέλων οὖν ὁ ποιητὴς σκῶψαι τὸν Φιλωνίδην, ὅτι αὐτοῦ ἦρα Λαΐς, ἀντὶ τοῦ εἰπεῖν τοὺς ἑταίρους τοῦ Ὀδυσσέως, Φιλωνίδου εἶπεν· ἀντὶ δὲ τοῦ εἰπεῖν ἐν τῇ νήσῳ τῶν Λαιστρυγόνων, ἐν Κορίνθῳ εἴρηκεν, ὡς ἐκεῖ τῆς Λαΐδος οἰκούσης.] — ἔδει δὲ ἄρα καὶ τὸν Ὀδυσσέα θανάτῳ περιπεσεῖν ... μέμνηται [τῆς] ἱστορίας καὶ ὁ Ὀππιανὸς ἐν Ἁλιευτικῶν β. Cant. I. ἢ τοὺς ἑταίρους : Τοῦ Ὀδυσσέως ὤφει-

λεν εἰπεῖν. σκώπτων δὲ τὸν Φιλωνίδην, οὗ ἦρα Λαΐς τις ἐν Κορίνθῳ πόρνη, τοῦτό φησιν. P. Φιλωνίδου : Ὀδυσσέως. *Dv.*

304. ἔπεισεν : Κατέπεισεν. ὄντας κάπρους : Ὑπάρχοντας καὶ ἀγριοχοίρους. *P.*

305. μεμαγμένον : Μεμαλαγμένον καὶ ἐζημωμένον. *P.* μ. σκὼρ : Μεμαλαγμένον κόπρον. Θ. *Dv.* σκὼρ : Κόπρον, σκάτον τρώγειν. αὐτὴ : Ἡ Κίρκη δὲ ἐμάλαττε τοῖς ἑταίροις. *P.* ἔματτεν : Ἐμάλαττεν. *Dv.* ἐμάλαττε τοῖς ἑταίροις. Θ.

306. πάντας τρόπους : Τῆς Κίρκης τοὺς τρόπους μιμήσομαί φησι. *P.* φησὶ μιμήσομαι. R.

307. γρυλλίζοντες : Φωνὴν (μικρῶν) χοίρων ἀφιέντες· γρυλισμὸς γὰρ ἡ τῶν (μικρῶν) χοίρων φωνή. R.V. ὁμοίως χοίροις βοῶντες. Θ. *Dv.* χοίρων φωνὴν ἀφιέντες. *P. Vict.* φιλιδίας : Φιλιδονίας. *Dv.* φιληδίας : ὑπὸ φιληδονίας καὶ ἀνοίας. *R.P.*

308. ἔπεσθε : Παροιμία ἐπὶ τῶν ἀπαιδεύτων λεγομένη. μητρὶ : Ἐμοί. *P.*

309. οὐκοῦν σε τὴν Κίρκην : [Τοῦ δευτέρου συστήματος στίχοι καὶ κῶλα ἑπτά. ἔχουσι δ' ὁμοίως τῇ προφθάσῃ περιόδῳ καθ' ἕκαστον.] — τὸ ἑξῆς, οὐκοῦν σε λαβόντες κρεμῶμεν. V. οὐκοῦν σε λαβόντες κρεμάσομεν. R. ἀνακυκῶσαν : Μιγνύουσαν. *Dv. Vict.* ἀναταράττουσαν. *P.*

310. μαγγανεύουσαν (μαγεύουσαν Vict.) : Γοητεύουσαν. *P.* μολύνουσαν : Μιαίνουσαν. *P. Vict.*

311. [λαβόντες : Οὕτω κἀν τοῖς παλαιοῖς τῶν ἀντιγράφων εὕρηται, ἵν' ᾖ ὅμοιον τῷ ἄνω τρίτῳ κώλῳ. τὸ δὲ, ἢν λάβωμεν, οὐ πάνυ δόκιμον.] — λαβόντες : Κρατήσαντες. φιληδίας : Φιληδονίας. *P. Vict.*

312. τῶν ὄρχεων κρεμῶμεν : Δέον εἰπεῖν ξίφος ἐπιφέρομέν σοι, καθὰ καὶ Ὀδυσσεὺς τῇ Κίρκῃ, ὁ δὲ, ὃ συμβέβηκε τῷ Ὀδυσσεῖ κατὰ τὴν τοῦ ἐρινεοῦ ἐποχὴν ἐν τῷ στομίῳ τῆς Χαρύβδεως, ἐπὶ τὴν Κίρκην μετήγαγεν. ἢ, ὡς ἐκεῖνος Μελάνθιον ἐκρέμασεν. — Λαρτίου : Υἱὸν δηλ. τὸν Ὀδυσσέα. τῶν ὄρχεων : Ἀπὸ τῶν ὄρχεων. *P.* τῶν ὄρχεων κρεμῶμεν : Ὥσπερ ἐκεῖνος τὸ ξίφος κατὰ τῆς Κίρκης ἀνέτεινεν, ἢ ὡς ἐκεῖνος Μελάνθιον ἐκρέμασε. Vict.

313. (μινθώσομεν : Μίνθον οἱ μὲν τὸν ἡδύοσμον· οἱ δὲ τὴν ἴυγγα, ὡς κεῖται ἐν τῇ κωμικῇ λέξει. οἱ δὲ εἶδος ἄνθους ἐν τῇ κόπρῳ φυομένου, ᾧ χαίρουσιν οἱ τράγοι. Ἄλλως.) μίνθος λέγεται ἡ κόπρος τῶν αἰγῶν. ἐπειδὰν δὲ οἱ τράγοι ψυγμῷ περιπέσωσιν, εἰώθασιν οἱ αἰπόλοι λαμβάνειν τὴν κόπρον αὐτῶν καὶ χρίειν αὐτῶν τοὺς μυκτῆρας, καὶ οὕτως τῇ δυσωδίᾳ πταρμὸν κινεῖν, τούτῳ δὲ τῷ τρόπῳ λύειν τὸ πάθος· ὁ γὰρ πταρμὸς θεραπεύει τὸ πάθος. ἐκ τούτου οὖν φησιν ὅτι ἀηδίσομέν σε, ἐπεὶ καὶ αἱ αἶγες ἐκ τῆς κόπρου ἀηδίζονται. (Ἄλλως. κοπρώσομεν· μίνθος γὰρ ἄνθος ἐν τῇ κόπρῳ φυόμενον, ᾧ χαίρουσιν οἱ τράγοι. οἱ δὲ μίνθον φασὶ τὴν ἀνθρωπίνην κόπρον, ἣ χρῶνται παρατρίβοντες οἱ ποιμένες ἐν τῷ δυσενεργήτῳ τῶν τράγων πταρμῷ.) — μινθώσωμεν : Πάσωμεν. *Dv.* κόπρῳ χρίσωμεν. *Vict.* κόπρῳ πάσσομεν. ὅταν γὰρ ὑπὸ κορύζης οἱ τράγοι κατασχεθῶσιν, οὕτω πρὸς ἀπαλλαγὴν πάττονται. μίνθος γὰρ ἡ κόπρος. Θ. P. ὥσπερ τράγου : Ὅταν οἱ τράγοι ὑπὸ κορύζης κατασχεθῶσι, κόπρῳ χρίονται εἰς ἀπαλλαγὴν τοῦ πάθους. Vict.

314. σὺ δ' Ἀρίστυλλος : (Ὁ Ἀρίστυλλος αἰσχρός· καὶ ἐν Ἐκκλησιαζούσαις [617] μέμνηται αὐτοῦ ὡς αἰσχροποιοῦ. λείπει δὲ τὸ ὡς, ὡς ὁ Ἀρίστυλλος αἰσχρουργίαις κεχηνώς. αἰσχρουργὸν γὰρ αὐτόν φησι ποιητὴν,) ὃς διὰ τὴν αἰσχρουργίαν αὐτοῦ ἀεὶ ἐκεχήνει. τοῦτο οὖν φησιν, ὥσπερ ὁ Ἀρίστυλλος κεχηνὼς ἐρεῖς, ἕπεσθε μητρὶ χοίροι, [ἀντὶ τοῦ ἐμοί· τοῦτο δὲ παρομιῶδες εἶναί φασιν· οἱ γὰρ παῖδες τοῦτο εἰώθασι λέγειν, ἕπεσθε μητρὶ χοῖροι· παροιμιακὸν οὖν ἐστι, καὶ ἐπὶ τῶν ἀπαιδεύτων φασὶ λέγεσθαι.] — ῥῖνα : Τὴν μίτην. *P.* ὁ Ἀρίστυλλος οὗτος μαλακὸς ἦν καὶ τῷ στόματι χάσκων, ὡς τοῖς ὄρθοις κινεῖν γέλωτα. P. Vict.

316. [ἀλλ' εἶα : Τῆς τρίτης περιόδου στίχοι καὶ κῶλα ἓξ, ὧν τὸ μὲν πρῶτον καὶ τελευταῖον τετράμετρα καταληκτικὰ, τὰ δὲ μεταξὺ δίμετρα ἀκατάληκτα· ἐπὶ τῷ τέλει διπλαῖ ἔξω νενευκυῖαι, ἡ μὲν ἐν τῇ ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος.] — σκομάτων : Ὑβρεων. *Dv.* ὕβρεων ἐλευθερωθέντες. *P.* ἀπαλλαγέντες : Ἀποστάντες. *Vict.*

317. ἐπ' ἄλλ' εἶδος : Εἰς ἄλλην ὁδόν τινα. *P.* ἄλλο τι ἐναντίον, εἰς τὸ μηκέτι σκώπτειν. R. V.

318. ἐγὼ δ' ἰὼν : Δείκνυσιν ἐντεῦθεν, ὡς τοιαῦτα οἱ δοῦλοι ποιεῖν εἰώθασιν. Θ. Junt. Vict. ἰὼν : Πορευθείς· λάθρα : Κρυφίως τοῦ δεσπότου δηλ. *P.*

319. τοῦ δεσπότου : Δείκνυσιν ἐνταῦθα, ὡς τοιαῦτα οἱ δοῦλοι ποιεῖν εἰώθασιν. P.

321. τῷ κόπῳ : Τῷ ἔργῳ καὶ τῇ περὶ τὸν πλοῦτον ἐπιμελείᾳ. ἀπὸ θέματος δὲ τοῦ μασῶ δευτέρας συζυγίας τὸ μασώμενος, ὡς γελώμενος. — μασσ. τὸ λοιπὸν, οὕτω : Εἰς τὸ ἑξῆς. *P.* κόπῳ : Τῇ ταλαιπωρίᾳ συνυπάρχειν ... τῷ ὑστέρῳ, εἰ ἄρα τούτου δεήσεται. Paris.

322. χαίρειν μὲν ὑμᾶς : [Κορωνὶς, ὅτι εἰσίασιν οἱ ὑποκριταί. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ιζ', ὧν ὁ τελευταῖος· « καὶ δὴ βαδίζω. σπεῦδε νῦν· τοῦτ' « αὐτὸ ὁρῶ. »] ὁ Χρεμύλος, ὡς καινισθεὶς τῇ τύχῃ, καινοτέραν προσηγορίαν ἐπινοεῖ· τὸ γὰρ χαίρειν παλαιόν ἐστι. ἀμέλει οὖν ἐπιφέρει τὸ ἀσπάζομαι ἅτε δὴ καινότερον.

(περὶ τοῦ ἐν τῇ συνηθείᾳ χαίρειν τοῦ τε ἐν ταῖς ἐπιστολαῖς, γέγραπται Διονυσίῳ μονόβιβλον περὶ αὐτοῦ· καὶ λέγει μὲν ὑπὸ Κλέωνος πρῶτον αὐτὸ τετάχθαι, γράφοντος πρὸς Ἀθηναίους ὡς ἕλοι τοὺς ἐν Σφακτηρίᾳ, Κλέων Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. λέγει δὲ αὐτὸ κεῖσθαι περιττὸν καὶ περὶ τὴν σύνταξιν ἀσύστατον. ἐκ δὲ τῆς συντάξεως τοῦ λόγου φασὶν ἀσύστατον, εἰ μή τις αὐτὸ λάβοι ἀπαρέμφατον ἀντὶ προστακτικοῦ, ὡς καὶ παρὰ τῷ ποιητῇ [Il. Δ, 71]

πειρᾶν δ', ὡς κεν Τρῶες ὑπερκύδαντας Ἀχαιούς.)

[[ἐμφαίνεται ἐντεῦθεν, ὡς οἱ ἐξαίφνης καὶ παρ' ἐλπίδα εὐτυχήσαντες ἕτεροι τοῖς τρόποις γίνονται, καὶ πρὸς ὑπεροψίαν χωροῦσι· καὶ γὰρ οὐκ ἔστι τὸ χαίρειν κακόν· ἀλλὰ διότι πένης ὢν πρώην πρὸς τοὺς συνήθεις τοῦτο ἐχρῆτο, διὰ τοῦτο ἀτιμάζει αὐτὸ, θέλων μετὰ τοῦ βίου καὶ τὰ προσρήματα μεταβαλεῖν. σύναπτε δὲ τὸ ἔστι πρὸς τὸ ἀρχαῖον. Junt. ὦ 'νδρες δημόται : Ὦ ἄνδρες οἱ ἀπὸ τοῦ αὐτοῦ δήμου. *P.*]]

323. (ἀρχαῖον δὲ ἀντὶ τοῦ παλαιόν.) ἐκ παραλλήλου τὸ ἀρχαῖον καὶ σαπρόν. (διαβάλλει τὴν λέξιν ὡς παλαιάν.) R. V. ἀρχαῖον : Τὸ ἔστι λέγει ἐνταῦθα. Dv. ἐνταῦθα τί ἐστι λέγε. Θ. ἐνταῦθα τὸ ἐστὶ λέγει καὶ χαιρετᾶν. P. σαπρόν : Σεσηπωμένον. *P.* ἐξίτηλον, ληρῶδες. V.

324. ἀσπάζομαι : (Ἀσπάζομαί φησιν ἅτε καινότερον παρὰ τὴν ὑπόνοιαν δέ· εἰπὼν γὰρ μὴ ἐρεῖν χαίρειν, ἀσπάζομαί φησιν.) — ἀσπάζομαι : Καταφιλῶ καὶ περιπλέκομαι. Θ. *Dv. P.*

325. καὶ συντεταγμένως : (Καθωπλισμένως μετὰ τάξεως καὶ σπουδαίως καὶ) γοργῶς καὶ μετὰ συγκροτήματός τινος. κατεβλακευμένως δὲ ἀντὶ τοῦ βραδέως (καὶ τρυφερῶς)· βλὰξ γάρ ἐστιν ὁ μαλθακευόμενος ἐν ὑποκρίσει τὸ σῶμα· καὶ βλακεία ἡ μεθ' ὑπεροψίας ὁμιλία. — συντεταγμένως : Σπουδαίως. *Dv.* μετὰ τάξεως. *C.* συντεταμένως : Μετὰ τάξεως. *P.* σπουδαίως, γοργῶς. Θ. σπουδαίως. *D.* καταβεβλακευμένως : Ῥαθύμως ὡς οἱ τρυφῶντες Θ. *Dv.* ῥαθύμως. *D.* κατεβλακευμένως : Βλακεία ἡ ἀπὸ τῆς τρυφῆς ἄνεσις, ἢ ῥαθύμως. *P.* ἀντὶ τοῦ βραδέως καὶ τρυφερῶς. *C.* οὐ κ. : Ἀντὶ τοῦ οὐ ῥαθύμως. V.

326. ὅπως : Ὁρᾶτε καὶ σκοπεῖτε. συμπαραστάται : Σύμμαχοι, βοηθοί. *P.*

327. διὰ τὴν τύφλωσιν. R. ἔσεσθε : Γενήσεσθε. σωτῆρες : Φύλακες. τοῦ θεοῦ : Τοῦ Πλούτου. Θ. *P.* τοῦ Πλούτου. παίζων δὲ λέγει· ὅταν γὰρ θέλῃ, ὀνομάζει αὐτὸν θεὸν, ὅταν πάλιν, ἄνθρωπον. V. ὄντως : Κατ' ἀλήθειαν. *C.*

328. δόξεις μ' Ἄρη : Ὡς αὐτὸν τὸν Ἄρεα τὸν θεὸν ἕξεις με σύμμαχον. δόξεις με, φησὶ, τὸν Ἄρεα ὁρᾶν, ἀντὶ τοῦ κατορθωτικὸν καὶ πρακτικόν. (ἄκρως καὶ ἀπειλητικῶς, φησὶ, βλέψω πρὸς τοὺς βιαζομένους.) — Ἄλλως. παροιμία ἐπὶ τῶν ὑπισχνουμένων παντὶ σθένει συμπράττειν καὶ συναίρεσθαι εἰς βοήθειαν. Junt. θάρρει : Ἔχε θάρρος. ἄντικρυς : Φανερῶς. δόξεις : Νομίσεις, ἡμᾶς τὸν χορὸν ὀηλ. μ' Ἄρην : Πολεμικώτατον. *P.* ἀνδρεῖον ἤδη καὶ σπουδαιότατον καὶ πᾶν ὑπὲρ τούτου, εἰ δέοι, παθεῖν ἕτοιμον. P.

329. [[εἰ τριωβόλου : Ὅτι οὐχ ἵστατο τοῦ δικαστικοῦ ὁ μισθὸς, ἀλλὰ κατὰ καιρὸν μετέβαλλον. τοῦτο δὲ λέγει, ὡς τινων ἐκ τούτων δικαστῶν ὄντων.]] — δεινὸν : Χαλεπόν. τριωβόλου : Ἕνεκα τριῶν ὀβολῶν. *P.*

330. [ὠστιζόμεσθ' : Ἀντὶ τοῦ ὠθούμεθα. καὶ Ῥωμαῖοι ὦστια τὰς θύρας φασὶ παρὰ τὸ ἐξωθεῖν τὸν ἐπερχόμενον. ἐν τῇ ἐκκλησίᾳ δὲ οὐδεὶς ἐδίκαζεν, εἰ μὴ ἐπέβαινε τῶν ξ' ἐνιαυτῶν· ὅσοι δὲ τελείας ἡλικίας ἦσαν, εἰσήρχοντο μὲν εἰς τὴν ἐκκλησίαν, οὐκ ἐδίκαζον δέ. τούτους οὖν τοὺς ἐκκλησιαστὰς ἐποίησαν φανερόν τι λαμβάνειν ἀπὸ τῶν τῆς πόλεως προσόδων οἱ δημαγωγοὶ πείσαντες τὴν πόλιν· ὕστερον δὲ ὁ Κλέων ἐποίησεν αὐτὸ τριώβολον. ἀφῆλιξ δὲ εἰς τὴν ἐκκλησίαν οὐκ εἰσήρχετο.] — ὠστιζόμεσθ' : Εἰσερχόμεθα ἀλλήλους ὠθοῦντες πάντοτε. Θ. *Dv. P.* ὅτι οἱ Ῥωμαῖοι ὠστίας τὰς θύρας φασὶ καὶ τὸν θυρωρὸν ὠστιάριον. ἀπὸ τούτου οὖν ὠστίζω τὸ εἰσέρχομαι γίνεται. ἔστιν δὲ ὠστίζειν τὸ εἰσέρχεσθαι τινὰς ἀλλήλους ὠθοῦντας ἐπὶ τῆς θύρας. P. ἐκκλησίᾳ : Τῇ συναγωγῇ. *P.*

331. παρείην : Καταλείψαιμι, παραχωρήσαιμί τινι. Θ. *P.* καθ' ἑαυτὸν ὁ Βλεψίδημος σκέπτεται. V.

332. Βλεψίδημον : Βλεψίδημος ὁ πρὸς τὸν δῆμον βλέπων, κἀκ τούτου τὰ πρὸς ζωὴν ποριζόμενος. ὑπηρέτης γὰρ ἦν τῶν τὰ δημόσια ἐνεργούντων. Junt., Dv.

333. προσιόντα : Προσερχόμενον. *P.*

334. βαδίσει : Περιπατήσει. τάχει : Συντομίᾳ. *P.*

335. πόθεν : Ἀπὸ ποίας αἰτίας. τρόπῳ : Σκοπῷ. *P.*

336. ἐξαπίνης : Καὶ ἐξάπινα. γίνεται παρὰ τὸ ἀφανὴς, ἄφινα, καὶ ἄπινα. Junt. οὐ πείθομαι : Οὐ πιστεύω. *P.*

337. λόγος : Φήμη. Ἡρακλέα : Ὡς ἀποτρόπαιον τῶν κακῶν. Θ. *P.*

338. ἐπὶ τοῖσι κουρείοισι : Διαβάλλει τοὺς Ἀθηναίους ὡς διημερεύοντας ἐπὶ τῶν κουρείων ἀργῶς (καὶ ἐν τοῖς ἰατρείοις ποιουμένους τὰς συντυχίας). — κουρεῖα δὲ ἦσαν ἐργαστήρια, ἐν οἷς οἱ βουλόμενοι [κείρειν Junt.] τὰς τρίχας τῆς κεφαλῆς καὶ τοῦ πώγωνος [ἀπιόντες Junt.] ἐκείροντο, ὁπότε ἐκβαῖεν τοῦ μέτρου. Junt., P. κουρεῖα τὰ κοινῶς μπαρμπερεῖα. *P.* κουρίοις : Νέοις. *Dv.*

339. ὅτι ἐξαίφνης ὁ ἀνὴρ ἐγένετο. *P.*

340. θαυμαστὸν : Ἐκπληκτικόν. *P.* ἄξιον θαύματος. *Dorvill.*

341. ἀγαθόν τι ποιῶν ... μετακαλεῖται. *P.*

342. οὔκουν ἐπιχώριόν τι : (Σκώπτει πάλιν τοὺς Ἀθηναίους ὡς ἐπιφθόνους.) οὐκ ἀκολουθεῖ, φησὶ, τῇ Ἀθηναίων διαγωγῇ. καὶ ἀλλαχοῦ [Nub. 1176] « ἐπὶ τοῦ προσώπου γάρ ἐστιν Ἀττικὸν βλέπος. » — ἐπιχώριον : Ἐντόπιον, σύνηθες. *Dv.* σύνηθες τῇ χώρᾳ. Θ. οὐδαμῶς σύνηθες τῇ χώρᾳ τι πρᾶγμα ποιεῖ. *P.* διαβάλλει ἐντεῦθεν Ἀθηναίους ὡς φθονεροὺς καὶ κακογνώμονας καὶ μὴ μεταδιδόντας τοῖς φίλοις χρηστοῦ τινος. P.

343. ἀλλ' οὐδέν σε ἐγκαλύψας λέξω. *P.*

344. ἄμεινον : Κρεῖττον ποιοῦμεν. *Dv.* κρεῖττον ἢ πρὸ ποιῶμεν, διάγωμεν. *P.*

345. τὴν εὐπραγίαν σοι. εἶ γὰρ τῶν φίλων : Ὑπάρχεις γὰρ ἀπὸ τῶν φίλων. *P.* ἀντὶ τοῦ ὑπάρχεις. V.

346. ἀληθῶς : Ὁμολογουμένως. *P.*

347. ἔσομαι : Γενήσομαι. αὐτίκα : Ταχέως πάνυ. *P.* εἰ μή τι δεινὰ πάθω. θεὸν δὲ ἢ τὸν Πλοῦτον ἢ ἄλλον τινά. V.

348. ἔνι : Ἔνεστι. κίνδυνος : Φόβος. *P.* ἐὰν ἀποτύχωμεν ὀηλονότι. R. V.

349. λέγ' ἀνύσας : Οἱ λέγοντες τὸ ἀνύσας ἀντὶ τοῦ

ἄνυσον καὶ τὸ λέξας ἀντὶ τοῦ λέξον οὐ καλῶς λέγουσιν. ἔχει δὲ οὕτως. λέγε ὅτι φῄς ποτε ἀνύσας, καὶ τελέσας τοῦτο· τουτέστιν, εἰς τέλος καὶ διασάφησιν ἀγαγὼν σὸν λόγον. Junt. οἷος : Μέγας. ἀνύσας : Σπεύσας. σύναπτε τὸ ποτέ πρὸς τὸ ἀνύσας. Θ. *P.*

350. κατορθώσωμεν : Ἃ βουλόμεθα. Θ. ἃ βουλεύομαι. *P.*

351. σφαλῶμεν : Ἀστοχήσωμεν, ἀποτύχωμεν τούτου. Θ. *P.* ἐπιτετρίφθαι : Τοῦτο εἶπε φοβούμενος, μὴ ἀποτυχὼν ἐγείρῃ τὸν Δία πρὸς ὀργὴν, καὶ ἐπιτρίβῃ αὐτούς. Junt., P. ἀφανισθῆναι λέγω παντελῶς. Θ. *P.*

(τὸ παράπαν : Ἀντὶ τοῦ παντελῶς,) κατὰ πάντα τρόπον, ἐξ ὁλοκλήρου. Ἀττικὸν τὸ σχῆμα. ἀρέσκει μεγάρ φησι.

352. φορτίον : Τὸ βάρος πρὸς ὃ δυσχεραίνεις καὶ δειλιᾷς. *P.* τὸ πρᾶγμα. *Br.* τὸ φορτίον διχῶς λέγεται. τὸ βάρος. φορτίον καὶ ἡ μέμψις. P.

353. ἀρέσκει : Ἄριστον ἐμοὶ δοκεῖ. ἐξαίφνης ἄγαν : Παραυτίκα λίαν. *P.* καί μ' οὐκ ἀρ. : Ἐμοί. *Br.*

354. οὕτως : Ὡς ᾄδεται καὶ ὡς αὐτὸς λέγεις. Θ. *Dv. P.* αὖ δεδοικέναι : Πάλιν δειλιᾶν, φοβεῖσθαι. *P.*

355. πρὸς : Περισσόν. *Br.* ἀργόν. *P.* ἡ πρός περισσὴ Ἀττικῶς. ἔστι ἴδιον δηλ. κακοῦ. *P.* ἀνδρὸς : Ἰδιόν ἐστι. *Dv. P.* ὑγιές : Ἀληθές. *Dv.* ὀρθόν. εἰργασμένου : Πράξαντος. *P.* πρὸς ἀνδρὸς : Ἡ πρός ἐνταῦθα οὔτε περισσή ἐστιν, ὡς οἴονταί τινες, οὔτε ἀντὶ τῆς ὑπό κεῖται, ἀλλὰ τὸ καθῆκον σημαίνει· ὡς καὶ παρὰ Σοφοκλεῖ [Aj. 581]

οὐ πρὸς ἰατροῦ σοφοῦ
θροεῖν ἐπῳδάς.

356. πῶς κτλ : Ἴδιον ἀνδρὸς εἰργασμένου. *P.*

357. ἥκεις : Ἦλθες. *P.* ἀργύριον ἢ χρυσίον : Ἃ ἀνατιθέασιν ἄνθρωποι τῷ θεῷ. *Dv. P.*

358. ἴσως : Τάχα. μεταμέλει : Μεταμέλεια γίνεται τῆς κλοπῆς. Θ. *P.* μεταμέλει ἀντὶ τοῦ μεταφροντίζεις φοβούμενος τὸ ἁλῶναι. Θ.

359. ἀποτρόπαιε : Ὡς ἐν ἀρνήσει εἴληφε τὴν τοῦ θεοῦ ἐπίκλησιν. — ἀποσοβητὰ τῶν κακῶν. Θ. *Dv. P.* Δί' ἐγὼ μέν οὐ : Οὐδὲν τοιοῦτον ἐποίησα. *P.*

360. φλυαρῶν : Περισσολογῶν. οἶδα : Γινώσκω φανερῶς, ὅτι ἐπανούργησας. *P.* ὅτι πεπανούργηκας. Θ.

361. ὑπονόει : Ὑπόπτευε. Θ. *P.* (φεῦ : Ἀποδυσπετεῖ, ὡς ἠρνημένου Χρεμύλου τὸ κακούργημα.)

362. ὑγιές ἐστιν οὐδενὸς : Οὐδείς, ὃς δοκεῖ ἔχειν πλεονέκτημα, ἀρετῆς ὑγιῶς ἔχει. — Πλάτων Φαίδωνι [p. 67, D] « τελευτῶν δὴ θαμὰ προσκρούων μισεῖ τε καὶ πάντας ἡγεῖται οὐδενὸς οὐδὲν ὑγιὲς εἶναι τοπαράπαν. » Junt. ἀτεχνῶς ὑγιές : Φανερῶς ἀληθές. Θ. *P.* οὐδενὸς : Ἀνθρώπου. *P.*

363. κέρδους ... ἥττονες : Νικώμενοι ὑπὸ τοῦ κέρδους, ὥσπερ οὗτος ἥττηται καὶ τὸ ἀληθὲς οὐκ ἐθέλει λέγειν. Θ. *P.*

364. ὑγιαίνειν μοι δοκεῖς : Ἐπεὶ τοιαῦτα κατ' ἐμοῦ ὑποπτεύεις. Θ. Junt. οὗτοι : Οὐδαμῶς. δοκεῖς : Φαίνει. *Paris.*

365. μεθέστηχ' ὧν πρότερον : Πρώην γὰρ χρηστὸς ὢν, νῦν πανοῦργος γέγονεν. Θ. Junt. Dv. ὡς πολὺ : Λίαν καταπολύ. μεθέστηχ' : Μετεβλήθη. εἶχε : Ἐκέκτητο. *Paris.*

366. μελαγχολᾷς : Μαίνῃ. *P.*

367. τὸ βλέμμ' αὐτοῦ : Αὐτοὺς τοὺς ὀφθαλμούς. *P.* κατὰ χώραν δὲ ἀντὶ τοῦ κατὰ τὸ πρέπον. R. κατὰ χώραν ἔχει : Κατὰ τὸ καθεστηκὸς καὶ ὡς δεῖ. *Dv.* κατὰ τάξιν. *P.*

368. ἐπίδηλόν τι : Ἀλλ' ἔστι τὸ βλέμμα αὐτοῦ ὅμοιον πεπανουργηκότι βλέμματι. — ἐπίδηλον : Φανερόν. *Dv.* πεπανουργηκότι : Αὐτῷ πανουργίαν ἐργασαμένῳ. *P.* πεπανουργευκότι : ἀντὶ τοῦ πεπανουργηκότος. R.

369. οἷδ' ὃ κρώζεις : Ὃ βοᾷς ὃ λέγεις. V. παροιμία ἐπὶ τῶν μάτην θρυλούντων, ὡς αἱ κορῶναι· (ἀντὶ τοῦ, σὺ ἄνω καὶ κάτω περὶ τοῦ κεκλοφέναι μοι διαλέγῃ.) — γινώσκω, διὸ φωνεῖς, ἀκαίρως φθέγγῃ καὶ ὀχλεῖς ἡμᾶς, ὡς κορώνη. Θ. *Dv. P.*

ὡς ἐμοῦ τι κεκλοφότος : Τὸ ὡς οὐκ ἔστιν ἐνταῦθα ἀντὶ τοῦ ὅτι, ὡς οἴονταί τινες· οὐ γάρ ἐστι πρὸς τὸ ζητεῖς ἀλλὰ πρὸς τὸ κεκλοφότος· καὶ ἔστιν ἀντὶ τοῦ καθάστιζων οὖν πρὸς τὸ κρώζεις, τὸ λοιπὸν λέγε κομματικῶς. Junt.

370. ζητεῖς μεταλαβεῖν : Τῆς κλοπῆς. Θ. *Dv.* χρῄζεις κοινωνῆσαι, μετασχεῖν. μεταλαβεῖν : Τοῦτο διὰ μέσου εἴρηται. τίνος : Πράγματος. *P.*

371. οὐ τοιοῦτον : Ὃ σὺ ὑπονοεῖς. Θ. *P.*

372. ἥρπακας : Κατεδυνάστευσας. κακοδαιμονᾷς : Μαίνῃ, ἄθλιος εἶ καὶ κακοδαίμων. *P.*

373. ἀπεστέρηκας : Ἀποστερῶ ἐστὶν, ὅταν παρακαταθήκην τινὸς λαβὼν εἰς διαβολὴν χωρήσω, καὶ οὐκ ἐθέλω διδόναι αὐτῷ, ἃ ἔλαβον. Junt. Dv. ἀπεστέρηκας : Τινὸς δηλονότι. Θ. τινὸς οὐδένα ἄνθρωπον. *P.*

374. οὐ δῆτ' : Οὐδαμῶς, ἐποίησα δηλ. ὦ Ἡράκλεις : Φεῦ. *P.* φέρε : Τί ἄν τις εἴποι ἕτερον; Θ. *Dv. P.*

375. φράσαι : Εἰπεῖν. *P.*

376. κατηγορεῖς : Ναὶ οὐ θέλω δηλ. πρὶν μαθεῖν : Πρὸ τοῦ γνωρίσαι. μου : Σύναπτε τό μου πρὸς τὸ κατηγορεῖς. *P.*

377. [ἐγώ σοι τοῦτ' ἀπὸ σμικροῦ : Ὡς πρὸς εὑρηκότα ἡ διάλεξις. χρῆται δὲ τῇ πηλικότητι ἀντὶ ποσότητος.] — ὦ τᾶν : Ὦ φίλε. σμικροῦ : Ὀλίγου. *P.* τοῦτ' : Ὃ πεπανούργηκας. σμικροῦ : Ἀναλώματος. *Dv.*

378. ἐθέλω : Χρῄζω. *P.* διαπρᾶξαι : Οἰκονομῆσαι. πυθέσθαι : Μαθεῖν, ἀκοῦσαι. *Dv.*

379. τὸ στόμ' ἐπιβύσας : (Φράζας· ὅθεν ὁ βυθὸς ὁ πεφραγμένος. τείνεται δὲ πρὸς τοὺς ῥήτορας, ἐπεὶ εἰώθασι τοῖς ἔρμαιον κεκληρωμένοις ἐπιφορτίζεσθαι ὡς κοινωφελῆ μοῖραν τοῦ εὑρημένου. κέρμασι δὲ τοῖς κέρδεσι.) ἐπιβύσας : ἀντὶ τοῦ ἐπιπλήσας. ὡς Ὅμηρος [Od. Δ, 134] « νήματος ἀσκητοῖο βεβυσμένον. » R. κλείσας. Θ. *Dv. P.* κέρμασι : Νομίσμασι. *Dv.* δωρήμασι,

νομίσμασι, ἵν' ὅταν καταστῇς εἰς κρίσιν, συνηγοροῦντας αὐτοὺς ἔχῃς διὰ τὴν δωροδοκίαν. Θ. *Dv. P.*

380. εἰρωνικὸν τοῦτο. Θ. *Dv. P.* φίλως : Προσφιλῶς. Θ. *C. P.* ἐπιθυμητικῶς. ἐν εἰρωνείᾳ. V.

381. μνᾶς : Λίτρας. ἀναλώσας : Ἐξοδιάσας. λογίσασθαι : Λογαριάσαι ἡμῖν. Θ. *Dv. P.*

382. ἀντὶ τοῦ ὄψομαι εἶπε τὸ ὁρῶ. R. V. καθεδούμονον : Καθίζοντα. *P.*

383. (ἱκετηρίαν ἔχοντα : Ἱκετηρία ἐστὶ κλάδος ἐλαίας ἐρίῳ πεπλεγμένος. οἱ γὰρ ἱκετεύοντες αὐτὸν κατεῖχον τὸν κλάδον.) — ἱκετηρίαν : Κλάδον ἱκετικὴν κρατοῦντα. *P.*

384. διοίσοντ' : Διαφορὰν ἕξοντα. Θ. *P.*

385. [τῶν Παμφίλου : Ὁ Πάμφιλος οὗτος γραφεὺς ἦν· ἔγραψε δὲ τοὺς Ἡρακλείδας ἱκετεύοντας [εὐθέως P.] μετὰ κλάδων ἐλαΐνων, ὅτε αὐτοὺς ἐκ Πελοποννήσου ἀπήλασαν. ἱκετηρία δέ ἐστι κλάδος ἐλαίας ἐρίῳ λευκῷ περιειλημένος, ὡς Πλούταρχος ἐν Παραλλήλοις [Thes. c. 18] φησί· καταχρηστικῶς δὲ καὶ πᾶσα ἱκεσία. ἐχρῶντο δὲ ἐλαΐνῳ κλάδῳ, ἵνα διὰ τούτου πρὸς ἔλεον τοὺς δικαστὰς ἕλκωσι. Dv. P.]

τῶν Παμφίλου : [Πάμφιλος ζωγράφος ἦν, ὅστις τοὺς Ἡρακλείδας ἔγραψεν ἱκετεύοντας τὸν τῶν Ἀθηναίων δῆμον·] (μετὰ γὰρ θάνατον Ἡρακλέους Εὐρυσθεὺς διώκει τοὺς Ἡρακλείδας, διὰ τὸ πρὸς τὸν [Ἡρακλέα τὸν ἐκείνων] πατέρα ἐμφύλιον μῖσος. ταύτην τὴν ἱστορίαν ἔγραψε Πάμφιλος ζωγράφος· κατὰ δέ τινας τραγικὸς ἦν, ὃς τὴν τῶν Ἡρακλειδῶν τύχην χαρακτῆρι ὑφηγήσατο. Ἄλλως. Πάμφιλον μὲν Καλλίστρατος καὶ Εὐφρόνιος τραγῳδιῶν ποιητὴν φασι καὶ διδάξαι Ἡρακλείδας. τὰ δὲ λίαν ἐπιτετηδευμένα ὑπομνήματα διστάζει, πότερον τραγικὸς ποιητὴς ἢ ζωγράφος, ὃν καθηγήσασθαί φασιν Ἀπελλοῦ. ἐν μέντοι ταῖς Διδασκαλίαις πρὸ τούτων τῶν χρόνων Πάμφιλος οὐδεὶς φέρεται τραγικός. γραφὴ μέντοι ἐστὶν οἱ Ἡρακλεῖδαι καὶ Ἀλκμήνη καὶ Ἡρακλέους θυγάτηρ Ἀθηναίους ἱκετεύοντες, Εὐρυσθέα δεδιότες, ἥτις Παμφίλου οὐκ ἔστιν, ὥς φασιν, ἀλλ' Ἀπολλοδώρου. ὁ δὲ Πάμφιλος, [ὡς ἔοικε, καὶ] νεώτερος ἦν Ἀριστοφάνους. Ἄλλως.) οὗτος τραγῳδοποιός· ἔγραψε δὲ τοὺς Ἡρακλείδας ἱκετηρίαν ἔχοντας· ὁ γὰρ Εὐρυσθεὺς μετὰ θάνατον Ἡρακλέους τοὺς Ἡρακλείδας ἐδίωξε, καὶ οὗτοι μετὰ τῆς Ἀλκμήνης παρεκάλεσαν τοὺς Ἀθηναίους βοηθῆσαι αὐτοῖς, ὅπερ καὶ ἐγένετο. τὰ οὖν συμβάντα αὐτοῖς ζωγράφος τις Πάμφιλος Ἀθηναῖος εἰς τὴν στοὰν τῶν Ἀθηναίων ἔγραψε, καὶ αὐτοὺς ἱκετεύοντας. τοῦτο οὖν λέγει, ὅτι οἱ καταδικαζόμενοι μετὰ τῶν παιδίων καὶ τῶν γυναικῶν παρακαλοῦσιν ἐλευθερωθῆναι τοῦ ἐγκλήματος.

386. οὐκ, ὦ κακόδαιμον : Εἰ γὰρ, ὡς σὺ φῂς, ἐκκλόφειν, φαῦλος ἂν ἦν τὸν τρόπον· φαῦλος δὲ ὤν, οὐκ ἂν παρέσχον ἄλλῳ τινί. νῦν δὲ τοῖς χρηστοῖς προῃρημένος δοῦναι, δῆλον ὅτι ἀγαθός εἰμι· εἰ δὲ ἀγαθὸς, οὐ κέκλοφα. — οὐκ : Ὄψει ἐμὲ οὕτως ἔχοντα, δυστυχέστατε. Θ. *Dv. P.* χρηστοὺς : Ἀγαθούς. *P.*

387. σώφρονας : Εὐτάκτους. *P.* καὶ τοὺς δικαίους. Θ. σώφρων λέγεται κυρίως ὁ εὐλαβὴς ἄνθρωπος. λέγεται σώφρων καὶ ὁ σώαν ἔχων τὴν φρόνησιν, ἐξ οὗ καὶ σωφροσύνη ἡ τῶν φρενῶν ἀκεραιότης. P.

388. ἀπαρτί : (Ὀξυτόνως, ἀντὶ τοῦ ἀπηρτισμένως·) ἐπίρρημα δέ ἐστιν ὡς ἀμογητί, παρὰ τὸ ἀπηρτισμένον καὶ πλῆρες. κέχρηται δὲ αὐτῷ Ἡρόδοτος [2, 158] λέγων, « ἀπὸ τούτου εἰσὶ στάδιοι ὁ' ἀπαρτί. » καὶ Φερεκράτης ἐν Κραπατάλοις « φράσον μοι. ἀπαρτὶ δή που προσλαβεῖν » (συνωνυμεῖ ἡ λέξις· ἔσθ' ὅτε γὰρ καὶ χρονικὸν ἐπίρρημα δηλοῖ ὡς καὶ Καλλίμαχος.) — καὶ Πλάτων [Lys. p. 215, C] ἐπὶ τοῦ νῦν « ἦδη ποτέ σου « ἤκουσα λέγοντος καὶ ἄρτι ἀναμιμνήσκομαι. » ταῦτα ἐκ τῶν Διδύμου περὶ διεφθορυίας λέξεως. V. ἀπηρτισμένως, τελείως. Θ. *Dv. P.* ἀπὸ τοῦ νῦν. *D. Cant.* 2. νεωστί. *C.*

389. ὡς κοινωνεῖν πάντας ποιῆσαι. *Dv. P.*

390. ἀπολεῖς : Φθερεῖς. οἰήσονται γάρ τινες, ὡς ἀληθῆ λέγεις. ἀπολεῖς, οὐκ ἐθέλων τἀληθὲς εἰπεῖν. σεαυτὸν : Μᾶλλον ἀπολεῖς. *P.*

391. μόχθηρε : Κακέ. *P.*

392. ἔχω : Κέκτημαι. ὁποῖον : Ἀττικόν. *P.* ἐρωτηματικὸν ἀντὶ τοῦ ποῖον. *C.*

394. [οὐκ ἐς κόρακας : Τόπος ἦν ἐν Ἀθήναις κρημνώδης Κόρακες καλούμενος, διὰ τὸ κοράκων εἶναι καταγώγιον· εἰς ὃν τοὺς κακούργους ἔρριπτον ὑπὸ κοράκων ἀναλωθησομένους· ἐλήφθη δὲ εἰς παροιμίαν τὸ, [ἔρρ' P.] ἐς κόρακας. [ἀντὶ τοῦ ἀπελθὼν φάνηθι. P.] Dv. P. οὐκ ἐς κόρακας : Ἀπέλθῃς καὶ ἀπελεύσῃ. νὴ τοὺς θεοὺς : Ναί. *P.*].

395. [πρὸς τῆς Ἑστίας : Ἡ Ἑστία θυγάτηρ ἦν Κρόνου, καταρχὰς τὴν οἰκίαν εὑροῦσα, ἣν ἐντὸς τῶν οἴκων ἔγραφον, ἵνα τούτους συνέχῃ, καὶ τῶν οἰκούντων εἴη φύλαξ. οὕτω καὶ ἐφέστιον Δία καλοῦσιν, ὃν εἰς φυλακὴν τῶν οἴκων γράφουσιν. Junt. ἕνεκεν αὐτῆς τῆς Ἑστίας τῆς θεᾶς. *P.* Ἑστίας : Περιττὸν ἦν ἐνταῦθα τὸ λέγω, διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ. ὀφείλει δὲ ἄνω κεῖσθαι, ἀπὸ κοινοῦ γὰρ λέγεται ἀπὸ τοῦ λέγεις. P.]

396. θαλάττιον : Παίζει αὐτὸν ἐνταῦθα. Θ. *Dv. P.* παίζει δὲ ταῦτα λέγων. V.

397. διὰ τὸ μὴ ἀνέχεσθαι τὸν Βλεψίδημον ἀκοῦσαι λόγον ὁλόκληρον παρὰ Χρεμύλου, ἀλλὰ ἀφ' ἕκαστον ἔπος περιτρίπτειν αὐτὸν, ἐμφαίνει ὁ ποιητὴς τὴν γνώμην τῶν ἐπιθυμούντων τίθεσθαί τι παρά του. P.

398. διαπέμπεις καὶ πρὸς ἡμᾶς τοὺς φίλους : Ὅτι οὐ μετεστείλατο τὸν Βλεψίδημον· ἀκηκοὼς δὲ ἦλθε. ἡ δὲ διά ἀντὶ τῆς μετά. — τοὺς φίλους : Τὸν Πλοῦτον δηλ. *P.*

399. τούτῳ : Ἐν τῷ πέμψαι. R. τῷ διαπέμπειν. Θ. *Dv. P.*

400. οὐ τῷ μεταδοῦναι : Κατέστη τὰ πράγματα δηλ. δεῖ : Ἐνδέχεται. τί : Ἐνδέχεται. *P.*

401. βλέψαι ποιῆσαι νώ : Ὅτι τὸ νώ ἀντὶ τοῦ αὐτός· ἢ ἀντὶ τοῦ δεῖ ἡμᾶς ποιῆσαι αὐτὸν βλέψαι. — νώ : Τὸ χ κεῖται, ὅτι τὸ νώ ἀντὶ τοῦ αὐτόν ἢ ἀντὶ τοῦ ἡμᾶς ποιῆσαι αὐτὸν βλέψαι εἴρηται. Θ. *P.*

402. ὥσπερ τὸ πρότερον : Ἔπρεπε δηλ. P. ἑνί γέ τῳ τρόπῳ : Τινί, ἤγουν μιᾷ τινι μηχανῇ. *Dv.* ἀντὶ τοῦ συντόμως. V.

403. νὴ τὸν οὐρανὸν : Διὰ τὸ λαμπῶδες τοῦ οὐρανοῦ τοῦτον ὄμνυσι πρὸς τὸ τυφλός. Θ. *Dv.*

404. οὐκ ἐτὸς : Οὐκ ἀλόγως, ἀλλὰ δικαίως. ἢ ἀντὶ τοῦ οὐκ ἀληθῶς. ἐπιρρηματικὸν γάρ ἐστιν ἀντὶ τοῦ ἐτῶς ἀπὸ τοῦ ἐτεῶς συνῃρημένου. — ἐτὸς : Μάτην (Θ.), οὐκ ἀλόγως. *P.* ὡς ἔμ' : Εἰς ἐμέ. Θ. *Dv.*

406. οὐκοῦν : Τὸ λοιπόν. εἰσαγαγεῖν : Εἰσκαλέσασθαι χρή. *P.* ἐχρῆν : Πολλάκις οἱ Ἀττικοὶ λαμβάνουσιν τὸν παρατατικὸν ἀντὶ ἐνεστῶτος, ὡς τὸ ἦν ἀντὶ τοῦ ἐστίν, καὶ τὸ ἐχρῆν ἀντὶ τοῦ χρή. P.

407. ὅτι συνεσταλμένον τὸ ἰατρός. R. χλευάζει τοὺς Ἀθηναίους ἰατροὺς καὶ τοὺς θεραπευομένους, τοὺς μὲν ὡς ἀγνώμονας, τοὺς δὲ ὡς ἀδόξους. Ἄλλως. συνεσταλμένως μὲν τὸ ἰατρός. Ἄλλως. καινοποιεῖται τὸν διασυρμὸν καὶ κατὰ τῶν ἰατρῶν καὶ κατὰ τῶν θεραπευομένων, τῶν μὲν ὡς ἀτέχνων, τῶν δὲ ὡς φειδωλῶν. V. τίς δῆτ' ἰατρός ἐστι : [[Διασύρει καὶ]] διαβάλλει τοὺς ἰατροὺς ὡς ἀμαθεῖς καὶ τοὺς δεομένους ὡς μικρολόγους. — τίς δῆτ' : Οὐδείς. ἐν τῇ πόλει : Ἐντελὴς δηλ. *P.*

408. μισθὸς : Οὐ κατ' ἀξίαν δίδοται. *P.*

409. οὐκ ἔστιν : Ἰατρὸς δηλ. *P.*

410. [μὰ Δί' ἀλλ' ὅπερ πάλαι : Τὸ ἑξῆς, ἀλλ' οὐκ ἔστι μὰ Δία, ἀλλ' ἐκεῖνο κράτιστόν ἐστιν, ὅπερ πάλαι παρεσκευαζόμην, κατακλῖναι αὐτόν.] — μὰ Δί' : Οὐκ ἔστιν δηλ. παρεσκευαζόμην : Ἠὐτρεπιζόμην. *P.* ᾠκονομούμην. *Dv.*

411. κατακλίνειν : Καταθήσειν. Θ. *Dv. P.* εἰς Ἀσκληπιοῦ : Τὸν ναόν. Θ. *Dv.* τὸν οἶκον δηλ. *P.*

412. πολὺ μὲν οὖν : Κράτιστόν ἐστι. Θ. *P.*

413. μὴ διάτριβε : Μὴ βράδυνε. Θ. *Dv.* νῦν διάτριβ' : Δὴ βράδυνε, χρόνιζε. ἄνυε : Σπεῦδε. ἕν γέ τι : Πρᾶγμα. *P.* ἀντὶ τοῦ πρᾶγμά τι. R.

414. [σπεῦδέ νυν : Τοῦτο τὸ νυν καθ' ὁμαλισμὸν ἀναγνωστέον, ἵν' εἴῃ ἀντὶ τοῦ δή. ἐγκλίνεται γὰρ ἀεί, καὶ βραχύ ἐστι, φωνήεντος ἐπιφερομένου· ὡς τὸ

σίγα νυν ἐστὼς, καὶ μέν' ὡς κυρεῖς ἔχων,

παρὰ Σοφοκλεῖ [Aj. 87] τὸ δέ γε νῦν τὸ περισπώμενον ἐπίρρημά ἐστι χρονικὸν, καὶ μακρὸν ἀεὶ εὑρίσκεται· διὸ καὶ περισπᾶται.] — τοῦτ' αὐτὸ : Τὸ σπεύδειν. *P.*

415. [ὦ θερμὸν ἔργον : Κορωνὶς ἑτέρα ὁμοία· οἱ δὲ στίχοι, ὡς οἱ προφθάντες, ἰαμβικοί εἰσι τρίμετροι ἀκατάληκτοι ογ', ὧν τελευταῖος

ἔχοι τις ἂν δίκαιον ἀντειπεῖν ἔτι.

ἐπὶ τῷ τέλει κορωνίς.]

θερμὸν ἔργον : Παράδοξον, ἢ τολμηρὸν, ἢ εὐκίνητον. Πενία παραβάλλουσα μάχεται πρὸς Χρεμύλον καὶ Βλεψίδημον. — θερμὸν ἔργον : Σπουδαῖον καὶ τολμηρόν. *Dv.* τολμηρὸν πρᾶγμα. ἀνόσιον : Ἄδικον. *P.*

416. ἀνθρωπαρίω κακοδ. : Ὦ ἄνθρωποι δυστυχεῖς. *Paris.*

417. ποῖ, ποῖ : Ποῦ ποῦ πορεύσεσθε. τί φεύγετον : Διὰ τί; μενεῖτον : Προσκαρτερήσετε ἐμέ. *P.* προσκαρτερεῖτε. *Dv.*

418. αὕτη ἡ κατασκευὴ τὸ « ἐγὼ γάρ, » πρὸς τὸ « οὐ μενεῖτον » ἔχει τὴν δύναμιν. P. ἐξολῶ : Ἐξολοθρεύσω. Θ. *Dv.* ἀφανίσω, φθερῶ, ὄντας κακούς. *P.*

419. ἀνασχετὸν : Ὑπομονητόν. Θ. *Dv.*

420. ἀλλὰ τοιοῦτον, οἷον ἄλλος οὐδεὶς ἐτόλμησε οὐδεπώποτε. *P.*

421. ἀπολώλατον : Ἐφθάρητε. *Dv.*

422. ὠχρὰ : Ὠχροὶ γάρ εἰσιν οἱ πένητες διὰ τὸ μὴ ἔχειν αὐτοὺς ἴσως φαγεῖν. V. κίτρινος. *P.* τοιοῦτοι γὰρ οἱ πένητες. R. Θ. Dv.

423. ἴσως Ἐριννύς ἐστι : (Ἐπισκώπτει αὐτὴν διὰ τὴν τῶν Ἐριννύων Εὐριπίδου ἢ Αἰσχύλου ὑπόθεσιν· παρεισάγονται γὰρ μετὰ λαμπάδων δεινοπαθοῦσαι, ὡς καὶ Εὐριπίδης [Orest. 261] « Γοργῶπες, ἐνέρων ἱερίαι, δειναὶ θεαί. » Ἄλλως. εἰώθασιν οἱ τραγῳδοὶ Ἐριννύας εἰσφέρειν μετὰ λαμπάδων·) τὰ γὰρ ἀποτρόπαια τῶν φαντασμάτων τραγῳδοῖς μᾶλλον ἁρμόττει. — ἐκ τραγῳδίας : Ὡς οἱ ποιηταὶ ποιοῦσιν οἱ τραγικοί. *P.*

424. [[βλέπει γέ τοι : Τὸ γέ τοι ἢ ἀντὶ τοῦ δέ, ἢ ἀντὶ τοῦ γάρ· ὃ καὶ κρεῖττον. εὕρηται δὲ καὶ ἐν πολλοῖς τῶν λογοποιῶν, ὡς ἐξετάζων εὑρήσεις.]]

[[τραγῳδικὸν : Θρηνῶδες, καὶ οἷον ἐν ταῖς τραγῳδίαις οἱ ποιηταὶ εἰσάγουσι.]] — βλέπει : Ὀρθῶς ἔφης δηλ. *P.* γέ τοι : Γάρ. μανικὸν : Ἄγριον. *Dv.* ἀσυμπαθές. *P.* τραγῳδικὸν : Δαιμονικόν. *Dv.* θρηνῶδες. *P.*

425. ἀλλ' οὐκ ἔχει γὰρ δᾷδας : Ἐπειδὴ παρὰ (τὸ) σχῆμα ἦλθε· καὶ γὰρ ἐν ταῖς τραγῳδίαις μετὰ λαμπάδων εἰσήρχοντο αἱ Ἐριννύες. [[τὸ δὲ γὰρ ἀργὸν, ὡς ὑποτασσόμενον τοῦ ἀλλά.]] — ἔχει : Κρατεῖ. *P.* μετὰ δᾴδων εἰσήγαγον τὰς Ἐριννύας, δεικνύντες τὸ θερμὸν καὶ διάπυρον τῶν καταρῶν. P.

οὐκοῦν κλαύσεται : (Ἀντὶ τοῦ οἰμώξεται,) ὡς μὴ οὖσα κατὰ φύσιν φοβερὰ, ἀλλὰ μάτην ἀπατῶσα ἡμᾶς.

426. πανδοκεύτριαν : Ἀντὶ τοῦ κάπηλιν, παρὰ τὸ δέχεσθαι πάντας. εἴρηται κάπηλις παρὰ τὸ κακύνειν τὸν πηλόν· πηλὸς δὲ ὁ οἶνος· ὅθεν καὶ ἄμπελος, οἱονεὶ ἔμπηλος οὖσα, ἡ ἐν αὐτῇ ἔχουσα τὸν πηλόν. — οἴεσθε : Νομίζετε. *P.* πανδοχεύτριαν : Ξενοδόχον. Θ. *Dv.* πανδοκεύτριαν : Καπήλισσαν. *P.*

427. ἢ λεκιθόπωλιν : (Ἀπὸ τοῦ χρυσίζοντος τοῦ ὠοῦ, ὠόπωλιν· λέκιθος δὲ κυρίως τὸ ξανθὸν τοῦ ὠοῦ, διὰ τὸ τῷ λέπει κεύθεσθαι. ἔστι δὲ καὶ) εἶδος ὀσπρίου, ὃ καλεῖται πίσος διὰ τὸ ἐοικέναι τὴν χροιὰν λεκίθῳ ὠοῦ. ἀπὸ μέρους οὖν τὴν ὀσπριόπωλιν δηλοῖ. καὶ ἐν τῇ Λυσιστράτῃ [561] κέχρηται τῇ λέξει·

(νὴ Δί' ἔγωγ' οὖν ἄνδρα κομήτην φυλαρχοῦντ' εἶδον ἐφ' ἵππῳ

εἰς τὸν χαλκοῦν ἐμβαλλόμενον πῖλον λέκιθον παρὰ γραός.)

λεκυθόπωλιν: Ὀσπριοπώλιδα. λέκυθος εἶδος ὀσπρίου. ἢ ὠοπώλιδα. λέκυθος γὰρ καὶ ὁ κροκὸς τοῦ ὠοῦ. Θ. ὀσπριόπωλιν. *Dv.* ὀσπριόπωλιν μετὰ ὠοῦ πωλοῦσαν. *P.* λεκυθόπωλις λέγεται ἡ τὰ ὑέλινα ἀγγεῖα κυρίως πωλοῦσα. P. τοσουτονὶ : Μέγα. *Dv.*

428. ἐνέκραγες : Ἐλοιδόρεις, ὥσπερ αἱ κύνες ποιοῦσι. ἀνέκραγες : Ἠπείλεις. ἡμῖν : Παρ' ἡμῶν. *Dv.* ὥσπερ ἐκεῖναι ποιοῦσιν ἀλόγως καὶ δίχα προφάσεως ἀεὶ θόρυβον ἐγείρουσαι. Θ.

429. ἄληθες : Ἀληθῶς τοῦτο λέγετε· ἐστὶ δὲ εἰρωνικόν. Θ. *Dv.* τοῦτο λέγετε, ὅτι οὐκ ἠδικήσατε ἐμὲ μεγάλως. *P.* τὸ μὲν προπαροξύτονον ἄληθες ἀντὶ ἐπιρρήματος λαμβάνεται, ὡς κἀνταῦθα. τὸ δὲ ὀξύτονον τὸ ἀληθὲς, οἷον τἀληθὲς γὰρ οὐκ ἐθέλεις φράσαι, ὄνομά ἐστι. P.

430. χώρας ἐκβαλεῖν : Τῶν Ἀθηναίων ἀποδιῶξαι. *P.* ἐκβαλεῖν : Ἀποδιῶξαι. *Dv.*

431. τὸ βάραθρον : Χάσμα τι φρεατῶδες καὶ σκοτεινὸν ἐν τῇ Ἀττικῇ, ἐν ᾧ τοὺς κακούργους ἔβαλλον. ἐν δὲ τῷ χάσματι τούτῳ ὑπῆρχον ὀγκίνοι, οἱ μὲν ἄνω, οἱ δὲ κάτω. (ἐνταῦθα τὸν Φρύγα τὸν τῆς μητρὸς τῶν θεῶν ἐνέβαλον ὡς μεμηνότα, ἐπειδὴ προέλεγεν ὅτι ἔρχεται ἡ Δημήτηρ εἰς ἐπιζήτησιν τῆς Κόρης. ἡ δὲ θεὸς ὀργισθεῖσα ἀκαρπίας ἔπεμψε τῇ χώρᾳ· καὶ γνόντες τὴν αἰτίαν διὰ χρησμοῦ, τὸ μὲν χάσμα κατέχωσαν, τὴν δὲ θεὸν θυσίαις ἵλαον ἐποίησαν.) — ὑπόλοιπον : Περιλελειμμένον. *P.* τὸ βάραθρον : Ὁ ᾅδης. *Dv.* ὁ κρημνός. *P.*

432. αὐτίκα μάλα : Ἥγουν λίαν συντόμως. *Dv.* τὸ πρᾶγμα λέγειν, οὐ τὸ ὄνομα. R.

433. ἐκείνη εἰμὶ δηλ. ἢ κτλ. σφὼ : Ὑμῖν. δίκην : Τιμωρίαν. *P.*

434. ἐνθάδ' : Ἀπ' ἐντεῦθεν. *P.*

435. καπηλὶς : Κάπηλις προπαροξυτόνως ἡ τὸν οἶνον πιπράσκουσα γυνὴ, ἀπὸ τοῦ κακύνειν, ὅ ἐστι δολοῦν, τὸν πηλὸν, ἤτοι τὸν οἶνον· — ὡς καὶ ἄμπελος ἡ ἔμπηλος οὖσα. P. καπηλὶς δὲ ὀξυτόνως ὑποκοριστικῶς, ἡ ταύτης ὑπηρετὶς τῆς καπήλεως. Junt. ἡ κάπηλις : Ἡ οἰνοπῶλις. Θ. *Dv.* ἡ ἀπ' ἐκ τῶν γειτόνων : Ἤτοι ἡ πλησίον οὖσα. *P.*

436. (ἢ ταῖς κοτύλαις : Ἀντὶ τοῦ παρακλέπτουσά με ταῖς κοτύλαις· ἤτις, φησὶ, κοντομετροῦσά με βλάπτει· οἷον ταῖς μεταφοραῖς τῶν μέτρων ἀπατῶσά με, [ἢ μετὰ ὕδατος μιγνύουσα δίδωσιν·] ὡς τοῦ Βλεψιδήμου πεπωκότος καὶ δεδωκότος ἀργύριον. κοτύλη δέ ἐστιν εἶδος μέτρου, ὃ λέγομεν ἡμεῖς ἡμίξεστον.) — τοῖς μέτροις ἐν οἷς πιπράσκει τὸν οἶνον ζημιοῖ. Θ. *Dv.* κοτύλαις : Καρτελούραις. (Θ.) διαλυμαίνεται : Ἀφανίζει. *P.* λυμαίνεταί με, φησὶ, ταῖς κοτύλαις, ἐπεὶ οὐ πλήρεις αὐτάς μοι δίδωσιν, ἢ μετὰ ὕδατος μιγνύουσα δίδωσι. κοτύλη δὲ οὐ μόνον τὸ κοῖλον τῆς χειρὸς, ἀλλὰ καὶ εἶδος μέτρου, ὃ ἡμεῖς ἡμίξεστον λέγομεν. λέγεται καὶ ἐπὶ τῶν ποδῶν τοῦ πολύποδος καὶ τὸ ἰσχίον τοῦ μηροῦ.

437. Πενία μὲν οὖν : Οὐκ εἰμὶ ἣν λέγετε. Θ. *Dv.* μὲν οὖν : Εἰμί. ξυνοικῶ : Συνυπάρχω. *P.*

438. ἄναξ Ἄπολλον : Ἰδίως τὸν Ἀπόλλωνα ἢ ὡς ἀλεξίκακον καὶ χρησμοὺς παρέχοντα πρὸς ἀποτροπὴν τῶν δεινῶν, ἢ ὡς πατρῷον θεόν. — παρεπιγραφή· ὅτι Βλεψίδημος ἔφευγεν ἀκούσας ὅτι ἡ πενία ἐστὶν Θ. *Dv.* ποῖ : Ποῦ. *P.*

439. τί δρᾷς : Παρεπιγραφή. ὁρᾷ γὰρ τοῦτον φεύγοντα. *P.*

θηρίον : Δειλότατον μὲν αὐτὸν λέγει διὰ τὴν παροῦσαν φυγήν· θηρίον δὲ διὰ τὸ θηριωδῶς πρὸς Χρεμύλον πρώην διατεθῆναι καὶ ἐλέγχειν αὐτόν. *P.*

440. [ἥκιστα πάντων : Ὥσπερ φαμὲν μάλιστα πάντων, καὶ ἔστι τὸ μάλιστα ἐπίτασις ὑπερθετικὴ, οὕτω καὶ ἥκιστα πάντων, καί ἐστιν ἀπαγόρευσις ὑπερθετικὴ.] — οὐδαμῶς. (R. Θ.) ἀργόν. *P.*

442. πόνηρ' : Γεωργέ. *Dv.* ταλαίπωρε. οὐδαμοῦ : Ἔν τινι τρόπῳ. *P.*

443. ἐξωλέστερον : Ἀπολέσθαι ὀφεῖλον, ἢ ἐξολοθρευτικώτερον, ἢ μᾶλλον ἐξολέσαι δυνάμενον. — ἐξωλέστερον : Ὀλεθριώτερον. Θ. *Dv.* φθαρτικώτερον, μᾶλλον ἐξολέσαι δυνάμενον. *P.*

444. ἀντιβολῶ : Παρακαλῶ. ἐγὼ μὲν οὔ : Στήσομαι. *P.*

445. παρὰ πολὺ : Κατὰ πολὺ, σφόδρα· ὡς παρὰ Θουκυδίδῃ ἐν πρώτῳ [c. 29] « καὶ ἐνίκησαν Κερκυραῖοι παραπολύ. » — παρὰ πολὺ : Κατά. *Dv.* παραπολὺ : Ἀντὶ τοῦ πάνυ πολύ. καὶ Θουκυδίδης « ὅτι ἐνίκησαν Κορκυραῖοι παρὰ πολύ. » R.

446. τὸν θεόν : Τὸν Πλοῦτόν φησι. V.

447. ἔρημον : Ἔρημος κυρίως ἡ μονωθεῖσα τῶν ἐνοικούντων γῆ, παρὰ τὸ ἔραν μόνην ἔχειν.

[ἀπολιπόντε ποι : Τὸ ποι ἐνταῦθα οὐκ ἔστιν ἐρωτηματικὸν, ἀλλ' ἀόριστον· ἐπὶ μὲν γὰρ κινήσεως μόνον τὸ ποῖ διὰ τῆς ο καὶ ι διφθόγγου γράφεται. διὰ δὲ τοῦ η γραφόμενον καὶ ἐπὶ στάσεως καὶ κινήσεως τίθεται· καὶ δῆλον ἐκ τοῦ, « πᾶ βῶ; πᾶ στῶ; » παρ' Εὐριπίδῃ [Hec. 1057]. εἰ δέ που καὶ διὰ διφθόγγου εὕρηται ἐπὶ στάσεως, κατὰ παράχρησίν ἐστιν.] — που φευξούμεθα : Ἔν τινι τόπῳ ἀποδράσομεν. *P.*

448. τηνδὶ : Τὴν πενίαν. (V.) διαμαχούμεθα : Ἐναντιωθῶμεν. *Dv.* μαχεσόμεθα. *LB.* μὴ θελήσομεν προμαχέσασθαι. V. ἤτοι μὴ θελήσομεν προμαχίσασθαι. *P.*

449. μαχούμεθ' αὐτῇ· ἀσθενεῖς γάρ ἐσμεν πρὸς μάχην ὑπὸ τῆς ἐνδείας. Θ. Dv. ἢ ποίᾳ δυνάμει θαρροῦντες. *Paris.*

450. θώρακα : Ὅπλον. *Dv.* λουρίκην. *P.* ἀσπίδα : Σκουτάριον. *Dv.* σουσάνιον. *Gl. ap. Ducang. Gloss. p.* 1413.

451. οὐκ ἐνέχυρον : (Δῆλον ὡς οὐ μόνον ἐνέχυρά φασιν, ἀλλὰ καὶ ἐνέχυρον. φαίνεται δὲ καὶ τῶν ἀπηγορευμένων εἶναι μὴ θεῖναι τὰ ὅπλα ἐνέχυρα. λέγει οὖν ὅτι αὕτη τῇ ἑαυτῆς βίᾳ ἀναγκάζει καὶ τοὺς νόμους παραβαίνειν τοὺς θεσπίσαντας ὅπλα ἐνέχυρα μὴ τιθέναι.)

[δέον εἰπεῖν ὅτι οὐ τιτρώσκει, ὡς ἐπὶ τῶν ὄντων ἐν πολέμῳ εἶπεν οὐκ ἐνέχυρον τίθησιν.] [εἰκότως δὲ τίθησι καὶ οὐ τέθεικε, δεικνὺς τὸ ἀεὶ οὕτω ταῦτα γίνεσθαι ἐν τοῖς πένησιν· ἀεὶ γὰρ ἀποροῦντες ἐνέχυρα τιθέασιν.]— ἐνέχυρον : Σημάδιον. *Dv.*

453. τροπαῖον : Οἱ παλαιοὶ Ἀττικοὶ προπερισπῶσιν, οἱ δὲ νεώτεροι προπαροξύνουσιν, [ὡς παρὰ τουτῳὶ τῷ ποιητῇ ἐν Θεσμοφοριαζούσαις [696]

γυναῖκες οὐκ ἀρήξετ'; οὐ πολλὴν βοὴν
στήσεσθε καὶ τροπαῖον;

καὶ οἶμαι κατ' ἀναλογίαν τοῦτο μᾶλλον παρὰ σφίσιν ἢ τοῦτο προφέρεσθαι, ὡς ἀπὸ τοῦ τρίτη τὸ τριταῖον, καὶ ἀπὸ τοῦ οὐρὰ τὸ οὐραῖον. ἔστι δὲ τρόπαιον, ὃ ἐν ταῖς νίκαις οἱ παλαιοὶ ἐποίουν, τοῖχον ἢ λίθον μέγαν ἱστάντες, καὶ γράφοντες ἐν τούτῳ, ἃ κατὰ τῶν ἀντιπάλων ἔργα δεδράκασιν· ἐκαλεῖτο δὲ τρόπαιον διὰ τὸ ἐπὶ τῇ τροπῇ τῶν ἐχθρῶν γεγενῆσθαι.] — τρόπαιον : Νίκην. *Dv.* ἀναστήσαιτο : Ἐγερεῖ. *P.* τῶν αὐτῆς τρόπων : Τῶν κακῶν ἐθῶν, ἃ εἰς τοὺς ἔχοντας αὐτὴν ἐργάζεται. Θ. *Dorvill.*

454. τὸ τυχὸν φθέγγεσθαι. καθάρματα δὲ αὐτούς φησιν ἀντὶ τοῦ εὐτελεστάτους. ἐπὶ αὐτοφώρῳ δὲ, ἐπὶ φανεροῖς ἐλέγχοις συνειλημένοι. V. [ὦ καθάρματε : Καθάρματα ἐλέγοντο οἱ ἐπὶ καθάρσει λοιμοῦ τινος ἤ τινος ἑτέρας νόσου θυόμενοι τοῖς θεοῖς. τουτὶ δὲ τὸ ἔθος καὶ παρὰ Ῥωμαίοις ἐπεκράτησε· λέγεται δὲ καὶ καθαρισμός.] — γρύζειν : Ποσῶς φθέγγεσθαι. καθάρματα : Βδελύγματα. *Dv. P.*

455. ἐπ' αὐτοφώρῳ εἰλημμένῳ : Φανερῶς, ἐπ' αὐτῷ τῷ ἔργῳ· κυρίως δὲ ἐπὶ τῶν κλεπτῶν τοῦτο λέγεται· φὼρ γὰρ ὁ κλέπτης. Θ. φανερῶς ἐπ' αὐτῇ τῇ κλεψίᾳ κρατηθέντες. *Dv.* ἐπ' αὐτοφώρῳ : Ἐπ' αὐτῷ τῷ κλέμματι. εἰλημμένῳ : Κεκρατημένῳ. *P.* κρατηθέντες. Θ.

456. [τί λοιδορεῖ : Τὸ λοιδορεῖσθαι παθητικῶς δοτικῇ συντάσσεται, ἐνεργητικῶς δὲ αἰτιατικῇ· ὃ καὶ ἀγνοοῦντές τινες λοιδορεῖς ἐνταῦθα γράφουσι, τὸ ἡμῖν πρὸς τὸ προσελθοῦσα συνάπτοντες.] — κάκιστ' ἀπολουμένη : Μέλλουσα κακίστως ἀφανισθῆναι. *P.* λοιδορῇ : Ὑβρίζεις. *Dorvill.*

457. οὐδ' ὁτιοῦν : Οὐδόλως. *P.*

458. ὦ : Ἄνδρες. *Dv.*

459. πειρωμένω : Βουλόμενοι ποιεῖν ἀναβλέψαι. *P.*

460. τοῦτό σε : Κατὰ τοῦτό σε. *P.*

461. ἐκπορίζομεν : Ἐξευρίσκομεν, περισσὴ (δὲ) ἡ πρόθεσις. R. V. παρέχομεν. *P.*

462. ὅ τι : Ἀγαθὸν ἐξεύροιμι. *P.*

464. ἐκβαλόντες : Ἀποδιώξαντες. *Dv.* ἐκδιώξαντες. *Paris.*

465. κακὸν : Ἄλλο. *P.*

466. ἐκ κοινοῦ κακὸν μέγιστον. R. δρᾶν μέλλοντες : (Ἀντὶ τοῦ,) εἰ μέλλοντες ἐκβαλεῖν σε ἐπιλαθοίμεθα. μέγα κακὸν πράττομεν τότε, (εἰ τοῦτο δρᾶν μέλλοντες, τὸ ἐκβαλεῖν σε, ἐπιλαθοίμεθα. Ἄλλως. ἐκ παραδόξου εἰρηκώς φησι, δράσαιμεν κακὸν ἀντὶ καλοῦ. ἢ εἰκῆ ἡ ἀπόκρισις.) — ἐπιλαθοίμεθα : Κακὸν μέγιστον ἐργασόμενοι ἀπὸ κοινοῦ. *P.*

467. περὶ τούτου : Τοῦ ἐκβαλεῖν με. σφωῖν : Ὑμῖν. *P.* σφῶϊν : Ὑμῖν· συνίζησις. *Dv.* δοῦναι λόγον : Ἧγουν διαλεχθῆναι. Θ. *Dv. P.*

468. τὸ πρῶτον αὐτοῦ : Τὸ αὐτοῦ ἐπιρρηματικῶς, ἀντὶ τοῦ ἐνταῦθα· ἢ σύναπτε τῷ τούτου, ἵν' ᾖ, περὶ αὐτοῦ τούτου· ἐκ παραλλήλου τὸ αὐτοῦ. Junt. τὸ πρῶτον : Κατά. *P.* αὐτοῦ : Τοπικὸν, ἢ μᾶλλον χρονικόν. *C.* ἐνταῦθα, ἢ τὸ τούτου καὶ τὸ αὐτοῦ ἐκ παραλλήλου. Θ. *E.* ἀποφήνω : Ἀποδείξω. Θ. *P.*

469. (οὖσαν αἰτίαν ἐμὲ : Ἰστέον, ὅτι ἡ Ἀττικὴ ἔλλειψις ἤτοι ἐν ἀρχῇ γίνεται, ὡς τὸ, ὅπως μὴ ποιήσῃς τόδε, νοουμένου ἔξωθεν τοῦ σκόπει· ἢ ἐν τῷ τέλει, ὡς ἔχει τὸ ἐν Νεφέλαις [267]

τὸ δὲ μὴ κυνῆν οἰκοθεν ἐλθεῖν ἐμὲ τὸν κακοδαίμον' ἔχοντα·

κἀκεῖ γὰρ νοεῖται ἔξωθεν τὸ οὐ σκαιόν; ἢ ἐν τῇ μέσῃ, ὡς τὸ παρ' Ὁμήρῳ [Il. A, 135]

ἀλλ' εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί;

λείπει γὰρ τὸ παύσομαι, ἢ ἡσυχάσω. καὶ Θουκυδίδῃ καταρχὰς τοῦ τρίτου τῆς συγγραφῆς [c. 3] « καὶ εἰ μὲν « συμβῇ ἡ πεῖρα· εἰ δὲ μὴ, Μιτυληναίοις εἰπεῖν ναῦς « τε παραδοῦναι καὶ τείχη καθελεῖν. » τὸ δὲ σχῆμα καλεῖται ἀνανταπόδοτον, ᾧ καὶ νῦν Ἀριστοφάνης ἐχρήσατο· οὐ γὰρ ἀποδέδωκε τὴν σύνταξιν ἐνταῦθα· ἔδει γὰρ εἰπεῖν, κἂν μὲν ἀποφήνω μόνην ἐμὲ ἀγαθῶν οὖσαν αἰτίαν, ἐάσατε· εἰ δὲ μὴ, ποιεῖτον ὅ τι ἂν ὑμῖν δοκῇ.) — οὖσαν αἰτίαν : Ὑπάρχουσαν πρόξενον ... πρότερον. *Paris.*

470. ὑμῖν δι' ἐμέ τε ζῶντας : Λείπει καταγνώσεσθε ἑαυτῶν· καὶ ἐάσατε παρ' ὑμῖν. ὅμοιον δὲ τὸ σχῆμα τῷ Ὁμηρικῷ « ἀλλ' εἰ μὲν δώσουσι γέρας· εἰ δέ κε μὴ « δώωσιν » R. προσυπακουστέον τὸ παύσασθε τῆς ἐπιχειρήσεως. *Dv. D.* ἐάσατε δηλονότι — *C.* ὑμῖν : Καὶ ἀποδείξω. ὑμᾶς : Παύσασθε τοῦ ἐγχειρήματος. εἰ δὲ μὴ : Ἀποφήνω, εἰ δὲ ἀδυνατήσω ἀποδεῖξαι τοῦτο ὑμῖν. *P.*

472. τουτὶ : Τὸ εἶναί σε αἰτίαν πάντων τῶν ἀγαθῶν, ἢ ὅτι ἡμεῖς διὰ σὲ ζῶμεν. *P.*

473. διδάσκου : Μάνθανε τοῦτο ἐξ ἐμοῦ. Θ. *P.*

474. ἁμαρτ. : Ἔξω τῆς ἀληθείας λέγοντας. *P.* ἁμαρτάνω σημαίνει δύο. ἁμαρτάνω λέγεται τὸ ἁμαρτίαν ποιῶ· ἁμαρτάνω λέγεται καὶ τὸ ἐκπίπτω. P.

475. εἰ : Ἐπεὶ τοὺς ἀγαθοὺς λέγεις κτλ. *P.*

476. ὦ τύμπανα : [Τοῦτό φησιν, ὡς τῆς Πενίας τῶν τοιούτων ἀξίας οὔσης.] (τύμπανα, ξύλα, ἐφ' οἷς ἐτυμπάνιζον· ἐχρῶντο γὰρ ταύτῃ τῇ τιμωρίᾳ· ἢ βάκλα, παρὰ τὸ τύπτειν· ἤγουν ξύλα, οἷς τύπτονται ἐν τοῖς δικαστηρίοις οἱ τιμωρούμενοι.) κύφων δὲ δεσμός ἐστι ξύλινος, ὃν οἱ μὲν κλοιὸν, οἱ δὲ καλιὸν ὀνομάζουσιν· ἔνθεν καὶ ὁ πονηρὸς ἄνθρωπος κύφων. τάσσεται δὲ κἀπὶ πάντων τῶν δυσχερῶν καὶ ὀλεθρίων, καὶ κυφωνι-

σμὸς ἐπὶ τῶν τιμωριῶν. Ἀρχίλοχος δὲ ἀντὶ τοῦ κακὸς καὶ ὀλέθριος. εἴρηται δὲ κύφων παρὰ τὸ ἀναγκάζειν τοὺς δεσμίους κύφειν, (διπλῶς ἅμα κολαζομένους, τῇ τε τοῦ τραχήλου πιέσει καὶ τῷ μηδαμῶς ἀνανεύειν δύνασθαι). Ἄλλως. ξύλα εἰσὶν ἐπιτιθέμενα εἰς τοὺς τένοντας τῶν καταδίκων, ἵνα μὴ εὔρωσιν ἀνακύψαι· (καὶ γὰρ τὸν κρινόμενον ποιοῦσι κύφειν.) — ταὐτὸν εἰπεῖν ἀντὶ τοῦ ὄργανα τιμωρητικά. βοηθήσετε. *P.* ἀρήξατε : Βοηθήσατε. *Dv.* κολαστήρια ὄργανα ἀμφότερα τὰ τύμπανα καὶ οἱ κύφωνες· τοῦτο δὲ λέγει, ὅτι τούτων ἀξία ἡ Πενία. Dv. κολαστήρια ὄργανα τά τε τύμπανα καὶ οἱ κύφωνες. τοῦτο δὲ λέγει δεικνὺς, ὅτι τῶν τοιούτων ἀξία αὐτή ἐστιν. τὰ δὲ τύμπανα, ὡς μέν τινες φασὶν, ξύλα, δι' ὧν τοὺς καταδίκους ἔτυπτον. κύφων δέ ἐστι ξύλον ὅμοιον ζυγῷ, ὃν τιθέασιν κατὰ τῶν τραχήλων τῶν δικαζομένων, κύπτειν αὐτοὺς παρασκευάζων, ἵνα διπλῶς αὐτοὺς κολάζῃ, καὶ μὴ ἐῶν αὐτοὺς ἀνανεύειν οὐδ' ὅλως. P.

477. οὐ πρέπει δεινοπαθεῖν καὶ κραυγάζειν, πρὶν ἂν γνωρίσῃς. *P.*

478. βοᾷν : Κράζειν. ἰοὺ, ἰού : Ἐπίρρημα θρηνητικόν. *P.*

480. τί δῆτά σοι τίμημα : Ἐπέβαλλον γὰρ ἐνίοτε ζημίαν τοῖς ἁλοῦσιν ἢ χρήματα καταθέσθαι, ἤ τι τοιοῦτον. (τῇ δίκῃ δὲ, τῇ τιμωρίᾳ.) — τίμημ' : Εἶδος τιμωρίας. Θ. *Dv. P.* τίμημ' ἐπιγράψω : Πρόστιμα ἐπιθῶ τῇ κρίσει. *P.* τῇ δίκῃ : Τῇ ὀφειλομένῃ σοὶ τιμωρίᾳ. Θ. *Dv.*

[τῇ δίκῃ : Ἤγουν τῇ κρίσει ἢ τῇ ὀφειλομένῃ σοι τιμωρίᾳ· ἤγουν, ἐπειδὴ ὀφειλόμενόν ἐστι δίκην δοῦναί σε, ἐὰν ἡττηθῇς, τίνα κόλασιν ὑπόσχῃς. ἔθος δὲ ἦν πάλαι τοῖς δικαζομένοις γράφειν πρὸ τῆς κρίσεως, ὡς τιμωρίαν ἡττηθεὶς δοίη, εἶτα δὲ ἐπιγράφειν, τουτέστιν, ἐπὶ τῇ προτέρᾳ γραφῇ καὶ τοῦτο γράφειν, ὡς καὶ τοιάνδε τιμωρίαν, ἢ βίου τυχὸν ἀφαίρεσιν, ἢ κεφαλῆς. Junt.]

481. ἁλῷς : Κρατηθῇς. *Dv.*

482. τὸ γὰρ αὐτὸ, ἐὰν ἡττᾶσθε : (Ἀντὶ τοῦ, τὴν αὐτὴν ζημίαν·) τοῦτο δὲ θέλει εἰπεῖν, ὅτι ὅπερ ὁρίσητε πρόστιμον, ἐὰν ἡττηθῶ, τοῦτο ὁριστέον ὑμῶν ἡττημένων. Ἄλλως. τιμωρίαν· εἰθιστο γὰρ τὸ τῆς ἥττης ἤδη καὶ πρόστιμον ὁριζόμενον ὑπὸ τῶν κρινομένων. — τὸ γὰρ αὐτὸ : Τίμημα. ἡττᾶσθε : Νικᾶσθε. σφῷ : Ὑμᾶς. *P.*

483. ἱκανοὺς νομίζεις : Ἀντὶ τοῦ ἀρκοῦντας· (ὁ γὰρ ἱκάνων, ὅ ἐστι παραγινόμενος, ἤρκεσε πρὸς τὴν ὁδόν.) — ἱκανοὺς : Ἀρκετούς. *Dv.* νομίζεις : Ὦ Χρεμύλε. *Dv. P.*

484. ἀποχρήσουσι : Ἀπόχρη ἐπὶ ἐνεστῶτος ἀντὶ τοῦ ἀρκετόν ἐστι, καὶ ἀποχρῶσα δίκη ἐπὶ θηλυκοῦ, ἀντὶ τοῦ ἀρκετὴ ὑπάρχει, καὶ ἐπὶ μέλλοντος ἀποχρήσει, ἀντὶ τοῦ ἀρκετὸν γενήσεται. Junt. ταύτῃ γε : Ἤγ. τῇ Πενίᾳ νομίζ. ἱκανοὺς θαν. εἴκοσι. *P.* νῶϊν : Ἡμῖν· συνίζησις. *Dv.* ἀποχρήσουσι : Ἀρκέσουσι. Θ. *Dv.* ἀρκετοὶ γενήσονται. *P.*

485. τοῦτο πράττοντες : Ἀντὶ τοῦ ἀποθανόντες. οὐκ ἂν, φησὶν, ἀναβάλοισθε ἀποθανόντες· (ἀντὶ τοῦ ταχέως ἀπελθόντες τελευτήσατε. εἰ γὰρ νικήσετε, οὐκέτι δίκαιόν ἐστιν. Ἄλλως. οὐκ ἂν μὲ, φησὶ, νικήσετε· ἐὰν δέ γε νικήσητε, οὐχ ὑπάρχει δίκαιον.) — οὐκ ἂν φθ. : Ἀντὶ τοῦ ταχέως τοῦτο πάθοιτε. *P.* τοῦτο διπλοῦν. ἢ ταχέως πείσεσθε τοῦτο, ἡττηθέντες· ἢ ταχέως ποιήσετε τοῦτο πρός με ἡττηθεῖσαν. πράττω γὰρ καὶ τὸ ποιῶ καὶ τὸ πάσχω. *Dv., Br.*

486. ἀντειπεῖν : Ἐναντιωθῆναι, ἡνίκα ἡττηθῇ. *P.*

487. ἀλλ' ἤδη χρῆν τι λέγειν : (Κομμάτιόν ἐστι δύο στίχων ἢ τριῶν· οὐδέποτε δὲ ὑπερβάλλει τὸν τέταρτον. τὸ δὲ ἑξῆς, χρὴ λέγειν ὑμᾶς ἀντιλέγοντας.) — Ἄλλως. παράβασις· ὁ γὰρ ποιητὴς δοκεῖ τὸ σκέμμα γυμνάζειν. V. τὸ (δὲ) μέτρον ἀναπαιστικὸν τετράμετρον (καταληκτικὸν εἰς συλλαβήν). δέχεται δὲ ἀνάπαιστον, σπονδεῖον καὶ δάκτυλον [παρὰ τοῖς δραματοποιοῖς· σπανίως δὲ καὶ προκελευσματικόν. Ἄλλως. ἀλλ' ἤδη χρῆν τι λέγειν : Εἴσθεσις διπλῆς ἀμοιβαίας ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν, ὧν τελευταῖος

τοὺς δὲ πένητας τῶν ἀνθρώπων ἁρπάζειν, πρὶν καταθεῖναι.

καλεῖται δὲ τοῦτο τὸ μέτρον Ἀριστοφάνειον διὰ τὸ κατακόρως αὐτὸν τούτῳ χρήσασθαι, οὐ μὴν εὑρηκέναι πρῶτον· ἐπεὶ καὶ παρὰ Κρατίνῳ καὶ πρὸ τούτου παρ' Ἐπιχάρμῳ καὶ Ἀριστοξένῳ τῷ Σελινουντίῳ Ἐπιχάρμου πρεσβυτέρῳ, ὡς Ἡφαιστίων φησὶ, τούτῳ τινὰ τῷ μέτρῳ μνημονεύεται γεγραμμένα. ἐπὶ ταῖς ἀποθέσεσι τῶν συστημάτων παράγραφος, ἐπὶ δὲ τῷ τέλει τῶν στίχων διπλῆ ἔξω νενευκυῖα.] — ὦ : Δι' οὗ. *P.*

488. μαλακὸν δ' ἐνδώσετε μηδέν : Ἡρόδοτος ἐν Θαλείᾳ [3,105] « τὰς δὲ θηλέας ἀναμιμνησκομένας ὧν ἔλιπον τέκνων ἐνδιδόναι μαλακὸν οὐδέν. » Junt. τοῖσι : Ἡμετέροις. ἀντιλέγοντες : Ἐναντιούμενοι. μαλακὸν : Χαῦνον. ἐνδώσετε : Ὑποχαλάσατε. Θ. *P.* ὑποχαλάσετε. *Dv.* ἀντὶ τοῦ μὴ μαλακισθῆτε τῇ Πενίᾳ. Θ.

489. φανερὸν : Ἐγνωσμένον. *P.* ὁμοίως : Ἐπίσως. *Vict.*

490. εὖ πράττειν : Εὐτυχεῖν. *P.* εὐτυχεῖν ἐστι τοὺς δικαίους· δυστυχοῦσι δέ. V.

491. πονηροὺς : Κακοὺς καὶ ἀσεβεῖς. τούτων : Τῶν χρηστῶν. δήπου : Ἐστὶ δίκαιον πράττειν, ἤγουν δυσπραγεῖν. *P.* περὶ σχολῆς καὶ ἀργίας· ὥστε ἡ σχολὴ μόχθου δηλωτική. V.

492. τοῦτ' οὖν : Τὸ πλουτεῖν μὲν τοὺς χρηστοὺς, δυστυχεῖν δὲ τοὺς κακούς. *P.* ἐπιθυμοῦντες : Ποιῆσαι δηλονότι. *Vict.*

493. βούλημα καλὸν : Βούλευμα μὲν τὸ ἴδιον, βούλημα δὲ τοῦ δημοσίου ἡ γνώμη. [καίτοι ἐν τοῖς παλαιοῖς τῶν Σοφοκλείων [Aj. 44] ἀντιγράφων

ἢ καὶ τὸ βούλημ' ὡς ἐπ' Ἀργείοις τόδ' ἦν,

εὕρηται, οὐχὶ βούλευμα. ἐν δὲ τῷ ὥστε γενέσθαι παραπληρωματικὸν κεῖται τὸ τε, ὡς καὶ ἐν τῷ οἷόν τε. τὸ δὲ βλέψῃ, καὶ μὴ τυφλὸς ὢν περινοστῇ, δηλοῖ ἐκ παραλλήλου ταὐτὸν σημαίνειν. τὸ δὲ βαδιεῖται, καὶ φευξειται, οὐ μόνον Αἰολικὰ, εἴτε Δωρικὰ, ἀλλ' ἤδη καὶ Ἀττικά. τὸ δὲ δήπου βεβαιωτικόν. τὸ δὲ τοὺς δὲ πονηροὺς καὶ τοὺς ἀθέους, διὸ ἐνταῦθα εἴρηται διὰ τὸ καίριον· κεῖται δὲ καὶ μετ' ὀλίγα. τὸ δὲ τούτων, εἰ μὲν ἀρσενικὸν, τῶν χρηστῶν ἀνθρώπων· εἰ δὲ οὐδέτερον, ὧν εὖ πάσχουσιν οἱ χρηστοί. τοὺς δὲ τὰ θεῖα σέβοντας, ὡς ἐναντίους τοῖς ἀθέοις ἔθετο· ἐνταῦθα δὲ ὅρα τὸ σέβοντας, νῦν μὲν λεχθὲν ἐνεργητικῶς, παρὰ δὲ τοῖς ὑστερον τὰ πλείω παθητικῶς· τὸ δὲ πάντας χρηστοὺς, ὅτι οἱ πονηροὶ τοὺς ἀγαθοὺς ἰδόντες διὰ τοῦτο εὖ πράττοντας, ἐθελήσουσι τὸν πρότερον ἀφέντες βίον μεταπεσεῖν ἐπὶ τὰ ἀμείνω, ἵνα δι' αὐτὸ τοῦτο εὖ πράττωσιν. τὸ δὲ καί τοι τούτου τίς ἂν ἐξεύροι ποτ' ἄμεινον, ἐπικριτικόν ἐστι σχῆμα δι' ἐρωτήσεως ἀναντιρρήτως βεβαιούμενον, ἐν ᾗ τὸ τίς ταὐτόν ἐστι τῷ οὐδείς, ὡς καὶ ἐν ἄλλοις μυριαχοῦ φαίνεται. τὸ δὲ ἀνερώτα ἢ περιττὴν ἔχει τὴν πρόθεσιν, ἢ δηλωτικόν ἐστι τοῦ πολλάκις ἐρωτᾶν. ἐνταῦθα δὲ σημαίνει ὅτι ἔθος τοῖς ποιηταῖς ἐν ταῖς ἐρωτήσεσι, καθ' ἃς οἴεταί τις ἀντιλογίαν εὑρεῖν ποθεν, παράγειν πρόσωπον φιλικὸν ἀποκρινόμενον τὸ ἀρέσκον τῷ ἐρωτῶντι· ὡς καὶ ἐνταῦθα ὁ Βλεψίδημος ποιεῖ· δεδιὼς γὰρ μή ποτε ἡ Πενία πρὸς τὴν τοῦ Χρεμύλου ἀπαντήσῃ ἐρώτησιν, ἀποκρίνεται αὐτὸν τὸ δοκοῦν τῷ Χρεμύλῳ. ἐν δὲ τῷ κακοδαιμονίαν τ' ἔτι μᾶλλον, δοκεῖ χεῖρον μανίας ἡ κακοδαιμονία εἶναι. ἴσως δὲ καὶ ἐπιδιορθωτικῶς αὐτὸ εἴρηται, ὡς τῶν κατὰ βίον ἀταξιῶν μανίᾳ μὲν οὐκ ἂν ἐοικυιῶν, δυσδαιμονίᾳ δὲ μάλιστα.]

βούλευμα : Σκέμμα. χρήσιμον : Ἐπωφελὲς εἰς πᾶσαν πρᾶξιν. *P.*

494. νυνὶ βλέψῃ ... περινοστῇ : Ἐκ παραλλήλου περιφέρηται ἄνω καὶ κάτω. *Dv. Vict.* πλανᾶται. *P.*

495. ὡς : Εἰς. βαδιεῖται : Βαδίσει. ἀπολείψει : Ἐάσει. *P.*

496. πονηροὺς : Κακοτρόπους καὶ ἀσεβεῖς φυγεῖ. *P.*

497. σέβοντας : Τιμῶντας. *P.*

498. τούτου : τοῦ πάντας ἀγαθοὺς ποιῆσαι. R. V. ἐξεύροι : Ἐπινοήσαιτο. *P.*

499. οὔτις : Οὐδεὶς ἐπινοήσει δηλ. ταύτην : Τὴν Πενίαν δηλ. *P.*

500. ὡς : Καθά. ἡμῖν : Ἐν ἡμῖν. *P.*

501. μανίαν : Διὰ τὸ ἀτάκτως φέρεσθαι. Θ. *Dv.*

502. πλουτοῦσι : Χρήματα ἔχουσι. *P.*

503. ἀντὶ τοῦ ἐν πλεονεξίας αὐτὰ εἰληφότες καὶ κτησάμενοι. V. αὐτὰ ξυλλεξάμενοι : Ἃ ἔχουσι συναγαγόντες. Θ. *Dv.* αὐτὰ : Ἃ ἔχουσι. *P.*

504. πράττουσι κακῶς : Πάσχουσι, δυστυχοῦσι. *Dv.* δυστυχοῦσιν. τὰ πλεῖστα σύνεισιν : Περισσότερα ὑπάρχουσιν. *P.* συνέρχονται. R. V.

505. οὐκοῦν εἶναί φημι : [Ὁ νοῦς, οὐκοῦν εἰ παύσει ταῦτα ὁ Πλοῦτος, ἤν ποτε βλέψῃ, φημὶ εἶναι ὁδὸν, ἥντιν' ἰὼν τοῖς ἀνθρώποις ἀγαθὰ ἂν μείζω πορίσειε.] (κακόμετρος οὗτος ὁ στίχος· ἐν ἑνίοις δὲ καὶ ἄμετρος. ὁ δὲ νοῦς ὅδε·) οὐκοῦν εἶναί φημι ὁδὸν ἑτέραν, ἣν βαδίσας τις ἀγαθόν τι μεῖζον τοὺς ἀνθρώπους ἐργάσεται. λέγει δὲ ὅτι δεῖ τὸν Πλοῦτον ἀναβλέψαι ποιῆσαι. ἐὰν δέ τις προσθῇ τὸν καί, ἴσταται ἡ φράσις· οὐκοῦν ἢν βλέψῃ ποτὲ ὁ Πλοῦτος, φημὶ εἶναι ὁδὸν, ἥντινα ἰὼν παύσει ταῦτα καὶ τοῖς ἀνθρώποις ἀγαθὰ ἂν μείζω πορίσειεν. Ἄλλως. τὸ οὐκοῦν ἀποφαντικόν ἐστιν ὅτι ἐὰν βλέψῃ ὁ Πλοῦτος καὶ παύσῃ τὴν Πενίαν, οὐκέτι κακοδαιμονία εἴη. τὸ δὲ ἔξῃς, οὐκοῦν εἶναί φημι ὁδὸν, ἥντινα ἰὼν ὁ Πλοῦτος βλάψει ταύτην, καὶ τὰ ἀγαθὰ μείζω πορίσειε τοῖς ἀνθρώποις. [Ἄλλως. οἱ γράφοντες φημί, δίχα τοῦ ἄρθρου τοῦ ἥ, στοχάζεσθαι τῶν μέτρων δοκοῦσιν οὐ μάλα ἀκριβῶς· τὸ γὰρ ἔξῃς οὕτως ἔχει, οὐκοῦν εἶναί φημι ὁδὸν, ἥτις παύσει ταῦτα, ἣν βαδίσας τις ἀγαθὸν τοῖς ἀνθρώποις πορίσειεν. ἡ δέ ἐστιν, ἣν βλέψῃ πόθ' ὁ Πλοῦτος. οἱ πολλοὶ δὲ λαμβάνουσιν ἔζωθεν γάρ, πρὸς τὸ φημί· οὐκοῦν παύσει ταῦτά ποτε ὁ Πλοῦτος, ἣν βλέψῃ· φημὶ γὰρ εἶναι ὁδὸν, ἥντινα ἰὼν πορίσειε τοῖς ἀνθρώποις μείζω ἀγαθά.]

506. ὁδὸν ἥντιν' ἰὼν : Μέθοδον ἥντιν' ἐλθὼν Πλοῦτος. *C.* μέθοδον. ἰὼν : Ὁ Πλοῦτος. *P.* πορίσειεν : Δώσοι. *Borg.* παράσχοι. *P.*

507. ῥᾷστ' : Εὐχερῶς. ἀναπεισθέντ' : Οἱ καταπεισθέντες τὰς φρένας. *P.*

508. ξυνθιασώτα : συγχορευταί· θίασος γὰρ ὁ χορός. V. συγχορευταὶ καὶ κοινωνοί. Θ. *Dv.*

509. πάλιν δῆλον ὅτι οὐκ οἶδεν ἡ Πενία τὴν Χρεμύλου γνώμην καὶ τὴν τοῦ Πλούτου ὅτι πρὸς μόνους τοὺς δικαίους ἥξει. — λυσιτελεῖν : Οὐδαμῶς λέγω χρησιμεύειν καὶ ὠφελεῖν ὑμῖν. *P.*

510. διανείμειε : Διαμερίσειε πᾶσιν ἐπίσης. Θ. *P.*

511. σοφίαν μελετῴη : Σοφίαν ἐνταῦθα καλεῖ τὴν περὶ τὰς τέχνας πανουργίαν καὶ μηχανὴν, τέχνην δὲ τὴν μεταχείρησιν αὐτὴν καὶ ἐνέργειαν. Junt., Dv., Vict. σοφίαν : Μάθημα. *P.*

512. ἀμφοῖν : Τῆς σοφίας καὶ τῆς τέχνης. τὸ δὲ ἔξῃς, τίς ἐθελήσει. R.V.

513. χαλκεύειν... ναυπηγεῖν : Χαλκεὺς, ναυπηγὸς εἶναι. τροχοποιεῖν : Τροχοὺς ποιεῖν ἁμάξης. *P.* ἁμάξας ποιεῖν καὶ τροχούς. V.

514. σκυτοτομεῖν τὸ δέρμα, ἤγουν ὑποδήματα κατασκευάζειν. V. σκυτοτομεῖν... πλινθουργεῖν : Σκυτοτόμος εἶναι, πλίνθους ποιεῖν. *P.*

515. Δηοῦς θερίσασθαι : [Ἀντὶ τοῦ γεωργίας ἐπιμελεῖσθαι.] ἤδη τὸ ἔπος τοῦτο τῆς μέσης κωμῳδίας ὄζει. (καρπὸν οὖν Δηοῦς τὸν σῖτον λέγει.) — ἀρότροις ῥήξας : Δι' ἀρότρου σχίσας, τεμὼν τὴν ἐπιφάνειαν τῆς γῆς. Θ. *Dv. P.* δάπεδον : Τὸ ἔδαφος. *Dv.* Δηοῦς : Τῆς γῆς. *P. Vict.*

516. ἐξῇ ζῆν ἀργοῖς : Πρὸς τὸ ἀνώτερον· τίς ἐθελήσει τέχνην μετελθεῖν, ἐὰν ἔξεστιν ὑμῖν ἀργοῖς ζῆν τούτων ἀμελοῦσιν. [Ἄλλως. τὸ ἐξῇ ζῆν πρὸς τὸ, ἐθελήσει

τίς, ἔχει τὴν δύναμιν. διότι δὲ μετὰ ταῦτα μὲν τίθεται, τὴν δὲ τῶν τεχνῶν ἀπαρίθμησιν προέταξε, διὰ τοῦτο εἶπε τὸ τούτων. οἱ δὲ ἀπ' ἄλλης ἀρχῆς τὸ, ἦν ἐξῆν, λέγοντες, καὶ σκοπεῖτε ἔξωθεν λαμβάνοντες οὐκ ὀρθῶς οἴονται.] — ἐξῆ : Ἄδεια ὑπάρχει. πάντων : Ὧν ἔφην. *P.*

517. λῆρον ληρεῖς : Ἀντὶ τοῦ κατὰ λῆρον. — φλυαρίαν φωνεῖς. V. Ἀττικὴ δὲ ἡ φράσις. (καὶ τὸ σχῆμα, ὡς τὸ μανίαν μαίνῃ,) [καὶ ὅλως ἐφ' ὧν τῷ πράγματι ἐπάγεται τὸ ἀπὸ τοῦ πράγματος ῥῆμα, ὡς τὸ, ὕβριν ὑβρίζεις, καὶ φυγὴν φεύγεις.] — λῆρον ληρεῖς : Φλυαρεῖς. *P.* Ἀττικὴ παρήχησις. κατέλεξας : Ἀπηρίθμησας. Θ. *Dv.*

518. μοχθήσουσιν : Οἱ δοῦλοι μετὰ μόχθου ἐργάσονται. ἕξεις : Κτήσει δούλους. *P.* λούσεις. *Dv.*

519. ἀργυρίου : Διά. *P.*

520. κέρδος κυρίως τὸ εἰς χεῖρας διδόμενον ἀργύριον χέρδος τι ὄν. R.V.

521. ἔμπορος ἦκων : Ἔμπορος ὁ πραγματευτικὸς ἄνθρωπος· κυρίως δὲ ὁ πλέων θάλασσαν, παρὰ τὸ πόρος· πόρος δὲ κυρίως ἐπὶ ὑγρῶν λέγεται· καὶ εὔπορος ὁ ἔχων ἀεὶ τὸν ἐπιρρέοντα πλοῦτον, ἐκ μεταφορᾶς τοῦ ὑδατικοῦ πόρου. διαβάλλονται δὲ οἱ Θετταλοὶ ὡς ἀνδραποδισταὶ (καὶ αἰσχροκερδεῖς) καὶ ἄπιστοι· ἀεὶ γὰρ τὰ Θετταλῶν ἄπιστα, [ἡ παροιμία φησίν]. καὶ Εὐριπίδης (ἐν Ἰνοῖ)

πολλοὶ παρῆσαν, ἀλλ' ἄπιστοι Θετταλοί.

δῆλον δὲ καὶ ἀπὸ Ἰάσονος, ὃς ἠνδραπόδισε τὴν Μήδειαν. ἀνδράποδον δὲ εἴρηται ὁ ποὺς ὁ ἐν ἀνδράσιν, ἀπὸ τοῦ ὑποκειμένου μέρους τῷ ὅλῳ· ὑπόκειται γὰρ τῷ δεσπότῃ ὁ οἰκέτης καθάπερ ὁ ποὺς τῷ ὅλῳ καὶ ἀνωτέρῳ σώματι.

παρὰ πλείστων ἀνδραποδιστῶν : Καὶ αὐτὸς παρὰ ἀνδραποδιστῶν λαβών. εἴρηται δὲ ἀνδραποδιστὴς παρὰ τὸ ἄνδρας ἀποδίδοσθαι, τουτέστι πωλεῖν. — Ἄλλως. ἀνδραποδιστὴς οὐ μόνον ὁ τοὺς ἐλευθέρους δι' ἀπάτης ἀπάγων εἰς δουλείαν, ἀλλὰ καὶ ὁ τοὺς δούλους ἀπὸ τῶν δεσποτῶν ἀποσπῶν εἰς ἑαυτὸν ἐπὶ τῷ ἀπαγαγεῖν ἀλλαχοῦ καὶ διαπωλῆσαι. διεβάλλοντο γοῦν οἱ Θετταλοὶ ὡς οὐ μόνον τούτοις χαίροντες, ἀλλὰ καὶ λῃστείαις. ἀφ' ὧν οἱ ἔμποροι ἀνδράποδα ὠνούμενοι εἰς ἑτέρας ἐπώλουν ἠπείρους, ἀφ' ὧν καὶ ἀνδραποδισταὶ ἐκαλοῦντο. Θ. Junt. εἰπὼν ἐκ Θετταλίας, ἐπήγαγε, παρὰ πλείστων ἀνδραποδιστῶν. δεικνὺς ὅτι τὸ τῶν Θετταλῶν γένος λῃστείαις ἐχρῆτο καὶ ἀνδραποδισμοῖς· ἀφ' ὧν οἱ ἔμποροι ἀνδράποδα ὠνούμενοι εἰς τὰς ἑτέρας ἐπώλουν ἠπείρους. C. ἔμπορος : Κατὰ θάλατταν πραγματευόμενος. παρὰ πλείστων : Ὠνήσεται δηλ. *P.* ἀνδραποδιστῶν : Ληστῶν, τῶν τοὺς ἀνθρώπους δεσμούντων. Θ. *Dv. P.*

522. πρῶτον : Προηγουμένως. Θ. *P.*

524. κινδυνεύων περὶ τῆς ψυχῆς : Οἱ γὰρ λῃστεύοντες ἢ ἄλλους ἢ σφᾶς αὐτοὺς ἀπολλύουσιν, ὅταν ἐλάττους τῶν λῃστευομένων ὦσιν. Θ. ψυχὴ ἡ λογικὴ, καὶ ἡ ἐν τοῖς ἀλόγοις ζώοις. ψυχὴ καὶ ἡ φήσις, ὡς παρ' Εὐριπίδῃ [Sophocl.] « ὅστις τῆς ἐμῆς ψυχῆς γεγώς. » ἦγουν τῆς ἐμῆς φύσεως. ψυχὴ καὶ ἡ ἐν τοῖς φυτοῖς, καὶ ἁπλῶς ἡ ζωή. Junt. κινδυνεύων : Κίνδυνον ὑφιστάμενος. τοῦτο ποιῆσαι : Ἐξανδραποδίζειν. *P.* τὸ ληστεῦσαι. *Dv.*

525. ὥστ' : Καὶ σὺ... ἀροτριᾶν. *P.*

526. ὀδυνηρότερον, μοχθηρότερον, πολὺ βίον τοῦ νῦν διάξεις ἢ διατρίψεις, διατελέσεις. V. διατελέσεις. R. διαβιβάσεις. Θ. τρίψεις βίοτον : Διαβιβάσεις ζωήν. τοῦ νῦν : Ἤγ. τοῦ πένητος. *P.* εἰς κεφαλήν σοι : Ἀποπόμπησις συμβόλου φευκτοῦ. V. εἴη τοῦτο ὃ λέγεις. Θ. ὃ λέγεις. *Dv.* ἐς κεφαλήν σου : Εἴθε ἐπάνω πεσ. *P.* τὸ ἐς κεφαλήν σου εἶπεν, ἐπειδὴ ἤκουσεν παρ' αὐτῆς, ὡς ὀδυνηρότερον μοχθήσει καὶ βιώσει. P.

527. καταδαρθεῖν : [Κατακοιμηθῆναι·] κυρίως δὲ καταδαρθεῖν τὸ ἐν δέρμασι κοιμηθῆναι. — ἔτι : Πρὸς τοῖς εἰρημένοις. καταδαρθεῖν : Ὑπνῶσαι. *P.*

528. ἤτοι τάπησι. οὕτως γὰρ Ἀττικοί. R. ἐν τάπησιν· οἱ γὰρ πένητες ἱστουργοῦσιν, ἵνα τραφῶσι. R.V. τάπησιν : Τάπητες λέγεται τὰ πεύκια· εἰσὶ δὲ τάπητες οἱ μὲν ἐξ ἑνὸς μέρους μαλλὸν ἔχοντες, ἀμφιτάπητες δὲ οἱ ἐξ ἀμφοτέρων· λέγεται δὲ καὶ θηλυκῶς δάπης, δάπιδες. Dv. τάπητες λέγονται τὰ ἐπεύχια. εἰσὶ δὲ τάπητες μὲν, οἱ ἐξ ἑν. μ. μαλὸν ἔχοντες, ἀμφιτ. δὲ οἱ ἐξ ἀμφοτέρωθεν. καὶ θηλυκῶς δάπις, δάπιστος. εὕρηται δὲ καὶ τάπις, τάπιδος· καὶ δάπης, δάπητος· ἀλλ' οἱ Ἀττικοὶ τάπητες γράφουσιν. P. τάπητες λέγονται τὰ ἐπεύχια, εἰσὶ δὲ τάπητες μὲν οἱ ἐξ ἑνὸς μέρους μαλλὸν ἔχοντες, ἀμφιτάπητες οἱ ἐξ ἀμφοτέρων· εἴρηται δὲ καὶ τάπης, ητος, καὶ τάπις, τάπιδος, καὶ δάπις, δάπιδος, καὶ δάπης, δάπηδος· οἱ μὲν Ἀττικοὶ τάπης, τάπητος γράφουσιν. Vict. ὑφαίνειν : Ὑφαντὴς εἶναι. *Paris.*

529. μύροισι μυρίσαι στακτοῖς : Τοῖς ὑγροῖς καὶ χρισίμοις, πρὸς ἀντιδιαστολὴν τῶν ξηρῶν. — μύροισιν στακτοῖς : Ἤγουν ῥοδοστάγμασιν. *Dv.* ῥοδοστάγμασιν. Θ. *P.* ἀγάγησθον : Ἐν τῷ οἴκῳ. Θ. *Dv.* ἀγάγετε ἐν τῷ οἴκῳ. *P.*

530. οὔθ' ἱματίων βαπτῶν : (Ἀλλοχρόων·) βαπτὰ γὰρ ἱμάτια φοροῦσιν οἱ νυμφίοι, πρὸς τὸ φαίνεσθαι τεκμήριον τῆς φθορᾶς. οὐκ ἔσται σοι οὖν, φησὶ, ποικίλα ἱμάτια ἐπὶ τῷ κοσμῆσαι τὴν νύμφην. — δαπάναις : Ἀναλώμασιν. Θ. *Dv.* ἐν ἀναλώμασιν. *P.* κοσμῆσαι : Καλλωπίσαι. Θ. *Dv.* καλῦναι. *P.* ποικιλομόρφων : Ἐνχρωμάτων. *Dv.* ἐχόντων μορφὰς ποικίλας. *P.* διαφόροις χρώμασι πεποικιλμένων. Θ.

531. καί τοι τί πλέον πλουτεῖν : Τίς χρεία ἐστὶ τοῦ πλουτεῖν, ὅτε ἀπορεῖ τις ὧν χρῄζει. — τί πλέον : Οὐδέν ἐστι τὸ πλέον. *P.*

532. εὔπορα : Εὐπόριστα. δεῖσθον : Χρείαν ἔχετε. *Paris.*

533. τὸν χειροτέχνην : Ἐπὶ τ. χ., τὸν διὰ τῶν χειρῶν ἐργαζόμενον. *P.* τὸν πτωχόν. *Dv.*

534. βίον ἕξει : Ζωὴν λούσεις. *Dv.* ζωὴν λήψεται. *P.*

535. πλὴν φώδων ἐκ βαλανείου : Φλυκταινῶν· ἐκ βαλανείου δὲ, διὰ τὸ τοὺς πένητας ἀποροῦντας ἐνδυμάτων διὰ τὸ ψύχος ἐν βαλανείοις καθεύδειν καὶ ἐκ θέρμης [ἢ ἀέρος αὐτοὺς ἐξιόντας παραχρῆμα προσβάλόντος] φλυκταίνας ποιεῖν. Ἀπολλόδωρος τὰ ἐκ τοῦ πυρὸς ἐρυθήματα, ἢ ἐκ ψύχους, ἢ τοὺς τύλους, καὶ τὰ ἐπικαύματα τὰ ἐκ τοῦ πυρὸς, [ὡς τῶν πενήτων διὰ τὸ αὐτουργεῖν τοῦτο πασχόντων. τὸ δὲ πλὴν οὐκ ἐνταῦθα ἀντὶ τοῦ χωρίς, ἀλλ' ἀντὶ τοῦ εἰ μή, πρὸς τὸ κολοσυρτόν, ὅς ἐστιν ἦχος φρυγάνων συρομένων.] — οὐδὲν, ὧν λέγεις, παρέχοις τοῖς ἀνθρώποις. *Dv.* πλὴν : Εἰ μή. *P.* φώδων : Φούσκα. *Dv.* τὰς κοινῶς λεγομένας στιβιλίδας. *P.* ἀναστρέφοντες οἱ πένητες ἐκ βαλανείου οἴκαδε, ἢ λουόμενοι, ἢ ἐν τῇ ἐκεῖ καμίνῳ διὰ τὸ ψύχος θερόμενοι, ἀέρος αὐτοῖς παραχρῆμα προσβαλόντος, φλυκταίνας ἀνθοῦσι τῷ σώματι, διὰ τὸ μὴ ἔχειν ἀρκοῦν ἐπικάλυμμα. *P.* βαλανείου : Λουτροῦ. *P.*

536. ὅταν γὰρ πεινῶσιν οἱ παῖδες κράζουσιν. R.V. ὑποπεινώντων : Μετρίως πεινώντων. *Vict.* γραϊδίων : Ὅτι πεινῶσαι αἱ γραῖαι βοῶσιν ὡς τὰ παιδία. Θ. Vict. κολόσυρτός ἐστι κυρίως ὁ τῶν φρυγάνων ἦχος, ὃν ποιοῦσι συρόμενα. κᾶλα γάρ εἰσιν ἤτοι ξύλα συρόμενα. P., Vict.

537. σύναπτε τὸ ἀριθμὸν πρὸς τὸ οὐδὲ λέγω σοι. ἢ ψύλλα θηλυκῶς. *P.* οὐδὲ λέγω (σοι) τὸ πλῆθος ὅσον. R.V.

538. αἱ βομβοῦσαι : Ἰδίως τὰς ψύλλας ἀφώνους οὔσας βομβεῖν φησι· κωνώπων γὰρ [μᾶλλον] τοῦτο ἴδιον. (Ἄλλως. ἐντεῦθεν πλανηθέντες τινὲς θηλυκῶς εἰρῆσθαι ᾠήθησαν τὰς κώνωπας· ληροῦσι δέ· ἀρσενικῶς γὰρ λέγονται· οἱ δὲ Δωριεῖς ἀρσενικῶς λέγουσι τὸν ψύλλον. θηλυκῶς δέ τινες τὴν κώνωπα κατὰ τοὺς Ἀττικούς· ἠχοῦσαι, φησὶν, αἱ κώνωπες· καὶ γὰρ ἠχοῦσα περιίπταται. οὐκ ἔστι δὲ, ἀλλὰ πρὸς τὰς ψύλλας ἀποδέδωκεν.) ἰδίως δὲ εἶπε τὴν ψύλλαν βομβεῖν· οὐ γὰρ προῖᾶσι φωνήν. [κώνωπας δὲ λέγει τὰς ἐμπίδας.] — βομβοῦσαι : Βοῶσαι. *Dv.* ἠχοῦσαι. *P.* κεφαλὴν : Ἀπὸ τοῦ καθολικωτέρου τὸ περὶ τὸ οὗς μέρος ἐδήλωσε. R.V. τοῦ πένητος. ἀνιῶσιν : Λυποῦσιν. *P.*

539. ἐπεγείρουσαι : Διανιστῶσιν καὶ λέγουσι, πειν νάσεις, ἐὰν καθεύδῃ. *P.* φράζουσαι : οὐ γὰρ αὐταὶ τουτό φασιν, ἀλλ' ὅτι οἱ πένητες τοῦτο λογίζονται. R.V. ἐπανίστω : Ἐγείρου. *P.*

540. τούτοις : Τοῖς εἰρημένοις. *P.* ῥάκος : Διερρηγμένον χιτῶνα. Θ. *Dv. P.*

541. στιβάδα : Συναγωγήν. Θ. *Dv.* στρωμνήν. σχοίνων : Σπάρτων πεποιημένην. μεστὴν : Πεπληρωμένην, ἢ τοὺς κοιμωμένους ἀνιστᾷ. *P.*, *Vict.* Σοφοκλέους τὸ ἡμιστίχιον « ἐπειγομένων κερκίδος ὕμνοις, ἢ τοὺς εὕδοντας ἐγείρει. » στιβάδα δὲ σχοίνων χαμεύνην ἐκ βοτάνης σχοινίου. V. τοὺς κοιμωμένους δακνομένους ὑπὸ τῶν κόρεων. Θ.

542. φορμὸν : Φορμός πᾶν πλεκτὸν, ἐνταῦθα δὲ τὸ ψιάθιον. Junt. φορμὸν : Ψιάθιον. Θ. *Dv. P.* φορμὸς πᾶν πλέγμα, εἴτε ψιάθιον, εἴτε ἄλλο τι. *P.* τάπητος : Πευχίου. Θ. *Dv. P.*

543. ἀντὶ μὲν ἄρτων : Διενήνοχεν ἄρτος καὶ μάζα, ὅτι ὁ μὲν ἄρτος πάλαι μέμακται, ἡ δὲ μάζα νῦν. — σιτεῖσθαι : Ἐσθίειν. *P.*

544. ἰσχνῶν ῥαφανίδων : Ἀττικοὶ ῥαφανίδα φασὶν ἣν ἡμεῖς ῥέφανον· πάλιν δὲ ῥάφανον, ἣν ἡμεῖς κράμβην. εἴρηται δὲ ῥαφανὶς παρὰ τὸ ῥᾳδίως φαίνεσθαι. λόγος γὰρ ὡς σπειρομένη θᾶττον ἀνεισιν. — μαλάχης πτόρθους : Μολόχης κλάδους. Θ. *Dv. P.* μάζης : Ἄρτου. Θ. *P.* ἄρτου ξηροῦ. *Dv.* φύλλ' ἰσχνῶν ῥαφανίδων : Λεπτῶν κράμβων. *P.* εὐτελῶν, λεπτῶν. *Vict.* εἶδος λαχάνου. V.

545. ἀντὶ δὲ θράνους : Θράνος, ὑποπόδιον, (ὃ καὶ θρῆνυς ἴσως παρὰ τῷ ποιητῇ. καὶ νηὸς θράνος·) ἔνθεν καὶ θρανίτης. [ἐτυμολογεῖται δὲ παρὰ τὸ θορεῖν ἄνω, ἢ παρὰ τὸ θρῆσαι, ὅ ἐστι καθίσαι. τὸ δὲ στάμνου δοκεῖ ἀρσενικῶς εἰρῆσθαι, ὡς δηλοῖ τὸ κατεαγότος, οὗ τὸ θέμα ἄγω, τὸ κλῶ, παρακείμενος ἦχα, ὁ μέσος ἦγα, καὶ ἐν διαλύσει ἔαγα· ὅθεν μετοχὴ ὁ ἐαγὼς καὶ τὰ ἐξ αὐτοῦ. ὅρα δὲ ὅτι στάμνου κεφαλὴν λέγει μεταφορικῶς τὸ ἄνω πρὸς τῷ στόματι· οὕτω δὲ καὶ πιθάκνης πλευρὰ τὸ ταύτης πλάγιον. εἰ δὲ στάμνου κεφαλὴν λέγει, εἴη ἂν αὐτὸ σύμφωνον τῷ « πίθου κρήδεμνον » παρὰ τῷ ποιητῇ [Od. Γ, 392]. κεφαλῆς γὰρ φόρημα τὸ κρήδεμνον. ὅτι δὲ ἀπὸ τῆς στάμνου ἡ τοῦ στάμνου καὶ Ζεὺς λέγεται Στάμνιος ὀνῶσει που καὶ ὁ κωμικός [Ran. 22]. τινὰ δὲ τῶν ἀντιγράφων, ἀντὶ στάμνου κεραμίου γράφεται.]

ἀντὶ δὲ μάκτρας : Ἡ σκάφη ὅπου μάττουσι τὰ ἄλευρα. R. V. σκάφης, ἐν ᾗ ζυμοῦνται τὰ ἄλευρα. Θ. [μάκτρα κατὰ τοὺς παλαιοὺς θυεία ἐπιμήκης, ἐν ᾗ μάττουσι τὰ ἄλευρα, ὅθεν καὶ γίνεται· παρὰ τὸ μάσσω γὰρ ἡ μάκτρα, ὅθεν καὶ μεμαγμένον προείρηται [ad v. 305], καὶ ἡ μάζα γίνεται. Πενίας δὲ πάντως δῶρον καὶ ἡ τοιαύτη μάκτρα ἡ ἐκ πιθάκνης, καὶ οὐδὲ αὐτῆς διόλου συνεχοῦς, ἀλλὰ διερρωγυίας τὴν πλευράν, ἐν ᾗ τὸ μάγμα γίνεται. ὑποκοριστικῶς δὲ λέγεται ἡ πιθάκνη, κατὰ τὸ πολίχνη. ὅρα δ' ἐν τοῖς προεκτεθειμένοις καὶ σχῆμα κάλλους ἐπαναφορικὸν διὰ τῆς ἀντί προθέσεως· τοιοῦτον γὰρ τὸ ἀνθ' ἱματίου, ἀντὶ τάπητος, ἀντὶ προσκεφαλαίου, ἀντὶ ἄρτου, ἀντὶ μάζης, ἀντὶ θράνους, ἀντὶ μάκτρας· ἔχει δέ τι καὶ ἐπιμονῆς τὸ τοιοῦτον σχῆμα. ἀστείως δὲ ὁ Χρεμύλος καὶ πρὸς τὴν κλίνην, ἣν ἡ Πενία εἶπε, καὶ τοὺς τάπητας, καὶ τὰ μύρα, καὶ τὰ νυμφικὰ ἱμάτια, τὴν ῥηθεῖσαν στιβάδα καὶ τὸν φορμὸν ἀντέθετο, καὶ τοὺς κακῶς ὀδωδότας κόρις, καὶ τὸ ῥάκος, προσθεὶς τὰ λοιπὰ ἐπέκεινα εἰς ἐπαύξησιν τῶν τῆς πενίας κακῶν.] — θράνους : Ἤτοι ὑποποδίου ἤγ. θρόνους. *P.* θρόνου. *P.* ὑποποδίου. *Dv. C.* στάμνου : Κεράμου. *P.* κατεαγότος : Τεθραυσμένου. *Dv.* συντεθλασμένου. *P.* κλασθέντος. ἄγω τὸ συντρίβω. ὁ μέλλων ἄξω, ὁ μέσος παρακείμενος ἦγα καὶ Ἀττικῶς ἔαγα· ῥήσσω, ὁ μέλλων ῥήξω, ὁ μέσος παρακείμενος ἔρρηγα, καὶ τροπῇ τοῦ η

εἰς ω μέγα ἔρρωγα. Vict. μάκτρας : Σκάφης. *Dv. P.*

546. πιθάκνης : ὑποκοριστικῶς ὡς πολίχνης. R. κεράμου ἢ πιθήκου κεκλασμένου. ὑποκοριστικῶς δὲ αὐτὸ εἶπεν ὥσπερ πολίχνη. V. ὑποκοριστικῶς· μικροῦ πίθου ἐσχισμένου. *Dv.* πίθου μικροῦ. Θ. *P.* ἐρρωγυῖαν : Τεθραυσμένην. Θ. συντετριμμένην. ἆρά γε : Συμπέρασμα εἰρωνικόν. Θ. *P.*

547. ἀποφαίνω σ' αἰτίαν : Ἀποδεικνύουσαι. *Dv.* ἀποδεικνύω πρόξενον. *P.* αἰτίαν : Πρόξενον· συνίζησις. *Dv.*

548. ὑπεκρούσω : Ἐφθέγξω, [ἀνεκρούσω,] ἀπὸ μεταφορᾶς τῶν κρουόντων τὴν κιθάραν, (ἢ τινος ἄλλου τοιούτου ὀργάνου. διενήνοχε δὲ πτωχεία πενίας, ὅτι ἡ μὲν πενία μεμετρημένη ἐστὶν ἔνδεια, πόνῳ τὰ χρειώδη θηρῶσα· ἡ δὲ πτωχεία παντελὴς τῆς κτήσεως ἔκπτωσις· καὶ ὁ μὲν πένης παρὰ τὸ πένεσθαι, ὅ ἐστιν ἐνεργεῖν, εἴρηται, καὶ ἐκ τούτου πορίζειν τὰ χρειώδη, ὁ δὲ πτωχὸς, παρὰ τὸ πτώσσειν πάντας.) — τὸν ἐμὸν βίον : Τὴν ἐμὴν διαγωγήν. ὑπεκρούσω : Ἐδήλωσας. *P.* αἰνιγματωδῶς ἀπήχησας. *C.* ὠνείδισας. *P.*

550. οἵπερ καὶ Θρασυβούλῳ : Τὰ μὴ ὁμοιά φησιν αὐτοὺς ὁμοιοῦν, ὡς εἴ τις λέγοι Διονύσιον τὸν ἐξώλη τύραννον ἐοικέναι Θρασυβούλῳ τῷ Λύκου, (ἀνδρὶ φιλοπόλιδι καὶ παντὸς κρείττονι λόγου, διά τε τὰς ἐπιφανεῖς αὐτοῦ κατὰ τῶν πολεμίων νίκας καὶ διότι κατέλυσε τὴν τῶν λ' τυραννίδα. εὔπορος γὰρ ὢν καὶ ἐξ αὐτῶν ἐκπεσὼν μετὰ ταῦτα Φυλὴν καταλαβὼν καθεῖλεν αὐτούς. Ἄλλως. μήποτε ὁ ἀξιωματικὸς καὶ αὐθάδης, ὡς Στράττις ἐν τῷ Κινησίᾳ. Διονύσιος δὲ ὁ μέν τις φαίνεται μαινόμενος, ὁ δὲ, ὡς ἔοικεν, ἰχθυοπώλης.) — Ἄλλως. ὁ μὲν ἀξιωματικὸς καὶ αὐθάδης, ὁ δὲ μαινόμενος καὶ, ὡς ἔοικεν, ἰχθυοπώλης. Πολύζηλος,

> ὁ μαινόμενος ἐκεινοσὶ Διονύσιος
> χρυσοῦν ἔχων χλίδωνα καὶ τρυφήματα
> ἐν τῷ μύρῳ παρ' Ἀθηναίων μακαρίζεται. V.

(μήποτε δὲ καὶ περὶ τὴν ὄψιν ἀποσκώπτει. — ἢ ὅτι ὁ μὲν Διονύσιος τύραννος, Θρασύβουλος δὲ δημοφιλής. V. μᾶλλον δὲ ἄν τις ὑπονοήσειεν ἕτερον Διονύσιον Θρασυβούλου τοῦ Κολλυτέως ἀδελφὸν ἔγγιστα συγγενείας εἶναι. καὶ ἐν τῇ Ἰλιάδι σαφέστερον οἶδεν ἡ κατὰ Δίδυμον. ὡς εἴ τις λέγοι Διονύσιον τὸν ἐξώλη τύραννον ἐοικέναι Θρασυβούλῳ τῷ Λύκου, ἀνδρὶ φιλοπόλιδι καὶ παντὸς κρείττονι λόγου, διότι κατέλυσε τὴν τῶν λ' τυραννίδα. Ἄλλως. οἱ Λακεδαιμόνιοι κρατήσαντες τῶν Ἀθηναίων ἔταξαν λ' τυράννους ἀπὸ τῆς πόλεως ἐν Ἀθήναις διατρίβειν. ὁ οὖν Θρασύβουλος ἐραστὴς ὢν τῆς δημοκρατίας κατέλαβε Φυλὴν τῆς Ἀττικῆς μετά τινων ἄλλων, μεθ' ὧν κατέλυσε τοὺς λ'. Διονύσιος δὲ τύραννος ὠμὸς ἐν Σικελίᾳ. Ἄλλως. ὁ μὲν Διονύσιος ἐμμανής· ὁ δὲ Θρασύβουλος εὔνους. ἢ Διονύσιος τύραννος, ὁ δὲ Θρασύβουλος ἀτελὴς καὶ πένης, πλὴν θρασύς.) — Ἄλλως. ἡ Πενία φησὶν ἐν τῷ πρὸς τὸν Χρεμύλον, ὅτι τὰ μὴ ὅμοια ὅμοια λέγεις εἶναι, ὥσπερ ἂν εἰ τὸν Σικελίας τύραννον Διονύσιον ὅμοιον εἶναι τῷ Θρασυβούλῳ ἀνδρὶ χρηστῷ καὶ κοσμίῳ. Junt.

⟦Διονύσιον : Ὁ μὲν Διονύσιος ἦν Σικελίας τύραννος· ὁ δὲ Θρασύβουλος ἀνὴρ χρηστὸς Ἀθηναῖος· ὁρῶν οὖν τὴν ἑαυτοῦ πόλιν ὑπὸ τῶν τριάκοντα τυράννων, οὓς ἔστησαν οἱ Λακεδαιμόνιοι, τυραννουμένην, φίλην μίαν καταλαβὼν τοὺς τυράννους λάθρα ἀπέκτεινεν· ἤδετο οὖν παρὰ πάντων, ὡς Ἀθηναίων εὐεργέτης. Dv. ὑμεῖς : Φατὲ δηλ. Θρασυβούλῳ : Τῷ ἀγαθῷ δηλ. Διονύσιον : Τύραννον. *P.*⟧

551. μέλλει : Πείσεσθαι. *P.*

552. πρὸς τὴν διαφορὰν τῶν ὀνομάτων. V.

553. φειδόμενον : Ἀκριβολογούμενον. *Dv. P.* προσέχοντα : Προσκείμενον. *P.*

554. περιγίνεσθαι δ' αὐτῷ : περιγίνεσθαι σημαίνει μὲν καὶ τὸ νικᾶν, σημαίνει δὲ καὶ τὸ περιττεύειν, ὡς ἐνταῦθα. Junt., Vict. περιγίγνεσθαι : περιλιμπάνεσθαι. R. V. περιττεύειν. Θ. *Dv.* περιττὸν γίγνεσθαι. ἐπιλείπειν : στερεῖσθαι. *P.*

555. ὡς μακαρίτην, ὦ Δάματερ : Ὅτι ἁπλῶς καὶ ἀσυνήθως κατεχρήσατο ἀντὶ τοῦ μακάριον· εἰ μὴ ἄρα παίζει, οἷον νεκροῦ βίον. ⟦Ἄλλως. ὥσπερ εἰώθασιν οἱ Ἕλληνες, ἐπειδάν τι παράδοξον ἀκούσωσι, σχετλιάζειν καὶ βοᾶν Ἡράκλεις, ἢ Ἄπολλον, ἢ ὦ Ζεῦ, οὕτω καὶ οὗτος ἀκούσας τῆς Πενίας τοιαῦτα λεγούσης ὥσπερ σχετλιάζων βοᾷ, ὦ Δάματερ· εἰκότως δὲ πρὸς τὴν γῆν ποιεῖται τὸν λόγον, ὡς γεωργός.⟧ — μακαρίτην : Μακαριστόν. Θ. *Dv.* εὐδαίμονα. *P.* τὸ μάκαρ ἐπὶ τῶν ἁγίων λέγεται μόνον. τὸ μακάριος καὶ μακαριστὸς ἐπὶ ζώντων καὶ ἀποθανόντων. μακαρίτης δὲ ἐπὶ τῶν ἀποθανόντων μόνον. P. ὦ Δάματερ : Τοῦτο διὰ μέσου. Θ. *Dv.* κατέλεξας : Κατηριθμήσω. *P.*

556. μοχθήσας : Κοπιάσας. ταφῆναι : Ὥστε. *P.*

557. σκώπτειν : Διασύρειν. *P.* εἰρωνεύεσθαι. Θ. *Dv.* κωμῳδεῖν : Ὑβρίζειν. *Dv.* ἐπὶ γέλωτος. *P.* σπουδάζειν : τῶν σπουδαίων. R. τοῦ λέγειν τὰ σπουδαῖα ἢ σπουδαιολογεῖσθαι. V. σπουδαίως λέγειν. *P.* σπ. λ., ἐπιστημόνως ἀποδεικνύναι ὅτι κρείττων ὁ πλοῦτος τῆς πενίας. *Vict.*

558. γινώσκων : Ἐπιστάμενος. *P.*

559. τῷ μὲν : τῷ Πλούτῳ δηλονότι. V. ποδαγρῶντες : ὅτι Ἑλληνικὸν τὸ ποδαγρᾶν. (τινὲς δὲ φεύγοντες αὐτὸ ποδαλγῶσι λέγουσι.) R. V. ποδαλγοῦντες : Τοιοῦτοι γὰρ οἱ πλούσιοι γίνονται ὑπὸ τῆς τρυφῆς, ὅπερ ἀσελγείας καὶ φαυλότητος βίου δηλωτικόν ἐστι. γράφεται δὲ καὶ ποδαλγοῦντες καὶ ποδαγρῶντες· ὅτι καὶ αὐτὸ τὸ πάθος καὶ ποδάγρα λέγεται καὶ ποδαλγία. Junt. τὴν γνώμην : Τὴν φρόνησιν. Θ. *Dv.* τὴν ἰδέαν : Τὴν μορφήν. Θ. *Dv., Br.* κατὰ τὸ εἶδος. *P.* παρ' αὐτῷ : Τῷ Πλούτῳ. ποδαγρῶντες : Ποδαγροί. *P.*

560. ὑπὸ ἀργίας μεγάλοι γίνονται καὶ παχεῖς τὰ σώματα. (ἀσελγῶς δὲ ἀντὶ τοῦ ἀτόπως διὰ τὴν ἀσέλγειαν.) R. V. ἀντὶ τοῦ καταφερεῖς. R. V. παχ. καὶ πίονες : Παχεῖς ταῖς σαρξὶν ἀσωφρόνως λιπαροί. ἀσελγῶς : Αἰ-

σχρῶς. Θ. *Dv.* ἀντὶ τοῦ εἰπεῖν λίαν πίονες. *C.* λιπαροὶ ἀτόπως. *D.*

(561). σφηκώδεις : Λεπτοὶ κατὰ τὸ μέσον, ὡς σφῆκες· ἢ πικροί, ἐπεὶ καὶ τὸ ζῷον πικρόν ἐστι σφόδρα· ἅμα μὲν ὅτι καὶ ὀριμύτεροι, ἅμα δὲ ὅτι καὶ ἰσχνότεροι γίνονται οἱ λιμώττοντες ὡς σφῆκες. Ἄλλως. σκληροὶ, ἢ λεπτοὶ, μάλιστα τὰ κάτω τῶν γαστέρων, διὰ τὸ γοργὸν καὶ εὐκίνητον· τοιοῦτοι γὰρ οἱ σφῆκες τὸ μέσον.

τοῖς ἐχθροῖς ἀνιαροί : Ὁ γὰρ ταῖς σαρξὶ μὴ βαρυνόμενος, ἀλλὰ κούφως ἔχων τοῦ σώματος, ῥᾷστ' ἂν καὶ πρὸς τοὺς ἐχθροὺς ἀντιπαρατάξηται. τοιοῦτοι δὲ οἱ πένητες διὰ τὸ μὴ εὐσαρκεῖν ἀπορίᾳ τροφῶν. — Ἰσχνοὶ καὶ σφ. : Λεπτοὶ τὰ σώματα ὥσπερ οἱ σφῆκες. ἀνιαροί : Λυπηροί. *Dv.* λύπην ἐπάγοντες τοῖς ἐχθροῖς. *P.*

562. σφηκῶδες : Τὸ λεπτόν. *P.*

563. [περὶ σωφροσύνης ἤδη : Καταλέξασα τὰ ἀγαθὰ, ἃ δι' αὐτὴν ἀνθρώποις γίνονται, νῦν βούλεται ἀποδεῖξαι ὅτι καὶ σωφροσύνης αἰτία ἐστὶν, ὥσπερ ὁ Πλοῦτος αὖ τοὐναντίον. εἰκότως δὲ εἶπε τὸ ἀναδιδάξω· καὶ γὰρ ὅτε γαστρώδεις ἔλεγε τοὺς ἀνθρώπους ἐκ τοῦ πλούτου γίνεσθαι, καὶ ἀσελγεῖς ἔλεγεν· οἱ γὰρ πλεῖστα ἐσθίοντες καὶ πρὸς τοῦτο κατάφοροί εἰσιν. — συμπεραίνω τὸ συλλογίζομαι, ἀφ' οὗ καὶ συμπέρασμα παρὰ φιλοσόφοις, τὸ ἐκ τῶν προτάσεων συναγόμενον· τὸ γὰρ κύριον μέρος τοῦ συλλογισμοῦ οὐδέν ἐστιν ἕτερον ἄλλο ἢ τὸ συμπέρασμα. σύγκειται γὰρ ὁ συλλογισμὸς ἐκ δύο προτάσεων καὶ συμπεράσματος· καὶ ἔστι τὸ συμπέρασμα ἀπόδειξις τοῦ ζητουμένου ἀναντίῤῥητος. Junt. ἤδη τοίνυν περανῶ : Ἀπὸ τοῦ νῦν ἀποδείξω. *Dv.* συλλογίζομαι ὑμῖν. *P.*]

564. κοσμιότης : Εὐταξία, καὶ σεμνότης. Θ. *Dv.* ὑβρίζειν : Αἰσχρὰ πράττειν *Dv.* τὸ ἀσελγαίνειν. *P.*

565. πάνυ γοῦν : Ἐν εἰρωνείᾳ, ἐπεὶ οἱ πένητες κλέπτουσι διὰ τὴν ἀπορίαν. — εἰρωνικῶς. κόσμιον : Ὠφέλιμον. *Dv.* εὔτακτον. *P.*

566. πῶς οὐχὶ κόσμιον : (Τὸ πειρᾶσθαι λαθεῖν.) τοῦτο δὲ ὁ ἕτερος πρεσβύτης πειράζων λέγει καὶ χλευάζων· ἢ ὅτι τὸ παλαιὸν οὐ διεβέβλητο ἡ κλοπὴ, εἰ μὴ φωραθεὶς κλέπτων ὑπῆρχεν. [Ἄλλως. εἴ γε ὁ κλέπτης λανθάνει· ψυχρὸν δὲ τὸ ἐνθύμημα.] — εἴγε δεῖ λαθεῖν : Ἀπόκειται μὴ γνωσθῆναι. *P.* ἀπόκειται. Θ.

567. σκέψαι : Λογίζου. *Dv.* ἐξέτασον. *P.* τοὺς ῥήτορας : Τοὺς κριτάς. ὡς : Ὅτι. *Dv.*

568. περὶ τὸν : Εἰς τόν. *Dv.*

569. ἀπὸ τῶν κοινῶν : Ἀπὸ τῶν δημοσίων χρημάτων. *Dv.* πραγμάτων. Θ. *P.*

570. [ἐπιβουλεύουσί τε : Διαβάλλει τοὺς ῥήτορας, ὡς δῶρα λαμβάνοντες παρὰ τῶν πολεμίων ἀσύμφορα τῇ πόλει συμβουλεύουσιν, οὐκ ἐῶντες αὐτὴν τούτους ἀμύνασθαι.] — ἐπιβουλεύουσι : Ἤγουν κακῶς βουλεύουσιν. *Dv.* ἐπίβουλοι γίνονται. πολεμοῦσιν : Μάχονται. *P.*

571. καίπερ σφόδρα : Συναινεῖ διισχυριζόμενος κατὰ τὸ τῶν ῥητόρων σχῆμα, διασύρων αὐτήν. τὸ δὲ βάσκανος ἁπλῶς ἐπὶ λοιδορίᾳ τιθέασιν. — ψεύδει : Ψευδὲς λέγεις. *P.* τούτων : Ὧν περὶ τῶν ῥητόρων λέγεις. Θ. *Dv.* ὧν εἶπας. βάσκανος : Ἐχθρή. *P.*

572. ἀτὰρ οὐχ ἧττον : (Ὅμως, φησὶν, εἰ καὶ ἀληθεύεις, μὴ μέγα φρονήσῃς· οὐδὲν γὰρ ἧττον τὰ αὐτὰ πείσῃ. κομήσῃς δὲ ἀντὶ τοῦ) ὑπερηφανήσῃς, παρὰ τοὺς κομῶντας καυχητιᾶν. [ἢ ἀπὸ μεταφορᾶς τῶν δένδρων, ἃ τὴν κόμην ὑψοῦ ἔχουσι. τοιοῦτοι δὲ καὶ οἱ ὑπέρφρονες, ὑψοῦ τὴν γνώμην αἴροντες.] — τοῦτο δὲ διὰ μέσου εἴρηται, καὶ ἔστι τὸ, ὅτι ζητεῖς, πρὸς τὸ κλαύσει. Junt. διὰ τῶν λόγων ὧν εἶπας, ἀλλὰ ἐπίσης τιμωρηθήσῃ δηλ. *P.* ταύτῃγε κομίσῃς : Ἀπὸ τούτου ἐπαρθῇς. *Dv.* ἐπαρθῇς. *P.*

573. ὁτιὴ ζητεῖς : Ἐπεὶ ἐξετάζεις. *P.*

574. ἐλέγξαι μ' : Ἐμὲ ψευδόμενον. *P.* (Περὶ τοῦ μὴ) διαφέρειν με τοῦ Πλούτου. R.V.

575. καὶ πτερυγίζεις : (Κοῦφα καὶ μάταια διαλέγῃ. ἀπὸ τῶν νεοσσῶν, ἃ πειράζουσι μὲν τὰς πτέρυγας, ἵπτασθαι δὲ οὐ δύνανται· οὕτω καὶ σὺ θέλεις μὲν ἀντειπεῖν καὶ πειράζεις, οὐδὲν δὲ ἀνύεις. Ἄλλως. ἀλλὰ φλυαρεῖς διὰ λόγων·) τὸ γὰρ πτερὸν ἠχῶδες καὶ θορυβητικὸν· ἢ κοῦφα λαλεῖς· ἢ ματαιοπονεῖς, ἀπὸ μεταφορᾶς [τῶν] ὀρνέων τῶν μὴ δυναμένων πέτεσθαι διὰ τὸ βραχὺ τῆς ἡλικίας. Ἄλλως. ἀντὶ τοῦ, πειράζεις πολλὰς ἀνηνύτους ὁρμὰς, καθάπερ καὶ οἱ νεοττοὶ πειράζοντες τὴν πτέρυγα καὶ γυμνάζοντες ἄπρακτον ἔχουσι τὴν τῆς πτήσεως φοράν. — φλυαρεῖς : Πολυλογίζεις. *P.* πτερυγίζεις : Ματαιάζεις. Θ. *Dv.* ἀδύνατα λέγεις. ἅπαντες : Ὅλοι. *P.*

576. βελτίους : Καλούς. σκέψασθαι : Μαθεῖν. *Dv.*

577. ἀπὸ τῶν παίδων : Δυσχερές ἐστι μαθεῖν τὸ δίκαιον, ὅπου γε καὶ οἱ παῖδες διὰ τοῦτο μισοῦσι τοὺς πατέρας. — φρονοῦντας ἄριστα : Ποιοῦντας καλῶς. *Dv.* ἄριστα : Ὠφέλιμα. *P.*

578. διαγινώσκειν : Διακρίνειν. *P.* σύναπτε τὸ δίκαιον ἐνταῦθα. *Dv.* χαλεπὸν : Δυσχερές. *P.* δίκαιον : Τὸ νὰ εὕρῃ τις τὸ δίκαιον, δύσκολόν ἐστι πρᾶγμα. P.

579. [τὸν Δία φήσεις : Τὸ μὲν φήσεις λέγεται πρὸς τὴν Πενίαν. τὸ δὲ, ταύτην δ' ἡμῖν ἀποπέμπει, πρὸς τὸν Βλεψίδημον. ἢ καὶ τὸ φήσεις πρὸς τὸν Βλεψίδημον, ἤγουν, εἴποις κατὰ τὸν αὐτῆς λόγον.] — ὀρθῶς : Ἀπταίστως. κράτιστον : Λυσιτελές. *P.* Τινὲς μετὰ τοῦ ν τὸν κράτιστον. R.

580. κἀκεῖνος : Ὁ Ζεύς. *P.*

581. ἀλλ' ὦ Κρονικαῖς γνώμαις : (Ἤγουν, ἀρχαίαις μωρίαις ἐσκοτισμένοι τὸ φρονεῖν. παροιμία δέ ἐστιν ἐπὶ τῶν ἀμβλυωπούντων, ἥτις εἴρηται καὶ ἐν Νεφέλαις [326]. ἀντὶ δὲ τοῦ γνώμαις γράφεται λήμαις.) λήμη δέ ἐστι τὸ πεπηγὸς δάκρυον, ὅπερ ἐπικαθεζόμενον βλάπτει τοὺς ὀφθαλμούς. (τοῦτο δὲ διὰ τὸ εἶναι αὐτοὺς γέροντάς φησι. τὸ γὰρ τῶν γερόντων δάκρυον παχὺ ὂν λήμας μεγάλας ποιεῖ.) σημαίνει οὖν τὸ τετυφλωμένοι τὰς φρένας, ὥσπερ οἱ τὰς λήμας ἔχοντες τῶν ὀφθαλμῶν ἐμποδίζονται τὰς ὄψεις. — Κρονικαῖς : Παλαιαῖς

καὶ μωραῖς. Θ. *Dv.* παλαιαῖς καὶ μεγάλαις. *P.* λήμαις : Τζίμβλαις. *D.* λημῶντες : Τυφλώττοντες. *Dv.* τυφλώττοντες ἢ τετυφλωμένοι ὄντες. Θ. τυφλώττοντες, βεβλαιμμένοι. *Vict.* λημῶντε : Οἱ τζυμβλώττοντες. ἅμφω : Ὁμοῦ οἱ δύο. P.

582. πένεται : Πένης ἐστί. φανερῶς : Καθαρῶς νουθετήσω. *P.*

584. δι' ἔτους πέμπτου : Κατὰ γὰρ ε' χρόνους ἐγίνετο. Θ. κατὰ πεντέχρονον ἐγένετο εἰς τὰ Ὀλύμπια συνάθροισις. *Dv.*

585. ἀνεκήρυττεν : Ἀνηγόρευεν. Θ. *Dv.*

586. κοτίνου στεφάνῳ : (Κοτίνου στεφάνῳ στεφανώσας ἀνεκήρυττε τοὺς νικῶντας. Ἄλλως. οὐ κοτίνῳ ἐστέφοντο, ἀλλὰ τῷ τῆς καλλιστεφάνου ἐλαίας κλάδῳ.) οὐκ ἀκριβῶς οὖν· καλλιστέφανος γὰρ ἡ ἐλαία λέγεται. τούτῳ δὲ ἥρμοττεν ἐκφαυλίζοντι (λέγειν κοτίνῳ. καὶ Ἀριστοτέλης δὲ οὕτω φησὶ [Mirab. ausc. c. 51] κατὰ λέξιν περὶ αὐτῆς, « ἐν τῷ Πανθείῳ ἐστὶν ἐλαία, καλεῖται « δὲ καλλιστέφανος· ταύτης δὲ ἔμπαλιν τὰ φύλλα ταῖς « λοιπαῖς ἐλαίαις πέφυκεν· ἔζω γὰρ, ἀλλ' οὐκ ἐντὸς « ἔχει τὰ λευκά.) ἀφίησί τε τοὺς πτόρθους, ὥσπερ ἡ « μύρτος, (εἰς τοὺς στεφάνους συμμέτρους). ἀπὸ ταύτης « λαβὼν καρπὸν Ἡρακλῆς ἐφύτευσεν Ὀλυμπίασιν, ἀφ' « ἧς οἱ στέφανοι τοῖς ἀθληταῖς δίδονται. ἔστι δὲ αὕτη « παρὰ τὸν Ἴλισσὸν ποταμὸν, σταδίους ξ' τοῦ ἱεροῦ « ἀπέχουσα· περιῳκοδόμηται δὲ, καὶ ζημία μεγάλη τῷ « θιγόντι αὐτῆς ἐστιν. ἀπὸ ταύτης ἕφερον λαβόντες « Ἠλεῖοι τῶν ἀθλητῶν ἐν Ὀλυμπίᾳ τοὺς στεφάνους. » [τῷ δὲ κωμικῷ, φασὶν, ἥρμοττεν ἐκφαυλίζοντι τὸ πρᾶγμα λέγειν, ὡς ἐκ κοτίνου ἐστεφανοῦντο, ὃ δηλοῖ τὴν ἀγριέλαιον, καὶ ἅμα διότι καὶ χρήσιμος αὐτῷ ἡ λέξις ἐν τοῖς ἑξῆς· καταρρητορεύσει γὰρ ὁ Χρεμύλος καὶ ἡττηθεὶς ἐρεῖ

ἀλλά σ' ὁ Ζεὺς ἐξολέσειε κοτίνου στεφάνῳ στεφανώσας·

τουτέστι, κότον σοὶ θέμενος περὶ τὴν κεφαλήν· παρήχηται γὰρ ὁ κότινος τῷ κότῳ, δι' οὗ δηλοῦται μεγάλη ὀργή. ἀπὸ δὲ τοῦ τοιούτου κοτίνου, τοῦ φυτοῦ δηλαδὴ, καὶ νῆσος Κοτινοῦσα τὰ Γάδειρα, διὰ τὸ τοιούτοις ἐνευθηνεῖσθαι φυτοῖς, ὡς καὶ ὁ Περιηγητὴς [v. 456] δηλοῖ. ὡς δὲ καὶ ἕτεροι τόποι ἀπὸ φυτῶν τὴν κλῆσιν ἔσχον, τεθρύλληται καὶ αὐτό· Μυρρινοῦς γοῦν δῆμος ἐν Ἀττικῇ μυρρίνας ἔχων· ὅθεν αὐτὸς Μυρρινόεις, καὶ κατὰ συναίρεσιν Μυρρινοῦς· ὥσπερ ἕτερος Ῥαμνοῦς, ἀπὸ τῶν ἐκεῖ φυομένων ῥάμνων, ὧν οἱ δημόται Μυρρινούσιος καὶ Ῥαμνούσιος. καὶ ἡ Ἐρεικοῦσα λέγεται διὰ τὰς ἐν αὐτῇ ἐρείκας· καὶ ἡ Ποντικὴ δὲ Κερασοῦς ἀπὸ τῶν φυτῶν τῶν κεράσων κέκληται· καὶ Πιτυοῦσα ἡ Μίλητός ποτε διὰ τὸ πολλὰς ἔχειν πίτυας ἐκλήθη. οὕτω καί τις Πιτυούσιος ἀπὸ τόπου ἑτέρου πολλὰς ἔχοντος πίτυας, ἐξ ὧν ἐκεῖνος καὶ παρωνόμασται· τὸ δ' αὐτὸ καὶ ἄλλοι τόποι πεπόνθασι. ἰστέον δὲ ὡς, εἰ καὶ κρατεῖ παρὰ τοῖς ἀπειροτέροις κότινον στέφανον εἶναι, ἀλλ' αὐτὸς μὲν φυτοῦ, ὡς ἐρρέθη, κλῆσίς ἐστιν. ὁ δὲ κωμικὸς ἐδήλωσεν ἐντελὲς καὶ σαφὲς εἶναι τὸ μὴ κότινον τὸν τοιοῦτον λέγεσθαι στέφανον, ἀλλ' ἐκ κοτίνου στέφανον. οὕτω δὲ καὶ ταινία οὐχ ἁπλῶς οὕτως στέφανος, ἀλλ' ἡ ἐκ ταινίας περιειλησις ἐν τῇ κεφαλῇ· ταινία δὲ, στενόν τι καὶ ἐπίμηκες ὕφασμα, κοινότερον δὲ εἰπεῖν, φασκία.]

κοτίνῳ : Ἐλαίνῳ. Θ. *Dv. E.* κοτίνου στεφάνῳ : Ἐν τῷ μὴ χρυσῷ, ἀλλ' ἐξ ἐλαίας στεφανοῦν. Θ. ἐξ ἀγρίας ἐλαίας ἦγ. ἀπὸ κοτίνου πεποιημένου. . . . διὰ χρυσοῦ στεφανοῦν δηλ. *P.* ἐχρῆν : Ἔπρεπεν. *Dv.*

587. οὐκοῦν : Τὸ λοιπόν. τούτῳ : Τῷ τρόπῳ. *Dv.* οὐκοῦν τούτῳ : Διὰ τὸ κοτίνῳ στεφάνῳ στεφανοῦν τοὺς ἀθλητάς. ἐκεῖνος : Ὁ Ζεύς. *P.*

588. φειδόμενος : Ἀκριβολογούμενος. μηδὲν : Μέρος ἀναλῶσθαι. *P.* δαπανᾶσθαι : Ἀναλίσκεσθαι. *Dv.*

589. [λήροις ἀναδῶν : Εὐτελίζει τὸν Ὀλυμπιακὸν στέφανον, ὡς μὴ σπουδαῖον, λῆρον δέ πως ὄντα, καὶ οἷον ἐκφλαυρίζεσθαι, καθά τις ἔφη τῶν παλαιῶν, τουτέστι περιφρονεῖσθαι. εἰσὶ δὲ οἱ καὶ παίζειν φασὶ τὸν κωμικὸν πρὸς ὁμοιότητα ἧχου τοῦ κατά τε τὸν λῆρον, τὸν διὰ τοῦ η γραφόμενον, καὶ τοῦ παρὰ τὸ λείριον, ὃ γράφεται μὲν διὰ διφθόγγου κατὰ τὴν ἄρχουσαν, σημαίνει δέ τι ἄνθος, ἀφ' οὗ καὶ [Hom. Il. Γ, 152] « φωνὴ λειριόεσσα, » ἡ ἀνθηρά· καὶ κύριον Ποδαλείριος, οἱονεὶ ἀνθηρόπους, ἢ διατρίβων ἰατρικῶς περὶ τὰ λείρια· περὶ οὗ καὶ ἐν τῇ Ἰλιάδι· ἵνα ἐν τῷ λέγειν, λήροις ἀναδῶν τοὺς νικῶντας, δοκῇ διχῶς νοεῖν, ἢ ὅτι ἀνθηρῷ στεφάνῳ στεφανοῖ, ὡς οἷον λειριόεντι· ἢ ὅτι λήρῳ τῷ κατὰ φλυαρίαν. τοιοῦτόν τι παίζει καὶ περὶ κειρύλου ἐν Ὄρνισι [300], ἔνθα καὶ διὰ τοῦ η νοεῖται ἡ λέξις, ὡς ἐπὶ ὄρνιθος οὕτω λεγομένου· καὶ διὰ διφθόγγου δὲ διά τινα κουρέα, ὡς ἀπὸ τοῦ κείρω. τὸ δὲ ἀναδεῖν ταὐτόν ἐστιν ἐνταῦθα τῷ στεφανοῦν, ἐξ οὗ καὶ ἀνάδετος γυναικεῖος κόσμος, ὃς καὶ ἀναδέσμη λέγεται· ἔχει δὲ ἀπεναντίον πρὸς τὸ ἀναδεῖν τὸ ὑποδεῖν, ἐξ οὗ καὶ τὸ ὑπόδημα· τὸ μέν τοι διάδημα ἐπὶ κόσμου βασιλικοῦ τοῦ περιδουμένου δι' ὅλου σώματος.] — λήροις : ἀναδέων εὐτελέσι στεφάνοις. R. V. φαύλοις πράγμασι στεφανῶν· ἀφ' οὗ ἀνάδημα ὁ στέφανος. Θ. παιγνίοις. *D.* λειροις : Ἄνθεσιν. *C.* λήροις ἀναδῶν : Φλυαρίαις στεφανῶν. ἐᾷ : Ἀφίησι. παρ' αὐτῷ : Κεῖσθαι. *P.*

590. τὸ γὰρ ἀπατᾶν τοῦ πένεσθαι χεῖρον, ἐπειδὴ τρόπου κακία ἐστίν. R. V. τοῦτο δεικτικῶς. V. [ζητεῖς αὐτῷ περιάψαι : Ἴσον ἐστὶ τῷ προσάψαι· λέγεται δὲ τὸ αὐτὸ καὶ ἀνάψαι, ὡς παρ' Ὁμήρῳ [Od. B, 86] ἐν τῷ « ἐθέλεις δέ κε μῶμον ἀνάψαι. » ἔστι δέ τι καὶ ἄλλο σημαινόμενον τοῦ περιάπτω, ἐξ οὗ τὰ γοητευτικὰ περίαπτα· δηλοῖ δὲ ἀπαιώρησίν τινα ἡ λέξις, ὅθεν καὶ τὰ ῥηθέντα περίαπτα, ὧν ἀπαιωρουμένων τοῦ σώματος δοκοῦσιν οἱ φαῦλοι εὖ ἔχειν τοῦ ζῆν δι' αὐτὰ, ὡς εἶναι μᾶλλον αὐτοὺς ἀπαιωρουμένους τῶν τοιούτων, οἷς ἐλπίζουσιν ἐπ' αὐτά. ὁ δὲ ἀνελεύθερος κακίᾳ παρωνόμασται τῇ ἀνελευθεριότητι. ἔστι δὲ κατ' ἀρετὴν μὲν ἄνθρωπος ὁ ἐλεύθερος, ὃς ἀντιθέτως τῷ φειδωλῷ δαπανᾷ δεόντως· ἀνελεύθερος δὲ ὁ μὴ τοιοῦτος, ἀλλὰ κατὰ τοὺς κίμβικας καὶ σκιφοὺς διακείμενος· ὁ δὲ φιλοκερδὴς εἰς ταὐτὸν

ἥκει τῷ ἀνελευθέρῳ· εἰκὸς γὰρ τὸν φιλοκερδῆ καὶ σμικρολόγον εἶναι, εἶτ' οὖν ἀνελεύθερον. τὸ δὲ κοτίνου στεφάνῳ στεφανώσας, παιγνιωδῶς διττολογεῖται· κεῖται γὰρ καὶ ἀνωτέρω. ἔθος δὲ τῷ κωμικῷ πολλαχοῦ διττολογεῖν ἐπὶ γέλωτι.] — αἴσχιον : Αἰσχρότερον, ἀτιμότερον. Θ. περιάψαι : Περιθεῖναι. Θ. *Dv. P.*

591. ἀνελεύθερος : Φειδωλός. οὕτωσὶ : Καθὼς αὐτὸς λέγεις. Θ. *Dv. P.*

592. ἀλλὰ σέ γ' ὁ Ζεὺς : Τοῦτο εἴρηκεν ὁ Χρεμύλος ἐπιστομηθεὶς παρὰ τῆς Πενίας, καὶ μὴ δυνάμενος ἀντιλέγειν εἰς κατάραν τὸν λόγον ἔτρεψε. Junt. τοῦτο παίζων ὁ Χρεμύλος λέγει. *Dv.* ἀλλά σε ὁ Ζεὺς : Εἴθε. ἐξολέσειεν : Παντελῆ φθορᾷ δοίη. P.

593. [τὸ γὰρ ἀντιλέγειν : Ὅτι σχῆμα κεῖται καινὸν ἐλλειπτικὸν ἐνταῦθα τόδε· τὸ γὰρ λέγειν τολμᾶν ὑμᾶς, ὡς οὐ πάντ' ἐστὶ ταγάθ' ὑμῖν διὰ τὴν πενίαν· λείπει γὰρ φανερῶς ἐνταῦθα ἔννοιά τις ἀκεραία τοιαύτη, τίς ἂν ἀκούων ἀνάσχοιτο, ἢ, πῶς οὐκ ἂν εἴη φορτικὸν, ἢ, πῶς οὐκ ἀντιλέγοιτο, ἢ τοιοῦτόν τι· ἵνα λέγῃ ἡ Πενία ὅτι, τὸ γὰρ τολμᾶν ὑμᾶς λέγειν, ὡς οὐ δι' ἐμὲ ὑμῖν τὰ ἀγαθὰ, πῶς ἂν εἴη φορητὸν ἀκούεσθαι; καὶ σημείωσαι τὸ τοιοῦτον εἶδος τῆς ἐλλείψεως ἐνδεικτικὸν ὂν θυμικοῦ ἤθους, καὶ ἐγκοπτομένης τῆς τελείας φράσεως διὰ τὸ πολὺ τῆς ὀργῆς. — Ἄλλως. αὕτη ἡ κατασκευὴ πρὸς τὸν τοῦ Χρεμύλου λόγον ἐστὶν, ὥσπερ τῆς Πενίας αὐτῷ λεγούσης ὅτι οὐ δεῖ δυσχεραίνειν πρὸς τοὺς ἐμοὺς λόγους· δεινὸν γὰρ τὸ τολμᾶν ὑμᾶς ἀντιλέγειν ἐμοὶ, ὡς οὐ πάντ' ἐστὶ ταγαθὰ ὑμῖν διὰ τὴν πενίαν· ἡ γὰρ ἀντιλογία ὑμῶν εἰς τούτους ὑμᾶς τοὺς ἀσεβεῖς λόγους καὶ ἄκοντας ὤθησεν· ἀσεβὲς γάρ ἐστι τὸ λέγειν τὸν Δία φειδωλὸν, καὶ τὰ τούτῳ ἑπόμενα. Junt., Dv. ἀντιλέγειν : Ἐμοί. ὡς : Ὅτι. ὑμῖν : Ἐν. *P.* οὐ μωρόν; Θ.]

594. παρὰ τῆς Ἑκάτης ἔξεστι : (Τὴν Ἑκάτην ἐν ταῖς τριόδοις ἐτίμων τὸ παλαιὸν, διὰ τὸ τὴν αὐτὴν Σελήνην καὶ Ἄρτεμιν καὶ Ἑκάτην καλεῖσθαι. κατὰ δὲ νουμηνίαν οἱ πλούσιοι ἔπεμπον δεῖπνον ἑσπέρας, ὥσπερ θυσίαν τῇ Ἑκάτῃ ἐν ταῖς τριόδοις· οἱ δὲ πένητες ἤρχοντο πεινῶντες, καὶ ἤσθιον αὐτὰ καὶ ἔλεγον ὅτι ἡ Ἑκάτη ἔφαγεν αὐτά. λέγει οὖν, παρὰ τῆς Ἑκάτης μάθωμεν [τῆς ἐπισταμένης] τί καλὸν, πενία ἢ πλοῦτος· αὕτη γὰρ ἐπίσταται τίνες παρέχουσιν αὐτῇ δεῖπνα καὶ τίνες ἐσθίουσιν αὐτά. ✻ Ἄλλως.) ἔθος ἦν ἄρτους καὶ ἄλλα τινὰ κατὰ μῆνα τιθέναι τῇ Ἑκάτῃ τοὺς πλουσίους, λαμβάνειν δ' ἐξ αὐτῶν τοὺς πένητας· ἀπὸ τῶν ἱερῶν γὰρ οἱ πτωχοὶ ζῶσιν. — διὰ τὴν πενίαν : Οὐ μωρόν ἐστι; *Dv.* οὐ κακόν ἐστι δηλ. *P.* Ἑκάτης : τῇ Ἑκάτῃ θύουσι τῇ τριακάδι. R. σελίνης. *Dv.* ἔξεστιν : Δυνατὸν ὑπάρχει μαθεῖν. *P.* πυθέσθαι : Μαθεῖν. *Dv.*

595. βέλτιον : Λυσιτελές. *P.* ἢ εἰς τούτους σε τοὺς ἀσεβεῖς ὤθησε λόγους λέγειν τὸν Δία φειδωλὸν καὶ τὰ ἑπόμενα τῇ φειδωλίᾳ. Θ.

596. δεῖπνον : Ἐξ ὧν καὶ τυροῦ τετηγανισμένου. Θ. *Dv.* κατὰ μῆνα προπέμπειν : Εἰς τὴν γέννησιν, προπ. εἰς τὰς τριόδους. *P.* ἤγουν φανείσης τῆς σελήνης. Θ.

597. τοὺς δὲ πένητας : Ἐκ τῶν ἱερῶν οἱ πτωχοὶ ἔζων. Gl. Θ. *Dv.* ἁρπάζειν : Ἑτοίμως λαμβάνειν. *P.* πρὶν : Προτοῦ. *Dv.* καταθεῖναι : Κάτω θεῖναι. *P.*

598. [ἀλλὰ φθείρου καὶ μὴ γρύζῃς : Ἔκθεσις τῆς διπλῆς ἐκ κώλων ὁμοίων ἀναπαιστικῶν κα', ὧν τὸ πρῶτον δίμετρον ἀκατάληκτον, τὸ δεύτερον μονόμετρον ἀκατάληκτον, τὸ γ' ὅμοιον τῷ πρώτῳ, τὸ δ' καὶ τὸ πέμπτον ὅμοια, τὸ ς' ὅμοιον τῷ δευτέρῳ, τὸ ἕβδομον ὅμοιον τῷ α', τὸ η' ὅμοιον τῷ δευτέρῳ, τὸ ἔνατον ὅμοιον τῷ α', τὸ δέκατον ὅμοιον τῷ δευτέρῳ, τὸ ια' ὅμοιον τῷ πρώτῳ, τὸ ιβ' ὅμοιον τῷ β', τὸ ιγ', τὸ ιδ', τὸ ιε', τὸ ις', τὸ ιζ', τὸ ιη', τὸ ιθ' ὅμοια τῷ πρώτῳ, ἤτοι δίμετρα ἀκατάληκτα· τὸ κ' ὅμοιον τῷ β', ἀναπαιστικὴ βάσις, ἤτοι μονόμετρον, ὃ καὶ παρατέλευτον ὀνομάζεται· τὸ κα',

καὶ τῆς πενίας καταπαρδεῖν,

δίμετρον καταληκτικὸν εἰς συλλαβὴν, ἤτοι ἐφθημιμερὲς, ὅμοιον τῷ Κρατίνου ἐν Ὀδυσσεῦσιν,

σιγάν νυν ἅπας ἔχε, σιγάν,
καὶ πάντα λόγον τάχα πεύσῃ.
ἡμῖν δ' Ἰθάκη πατρὶς ἐστι,
πλέομεν δ' ἅμ' Ὀδυσσεῖ θείῳ.

καλεῖται δὲ παροιμιακὸν, ὡς Ἡφαιστίων φησὶ, διὰ τὸ παροιμίας τινὰς ἐν τούτῳ τῷ μέτρῳ εἶναι· οὐκ εἰκότως δέ· εἰσὶ γὰρ παροιμίαι ἐπικαὶ καὶ ἰαμβικαὶ, καὶ οὐ τούτου μόνου τοῦ μέτρου. εἶτα δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ τελευταίου κώλου, ἡ δὲ κατὰ τὸ τέλος· ἀμφότεραι ἕξω νενευκυῖαι.]

(καὶ μὴ γρύζῃς : Μὴ φθέγγῃ. κυρίως δὲ γρύζειν ἐστὶ τὸ τοὺς μικροὺς χοίρους φωνὴν προΐεσθαι.) — φθείρου : Ἀφανίσθητι. *Dv.* ἤγουν μετὰ φθορᾶς ἀπέρχου. *P.* καὶ μὴ γρύζειν : Καὶ μὴ φθέγκεσθαι δίκην χοίρου ποσῶς. *Dv.* φθέγγου δίκην μικροῦ χοίρου. Θ. μὴ γρύζῃς : Μὴ τὸ τυχὸν λέγε, εἰς τὸ ἑξῆς μηδέν τι. *P.*

599. μηδ' ὁτιοῦν : μηδὲ ὀλίγον οὖν, μηδὲ τὸ τυχόν. V. μηδ' ὅλως. *P.*

600. οὐδ' ἢν πείσῃς : Ἐν ὑπερβολῇ λέγει, ὅτι κἂν πείσῃς, οὐχ ἕξεις ἡμᾶς πειθομένους σοι· [οὐδὲ ἐὰν πιθανῶς διαλεχθείης, πείσεις ἡμᾶς συνθέσθαι σοι, καὶ τὸν Πλοῦτον καταλιπεῖν.]

601. ὦ πόλις Ἄργους : Ταῦτα ἐκ Τηλέφου Εὐριπίδου τραγικεύεται. [μετείληπται δὲ ὁ στίχος ἐκ Φοινισσῶν Εὐριπίδου, Πολυνείκους λέγοντος. οὐδὲ γὰρ ἀκολούθως καλεῖ ἐν Ἀθήναις οὖσα. διαβάλλει δὲ τοὺς Ἀργείους ὡς πένητας.] — τοῦτο Εὐριπίδου ἐστὶν ἐκ Φοινισσῶν, Πολυνείκους λέγοντος. Θ. κλύεθ' : Ὦ Ἀργεῖοι. *Paris.*

602. Παύσωνα κάλει τὸν ξύσσιτον : Σύντροφον καὶ συνδιαιτητήν. ὁ Παύσων δὲ ἐπὶ πενίᾳ κωμῳδεῖται ζωγράφος ὤν. — μετακαλοῦ σύντροφον τὸν Παύσωνα. κωμῳδεῖται δὲ ἐπὶ πενίᾳ ὁ Παύσων ζωγράφος ὤν. *P.* Παύσωνα : Οὗτος ζωγράφος ὢν πάνυ πτωχὸς ἦν. τὸν ξύσσιτον : Τὸν σύντροφον τὸν σόν. Θ. *Dv.*

603. τί : Ἵνα. τλήμων : Ἀθλία, ἤγουν ἡ δυστυχής. *P.* ἡ ἀθλία. *Dv.*

604. ἐς κόρακας : ἀντὶ τοῦ εἰς ἀπώλειαν καὶ φθοράν. Βοιωτοῖς γὰρ ἀναστάτοις ἀπὸ Θρᾳκῶν γενομένοις καὶ περὶ ἀποικίας μαντευομένοις εἶπεν ὁ θεὸς ἐκεῖ κατοικεῖν ἔνθα ἂν ἴδωσι λευκὸν κόρακα. οἱ δὲ ἐν Θετταλίᾳ περὶ τὸν Παγασητικὸν κόλπον εἶδον περιιπταμένους τοὺς τοῦ Ἀπόλλωνος ἱεροὺς κόρακας, οὓς παῖδες ἀφῆκαν γυψώσαντες ὑπὸ μέθης, καὶ τελεῖσθαι τὸν χρησμὸν φήσαντες ἐνταῦθα κατῴκησαν. οἱ δὲ ἀπὸ τοῦ ζῴου λέγεσθαι τὴν παροιμίαν φασίν· ἐν γὰρ τοῖς ἐρημοτέροις τόποις ἐπιτηρεῖ τὰ πτώματα. V. Ἔρρ' : Μετὰ φθορᾶς ἀπέρχου. Θ. ἄπελθε εἰς τοὺς κόρακας ταχέως. *P.* θᾶττον : Ταχέως. *Dv.*

605. εἶμι : Ποῦ πορεύσομαι. Θ. *Dv.* ἐλεύσομαι. ποῖ γῆς : Εἰς ποῖον μέρος. *P.*

606. ἐς τὸν κύφωνα : [Κύφων] ὁ ξύλινος δεσμὸς, ἐν ᾧ δεσμεύονται οἱ ἐν τῇ φρουρᾷ, [ὃν καὶ κυφῶνα περισπωμένως λέγουσι]. τινὲς δὲ Κύφωνα ὄνομα κύριόν φασι πτωχοῦ τινος. [οἱ δὲ κρημνὸν οὕτω καλούμενον.] — ἐς τὸν : Ἄπελθε δηλ. *P.* οἱ μὲν τὸν κύφωνα τιμωρητικὸν ὄργανον φασὶν, ὃν καὶ κυφῶντα περισπωμένως λέγουσιν· οἱ δὲ ἄνδρα καθ' ὑπερβολὴν πένητα· οἱ δὲ κρημνὸν οὕτω καλούμενον. *P.*

(ἀλλ' οὐ μέλλειν : Ἀλλ' οὐ χρή σε, φησὶ, βραδύνειν, ἀλλ' ἐπείγεσθαι εἰς ὄλεθρον.) μέλλειν : Βραδύναι. *Dv.* βραδύνειν. Θ. *P.*

607. τινὲς μετὰ τοῦ τ ἀνύτειν· πλεονάζουσι γὰρ οἱ Ἀττικοὶ τὸ τ. R. V. Θ. ἀλλ' ἀνύειν : Ἀνύω τὸ τελειῶ· καὶ ἀνύω τὴν ὁδὸν, ἤτοι σπουδαίως βαδίζω. Junt., P. Vict. χρὴ : Πρέπει. *Dv.* ἀνύειν : Σπεύδειν. *Br.* χρὴ σ', ἀλλ' ἀνύειν : Συντόνως ἔρχεσθαι. *P.* ἀνύττειν : Σπεύδειν τῆς πορίας. *Dv.*

608. ἦ μὴν : Ὄντως δέ. Θ. *Dv.* ὁρκωμοτικὸν ἐπίρρημα ἀντὶ τοῦ ναὶ μήν. *V. P.*

609. μεταπέμψεσθον : Μετακαλέσατον. Θ. μετακαλέσετε. *Dv. P.* μετακαλέσασθε. Borg.

610. τότε νοστήσεις : Ὅτε μεταπεμψόμεθά σε. ἐν ἤθει δὲ καὶ τοῦτο. — ὅτε μεταπεμψόμεθά σε, ὑποστρέψεις· νῦν δὲ μετὰ φθορᾶς ἀπέρχου. τοῦτα ἐν ἤθει. *P.* νοστήσεις : Ἐπαναστρέψεις. Θ. *Dv.*

611. κρεῖττον : Κάλλιον. *P.*

612. κλάειν μακρὰ τὴν κεφαλήν : Λείπει τὸ τύπτουσαν· ἢ οὐδὲν λείπει, ἀλλ' ἀντὶ τοῦ κλαίειν ὅλον τὸ σῶμα καὶ σεαυτήν. [Ἀττικὸν τὸ σχῆμα.] — ἐᾶν : Καταλιμπάνειν. *Dv.* ἡ τὴν κεφαλὴν τύπτουσα δηλ. λέγει. αἱ γὰρ γυναῖκες, ὅταν κλάωσι, τὰς ἑαυτῶν κεφαλὰς τύπτουσιν. ἢ τὸ κεφαλὴν πρὸς τὸ κλάειν σύναπτε, καὶ μηδὲν ἔξωθεν λάμβανε. P., Vict. τὴν κεφαλήν : Τύπτουσαν δηλαδή. *Dv.*

614. εὐωχεῖσθαι : Εὐφραίνεσθαι ὁμοῦ. *Dv.* τρέφεσθαι. *P.*

616. ἀντὶ τοῦ ἀνθηρὸς, παρὰ τὸ λίπος· στίλβει γὰρ τὸ ἔλαιον· ἢ ἀντὶ τοῦ ἀλνλιωμένος. R. V. Θ. τὸ λιπαρὸς ἢ ἀντὶ τοῦ τρυφηλὸς νοητέον· ἢ διότι ἔθος ἦν τοῖς παλαιοῖς μετὰ τὸ λελοῦσθαι ἐλαίῳ δι' ὅλου τοῦ σώματος ἀλείφεσθαι, ἵνα οἱ πόροι ὑπὸ θέρμης ἀνεῳχθέντες κλεισθῶσιν ὑπὸ τοῦ ἐλαίου ἐπιπωματικοῦ ὄντος, καὶ μὴ δέξωνται ἀέρα ἔκτοθεν. Junt., Dv., Vict. λιπαρὸς : Φαιδρός. *P.* χωρῶν : Ἐρχόμενος. *Dv.* βαδίζων, κινούμενος. *P.* βαλανείου : Λοετροῦ. *Dv.*

617. τῶν χειροτεχνῶν : Τῶν πενήτων. V. τῶν πτωχῶν. *Dv.*

618. καταπαρδεῖν : καταγελᾶν. V. καταφρονεῖν· παίζει δέ. Θ. *Dv.* καταποπαρδεῖν : Καταφρονῆσαι. *P.*

619. αὕτη μὲν ἡμῖν : Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ὀκτώ· ἐπὶ τῷ τέλει παράγραφος, καὶ ἐξῆς τὸ χοροῦ. κἀνταῦθα γὰρ χορὸν ὤφειλε θεῖναι, καὶ διατρίψαι μικρὸν, ἄχρις ἂν τις ἐξ Ἀσκληπιοῦ ἀναστρέψειε τὴν τοῦ Πλούτου ἀπαγγέλλων ἀνάβλεψιν. — ἡ πίτριπτος : Ἡ ἀξία ἐπιτετρίφθαι. Θ. *Dv.* ἡ ἀξία τοῦ ἐπιτριβῆναι, ἢ ἡ μεγάλα φθεγγομένη, ἐπείπερ ἔλεγε « τῶν χειροτεχνῶν καὶ τῆς Πενίας καταπαρδεῖν. » R. V. Θ. P. οἴχεται : Ἀπῆλθεν. Θ. *Dv.* ἀφανὴς γέγονε. *P.*

620. ὡς τάχιστα : Λίαν ταχέως. θεὸν : Τὸν Πλοῦτον. Θ. *P.*

621. [ἄγωμεν εἰς : Ἄγειν, τὸ διεξάγειν στράτευμα· ὅθεν καὶ ἀγὸς ποιητικῶς ὁ ἡγεμών. καὶ, τοσαῦτα πράγματα ἄγει τις, ἤτοι διευθετεῖ. ἄγειν τὸ νομίζειν καὶ ἡγεῖσθαι, ὡς παρὰ Συνεσίῳ « ἡμέρα μὲν οὖν ἦν, ἤντινα ἄγουσι Ἰουδαῖοι παρασκευήν. » ἄγειν καὶ τὸ φέρειν ἐπὶ ἐμψύχων, ὡς τὸ, ἄγει τὸν νέον εἰς τὸ διδασκαλεῖον. ἄγειν καὶ τὸ συντρίβειν, ἀφ' οὗ τὸ κατέαγε, καὶ κατεαγὼς, καὶ παρ' ἰατροῖς κάταγμα, τὸ τῶν ὀστῶν σύντριμμα. Junt. ἐγκατακλινοῦντ' : Καταθήσοντες. Θ. ἐγκαταθήσοντες. εἰς Ἀσκληπιοῦ : Τὸν ναὸν δηλαδὴ Θ. *Dv. P.*

εἰς Ἀσκληπιοῦ : Τὸν ἐν ἄστει λέγει Ἀσκληπιόν· δύο γάρ εἰσιν, ὁ μὲν ἐν ἄστει, ὁ δὲ ἐν Πειραιεῖ, [ἢ ἐν Ἀχάρναις, ὥς φασι].

622. καὶ μὴ : Ὅρα μὴ ἀργῶμεν. *P.* μὴ : Ἵνα. ἐκ παραλλήλου τὸ πάλιν αὖ. Θ. *Dv.* τὶς : τῶν φίλων. *P.*

623. διακωλύσῃ : Ἐμποδίσῃ. τῶν προὔργου : Τῶν σπουδαίων, τῶν ἀναγκαίων. *P.* τῶν ἀναγκαίων. Θ. *Dv.* τῶν ἀναγκαίων, τῶν σπουδαίων, τοῦ πλουτεῖν. R. V.

624. παῖ : Δοῦλε. Θ. ἐκφέρειν : Ἐξάγειν. *P.*

625. [αὐτόν τ' ἄγειν τὸν Πλοῦτον : Τοῦτο ὥσπερ διὰ μέσου εἴρηκεν· οὐ γὰρ τὸν Πλοῦτον ἔμελλεν ὁ Καρίων ἀγαγεῖν, ἀλλὰ τὰ στρώματα καὶ τὰ ἄλλα, ὅσα αὐτοῖς εἰς τὴν χρείαν παρεσκεύαστο. τὸ δὲ, ὡς νομίζεται, ἢ πρὸς τὸ ἐκφέρειν σύναπτε, ἵν' ᾖ, ὡς νομίζεται, καὶ νόμιμόν ἐστι τοῖς δούλοις ποιεῖν· ἢ πρὸς τὸ ἄγειν, ἵν' ᾖ, ὡς νομίζεται ποιεῖν τοὺς ἄγοντας ἀσθενῆ εἰς Ἀσκληπιοῦ. ἢ καὶ τὸ, ἄγειν αὐτὸν τὸν Πλοῦταν, πρὸς τὸν Καρίωνα, ἤγουν, μετὰ τῶν ἄλλων καὶ τοῦτον ἐξένεγκε. Junt.] ὡς νομίζεται : ὡς πρέπει καὶ ὡς ἔθος ἐστὶν, ἀντὶ

τοῦ ὡς δίκαιόν ἐστι. V. Θ. ὡς νόμιμόν ἐστιν ὁδηγεῖν τὸν τυφλόν. *P.*

626. ἔνδον : Τῆς οἰκίας. ηὐτρεπισμένα : Ὠκονομημένα. *P.* εὐτρεπισμένα : τὰ πρὸς τὴν θυσίαν τοῦ Ἀσκληπιοῦ. V.R. Θ.

627. [ὦ πλεῖστα Θησείοις : Ἕτερον σύστημα ἀμοιβαῖον τῶν ὑποκριτῶν. εἰσὶ δὲ οἱ πρῶτοι ι′ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι· ὁ ἑνδέκατος ἀντισπαστικὸς τρίμετρος βραχυκατάληκτος, ἐπιμεμιγμένος ἐπιτρίτῳ β′· ὁ δωδέκατος ἰαμβικὸς τρίμετρος· οἱ ἑξῆς δύο ἀντισπαστικοὶ τρίμετροι βραχυκατάληκτοι τοῦ πρώτου ποδὸς πεντασυλλάβου, τουτέστι διτροχαίου (αἱ γὰρ βραχεῖαι κατ' ἀρχὰς συλλαβαὶ ἀντὶ μιᾶς μακρᾶς λογιζέσθωσαν), τοῦ δὲ δευτέρου ἐπιτρίτου δευτέρου. ἐπὶ τῷ τέλει παράγραφος. σημείωσαι ἐνταῦθα ὅτι δέον χορὸν διὰ μέσου θεῖναι, μέχρις ἂν ἐκεῖνοι ἐς Ἀσκληπιοῦ ἐλθόντες ἀναβλέψαιεν τὸν Πλοῦτον, ὁ δὲ παραχρῆμα τὸν Καρίωνα εἰσφέρει εὐαγγελίζοντα τοῖς γέρουσι περὶ τῆς τοῦ Πλούτου ἀναβλέψεως. ἐποίησε δὲ τοῦτο οὐκ ἀλόγως, ἀλλὰ τῇ τε τῆς νέας κωμῳδίας συνηθείᾳ, ἐν ᾗ αἱ παραβάσεις ἐπαύσαντο, ὡς προείρηται, καὶ ἅμα δεῖξαι βουλόμενος ὡς ἄρα τάχιστα πάνυ ὁ Πλοῦτος ἀνέβλεψεν.]

ὦ πλεῖστα Θησείοις μεμυστιλημένοι : [Ὁ θεράπων ἔρχεται ἀγγέλλων τὸν Πλοῦτον ἀναβλέψαντα.] μετὰ τὸ χαρίσασθαι τὴν δημοκρατίαν τοῖς Ἀθηναίοις τὸν Θησέα, Λύκος τις συκοφαντήσας ἐποίησεν ἐξοστρακισθῆναι τὸν ἥρωα· ὁ δὲ παραγενόμενος εἰς Σκῦρον διῆγε παρὰ Λυκομήδει τῷ δυνάστῃ τῆς νήσου, ὃς ζηλοτυπήσας ἀναιρεῖ αὐτὸν δόλῳ. Ἀθηναῖοι δὲ λοιμώξαντες καὶ κελευσθέντες ἐκδικῆσαι τῷ Θησεῖ, τὸν μὲν Λυκομήδην ἀνεῖλον, τὰ δὲ ὀστᾶ μεταστειλάμενοι καὶ τὸ Θησεῖον οἰκοδομήσαντες ἰσοθέους αὐτῷ τιμὰς νέμουσιν. — Ἄλλως. Ταῖς ὀγδόαις τὰ Θησεῖα ἦγον καὶ ἀνεῖτο ἡ ὀγδόη πᾶσα τῷ Θησεῖ, ἐν Ἀθήναις δὲ δημοτελὴς ἑορτὴ συντείνουσα πρὸς τὴν τοῦ ἥρωος τιμήν. ἐκαρύκευον δὲ ζωμόν. Ἄλλως. V. (διανομαὶ καὶ εὐωχίαι τοῖς Θησείοις ἐγίνοντο. ἑορτὴ δὲ αὐτῷ ἐπετελεῖτο, ἐπειδὴ αὐτὸς συνήγαγε τὴν Ἀττικὴν, πρότερον σποράδην καὶ κατὰ κώμας οἰκουμένην.) [μεμυστιλημένοι, εὐωχημένοι, ζωμὸν ἀρυσάμενοι ἄρτοις κοίλοις καὶ μύστρια μιμουμένοις. ὅθεν καὶ τὸ ὄνομα τοῖς μυστρίοις, οἷον μυστλίον τι ὄν. ἐν ταύτῃ δὲ τῇ ἑορτῇ πάντες προῖκα ἤσθιον καὶ τὴν ἀθάραν καὶ ἄλλα τινά.] Ἄλλως. ὁ κοῖλος ἄρτος μυστίλη καλεῖται, ἦγουν ἀθάρα· ἐν γὰρ τοῖς Θησείοις ἀθάραν ἤσθιον. ὁ δὲ νοῦς, ὦ πολλὰ ταλαιπωρήσαντες, καὶ εἰς οὐδὲν ἑστιαθέντες, νῦν δὲ εὐτυχήσαντες. — Ἄλλως. τὸ Θησείοις εἰ μὲν διὰ τῆς οι διφθόγγου γράψεις, τὴν ἑορτὴν τοῦ Θησέως ἐρεῖς· εἰ δὲ η, ἀντὶ τοῦ μισθαρνίαις νοήσεις. τὸ δὲ μεμιστυλλημένοι ἀντὶ τοῦ τεθραμμένοι καὶ ζωμὸν ῥοφήσαντες· μιστυλλᾶν γὰρ παρὰ τοῖς Ἀττικοῖς δευτέρας συζυγίας τῶν περισπωμένων, τὸ διὰ μιστύλλης (ὅ ἐστιν ἄρτου κοίλου, οἷα δοίδυκος) ζωμὸν ἀρύεσθαι. γίνεται δὲ παρὰ τὸ μεῖστον, ὅ ἐστι τὸ σμικρότατον· ἀλλὰ τὸ μὲν μεῖστον διὰ διφθόγγου γράφεται, ὡς ἀπὸ τοῦ μεῖον γενόμενον· καὶ γὰρ ἐκεῖνο διὰ διφθόγγου. τὸ δὲ μιστύλλα διὰ τοῦ ι· οὐδὲν οὖν καινὸν, εἰ τὸ μὲν μεῖστον διὰ διφθόγγου γράφεται, τοῦτο δὲ διὰ τοῦ ι, ὅπου γε καὶ ἐπὶ τοῦ χερείων χείριστος, ἀρείων ἄριστος τοῦτο γέγονε. Junt. μεμιστυλλημένοι : Εὐωχηθέντες. *P.* τεθραμμένοι καὶ ζωμὸν ῥοφήσαντες ἐν τμήματι ἄρτου κοιλασθέντος ὥσπερ δοίδυκος. Θ. *Dv.*

628. ἐπ' ὀλιγίστοις ἀλφίτοις : Τοῖς κοίλοις γὰρ ἄρτοις τοὺς ζωμοὺς ἀρυόμενοι ταχέως κορέννυνται δι' ἔνδειαν ἄρτων. ὀγδόῃ δὲ τὰ Θησεῖα ἦγον καὶ πᾶσαν τὴν ἡμέραν ἐπανηγύριζον εἰς τιμὴν τοῦ ἥρωος. πεποίηται δὲ ἡ λέξις, λέγω δὴ ἡ μυστίλη, παρὰ τὴν μάσησιν. [Ἄλλως. ἢ διὰ τὸ πλῆθος τῶν ὄψων ὀλίγον ἄρτον ἀνήλισκον· ἢ τῷ ζωμῷ σχολάζοντες καὶ ὑπὸ τούτου κορεννύμενοι.] —ὀλίγοις ἀλφίτοις : Ἄρτοις, βρώμασιν. *P.*

629. ὡς : Λίαν. *P.* λίαν, ὄντως. Θ. *Dv.* ὡς : Ὅτι. πεπράγατε : Εὐτυχήσατε. *P.*

630. μέτεστι : Μετουσία ἐστί. *P.*

631. τί δ' ἐστὶν, ὦ βέλτιστε, τῶν σαυτοῦ φίλων : [Ἀντὶ τοῦ περὶ τοὺς σαυτοῦ φίλους· οἷον τῶν ὁμομαστίγων. οἱονεὶ] οὐκ ἄλλων τινῶν, ἀλλὰ τῶν ὁμοίων σοι μαστιγιῶν. [ἢ τρόπων, οὕτως· ὦ βέλτιστε, τί τῶν σαυτοῦ τρόπων ἐστίν; ἀντὶ τοῦ, τί ἀγαθὸν ἡμῖν ἀγγέλλεις; εἰκὸς γάρ σε καλλίστοις χρώμενον τρόποις πρὸς τοὺς τρόπους καὶ τὰς ἀγγελίας ποιεῖσθαι.] — τῶν : Ἕνεκα. *Paris.*

632. ἄγγελος : Μηνυτής. *P.*

633. πέπραγεν εὐτυχέστατα : Εὐτυχὴς γέγονε. *P.* εὐδαιμονέστατα. *Dv.*

635. ἐξωμμάτωται : [Ἐκ Φινέως Σοφοκλέους ὁ στίχος. ὅρα πῶς τοῖς σπουδαίοις γελοιώδη καταμίξας λανθάνει, εἰρηκὼς ἐξωμμάτωται καὶ λελάμπρυνται. ἡ δὲ λέξις] ἀντὶ τοῦ ἐπιτεταμένως ὁρᾷ· ἡ γὰρ ἐξ ἐπίτασιν δηλοῖ, ὡς τὸ [Hom. Il. I, 486] « ἐκ θυμοῦ φιλέων. » ἢ μᾶλλον παίζων ἐπὶ στερήσεως λέγει. — ἔπαιξεν εἰπὼν ἐξωμμάτωται. τὸ γὰρ ἐξωμματῶσθαι ἔστι τὸ ἀποβεβληκέναι, ἢ ἐπιτεταμένως ὁρᾶν. ἡ γὰρ ἐξ ἐπίτασιν δηλοῖ, ὡς τὸ « ἐκ θυμοῦ φιλέων. » V. Ἄλλως. δέον εἰπεῖν, ἀνέβλεψε καὶ καθαροὺς ἔσχε τοὺς ὀφθαλμοὺς, ἐξωμμάτωται εἶπε καὶ λελάμπρυνται· παίζων γὰρ ἐπαμφοτεριζούσας λέξεις ἔθηκεν· ἐξωμμάτωται γὰρ καὶ ἀντὶ τοῦ, ἐκκέκοπται τοὺς ὀφθαλμοὺς δύναται νοεῖσθαι, καὶ ἀντὶ τοῦ, ἐκ τῶν ὀφθαλμῶν ἀφῃρέθη τὸ κάλυμμα. ὁμοίως δὲ καὶ τὸ λελάμπρυνται καὶ ἀντὶ τοῦ, καθαροὺς ἔσχε τοὺς ὀφθαλμοὺς, καὶ ἀντὶ τοῦ, λεύκωμα ἐν αὐτοῖς ἔσχε. ἔχει δὲ τὸ λελάμπρυνται τρίτον πρόσωπον τῶν ἑνικῶν ὁμόφωνον τῷ τρίτῳ τῶν πληθυντικῶν ὡς τὸ ἐξήρανται, καὶ κατῄσχυνται, καὶ ὅσα τοιαῦτα. Junt. ἐξωμμάτωται : Ὠμματώθη, ἀνεῳγμένους ἔχει τοὺς ὀφθαλμούς. Θ. *Dv.* ὄμματα ἔλαβεν. λελάμπρυνται κόρας : Λαμπρὰς τὰς ὄψεις ἔσχε. *P.* λελάμπρυνται καὶ

ἀντὶ τοῦ καθαρῶς ἔσχε καὶ ἀντὶ τοῦ λευκώματα ἐν αὐτοῖς ἔσχε. Θ.

636. [Ἀσκληπιοῦ παιῶνος : Παιὰν μὲν ὕμνος ἐστὶν εἰς Ἀπόλλωνα ἐπὶ παύσει λοιμοῦ ᾀδόμενος, ἀλλὰ καὶ ἐπὶ παύσει πολέμου· πολλάκις δὲ καὶ προσδοκωμένου δεινοῦ· καὶ παιανίζειν ῥῆμα ἀπὸ τούτου τὸ παιᾶνα ᾄδειν· καὶ γίνεται ἀπὸ τοῦ παύω, παυὰν, καὶ παιάν. παιὼν δὲ, ὁ καὶ παιήων, ὁ ἰατρὸς καὶ θεραπευτὴς τῶν νοσημάτων· καὶ γίνεται ἐκ τοῦ παίω, τὸ θεραπεύω, παίων καὶ παιάων, ὡς Μαχάων, καὶ κατὰ τροπὴν τοῦ α εἰς η παιήων, καὶ αὖθις κατὰ συγκοπὴν παιών. Junt., Vict. παιῶνος : Ἰατροῦ. *Dv.* εὐμενοῦς : Συμπαθοῦς. *P.*] ἀντὶ τοῦ εὐμενεστάτου. ταῦτα δὲ ἐκ τοῦ Φινέως Σοφοκλέους ἔλαβεν. V.

637. λέγεις μοι χαρὰν : [Τινὰ γελᾷ τῶν τραγικῶν.] ἀπαγγέλλεις μοι, φησὶ, χαρᾶς ἄξιον, ὥστε καὶ βοᾶν τῇ χαρᾷ νικώμενον.

[λέγεις μοι χαρὰν : Τὸ συστημάτιον τοῦτο κώλων ἐστὶ δ'. τὸ α' τρίμετρον βραχυκατάληκτον ἐξ ἀντισπάστου, ἐπιτρίτου δευτέρου καὶ δύο συλλαβῶν, ἡμίσεως ποδὸς αὐσῶν. τὸ β' ἰαμβικὸν τρίμετρον ἀκατάληκτον. τὸ τρίτον καὶ τέταρτον τρίμετρα καταληκτικὰ ἐκ παιώνων δύο καὶ συλλαβῶν τριῶν λειπουσῶν μιᾷ συλλαβῇ εἰς ἀναπλήρωσιν τελείου ποδός. Junt. λέγεις μοι χαίρειν βοὰν : Ὑφ' ἡδονῆς. *P.*]

638. χαίρειν : Εὐφραίνεσθαι. *Dv.* ἤν τε βούλησθ' ἤν τε μή : (ἀντὶ τοῦ) παντὶ τρόπῳ. R. V.

639. ἀναβοάσομαι : Ἀνυμνήσω, φησὶ, τὸν Ἀσκληπιὸν μέγα φῶς ὄντα τοῖς ἀνθρώποις. πολλοὶ γὰρ παῖδες τοῦ Ἀσκληπιοῦ, Ποδαλείριος, Μαχάων, Ἰασὼ, Πανάκεια, Ὑγίεια. ἀναπέπλασται δὲ τὰ ὀνόματα παρὰ τὸ ἰᾶσθαι καὶ πάντα ἀκεῖσθαι καὶ παρὰ τὸ ὑγίειαν παρέχειν. τὸν εὔπαιδα δὲ ἢ τὸν καλοὺς ἔχοντα παῖδας, (ἢ αὐτὸν καλὸν παῖδα). [ἐπαμφοτερίζει γὰρ τὰ τῆς χρήσεως ἐπί τε τοῦ καλοῦ παιδὸς καὶ τοῦ καλοὺς παῖδας ἔχοντος. ἢ τὸν καλοῦ πατρὸς παῖδα. ὁ δὲ νοῦς πέπαικται εἰς τραγῳδίαν· ὁ γὰρ χαρακτὴρ τραγικὸς, ὡς ἐν Ὀρέστῃ [984] « ἀναβοάσομαι πατρὶ Ταντάλῳ. »]

ἀναβοάσομαι : Ἀνυμνήσω, θαυμάσω. Θ. ἀνυμνήσω. *Dv.* ἀνευφημήσω. τὸν εὔπαιδα : Τὸν καλοὺς παῖδας ἔχοντα. *P.* εὔπαιδα λέγει τὸν Ἀσκληπιὸν ὡς καλλίστους ἔχοντα παῖδας, Μαχάονα, Ποδαλείριον, Ἰασὼ καὶ Πανάκειαν. Dv. P.

640. φέγγος δὲ ἀντὶ τοῦ τὸν μέγα φῶς ὄντα τοῖς ἀνθρώποις. R. φέγγος : Σωτηρίαν. *P.*, *Vict.*

641. [τίς ἡ βοή ποτ' ἐστί : Κορωνὶς εἰσιόντων ὑποκριτῶν· οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, ρκθ'· ὧν τελευταῖος

ἐγὼ δ' ἀπαντῆσαί γ' ἐκείνοις βούλομαι.

ἐπὶ τέλει ἑκάστου συστήματος παράγραφος· ἐπὶ δὲ τῷ τέλει πάντων τῶν στίχων κορωνὶς, καὶ ἐξῆς τὸ κομμάτιον τοῦ χοροῦ· κἀνταῦθα γὰρ χοροῦ τι μέρος ὤφειλε θεῖναι, καὶ διατρῖψαι μικρὸν, ἄχρις ἂν ὁ Καρίων ἐκείνοις συμμίξειεν.] — ἀγγελεῖ : Μηνύει. *Dv.*

642. χρηστόν τι : Εὐτυχές τι. τοῦτο : Τὸ ἀκοῦσαι ἀγγελίαν ἀγαθήν. *P.* ποθοῦσ' : Ἀγαποῦσα. πάλαι : Πρὸ πολλοῦ. *Dv.*

643. ἔνδον : Ἐντὸς τῆς οἰκίας. περιμένουσα : Ἐκδεχομένη τοῦτον τὸν θεράποντα. *P.* ἐκδεχομένη. Θ. τὸν θεράποντα. R. V.

644. ταχέως, ταχέως φέρ' οἶνον : Ἡνίκα ἦν ἀπαγγελία, ἔθος ἦν πίνειν οἶνον. (διαβάλλει δὲ αὐτὴν ὡς φιλοῦσαν τὸν οἶνον.) — ταχέως : Συντόμως. *Dv.*

645. καὐτὴ πίῃς : Καὶ ἐγώ. Θ. *Dv.* διαβάλλει ὡς μεθύσην. *P.* φιλεῖς : Ἀγαπᾷς ποιοῦσα. *Dv.*

646. ἀντὶ, τούτου ἐστὶ τὰ ἀγαθά. R. συλλαβόμενος καὶ συλληπτικός. V. ὡς : Ὅτι. συλλήβδην : Ὁμοῦ συλλαβών. Θ. *Dv.* ὡς ἀγαθὰ : Ἴσθι ὅτι. συλλήβδην : Ὁμοῦ. *P.*

647. ποῦ 'στιν : Τὰ ἀγαθὰ δηλ. *Dv. P.* ἐν τοῖς ... : Ἐν τοῖς ἐμοῖς λόγοις γνώσῃ ἴσως. *P.* εἴσει τάχα : Γνώσῃ ἴσως ἢ ταχέως. Θ. γνωρίσει ταχέως. *Dv.* γνώσῃ. V.

648. πέραινε : Εἰς τέλος λέγε. *Dv.* τελειοῦ, πληροῦ. *P.* ἀνύσας : Σπεύσας, τελειώσας. *Dv.*

649. προκατάστασις. Θ. [ὡς ἐγὼ τὰ πράγματα ἐκ τῶν ποδῶν εἰς τὴν κεφαλήν σοι : Τὸ μὲν φαινόμενόν ἐστι τοῦτο τὸ, ἐξ ἀρχῆς μέχρι τέλους ἐρῶ τὰ πράγματα· νοεῖται δὲ καὶ ἕτερόν τι πάνυ αἰσχρὸν καὶ ἄξιον τῆς τῶν δούλων ἀσελγείας καὶ μοχθηρίας. ἡ γυνὴ δὲ πράγματα τὰς ὀχλήσεις ἐνόησε, καὶ διὰ τοῦτο λέγει

μὴ δῆτ' ἔμοιγ' ἐς τὴν κεφαλήν.]

τοίνυν : Τὸ λοιπόν. *P.*

650. ἀντὶ τοῦ ἀπ' ἀρχῆς μέχρι τέλους· ἢ παρὰ τὸ ἐς κεφαλήν σου, ὅπερ ἡ συνήθεια ἐπὶ τοῦ φαύλου λαμβάνει. R. V. ἐκ τῶν ποδῶν : Ἀπ' ἀρχῆς ἄχρι τέλους. *Dv.* ἀπ' ἀρχῆς μέχρι τέλους, ἐμφαντικόν. *P.*

651. διὰ τὸ οἰηθῆναι διαπόμπησιν λελέχθαι. V. τὰ ἀγαθὰ εἶπὲ, μὴ μὲν οὖν τὰ πράγματα ἐρεῖς. *Dv.* ἐμοὶ : Ἐμοῦ. ἐς τὴν κεφαλὴν : Τὰ πράγματα ἐρεῖς δηλ. *P.* μὴ τἀγαθὰ : Οὐκ ἐρῶ. *Dv.*

652. μὴ μὲν οὖν τὰ πράγματα : Σαφῶς νῦν τὰ πράγματα χαλεπὰ καὶ ἀνιαρά. ἀκριβῶς δὲ δεδήλωκεν ὅτι ἐπὶ κακῷ ἔλεγον τὰ πράγματα. [καὶ Μένανδρος δὲ ἐν Γεωργῷ « ἐν πράγμασιν, ἐν μάχαις. » ἐν ἤθει δὲ ἀναγνωστέον.] — νῦν : Πρὸ ὀλίγου. πράγματα : Τὰς ὀχλήσεις. *P.*

653. διήγησις. Θ. ὡς : Ἐπειδή. *P.* ἀφικόμεθα : Ἐπορεύθημεν. *Dv.*

654. πάλιν αὐτὸν ἄνδρα εἶπεν ὥσπερ καὶ ἐν τῇ ἀρχῇ. ἄθλιον δὲ διὰ τὸ τυφλὸν αὐτὸν εἶναι. εὐδαίμονα δὲ διὰ τὸ θεραπευθῆναι τοὺς ὀφθαλμούς. V. ἀθλιώτατον : διὰ τὴν τῶν ὀφθαλμῶν κάκωσιν. R. διὰ τὴν τύφλωσιν. Θ. *Dv.* διὰ τὴν πήρωσιν. *P.*

655. νῦν δ', εἴ τιν' ἄλλον : Λέον, εἴπερ τις ἄλλος,

εἰπεῖν, εἴπερ τιν' ἄλλον εἶπε πρὸς τὴν ὄπισθεν αἰτιατικήν. Junt. εἴ τιν' ἄλλον : Ἀντὶ τοῦ ὡς οὐδένα ἄλλον. *P.* μακάριον : Διὰ τὴν ἀνάβλεψιν. Θ. *Dv.* εὐδαίμονα : Εὐτυχῆ. *Dv.* διὰ τὸ ἀναβλέψαι. *P.*

656. ἐπὶ θάλατταν ἤγομεν : Εἴθιστο γὰρ τοῖς ἀρχαίοις ἐκεῖ καθαίρειν τοὺς ἀφωσιωμένους, ὡς καὶ Ὅμερος [Il. A, 314] « καὶ εἰς ἅλα λύματ' ἔβαλλον. » εἴθιστο τοῦτο ποιεῖν, ὡς ἔοικε, τοῖς ἐκεῖ ἀφικνουμένοις θεραπευθῆναι. Θ.

657. ἔπειτ' ἐλοῦμεν : Ἀπὸ τοῦ λόω, ἢ ἀπὸ τοῦ ἐλούομεν κατὰ συγκοπήν. — Ἀττικὸν τὸ ἐλοῦμεν ἀντὶ τοῦ ἐλούομεν, καὶ κατὰ συγκοπὴν ἐλοῦμεν. Br.

νὴ Δί' εὐδαίμων : Ἐν εἰρωνείᾳ, ἀντὶ τοῦ κακοδαίμων· (τὸ γὰρ εὖ ἀντὶ τοῦ δυς μορίου. τὸ δὲ ψυχρᾷ θαλάττῃ, διὰ τὸ τῆς οὐσίας ψυχρὸν τῶν γερόντων. τὸ δὲ ἤμεν) ἀντὶ τοῦ ἐπορευόμεθα· διὸ μετὰ τοῦ ι. ἀπὸ γὰρ τοῦ εἶω.

659. ἤμεν : Ὑπήρχομεν. *Dv.* ἤμεν : Ἐπορευόμεθα. *P. C.*

660. (ἐπὶ δὲ βωμῷ : Ἀντὶ τοῦ, ὁσιωθείσης τῆς θυσίας καὶ τῶν ἀπαργμάτων ἐπὶ τῶν βωμῶν τεθέντων, ἅπτονται τοῦ βωμοῦ ἢ τοῦ κανοῦ καὶ ἐπιφθέγγονται ὅσια, καὶ τότε ἔξεστι τοῖς ἀπὸ τῆς θυσίας ἀδεῶς χρῆσθαι.

καὶ προθύματα : Γράφεται καὶ θυλήματα. σημαίνει δὲ τὰ προκατάργματα, ἢ τὰ πρὸ τῆς θυσίας γινόμενα θυμιάματα, ἢ πλακούντια.)

πόπανα : Γλυκύσματα. *Dv. P.* προχύματα : Τὰ καταχύματα. *Dv.* τὰ πρὸ τῆς θυσίας γινόμενα. *P.* ἃ πρὸ τῆς θυσίας ποιεῖν ἔθος. Θ. *Vict.*

661. καθωσιώθη πέλανος : (Τοῖς καθήκουσι νόμοις ἀνιερώθη, καθηγνίσθη, ἢ ὁσίως ἀνετέθη.) ἐπειδὴ δὲ ὁ πέλανος τῇ Ἡφαίστου φλογὶ καθωσιώθη καὶ τὰ πόπανα καὶ τὰ προθύματα. προθύματα δὲ ἤτοι τὰς ὀλύρας, παρὰ τὸ προθύεσθαι τῶν ἱερείων ἢ κριθὰς ἢ λιβανωτόν. τὸ δὲ ἑξῆς, ἐπεὶ δὲ βωμῷ προθύματα καθωσιώθη Ἡφαίστου φλογί, καὶ πόπανα καὶ πέλανος. [Ἄλλως. δέον εἰπεῖν, καὶ πέλανος, ὁ δὲ ἀσυνδέτως πέλανος εἶπεν. ἰστέον δὲ ὅτι τὸν μὲν πέλανον ἐν τῷ πυρὶ ἔρριπτον, τὰ δὲ πόπανα καὶ τοὺς πλακοῦντας καὶ τἆλλα ἐν μέρει τοῦ βωμοῦ ἐτίθεσαν. ἢ τὸ πέλανος ἑρμηνεία ἐστὶ τοῦ προθύματα, οὕτως, ἐπεὶ δὲ τῷ βωμῷ καθωσιώθη τὰ πόπανα, καὶ τὰ προθύματα καθωσιώθη τῇ φλογὶ τοῦ Ἡφαίστου, ὁ πέλανος λέγω· ὃ καὶ κρεῖττον.] — καθωσιώθη : Καθιερώθη. *Dv.* ἀνετέθη, ἀφιερώθη. Θ. *P.*, *Vict.* πέλανος : Εἶδος ὀσπρίου. Θ. *Dv. P.* Ἡφαίστου : Πυρός. *Dv.*

662. κατεκλίναμεν : ἡ κατά ἀντὶ τῆς ἀνά. οὕτως λέγουσιν Ἀττικοί. V. ἀντὶ τοῦ κατεθήκαμεν. Θ. εἰκὸς : Πρέπον. *P.*

663. παρεκαττύετο : Ἐκ συλλογῆς ἠὐτρεπίζετο ἀπὸ τῶν καττυμάτων. καττύματα δὲ λέγονται οἱ μικροὶ ἱμάντες οἱ ἐρριμμένοι ἐπὶ τῆς κόπρου. λέγει οὖν ἐκ μικρῶν καὶ πολλῶν τὴν στιβάδα ηὐτρεπίζομεν.

στιβάδα : Στρωμνὴν ἐκ σχοίνων πεποιημένην. Θ. τὴν ἐκ χόρτων στρωμνήν. *Vict.* στιβὰς ἡ ἐκ χόρτων στρωμνὴ, ἢ τοιοῦτό τι. καὶ γίνεται παρὰ τὸ στείβειν, ὅ ἐστι τὸ περιπατεῖν. στιβὰς γὰρ κυρίως ἡ πεπιλημένη καὶ οἷον καταπεπατημένη. Vict. τὸ παρεκαττύετο ἀντὶ τοῦ συνῆγε καὶ συνετίθη σχοινία, ἃ ἰδιωτικῶς φασι βροῦλα, ποιῆσαι εἰς στιβάδα στρωμνήν. *Dv.* συνετίθει. Θ. *Br.* ἐσωρεύετο. *Dv.*

664. δεόμενοι : Χρήζοντες. *Dv.*

665. εἷς μέν γε Νεοκλείδης : (Καὶ εἰς πολλὰ κεκωμῴδηται οὗτος·) εἰς ῥήτορα καὶ τὰ δημόσια κλέπτοντα καὶ ξένον καὶ τὰς ὄψεις λελωβημένον. εἴρηται δὲ καὶ ἐν Πελαργοῖς περὶ αὐτοῦ ὅτι ῥήτωρ καὶ συκοφάντης ἐστίν. — ναί. εἷς μέν γε ... *P.* τυφλὸς : Ἀνόητος. *Dv.*

666. κλέπτων : Δωροδοκῶν. τοὺς βλέποντας : Τοὺς φρονίμους. ὑπερηκόντισεν : Ὑπερέβαλεν. *Dv.* ὑπερέβη. *P.* ὑπερέβαλεν. ἀπὸ τῶν ἀκοντιζόντων. V. ὑπερέβαλεν, ἀπὸ μεταφορᾶς τῶν τὰ ἀκόντια ριπτόντων. Θ. Borg.

667. παντοδαπὰ : Παντοῖα. Θ.

669. παραγγέλλω δοτικῇ συντάσσεται. καθεύδειν : Ὑπνοῦν, ἢ κεῖσθαι ἡσύχως. Θ. κοιμᾶσθαι. *P.*

670. πρόσπολος : Ὁ νεώκορος, δοῦλος. Θ. *Dv.* ὁ πρόσπολος : Ὁ ἱερεύς. *V. P.* αἴσθηται : Εἰς αἴσθησιν ἥσθον. *Dv.* συντάσσεται τὸ αἰσθάνομαι καὶ γενικῇ καὶ αἰτιατικῇ. Θ. νοήσῃ κτύπου. *P.*

671. κοσμίως : Εὐτάκτως. *Dv.* εὐτάκτως καὶ ἡσύχως. Θ. *P.*, *Vict.*

673. ἀθάρης χύτρα τις : [Ἀθάρα, μόνη ἡ σεμίδαλις.] (Ἀττικοὶ δὲ διὰ τοῦ η ἀθάρης, [Αἰολεῖς ἀθήρας,] ἡ δὲ κοινὴ διὰ τοῦ α ἀθάρας. ἔστι δὲ ἄλευρον ἡψημένον.) — Ἀττικοὶ ἀθάρας, Αἰολεῖς ἀθήρας. λέγει δὲ τὴν σεμίδαλιν. R.

ἀθάρας : Ἤγουν κουρκούτης. ἀθάρα λέγεται ἡ ἰδιωτικῶς λεγομένη κουρκούτη· ἤγαγε δὲ αὐτὴν γραῦς τις τῷ Ἀσκληπιῷ· εἰκότως· αἱ γὰρ γραῖαι τοὺς ὀδόντας ἀποβαλοῦσαι οὐκ ἄλλο τι ἢ ἀθάραν ἐσθίουσιν· τοιοῦτον ἐχρῆν καὶ δῶρον αὐτὰς προσφέρειν τῷ θεῷ. Dv. C. D. ἀθάρα... εἰκότως. καὶ γὰρ αἱ γραῖαι τοὺς ὀδόντας ἀποβάλλουσαι ὡς ἐπιτοπλεῖστον τῇ ἀθάρᾳ χρῶνται εἰς βρῶσιν, καὶ διὰ τοῦτο καὶ τῷ Ἀσκληπιῷ τὴν ἀθάραν δῶρον ἀνετίθουν. Vict. ἀθάρης : Σεμιδάλεως. *P.* ἐξέπληττε : Ἐτάραττεν. *Dv.* ἐνέβαλεν. *P.* εἰς ἔμπληξιν ἔφερε καὶ θαῦμα. Θ. εἰς ἔκπληξιν καὶ θάμβος ἔφερεν. *Vict.*

675. ἐφ' ἣν ἐπεθύμουν δαιμονίως ἐφερπύσαι : [Περισσὴ ἡ μία ἐπί. ὡς εἷς τῶν ἱερῶν ὄφεων δηλονότι.] ἐφερπύσαι δὲ, βαδίσαι. ἀπὸ μεταφορᾶς τῶν ἑρπετῶν. ἐκ τούτου δὲ τὴν ἡσυχον κλοπὴν τὴν ἐπὶ τὴν χύτραν δηλοῖ. — δαιμονίως : Ἐπιτηδείως. *Dv.* δεξιῶς, ἐπιτηδείως. Θ. *P.* ἐφερπύσαι : Βαδίσαι. *P.*

677. τοὺς φθοῖς : Ἀττικοὶ μὲν μονοσυλλάβως οἱ φθοῖς· ὁ δὲ Καλλίμαχος φθοῖας ἀντὶ τοῦ πλακοῦντας, πέμματα. — οὕτως μονοσυλλάβως σύνηθες αὐτοῖς λέγειν. Καλλίμαχος « ὅδ' αὖθις παρὰ φθοῖας », ὡς μάν-

τιας. ἔστι δὲ πλακοῦντας ἢ πέμματα. V. τοὺς φθοῖς : Τοὺς πλακοῦντας. Θ. *Dv.* πλακοῦντας, ἢ λαλάγγια. *P.* τὰς ἰσχάδας : Τὰ σῦκα. Θ. *Dv.*

678. ἀπὸ τῆς τραπέζης τῆς ἱερᾶς : Εἰσὶ γὰρ τράπεζαι ἐν τοῖς ἱεροῖς, ἐν αἷς τιθέασι τὰ εἰσφερόμενα.

679. περιῆλθε : Περιέδραμε. ἐν κύκλῳ : Ψηλαφῶν δηλ. καὶ ἐρευνῶν. *P.*

680. καταλελειμμένον : Ἐγκαταλειφθέν. *Dv.* ἐναπολειφθέν. *P.*

681. εἰς σάκταν τινά : (Γράφεται καὶ εἰς σάκκον, οἷον εἰς θύλακον, ἀπὸ τοῦ σάττεσθαι. δέον δὲ εἰπεῖν εἰς τὸν βωμὸν ἤγιζε, φησὶν εἰς τὸν σάκκον. ἤγιζε δὲ ἀντὶ τοῦ ἔβαλλεν εἰς δερμάτινον σακκίον, ὅπερ θύλακον λέγομεν. τινὲς δὲ ἀντὶ τοῦ ἁγίως ἀπετίθετο. πάίζει δὲ τοῦτο ὡς ἐπὶ ἱερέων.) ἀρσενικῶς δὲ ὁ σάκτας, ὡς αἱ χρήσεις διδάσκουσιν. — σημαίνει δὲ τὸν θύλακον. R. [ἤγιζεν : Τὸ ἤγιζε γελοιωδῶς εἴρηκεν ἀπὸ τοῦ ἡγίαζε κατὰ συγκοπήν. σημαίνει δὲ ἡ λέξις παρὰ τοῖς παλαιοῖς μὴ μόνον τὸ καθαίρειν, ἀλλὰ καὶ τὸ μιαίνειν· καὶ τὸ ἅγιος δ' ὡσαύτως οὐ μόνον τὸν καθαρὸν, ἀλλὰ καὶ τὸν μιαρὸν καὶ ἐναγῆ καὶ ἐξάγιστον· καὶ ἁγιστεία ὡσαύτως· λέγεται οὖν ἐνταῦθα τῷ μὲν δοκεῖν, ὅτι εἰς σάκκον τινὰ ἱερῶς ἐτίθει, τῇ δὲ ἀληθείᾳ, ὅτι εἰς ἄγγος τι ἔβενον αὐτὰ πρὸς ἑαυτὸν ἐλάμβανεν. *Vict.* ἤγιζεν : Σεβασμίως ἐνετίθει. Θ. σεβασμίως ἤγεν. *Dv.* ἐτίθει, ὡς ἅγια ἐνέβαλεν. *C.* ἱερῶς ἐπετίθει. *P.* σάκταν : Σάκκον. τοῦτο κατ' εἰρωνείαν. Θ. *Dv.* σάκκον. *P.*

682. κἀγὼ νομίσας πολλὴν ὁσίαν : Ἀντὶ τοῦ ὁσιότητα. ᾠόξας, φησὶν, ὅσιον εἶναι τὸ λαμβάνειν τι ἀπὸ τῶν ἐν τῷ ἱερῷ, ἐπεὶ καὶ ὁ ἱερεὺς ἐλάμβανεν. (Σύμμαχος δέ φησιν ὅσια λέγειν αὐτοὺς τὰ μὴ ἱερὰ, ἀλλ' ὧν ἔξεστι θιγγάνειν.) — νομίσας : Ὑπολαβών. ὅσιον τὸ λαμβάνειν ἀπὸ τῶν ἐν τῷ ἱερῷ, καθότι καὶ ὁ ἱερεὺς ἐλαμβανεν. Θ. *P.* ὁσίαν : Ἁγιότητα. *Dv.* πολλὴν ὁσίαν τοῦ πράγματος : Κατὰ πολὺ ὅσιον δηλαδὴ τὸ λαμβάνειν τι τῶν ἱερῶν. *Br.* δικαιοσύνην. Θ.

683. χύτραν : Τὸ τζυκάλιον. *Dv.* ἀνίσταμαι : Διεγείρομαι. *P.*

684. ταλάντατ' : Ἀθλιώτατε. Θ. οὐκ ἐδεδοίκεις : Οὐκ ἐφοβήθης. *P.*

685. μὴ φθάσειέ με : [Βαδίσας ἐπὶ τὸν βωμὸν δηλονότι.] διαβάλλει τὸν θεὸν ὡς κλέπτην. ἐφοβήθην οὖν μὴ ἐλθὼν καὶ αὐτὸς κλέψαι φθάσειέ με ἐπὶ τὴν χύτραν. [Ἄλλως. πάνυ καλὸν καὶ σεβάσμιον τὸ πρᾶγμα, ὃ ἐκεῖνος ἐποίει, ἡγησάμενος, καὶ οὐκ ἀσεβὲς κρίνας ἀνέστην καὶ αὐτὸς ἐπὶ τὴν χύτραν τῆς ἀθάρας. ἐν τούτῳ δὲ δεικνύει, ὡς ἀεὶ οἱ δοῦλοι περὶ τὸ φαγεῖν τὸν νοῦν ἔχουσιν. τὸ δὲ ἔχων τὰ στέμματα λέγει διὰ τὸ γράφειν τὸν Ἀσκληπιὸν ἀεὶ στεφανηφοροῦντα, ὡς ὑγιείας αἴτιον (καὶ ἆθλον τούτῳ παρέχειν τὴν ὑγίειαν λαβόντα τοὺς στεφάνους. Dv. P.).] — ἔγωγε : Ἐδεδοίκειν δηλαδή. *Dv. P.* ἐδεδοίκειν τὸν θεόν. δηλονότι καταλάβοι. Θ. τὸ ἔγωγε καὶ μάλιστα οἱ Ἀττικοὶ ἀντὶ τοῦ ναὶ λαμβάνουσιν. P. φθάσεις : Προλάβῃ. *P.*

686. ἐλθὼν : Ὁ Ἀσκληπιὸς φορῶν. *P.* ἔχων : Φορῶν. *Dv.* στεφανηφόρος γὰρ ὁ Ἀσκληπιὸς ἀεὶ στενάζων. ὑγείας γάρ ἐστιν ἔφορος. V. στέμματα : Ὡς ὑγιείας ἔφορος στεφανηφόρος. *P.*

687. ὁ γὰρ ἱερεὺς : τοῦ Ἀσκληπιοῦ ὁ ἱερεὺς ἐπὶ τοὺς βωμοὺς δηλονότι βαδίσας προεδίδαξέ με. V. ἤγουν τὸ προφθάσαι δηλ. καὶ λαβεῖν τὰ πέμματα. Θ. *P.*

688. ἤσθετο : Ἔγνω. *P.* τὸ αἰσθάνεσθαι πρότερον πρὸς γενικὴν συντάξας, νῦν πρὸς αἰτιατικὴν ἀπέδωκεν. *Vict.* ψόφον : Κτύπον. *Dv.* ἀντὶ τοῦ ψόφου. R.V.

689. τὴν χεῖρ' ὑφῄρει : (Ἐκτείνει κατὰ τῆς χύτρας, ἵνα μηδεὶς αὐτὴν λάβῃ· [ἢ ἐξέτεινε. καὶ] Μένανδρος « ἐξάραντες ἐπικροτήσατε. ») συρίξας δὲ οὕτω μόνως φασὶν Ἀττικοὶ καὶ συρίκτης καὶ σύριγμα καὶ οὐ συρίσας. ἀκόλουθον δὲ τῷ ἐφερπύσαι τὸ συρίξαι. ἕκαστον γὰρ τῶν ζώων ἰδίαν φωνὴν ἔχει, ὡς αἶξ τὸ μηκάζειν, βοῦς τὸ μυκᾶσθαι, κορώνη τὸ κρώζειν, καὶ τἄλλα ὁμοίως· οὕτω καὶ ὁ ὄφις τὸ συρίζειν. — ὑφῄρει δὲ ἀντὶ τοῦ ἐκτείνει. V. τὴν χεῖρ' ὑφῄρει : Ἐν ᾗ τὴν χύτραν κατεῖχεν λάθρα. Θ. *Dv.* κατεῖχε λάθρα. *Dv.* τὴν χεῖρ' ἀφῄρει : Λάθρα ἐκίνει. *C.* λαθραίως ἐξέτεινε. συρίξας : Συριγμόν τινα ποιήσας. *P.*

690. (ὀδὰξ ἐλαβόμην : Τοῖς ὀδοῦσιν αὐτὴν ἔλαβον, οἷον ἔδακον αὐτήν.)

ὡς παρείας ὢν ὄφις : Εἶδος ὄφεως. εἴρηται δὲ παρὰ τὸ ἐπῆρθαι τὰς παρειάς. φασὶ δὲ αὐτὸν μὴ δάκνειν, ἢ καὶ δάκνοντα (μὴ) λυπεῖν. μέμνηται δὲ αὐτοῦ καὶ Δημοσθένης [p. 313, 25] « τοὺς ὄφεις τοὺς παρείας » φάσκων, (καὶ Λυκοῦργος ἐν τῷ κατὰ Δημάδου λόγῳ. ἔστι δὲ τὸ τοιοῦτον εἶδος καὶ ἐν τῇ Ἀλεξανδρείᾳ). τὸ δὲ τοιοῦτον εἶδος εὑρίσκεται ἐν τοῖς ἱεροῖς (τοῦ Διονύσου). — ὀδὰξ : Ἤτοι τοῖς ὀδοῦσιν. *P.* μετὰ τῶν ὀδόντων ἡψάμην. Θ. ἐλαβόμην : Ἡψάμην. *Dv.* τῆς χειρὸς τῆς γραίας. *P.* παρείας : Μέγας. *Dv.* οἱ γὰρ συρίζοντες ὄφεις μεγάλας ἔχουσι παρειάς. Θ. εἶδος ὄφεως ἀπὸ τοῦ ἐπαίρειν. *P.*

691. ἡ δ' : Ἡ γραῦς. ἀνέσπασεν : Εἰς ἑαυτὴν συνέστειλεν. *Dv.* συνέστειλεν εἰς ἑαυτὴν ἀφεῖσα τὴν χεῖρα. *P., Vict.*

693. δέους : Φόβου. *Dv. P.* βδέουσα : Πέρδουσα. Θ. *Dv.* πέρδουσα. ὅθεν καὶ τὸ βδελυρὸς καὶ τὸ βδελύττομαι. *P.* γαλῆς : ἡ γὰρ γαλῆ δριμύτατον ἀφίησι τὸ πνεῦμα. R.V. κάττας. Θ. *Dv.* γαλῆ ἡ κάτα, μυγαλὴ ἡ νυμφίτζα. *P.* πάνυ γὰρ δύσοσμός ἐστιν ἡ τῆς γαλῆς πορδή. Θ. *Victor.*

694. ἔφλων : Ἀντὶ τοῦ ἤσθιον, ἐμασώμην. λείπει δὲ τροφήν. φλᾶν δὲ νῦν τὸ μετὰ ψόφου ἐσθίειν. [καὶ γὰρ φλᾶν τὸ θλᾶν, ὡς [Hom. Il. Λ, 268] « φηρσὶν ὀρεσκώοισιν. »]

πολλὴν : Μερίδα δηλ. *P.* ἔφλων : Ἀνήλισκον, συνέτριβον. Θ. *Dv. P. Vict.*

695. μεστὸς : Πλήρης τῆς ἀθάρας. Θ. *Dv.* ἔμπλεος ἢ κεκορεσμένος. *P.*

696. (ὁ δὲ θεὸς ὑμῖν οὐ προσήειν : Ἀντὶ τοῦ προσ-

ἔσχε. Ἰωνικῶς, ὡς καὶ παρ' Ὁμήρῳ [Hom. Il. Γ, 388] « ἧσχειν εἴρια καλά. » ἀντὶ τοῦ ἧσχεε· τρίτου γάρ ἐστι προσώπου.) — οὐ προσήειν : Οὐκ ἔγνω. *Dv.* οὐ προσῆλθεν. Θ. *P.* τὸ προσήειν ἐνταῦθα τρίτου προσώπου διὰ τὴν χασμωδίαν προσλαβὸν τὸ ν, ὡς κἀν τοῖς ἄλλοις ἔθος ἔχουσι ποιεῖν οἱ Ἀττικοί. *Vict.* οὐδέπω : Οὔπω ἦν ἐλθών. *P.*

697. τοῦτο : Τὸ φαγεῖν. *P.* γελοῖον : Ἀστεῖον. *Dv.*

698. προσιόντος : Προσερχομένου. *Dv.*

699. ἀπέπαρδον : Διὰ τὴν ἀθρόαν τῶν πνευμάτων ἐκπήδησιν. ὅθεν καὶ πάρδος· ὁρμητικὸν γὰρ τὸ ζῷον.

ἐπεφύσητό μου : Ὑπὸ τῆς ἀθάρης δηλονότι. ποιεῖ γὰρ αὕτη πνεύματα τῇ γαστρί. — ἐξώγκωτο ἐμπνευματωθεῖσα. φυσώδη γὰρ τὰ ὄσπρια. Θ. ἤγουν ἐξώγκωτο (ἐπνευματώθη add. Vict.) *D.* δυσώδη γὰρ τὰ ὄσπρια, ὑπὸ τῆς ἀθάρας. *P.*

700. ἐβδελύττετο : (Ἐμίσει σε.) χαριέντως τὸ ἐβδελύττετο πρὸς τὸ ἀπέπαρδον, ὡς παρὰ τὸ βδέειν. ἕπεται γὰρ τῷ βδέειν τὸ βδελύττεσθαι. P. ἦπου : Ὄντως. *P.* ἐβδελύττετο : ἐμίσει. *Dv. P.*

701. οὐκ : Ἐβδελύττετο. *P.* (ἀλλ' Ἰασὼ μέν τις : Οὐκ ἐώκει. διότι προσῆκε τῷ Ἀσκληπιῷ ἡ Ἰασὼ παρὰ τὴν ἴασιν ὠνομασμένη. ἀλλὰ καὶ θυγατέρα τοῦ Ἀμφιαράου αὐτὴν εἶπεν ἐν ἑκείνοις

ἀλλ' ὦ θύγατερ ἔλεξ', Ἰασοῖ, πρευμενής.

εἰ δὲ καὶ τὴν Ἰασὼ Ἀσκληπιοῦ θυγατέρα, ὥσπερ καὶ τοῦ Ἀμφιαράου, ἄξιον ἀπορεῖν· ἐπεὶ καὶ Ἑρμιππος ἐν τῷ [πρώτῳ] ἰάμβῳ τῶν τριμέτρων Ἀσκληπιοῦ καὶ Λαμπετίας τῆς Ἡλίου λέγει Μαχάονα καὶ Ποδαλείριον καὶ Ἰασὼ καὶ Πανάκειαν καὶ Αἴγλην νεωτάτην. ἔνιοι δὲ προστιθέασιν Ἰανίσκον καὶ Ἀλεξήνορα. ἔστι δὲ καὶ Ἀμφιαράου θυγάτηρ Ἰασώ. — Πανάκεια δὲ παρὰ τὸ ἄκος, τὴν θεραπείαν. Ἄλλως.) παρὰ τὸ ἰᾶσθαι τὴν Ἰασὼ πεποίηκε θυγατέρα Ἀσκληπιοῦ, καθάπερ καὶ τὴν Πανάκειαν καὶ τὴν Ὑγίειαν. R.V. ἐπακολουθοῦσ' : Τῷ Ἀσκληπιῷ δηλονότι. Θ.

702. ὑπηρυθρίασε : Μετρίως πῶς ἐτράπη καὶ ᾐδέσθη. Θ. *P.* ἀπεστράφη : Εἰς τοὐπίσω. *Dv.*

703. οὐ λιβανωτὸν γὰρ βδέω : Ἄλλο λίβανος καὶ ἄλλο λιβανωτός· λίβανος μὲν [γὰρ] αὐτὸ τὸ δένδρον, λιβανωτὸς δὲ ὁ καρπὸς αὐτοῦ. ⟦ἔστι δὲ καὶ ὄρος Λίβανος καλούμενον.⟧ — ἐπιλαβοῦσ' : Κρατήσασα. *P.* λιβανωτὸν : Εὐῶδες ὥσπερ ὁ λίβανος πέρδω. Θ. *Dv.* ἤτοι μεμυρισμένον πέρδω. *P.*

704. αὐτὸς δ' ἐκεῖνος : ὁ Ἀσκληπιός. R. τῆς ῥινὸς οὐκ ἐπελάβετο δηλ. οὐδ' ἐφρόντισεν : Οὐκ ἤσθετο. *P.* ἤγουν οὐ μόνον οὐδὲν τοιοῦτον ἐποίησεν. Θ.

705. ἄγροικον : Ἀναίσθητον. Θ. *Dv.* ἀπαίδευτον. *P.* τὸν θεὸν : Τὸν Ἀσκληπιόν. *Dv.*

706. ἀλλὰ σκατοφάγον : Ἀναίσθητον. εἴρηται δὲ ἀπὸ τῶν παρὰ Βοιωτοῖς βοῶν, οἳ διὰ τὴν πολλὴν ἀναισθησίαν σκατὰ ἤσθιον. ἑτερόκλιτος δέ ἐστιν ἡ σκατὸς γενικὴ, ἀπὸ εὐθείας τῆς σκώρ. — οὐκ ἔγωγε : Οὐ λέγω ἐκεῖνον ἀναίσθητον. σκατοφάγον : Ἀναίσθητον. Θ. *P.* αἶ τάλαν : Διότι τοιαῦτα λέγεις. *Dv.* ἐπίρρημα σχετλιαστικόν. *R. V. P.* τὸ σκατοφάγον λέγει, ἢ διότι οἱ ἰατροὶ ἐκ τοῦ τὰ σωμάτων κενώματα βλέπειν καὶ οὖρα τοὺς μισθοὺς λαμβάνουσιν. ἢ ὅτι ὁ τῆς ἰατρικῆς ἡγεμὼν Ἱπποκράτης ἀνθρωπίνων κόπρων, ὡς φασιν, ἐγεύσατο, βουλόμενος περί τινος νοσοῦντος μαθεῖν, ἢ ἄρα ζήσεται ἢ τεθνήξεται. P. τὸ σκατοφάγον λέγει ἢ διότι οἱ ἰατροὶ ἐκ τοῦ σκοπεῖν τὰ τῶν ἀσθενούντων οὖρα καὶ σκύβαλα τοὺς μισθοὺς λαμβάνουσιν, ἢ ὅτι ὁ τῆς ἰατρικῆς ἡγεμὼν Ἱπποκράτης ἀνθρωπίνων κόπρων ἐγεύετο, ὡς φασι, βουλόμενος μανθάνειν περὶ τῶν νοσούντων, εἰ ἄρα ζήσονται ἢ τεθνήξονται. Vict.

707. συνεκαλυψάμην : Ἐκρύβην εἴσω τῶν ἱματίων. Θ. *Paris.*

708. δείσας : Φοβηθείς. *Dv. P.*

709. σκοπῶν : Ἐπιτηρῶν. *P.* περιήειν (— ει *P.*) : περιήρχετο. *Dv. P.* Ἰακῶς τὸ περιήειν. V. ὅμοιον τῷ προσήειν. κοσμίως : Εὐτάκτως. Θ.

710. παῖς : Δοῦλός τις. *P. Dv.* θυίδιον : Ἴγδιον λίθινον. Θ. ἰγδίον. *Dv.* θυείδιον : Ἧτοι ἰγδύον. *P.* ἰγδίον. παῖς ὁ υἱὸς ἀπὸ τοῦ παΐς τὸ αἰδοῖον καὶ κατὰ συναίρεσιν παῖς. παῖς δὲ ὁ δοῦλος ἀπὸ τοῦ παίω τὸ τύπτω. Borg.

711. παρέθηκε : Πλησίον αὐτοῦ ἔθηκε. *P.* δοίδυκα : Κοχλιάριον. *Dv.* κοχλυάριον. *P.* κιβώτιον : Ὃν ἰατροὶ καλοῦσι παντέκτην. Θ. σενδούκι, ὃ λέγουσιν οἱ ἰατροὶ παντέκτην. *Dv.* σενδούκην. *P.*

(712). οὐ δῆτ' οὐχὶ τό γε κιβώτιον : [Παίζων πρὸς τὸ πρῶτον ἀπήντησεν, οὐχὶ τὸ κιβώτιον.] εἰπὼν ὅτι τὸ κιβώτιον λίθινον ἦν, ὥσπερ ἑαυτοῦ τὴν λήθην ἐπανορθούμενός φησι, μὰ Δί' οὐκ ἦν λίθινον τὸ κιβώτιον. — μὰ Δί' οὐ δῆτ' : Λίθινον ἦν, ἀλλ' ἡ θυεία. *P.*

713. ἑώρας : Ἔβλεπες. *P.*

714. διὰ τοῦ τριβωνίου : Νῦν τοῦ παλαιοῦ καὶ τετριμμένου ἱματίου· ⟦τὸ γὰρ τρίβακον ἱμάτιον οὕτω καλοῦσιν Ἀττικοί.⟧ ὀπὰς δὲ τὰς τρώγλας· ἔνθεν καὶ ὤπες οἱ ὀφθαλμοί· ἀνοίγματα γάρ ἐστι. — τριβώνιον ἐνταῦθα τὸ παλαιὸν καὶ διερρυηκὸς ἱμάτιον. τριβώνιον καὶ τὸ τῶν φιλοσόφων ἱμάτιον, ὡς εὐτελείας ἀντιποιουμένων. ὅθεν καὶ τὸ περίβλημα αὐτῶν εὐτελές. ἦν δὲ τὸ τοιοῦτον τριβώνιον μέχρι τῶν ποδῶν διῆκον, καὶ χειρίδας ἔχον πλατείας, καὶ κεκολπωμένον. P. καὶ κεκαλυμμένος εἶναι λέγεις. *Dv.* ἐγκεκαλύφθαι : Ἐγκεκρύφθαι. τριβωνίου : Ἔβλεπον δηλ. *P.*

715. ὀπὰς : Τρύπας. *Dv. P.* οὐκ ὀλίγας : Ἀλλὰ πολλὰς δηλ. *P.*

716. Νεοκλείδῃ : τοῦτον, ὡς ἔφαμεν, διαβάλλει ὡς ἅρπαγα τῶν δημοσίων. V. οὗτος ἅρπαξ τῶν δημοσίων. *Paris.*

717. καταπλαστὸν : Τῶν φαρμάκων τὰ μὲν καταπλαστὰ, τὰ δὲ χριστὰ, τὰ δὲ ποτά. (κυρίως δὲ ὀξυτόνως τοῦτο γράφουσι,) τινὲς δὲ προπαροξύνουσι, κατάπλαστος. ⟦ἔστιν οὖν παστὸν τὸ πασσόμενον, πλαστὸν τὸ

πλαττόμενον, ὃ καὶ καταπλαστὸν λέγεται, καὶ πιστὸν τὸ πινόμενον.]

[ἐνεχείρησεν : Οἱ γράφοντες, ἐνεχείρισε τρίβειν, διὰ τοῦ ι, ἀμαθεῖς· οὐ γὰρ ἐμφανῶς ἐθεράπευεν ὁ Ἀσκληπιὸς, ἵνα καὶ τῷ Νεοκλείδῃ ἐγχειρίσαι αὐτὸν λέγωμεν τρίβειν τὸ φάρμακον, ἀλλ' ἀφανῶς κατὰ τὴν νύκτα. ἔχει δὲ οὕτως, ἐνεχείρησε πρῶτον πάντων τρίβειν τῷ Νεοκλείδῃ φάρμακον καταπλαστόν· καὶ ἔστιν ἡ δοτικὴ αὕτη πρὸς τὸ τρίβειν περιποιητικῶς. ἡ γὰρ τρίψις ἐκείνῳ ἦν, τουτέστι, δι' ἐκεῖνον ἐγίνετο.] — ἐνεχείρησε : Ἤρξατο. *P.*

718. τρεῖς Τηνίων : [Ὅτι ἐν τῇ Τήνῳ μιᾷ τῶν Κυκλάδων νήσῳ ὄφεις καὶ σκορπίοι δεινοὶ ἐγίνοντο· ἢ ὅτι ἡ Τῆνος δριμύτατα σκόροδα φέρει.] δηκτικῶν. R. ὅτι ἡ Τῆνος, (νῆσος μία τῶν Κυκλάδων,) θηριώδης δοκεῖ εἶναι. (σκόροδα οὖν Τήνια εἶπεν ἀντὶ τοῦ δηκτικὰ, παρὰ τὰ θηρία.) δηλοῖ καὶ Εὔπολις Πόλεσι « Τῆνος αὕτη, πολλοὺς ἔχουσα σκορπίους (ἔχεις τε συκοφάντας). » Καλλίστρατος δὲ ἐπὶ τὸ σαφὲς κατηνέχθη, ὡς σκοροδοφόρου τῆς γῆς οὔσης· (διὸ καὶ τὸ παρ' Ἀντιμάχῳ « Τήνου τ' ὀφιοέσσης » οὐ καλῶς ἔχειν δοκεῖ.) — σκορόδων : Σκόρδων. *Dv.* Τῆνος νῆσος ἐν ᾗ δριμύτατα γίνεται σκόροδα. Θ. Τῆνος νῆσος σκοροδοφόρος ἀπό τινος Τήνου ἀνδρός. *P.* ἔφλα δὲ ἀντὶ τοῦ ἔτριβεν ἢ ἤλει. V. ἔφλα : Συνέτριβε. *Dv.* ἔτριβε. *P.*

719. ὀπὸν : Γάλα σκύλης. *Dv.* γάλα σκίλλης, ἥτις βοτάνη ἐστὶ θανατηφόρος, ἐξ ἧς τὸ σκιλλητικὸν ὄξος. Θ. P.

720. (καὶ σχῖνον : Σχῖνον νῦν φησι τὴν σκίλλαν· δηκτικὰ γὰρ βούλεται πάντα εἶναι. ἐν δὲ τοῖς ἑξῆς παράκειται καὶ ἐκ τῶν Θεοφράστου, ὅτι ἕτερόν τι ἡ σκίλλα καὶ ἡ σχῖνος. παρὰ τὸ σχίζεσθαι καὶ δακρύειν· ἡ αὐτὴ γὰρ τῇ μαστίχῃ.) — σχῖνον : ἀντὶ τοῦ μαστίχην. R. τὰ ἄκρα τῆς σκίλλας ἢ μαστίχην. Θ. τὰ ἄκρα τῆς σκύλας. *Dv.* σχῖνον : Ἤγουν σκίλλαν. *P.* σχῖνος τὸ δένδρον, ι. σχοῖνος δὲ τὸ βρύλον, δίφθογγον ο καὶ ι. P.

ὄζει διέμενος : Διαβρέχων καὶ διυγραίνων, ὃ νῦν ἐγχυματίζειν φασί. (Σφηττίῳ δὲ) τῷ δριμυτάτῳ ἢ ἀπὸ τοῦ δήμου· πικροὶ γὰρ οἱ Σφήττιοι καὶ συκοφάνται. ἢ παρὰ τοὺς σφῆκας· θυμικοὶ γάρ. (ἢ ὅτι δριμὺ ὄζος παρὰ Σφηττίοις ἐγίνετο.) — βρέχων ὄζος δριμύ. *Dv.* βρέξας ἐν. *P.* Σφηττὸς τόπος ἐν Ἀθήναις, ὅθεν καὶ Σφηττοῖ ἐπίρρημα, καὶ ὁ πολίτης Σφήττιος· Σφήττιος οἶνος καὶ Σφήττιον ὄζος. ὡς ἔοικε δὲ, δριμύτατον ὄζος Σφηττοῖ ἐγίνετο. P. βρέχων. Σφῆττος τόπος, ἔνθα δριμὺ ὄζος γίνεται. Θ.

721. κατέπλασσεν : Τοῦτο τὸ φάρμακον. Θ. *P.* ἐστρέψας : Ἐξεστραμμένα ποιήσας. *P.* ἀναστρέψας. *Dv.*

722. ὀδυνῷτο : Λυπεῖτο, ἀλγεῖ. *Dv.* ὀδύνην ἔχει περισσότερον. *P.* οὐ τοσαύτη γὰρ ἂν ἦν ἡ ὀδύνη, εἰ ἐπάνω ἔπλαττεν. Θ.

723. ἀναίξας : Ὁρμήσας. Θ. *Dv. P.* θεὸς : ὁ Ἀσκληπιός. V.

(725). ἵν' ἐπομνύμενον : Ἀντὶ τοῦ ἐκκαλούμενον. ἐπωμοσία δέ ἐστιν, ἣν ἐπιδίδωσιν ὁ βουλόμενος ἀντειπεῖν ψηφίσματι εἰσφερομένῳ. ἐκκαλοῦνται δὲ εἰς τὸ δικαστήριον πολλάκις. Σαλούστιος δέ φησιν ὡς μέλλοντες εἴς τινα δημοτικὴν ἀποστέλλεσθαι χρείαν παρὰ τοῦ δήμου, πολλάκις ἐπώμνυντο μὴ δύνασθαι αὐτὸ ποιεῖν, ἵνα συκοφαντῶσιν οἱκοι μένοντες. Ἄλλως. ἐπωμοσία ἐστὶν ἀπόδοσις αἰτίας, δι' ἣν οὐχ ὑπαντᾷ τις πρὸς τὴν δίκην. Ὑπερίδης « καὶ ἐμοὶ μὲν συμβάσης « ἀρρωστίας, καὶ ὑπομοσθείσης ταύτης τῆς γραφῆς, « ἀνεβλήθη ὁ ἀγών. » οὕτως ὁ Τήλεφος. ἐπωμοσία ἐστὶν ὄνομα δίκης, καθ' ἣν οἱ μέλλοντες ἡττᾶσθαι, νοσεῖν προφασιζόμενοι, τὴν κυρίαν ἀνεβάλλοντο καὶ πάλιν ἐξ ἀρχῆς ἐδικάζοντο. τινὲς δὲ ἐπομνύμενόν φασι τὸ ὀμόσαι μὴ δικάσασθαι καὶ παραβάντα τοὺς ὅρκους δικάσασθαι ὕστερον. ἐκκλησίας δὲ ἀντὶ τοῦ, ἐν ταῖς ἐκκλησίαις. ταῦτα δέ φησιν, ὡς τοῦ Νεοκλείδου διὰ κακουργίαν τοιαῦτα ποιοῦντος. Ἄλλως. ἐπομνύμενον μὲν ἀντὶ τοῦ ἐφεδρεύοντα ταῖς ἐκκλησίαις καὶ συκοφαντοῦντα ὑπὲρ τοῦ κερδαίνειν· ἢ ὑποφθείροντα, ἵνα συνέλθωσιν οἱ δικασταὶ, καὶ βοηθήσωσιν οἷς αὐτὸς βούλεται· ἢ κακουργοῦντα· οἱ γὰρ συνωμόται ἐπὶ κακῷ ὤμνυον. Ἄλλως. ἐπωμοσία ἐστὶν ἡ δευτέρα τοῦ δικαστηρίου κρίσις λεγομένη μετὰ τὴν τῶν ἀποκλήρων παρουσίαν. — ἐπομνύμενον : Ἐφεδρεύοντα καὶ συκοφαντοῦντα καὶ ὀμνύντα πρὸς ἀπάτην. Θ. ἐφεδρεύοντα, ἐπιορκοῦντα καὶ συκοφαντοῦντα. *Dv.* ἐπιορκούμενον. *P.* τῆς ἐκκλησίας : Τοῦ συνεδρίου. *D.* τὰς ἐκκλησίας : Τὰς συναθροίσεις. *P.*

726. ὡς φιλόπολις : Καθὸ τὸν λυμεῶνα τῆς πόλεως ἠμύνατο. — ὁ δαίμων : Θεός. σοφός : Πάντα εἰδώς. *P.*

727. τῷ Πλούτωνι : [Τὸν Πλοῦτον Πλούτωνα εἶπε παίζων· ἢ ὅτι καὶ Πλούτωνα αὐτὸν ὑποκοριστικῶς ἐκάλεσεν, ὡς Σοφοκλῆς Ἰνάχῳ

Πλούτωνος δ' ἐπείσοδος·

καὶ πάλιν

τοιόνδ' ἐμὸν Πλούτων' ἀμεμφίας χάριν.

Ἄλλως.] τὸν Πλοῦτον οὕτω λέγουσι· καὶ εἰκότως τὸν αὐτὸν τῷ Πλούτωνι τὸν Ἅδην νομίζουσι· καὶ γὰρ Ἡσίοδός φησιν [Op. 465]

εὔχεσθαι δὲ Διὶ χθονίῳ Δημήτερί θ' ἁγνῇ,
ἐκτελέα βρίθειν Δημήτερος ἱερὸν ἀκτήν.

παίζει τῷ Πλούτωνι εἰπών. Θ.

729. ἡμιτύβιον : [Ἀντὶ τοῦ σουδάριον· ῥάκος ἡμιτριβὲς λινοῦν τι, οἷον ἐκμαγεῖον. καὶ Σαπφὼ « ἡμιτύβιον σταλάσσων. » ἢ δίκροσσον φακιόλιον.] — ἡμιφάριον ἢ παχὺ ἱμάτιον, ἢ ἡμιτριβὲς, ἢ διπλοῦν ἐκμαγεῖον, ὃ δίκροσσον καλοῦσι. κυρίως δὲ τὸ ἐπὶ στολῇ νεκροῦ ῥάκος. ἀντὶ τοῦ σουδάριον ἢ φακιόλιον κροσσοὺς ἔχον ἀμφοτέρωθεν. V. ἡμιτύμβιον : Μαντίλιον. *Dv.* μανδύλιον (Θ.), μανδήλιον. *Br.* φακιόλιον. *P.* συδάριον. ῥάκος. ἡμιτριβές. λινοῦν τι. ἢ φακιόλιον, κροσσοὺς ἔχον ἀμφοτέρωθεν. R. τύμβος ὁ τάφος ὑπερέχων τῆς γῆς κατὰ κύκλον.

ὥσπερ ἠρίον τὸ κατὰ γῆς καὶ μὴ ὑπεριστάμενον καθ' ὁμοιότητα τοῦ τύμβου. καὶ ἡ κεφαλὴ οὕτως ὀνομάζεται διὰ τὸ ἐοικέναι τύμβῳ. ἡμιτύβιον οὖν τὸ ἐξ ἡμισείας τὴν κεφαλὴν καλύπτον. P.

730. περιέψησεν : ἀπέματτεν. R. ὠμάλισεν, ἐσπόγγισε. V. περιεσπόγγισεν. *Dv.* περιεκάθηρεν. *P.* βλέφαρα αἱ πτύχες τῶν ὀφθαλμῶν, ἤγουν τὰ ὀμματόφυλλα. βλεφαρίδες δὲ αἱ τρίχες αἱ ἐμπεφυκυῖαι τοῖς βλεφάροις. P.

731. κατεπέτασ' : Περιεσκέπασεν. Θ. *Dv.* φοινικίδι : Πυρρῷ περιβολαίῳ. R.V. πέπλῳ κοκκίνῳ. Θ. *Dv. Paris.*

732. ἐπόππυσεν : Ἐσύρισεν, ἵνα οἱ δράκοντες ἐξέλθωσι (δηλονότι)· — ἐπόπτυσεν : Ἐσύρισεν. Θ. *P.*

733. ἐξῃξάτην οὖν δύο δράκοντες : (Κοινῶς μὲν καὶ τοῖς ἄλλοις ἥρωσι δράκοντες παρετίθεντο, ἐξαιρέτως δὲ τῷ Ἀσκληπιῷ.) δράκοντες δὲ λέγονται ἀπὸ τοῦ δέρκω, ὅ ἐστι βλέπω· ὀξυδερκὲς γὰρ τὸ ζῷον. ἀφιέρωται δὲ τῷ Ἀσκληπιῷ, ἐπειδὴ τὸ γῆρας ἀποβάλλει καὶ ἡ ἰατρικὴ δὲ φυλάττει φύσει τὸ νέον, ἐξωθοῦσα τὰ νοσήματα. — ἐξῃξάτην : ἐξῆλθον. *R.* Θ. *Dv. P.* ἐξώρμησαν. *Vict.* ἐξῃξάτην κανονίζεται ἀπὸ τοῦ αἴσσω, τὸ ὁρμῶ, ὁ μέλλων ἀίξω, ὁ ἀόριστος ἤϊξα καὶ κράσει ἦξα, ὁ μέσος ἠξάμην, τὸ τρίτον τῶν δυϊκῶν ἠξάτην, ὡς ἐξῃξάτην. Vict. εἰκότως φησὶν ὑπηρέτας ἔχειν τὸν Ἀσκληπιὸν ὄφεις. ἐπειδὴ γὰρ οἱ ὄφεις τὸ παλαιὸν αὐτῶν ἀπεκδυόμενοι δέρμα ἀεὶ νεάζουσιν· οὕτως καὶ ὁ θεὸς τῶν ἀσθενούντων τὰς νόσους οἷά τινα λεβηρίδα ἀπορίπτων νεάζοντας δείκνυσιν. Dv., Vict.

734. ὦ φίλοι θεοί : Θαυμαστικόν. *P.*

735. τούτω : δυϊκῶς ἀντὶ τοῦ οὗτοι. V. οὗτοι οἱ δράκοντες. ὑποδύνθ' : Ὑπεισελθόντες. Θ. *P.* ὑπεισελθόντες ἠρέμα. *Dv.*

736. ὡς γέ μοι δοκεῖν : Καλῶς τὸ ἐμοὶ δοκεῖν· οὐδὲ γὰρ ἑώρα αὐτοὺς εἴσω τῆς φοινικίδος ὄντας. — οὐ γὰρ οἷόν τε ὁρᾶν κεκαλυμμένον τῇ κεφαλῇ. *Dv.*

737. καὶ πρίν σε κοτύλας : Ὡς εἰ ἔλεγε πρὶν εἰπεῖν σε πέντε λόγους ἢ πρὶν πτύσαι. κοτύλη δὲ εἶδος μέτρου, ὃ νῦν καλεῖται ἡμίξεστον. σκώπτει δὲ τὰς γυναῖκας ὡς μεθύσους. — ἔπαιξε δὲ εἰς τὸ φιλοινον εἶναι τὴν γυναῖκα. V. [δέον οὖν εἰπεῖν, πρὶν εἰπεῖν σε λόγον ἕνα, εἶπε, πρὶν ἐκπιεῖν κοτύλας οἴνου δέκα.] — διαβάλλει αὐτὴν καὶ αὖθις ὡς μέθυσον. δέον γὰρ εἰπεῖν, πρὶν εἰπεῖν σε λόγον ἕνα, ἤ τι τοιοῦτον πρὸς τὴν συνήθειαν, ὁ δὲ οὕτως εἶπεν. εἶδος δὲ μέτρου ἡ κοτύλη, ὃ καλεῖται ἡμίξεστον. Dv., P. κοτύλας οἴνου : Πεπληρωμένας. *P* χαρτελούρας. *Dv.*

738. ὦ δέσποινά γ' ἑστήκει : Ἀνεστηκὼς ἦν. *C. P.*

739. ἀνεκρότησ' : Ἀνατείνας ἔπληξα. *P.*

740. τὸν δεσπότ' ἤγειρον : Ἐλάλησα. *Dv.*

741. (ἠφάνισεν αὐτὸν : Ἀφανῆ ἑαυτὸν ἐποίησεν ἐμοῦ συγκροτήσαντος.) — ἠφάνισεν : Ἀφανῆ ἐποίησεν (Θ.). ὄφεις : Ἔβησαν. *Dv.* νεών : Ἔδυσαν δηλ. διαβάλλει καὶ αὐτὸν ὡς λίαν ὑπνώττοντα *P.*

742. ἐγκατακείμενοι : Ἤτοι οἱ ἀσθενεῖς. *P.* παρ' αὐτῷ : Τῷ ναῷ. Θ. *Dv. P.* πῶς δοκεῖς : Θαυμαστικὸν, ἀντὶ τοῦ λίαν. *C. P.*

743. τὸν Πλοῦτον ἠσπάζοντο : Ἀντὶ τοῦ ἐφιλοφρονοῦντο. κυρίως δὲ ἀσπάσασθαί ἐστι τὸ περιπλέκεσθαί τινα, διὰ τὸ ἄγαν σπᾶσθαι εἰς ἑαυτὸν τὸν ἕτερον καὶ περιβάλλειν τὰς χεῖρας (ἐν τῷ φιλοφρονεῖσθαι).

744. ἐγρηγόρεσαν : Ἔξυπνοι ἦσαν. *Dv. P.* ἕως : Ἰωνικῶς. διέλαμψεν : Διηύγασεν. *P.*

745. πάνυ σφόδρα : Ἐκ παραλλήλου τὸ αὐτό. Ἀττικὸν δὲ τὸ ἔθος, ὡς τὸ τυχὸν ἴσως. καταχρηστικῶς τὸ ἐπῄνουν ἐπὶ τοῦ θεοῦ· κυρίως γὰρ ἐπὶ ἀνθρώπου τὸ ἐπαινεῖν.

746. ταχὺ : Ἀντὶ τοῦ ταχέως. *P.*

748. ὅσην ἔχεις τὴν δύναμιν : Θαυμαστικὸν τὸ ὅσος. R. (ταῦτα ἡ γυνὴ τοῦ Χρεμύλου θαυμάζουσα τὸν θεὸν διὰ τὴν τοῦ Πλούτου ταχεῖαν ἀνάβλεψιν.) — ὅσην : Θαυμαστικὸν, ἤγουν πολλὴν καὶ μεγάλην ἔχεις τὴν δύναμιν. ὦ ναξ δέσποτα : Βασιλεῦ Ἀσκληπιέ. *P.*

749. φράσον : Εἰπέ. Θ.

750. ἦν : Ὑπῆρχε. Θ. ὑπερφυὴς : Πολύς. Θ. *Dv.* ὑπ. ὅσος : Ὑπερφυῶς μέγας. ὅσος : Θαυμαστικὸν, ἤτοι πολύς. *P.*

752. ὀλίγον : Βραχύν. *P.* ἠσπάζοντο : Ἐχαιρέτουν. *Dv.* ἐδεξιοῦντο. *P.*

753. ἐδεξιοῦνθ' ἅπαντες : Ἀντὶ τοῦ ταῖς δεξιαῖς ἠσπάζοντο. Ὅμηρος [Il. K, 542]

δεξιῇ ἠσπάζοντο ἔπεσσί τε μειλιχίοισιν.

ἐδεξιοῦνθ' : Τὰς δεξιὰς ἐνέβαλλον αὐτῷ ἀσπαζόμενοι. Θ. *Dv.* ἤτοι τὰς δεξιὰς ἐνεβάλλομεν. *P.* τῆς ἡδονῆς : Τῆς χαρᾶς. *Dv.*

754. οὐσίαν τ' εἶχον συχνὴν : Πλοῦτον ἐκέκτηντο πολύν. *P.* οὐσίαν : Περιουσίαν. συχνὴν : Πολλήν. Θ. *Dv.* πολλήν. R.V.

755. ἐκ δικαίου : Πόνου δηλ., ἀλλ' ἐξ ἀδικίας τὸν βίον κεκτημένοι. *P.* κεκτημένοι : Ἔχοντες. *Dv.*

756. ὀφρῦς συνῆγον : Σκυθρωπῶς προσέβλεπον. V. τοῦτο δεῖγμα κατηφείας. Θ. *Dv.* δεῖγμα κατηφείας, ἤτοι κατηφεῖς ἦσαν. ἴδιον γὰρ τῶν λυπουμένων τὸ τὰς ὀφρῦς συνάγειν. *P.*

757. οἱ δίκαιοι γελῶντες καὶ ἐστεφανωμένοι ὄντες ὀπίσω τοῦ Πλούτου ἠκολούθουν. V. οἱ δ' : Οἱ δίκαιοι. κατόπιν : Τοῦ Πλούτου. *P.* ὀπίσω τοῦ Πλούτου. R.

758. εὐφημοῦντες : Τὸν Πλοῦτον. Θ. *Dv.* ἐπαινοῦντες τὸν Πλοῦτον. *P.*

759. ἐμβὰς : τὰ ὑποδήματα. R. τὸ ὑπόδημα. Θ. τὰ ὑποδήματα τῷ τούτοις ἐμβαίνειν. V. τὸ ὑπόδημα τῶν... *P.* ὑποδήματα. *Dv.* εὐρύθμοις : Εὐτάκτοις. Θ. *P.* ἀτάκτοις. *D.* (τὸ δὲ προβήμασιν) ἀντὶ τοῦ πηδήμασιν. R.V. προβήμασιν : Προπομπαῖς. Θ. *Dv.* πηδήμασιν. P.

762. οὐδεὶς : Τῶν ἐν τῇ οἰκίᾳ ὄντων. *P.* εἰσιοῦσιν : Εἰσελθοῦσιν. ἀγγελεῖ : Λέξει. *Dv.*

763. ἅλφιτ' : Ἤγουν ἄρτοι. *Dv.* ἄλευρα. *P.* ἐν τῷ θυ-

λάκῳ : νῦν τῇ ἀρτοθήκῃ. R. τῇ ἀρτοθήκῃ σκυτίνῃ. Θ. ἐν τῇ ἀρτοθήκῃ. *Dv. P.*

764. νὴ τὴν Ἑκάτην : Καθὰ γυνὴ τὴν Ἑκάτην ὀμνύει. Θ. *P.* ἀναδῆσαι β. : Στεφανῶσαι θέλω. *Dv.*

765. ἐν κριβανωτῶν ὁρμαθῷ : Ἐπειδὴ ἐκεῖνος εἶπεν ὅτι οὐκέτι ἔσται ἐν σπάνει ἄρτων, ἀλλ' ἐν εὐπορίᾳ, διὰ τοῦτο αὐτὸν ἄρτοις ἀναδῆσαι βούλεται καὶ στεφανῶσαι. (κριβανωτῶν δὲ ὁρμαθῷ, ἀντὶ τοῦ ἄρτων δέσμῃ ἐν κριβάνῳ ὠπτημένων, δέον εἰπεῖν στεφάνῳ. κρίβανος δὲ παρὰ τὸ κρῖ, καὶ τὸ βαῦνος, ὁ κριθῶν δεκτικός. παίζει δὲ διὰ τὸ ἀδηφάγον αὐτοῦ.) [γράφεται δὲ καὶ, ἐκ κριβανωτῶν ὁρμαθῷ.] — εὐαγγέλια : Συχαρίκια. *Dv.* χάριν. *P.* κριβανωτῶν : Ἤγουν ἐκ κριθίνων μαζῶν· διαβάλλει δὲ αὐτὸν ὡς λαίμαργον. Θ. *Dv.* ἐν κριθ. : Πλήθει ἄρτων ἐν κριβάνῳ ὠπτημένων. *P.* στεφανῶσαι... ἐκ κριθίνων μαζῶν... διαβάλλει δὲ αὐτὸν ὡς λαίμαργον. *Br* μαθῷ : Ὁρμαθὸς σύνδεσμος, στίχος. *Vict.*

766. τὸ ἑξῆς τοιαῦτα ἀπαγγείλαντα εὐαγγέλια. V. ἀπαγγείλαντα : Μηνύοντα. *P.* μέλλ' : Βράδινε. *Dv.* βράδυνε. *P.*

767. ὡς : Ὅτι οἱ. *Dv.*

768. φέρε νῦν ἰοῦσα : [Πρὸς τὸ ἔθος τὸ παρ' αὐτοῖς· τῶν γὰρ νεωνήτων δούλων τῶν πρώτως εἰσιόντων εἰς τὴν οἰκίαν, ἢ ἁπλῶς τῶν ἐφ' ὧν οἰωνίσασθαί τι ἀγαθὸν ἐβούλοντο καὶ τοῦ νυμφίου, παρὰ τὴν ἑστίαν τραγήματα κατέχεον εἰς σημεῖον εὐετηρίας, ὡς καὶ Θεόπομπός φησιν (ἐν Ἡδυχάρει

φέρε σὺ τὰ καταχύσματα
ταχέως κατάχει τοῦ νυμφίου καὶ τῆς κόρης.
εὖ πάνυ λέγεις.)

ἐπεὶ οὖν καὶ ὁ Πλοῦτος ἐν πρώτοις εἰσέρχεται, τοῦτό φησι.] σύγκειται δὲ τὰ καταχύσματα ἀπὸ φοινίκων, κολλύβων, τρωγαλίων, ἰσχάδων καὶ καρύων, ἅπερ ἥρπαζον οἱ σύνδουλοι. (κυρίως δὲ ἐλέγοντο, ὅτε δοῦλον ἠγόραζον· ἔφερον γὰρ αὐτὸν παρὰ τὴν ἑστίαν καὶ καθίζοντες κατὰ τῆς κεφαλῆς κατέχεον κόλλυβα καὶ ἰσχάδας, καὶ φοίνικας, καὶ τρωγάλια καὶ ἄλλα τραγήματα, καὶ οἱ σύνδουλοι ταῦτα ἥρπαζον. ἐλέγοντο οὖν ταῦτα καταχύσματα. διὰ τὸ τοῦ Πλούτου τοὺς ὀφθαλμοὺς νεωστὶ ἀναβλέψαι ὑπὸ Χρεμύλου. ὡς ἐπὶ δούλου οὖν νεωνήτου εἰληφὼς, τὰ καταχύσματα εἶπεν.) — ἰοῦσ' εἴσω : Ἐλθοῦσα ἐντὸς, ἵνα... *P.*

769. ὥσπερ νεωνήτοισιν ὀφθαλμοῖς : Δέον εἰπεῖν δούλοις, ὀφθαλμοῖς εἶπεν, διὰ τὸ ἀναβλέψαι τὸν Πλοῦτον. — νεωνήτοισιν : Νεωστὶ ἠγορασμένοις δούλοις. *Dv.* δούλοις. ὤφειλεν εἰπεῖν ὀφθαλμοῖς. Θ. *P.*

770. ἀπαντῆσαι : Συναντῆσαι. *P.* ἀπαντῆσαι κυρίως τὸ λόγοις ἀντιπεσεῖν καὶ ἐναντιωθῆναι· καὶ ἔργοις· καὶ τὸ εἴς τινα τόπον καταντῆσαι. ὑπαντῆσαι δὲ τὸ συναντῆσαι. νῦν δὲ καταχρηστικῶς εἶπεν. Cant. 2.

771. [καὶ προσκυνῶ γε : Κορωνὶς ἑτέρα εἰσιόντων ὑποκριτῶν· οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λα', ὧν τελευταῖος

ἀνίσταθ' ὡς ἁρπασόμενος τὰς ἰσχάδας.

ἐφ' ἑκάστου συστήματος παράγραφος, ἐπὶ δὲ τῷ τέλει τῶν στίχων κορωνὶς, καὶ ἑξῆς τὸ χοροῦ αὖθις· κἀνταῦθα γὰρ χορὸν ὤφειλε θεῖναι καὶ διατρῖψαι μικρὸν, ἄχρις ἂν ἐξέλθοι τις ἀπαγγέλλων, ὅπως εἰσιόντος τοῦ Πλούτου πάντα τὰ τούτων πρὸς τὸ βέλτιον μεταβέβληται.] — ἥλιον : Τοῦτον γὰρ ἀναβλέψας πρῶτον ἑώρακα. Θ. *P.*

772. τῆς Ἀθήνας. Θ. ἐνδόξου Ἀθηνᾶς ἔνδοξον ἔδαφος. *Dv. P.* κλεινὴν πόλιν, τὴν ἀκρόπολιν δηλονότι. *V.* τὴν ἀκρόπολιν. R. Harl. 5664, Barocc. 127.

773. χώραν τε πᾶσαν Κέκροπος : (Παίζει πρὸς Ἀθηναίους φιλεγκωμίους ὄντας.) Κέκροψ Αἰγύπτιος ὢν τὸ γένος ᾤκισε τὰς Ἀθήνας. ὅθεν οἱ Ἀθηναῖοι Κεκροπίδαι λέγονται, τινὲς δέ φασι τοῦτον καὶ διφυῆ γεγενῆσθαι, οἱ μέν, ὅτι τὰ μὲν ἄνω ἀνδρὸς εἶχε, τὰ δὲ κάτω θηρίου· ἕτεροι δὲ, ὅτι νόμους πολλοὺς ἐφεῦρε τοῖς ἀνθρώποις καὶ ἀπὸ ἀγριότητος εἰς ἡμερότητα ἤγαγεν· ἄλλοι δὲ, ὅτι τῶν ἀνδρῶν ὡς ἔτυχε μισγομένων ταῖς γυναιξὶ, καὶ ἐκ τούτου μὴ γινωσκομένου ἢ τοῦ παιδὸς παρὰ τοῦ πατρὸς ἢ τοῦ πατρὸς παρὰ τοῦ παιδὸς, αὐτὸς νόμους θέμενος, ὥστε φανερῶς συγγίνεσθαι αὐταῖς καὶ μιᾷ στοιχεῖν, καὶ σχεδὸν εὑρὼν τὰς δύο φύσεις τοῦ τε πατρὸς καὶ τῆς μητρὸς, τούτου χάριν διφυὴς ἐκλήθη. — χώραν : Τὴν Ἀττικήν. *P.*

774. αἰσχύνομαι δὲ τὰς ἐμαυτοῦ ξυμφορὰς : Τὰ συμβάντα μοι, φησὶν, αἰσχύνομαι· εἰς γνῶσιν δὲ ἐλθὼν καὶ αἴσθησιν ὧν ἔπραττεν, αἰδεῖται, γνοὺς ὡς μετὰ ἀδίκων ἦν. — τὰς ἐμ. ξυμφορὰς : Διά. ξυμφορὰς : Ὅτι ἔφευγον τοὺς δικαίους. *P.*

775. οἷοις : Ὁποίοις, κακοῖς. *Dv.* κακοῖς. Θ. θαυμαστικὸν ἀντὶ τοῦ κακοῖς, ἀδίκοις. ξυνὼν : Ὁμιλῶν. *P.* ἐλάνθανον : Ἐμαυτόν. *Dv. P.*

776. τοὺς ἀγαθούς. V.

777. ὁ τλήμων ἐγὼ : Ὁ ἄθλιος. *Dv.*

778. οὐδ' ἐκεῖν' ἄρ' οὐδὲ ταῦτα : Οὔτε ἔφευγον τοὺς ἀγαθοὺς οὔτε μετεδίωκον τοὺς φαύλους. [οὔτε τοὺς κακοὺς πλουτίζων οὔτε τοὺς ἀγαθοὺς ἀφαιρούμενος τοῦ πλούτου.] — ὡς : Ὅτι. Θ. ὄντως. *Dv.* ἐκεῖν' : Τὸ συνεῖναι τοῖς κακοῖς. Θ. *Dv.* τὸ φεύγειν τοὺς δικαίους. *P.* ταῦτ' : Τὸ μὴ συνεῖναι τοῖς ἀγαθοῖς. Θ. *Dv.* τὸ συνεῖναι τοῖς ἀδίκοις. *P.*

779. ἀναστρέψας : Ἱκανὴ γὰρ ἀπόδειξις ἀκουσίου ἁμαρτήματος ἡ διόρθωσις. — ἀναστρέψας : Διεγείρας. *Dv.* εἰς τὸ ἐναντίον μεταβαλών. *P.*

780. τὸ λοιπὸν : Εἰς τὸ ἑξῆς. *Dv.*

782. βάλλ' ἐς κόρακας : Ὁ Χρεμύλος ἀγανακτεῖ πολλῶν αὐτὸν ἀσπαζομένων καὶ περιεχόντων, οἵτινες πρὸ τοῦ οὐδὲ ἑώρων αὐτὸν πένητα ὄντα, νυνὶ δὲ πλουτήσαντα κολακεύουσιν. [ἔστι δὲ τὸ « βάλλ' ἐς κόρακας » παρ' ὑπόνοιαν παραποιηθὲν ἐκ τοῦ, « βάλλ' ἐς μακαρίαν, » περὶ οὗ ἀλλαχοῦ δεδήλωται· δηλοῖ δὲ τὸ ῥίψον ἑαυτὸν εἰς φθοράν· τοιοῦτον γάρ τι ἐς κόρακας. τὸ δὲ παραχρῆμα νῦν ἀντὶ τοῦ κατ' αὐτὸ τὸ πρᾶγμα, καὶ ὡς εἰπεῖν παραυτίκα, οὐ μὴν πρὸ τοῦ πράγματος· διὸ ἑρμηνεύων ἐπήγαγεν, ὅταν πράττῃ τις εὖ, ἤγουν, ἐν

αὐτῇ τῇ εὐπραγίᾳ, οὐ πρὸ αὐτῆς. — βάλλ' ἐς κόρακας : Σεαυτόν. Θ. ἄπελθε σαυτόν. *Dv.* βάλ' : Ἄπιθι. χαλεπὸν : Πρᾶγμα. *P.* τοῦτο εἰώθασιν οἱ δυσχεραίνοντες λέγειν, ὃ νῦν καὶ Χρεμύλος λέγει, πρὸς τοὺς ἐπιπεσόντας αὐτοῖς κόλακας καὶ φιλοφρονουμένους. P.]

783. παραχρῆμα : Παρὰ προσδοκίαν. πράττῃ τις εὖ : Εὐτυχῇ. *Dv.*

784. θλίβουσι, ξύουσι, συντρίβουσι. R. V. τιτρώσκουσι, κόπτουσι, συντρίβουσι τῇ προσκυνήσει καὶ τῷ προκαλινδεῖσθαι. Θ. νύττουσι : Τιτρώσκουσι. *Dv. P.* φλῶσι : Συντρίβουσι. *Dv.* συντρίβουσι, θλίβουσι, ξύουσι. *P.* τἀντικνήμια : Ταῖς ἄντζαις. *Dv.* ἀντικνήμια ἐστὶ τὰ ἰδιωτικῶς λεγόμενα καλάμια τῶν ποδῶν. κνήμη δὲ ἡ λεγομένη ἄντζα, ὄπισθεν τοῦ καλαμίου. λέγεται δὲ οὕτως, ὡς κενὴ καὶ πλήρης οὖσα αἵματος. P.

785. εὔνοιαν : Ἤγουν ἀγάπην. *Dv. P.*

786. προσεῖπε : Οὐ χαίροις εἶπε, ἐχαιρέτισε. *MS. Ducangii.* προηγόρευσε καὶ ἐχαιρέτισε. ποῖος οὐκ ὄχλος : Πάντες. *P.*

787. περιεστεφάνωσεν : Ἐτίμησεν. *Dv. P.* πρεσβυτικὸς : Γεροντικός. Θ. *Dv.*

788. ὦ Πλοῦτε καὶ ὦ ἄνερ καὶ ὦ Βλεψίδημε [χαίρετε]. R. V. Θ. φίλτατ' : Ποθεινότατε. *P.* καὶ σὺ, καὶ σὺ : Ἡλοῦτε καὶ σὺ Χρεμύλε. *Dv. P.*

789. νόμος : Σύνηθές ἐστι. *Dv.* συνήθεια. *P.*

790. μηδαμῶς : Τοῦτ ποιήσῃς. *P.*

791. ἐμοῦ γὰρ : Ἠθανῶς, ἵνα μὴ ἐν τῷ φανερῷ καταχέῃ τὰ τραγήματα· (διὸ καὶ ἐπιφέρει, « ἔπειτα καὶ τὸν φόρτον ἐκφύγοιμεν ἄν, » τουτέστι φορτικόν τι ὄψιν.) [ἔπειτα καὶ τὸν φόρτον : Τὸν φορτικὸν γέλωτα, ἵνα μὴ γελασθῶμεν.] — εἰσιόντος : Πρωθύστερον, εἰσελθόντος. *Dv.* εἰσερχομένου. *P.*

792. βλέψαντος : Ἀναβλέψαντος. ἐκφέρειν : Ἐξάγειν. *P.*

793. πρεπῶδες : Πρέπον ἐστί. *Dv.* προσῆκον *P.* εἰσφέρειν : Εἰσάγειν εἴσω. *Dv. P.*

794. δέξει ὄψιν τὰ καταχύσματα : Λήψῃ τὰ ἐπάνω σου μέλλοντα καταχεῖσθαι. *P.* ἤγουν τὰ πλακούντια. *Dv.*

795. παρὰ τὴν ἑστίαν : Πρὸς τὸ ἔθος, ὅτι παρὰ τῇ Ἑστίᾳ ἐποίουν τὰ καταχύσματα. — τὴν ἑστίαν : Τὴν οἰκίαν. *Dv.* δέξομαι δηλ. *P.* νόμος : Συνήθεια. *Dv.* ἀντὶ τοῦ ἔθος. παρὰ τῇ ἑστίᾳ κατέχεον. *P.*

796. τὸν φόρτον : τὴν χλεύην. R. V. τὴν μέμψιν, καὶ τὴν κατηγορίαν. *Dv.* τὴν μέμψιν, τὴν κατάκρισιν. *P.* ψόγον, χλεύην, μέμψιν. *Br.*

797. οὐ γὰρ πρεπῶδες : Ἔμφασις τοῦ Ἀριστοφανείου προσώπου· ὁ δὲ λόγος πρὸς τοὺς ἀντιτέχνους πρὸς διασυρμὸν, οἳ διὰ τὸν αὐτῶν βόλον ἐπειρῶντο τὸν δῆμον πρὸς ἑαυτοὺς ἐπάγειν. καὶ ἐν τοῖς Σφηξὶν [58] ἐσεμνύνετο, ὅτι οὐκ ἔστι παρ' αὐτῷ οὔτε κάρυα (ἐκ φορμίδος δοῦλοι διαρίπτοντες τοῖς θεωμένοις). φαίνεται μέντοι τὸ τοιοῦτον οὐ διὰ τῶν χορηγῶν, ἀλλὰ δι' αὐτῶν τῶν διδασκάλων (γινόμενον, ὡς Ἐρατοσθένης) ἐπισημαίνεται. — πρεπῶδές ἐστι : Ἤγουν δίκαιον ὑπάρχει ἐμοὶ δηλαδή. *Dv.* ἐστι : Τοῦ πλουσίου. τῷ διδασκάλῳ : Ἐμοὶ τῷ Ἀριστοφάνει. *P.* τοῦτο τῷ μὲν δοκεῖν ἀπὸ τοῦ πλούτου ἐστὶ, τῇ δ' ἀληθείᾳ παρὰ τοῦ ποιητοῦ. *Dv.* οὐ γὰρ πρεπῶδες : Ἔμφασις ἐνταῦθα τοῦ προσώπου τοῦ κωμικοῦ. ὁ δὲ λόγος αὐτῷ πρὸς τοὺς ἀντιτέχνους οἳ διὰ τῶν ὀβελῶν ἐπειρῶντο τὸν δῆμον πρὸς ἑαυτοὺς ὑπάγειν. φησὶ γὰρ οὐκ ἔστι πρέπον προτιθέναι ἐν τοῖς ἡμῶν ὀβελισμοὺς τινὰς καὶ διαγραφὰς καὶ ἀφανισμοὺς αὐτῶν ἢ ἑτέρων ποιημάτων ὥστε ἐκ τούτων ζητεῖν εὐδοκιμεῖν. Cant. 3.

τῷ διδασκάλῳ ... προβαλόντ' : Ἀττικὸν τὸ σχῆμα. [Hom. Il. A, 542 :] « αἰεί σοι φίλον ἐστὶν, ἐμεῦ ἀπονόσφιν ἐόντα. » R.

798. πάντα τὰ τραγήματα ἰσχάδας ἐκάλουν. R. Θ. πάντα τὰ τραγήματα οὕτως ἔλεγον. V. ἰσχάδια : Σῦκα. *Dv.* τρωγάλια : Τραγήματα. οὕτω γὰρ τὰ τραγήματα ἐκάλουν οἱ παλαιοί. *Vict.* τοῖς θεωμένοις : Τοῖς θεαταῖς. *Dv.* τοῖς ἀκροαταῖς, τοῖς θεαταῖς. *P.*

799. προβάλλοντ' : Προτείνοντα. *Dv.* προθέντα. Θ. *P.* ἐπὶ τούτοις : Τοῖς θεαταῖς. *Dv.* ἐπαναγκάζειν : Ἤτοι ἄκοντα παρακινεῖν. *P.* γελᾶν : Ὥστε γελᾶν. *Dv.*

800. ὡς Δεξίνικος : Οὗτος πένης ἦν, καὶ κωμῳδεῖται, ὡς τὰ ὄψα ἁρπάζων, καὶ λίχνος. τινὲς δὲ καὶ στρατηγόν φασιν αὐτόν. — διαβάλλει τοῦτον ὡς ἅρπαγα ἢ ὡς πένητα. *Dv.* δ. τ. ὡς ἅρπαγον. *C.* ὡς : Ὅτι. *C.*

802. [ὡς ἡδὺ πράττειν, ὦ 'νδρες : Εἴσθεσις συστηματικῆς περιόδου, ἐκ στίχων ὁμοίων κϐ', ὧν τελευταῖος

ἔνδον μένειν ἦν· ἔδακνε γὰρ τὰ βλέφαρά μου.

ἐπὶ τῷ τέλει παράγραφος. ἐχρῆν κἀνταῦθα μετὰ τὴν περίοδον τοῦ παρόντος συστήματος κομμάτιόν τι θεῖναι χοροῦ, ἄχρις ἂν θύσας ὁ Χρεμύλος ἐξέλθοι· ὁ δὲ ἱκανὸν εἶναι τὸν καιρὸν λογισάμενος, ὥστε θῦσαι αὐτὸν, ἐν ὅσῳ τοὺς λόγους τούτους ὁ Καρίων διέξεισιν, ἐξάγει εὐθὺς αὐτὸν συντυχεῖν, ὡς μέν τινες, τῷ δικαίῳ· ἄτοπον γὰρ εἶναί φασιν καὶ ἀπρεπὲς ἀγαθὸν ἄνδρα καὶ δίκαιον ὁμιλεῖν μετὰ δούλου· ὡς δ' ἐν τοῖς παλαιοῖς τῶν ἀντιγράφων εὕρηται, τῇ γραΐ.]

ὡς ἡδὺ : Ὡς ἡδὺ πρᾶγμά ἐστι τὸ ἐν εὐπορίᾳ βιάζεσθαι ἢ ἐξετάζεσθαι. Ἄλλως. V. ἡδὺ τὸ εὐτυχεῖν, καὶ μάλιστα δίχα ἀναλωμάτων γινόμενον. — ὡς ἡδὺ πράττειν : Λίαν γλυκὺ εὐτυχεῖν. *Dv.*

803. μηδὲν : Πρᾶγμα. ἐξενεγκόντ' οἴκοθεν : Δαπανήσαντα, ἐκβαλόντα ἐκ τῆς οἰκίας. *Dv.* ἐξαγαγόντα. *Paris.*

804. σωρὸς : πλῆθος. *V.* Θ. *P.*

805. ἠδικηκόσιν : Παρ' ὑπόνοιαν. R. παίζων τοῦτό φησιν, ὡς τῶν πολλῶν, καὶ μάλιστα τῶν Ἀθηναίων, ἐξ ἀδικίας μόνης πλουτούντων. (τὸ δὲ ἐπεισπέπαικεν,) εἰσεπήδησεν, εἰσῆλθε· κυρίως δὲ ἐπὶ στρατείας πολεμίων· (διὸ παίζων ἐπήνεγκεν, οὐδὲν ἠδικηκόσιν.) —

ἐπεισπέπαικεν : Ἐπεισῆλθεν. Θ. *Dv.* σφοδρῶς ἐπεισῆλθε καὶ εἰσεπήδησεν. *P.*

806. (οὕτω τὸ πλουτεῖν ἐστιν ἡδύ : Ἀδιανόητος ὁ ἴαμβος· ἢ πρὸς τὰ ἄνω

καὶ ταῦτα μηδὲν ἐξενεγκόντ' οἴκοθεν·

οὕτω γὰρ ἡδύ τί ἐστι πρᾶγμα τὸ πλουτεῖν.) — γνώμη. τὸ πλουτεῖν : Ἥγουν ὁ πλοῦτος. ἡδύ : Εὐφραντόν. *Dv.*

807. ἡ μὲν σιπύη : Σιπύη ἡ ἀρτοθήκη. ταῦτα δὲ παρὰ τὰ ἐν Ἰνάχῳ Σοφοκλέους, ὅτε τοῦ Διὸς εἰσελθόντος πάντα μεστὰ ἀγαθῶν ἐγένετο. προύχει δὲ τὰ λευκὰ τῶν ἀλφίτων. ἤρξατο δὲ ἐκ τῆς τῶν ἀναγκαίων εὐπορίας. — σιπύη : Ἡ ἀρτοθήκη. Θ. *Dv.* ἡ κοινῶς ἄρκλα. λευκῶν : Καθαρῶν. *P.* ἀλφίτων : Σεμιδαλίων. *Dv.*

808. μέλανος ἀνθοσμίου : Μέλανος, ἐρυθροῦ. Ὅμηρος [Od. E 265] « μέλανος οἴνοιο. » ἀνθοσμίου δὲ, ἡδέος, εὐόσμου, ὥσπερ τὰ ἄνθη· ἢ ὡς ἀπὸ τόπου ἀνθοσμίας· ἢ ὡς ἀπὸ εἴδους ἀμπέλου. ἢ τοῦ ἡδέος καὶ περιόσμου καὶ ἀνθηροῦ· τὸν δὲ χυδαῖον (οἶνον) καρηβαρίτην ἔλεγον. — ἀμφορῆς : Τὰ κοινῶς μεγαρικά. Ἀττικὸν ὡς οἱ βασιλῆς. Θ. ἀμφορεῖς : Τὰ μαγαρικά. *Dv. P.* ἀνθοσμίου : Εὐώδους. *Dv.* εὐώδους (Θ.), μοσχάτου. *P.*

χρυσίον : Τοσοῦτον. *P.*

809. τὰ σκευάρια : Τὰ σενδούκια. πλήρη : Γεγεμισμένα. *Dv.*

810. (τὸ φρέαρ δ' ἐλαίου μεστόν : Παραπαίζει πρὸς τὴν ἐ**ναντίαν** τῆς τύχης [μεταβολήν.) ⟦λήκυθοι δὲ τὰ ἐλαιοδόχα ἀγγεῖα.⟧ — τὸ φρέαρ : Τὸ πηγάδιον. αἱ λήκυθοι : Τὰ ἐλαιοδόχα ἀγγεῖα. *V.* Θ. *Dv.* τὰ ῥώγια, τὰ ἐλ. ἀ. *P.*

811. τὸ ὑπερῷον : Τὸ τέγος. Θ. *Dv. P.* ἰσχάδων : Συκῶν. Θ. *Dv.* σύκων. *P.*

812. ὀξὶς δὲ πᾶσα : [Ὀξὶς] ἀγγεῖον ὄξους δεκτικόν. ἢ λοπάδος εἶδος, παρὰ τὸ εἰς ὀξὺ λήγειν. (λοπάδιον δὲ καὶ αὐτὸ εἶδος κεραμίου.) ⟦ἰχθυηροὺς δὲ πινακίσκους,⟧ τοὺς ἐπιτηδείους ἰχθῦν χωρῆσαι. (ἢ ἐν ᾧ οἱ ἰχθύες πλύνονται.) — ὀξὶς : Τὸ τοῦ ὄξους ἀγγεῖον. Θ. *Dv.* ἄγγος ὄξους δεκτικόν. *P.* λοπάδιον : Ὁ λεγόμενος κουρελός. Θ. *Dv.* χύτρα : Τζυκάλιον. Θ. *Dv.*

813. πινακίσκους : Τὰ σκουτέλια. *Dv.*

814. τοὺς ἰχθυηροὺς : Τοὺς ἰχθύας δεχομένους. Θ. *Dv.* τοὺς ἐπιτηδείους εἰς ὑποδοχὴν ἰχθύων. *P.*

815. ὁ δ' ἰπνὸς : Τὸ μαγειρεῖον· ἢ ἡ καπνοδόχη· ἢ ὁ λεγόμενος φανὸς, (ἢ ὁ χυτρόπους, ἢ ὁ δίφρος). καὶ ἐν Εἰρήνῃ [841] « ἰπνοὺς ἔχοντες, ἐν δὲ τοῖς ἰπνοῖσι πῦρ. » — ἰπνὸς : Τὰ φανάρια. *Dv.* τὸ φανάριον. Θ. τὸ φουρνεύτιον, ἢ τὸ μαγειρεῖον. *P.* ἐξαπίνης : Ἐξαίφνης. Θ. *Dorv.*

816. στατῆρσι δ' οἱ θεράποντες ἀρτιάζομεν : [Εἶδος νομίσματος. οἱ οἰκέται οὖν, φησὶ, νομίσμασιν ἀρτιάζομεν, ἀντὶ τοῦ παίζομεν ἄρτια ἢ περισσὰ,] τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον ζυγὰ ἢ ἄζυγα. (παιδιά τις ἦν, καθ' ἣν ἐγίνετο πεῦσίς τε τοῦ κατασχόντος καὶ ἀπόκρισις τοῦ προσπαίζοντος, ἤτοι ἀρτίας κατοχῆς ἢ περιττῆς, ἃ νῦν ζυγὰ καὶ ἄζυγα καλεῖται. τινὲς δὲ ἀρτιάζειν λέγουσι τὸ ἁρπαγῇ παίζειν ἀπὸ τοῦ ἑταίρου, ἴσως δὲ τὸ σφαιρίζειν.) — στατῆρσι : Νομίσμασι. *Dv. P.* νομίσμασιν, ἃ καὶ δίδραχμα λέγεται. ἔχει δὲ ὁ στατὴρ κεράτια τριακοντάξ. Θ. ἀρτιάζομεν : Τὰ ἄρτια καὶ τὰ περιττὰ παίζομεν, ἅ φασιν ἰδιωτικῶς ζυγὰ μονά. Θ. *Dv.* τὰ ἄ. κ. τ. π. παίζομεν, τὰ κοινῶς λεγόμενα παρὰ τοῖς ἰδιώταις μονὰ, ζυγά. *Br.* τὸ ἐν συνηθείᾳ λεγόμενον μονὰ ἢ ζυγά. *Br.* τὰ ἄρτια παίζομεν. *P.*

817. ἀποψώμεσθα : Ἀπομασσόμεθα, καθαίρομεν τὴν πυγήν. *V.* τοὺς πρωκτοὺς σπογγιζόμεθα· οἱ γὰρ τρυφῶντες συνεχῶς χέζουσι. Θ. *Dv.* ἀποσπογγίζομεν τὸν πρωκτόν. *P.*

818. σκοροδίοις ὑπὸ τρυφῆς : Τοῖς τῶν σκορόδων φύλλοις. (γελοίως ἀντὶ τοῦ σαβάνοις. ἐπειδὴ δὲ ἦσθιον ἑκάστοτε σκόροδα, τοῦτό φησιν, ὅτι ὡς πλουτήσαντες κατεφρόνησαν τῆς παλαιᾶς διαίτης. εἴρηται δὲ σκόροδον ἴσως, [σκαιόν τι ῥόδον ὄν, παρὰ τὸ] σκαιὸν ὄζειν. τινὲς δὲ σκοροδίοις, τοῖς τῶν σκορόδων καυλοῖς. λιμῷ γὰρ περιπεσόντες οἱ Ἀθηναῖοι τούτοις ἐχρήσαντο. — χάριν δὲ γέλωτος εἶπεν ἀντὶ τοῦ καυλοῖς. *V.* Ἄλλως. οὐχ ἁπλῶς τοῦτο, ἀλλ' ἵνα δείξῃ ὅτι τοσαύτῃ μεταβολῇ κεχρήμεθα, ὥστε ἃ πρότερον ἡσθίομεν ἀγαπητῶς, τούτοις νῦν ἀφοδεύοντες ἀποματτόμεθα. Ἄλλως. μήποτε τοῦ σκορόδου λέγει τὸν καυλόν. ἔστι γὰρ ἀσφοδέλῳ ὅμοιος [κἀκεῖνος ἐπιτήδειος εἰς τοῦτο]. εἰ δ' ἄρα δηκτικόν τι ἔχει, τάχα ἂν εἴη παρὰ τὴν ὑπόνοιαν εἰρηκώς.) — σκοροδίοις : Τοῖς τῶν σκορόδων φύλλοις. R ἑκάστοτε : Καθ' ἡμέραν. *Dv.*

819. βουθυτεῖ : Καταχρηστικῶς εἴρηται ἡ βουθυσία, δηλοῦσα τόν τε ὄγκον τοῦ μεγέθους καὶ τὸ ἐντελὲς τῆς θυσίας, ἣν ἑκατόμβην καλοῦσιν. ἐντελὴς δὲ θυσία, ἡ ἐξ ὑὸς, τράγου, κριοῦ, ἣν καλοῦσι τριττύν. — Ἄλλως. μεγάλην θυσίαν ποιεῖ· οὐ γὰρ, ὥς τινες, βοῦν θύει, οἷς τὸ ἐπιφερόμενον ἐναντιοῦται. *V.* ὁ δεσπότης : Ὁ ἡμέτερος. *Dv.* βουθυτεῖ : (Βοῦν θύει. P.) Μεγάλην θυσίαν ποιεῖ, ἢ ἁπλῶς θύει. Θ. *Dv. P.* βουθυτεῖν κυρίως τὸ βοῦν θύειν. ἐκάλουν δὲ τὴν ἐντελῆ θυσίαν ἑκατόμβην διὰ τὸ ἐκ βοῶν ἑκατὸν γίνεσθαι. ἦν δὲ καὶ ἄλλη ἐντελὴς θυσία τριττὺς λεγομένη, ἡ ἐκ χοίρου καὶ κριοῦ καὶ τράγου, ἣν καὶ ἐνταῦθα λέγει. P.

820. ὗν : χοῖρον. *V. Dv.*

821. ἐξέπεμψεν. : Ἐξέβαλεν. *Dv.* ἔξω ἔπεμψεν. *P.* οἷός τε : Δυνατός. *Dv.*

822. ἔδακνε γὰρ τὰ βλέφαρά μου : Μεταβολὴ πάντων, εἰ ὁ μὲν δεσπότης ὑποφέρει τὸν καπνὸν, ὁ δὲ δοῦλος οὔ. — μένειν : Καρτερεῖν. *Dv.* ἔδακνε : Ἐθλιβε. ὁ καπνός. *P.* τὰ βλέφαρα : Τοὺς ὀφθαλμούς. *Dv.*

823. ⟦ἔπου μετ' ἐμοῦ, παιδάριον : Κορωνὶς ἑτέρα εἰσιόντων ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι κζ', ὧν τελευταῖος

χαρίεντά γ' ἥκεις δῶρα τῷ θεῷ φέρων.

ἐπὶ τῷ τέλει κορωνίς.⟧

ἕπου μετ' ἐμοῦ : Πλάτων Μενεξένῳ [fine] « ἀλλ' εἰ μὴ πιστεύεις, ἀκολούθει μετ' ἐμοῦ. » Junt. ἕπου : Ἀκολούθει. *Dv. P.* παιδάριον : Ὦ. ἵνα : Ὅνα. τὸν θεὸν : Τὸν Πλοῦτον. *Dv.*

824. ἴωμεν : Πορευθῶμεν. *Dv.* ἔα : Ἐπίρρημα ἐκπληκτικόν. *Dv. P. Vict.* ὁ προσιὼν : Ὁ ἐρχόμενος. *Dv.*

825. ἀνὴρ πρότερον μὲν ἄθλιος : Δίκαιος ἀνὴρ οὗτος πρότερον πενόμενος, ᾧ διαλέγεται ἢ ὁ Χρεμύλος, ἢ ὁ οἰκέτης. τὸ δὲ, κομιδῇ μὲν οὖν, ἀντὶ τοῦ, παντάπασι μὲν οὖν. — εἰμί. *P.* ἄθλιος : Δυστυχής. εὐτυχής : Πλούσιος. *Dv.*

826. δῆλον : Φανερόν. χρηστῶν : Ἀγαθῶν. ἔοικας : Φαίνεσαι. *Dv.*

827. μάλιστ' : Ἀττικὸν ἀντὶ τοῦ ναί. τοῦ δέει : Τίνος χρείαν ἔχεις. *P.* τίνος χρῄζεις. *Dv.* πρὸς : Εἰς. *P.*

828. ἥκω : Ἦλθον. *P.* γάρ μοὐστὶν : Τὸ τέλειον, μεγάλων γάρ μοι ἐστίν. R.V. αἴτιος : Πρόξενος. *Dv.*

829. ἱκανὴν οὐσίαν : Ἀρκετὸν βίον. *P.* οὐσίαν : Περιουσίαν. *Dv.*

830. ἐπῆρκουν : ἐχορήγουν. R. V. ἐβοήθουν. Θ. *Dv. P.* δεομένοις : Χρῄζουσι καὶ πενομένοις. Θ. *P.*

831. εἶναι : Τοῦτο. Θ. νομίζων : Ὑπολαμβάνων. χρήσιμον : Ὠφέλιμον. *Dv.*

832. ἦπου : Ὄντως. Θ. *Dv. P.* ταχέως : Συντόμως. *P.* ἀπέλιπεν : Ἀφῆκε. Θ. *Dv.* ἐπέλιπε : Ἀφῆκε. *P.*

833. κομιδῇ : Λίαν. Θ. λίαν ταχέως. μετὰ ταῦτ' : Μετὰ τὸ ἀναλῶσαι ταῦτα. *P.* ἄθλιος : Ὡς μὴ ἔχων περιουσίαν, ἀλλ' ἐν ἐνδείᾳ ζῶν. Θ. ἐπειδὴ ἀνήλωσας εἰς τοὺς δεομένους. R.V.

834. κομιδῇ : Λίαν. ὤμην : Ὑπελάμβανον. τέως : Πρώην. *Dv.* πρώην ἢ πρὸ ὀλίγου. *P.* πρώην, πρότερον. *Brunck.*

835. ἕξειν : Κτήσασθαι. *Dv.* λήψεσθαι. *P.*

836. ὄντως : Ἀληθῶς. *Dv.* βεβαίους : Ἀληθεῖς. *P.* δεηθείην : Εἰς χρείαν ἔλθοιμι. *Dv.* χρείαν σχοίην τινός. *Paris.*

837. ἐξετρέποντο : ἀπέφευγον. R. ἔφευγον. V. μετεβάλλοντο, ὡς πρὸς ἑτέραν ὁδὸν ἐτρέποντο, πόρρωθεν θεασάμενοί με. Θ. (ἐξένευον. *Dv.*) μετεβάλλοντο. ἐδόκουν : Ἐνόμιζον *Dv. P.*

838. οὐ μόνον ταῦτ' ἐποίουν, ἀλλὰ καὶ.... Θ. *Dv. P.* κομιδῇ : Λίαν κατεγέλων. *P.*

839. αὐχμὸς γὰρ ων : Τὸ ἑξῆς, ἀπώλεσέ με ὁ ὢν αὐχμὸς τῶν σκευαρίων. ἢ τὸ ων ἀντὶ τοῦ ὄν. Ἀττικῶς εἶπεν ἀντὶ τοῦ ξηρὸς γενόμενος ὑπὸ πενίας ἀπώλεσε τὰ σκευάρια, ἀπώλεσε τῶν σκευαρίων. Ἄλλως. μετωνυμικῶς, ἀπολέσαι με τὰ σκευάρια ἐποίησεν, — ἢ πάλιν ξηρὸς γενόμενος ὑπὸ πενίας καὶ τῶν σκευαρίων ἠψάμην. V. Ἄλλως. ἀντὶ τοῦ ἀπώλεια. μεταφέρεται δὲ ἀπὸ τοῦ σίτου. ὅταν γὰρ αὐχμὸς ἐπιγένηται ἤδη τῶν ἀσταχύων ἀδρυνομένων, ἀφανίζεται ὁ πυρὸς καὶ καταξαίεται. εἴρηται δὲ παρ' ὑπόνοιαν, οἷον πυρῶν καὶ κριθῶν. — αὐχμὸς : Στέρησις. Θ. *Dv.* στέρησις, ξηρασία. τῶν : Ἐμῶν. *P.* τῶν σκευαρίων : Τῶν χρειῶν. *Dv.* τῶν εἰς χρείαν πραγμάτων ἠφάνισεν. *P.* τῶν εἰς χρείαν ὄντων. Θ. τὸ ὢν ἢ ἀντὶ τοῦ οὖν νοητέον, τρεπομένης Δωρικῶς τῆς ου διφθόγγου εἰς ωμέγα· ἢ ἀντὶ τοῦ ὑπάρχων, οὕτω· ἀπώλεσε γὰρ ἐμὲ αὐχμὸς τῶν σκευαρίων ὢν καὶ ὑπάρχων ἐμοί. πέπρακα γὰρ ταῦτα, καὶ διὰ τοῦτο εἰς γέλωτα πᾶσι προὐκείμην. παρὰ τὸ μὴ ἔχειν τὰ σκευάριά τι, ἀπολώλειν. ἐχόντων γάρ τι τῶν σκευαρίων, ἠδὴ ἠρδευόμην. διακένων δ' ὄντων αὖος καὶ ξηρὸς ἦν ὑπὸ τῆς ψυχρᾶς πενίας, ὃ γοῦν ἔπασχεν ὁ δίκαιος οὗτος, ἀντιστρόφως τοῦτο τὰ σκευάρια, φησὶν, ἀπώλεσεν. C.

840. ἀλλ' οὐχὶ νῦν : Ἔσται τοῦτο (Θ.). ἀνθ' : Ἕνεκα. *Dv. P.*

841. προσευξόμενος : Μέλλων προσεύξειν καὶ παρακαλέσειν. *P.* ἥκω : Ἦλθον. *Dv.*

842. τὸ τριβώνιον δὲ : Τὸ παλαιὸν ἱμάτιον. τοιοῦτον γὰρ ὁ οἰκέτης αὐτοῦ ἐβάσταζεν. — τὸ τριβώνιον : Τὸ παλαιὸν ἱμάτιον. *Dv.* τὸ διερρηγμένον. *P.*

843. φέρει : (Ἄγει *P.*) βαστάζει. *Dv. P.* τουτί : Τουτὶ πρὸς τὸ παιδάριον. *Dv.* ἢ τουτὶ πρὸς τὸ παιδάριον, ἢ τουτὶ τὸ τριβώνιον. Θ.

844. ἀναθήσων : Ἀφιερώσων. Θ. *P.* ἀ. ἔρχομαι : Ἀφιερώσω, ἀνάθημα ποιήσω. πρὸς : Εἰς. *Dv.*

845. μῶν οὖν ἐμυήθης : Παίζει παρὰ τὸν Ἐλευσίνιον νόμον· ἔθος γὰρ ἦν, ἐν οἷς τις (ἱματίοις) μυηθείη, εἰς θεοῦ τινος (ταῦτα) ἀνατιθέναι, ὥσπερ δηλοῖ καὶ Μελάνθιος ἐν τῷ περὶ Μυστηρίων « πάτριόν ἐστι ταῖς θεαῖς ἀνιεροῦν καὶ τὰς στολὰς τοὺς μύστας, ἐν αἷς τύχοιεν μυηθέντες. » μυστήρια δὲ δύο τελεῖται τοῦ ἐνιαυτοῦ Δήμητρι καὶ Κόρῃ, τὰ μικρὰ καὶ τὰ μεγάλα· καὶ ἔστι τὰ μικρὰ ὥσπερ προκάθαρσις καὶ προάγνευσις τῶν μεγάλων. Ἄλλως. σκώπτων εἰς τὰ ἱμάτια τοῦτό φησιν, ὅτι ῥυπαρά ἐστι. λέγει δὲ μυστήρια. ἔθος δὲ εἶχον ἐν οἷς τις μυηθείη ἱματίοις, ταῦτα εἰς θεοῦ τινος ἀνατιθέναι. ἔνιοι δὲ τὰς τοιαύτας στολὰς εἰς τέκνων σπάργανα φυλάττουσι· καθαραὶ δὲ πάνυ ὑπάρχουσι καὶ νέαι.) [Ἄλλως. μεγάλα καὶ μικρὰ μυστήρια ἐτελοῦντο ἐν Ἐλευσῖνι τῆς Ἀττικῆς. μὴ ὄντων δὲ πρότερον μικρῶν, ἐλθόντος Ἡρακλέους καὶ θέλοντος μυηθῆναι, ἐπειδὴ νόμος ἦν Ἀθηναίοις μηδένα ξένον μυεῖν, αἰδεσθέντες τὴν αὐτοῦ ἀρετὴν, καὶ ὅτι φίλος τε ἦν τῆς πόλεως καὶ υἱὸς τοῦ Διός, ἐποίησαν μικρὰ μυστήρια, ἐν οἷς αὐτὸν ἐμύησαν. ἦσαν δὲ τὰ μὲν μεγάλα τῆς Δήμητρος, τὰ δὲ μικρὰ Περσεφόνης τῆς αὐτῆς θυγατρός. ὁ δὲ μυούμενος τὸ ἱμάτιον, ὃ ἐφόρει ἐν τῇ μυήσει, οὐδέποτε ἀπεδύετο, μέχρις ἂν τελέως ἀφανισθῇ διαρρυέν. ὅπερ δὲ πρὸς Ἡρακλέα, τοῦτο καὶ πρὸς Διοσκούρους ἐποίησαν.] — μῶν : Ἆρα δή. ἐμνήσθης : Ἐδιδάχθης. *Dv.* ἐμυήθης : Ἐδιδάχθης. αὐτῷ : Τῷ τριβωνίῳ. *P.* τὰ μεγάλα : Μυστήρια δηλονότι. *R.* Θ. *Dv.*

846. ἐνερρίγωσ' : Ἐν αὐτῷ ἐρίγωσα, ἤγουν ἐξεχείμασα. *Dv.* μετὰ ῥίγους διεβίβασα. ῥιγέω ῥιγῶ ἐπὶ ψυχῆς, ῥιγόω δὲ ῥιγῶ ἐπὶ σώματος. *P.*

847. ἐμβάδια : Τί δύναται. ἤγουν τὰ καλίγια. *Dv.*

ὑποδήματα. *P.* συνεχειμάζετο : Σὺν τῷ ἱματίῳ. Θ. *Dv. P.*

848. ἀναθήσων : Ἀφιερώσων. *Dv.* ἀνάθημα ποιήσων. *P.* νὴ : Ναί. *Dv.*

849. χαρίεντα : Ἡδύτατα κατ' εἰρωνείαν. φέρων : Κομίζων. *P.*

850. [οἶμοι κακοδαίμων : Κορωνὶς ἑτέρα ὁμοία· οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ρθ', ὧν τελευταῖος

νῷ δ' εἰσίωμεν, ἵνα προσεύξῃ τὸν θεόν.

ἐπὶ τῷ τέλει κορωνὶς, καὶ ἐξῆς χοροῦ αὖθις. ἐχρῆν γὰρ κἀνταῦθα θεῖναι χορὸν, εἰσιόντων τῶν ὑποκριτῶν ἐντὸς, ἄχρις ἂν τις ἐπέλθῃ ὑποκριτὴς ἕτερος.] — κακοδαίμων : Δυστυχής. ὡς : Ὅτι λίαν. *Dv.*

852. καὶ ἰοῦ ἰοῦ : Καὶ φεῦ. *P.*

853. οὕτω πολυφόρῳ : Πολλά μοι κακὰ ὑφ' ἕνα καιρὸν φέροντι, ἢ ποικίλῳ ἀπὸ τοῦ πολὺ ὕδωρ ἐπιδεχομένου οἶνου· ἤγουν ἀκράτῳ καὶ ἰσχυρῷ πρὸς τὸ κακόν. εἴρηται δὲ, ὅτι πολύφορον μὲν ἔλεγον τὸν πολλὴν κρᾶσιν δεχόμενον, ὀλιγόφορον δὲ τὸν ὀλίγην. (πολυφόρῳ οὖν τῷ πολλῶν ἀτυχιῶν κομιστικῷ.) ἢ μεταφορικῶς ἐκ τῶν πολυκάρπων χωρίων, ἢ πολυανθῶν δένδρων. [Ἄλλως. συγκέκραμαι, μεταφορικῶς· ὡς ἀπὸ οἴνου καὶ ὕδατος τῆς συγκράσεως γινομένης.] — πολυφόρῳ : (Πολλαπλασίῳ *Dv.*). Πολλὰ κακὰ φέροντι. Θ. *Dv. E. P.* συγκέκραμαι : Μεμιγμένος εἰμί. *Dv.* ἥνωμαι. *P.* πολύφορος γῆ, ἡ πολλὴν φορὰν καὶ καρπὸν παρέχουσα, καὶ πολύφορος οἶνος, ὁ πολὺ ὕδωρ δεχόμενος ἐν τῷ μίγνυσθαι τούτῳ. ἐκ τούτου μεταφορικῶς καὶ ὁ πολύφορος δαίμων, ὅθεν ἐπήγαγε τὸ συγκέκραμαι, ὅπερ ἐπὶ ὑγρῶν λέγεται. P.

854. ἀποτρόπαιε : Διώκτα τῶν κακῶν. *P.*

855. ποτ' : Ἆρα. πέπονθεν : Ἔπαθεν. *Dv.*

856. 'σχέτλια : Χαλεπά. *Dv.* ἐλεεινά. *P.* πέπονθα : Ἔπαθα. νυνὶ : Ἀρτίως. *Dv.*

857. ἀπολωλεκὼς : Φθείρας. τῆς οἰκίας : Τῆς ἐμῆς δηλαδή. *Dv.*

858. τὸν ἐσόμενον : Τὸν γενησόμενον Πλοῦτον. *Dv.*

859. ἥνπερ μὴ λίπωσιν αἱ δίκαι : [Ἀντὶ τοῦ,] ἐὰν τὸ δίκαιον παραμείνῃ. σκώπτει πάλιν ὡς βίαιον οὖσαν τὴν ἐν δικαστηρίῳ κρίσιν. — πάλιν αὖθις : Ἐκ παραλλήλου. αἱ δίκαι : Αἱ κρίσεις καὶ τὸ δίκαιον. Θ. *Dv. P.*

860. σχεδὸν : Ἀντικρύς. *Dv.* φανερῶς. *P.* ἀντικρυς, φανερῶς. Θ.

861. προσέρχεται : Παραγίνεται. κακῶς πράττων : Δυστυχῶν. *P.* κακῶς : Ἤγουν δυστυχῶς. πράττων : Ποιῶν. *Dv.*

862. εἶναι τοῦ πονηροῦ κόμματος : (Κόμμα,) εἶδος φαύλου νομίσματος. ἀντὶ δὲ τοῦ εἰπεῖν φαύλου συστήματος, πονηροῦ κόμματος εἶπεν, ἐπειδὴ περὶ πλούτου ὁ λόγος. (εἴρηται ἀπὸ μεταφορᾶς τῶν κιβδήλων νομισμάτων, διὰ τὸ ὀλίγον μὲν ἔχειν χρυσὸν, πλείονα δὲ χαλκόν. ἐπεσημήνατο δὲ τὴν λέξιν συνήθως τὸ χ, ἐπειδὴ μὴ ἐπὶ νομισμάτων τὸ κόμμα εἴρηκεν.) — ἀντὶ τοῦ λείψανον. πεποίηται δὲ ἀπὸ μεταφορᾶς τῶν κεκομμένων νομισμάτων ἐξ ὀλίγου τινὸς χρυσίου ἀποκεκομμένου. φασὶ δὲ πονηρὸν κόμμα τὸν παραχαραττόμενον ἄργυρον. κόμματος οὖν ἀντὶ τοῦ λειψάνου, ἢ λείμματος τῶν ἀδίκων. τὸ χ οὖν πρὸς τὸ κόμμα. V. κόμματος : Τοῦ χαράγματος. εἴρηται δὲ εἰς μεταφορὰν τῶν κιβδήλων νομισμάτων. Θ. *P.*

863. καταρᾶται τῷ Πλούτῳ. R. νὴ Δία : Κατ' εἰρωνείας. καλῶς ποιῶν : Δικαίως πάσχων. *P.* ἀπόλλυται : Φθείρεται. *Dv.*

865. ὑποσχόμενος : Λέγων. εὐθέως : Παραυτίκα. *Dv.*

866. ἐξαρχῆς : Ὡς τὸ πρότερον. *Dv.* ὁ δὲ : Ἰδεῖν. *P.*

867. πολὺ : Κατά. *Dv.* πολὺ μᾶλλον : Μᾶλλον πρὸς τὸ μὴ ποιῆσαι πλουσίους [τινάς]. R.V.*P.* ἐστὶν ἐξολωλεκώς : Ἀπώλεσεν. *P.* ἑνίους : Ἡμῶν. ἐξολωλεκώς : Ἀπολωλεκώς. *Dv.* Ἀττικὸν δὲ τὸ ἐξολωλεκώς.

868. δέδρακε : Ἐποίησεν. *Dv.* Τίνα ἀπώλεσεν. Θ.

869. ἐν ἤθει. R.V. ἦ : Ὄντως ἄρα. Θ. *Dv. P.* ἦσθα : Ὑπῆρχες. τοιχωρύχων : Κλεπτῶν. *Dv.* διὰ τοῦτο ταῦτα ἔπαθες. Θ. *P.*

870. οὐμενοῦν ἔσθ' ὑγιὲς : Οὐδαμῶς ὑπάρχει ἀληθές. *Dv.* οὐμενοῦν ἔ. ὑ. ὑμῶν οὐδενὸς : Ἀντὶ τοῦ, οὐδεὶς ὑμῶν ἔχει τι ἀγαθόν. *Br.* ὑγιὲς : Ὀρθὸν καὶ ἀληθές. *P.*

871. οὐκ ἔσθ' ὅπως : Οὐδαμῶς. *Dv.*

872. ὡς σοβαρὸς, ὦ Δάματερ : Σεσοβημένος, ἐπίτριπτος. καταμωκώμενοι δὲ τῶν Δωριέων τὸ ὦ Δάματερ λέγουσιν. ὁ δὲ νοῦς, πῶς ἐπηρμένος καὶ μέγα φρονῶν καθ' ἡμῶν εἰσῆλθεν. — ὡς : Λίαν. *Dv.* σοβαρὸς : Ἐπηρμένος. *P.* Δάματερ : Γῆ. εἰσελήλυθεν : Ἦλθεν. *Dv.*

873. [ὁ συκοφάντης : Οὕτω καλοῦνται οἱ ἐπηρεάζοντες ἀπὸ τοιαύτης αἰτίας. τὸ παλαιὸν ἀπειρημένον ἦν σῦκα ἐξάγειν ἐκ τῆς Ἀττικῆς, τοῦ φυτοῦ κατ' ἀρχὰς θαυμαζομένου. τοὺς πικρῶς οὖν διερευνῶντας τὸ τοιοῦτον, οὕτως ὀνομασθῆναι λέγουσιν ἀπὸ τῆς ὀπώρας. παρασχεῖν οὖν καὶ τοῖς ὀπωσοῦν μάτην ἐγκαλοῦσι τὴν ὀνομασίαν, ἅμα καὶ τοῦ φαίνειν τὸ ἐγκαλεῖν ἢ εἰς δίκην εἰσάγειν δηλοῦντος. ὅτι δὲ ἀπὸ τούτων γέγονεν, ἐκ τῶνδε δῆλον· συκαστὰς γὰρ τοὺς φιλεγκλήμονας ἔλεγον καὶ συκοβίους καὶ συκωρούς καὶ συκολόγους καὶ φιλοσύκους καὶ συκώδεις καὶ συκοσπαδίας, ἴσως ἀπὸ τοῦ πάντας ἐγκλήματα ἐφέλκεσθαι.]

βουλιμιᾷ : Πάνυ λιμώττει, (καὶ) πεινᾷ λίαν· ἀπὸ τοῦ βου ἐπιρρήματος, ὅπερ ἐπιτάσεώς ἐστι δηλωτικὸν, ἀντὶ τοῦ λίαν· ὥσπερ καὶ ἐν τῷ βούπεινα, ἡ μεγάλη πεῖνα, καὶ βουγάϊος καὶ βούγλωσσος· τινὲς δὲ εἶδος νόσου φασὶν, ἐν ᾗ πολλὰ ἐσθίοντες οὐ πληροῦνται· [τῶν γὰρ συκοφαντῶν τοιοῦτος ὁ τρόπος.] — μεγάλως λιμώττει. Θ. *Dv. P.*

874. σὺ μὲν εἰς ἀγορὰν : Τοῦτο πρὸς τὸν θεράποντα· τὸ δὲ « οὐκ ἂν φθάνοις » ἀντὶ τοῦ οὐκ ἂν πέρας σχοίης τῶν κακῶν. — εἰς ἀγορὰν : Εἰς συνάθροισιν δικαστηρίου. *P.*

(875). ἐπὶ τοῦ τροχοῦ : Τροχός τις ἦν, ἐν ᾧ δεσμούμενοι οἱ εἰκέται ἐκολάζοντο. [τοῦτο δὲ λέγει ὁ ἄδικος πρὸς τὸν θεράποντα.] — ἐπὶ τοῦ τροχοῦ : Εἰς ὃν τοὺς κακοὺς κολάζουσι. Θ. *Dv. P.*

876. πεπανούργηκας : Κέκλοφας. *Dv.* πονηρῶς ἐποίησας. *P.* οἴμωζ' : Κλαῖε. *Dv.*

877. πολλοῦ : Τιμήματος. *Dv.* εἰ : Ἐπειδή. Θ.

879. τοὺς συκοφάντας : πεποίηται τὸ ὄνομα ἐκ τῆς τῶν σύκων κλοπῆς φωράσεως. R.V. ἐξολεῖ : Ἐξολέσει, φθερεῖ ὄντας κακούς.

880. οἶμοι τάλας : Φεῦ ὁ ἄθλιος, ἆρα καὶ σὺ κοινωνὸς ὤν. *P.* μῶν : Ἆρα. μετέχων : Κοινωνῶν. *Dv.* καταγελᾷς : Ἐμοῦ δηλ. *P.* γελῶ αἰτιατικῇ, καταγελῶ δὲ γενικῇ. P.

881. ἐπεὶ πόθεν : Ἀντὶ τοῦ, εἰ μὴ μετεῖχες δηλ., ἀπὸ ποίου τρόπου. τοδί : Τοῦτο. *P.* εἴληφας : Ἀντὶ τοῦ ἐπρίω. R.V.

882. ἔχοντ' : Φοροῦντα. τριβώνιον : Ἱμάτιον διεργημένον. *P. Dv.* τριβακὸν ἱμάτιον. R.V.

883. οὐδὲν προτιμῶ σου : Οὐ φροντίζω σου. ἡ φράσις Ἀττική. εἴρηται δὲ τὸ προτιμᾶν ἐπὶ τοῦ λόγον ἔχειν (καὶ ἐπιστρέφεσθαι). λέγει οὖν, οὐ φοβοῦμαί σε ἔχων φυσικὸν δακτύλιον. δακτύλιον δὲ, τὸν λεγόμενον φαρμακίτην. Εὔπολις Βάπταις μέμνηται καὶ Ἀμειψίας. ὁ δ' Εὔδαμος φαρμακοπώλης ἢ χρυσοπώλης, τετελεσμένους δακτυλίους πωλῶν. φιλόσοφος δὲ ἦν οὗτος ὁ Εὔδαμος φυσικοὺς δακτυλίους ποιῶν πρὸς δαίμονα καὶ ὄφεις καὶ τὰ τοιαῦτα. [ἐθεράπευον γὰρ τοὺς ὀφιοδήκτους· μᾶλλον δὲ τὴν ἀρχὴν οὐκ εἶων ὑπ' ὄφεων δάκνεσθαι.] — προτιμῶ σου : Φροντίζω. Θ. *Dv. P.* πριάμενος : Ὠνησάμενος. *P.*

884. τὸν δακτύλιον τονδὶ : (Ἀλεξητήριον τῶν δηλητηρίων δείκνυσιν αὐτῷ καὶ βασκανίας ἀποτρεπτικὸν δακτύλιον, ὃν καλοῦσι φαρμακίτην· πρὸς ὃ ὁ θεράπων,) κἂν ἔχῃς φαρμακίτην δακτύλιον, ἀλλ' οὐ πρὸς δῆγμα συκοφάντου, ὡς τούτων χειρόνων ὄντων καὶ θηρίων, πρὸς ἃ ὁ δακτύλιος πεποίηται. (ἀλλ' οὐκ ἰσχύει, φησὶν, οὗτος ὁ δακτύλιος πρὸς τὸ δῆγμα τοῦ συκοφάντου. τοῦτο δὲ ὁ ἕτερος πρεσβύτης λέγει ὁ τὸν τρίβωνα κομίσας· οἱ γὰρ δύο τὸν συκοφάντην ἐκφλαυροῦσι. λέγει δὲ ἐν ᾧθει ὅτι οὐκ ἔστι τις ἐν τῷ δακτυλίῳ ἐπῳδὴ, ἢ φάρμακον πρὸς δῆγμα τοῦ συκοφάντου. ἐπεὶ εἰώθασι λέγειν οἱ τὰ περίαπτα πωλοῦντες ὅτι χρησιμεύει τόδε πρὸς τόδε. λέγει οὖν, ἀλλὰ τοῦτο τὸ ἄκος καὶ ἡ ἀντιπάθεια οὐδὲν ἰσχύει πρὸς δῆγμα συκοφάντου. τὸ δὲ δῆγμα σκληρὰ λέξις ἀπὸ τῶν ἑρπετῶν εἰλημμένη. Ἄλλως. μὴ λάθῃς εἰς τὸ δήγματος ἔξωθεν τὸ ἀποτρεπτικὸς, ὡς οἴονταί τινες, ἀλλ' ἔστιν ἡ γενικὴ πρὸς τὸ δακτύλιος οὕτως, ἀλλ' οὐκ ἔστιν ὁ δακτύλιος δήγματος συκοφάντου, τουτέστιν, οὐκ ἔχει ἰσχὺν πρὸς τοὺς συκοφάντας, ὥσπερ εἰς τὰ τῶν ὄφεων δήγματα.) — δραχμῆς : Ἕνεκα. *P.* νομίσματος, ὃ ἔχει κεράτια ιη', ἥτις ὁλκὴ καλεῖται. Θ.

885. ἔνεστι : λείπει φάρμακον. R. τῷ δακτυλίῳ δύναμις ἀποτρεπτική. *Dv.* ἤγουν ἀλλ' οὐκ ἰσχύει πρὸς τὸ δῆγμα τοῦ συκοφάντου. *P*

886. ὕβρις : Μέμψις. ταῦτ' : Τὰ λεγόμενα ἀφ' ὑμῶν. σκώπτετον : Σκώπτετε. *P.* Ὑβρίζετε. *Dv.*

887. ποιεῖτον : Ποιεῖτε ἐνταῦθα οὐκ ἐλέξατε. *Dv.* ἐνθάδ' : Ἐνταῦθα. εἰρήκατον : Εἴπατε. *P.*

888. ἐστὸν : Ἐστέ. *P.*

889. οὐκοῦν τῷ γε σῷ : Ἀγαθῷ δηλονότι. — τῷ γε σῷ : Ἐπὶ τῷ σῷ ἀγαθῷ. ἴσθ' : Γίνωσκε. *Dv.* σαφῶς γίνωσκε. Θ. ἐπὶ ... οὐδόλως... φανερῶς γίνωσκε. ἢ οὐδόλως ἐσμὲν ἐπὶ τῷ ἀγαθῷ τῷ σῷ. *P.*

890. τῶν ἐμῶν : Πραγμάτων. *Dv.*

891. [ὥς γ' ἐπ' ἀληθείᾳ : Λείπει δειπνεῖς.] μετὰ τοῦ μάρτυρος : (Κλήτορα γὰρ ἤγετο, ἵνα αὐτοὺς εἰς δίκην καλέσῃ. Ἄλλως.) τῷ συκοφάντῃ ἕπεταί τις ὥστε μαρτυρεῖν. (ὡς ἀγηοχότος οὖν τοῦ συκοφάντου καὶ μάρτυρα, ἵνα εἰς δίκην καλέσηται, τοῦτό φησι.) — ἐπ' ἀληθείας : Ἀντὶ τοῦ σωζομένης τῆς ἀληθείας. *P.* μάρτυρος : Ὅτι τινὰ τῶν δημοσίων ὑπηρετῶν ἦκεν ἄγων, ἵνα, ἐάν τι παρ' αὐτῶν ἀκούσῃ, συμμαρτυρήσῃ αὐτῷ πρὸς τοὺς δικαστάς. *P.* ὃν μετὰ σοῦ κομίζεις. Θ.

892. διαρραγείης : Σχισθείης, ἀφανισθείης. *Dv.* διασχισθείης. *P.* μηδενὸς : Ἀγαθοῦ. *Dv.* πράγματος. *P.*

893. ἔνδον : Τῆς οὐσίας ἐστίν. *P.*

894. τεμαχῶν : Κομματίων ἰχθύων· τέμαχος γὰρ κυρίως ἐπὶ τῶν ἰχθύων λέγεται. *Dv.* χρῆμα τεμαχῶν : Πρᾶγμα τμημάτων ἰχθύων. ὠπτημένων : Ἐν τῷ πυρὶ καιομένων. *P.*

895. ὦ ὦ : [Διὰ τῶν ψιλῶν τούτων υ δείκνυσι, ὅτι χοιρείων κρεῶν ὀσμῆς ἥσθετο. Ἄλλως. ὦ ὦ] ἐπίρρημα θαυμαστικὸν, ὅπερ ἐν τῇ συνηθείᾳ λέγομεν. ὡς ὀσφραινόμενος τοῦτό φησι. — τινὲς δὲ ὁ δίκαιος. R.

896. [τοῦ ψύχους γ' ἴσως : Ἐπεὶ τὰ ζῶα, ἐσομένου ψύχους αἰσθανόμενα, πολλάκις ὀσφραίνεται.] — κακόδαιμον : Ἄθλιε. ὀσφραίνει τι : Ἐπὶ τὴν ὄσφρησιν ἥκεις. ψύχους : Αἰσθάνεται δηλ. *P.* τί : Κατά τι. τοῦ ψύχους : Τοῦ κρύους. *Dv.*

897. τοιοῦτον : Οἷον φορεῖ. ἀμπέχεται : Ἐνδύεται ἱμάτιον. *P.* περιβέβληται. R. V. τοῦτο : Φαῦλον. ἀμπ. : Ἐνδύεται. *Dv.*

898. ἀνάσχετ' : Ὑπομονητά. Θ. *Dv. P.*

899. ὑβρίζειν : Ἄτιμα ποιεῖν. ὡς ἄχθομαι : Φεῦ, λίαν. *P.* οἴμ' : Φεῦ. ὡς : Λίαν. ἄχθομαι : Λυποῦμαι. *Dorv.*

900. φιλόπολις : Τὸ μὲν φιλόπολις κοινὸν, Ἀττικὸν δὲ τὸ φιλόπατρις. — χρηστὸς : Ἀγαθός. *Dv. P.* — φιλόπολις Φιλόπατρις. *Dv.* φιλῶν τὴν πόλιν. *P.* πάσχω κακῶς : Ἡγοῦν δυστυχῶ. *Dv. P.*

901. ὡς οὐδεὶς ἀνήρ : Χρηστὸς εἰμί. *Dv.* οὕτως εἰμί. *Paris.*

902. καὶ μὴν : Τὸ λοιπόν. *Dv.* ἐπερωτηθεὶς : Ἤτοι ἐκ δευτέρου ἐρωτηθείς. *P.* ἀπόκρινέ : Ἀπολογίζου. *Dv.* τὸ τί : Μέλλω ἐρωτηθῆναι. *P.*

903. [μελαγχολᾷν μ' οὕτως οἴει : Ὥσπερ οἱ μαινό-

μενοι τὴν ἐν τοῖς πλήθεσι διατριβὴν ἀπαναινόμενοι ἐν ἐρημίαις φέρονται, διὰ τοῦτο καὶ τὴν τῶν γεωργῶν διατριβὴν μελαγχολίαν ὠνόμασεν, ὡς ἐν ἀγροῖς γενομένην.] — γεωργὸς εἶ : Γεωργεῖν ἐπιστάμενος. *P.* μελαγχολᾷν : Ὑπολαμβάνεις ἐμὲ μαινόμενον. *Dv.* μαίνεσθαι, ὥστε ἀποτρέχειν εἰς τὰς ἐρήμους, ὡς οἱ γεωργοί. Θ. *P.*

904. σκήπτομαί γ', ὅταν τύχω : Τινὲς τῶν πολιτῶν, ἡνίκα χρημάτων ἦν εἰσφορὰ πρὸς τὴν πόλιν, τὴν ἐμπορίαν ἐπροφασίζοντο, τὴν εἰσφορὰν βουλόμενοι φυγεῖν, ἀζήμιοι γὰρ οὗτοι διεφυλάττοντο, ὡς φησιν Εὐφρόνιος, ὡς τὴν πόλιν ὠφελοῦντες πλεῖστα διὰ τῆς αὐτῶν ἐμπορίας. διὸ καὶ ὁ συκοφάντης λέγει ὅτι, ὅταν γένηταί (τις) καιρὸς πολέμου [καὶ εἰσφορᾶς], ἔμπορον ἐμαυτὸν ἀποκαλῶ. [Ἄλλως. ὅταν, φησὶν, ἀνάγκη γένηται πράγματος, σκήπτομαι τότε ἔμπορος εἶναι. προφασίζομαι, φησὶν, ὅτι πέμπομαι εἰς τὸν πόλεμον.] — ἔμπορος : Πραγματευτής. *Dv.* κατὰ θάλατταν ἐμπορίαν ποιούμενος. *P.* σκήπτομαι : Ἀντὶ τοῦ προφασίζομαι. Θ. *Dv.* προφασίζομαι τοῦτο ἤγουν τὴν ἐμπορίαν. *Vict.*

905. τί δαί : Ἀποφαντικόν. τέχνην : Ἐπιστήμην. *P.*

906. πῶς οὖν διέζης; : Μερικῶς τίνα εἶχες ζωήν. Θ. *Dv.* ἢ πόθεν : Ἀπὸ ποίου τρόπου. *P.*

907. τῶν τῆς πόλεώς εἰμ' : Τῶν δημοσίων πραγμάτων φροντιστὴς, οἷον χορηγίας, τριηραρχίας, καὶ τῶν τοιούτων· ἰδίων δὲ, τῶν καθ' ἕκαστον, οἷον εἴ τις ἀδικοῖτό τις καὶ δικάζοιτο πρός τινα, αὐτὸς ἐφρόντιζεν. ἰδίων τῶν ἰδιωτικῶν. καὶ Εὐριπίδης ἐν Βάκχαις

εἰ μὴ γὰρ ἴδιον ἔλαβον εἰς χεῖρας μόσος.

τῶν τῆς πόλεώς εἰμ' ἐπιμελητής : Διοικητής εἰμί. *Dv.* τῶν δημοσίων καὶ πολιτικῶν φροντιστής. Θ. *P.*

908. τῶν ἰδίων : Τῶν χωρικῶν, ἰδιωτικῶν. *Dv.* τῶν ἰδιωτικῶν ἤτοι τῶν καθ' ἕκαστον. Θ. *P.* βούλομαι : Βουλευτὴς καὶ σύμβουλός εἰμι τῶν ἐθελόντων. Θ. βουλευτὴς εἰμί. *Dv.* μαθεῖν. *P.*

909. [πῶς οὖν ἂν : Ὁ νοῦς· πῶς ἂν οὖν χρηστὸς σὺ, ὁ λυπούμενος καὶ ἀγανακτῶν εἰς μηδέν σοι διαφέρον.]

910. εἴ σοι προσῆκον μηδὲν : Εἰ (διὰ) τῶν πραγμάτων τῶν σοὶ μηδὲν διαφερόντων ἀπεχθάνει τοῖς ἀνθρώποις, (διὰ τὸ ἐπιχειρεῖν ἀλλοτρίοις πράγμασιν. ὁ γὰρ ἀλλοτρίων προϊστάμενος μισεῖται). — σοὶ προσῆκον μηδὲν : Ἤγουν, οὐδενὸς διαφέροντος καὶ προσήκοντός σοι. *Dv.* εἰ πρέποντος, ἁρμόζοντός σοι μηδενὸς, μισητὸς γίνῃ τοῖς πολλοῖς διὰ τὸ ἐπιχειρεῖν ἀλλοτρίοις. *P.* τὸ εἶτα τρισσῶς λαμβάνεται, εἶτα ἀντὶ τοῦ μετὰ ταῦτα, καὶ εἶτα ἀντὶ τοῦ ἆρα, καὶ εἶτα ἀργὸν, ὡς ἐνταῦθα. P.

911. προσήκει : Διαφέρει ἢ πρέπει μοι. *P.* καὶ ἀνήκει καὶ ἁρμόζει. Θ.

912. ὦ κέπφε : Ὄρνεον ὅπερ φιλεῖ ἁρπὸν θαλάττιον ἐσθίειν· καὶ οἱ παῖδες τῶν ἁλιέων (λαμβάνοντες τὸν ἁρπὸν) ῥίπτουσι τὸ πρῶτον πόρρωθεν, εἶτα ἐγγύτατα, εἶτα εἰς τὴν χεῖρα τὸν ἁρπὸν, καὶ οὕτως εὐχερῶς ἀγρεύουσι. καὶ ἐπὶ τῶν ἀλογίστων ἀνδρῶν τοῦτο εἰς παροιμίαν. R. V. Ἄλλως. ἀνόητε, κοῦφε, ὦ τὸν νοῦν μετέωρε. ὄρνις γὰρ θαλάττιος τὸ κέπφος, κουφότατον σφόδρα τῷ ἁρπῷ διατρεφόμενον διὰ τῆς θαλάττης καὶ πάνυ ὀλίγον ἔχον σαρκώδες. Ἄλλως. ὦ εὐτελέστατε καὶ λάλε. φασὶ γὰρ τὸν κέπφον εὐτελῆ καὶ λάλον. V. [ὦ εὐτελέστατε καὶ λάλε· φασὶ γὰρ τὸν κέπφον εὐτελέστατον καὶ λάλον· ὄρνεον γὰρ ἅρπον, ὅπερ φιλεῖ ἁρπὸν θαλάττιον ἐσθίειν· τοῦτο βουλόμενοι οἱ τῶν ἁλιέων παῖδες χειρώσασθαι, ῥίπτουσι τὸ πρῶτον πόρρωθεν ἁρπὸν, εἶτα ἐγγύτατα, εἶτα φέρουσι τοῦτο ἐν ταῖς χερσὶν, καὶ οὕτω κατὰ μικρὸν ἀπατῶντες εὐχερῶς ἀγρεύουσι τοῦτο ἐμπεσὸν εἰς τὰς χεῖρας αὐτῶν. εἴληπται οὖν εἰς παροιμίαν ἐπὶ τῶν ἀλογίστων ἀνδρῶν καὶ ἀνοήτων. καλεῖται δὲ κοινῶς λάρος.] — ὁ κέπφος ὄρνεόν ἐστι θαλάττιον, ἀτελὲς καὶ λάρον καὶ ἀφελὲς, ὃ καλοῦσι κοινῶς λάρον· ὅπερ φιλεῖ ἁρπὸν θαλάττιον ἐσθίειν. τοῦτο ... φέρουσι τοῦτον ἐν ταῖς χερσὶ ... ἀνοήτων. P. εὐεργετεῖν : Εὐεργεσίαν παρέχειν. *Dv.* κέπφε : Λάρε. Θ. *Dv. P.* σθένω : Δύναμαι. Θ. *P.*

913. πολυπραγμονεῖν : Τὸ πράγμασι καὶ κακουργίαις ἑαυτὸν ἐνδιδόναι καὶ δικορραφεῖν. Θ. ταῖς πανουργίαις ἑαυτὸν ἐκδεδωκέναι. *Dv.* τὸ πέρα τοῦ δέοντος ἐξετάζειν. *Paris.*

914. τὸ μὲν οὖν βοηθεῖν : Τοῦτό ἐστι τὸ εὐεργετεῖν. Θ. *Dv.* μᾶλλον μὲν οὖν ὑπάρχει εὐεργετεῖν. κειμένοις : Τεταγμένοις. *P.* ἐνεργουμένοις καὶ πολιτευομένοις. Θ.

915. ἐπιτρέπειν : Παραχωρεῖν καὶ ἐνδιδόναι. Θ. παραχωρεῖν καὶ ἁμαρτάνειν· διδόναι ἄδειαν παρὰ τὸ πρέπον. *Dv.* συγχωρεῖν. *P.* ἐξαμαρτάνῃ : Ἤτοι ἁμαρτάνων ἔξω τοῦ καλοῦ πίπτῃ. Θ. *P.*

916. ἐξεπίτηδες : (Ἐξ ἀνάγκης ἢ) μάτην· οὕτως Ἀττικοί. (ἀργῶς καὶ μάτην. κοινότερον δὲ, καὶ τὰς τοιαύτας ψιλὰς ἐπιστασίας καὶ λειτουργίας ἀρχὰς ἔλεγον· καὶ τὸ βουλεῦσαι ἄρξαι.) [γράφεται δὲ καὶ ἐν σχήματι ἀποφατικῷ, οὔκουν. τὸ δὲ ὁ βουλόμενος ἀντὶ τοῦ, ὁ ἐπιμελητὴς, ὁ κατήγορος, ὁ προϊστάμενος.] — δικαστὰς : Κριτάς. *P.* ἐξεπίτηδες : Ἐπ' αὐτῷ τούτῳ. Θ. ἐπ' αὐτὸ τοῦτο. ἐσκεμμένως ἤτοι ἐπ' αὐτῷ τούτῳ. *P.*

917. ἄρχειν καθίστησιν : Ἵνα παρ' αὐτῶν βοηθοῖντο οἱ νόμοι δηλαδή. Θ. ἄρχοντας εἶναι ποιεῖ. ἵνα παρ' αὐτῷ βοηθοῦνται. *Dv.* καθίστησιν : Τάττει. κατηγορεῖ : Συνηγορεῖ. Θ. *P.* κατηγορῶ κατά τινος λέγεται, ὃ καὶ ἀπὸ γενικῆς πρὸς αἰτιατικὴν ἔχει τὴν σύνταξιν, ὡς τὸ κατηγορῶ σου ἀμαθίαν. κατηγορῶ τὸ καταφάσκω παρὰ φιλοσόφοις γενικῇ συντασσόμενον. κατηγορῶ τὸ ἐφυβρίζω καὶ αὐτὸ γενικῇ. κατηγορῶ δὲ τὸ παριστῶ αἰτιατικῇ ὡς τὸ « κατηγόρησε ἡ θλῖψις μακρόψυλον. » Θ.

918. ὁ βουλόμενος : Ὁ θέλων. *Dv. P.* ἐκεῖνος : Ὁ κατηγορῶν. *P.*

919. ἥκει : Ἀνήκει, ἀνατρέχει. *P.*

920. νὴ : Μά. πονηρὸν : Κακότροπον. προστάτην : Φροντιστήν. *Dv.* ἐπιμελητὴν τῶν πραγμάτων αὐτῆς. Θ. ἐπιμελητήν. *P.* ἔχει : Ἡ πόλις δηλαδή. *Dv.*

921. ἡσυχίαν ἄγων : Ἡσυχάζων. *P.*

922. προβατίου βίον : Μωροῦ καὶ ἀνοήτου· [διὰ τὸ

ἀδρανὲς τῆς διανομῆς τῶν πραγμάτων·] τὰ γὰρ πρόβατα μηδὲν ἐργαζόμενα ζῇ. — ζῆν ἀργός : Ἄπρακτος, ματήν. προβατίου βίον : Ἀντὶ τοῦ μωροῦ καὶ ἀνοήτου. προβάτου ζωὴν, ἀγροίκου. *P.*

923. διατριβή τις τῷ βίῳ : Ἐπιτήδευμα, ἀσχόλημα, δίαιτα, διαγωγὴ, πρόφασις, ἀφ' ἧς μέλλομεν περὶ τὰ πράγματα διατρίβειν. — διατριβή : Πολυπραγμοσύνη. Θ. ἐπιτηδειότης. *Dv.*

924. οὐδ' ἂν μεταμάθοις : Ἀντὶ τοῦ παύσαιο. κυρίως δὲ μεταμαθεῖν ἔλεγον τὸ μετὰ ταῦτα ἕτερόν τι μαθεῖν ἀφέμενον τοῦ πρώτου. — ἤγουν ἀντὶ τῆς πολυπραγμοσύνης ἄλλην ἑτέραν τέχνην μάθοις. Θ. οὐδ' ἂν : Οὐδαμῶς. *Dv.* μεταμάθοις : Καταλείψας τοῦτο ἕτερον μάθοις. *P.* δοίης : Δώσης. *Dv.* οὐ μεταμάθοις δηλονότι, εἰ παράσχοις. *P.* παράσχοις. Θ.

925. καὶ τὸ Βάττου σίλφιον : Βάττος Κυρήνην ἔκτισεν, [ἐλθὼν ἀπὸ Θήρας, τῆς κατὰ Κρήτην νήσου·] ὃν τιμήσαντες Λίβυες ἐχαρίσαντο αὐτῷ τὸ κάλλιστον τῶν λαχάνων τὸ σίλφιον, καὶ ἐν νομίσματι αὐτὸν ἐχάραξαν, τῇ μὲν βασιλείαν, τῇ δὲ σίλφιον (παρὰ τῆς πόλεως δεχόμενον, ὡς Ἀριστοτέλης ἐν τῇ Κυρηναίων πολιτείᾳ· ἔνθεν καὶ ἡ παροιμία ἐπὶ τῶν διαφόρους [καὶ ἐξόχους] τιμὰς δεχομένων. Ἄλλως. σίλφιον βοτάνη πολυτίμητος· ἡ δὲ αἰτία τοιαύτη ἐστί. Βάττος, ὁ καὶ Ἀριστοτέλης, πόλιν ἐν Λιβύῃ Κυρήνην [λεγομένην] ἔκτισε κατὰ τὸν δοθέντα αὐτῷ παρὰ τοῦ Ἀπόλλωνος χρησμόν· καὶ οἱ πολῖται οἱ Κυρηναῖοι ἀνταπόδοσιν τῆς εὐεργεσίας βουλόμενοι χαρίσασθαι τῷ βασιλεῖ, ἐποίησαν δακτύλιον, ἐν ᾧ ἡ πόλις αὐτῶν προσφέρει τῷ βασιλεῖ τὸ σίλφιον. καὶ τὸ φύλλον δὲ αὐτοῦ καὶ ὁ καρπὸς καὶ ὁ καυλὸς καὶ ὁ ὀπὸς καὶ ἁπλῶς τὸ πᾶν αὐτοῦ πολλῆς τιμῆς ἄξιόν ἐστιν. καὶ οἱ Ἀμπελιῶται δὲ ἔθνος Λιβύης, εἰς Δελφοὺς ἀνέθεσαν καυλὸν σιλφίου, ὥς φησιν Ἀλεξανδρίδης.) — σίλφιον : Τὸ λεγόμενον βαλσαμέλαιον. *Dv.* Βάττου σίλφιον : Ὄνομα κύριον τὸ κοινῶς βάλσαμον. *P.* ὁ Βάττος οὗτος ἔκτισε τὴν Κυρήνην, ἔνθα τὸ σίλφιον γίνεται, οὗ ὁ ὀπὸς πολλοῦ ἄξιός ἐστι. τιμῶντες οὖν αὐτὸν οἱ Κυρηναῖοι ὡς ἀρχηγέτην, χρυσῆν αὐτοῦ τὴν εἰκόνα πεποιήκασιν, τὸ σίλφιον ἐν τῇ δεξιᾷ φέρουσαν, λίθοις καὶ μαργάροις κεκοσμημένον. λαμβάνεται οὖν εἰς παροιμίαν τὸ τοῦ Βάττου σίλφιον ἐπὶ τῶν πολυτελῶν. P.

926. κατάθου : Ἀπόριπτε. *Dv.* ἀντὶ τοῦ καταβαλοῦ, ῥίψον. *P.* θοιμάτιον : Ὁ φορεῖς. *Dv.*

927. ὑπόλυσαι : Τὰ ὑποδήματα. Θ. *Dv.* τὰ ὑποδήματα ἄφελε. *P.*

928. προσελθέτω : Ἐμπροσθεν. *Dv.*

929. Οὐκοῦν ἐκεῖνός εἰμ' ἐγὼ : Ἐκεῖνός εἰμι ἐγὼ, φησὶν, ὁ μέλλων σοι προσελθεῖν. [τοῦτο ὁ θεράπων ἀποσκώπτων λέγει.] ἅμα δὲ καὶ μιμεῖται τὰ παρ' αὐτοῦ ἄνω εἰρημένα, ἐν ὅσῳ δὲ λέγουσιν, ἀπέδυσεν. — ἐκεῖνος : Ὁ βουλόμενος δηλονότι προσελθεῖν. *P.*

930. μεθ' ἡμέραν : Ἀντὶ τοῦ ἐν ἡμέρᾳ. Ἀττικὸν δὲ τὸ σχῆμα· (μεθ' ἡμέραν γάρ φασιν, οὐκ ἐν ἡμέρᾳ.) — ἀποδύομαι : Ἀντὶ τοῦ τὰ ἱμάτια ἀφαιροῦμαι. *P.* ἀποδύομαι λέγεται τὸ βιαίως καὶ ληστρικῶς τὰ ἱμάτια ἀφαιροῦμαι. *P.* μεθ' ἡμέραν : Κατὰ τὴν ἡμέραν. *Dv.* Ἀττικῶς ἀντὶ τοῦ ἐν ἡμέρᾳ. ἐν νυκτὶ γὰρ πάσχουσι τοῦτο ἔνιοι ὑπό τινων λοχώντων αὐτούς. Θ. τὸ γὰρ κατὰ νύκτα ἀποδύεσθαί τινα ὑπὸ τῶν λόχων τῶν λωποδυτῶν ἴσως φορητὸν, ὅτι λάθρα τοῦτο ποιοῦσι τοὺς νόμους φοβούμενοι καὶ τὰ δικαστήρια, ἐγὼ δὲ κατὰ τὴν ἡμέραν τοῦτο πάσχω περιφανῶς. Vict.

931. ἀξιοῖς : Ἀντὶ τοῦ δικαιοῖς. V. ἄξιον κρίνεις. Θ. *Dv.* *P.* ἀλλότρια πράττων : Ξένα ἀπαιτῶν. *P.* ἐνεργῶν ἢ ἀπαιτῶν. Θ.

932. μαρτύρομαι : Εἰς μαρτυρίαν τίθημι. Θ. *Dv.* μάρτυρα καλῶ, ἢ διὰ μάρτυρος παραστήσω. *P.*

933. οἴχεται φεύγων : Εἶδε γὰρ αὐτὸν ἀποδυόμενον καὶ ἐφοβήθη, μὴ καὶ αὐτὸς τὰ ὅμοια πάθῃ. Θ. *Dv.* *Vict.* οἴχεται : Ἀπῆλθε. ὃν : Ὄντινα. *P.*

934. ὡς φυγόντος τοῦ μετ' αὐτοῦ μάρτυρος. R.V. περιείλημμαι : Κατὰ κύκλον ἐλήφθην. *P.* κεκράτημαι. Θ. *Dv.*

935. οἶμοι μάλ' αὖθις : Τὸ ἡμιστίχιον ἐξ Ἠλέκτρας Σοφοκλέους [1416] (τὸ οἶμοι μάλ' αὖθις, ὅτε τὴν Κλυταιμνήστραν οἱ περὶ Ὀρέστην φονεύουσιν). R.V. δὸς σὺ : Ὦ παιδάριον. Θ. *Dv.*

936. ἀμφιέσω : Ἐνδύσω. Θ. *P.*

937. ἱερὸν γάρ ἐστιν : Ἱερὸν λέγουσι πᾶν τὸ ἀνατιθέμενον τοῖς θεοῖς. — μὴ δῆθ' : Μηδαμῶς. *Dv.* μὴ ἀμφιέσῃς. *P.*

938. κάλλιον : Κρειττόνως. Θ. κρεῖττον. *Dv.* ἀνατεθήσεται : Ὡς ἀνάθημα κρεμασθήσεται. Θ. *P.*

939. ἢ : Παρό. *P.* τοιχωρύχον : Κλέπτην. *Dv.*

[940. κοσμεῖν : Καλλωπίζειν. *Dv.* καλλύνειν. *D.* σεμνοῖς : Λαμπροῖς. *Dv.* εὐτάκτοις προσήκει κοσμίοις. *Paris.*

941. ἐμβαδίοις : Ὑποδήμασι. *Dv.*

942. ταῦτα : Τὰ ἐμβάδια. αὐτίκα : Συντόμως. *P.*

943. ὥσπερ κοτίνῳ προσπατταλεύσω : Ὅτι ἐπὶ τῶν κοτίνων καὶ ἄλλων δένδρων πανταχοῦ πρὸς τοῖς ἱεροῖς προσπατταλεύουσι τὰ ἀναθήματα. (Ἄλλως. εἰώθασι τοῖς δένδροις κῶλα καὶ κρανία προσπατταλεύειν πρὸς ἀποτροπὴν βασκανίας οἱ γεωργοὶ, πρὸς τὸ μὴ ξηρανθῆναι αὐτά. Ἄλλως. ἔθος ἦν τοὺς θηρῶντάς τινα ἄγραν μέρος τι τοῦ θηρωμένου, ἢ τὴν κεφαλὴν ἢ πόδα, προσηλοῦν πασσάλῳ ἐπί τινος δένδρου εἰς αὐτὴν τὴν ὕλην,) πρὸς τιμὴν τῆς Ἀρτέμιδος. — κοτίνῳ : Ἀγριελαίᾳ. Θ. *Dv.* στεφάνῳ. *P.* προσπατταλεύσω : Προσηλώσω, κρεμάσω. Θ. *Dv.* προσηλώσω, προσκαρφώσω. *P.*

944. ἄπειμι : Ἀπέρχομαι. Θ. ἤγουν ἀπέρχομαι. γινώσκω : Ἤγουν ἐπίσταμαι χείρων ὑπάρχων κατὰ πολύ. *Dv.* *P.*

945. σύζυγον : Βοηθὸν, ἤγουν σύνδρομον. *Dv.* *P.* βοηθὸν, σύμμαχον. Θ.

946. καὶ σύκινον : Ἴσον τῷ ἀσθενέστατον· τὸ γὰρ ξύλον τῆς συκῆς ἀσθενὲς [καὶ χαῦνον· ὅθεν καὶ συκίνη

ἐπικουρία, ἀντὶ τοῦ ἀσθενὴς καὶ ἀνωφελής]. ἢ σύκινον τὸν συκοφάντην κεκαλυμμένως λέγει, ἀπὸ τῆς συκῆς σχηματίσας [τὸ ὄνομα]. — ἐν εἰρωνείᾳ τοῦτο. R. σύκινον : Ἀσθενῆ. *Dv.* ἀσθενῆ, ἀδύνατον. *P.* ἡ μεταφορὰ ἀπὸ τῆς συκῆς, διότι ἔνι ἡ συκῆ ἀνίσχυρος, καὶ θραύεται εὐκόλως. *Dv.* ἰσχυρὸν θεὸν : Τὸν δυνατόν. *Dv.* τὸν Πλοῦτον. *P.*

947. τήμερον : Ἀττικόν. Θ. σήμερον. δοῦναι δίκην : Τιμωρίαν. *Dv.* τιμωρίαν, ἤγουν τιμωρηθῆναι. *P.* τιμωρηθῆναι. Θ.

948. Ὅτι : Διότι. περιφανῶς : Ἤγουν φανερῶς. *Dv.* καταλύει : Ἀφανίζει. περιφανῶς : Ἀριδήλως καὶ φανερῶς. Θ. *P.*

949. οὔτε τὴν βουλὴν πιθὼν : Ἀντὶ τοῦ πείσας. ὅσα δ' ἂν τῇ βουλῇ δόξῃ, ταῦτα ἐπὶ τὸν δῆμον ἀναφέρεται. καὶ ἐκ τῶν ἐναντίων τὰ ὑπὸ τοῦ δήμου ψηφιζόμενα ὑπὸ τῆς βουλῆς κυροῦται. — πιθὼν : Καταπείσας. Θ. *Dv.* πείσας. *P.*

950. τὴν τῶν πολιτῶν : Ἤγουν τοὺς πολίτας ὅλους. *D.* τὴν ἐκκλησίαν : Τοὺς δικαστάς. Θ. *Dv.* τὴν συνάθροισιν τῶν κριτῶν. *P.* ἔθος ἦν ἐν δημοκρατίᾳ ὅταν ψηφίσματα ἐγένετο, δεικνύειν τοῦτον τὴν βουλήν· εἶτα τοὺς κριτάς. *Dv.*

951. ἐπειδὴ τὴν πανοπλίαν : Ἀντὶ τοῦ, ἐπειδὴ ἐγένου κατ' ἐμέ, ὅτε ἤμην πένης. (λόγους δὲ συκοφάντου μιμεῖται.) — τὴν πανοπλίαν : Τὸ ἱμάτιον παίζων. Θ. *Dv.* τὰ ἐνδύματα. *P.* πανοπλία κυρίως ἡ τῶν ὅπλων πάντων διασκευή· ἐνταῦθα δὲ καταχρηστικῶς. Dorv. πανοπλία μὲν ἡ τῶν ὅπλων πάντων παρασκευή, ἐνταῦθα δὲ τὸ ἱμάτιον καταχρηστικῶς λέγει, μᾶλλον δὲ παίζων, ὅτι ἓν εἶχε τοῦτο μόνον ἀντὶ πολλῶν ἄλλων ἱματίων. Vict.

952. ἔχων : Φορῶν. *Dv.* *P.* βαλανεῖον : Λοετρῶν. *Dv.* τρέχε : Συντόμως ἔρχου. *P.*

953. κορυφαῖος : Ἐπεὶ περιίσταντο περὶ τὸ πῦρ, ὥσπερ χορὸς ἐν τοῖς βαλανείοις. (οὐκ ἐξῆν δὲ ξένον χορεύειν ἐν τῷ ἀστικῷ χορῷ· παρὰ τοῦτο πέπαιχεν· ἐν δὲ τῷ Ληναίῳ ἐξῆν· ἐπεὶ καὶ μέτοικοι ἐχορήγουν. κορυφαῖος δὲ ὁ ἐν χόρῳ πρῶτος. [τὸ δὲ θέρου ἀντὶ τοῦ] θερμάνθητι. ὥσπερ ἀνδριὰς ἐπὶ κεφαλήν.) — κορυφαῖος ἑστηκὼς : Πρῶτος ὀρθῶς. θέρου : Ἤγουν θερμαίνου. Θ. *Dv.* *P.*

954. τὴν στάσιν : Τὸ εἶναι κορυφαῖος τὸ βαλανεῖον. *Dv.* τὸ εἶναι ἐμὲ κορυφαῖον καὶ πρῶτον. *P.*

955. ἀλλ' ὁ βαλανεὺς : Λέγουσι γὰρ ὅτι οἱ πολλοὶ ἐλαττοῦσι τὸν ἀέρα τῶν λουτρῶν, εἰς ἑαυτοὺς αὐτὸν ἕλκοντες. — βαλανεὺς : Ὁ τοῦ βαλανείου ἐπιστάτης. ἕλξει : Ἑλκύσει. *P.* θύραζ' : Ἐκτὸς τῆς θύρας. Θ. *Dv.*

956. τῶν ὀρχιπέδων : Τῶν ὄρχεων. R.V. Θ. Τῶν αἰδοίων. *Dv.* ἀπὸ τῶν ὄρχεων. γνώσεται : Γνωρίσει. *P.*

957. τοῦ πονηροῦ κόμματος : Ὡς ἐπὶ νομίσματος εἶπεν, ἀπὸ μεταφορᾶς τῶν νομισμάτων τῶν κακῶς κοπέντων. — πονηροῦ : Ἀδίκου. *P.* τοῦ πονηροῦ κόμματος : Ἤγουν τῆς μερίδος τῆς πονηρᾶς· χαράγματος. *Dv.* τοῦ χαράγματος. Θ. τοῦ λείμματος. *R.*

958. νὼ : Καὶ ἡμεῖς. Θ. ἡμεῖς. εἰσίωμεν : Εἰσέλθωμεν. *Dv.*

959. [ἆρ' ὦ φίλοι γέροντες : Κορωνὶς ἑτέρα ὁμοία. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι πδ', ὧν τελευταῖος

στέφανόν γέ τοι καὶ δᾷδ' ἔχων πορεύεται.

ἐπὶ τῷ τέλει κορωνίς.]

ἆρ' ὦ φίλοι γέροντες : Γραῦς ἐστί (τις), ἥτις [πρώην] ἐμισθώσατο νεανίσκον δίκαιον ἐπὶ τῷ γαμεῖν αὐτήν. οὗτος δὲ πλουτήσας νῦν, ὡς δίκαιος, εἴασεν αὐτήν· διὸ καὶ καταβοᾷ τοῦ Πλούτου. — φίλοι : Προσφιλεῖς. *P.*

960. ἀφίγμεθ' : Ἤλθομεν. *Dv.* ὄντως : Κατ' ἀλήθειαν. *P.* τοῦ νέου τούτου θεοῦ : τοῦ Πλούτου. Θ. *Dv.* τοῦ νεωστὶ φανέντος. Gl.V.

961. τοπαράπαν : Διόλου. *Dv.* παντελῶς *R.V. P.* ἡμαρτήκαμεν : Ἐσφάλημεν, ἠστοχήσαμεν. Θ. *Dv.* ἐξεπέσομεν. *P.*

962. ἀλλ' ἴσθ' : Οὐχ ἡμάρτηκας· γίνωσκε. ἀφιγμένη : Ἐλθοῦσα. Θ. *Dv.* *P.*

(963). ὦ μειρακίσκη : Προσπαίζουσι τῇ πρεσβύτιδι οἱ γέροντες. [καὶ μειρακίσκην μὲν διὰ τὸ τεθρυμμένον τοῦ ὡραϊσμοῦ,] ὡρικῶς γὰρ ἀντὶ τοῦ νεωτερικῶς, ἢ ἀντὶ τοῦ εὐπρεπῶς καὶ κοσμίως, ἢ πιθανῶς ἢ κατὰ καιρόν. — πυνθάνῃ : Ἤγουν ἐρωτᾷς. ὡρικῶς : Νεωτερικῶς. *Dv.* ὡρικῶς : ἀντὶ τοῦ νεωτερικῶς. παίζουσι γὰρ τῇ γραῒ οἱ γέροντες. R. νεωτερικῶς, ἤγουν ὡς πυνθάνονται αἱ ἐν ὥρᾳ οὖσαι γυναῖκες, ἤτοι ἐν ἥβῃ τῆς ἡλικίας. *P. Vict.*

964. φέρε νῦν : Δή. Θ. ἄγε δή. τὸν ἔνδοθεν : Τὸν ἐντός. *Dv.* τῶν ἔνδοθι : Ὑπαρχόντων τῆς οἰκίας. *P.* ἐξερχομένων δηλονότι. Θ.

965. μὴ δῆτ' : Καλέσῃς δηλονότι. *P.* ἐξελήλυθα : Ἐξῆλθον. *Dv.*

966. ὅτι : Διό. Θ. διότι. ἐχρῆν : Ἀντὶ τοῦ χρή. *Dorv.*

967. πέπονθα : Ἔπαθα. *Dv.* ἔπαθον. *P.* δεινὰ : Χαλεπά. παράνομ' : Ἄδικα. *Dv.* τὸ φίλτατε κωμικὸν καὶ γεροντικὸν τὸ πρόσωπον. Θ.

968. ὁ θεὸς οὗτος : Ὁ Πλοῦτος. *Dv.* ἤρξατο βλέπειν : Ἀρχὴν ἐποιήσατο ὁρᾶν. *P.*

969. ἀβίωτον : Κακοβίωτον. *Dv.* οὐ βιώσεως ἄξιον. Θ. *P.* τὸν βίον : Τὴν ζωήν. *Dv.*

970. τί δ' ἐστιν; ἦπου καὶ σὺ συκοφάντρια : Ἐπειδὴ εἶδε τοὺς πονηροὺς τῶν ἀνδρῶν ἀτυχήσαντας βλέψαντος τοῦ Πλούτου, φησὶν ὅτι ἆρα καὶ σὺ ἐν ταῖς γυναιξὶ πονηρὰ εἶ; ὥσπερ δὲ πανδοκεύτρια, οὕτω καὶ συκοφάντρια. — ἦπου : Ὄντως ἆρα. συκοφάντρια : Ἤγουν ψεύτριαν. *Dv.*

971. οἶσθα : Ὑπάρχεις. ἐγὼ μὲν οὔ : Οὐχ ὑπῆρχον. *Dv.* ἤγουν οὐκ εἰμὶ συκοφάντρια. *P.*

972. ἀλλ' οὐ λαχοῦσ' ἔπινες : Παρ' ὑπόνοιαν ἀντὶ τοῦ ἐδίκαζες. (ὅτι δὲ κατὰ γράμματα ἐκληροῦντο,

προείρηται· οὐ μὴν ἀλλὰ καὶ ἐβούλευον οὗτοι τῷ πρὸ τούτου ἔτει ἀρξάμενοι. φησὶ γὰρ Φιλόχορος, ἐπὶ Γλαυκίππου, καὶ ἡ βουλὴ κατὰ γράμμα τότε πρῶτον ἐκαθέζετο· καὶ ἔτι νῦν ὄμνυσιν ἀπ' ἐκείνου καθεδεῖσθαι ἐν τῷ γράμματι ᾧ ἂν λάχωσι. Ἄλλως.) τοῦτο ἀφ' ἑτέρου ἐστὶν ἑρμηνεῦσαι· Ἀθηναῖοι γὰρ ἀπὸ τῶν φυλῶν ἐποίουν τοὺς δικαστὰς κατὰ γράμμα, οἷον ἡ πρώτη τὸ α ἔσχε σημεῖον, καὶ ἡ δευτέρα τὸ β, καὶ αἱ ἄλλαι ὁμοίως ἕως τοῦ κ. [δέκα γὰρ φυλῶν οὐσῶν δέκα ἐγίνοντο δικασταί·] ὁ οὖν λαχὼν τὸ α πρῶτος ἐδίκαζε, καὶ οἱ ἄλλοι ὁμοίως. (Ἄλλως. ὡς ἐπὶ τῶν ῥητόρων· οἱ γὰρ λαχόντες μόνον ῥητορεύουσι· λέγει οὖν ὅτι ἆρα ὁ κλῆρός σου οὐκ ἀνῆλθεν. Ἄλλως. ἐκληροῦντο γὰρ πρὸς τὸ γράμμα καὶ οὕτως ἐδίκαζον. τάχα οὖν σὺ, φησί, λαχοῦσα οὐκ ἐδίκαζες, ἔπινες δὲ διὰ τοῦτο εἶπεν, ἵνα διαβάλλῃ τὰς γυναῖκας ὡς φιλοίνους. ἐρωτηματικῶς οὖν. ἐπειδὴ καὶ γέροντές εἰσιν οἱ δικάζοντες· διὸ εἶπε πρὸς τὴν γραῦν, « ἀλλ' οὐ λαχοῦσ' ἔπινες ἐν τῷ γράμματι. ») — ὑβρίζει αὐτήν. *Dv.* λαχοῦσ' : Κληρωθεῖσα. ἔπινες : Ἐδίκαζες. γρ. δικαστηρίῳ. *P.* κληρωσαμένη, ἐν τῷ δικαστηρίῳ. Θ. δέον εἰπεῖν, ἀλλ' οὐ λαχοῦσ' ἔκρινες ἐν τῷ γράμματι, ὡς ἔμπροσθεν τὴν ἱστορίαν εἴπομεν εἰς τὸ [277] « ἐν τῇ σορῷ νυνὶ λαχὸν τὸ γράμμα σου. » ὁ δὲ διαβάλλων αὐτὴν ὡς μέθυσον, φησίν· « ἀλλ' οὐ λαχοῦσ' ἔπινες ἐν τῷ γράμματι. » Br. παρ' ὑπόνοιαν. οὕτω γὰρ ὤφειλεν εἰπεῖν· ἆρα οὐ κληρωθεῖσα ἐν τῷ γράμματι ἐδίκαζες; ὁ δὲ τὸ τῶν γυναικῶν φίλοινον σκῶψαι θέλων ἔπινες φησί. P.

973. ἐγὼ δὲ κατακέκν. : Ὑπὸ ἔρωτος πάσχω. Θ. *Dv.* ἐρωτικῶς λελύπημαι. *P.* δειλάκρα : ἡ ἄκρως ἀθλία. *V.* Θ. *Dv.* ἀθλία. *P*

974. τὸν κνισμὸν τίνα : (Ἀντὶ τοῦ κατακνισμόν. ἐπίτηδες δὲ) ὡς καπρῶσαν σκώπτει τὴν γραῦν. (Ἄλλως. κνισμός ἐστι κυρίως ἡ πρὸς τὴν μίξιν βακχεία καὶ πύρωσις. ἐνταῦθα οὖν κατακέκνισμαι, ἀντὶ τοῦ ὑπ' ἔρωτος πάσχω.) — οὐκοῦν ἐρεῖς : Λέγεις. ἀνύσασα : Τελειώσασα. *Dv.* τελέσασα, σπεύσασα. Θ. ἐρεῖς ἀνύσασα : Εἴποις σπουδάσασα. *P.* τίνα : Κατακέκνισαι. Θ *Dv. P.*

975. νῦν : Δή. Θ. νῦν : Λοιπόν. φίλον : Ἠγαπημένον. *Dv.*

976. πενιχρὸν : Πτωχόν. εὐπρόσωπον : Ὡραῖον. *Dv. P.* ὡραῖον. Θ. ἄλλως : Κατ' ἄλλον τρόπον. *P.*

977. χρηστὸν : Ἀγαθόν. τοῦ : Τίνος. (καὶ τίνος. Θ.) δεηθείην ἐγὼ : Εἰς χρείας ἦλθον χρήζων ἐγώ. *Dv.* ἐδεήθην. Θ. *P.*

978. κοσμίως : Εὐτάκτως. καλῶς : Ἤγουν πρεπόντως. *Dv.*

979. ὑπηρέτουν : Ἐδίδουν. *P.*

980. ὅτι : Διότι. ἐδεῖθ' : Ἔχρηζε. ἑκάστοτε : Πάντοτε. *Dv.*

981. ἐκνομίως : Ἀντὶ τοῦ ὑπερφυῶς, ὑπερβαλλόντως, μεγάλως. (κυρίως δὲ τὸ ὑπὲρ τὸ νενομισμένον.) — οὐ πολλὰ : Ὑπηρέτουν αὐτῷ. *Dv.* ἐδεῖτο δηλονότι. *P.* ἐκνομίως : Ὑπερφυῶς καὶ πέρα τῆς συνηθείας. Θ. ὑπερφυῶς, ἐπέκεινα νόμου. *Dv.* ὑπερβαλλόντως, ὑπερφυῶς, ὑπὲρ τὸ νενομισμένον. ἠσχύνετο : Εὐλαβεῖτο. *Paris.*

982. ἤτησ' : Ἐζήτησεν ἐμέ. *Dv.* τὸ εἰκοσιν Ἀττικὸ μετὰ τοῦ ν. V.

983. εἰς ἱμ. : Χάριν. εἰς ὑποδήματα : Ἤγουν χάριν ἀγορᾶς. *Dv.*

984. [ὅτι] τὸ ἀγοράσαι νῦν συνήθως ἡμῖν φησιν ἀντὶ τοῦ ὠνήσασθαι. R. V. Θ.

985. ἐκέλευσε : Εἶπεν ἐμέ. θοιματίδιον : Μικρὸν εἱμάτιον. *Dv.*

986. πυρῶν : Σίτου. Θ. ἐδεήθη : Εἰς χρείας ἦλθεν. μεδίμνων : Μοδίων. *Dv.* μοδίων τεττάρων. πάντα ταῦτα παρεῖχον. Θ. *P.*

987. οὐ πολλὰ : Εἰρωνικῶς φησι παίζων· πολλὰ γὰρ κατέλεξεν. R. V. εἰρωνικὸς ὁ λόγος. Θ. *Dv.*

988. ἠσχύνετο : Ἐδεῖτο. *Dv.*

989. οὐχ ἕνεκεν μισητίας : [Πορνείας, οἱονεὶ μισγητίας, παρὰ τὸ μίσγεσθαι.] καὶ ἐν τούτοις μισητίαν φησὶ τὸ εἰς τὰς συνουσίας εὐεπίφορον. οὐχ ἕνεκα, φησί, τοῦ ὑπηρετεῖν μου τῇ ἀσελγείᾳ. — μισγοτίας : Μίξεως, συναφείας. *Dv.* μισητίας : Μίξεως, συναφείας, ἀπὸ τοῦ μίσγω δὲ μισγητία καὶ μισητία. Θ. πορνείας, μίξεως. *P. Br.*

990. αἰτεῖν : Ζητεῖν. ἔφασκεν : Ἔλεγεν. *Dv.*

991. οὕτω μεμνῆτο ὡς Ἡρωδιανός φησιν ἐν τῇ τῆς Ὁμηρικῆς προσῳδίας. τοῦτο δὲ ἐν εἰρωνείᾳ καὶ χλευῇ. V. μεμνῆτο : Ἐνθυμοῖτο. *Dv.*

992. ἐρῶντ' : Ἐπιθυμοῦντα. Θ. ἐκνομιώτατα : ἀντὶ τοῦ σφοδρῶς. R. V. ὑπερφυῶς, ὑπὲρ τὸ νενομισμένον Θ. *Dv.*

993. ὁ βδελυρὸς : Ὁ αἰσχρός. Θ. *Dv.* μυσαρός. *P.* ἔτι : Εἰς τὸ ἑξῆς. *Dv.* νοῦν : Σκοπόν. *P.*

994. μεθέστηκεν : Μετεβλήθη. Θ. *Dv.* μεταβέβληται. μεθιστῶ τὸ μετάγω. *P.* μετετέθη τῆς διαθέσεως μετηλλάγη. *Br.*

995. [τουτονὶ : Εἰκότως εἶπε τουτονί. ἔφερε γὰρ ἐν ταῖς χερσὶν διὰ τὸ πέμψαι μὲν αὐτὴν ἐκείνῳ, μὴ δέξασθαι δὲ αὐτὸν, ἀλλ' ἀποπέμψαι πάλιν αὐτῇ.]

996. ταπὶ τοῦ πίνακος : Ἐντὸς τοῦ πίνακος. *Dv.* σανὶς ζωγραφουμένη. πίναξ τὸ ἄκος τῆς πείνης, ἤγουν ὁ θεραπεύων τὴν πείναν διὰ τῶν ἐν αὐτῷ βρωμάτων. Θ. Vict.

997. ἐνόντα : Ἐνυπάρχοντα. ὑπειπούσης : Κρυφίως μηνυσάσης. Θ. *Dv.* οἱ μὲν ἀντὶ τοῦ εἰπούσης, οἱ δὲ ἠρέμα φθεγξαμένης, ὃ καὶ ἄμεινον. R. V.

998. ἔδρασ' : Ἐποίησεν. *Dv.*

999. ἄμητά τε προσέπεμψεν : Εἶδος πλακοῦντος γαλακτώδους. οὐ μόνον ὅτι οὐκ ἐδέξατο τὰ δῶρά μου, ἀλλὰ καὶ οἴκοθεν ἐπεμψέ μοι ἄλλο πλακούντιον, (ὡσανεὶ λέγων μηκέτι πατῆσαι ἐκεῖ με.) — ἄμητα : Τὴν λεγομένην ἰδιωτικῶς φλεψίαν. εἶχε γὰρ αὐτὸν ἐν ταῖς χερσί. Θ. *Dv.* τὰ κοινῶς ταρχανά. *Dv.*

1000. ἐφ' ᾧ τ' ἐκεῖσε : Ἐπὶ τῷ ἐκεῖ. Θ· *Dv.*

1001. πρὸς ἐπὶ τούτοις : Ἐκ παραλλήλου. ἀποπέμπων : Τὴν πρὸς ἐμὲ ἀποδιώκων συνήθειαν. Θ. *Dv.* εἰς τοὐπίσω πέμπων. *P.*

1002. πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι : Τινές φασιν, ὅτι ἐν τοῖς παλαιοῖς χρόνοις ἰσχυρότατοι ἦσαν οἱ Μιλήσιοι καὶ ὅπου προσετίθεντο πάντως ἐνίκων. Πολυκράτης οὖν ὁ Σάμιος συγκροτῶν πόλεμον πρός τινας ἠθέλησεν αὐτοὺς λαβεῖν εἰς συμμαχίαν, καὶ εἰς τὸ μαντεῖον ἀπῆλθεν ἐρωτήσων περὶ τούτου· ὁ δὲ θεὸς ἔχρησεν

ἦσαν πότ' ἦσαν ἄλκιμοι Μιλήσιοι.

(Ἄλλως. περὶ τῆς παροιμίας ταύτης Δήμων οὕτω φησὶ « τῶν Καρῶν περὶ τοῦ πολέμου πρὸς τοὺς Ἀμπρακιώ- « τας βουλευσαμένων, ἀλκιμωτάτους ὄντας τῶν ἐν πο- « λέμῳ γειτόνων, τίνας χρὴ ποιεῖσθαι συμμάχους, οἱ « μὲν τοὺς Μιλησίους ἠγοῦντο δεῖν παρακαλεῖν· καὶ « γὰρ εὐημέρουν [τότε] μάλιστα τῶν περιοίκων καὶ « [διὰ τὸ] γειτνιᾶν τῇ Καρίᾳ τὴν τούτων χώραν· οἱ δὲ « διαλύσασθαι πρὸς τοὺς Πέρσας συνεβούλευον, τὴν « τούτων ἀρχὴν μεγίστην γεγονέναι φάσκοντες καὶ πάν- « των ἀλκιμωτάτους εἶναι κρατοῦντας τῆς Ἀσίας. ἔδο- « ξεν [οὖν] τοῖς Καρσὶν ἐρωτῆσαι τὸν Ἀπόλλωνα πότε- « ρον τὸν χρησμὸν ὀρθῶς ἐκλαμβάνουσι. τὸν δὲ θεὸν « ἀποκρίνασθαι

πάλαι πότ' ἦσαν ἄλκιμοι Μιλήσιοι.

« τοῦ δὲ χρησμοῦ διαδοθέντος εἰς τὰς Ἀσιάτιδας πό- « λεις, οἱ μὲν Μιλήσιοι τὴν προφῆτιν αἰτιασάμενοι « διεφθάρθαι χρήμασιν ὑπὸ τῶν μηδιζόντων πανδημεὶ « τοῖς Καρσὶ βοηθήσαντες, καὶ τοῖς Πέρσαις μετ' ἐκεί- « νων συμβαλόντες, σχεδὸν ἅπαντες ἀπέθανον. τὸν δὲ « χρησμὸν διὰ τὴν ἀλήθειαν εἰς παροιμίαν ἐλθεῖν φασι». Ἄλλως. ἰσχυροί ποτ' ἦσαν οἱ Μιλήσιοι, [ὡς] καὶ Ἀνακρέων φησί. πολεμουμένους γὰρ Κᾶρας ὑπὸ Δαρείου τοῦ Ὑστάσπου, τοῦτον λαβεῖν τὸν χρησμὸν, πυνθανομένους εἰ προσλάβοιεν [συμμάχους] τοὺς Μιλησίους. ὁ δὲ νοῦς τοῦ λεγομένου τοιοῦτος,) ἀντὶ τοῦ πάλαι συνῆν σοι, νῦν δὲ οὔ. εἴρηται δὲ ἡ παροιμία ἐπὶ τῶν πρότερον μὲν εὐδαιμονούντων νῦν δὲ ἀτυχούντων. — ἄλκιμοι : Ἰσχυροί. Θ. *Dv.* οἱ Μιλήσιοι πάλαι ἐπ' ἀνδρίᾳ θαυμαζόμενοι, καὶ σύμμαχοι τοῖς βουλομένοις ἐγίγνοντο. ἐλθόντες οὖν τινὲς εἰς τὸν Ἀπόλλωνα, καὶ πυνθανόμενοι αὐτοῦ, εἰ δέῃ Μιλησίους συμμάχους λαβεῖν, χρησμὸν ἔλαβον, ὅτι « πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι· » ἐπεκράτησε δὲ τοῦτο εἰς παροιμίαν. Dv.

1003. δῆλον : Φανερόν. μοχθηρὸς : Ἤγουν κακότροπος. *Dv.*

1004. [ᾄδεται φακῇ : Εἰκότως παρεικάζει φακῇ τὴν γραῦν διά τε τὸ τοῦ ὀσπρίου χαῦνον· τοιαῦται γὰρ καὶ αἱ γρᾶες· καὶ διὰ τὸ ἐσθίειν φακῆν τὰς γραῦς οὐκ ἐχούσας ὀδόντας.] — ἔπειτα : Μετὰ ταῦτα. *Dv.* πλουτῶν : Πλοῦτον ἔχων. *P.* ᾄδεται : Εὐφραίνεται. *Dv.* φακῇ : Ἐσθίων. *P.*

1005. πρὸ τοῦ : Πρότερον, πρῶτον. κατήσθιεν : Ἔτρωγεν. *Dv.*

1006. ὀσημέραι : Πάντοτε. νὴ τὼ θεὼ : Τοὺς θεούς. Θ. τὸν Ἔρωτα καὶ τὴν Ἀφροδίτην. *Dv.*

1008. ἐπ' ἐκφορᾷ : πρὸς τὸ ἐκφέρειν καὶ λαβεῖν. ῆ. V. ἦγουν ἐπ' ἐξαγωγῇ τινος πράγματος. *Dv.* τοῦ ἐξαγαγεῖν σε ὡς νεκράν. *P.* ἐκφοράν : Ἐνταφιασμόν. *Br.*

1009. ἐρῶν : Οὐ τῆς φωνῆς σου ἐρῶν ἀκοῦσαι ἤρχετο. Θ. ἐπιθυμῶν. λαβεῖν : Μᾶλλον ἕνεκα. *P.*

1010. αἴσθοιτο : Νοήσειε. *Dv.*

1011. νιτάριον καὶ βάτιον : εἴδη φυτῶν εἰσι τό τε νιτάριον καὶ ὁ βάτος. θέλει δὲ εἰπεῖν ὅτι ὡς ἄνθη με εἶχε. (Σύμμαχος δέ φησιν ὅτι Νιτάριος ἐπὶ μαλακίᾳ διαβάλλεται καὶ ἐν τοῖς ἑξῆς δράμασιν, ὁμοίως καὶ ὁ Βάτος. καὶ τὰς μικρὰς δὲ θηλείας βατύλας ἔλεγον. καὶ Θεοπόμπου δρᾶμά ἐστι Βατύλη. [Δίδυμος δέ φησιν ὑποκορίσματα πρὸς γυναῖκας· νιτάριον δὲ, νεόττιον, οἱονεὶ κοράσιον.] Ἄλλως. φιλοφρονητικὴ ἡ προσφώνησις. Νιτάριος δὲ πορνοβοσκὸς ἐγένετο. Ἄλλως. Νιτάριος τῶν ἐπὶ μαλακίᾳ σκωπτομένων. τὸ δὲ βᾶτον ἐκτεταμένως εἴρηται παρὰ τὸ βάταλον τὴν ἔδραν, τὸ δὲ συνεσταλμένως ἀναγινώσκειν ἀνόητον. ἢ δύναται βᾶτον ἀντὶ τοῦ τρυφερὸν καὶ μαλακὸν, οἷος ὁ βάτος τὸ ἰχθύδιον.) — Νίταρος καὶ Βάτος ἄνδρες ἦσαν θηλυπρεπεῖς καὶ ὡραῖοι· παρήκαζεν οὖν αὐτὴν τούτοις ὑποκοριζόμενος· ἄλλοι δὲ νιτάριον καὶ βάτιον φασὶν εἴδη ἀνθέων, ἵνα λέγοι, ὡς ἄνθη με εἶχεν καὶ ἐκολάκευεν. Dv. νιττάριον καὶ βάτιον εἶδος φυτῶν. θέλει οὖν εἰπεῖν, ὅτι ἄνθη με εἶχεν, ἀντὶ τοῦ οὖν τοῦτο ἢ μετὰ τὸ εἰπεῖν λέγει νιττάριον καὶ βάτιον ἤγουν ὥσπερ ταῦτα τὰ ἄνθη, ἃ καλοῦσι νιτάριον καὶ βάτιον. P. ὑπεκορίζετο : Ὑποκοριστικῶς ἐκολάκευεν. Θ. ὑποκοριστικῶς ἔλεγε. *Dv.* ὑποκοριστικῶς ἐλάλει. *P.*

1012. ᾔτησ' : Ἐζήτησεν. *Dv. P.*

1013. μυστηρίοις τοῖς μεγάλοις : Ἐπεί ἐστι καὶ μικρὰ μυστήρια γινόμενα δι' Ἡρακλέα. Ἡρακλῆς γὰρ ἐπιστὰς ἠξίου μυεῖσθαι. ἔθος δὲ ἦν τοῖς Ἀθηναίοις ξένον μὴ μυεῖν· μὴ βουλόμενοι οὖν λῦσαι τὸ ἔθος μηδὲ ἀπῶσαι τὸν εὐεργέτην [Ἡρακλέα], ἐπενόησαν μικρὰ μυστήρια εὐμετάδοτα.

[ὀχουμένην : Ὄχος ποιητικῶς τὸ ἅρμα τὸ ἐκ τῆς ἁμάξης κατεσκευασμένον, καὶ ὑπὸ τῶν ἵππων κινούμενον καὶ ὀχούμενον· καὶ ὀχοῦμαι τὸ ἐπὶ ἅρματος τοιούτου φέρομαι.] — ὀχουμένην : Ἐπικαθημένην, φερομένην. Θ. καθημένην. (πορευομένην Dv.) *Dv. P.*

1014. [ἐπὶ τῆς ἁμάξης : Αἱ γὰρ τῶν Ἀθηναίων γυναῖκες ἐπὶ ἁμαξῶν ὀχούμεναι εἰς τὰ μεγάλα Ἐλευσίνια ἀπήρχοντο. ὡς ἐπὶ ἁμαξῶν οὖν ὀχουμένων αὐτῶν, ἐπὰν εἰς Ἐλευσῖνα βαδίζωσιν εἰς τὰ μεγάλα μυστήρια, καὶ λοιδορουσῶν ἀλλήλας ἐν τῇ ὁδῷ τοῦτο εἶπεν· ἔθος γὰρ ἦν αὐταῖς τοῦτο.] — ἐπὶ : Ἐπάνω. ὅτι · Διότι ἔβλ. πρὸς ἐμέ. *P.* προσέβλεψε : Ἔνευσεν, ἐθέασεν. *Dv.*

1015. ἐτυπτόμην : Ἐδερόμην. *Dv.* διὰ τοῦθ' : Διὰ τὸ προσβλέψαι. δλην : Δι' δλην. *P.*

1017. Ἐν τῇ οἰκείᾳ διαγράφεται δηλονότι. V. μόνος : Μεμονωμένος. *P.* ἥδεθ' : Εὐφραίνεται. ὡς ἔοικεν : Ὡς φαίνεται. ἐσθίων : Ἀναλίσκων τὰ σά. *Dv.*

1018. παγκάλους : Ἐπιτηδείους. *Dv.* ὡραίας καὶ ἡδεῖς. *P.*

1019. προτείνοιεν : Αὐτῷ. Θ. δώσει ἐν αὐτῷ. *Dv.* παράσχοιεν. *P.* δραχμὰς : Νομίσματα. Θ. νομίσμασιν. *Dv.*

1020. ὄζειν : ἀντὶ τοῦ ὀσμὴν ἡδεῖαν ἔλεγεν εἶναι ἀπὸ τοῦ σώματός μου. R. V. ἀπὸ τῆς χρόας ἔλεγε γλυκύ. ἐλέγετο ὄζειν τῆς χρόας ἐμοῦ ἡδύ, ἀντὶ τοῦ ἐκ τῆς χρόας ὀσμὴν ἡδεῖαν ἀποπέμπεσθαι, ἤτοι ἡδυτάτην εἶναι τὴν ἀπὸ τοῦ σώματός μου ὀσμὴν φερομένην. *P.* ὄζειν δὲ τὰς χρόας ἔφασκεν ἡδύ μου : Ὀσμὴν ἐξιέναι ἀπὸ τοῦ σώματος. *C.* ὀδμὴν εὐώδη πέμπειν. Θ.

1021. εἰ Θάσιον ἐνέχεις : Ἐκεῖ γὰρ ἐν Θάσῳ ᾤκει Στάφυλος ὁ ἐρώμενος τοῦ Διονύσου· διαφέρει γὰρ ὁ Θάσιος οἶνος. τὸ δὲ ἐνέχεις ἀντὶ τοῦ ἐκίρνας. — Θάσιον : Οἶνον δηλ. ἐνέχεις : Ἐκίρνας. Θ. *Dv. P.* εἰκότως : Ἐποίει τοῦτο. Θ. ἔλεγε τοῦτο. *Dv.*

1022. μαλακὸν καὶ καλόν : Ἥπιον καὶ χαρίεν. Θ. *Dv.* ἥμερον καὶ ὡραῖον. *P.*

1023. σκαιὸς : Ἀπαίδευτος, μωρὸς, ἀνόητος. *P.* ἠπίστατο : Ἐγίνωσκε. *Dv.*

1024. [γραὸς καπρώσης τἀφόδια : Ἐρωτομανοῦς, μαχλώσης, ὀρεγομένης συνουσίας τὰ ἀναλώματα, τὴν οὐσίαν. ἔφοδος θηλυκῶς, ἡ ἐπέλευσις τινός· ἐφόδιον δὲ οὐδετέρως, καὶ ἐφόδια πληθυντικῶς, τὰ ἐν τῇ ὁδῷ κυρίως γινόμενα ἀναλώματα. ἐνταῦθα δὲ ἁπλῶς λέγει τὰ ἀναλώματα.] — καπρώσης : Ἐρωτομανοῦς. Θ. *Dv.* μαινομένης, συνουσίας ὀρεγομένης. *P.* τἀφόδια : Τὰ ἀναλώματα· *Dv.* τὰ ἀναλώματα τὰ περὶ τὴν οὐσίαν. *P.* ἐφόδια λέγονται κυρίως ἃ ἔχει τις εἰς δαπάνην ἐν τῇ ὁδῷ· νῦν δὲ καταχρηστικῶς τὰ περιόντα αὐτῆς πράγματα· ἐποίησε δὲ τοῦτο, ἵνα διὰ τῆς συναλοιφῆς καὶ τὰ πράγματα, καὶ τὰ κόπρια νοῶνται. Dv. ἐφόδια λέγονται τὰ κατὰ τὴν ὁδὸν συντείνοντα. P. κατεσθίειν : Δαπανᾶν. *Dv*

1025. τὸ ὦ φίλ' ἄνερ σκωπτικῶς κατὰ τῆς γραός. *P.*

1026. φάσκων βοηθεῖν : Καίπερ λέγων βοηθεῖν τοῖς ἀδικουμένοις, τοὐναντίον ποιεῖ, ἐκείνου τοῦ ἀδικοῦντός με προϊστάμενος. [ἐπειδὴ τοῖς δικαίοις, ὡς ἀδικουμένοις, προσεκλίθη.] — καίπερ αὐτὸς λέγων. *Dv.*

1027. ποιήσει : Ὁ Πλοῦτος δηλ. *P.* πεπράξεται : Πραχθήσεται. *Dv.* μετ' ὀλίγον πραχθήσεται. *P.*

1028. ἀναγκάσαι : Βιάσασθαι, διεγεῖραι. *P.* ἀναγκάζομαι, βιάζομαι. τὸ μὲν λέγεται ἐπὶ ἐμψύχων, τὸ δὲ, ἤγουν τὸ βιάζομαι, ἐπὶ ἀψύχων. ἔστι δ' ὅτε θάτερον ἀντὶ θατέρου λαμβάνεται. P. νὴ : Μά. *Dv.*

1029. εὖ παθόνθ' : Εὐεργετηθέντα. *P.*

1030. ἢ μηδοτιοῦν δίκαιον : Ἢ δίκαιόν ἐστι μηδ' ὁτιοῦν ἀγαθὸν ἔχειν τὸν νεανίσκον. — δηλονότι ἄλλους πένεσθαι. Θ. ἢ μηδ' ὁτιοῦν : Ἤγουν εἰ μὴ ἀντευποιήσει, οὐδὲ ἓν κτλ. ἀγαθόν ἐστ' ἔχειν : Ἤγουν εὐεργετηθῆναι ὑπὸ τοῦ θεοῦ. *P.* ἐλλείπει ἐχρῆν. *R.*

1031. οὐκοῦν : Τὸ λοιπόν. ἀπεδίδου : Τοὺς μισθούς. *Dv.*

1032. ἐκείνη μὲν τὸ καταλιπεῖν ἔφη ὅτι οὐδέποτέ με ἔλεγεν ἀφήσειν, ὁ δὲ χορὸς τὸ ἀπολαβεῖν ἔπαιξεν. V. ὀρθῶς γε : Ἀληθῶς λέγεις. (γάρ. Θ.) οἴεται : Νομίζει. Θ. *Dv.*

1034. ἄλγους : Τῆς λύπης. κατατέτηκ' : Λέλυμαι, ἰσχνὴ γέγονα. *Dv.* ἀντὶ τοῦ ἠφανίσθην. *P.*

1035. ἀλλὰ κατασέσηπας : Ὡς καταπεπονημένης αὐτῆς ὑπὸ τοῦ γήρως καὶ τοῦ χρόνου καὶ τῆς λύπης. γελοίου χάριν οὐ κατατέτηκας εἶπεν, ἀλλὰ κατασέσηπας. — οὐκ : Ἤγουν οὐ κατατέτηκας. *P.*

1036. διελκύσαις : Διαβιβάσαις. *Dv.* οὕτω λεπτή εἰμι. R.

1037. ὧν τηλία : (Κοσκίνου κύκλος, ἢ σανὶς πλατεῖα, ἐφ' ἧς ἀλφιτοπωλοῦσιν. ἐν δὲ τῷ ὑπομνήματι οὕτως· τοῦτο τί ἐστιν οὐκ οἶδα· ὅτι δὲ συμβάλλεται πρὸς τὸ ἐν Μαρικᾷ Εὐπόλιδος, οἶδα· κἀκεῖ γὰρ τὴν Ὑπερβόλου μητέρα τηλίᾳ εἰκάζει τῇ πλατείᾳ σανίδι· τινὲς δὲ τηλίαν ξύλον φασὶ πλατὺ, εἰς ὃ τιθέασιν οἱ ἀρτοκόποι τοὺς ἄρτους ἐπὶ τῷ ξηραίνεσθαι. ἄλλοι δὲ τηλίαν τὸ τῆς καπνοδόχης πῶμα, ὅ ἐστι περιφερές. φησὶν οὖν ὅτι διὰ δακτυλίου ἑλκυσθείης, ἐὰν ᾖ ὁ δακτύλιος τηλία. τοῦτο δὲ ὡς παχείας αὐτῆς οὔσης καὶ μὴ δυναμένης διὰ δακτυλίου ἑλκυσθῆναι, ἀλλὰ τηλίας. Ἄλλως. τηλία τὸ πλατὺ ξύλον εἴτε μακρὸν εἴτε ἄλλο τι ἐφ' ἧς ἀλφιτα πωλοῦσι. ἔχει δὲ καθ' ἑαυτὸ ἄπορον· ἐὰν δὲ καὶ τὸ ἐν Μαρικᾷ προσέλθῃ, ἔνθα εἰς τηλίαν φησὶ τὰ τοῦ Ὑπερβόλου ὀστᾶ ἐμβεβλῆσθαι, ἀπορώτερον ἔσται· ζητητέον οὖν.) τηλία μὲν γάρ ἐστιν ἡ ἀτρύπητος σανίς· ἐὰν δὲ τρυπηθῇ, ἀψὶς γίνεται. λέγει οὖν, εἰ μὴ ὁ δακτύλιος τοσοῦτον ἔχει τρύπημα, ὡς δοκεῖν εἶναι τηλία, (οὐκ ἂν διέλθοις. Ἄλλως.) σανὶς ἡ λεγομένη κάρδοπος· τηλία δὲ ἡ σηλία, ὥσπερ τὸ σήμερον τήμερον. καὶ δὴ καὶ ἰδίως ἐκαλεῖτο τηλία περίφραγμα σανίδων ἐν τῇ ἀγορᾷ, ἐν ᾧ ἄλφιτα ἐπιπράσκοντο· καὶ οἱ ὀρτυγοτρόφοι τοὺς ὄρτυγας συνέβαλλον ἐν τούτῳ. — εἰ τυγχάνει : Ναὶ, διελκύσει σέ τις δηλ. *P.* ὁ δακτύλιος : Ὁ γύρος. τηλία : Κοσκινόγυρος. *Dv. D. P.* κοσκίνου κύκλος. *C.* κύκλος κοσκίνου. *V.*

1038. (καὶ μὴν τὸ μειράκιον : Πρόσεισιν ὁ παῖς στεφάνους κομίζων τῷ Πλούτῳ διὰ τὸ πεπλουτηκέναι.)

1039. οὗπερ : Οὗτινος. πάλαι : Πρὸ ὀλίγου. *Dv.*

1040. ἔοικε : Φαίνεται. κῶμον : Μέθην. *Dv.* τὸ ἐπὶ κῶμον βαδίζειν, ἀντὶ τοῦ ἐπὶ μέθην· ὁ γὰρ μεθύων ἐπὶ μέθην βαδίζει αὐτῷ τῷ μεθύειν· καὶ οὐκ ἔστιν ἡ βάδισις αὐτοῦ οὐχ ἕτερον ἢ μέθη. Dv. ἐπὶ κῶμον : Μετὰ μέθην. *P.*

1041. ἔχων : Κρατῶν, φορῶν. *Dv.* πορεύεται : Βαδίζει. *P.*

1042. [ἀσπάζομαι : Κορωνὶς ἑτέρα ὁμοία. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι πεντήκοντα ἓξ, ὧν τελευταῖος

ὥσπερ λεπὰς, τῷ μειρακίῳ προσίσχεται.

μετὰ δε τὸν δέκατον στίχον, κῶλον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον. ἔστι δὲ βραχυκατάληκτον, ὡς εἴρηται, τὸ λειπόμενον ὅλου ποδὸς πρὸς ἀπαρτισμὸν τῆς συζυγίας τῶν ποδῶν, ἢ τοῦ μονομέτρου τυχὸν ἢ τοῦ διμέτρου. ἐπὶ τῷ τέλει κορωνὶς, καὶ ἑξῆς τὸ χοροῦ αὖθις. ἐχρῆν γὰρ κἀνταῦθα θεῖναι χορὸν εἰσιόντων ἐντὸς τῶν ὑποκριτῶν, ἄχρις ἄν τις ἕτερος ἐπέλθοι ὑποκριτής.]

(ἀσπάζομαι : Ὡς διὰ χρόνου αὐτὴν ἀσπαζόμενος φησί. μεθύων δὲ οὐ λέγει χαῖρε, ἀλλ' ἀσπάζομαι. ἡ δὲ διὰ τὸ ἄτοπον [δοκοῦν] τῆς προσρήσεως ἐρωτᾷ, τί φησιν.)

ἀσπάζομαι : Προσφθέγγομαι. Dv. χαιρετῶ. *P.* ὡς διὰ χρόνου ἰδὼν αὐτὴν, ἀσπάζομαι φησὶ, καὶ οὐ χαῖρε· ἡ δὲ διὰ τὸ ἄτοπον δοκοῦν τῆς προσρήσεως ἐρωτᾷ τί φησί· « τάλαιν' ἐγὼ τῆς ὕβρεως ἧς ὑβρίζομαι. » LB. διὰ τοῦ ἀρχαία ὡς γραῦν (αὐτὴν) σκώπτει. R.V. τὸ ἀρχαία τὴν γραῦν σκώπτει. ὥσπερ ἀπὸ τοῦ αἴτιος αἰτίου αἰτία, καὶ ἀπὸ τοῦ εὔδιος εὐδίου εὐδία, οὕτω καὶ ἀπὸ τοῦ πολιός πολιοῦ πολιά. πολιὸς ἦν ἀνὴρ, ὁ τὴν πολιὰν ἔχων, ἤτοι ὁ γηραιός. καὶ πολιὰ θρὶξ ἀπὸ τούτου ἡ λευκή. P.

1043. πολιὰ : Λευκὴ τὴν τρίχα. Θ. πεπολιωμένη. ταχὺ : Ταχέως. *Dv.* νὴ τὸν οὐρανόν : Διὰ τὸ καὶ τὸν οὐρανὸν λευκὸν φαίνεσθαι πολλάκις. Θ.

1044. τάλαινα : Ἀθλία. *Dv.*

1045. ἔοικε : Ἐπεὶ τοιαῦτά σοι λέγει. Θ. φαίνεται ὁ νεανίας. ἑωρακέναι : Θεάσασθαι. *Dv.* διὰ τοῦ ο μικροῦ τὸ ἑορακέναι διὰ τὸ μέτρον. R.

1046. ἐπεὶ μετὰ ταύτης παλαιᾶς οὔσης πρότερον συνδιῆγεν. V.

1047. πολλοῖς : Μεθύσοις. *P.*

1048. μεθύων γὰρ, ὡς ἔοικεν, ὀξύτερον βλέπει : Οἱ γὰρ μεθύοντες οὐχ ὁρῶσι. παίζει οὖν, ὅτι ὀξέως ἐθεάσατο τὰς πολιὰς αὐτῆς ὁ νέος, ἀμαυροῦσθαι ὀφείλων τὴν ὄψιν ἐκ τῆς μέθης. μεθύων δέ φησιν, ἐπεὶ καὶ ἐπὶ κῶμον ἀπῆει, ὡς ἔφη. [τοὐναντίον δὲ, εἶπε, τοῖς ἄλλοις πέπονθεν, ἐπειδὴ νήφων οὐκ ἔγνω, ἀλλὰ μεθύων, γραῦν οὖσαν.] — εἰκότως φησὶ τοῦτο οὕτω προσιόντα τὸν νέον ἰδών· οἱ γὰρ μεθύοντες μάλιστα οὐχ ὁρῶσι. παίζει οὖν, ὅτι ταχέως ἐθεάσατο τὰς πεπολιωμένας αὐτῆς τρίχας ὁ νέος ἀμαυροῦσθαι ὀφείλων τὴν ὄψιν ὑπὸ τῆς μέθης. μεθύων δὲ ἔφη, ἐπεὶ καὶ ἐπὶ κῶμον βαδίζειν ἀνωτέρω εἴρηκεν. LB. ὀξύτερον : Διορατικώτερον. *Dv.* καθαρώτερον. *P.*

1049. ἀκόλαστος : Ἀσελγής. Θ. αἰσχρὸς, ἀναίσχυντος. *LB.* οὐκ ἔστιν ὅτι ἀπαίδευτος. *Dv.* ἀπαίδευτος. *P.* κολάσεως ἄξιος. R.

1050. θεοὶ πρεσβυτικοὶ : Οἱ τοῖς πρεσβύταις ἐφιστάμενοι θεοί· ἐπεὶ καὶ ὁ Ποσειδῶν τῶν πρεσβυτέρων ἐστὶ θεῶν, (καὶ οὐχ ὅμοιός ἐστι Διονύσῳ ἢ Ἀπόλλωνι. τὸ δὲ) Ποντοπόσειδον ἢ ὦ πόντιε Πόσειδον ἢ μεταφορικῶς ἀπὸ τοῦ πόντου, ἀντὶ τοῦ ὦ μέγιστε Πόσειδον. (καὶ Σώφρων γάρ φησι πόντος ἀγαθῶν, πλῆθος καὶ μέγεθος θέλων σημαῖναι. Ἄλλως. ἐπεὶ γραῦς ἐστιν αὐτὴ, διὰ τοῦτο καὶ ὁ νεανίσκος πρεσβυτέρους θεοὺς ὤμοσεν, ὡς τοῦ ὅρκου τούτου πρεσβυτικοῦ ὄντος. ἢ ὦ τῶν πρεσβυτέρων ἐπόπται. ἢ οὐ πάντως, ἀλλ' ἐν παιδιᾷ μετ' ἐκπλήξεως φαίνεται καὶ μεγάλης τινὸς ἐμφάσεως χρῆσθαι τούτῳ.) — ὦ Ποντοπόσειδον : Φεῦ βασιλεῦ τοῦ πόντου. *Dv.* πρεσβυτικοὶ : Γεροντικοί. Θ. *Dv. LB.* θεοὶ πρεσβυτικοί· οἰκεῖον τῇ γραῒ λέγειν τοῦτο τὸν νέον· καὶ γὰρ γέροντες γέρουσιν ἁρμόζουσι· ἔστι δὲ ὁ Ποσειδῶν τῶν γερόντων καὶ οὐ τῶν νέων, ὥσπερ ὁ Ἀπόλλων καὶ ὁ Διόνυσος, καὶ ὁ Πάν. τὸ δὲ Ποντοπόσειδον ἀντὶ τοῦ, ὦ ἄναξ τῆς θαλάσσης, ἢ, ὦ θαλάσσιε Πόσειδον. LB. πρεσβυτικοὶ θεοὶ οἱ ἀρχαῖοι, οἱ παλαιοί. καὶ γὰρ καὶ πρεσβυτικοὺς θεοὺς ἔλεγον τοὺς ἀρχαίους ὡς πρὸς Διόνυσον ἢ Ἀπόλλωνα. P.

1051. τῶν ῥυτίδων : Τῶν ῥυτιδωμάτων. *LB.* ῥυτίδες, ἃς οἱ κοινοὶ λέγουσιν ἐπὶ τοῦ προσώπου ζαρώματα. *Vict.*

1052. ᾆ ᾆ : Ὡς τοῦ νεανίσκου προσφέροντος τὴν δᾷδα αὐτῇ, τοῦτο λέγει· ἔστι δὲ ἐπίρρημα ἐκπλήξεως καὶ κελεύσεως. — ᾆ, ᾆ : Ἐπιφώνημα, ἐπίρρημα ἐκπλήξεως. *Dv.* ἐπίρρημα ἐφεκτικόν. μή μοι πρόσφερε : Μηδαμῶς πλησίον ἐμοῦ φέρε. *LB.* ἔμπροσθεν. *Dv.*

1053. λάβῃ : Καταλάβῃ. *LB.* ἅψηται. *Dv.*

1054. ὥσπερ παλαιὰν εἰρεσιώνην : [Εἰρεσιώνη στέμματα πρὸ τῶν πυλῶν περιειλημένα πλακουντικοῖς τισι κολλύροις καὶ ἄλλοις τοιουτοτρόποις τοῖς τε ὡραίοις καρποῖς καὶ ἐλαίας ἀποκρεμάμενα. λιμοῦ γὰρ ἐνσκήψαντος ἀνεῖλεν ὁ θεὸς τὰς εἰρεσιώνας πρὸ τῶν θυρῶν κρεμάσαι.] (θαλλὸς ἐλαίας, ἢ δάφνης, ἐξ ἐρίων συμπεπλεγμένος, ἔχων ἄρτον ἐξηρτημένον καὶ κοτύλην· ἔστι δὲ μέτρον [ὃ νῦν καλοῦμεν ἡμίξεστον]· καὶ σῦκα [καὶ πάντα τὰ ἀγαθά]. ταύτην δὲ τὴν εἰρεσιώνην πρὸ τῶν οἰκημάτων ἐτίθεντο οἱ Ἀθηναῖοι καὶ κατ' ἔτος αὐτὴν ἧλλαττον· εἰώθει δὲ παῖς ἀμφιθαλὴς ἀμφ' αὐτῇ ταῦτα λέγειν,

εἰρεσιώνη σῦκα φέρει καὶ πίονας ἄρτους
καὶ μέλι ἐν κοτύλῃ καὶ ἔλαιον ἀποψήσασθαι,
καὶ κύλιχ' εὔζωρον, ὡς ἂν μεθύουσα καθεύδῃ.)

Ἄλλως. κλάδος ἦν ἐλαίας ἐρίοις πεπλεγμένος· ἐξήρτητο δὲ αὐτοῦ τὰ ὡραῖα πάντα. ἵστασαν δὲ αὐτὸν πρὸ τῶν θυρῶν κατὰ παλαιὸν χρηστήριον· οἱ μὲν γάρ φασιν ὅτι λιμοῦ, οἱ δὲ καὶ ὅτι λοιμοῦ πᾶσαν τὴν γῆν κατασχόντος ὁ θεὸς εἶπε προηροσίαν τῇ Δηοῖ [ὑπὲρ ἁπάντων θῦσαι θυσίαν] Ἀθηναίους· οὗ ἕνεκα χαριστήρια πανταχόθεν ἐκπέμπουσιν Ἀθήναζε [τῶν καρπῶν τὰς ἀπαρχάς]. — πρὸς ἀποτροπὴν τοῦ λοιμοῦ. τελεῖται δὲ ἡ θυσία αὕτη παρὰ τῶν παίδων τῶν Ἀθηναίων. R. [Ἄλλως. Πυανεψίοις καὶ Θαργηλίοις Ἡλίῳ καὶ Ὥραις θύουσιν Ἀθηναῖοι· φέρουσι δὲ οἱ παῖδες τὰ προκατειλεγμένα ἀκρόδρυα, καὶ ταῦτα πρὸ τῶν θυρῶν κρεμῶσι. κατά τι δὲ χρηστήριον πρὸς ἀποτροπὴν λιμοῦ ταῦτα ἐποίουν.] — Ἄλλως. στεφανώματα καὶ ἕως τῆς

σήμερον ἔχουσιν οἱ Ἑβραῖοι ἐπάνω τῶν τραπεζῶν. τῶν καρπῶν τὰς ἀπαρχὰς ἐν καιρῷ τινι ταύταις ἀνεκρέμνων, ἐν δὲ ἑτέρῳ ἔκαιον. V. παλαιὰν : Κατάξηρον. εἰρεσιώνην : Κλάδον ἐλαίας ξηρόν. *LB.* ἐλαΐνον κλάδον ἢ στέφανον ἐξ ἀνθέων ἢ κλάδων πεπλησμένων. Θ. στέφανον, κλάδον ἐλαίας. *Dv.* καύσεται : ἀντὶ τοῦ καύσει. R.

1055. [ποῖ τάλαν : Τὸ ποῖ σκωπτικόν· δηλοῖ γὰρ ἀκολασίας τόπον ζητούσης. — διὰ χρόνου : Διὰ πολλοῦ. πρός με : Εἰς με. παῖσαι : Ἀπὸ τοῦ παίω, γράφεται παῖξαι. *P.* ἀπὸ τοῦ παίζω παῖξαι. τὸ δὲ παῖσαι ἀπὸ τοῦ παίω ἐφ' ἑτέρου. V. παῖξαι Ἀττικῶς. Θ. ποῖ τάλαν : Οὐκ ὦ ἄθλιε. *LB.*]

1056. παιδιὰν τίνα : Οὕτως Ἀττικοὶ βραχυκαταλήκτως καὶ παροξυτόνως ἐπὶ τοῦ παιγνίου. — αὐτοῦ : Ἐνταῦθα. *Dv.* ἐν αὐτῷ τῷ τόπῳ. *P.* κάρυα : Καρύδια. παιδιὰν τίνα : Παίγνιον ποταπόν. *LB.*

1057. πόσους ἔχεις ὀδόντας : Δέον εἰπεῖν κάρυα, εἶπεν ὀδόντας, ὡς πρὸς γραῦν. — τοῦτο παρ' ὑπόνοιαν εἶπε κωμῳδῶν αὐτὴν ὡς πάνυ γραίαν· ἔδει γὰρ εἰπεῖν, πόσα ἐν χερσὶν ἔχω, ὥσπερ εἰώθασι λέγειν οἱ τὰ ἄρτια περισσὰ παίζοντες. Junt. (Ἄλλως.) ἀντὶ τοῦ, πόσα ἔχεις κάρυα. παιδιὰ γάρ ἐστι τοιαύτη· δραξάμενός τις καρύων καὶ ἐκτείνας τὴν χεῖρα ἐρωτᾷ, πόσα ἔχω; καὶ ἐὰν ἐπιτύχῃ, λαμβάνει ὅσα ἔχει ἐν τῇ χειρί· ἐὰν δὲ ἁμάρτῃ κατὰ τὴν ἀπόκρισιν, ἀποτίνει ὅσα ἂν ὁ ἐρωτήσας εὑρεθείη ἔχων ἐν τῇ χειρί. — γνώσομαι : Γνωρίσω. *P.*

1059. ἀπότισον : Ἀπόδος, ἡττηθεῖσα τὸ συμπεφωνημένον. *LB.* ἀπόδος. Θ. συνθηκοποίησον. *V.* γόμφιον : Γονιαῖον ὀδόντα. Θ. *LB.* γωνιακὸν ὀδόντα. *Dv. P.* φορεῖ : Φέρει. Θ.

1060. ταλάντατ' : Ἀθλιώτατε. Θ. ὑγιαίνειν : Τὸν νοῦν. *Dv.* ὑγιῶς ἔχειν τὸν νοῦν. *P.*

1061. πλυνόν με ποιῶν : Ἐφύβριστον πλῦμα. πλυνὸς δὲ ὀξυτόνως τὸ ἀγγεῖον αὐτό, παροξυτόνως δὲ τὸ πλυνόμενον. — πλυνόν : Ἐφύβριστον· πλυνὸς λεκάνη. *Dv.* ἄτιμον· πλυνὸς γὰρ ἡ λεκάνη ἐν ᾗ τὰ ἱμάτια πλυνόμενα ἀφιᾶσι τὸν ῥύπον. Θ. ἄτιμον. *LB.* ἐφύβριστον, καταπεπλυμένην ὀνείδεσι καὶ μυκτηρισμοῖς. *Br.* ἐφύβριστον ἤτοι καταπεπατημένην. *P.* καταγελᾷς τὸν ἀσχήμονα. *V.*

1062. ὄναιο : ὠφελείας τύχοις. R. ὠφεληθείης. Θ. *Dv.* ἐκπλύνειε : κακεμφάτως (ἐπὶ συνουσίας) εἶπε τὸ ἐκπλύνειέ σε. R. V. ἀποκαθαρεῖ. ἐπὶ συνουσίας εἶπεν ἐκπλύνειέ σε. *P.* αἰσχρῶς νοητέον τὸ ἐκπλύνειέ σε ἐπὶ συνουσίᾳ. Θ.

1063. καπηλικῶς ἔχει : Ἀντὶ τοῦ πανουργικῶς· ἐπεὶ οἱ κάπηλοι (χρίειν καὶ ἀναποιεῖν τὰ ἱμάτια εἰώθασι καὶ) τὸν οἶνον δὲ ὀνθυλεύουσι, συμμιγνύντες αὐτῷ σαπρόν. — κομμωτικῶς καὶ ἐψιμυθισμένως ἔχει, καὶ οὐ τὴν κατὰ φύσιν χροιὰν ἔχουσα, ἀλλὰ νόθον καὶ ξένην. Θ. *Junt.* οὐ δῆτ' : Οὐδαμῶς. *Dv.* καπηλικῶς : Κομμωτικῶς ὀφείλων κἀνταῦθα εἰπεῖν, καπηλικῶς πάλιν εἶπε παίζων. LB. πανουργικῶς. *P.* ἔχει : Διάκειται. *Dv.*

1064. ἐκπλυνεῖται : Ἐκπλυνθείη. *LB.* ἀποπεσεῖται. *Paris.*

1065. ὄψει κατάδηλα : Θεάσῃ λίαν φανερά. *LB.* ὄψει : Θεάσεις. κατάδηλα : Τὰ φανερά. *P.* τὰ ῥάκη : τὰς ῥυτίδας. R. τὰς ῥυτίδας τὰς ἐπιδιπλώσας τοῦ δέρματος. Θ. ἤγουν τὰς ῥυτίδας. LB. ῥυτιδώματα. *P.* ῥάκος τὸ διερρηγμένον ἱμάτιον· μεταφορικῶς οὖν φησιν ἐνταῦθα ῥάκη, ἤγουν τὰς ῥυτίδας τοῦ διεφθαρμένου αὐτῆς προσώπου ὑπὸ τοῦ γήρως. LB.

1066. ὑγιαίνειν : Ὑγιῶς ἔχειν. *Dv.*

1067. πειρᾷ : Συνουσιάζει σε. *LB.* συνεύει. Θ. *Dv. P.* τιτθίων : Τῶν μαστῶν. *LB.* Θ. *Dv. P.*

1069. ὡς πόρνη τὴν Ἀφροδίτην ὄμνυσιν. τῶν μαστῶν ἐφάπτεται. ἀναίσχυντε, λάγνε. Θ. οὐκ ἐμοῦ γ' : Ἐφάπτεται. βδελυρὲ : Μισητέ, ἀναίσχυντε. *LB.*

1070. εἰ ἡψάμην τῶν τιτθίων. R. τὴν Ἑκάτην οὕτος ὡς σώφρων ὄμνυσιν. Θ. ὡς σώφρων. *Dv.* οὐ δῆτα : Οὐδαμῶς ἐφάπτομαι αὐτῆς. *LB.*

1071. οὐκ ἐῶ : Οὐκ ἐφίημι. *LB.* οὐκ ἐάσω. *Dv.* τὴν μείρακα : Παίζει μείρακα τὴν γραῦν ὀνομάζων. Θ. τὴν γραῦν. *LB.*

1072. ὑπερφιλῶ : Λίαν φιλῶ αὐτήν. *LB.* ὑπὲρ : Λίαν. *Dv.*

1073. τί κατηγορεῖ : Ἐμοῦ ἡ γραῦς. *LB.*

1074. ὑβριστὴν : Ἀλαζόνα. *LB.*

1075. πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι : τινὲς τοῖς Κυπρίοις φασὶ τοῦτο ῥηθῆναι βουλομένοις ἔχειν συμμάχους. R. Θ.

1076. τὸ τί : Οἱ χαλεπαίνοντες οὕτως ἔλεγον, τὸ τί. — ἐγὼ : Οὐκοῦν. οὐ μαχοῦμαι : Οὐ διενεχθήσομαι. *Dv.* Οὐ μαχέσομαι. *LB.* εἰ βούλει λαβεῖν ταύτην εἰς γυναῖκα. Θ. τὸ τί : Οὐ μαχέσῃ ἐμοί; *LB.*

1077. αἰσχυνόμενος : Ἐντρεπόμενος, εὐλαβούμενος. *LB.* τὴν ἡλικίαν : Τὸ σὸν γῆρας. Θ. *Dv.*

1078. τοῦτ' : τὸ συνουσιάζειν. *R. P.* ἐπέτρεπον : Ἐνεδίδουν. *LB.* συνεχώρουν, ἐνεδίδουν. *P.* ποιεῖν : Ὃ βούλεται. *LB.*

1079. συλλαβὼν : Μετὰ σοῦ. τὴν μείρακα : Τὴν γραῦν. *LB.*

1080. τὸν νοῦν : Ὃ λέγεις. ἀξιοῖς : Ἄξιον κρίνεις. *LB.* οὐδαμῶς ἄξιον κρίνεις συνοικεῖν. *P.*

1081. ὁ δ' ἐπιτρέψων : Ἀντὶ τοῦ [τίς αὐτὸν ἐᾷ ἀναχωρῆσαι; ἢ αὐτὸς ὁ Χρεμύλος, ὅτι οὐ συγχωρῶ σοι ἐᾶσαι αὐτήν. δύναται δὲ τὸ, ὁ δ' ἐπιτρέψων, τοῦ νεανίσκου εἶναι, ἵν' ᾖ] τίς μοι ἐπιτρέψει συνεῖναι αὐτῇ; εἶτα ὡς παραιτούμενος ἐπιφέρει, ὅτι οὐκ ἂν αὐτῇ διαλεχθείην διεσπεκλωμένῃ [ἤγουν ἐξηραμμένῃ, γαμηθείσῃ, ἐν τῇ συνουσίᾳ κατατετριμμένῃ, ἢ ἀχρήστῳ πρὸς συνουσίαν διὰ τὸ γῆρας]. σπεκλοῦν γὰρ τὸ συνουσιάζειν, παρὰ τὸ πλέκεσθαι· σπέκλωμα γὰρ ὁ ἧχος τῆς συνουσίας. ἢ διαλελυμένῃ, κυρίως ἐπὶ σχοινίων τῶν πλακέντων, εἶτα διαλυθέντων ἐν χρόνῳ. ἢ ὑπεσπληνι-

σμένη. διεσπεκλωμένη οὖν, πρὸς συνουσίαν ἀχρήστῳ γενομένη καὶ πεπαλαιωμένη καὶ ὑπὸ πολλῶν ἐν συνουσίᾳ τετριμμένη. [τὸ σπεκλοῦν ἐπὶ τοῦ συνουσιάζειν τάττουσιν, οὐχ ὡς προηγουμένως τοῦτο σημαῖνον, ἀλλ' ὅμοιον πολλοῖς συμβολικοῖς ὀνοματοποιοῦντες, καὶ μάλιστα ἐφ' ὧν τὸ εὐθυρρημονεῖν ἐνίσταται.] — εἶναι μετ' αὐτῆς : Καὶ διὰ τοῦτο ταῦτά φησι τοῦτον λαβεῖν με. Θ. διὰ τοῦτο ταῦτα φής. *Dv.* ὁ δ' ἐπιτρέπων : Ὁ ἄδειαν διδούς. *LB.* ἐπιτρέψων : Λαβεῖν. *Dv.* συγχωρήσων. *P.*

1082. διαλεχθείην : Ὁμιλήσαιμι. *Br. P.* διεσπεκλωμένη : Ὦ γεγαμημένη. *LB.* γαμηθείσῃ. *P.* γεγαμημένη. σπέκλωμα γάρ ἐστιν ὁ τῶν ὄρχεων κτύπος. Θ. συνουσιασμένη, διεφθαρμένη. *C.* οὐκ ἂν διαλεχθείην διεσπεκλωμένη· ἢ ὑπὸ τῆς συνουσίας ἠφανισμένη. ἔχει δὲ τὴν παραγωγὴν ἀπὸ τοῦ πλέκω, καὶ ἀπὸ τοῦ πλέγμα· καὶ κατὰ μετάθεσιν πέκλωμα. δύναται δὲ καὶ κλητικὴ εἶναι τὸ ἐσπεκλωμένη καὶ δοτικὴ, οὕτως, ᾧ διεσπεκλωμένη, οὐκ ἂν διαλεχθείην σοι· καὶ, οὐκ ἂν διαλεχθείην σοι τῇ διεσπεκλωμένῃ, καὶ τὰ ἑξῆς. LB.

1083. [ὑπὸ μυρίων ἐτῶν : Λείπει ἀνδρῶν. ὁ δὲ γέρων τὸ ἐτῶν προσέθηκε, σκώπτων (αὐτὴν) ὡς γραῦν.] — λίαν πολλῶν πολιτῶν. *LB.* χρόνων ἢ πολιτῶν. *Dv.* πολιτῶν. *P.*

1085. καὶ τὴν τρύγα σε : Πολλάκις καὶ τὸν νέον οἶνον τρύγα ἐκάλουν· νῦν δὲ οὐχ οὕτως, ἀλλ', ὡς ἡμεῖς, τὴν ὑποστάθμην. — συνεκποτέ' ἐστὶ : Ἀντὶ τοῦ συνεκποτέον. *Dv.* συνεκποτέον ἔστι : Ἄξιον ἐστὶ ἐκπιεῖν. *LB.* τὴν τρύγα : Τὴν ὕλην. *Dv.* τὴν τοῦ οἴνου ὕλην. Θ. *LB.*

1086. κομιδῆ : Λίαν (Θ). σαπρά : Σεσαπρωμένη. *LB.*

1087. οὐκοῦν τρύγοιπος : Ὁ ὑλιστὴρ [ὁ σάκκινος. πρὸς ἃ οὖν εἶπεν ὁ νεανίσκος, ἀπήντησεν ὁ γέρων]. — οὐκοῦν : Τὸ λοιπόν. τρύγοιπος : Τὸ σακελιστήριον. ἤγουν τὰ αὐτῆς χρήματα. Θ. *Dv.* τρύγιπος : Σακελιστήριον. *LB.* τρύγιπος : Τρὺξ τρυγὸς ἡ τοῦ οἴνου ὕλη· τρύγοιπος δὲ λέγοιτ' ἂν κυρίως, δι' οὗ τὴν ὕλην τοῦ οἴνου σακελίζομεν. LB.

1088. εἴσιθ' εἴσω : Εἴσελθε ἐντός. τῷ θεῷ : Τῷ Πλούτῳ. *LB.*

1089. ἀναθεῖναι : Ἀναθῆσαι. τούσδ' οὓς ἔχω : Τούτους οὕστινας κρατῶ. *LB.*

1090. αὐτῷ : Τῷ θεῷ. *LB.*

1091. ὁ Χρεμύλος ἢ ὁ θεράπων. R. οὐκ εἴσειμι : Οὐκ εἰσελεύσομαι. *LB. P.* εἰσέρχομαι. *Dv.* θάρρει : Ἔχε θάρρος. *LB.* ἦν αὐτὴ εἰσέλθῃ. Θ.

1092. [οὐ γὰρ βιάσεται : Ὁ ποιοῦσιν οἱ ἄνδρες, τοῦτο ἐπὶ τῆς γραός φησιν, οὐ γὰρ βιάσεταί σε ἡ γραῦς.] — τὸ βιάσεται ἐπὶ ἀνδρός· *Dv.* οὐ γὰρ βιάσεται : Σὲ ὁ νέος, ὥστε μὴ εἰσελθεῖν. *LB.* οὐ καθελκύσαι παρὰ γνώμην. *P.*

1093. ὑπεπίττουν χρόνον : Πίσσειν τὸ λέπος περιαιρεῖν τῶν κριθῶν. ἢ ἀντὶ. . . V. ἀντὶ τοῦ ἠσέλγουν, ἢ κατεφίλουν. πιττοῦν δέ ἐστι κυρίως τὸ τὰς πλατείας ναῦς πίσσῃ χρίειν· ἔνθεν οὖν μετήνεγκε τὴν λέξιν. (ἢ ἀντὶ τοῦ ἐβίνουν, συνῆλθον.) — ἱκανὸν : Ἀρκετόν. *P.* ὑπεπίττουν : Ἐγάμουν. *LB. Dv. Br.* πρότερον ἐπίττουν· ἤγουν ἠσέλγαινον, κατεφίλουν, ἐσυνουσίαζον· πιττοῦν δὲ κυρίως τὸ πίττῃ χρίειν τὰς ναῦς. *LB.* ἐπέραινον, συνουσιαζόμην. *P.* ἀντὶ τοῦ ἐγάμουν κατ' εὐφημισμόν. Θ. ἐπίττων : Τουτέστιν ἐφίλουν, ἐμιγνύμην, πιττῶ δὲ κυρίως ἐστὶ τὸ τὰς νῆας πίσσῃ χρίω, καὶ τὸ τὰ διερρωγότα τῶν ξύλων ἑνοῦν. C.

1094. βάδιζ' : Ἀπέρχου. κατόπιν : Ὄπισθεν. *LB. Dv.*

1095. ὡς : Λίαν. εὐτόνως : Ἰσχυρῶς (Θ. *P*). τὸ γραΐδιον : Ἡ γραῦς αὕτη. *LB.* συνίζησις. *Dv.*

1096. ὥσπερ λεπὰς : (Ὥσπερ ὄστρεον ἐν πέτρᾳ προσκολλώμενον δυσαπόσπαστόν ἐστι, οὕτως αὐτη τῷ νεανίᾳ προσέφυσε. λεπὰς δέ ἐστιν εἶδος ὀστρέου τὸ καλούμενον πατέλιν,) ὃ ταῖς πέτραις προσπήγνυται, δυσαποσπάστως ἔχον, ἐπειδάν τις αὐτοῦ βουληθείη λαβεῖν. (εὐεπίφορος δέ ἐστιν εἰς τὸ λεπὰς ὁ Ἀριστοφάνης.) ἔστι δὲ τὸ λεπὰς εἶδος ἰχθύος. παρ' ὑπόνοιαν δὲ εἶπεν (ὥσπερ λεπὰς τῷ μειρακίῳ). — ὥσπερ : Καθά. λεπὰς : Εἶδος ὀστρέου. *Dv. LB.* παταλίδας. *P.* ἡ λεπὰς εἶδος ὀστρέου ἐστίν· ἥτις ἐμπεφυκυῖα τοῖς θαλασσίοις βράχεσιν ἔχεται αὐτῶν ἄγαν ἰσχυρῶς. LB. λεπάς ἐστιν εἶδος ὀστρέου, ὅπερ λαβόμενον πέτρας ἀπισχυρίζεται καὶ δυσαποσπάστως ἔχει. καὶ

> οὐκ ἂν τις αὐτὸ ῥᾳδίως ἀποσπάσαι,
> πρὶν ἂν τι τῆς πέτρας ἀπορρήξῃ μέρος.

τοῦτο καὶ ἐπὶ τοῦ πολύποδος λέγεται. C.D. λεπάς ἐστιν εἶδος ὀστρίου· ὃ ταῖς πέτραις πεσὸν, ἐκείνων ἰσχυρῶς ἐξέχεται καὶ δυσαποσπάστως ἔχει. ἦν οἱ κοινοὶ παταλίδαν καλοῦσιν. P. τῷ μειρακίῳ : Τῷ νέῳ. *LB.* τῇ πέτρᾳ. *Dv.* προσίσχεται : Προσκολλᾶται. *LB. Dv. P.*

1097. [τίς ἔσθ' ὁ κόπτων : Κορωνὶς ἑτέρα ὁμοία· οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι οὐ', ὧν τελευταῖος

> ἵν' εὐθέως διακονικὸς εἶναί μοι δοκῇς.

ἐπὶ τῷ τέλει κορωνίς.]

τουτὶ τί ἦν : Ὁ Ἑρμῆς ἔκοψε, καὶ ἐξελθὼν ὁ Καρίων οὐδένα εὗρε. (παρ' ὀλίγον γὰρ ὑπεχώρει.) [τὸ θύριον καὶ οὐ θυρίον. τὰ γὰρ εἰς ον οὐδέτερα ἀπὸ βραχέος ἀρχόμενα προπαροξύνονται, οἷον, ἔριον, θύριον, ὅριον, καὶ ἕτερα.]

ὁ κόπτων : Ὁ κρούων. *Dv.* κρούων, Ἀττικῶς. Θ. κόπτει τις τὴν θύραν, ὅταν ἔξωθεν κρούῃ· ψοφεῖ, ὅταν ἔσωθεν. Dv. ὁ κόψας : Ὁ κρούσας. *LB.* κόπτειν, ψοφεῖν, καὶ κλαυσιᾷν τὴν θύραν διαφέρει· κόπτειν μὲν γὰρ λέγεται, ὅταν εἰσιέναι τις μέλλῃ, καὶ τὴν θύραν ἔξωθεν πλήττῃ· ὡς τὸ, « τίς ἔσθ' ὁ κόψας τὴν θύραν; » ψοφεῖν δὲ, ὅταν ἐξερχόμενός τις αὐτὴν ὑπανοίγοι καὶ ἦχον τινὰ ἀποτελῇ· ὁ τοιοῦτος γὰρ ἦχος ψόφος καλεῖται· ὅταν δὲ ὑπ' ἀνέμου κινῆται μόνη, καὶ ἦχον τινὰ ἐκ τούτου ἀποτελῇ, ὁ τοιοῦτος ἦχος ἢ τρισμὸς κλαυσιᾷν λέγεται. LB. τουτί τί ἦν : Ὁ ἤκουσα. *LB.*

1098. οὐδεὶς ἔοικεν : Κόψας αὐτὴν φαίνεται. δῆτα : Ἀληθῶς. τὸ θύριον : Ἡ θύρα αὕτη. *LB.* φαίνεται. Θ. ἡ θύρα Ἀττικῶς. Θ. *Dv.*

1099. φθεγγόμενον : Βοώμενον. ἄλλως κλαυσιᾷ : Μάτην τὰ τῶν κλαιόντων μιμεῖται. *P.* ματαίως ἠχεῖ. *Dv. LB.* ἄλλως : Μή τινος κινοῦντος. μάτην. κλαυσιᾷ : Ἠχεῖ. Θ. *Br.* (ἀντὶ τοῦ) ματαίως ἐψόφησεν. R. V. σέ τοι λέγω : Τὸ λέγω ὅτε μὲν πρὸς μόνον πρόσωπον λέγεται, αἰτιατικῇ συντάσσεται ὡς ἐνταῦθα, σέ τοι σέ τοι λέγω Καρίων, ἀνάμεινον. παρὰ τῷ Αἰσχύλῳ [Prom. 944] « σὲ λέγω τὸν σοφιστήν. » ὅτε δὲ καὶ πρᾶγμα ἐπιφέρεται, τότε τὸ μὲν πρόσωπον δοτικῇ, τὸ δὲ πρᾶγμα αἰτιατικῇ, ὡς τὸ λέγω σοι λόγον. Θ.

1100. ἀνάμεινον : Καρτέρησον. *Dv.* πρόσμεινον. *LB.*

1102. μὰ Δί' : Οὐ. ἔμελλον : Κρούειν. *Dv.* κόψειν σφόδρα. Θ. κόψειν περισσότερον. *LB.* φθάσας : Προφθάσας. *Dv.* προλαβών. Θ. *LB.* φθάνω τὸ καταλαμβάνω τι ἤγουν ἄνθρωπόν τινα, ἢ τόπον· ἐκ τούτου φθάνω καὶ τὸ προλαμβάνω, οἷον, ἔφθη εἰπών· ἐπὶ τούτου τοῦ σημαινομένου λέγεται κἀνταῦθα· καὶ ἡ σύνταξις, εἶτα ἀνέῳξας τὴν θύραν δηλαδὴ φθάσας, ἢ προλαβὼν ἐμὲ μέλλοντα κόπτειν αὐτήν. LB.

1103. ἐνταῦθα συναπτέον τὸ ταχύ. Θ. ἐκκάλει : Ἔξω κάλει. *LB.*

1105. τοὺς θεράποντας : Τοὺς δούλους. *Dv.* αὐτοῦ, τοὺς συνδούλους σου. τὴν κύνα : Τὴν σκύλαν. *LB.*

1107. ὦ πόνηρε : Ὦ γεωργέ. *LB.* κακότροπε. *P.*

1108. εἰς ταυτὸν : Εἰς ὅμοιον, εἰς ἕν. συγκυκήσας : Συναθροίσας. *LB.* συνταράξας. *V.* συμμίξας, συνταράξας. Θ. συμμίξας. *Dv.* συνταράξας, συντρίψας. *P.* τριβλίον : Ἀγγεῖον. *Dv.* ἀγγεῖον, ὀξύβαφον. *V.* ἰγδίον ἢ ἀγγεῖον ὀξύβαφον. *P.*

1109. ἁπαξάπαντας : Ὁμοῦ ὅλους. *LB.* εἰς τὸ βάραθρον : τόπος ὅπου κολάζονται οἱ ἀσεβεῖς. R. ὅπου οἱ ἀσεβεῖς ἐρρίπτοντο. V. εἰς τὸν ᾅδην. *Dv.* ἐμβαλεῖν : Ῥίψαι, ἐνθεῖναι. *LB.*

1110. ἡ γλῶττα τῷ κήρυκι : [Διχῶς νοεῖται·] ἡ γλῶττα τῶν θυομένων τῷ Ἑρμῇ δίδοται, ἐπειδὴ τῶν λόγων δεσπότης ἐστίν· (ἢ τῶν καταρωμένων ἀπ' αὐτοῦ ἡ ἀρχή. Καλλίστρατος τῶν θυομένων φησὶ τὰς γλώσσας τοῖς κήρυξιν ἀπονέμεσθαι· διὸ καὶ τὸν ποιητὴν τῷ Ἑρμῇ ποιεῖν τεμνομένας αὐτάς. [καὶ τοῦτο δὲ] πρὸς τὸν Ἑρμῆν λέγει ἥκοντα παρὰ Διός. Ἄλλως. κολακεύων [αὐτόν] φησιν ὅτι τῶν ἱερείων ἡ γλῶττα τῷ Ἑρμῇ δίδοται ἐν ταῖς δημοτελέσι θυσίαις. Ἄλλως. εἰρωνικῶς, ὡσεὶ ἔλεγε, κακὰ συλλέγει, καὶ ἡμεῖς ἀδίκως αὐτῷ θύομεν τὰς γλώσσας. Ὅμηρος « ὃδ' ἐν πυρὶ βάλλε γλώττας. » πρὸς δὲ τὸ λεγόμενον ἔπαιξεν, ἡ γλῶττα τῷ κήρυκι.) — τῷ κήρυκι : Ἡ τοῦ κήρυκος. *Dv. LB.* τῷ Ἑρμεῖ, ἢ χάριν σου τοῦ κήρυκος. *P.* τούτων : Τῶν ζώων. τέμνεται : Κόπτεται, δίδοται. *LB.* ἡ γλῶττα τῷ κήρυκι τούτων· διττῶς τοῦτο· ἡ γλῶττα τούτων, ἤγουν τῶν ζώων, τέμνεται τῷ κήρυκι, ἤγουν σοι· τουτέστιν, ἕνεκεν σοῦ· ἀποδίδοται γὰρ σοὶ τῷ ὄντι κήρυκι τῶν θεῶν καὶ ὑπηρέτῃ· ἢ ἡ γλῶττα τῷ κήρυκι τούτων τῶν ἀγγελιῶν, τουτέστι σοὶ τέμνεται· ἀντὶ τοῦ, εἶθε ἐκκοπείη. LB.

1114. λιβανωτὸν : Λίβανον. *LB.*

1115. ψαιστὸν : πέμμα ἐστὶν ἢ εἶδος πλακοῦντος (ἐκ σεμιδάλεως καὶ γάλακτος). R. V. Λαλάγγιον (*Dv.*) ἱερεῖον : Θυσίαν. *LB.* θῦμα. Θ. *Dv.*

1116. ἐπιθύει : Θυσιάζει. LB.

1117. ἐπεμελεῖσθ' : Προενοεῖσθε. *LB.* ἐφροντίζετε. *Dorvill.*

1118. ἧττον μέλει : ἀντὶ τοῦ οὐδαμῶς. R. V. ἐλάττονος φροντίς ἐστι. *LB.* οὐδαμῶς διὰ φροντίδος ἐστί μοι. *Dv.*

1119. σωφρονεῖς : Ἀντὶ τοῦ, μόλις ἐπεστράφης· ἢ καλῶς λέγεις. — ἀπόλωλα : Ἐφθάρην. ἐπιτέτριμμαι : Ἠφάνισμαι. Θ. *LB. Dv.* ἀπόλωλα : Ἐφθάρην, εἰς παντελῆ κατέστην ἀφανισμόν. *P.* σωφρονεῖς : Ἤγουν καλῶς ποιεῖς μηδὲ τί λέγων περὶ τῶν ἄλλων θεῶν. LB.

1120. πρότερον : Πρὸ τοῦ τὸν Πλοῦτον βλέψαι. *P.* ταῖς καπηλίσιν : Τῶν καπηλίδων. *LB.* κάπηλις καὶ καπηλίς διαφέρει· κάπηλις μὲν γάρ ἐστιν ἡ τὸν οἶνον πωλοῦσα· καπηλὶς δὲ ἡ θυγάτηρ αὐτῆς. LB.

1121. οἰνοῦτταν : Οὕτως τὴν ἐν οἴνῳ πεφυραμένην μᾶζαν. τινὲς δὲ οἰνοῦτταν, εἶδος πλακοῦντος μετ' οἴνου καὶ μέλιτος γινόμενον. — ἔωθεν : Ἐκ πρωΐας. οἰνοῦτταν : Μουστόπιτταν (Θ). *LB.* οἰνοῦττα μέν ἐστιν ἡ κοινῶς λεγομένη μουστόπιττα. μελιττοῦτα δὲ, ὃ κοινῶς εἰώθασι λέγειν ἀπόθερμον. Br.

1122. ἰσχάδας : Σῦκα. Θ. ἐσθίειν : Τρώγειν. *LB. Dv.*

1123. ἀναβάδην : (Ἀντὶ τοῦ κάθημαι πεινῶν.) ἄνω [φησὶν] ἔχω τοὺς πόδας ἐν τῇ στήλῃ κοιμώμενος· (οἱ γὰρ διάκονοι τοὺς πόδας ἄνω εἶχον πρὸς τὸ μὴ βαρεῖσθαι ὑπὸ τοῦ δρόμου.) — ἀναβάδην ἀναπαύομαι : Ἤγουν, ἐπάνω ἔχω τὸν πόδα εἰς τὸν ἄλλον. *LB.* ἤγουν, ἄλλον ἐπ' ἄλλῳ πόδ' ἔχων κεῖμαι. *Dv.* ὕπτιος. τιθέμενος τὸν ἕνα πόδα ἐπάνω τοῦ ἑτέρου. *Br.* ἢ ἄνω ἔχων τοὺς πόδας· ἢ ἄλλως ἐπ' ἄλλῳ ἔχων τὸν πόδα, ἤγουν ἐκτεταμένους. P.

1124. (οὐκοῦν δικαίως, ὅστις ἐποίεις ζημίαν : Ἀντὶ τοῦ, ἐποίεις ζημιοῦσθαι τοὺς ταῦτα τὰ ἀγαθά σοι παρέχοντας.) [ὁ γὰρ Ἑρμῆς τοιαῦτα ποιεῖ· καὶ ὁ Αἴσωπος γὰρ ἐν τοῖς μύθοις τὰ αὐτὰ λέγει.] — οὐκοῦν : Λοιπόν *LB.* τὸ λοιπόν. *Dv.* δικαίως : Πάσχεις τοῦτο. *LB.* δικαίως, φησὶ, πάσχεις ταῦτα, ὅστις ἐνίοτε ἐποίεις τοὺς σοὶ ταῦτα προσάγοντας ζημίαν ὑφίστασθαι. LB. ἐποίεις : Ἡμῖν. *LB.*

1125. ἐνίοτε : Ποτέ. *LB.* πάντοτε. *Dv.* ἔχων : Ἀφ' ἡμῶν. *LB.* παρ' ἡμῶν. *Dv.*

1126. τοὺν τετράδι πεπεμμένου : Ἡ τετρὰς ἐνομίζετο τοῦ Ἑρμοῦ· καὶ καθ' ἕκαστον μῆνα ταύτῃ τῇ ἡμέρᾳ ἀπετίθεντο τῷ Ἑρμῇ. ἔξω τῶν ἑορτῶν ἱεραί τινες τοῦ μηνὸς ἡμέραι νομίζονται Ἀθήνησι θεοῖς τισὶν, οἷον νουμηνία καὶ ἑβδόμη Ἀπόλλωνι, τετρὰς Ἑρμῇ, καὶ ὀγδόη

Θησεῖ, — Χάρισι τρίτη. V. οἶμοι : Φεῦ. πλακοῦντος : Ἕνεκεν τοῦ. *LB.* ἕνεκα. πεπεμμένου : Ἐζυμωμένου. *Dv.* ἐν ἑκάστῃ τετράδι ζυμουμένου καὶ διδομένου μοι. *LB.* τοὺν τετράδι πεπεμένου· ἤτοι τοῦ καθ' ἑκάστην τετράδα τοῦ μηνὸς πεπεμένου, ἤτοι ζημουμένου καὶ κατασκευαζομένου· ἑκάστου γὰρ μηνὸς ἡ νουμηνία καὶ ἡ ἑβδόμη ἀφιέρωτο τῷ Ἀπόλλωνι· ἡ δὲ τετάρτη τῷ Ἑρμῇ· ἡ δὲ ἕκτη τῇ Ἀρτέμιδι, καὶ ἄλλη ἄλλῳ. LB.

1127. [ποθεῖς τὸν οὐ παρόντα καὶ μάτην καλεῖς : Ἡρακλῆς πλέων μετὰ τῆς Ἀργοῦς εἰς Κόλχους σὺν Ἰάσονι ἐν Κίῳ τῇ νήσῳ ἐξελθών, καὶ πέμψας τὸν ἐρώμενον αὐτοῦ Ὕλλαν ὕδωρ ἀντλῆσαι, περιέμενεν αὐτόν· τοῦ δὲ ὑπὸ Νυμφῶν ἁρπασθέντος, Ἡρακλῆς πολὺν χρόνον ἐζήτει· ὕστερον δὲ ὑπό τινος αἰθερίας φωνῆς ἤκουσε

ποθεῖς τὸν οὐ παρόντα καὶ μάτην καλεῖς.

ἐλήφθη οὖν τοῦτο εἰς παροιμίαν ἐπὶ τῶν μάτην προσδοκούντων. — ὁ Ἡρακλῆς εἶχεν ἐρώμενον τὸν Ὕλαν· ὅτε γὰρ παρὰ τοῦ θησου ὁ Ἡρακλῆς ἐπέμφθη ἐπὶ τῷ λαβεῖν τὸ χρυσόμαλλον δέρας, εἶχε καὶ τοῦτον μεθ' ἑαυτοῦ. πέμψας οὖν τοῦτον λαβεῖν ὕδωρ, παρὰ τῶν πηγῶν ἁρπάσθη, ὡς ἱστορεῖ Θεόκριτος· καὶ τοῦ Ἡρακλέους τοῦτον ζητοῦντος παρὰ τῶν πηγῶν, τοῦτο ἤκουσε « ποθεῖς τὸν οὐ παρόντα καὶ μάτην καλεῖς. » Dorv.]

1128. οἶμοι δὲ κωλῆς : [Τοῦ κώλικος λεγομένου.] κωλαῖ τὰ ἐμπρόσθια μέρη τῶν ἱερείων. ἔστι δὲ ἱερὸς Ἑρμοῦ ὁ βραχίων τῶν ἀλόγων ζώων. (Ἄλλως.) τὰς ἀγκύλας φησίν, αἳ ὀστώδεις εἰσί. διαβάλλει οὖν ὡς ὀστέα τοῖς θεοῖς προσφέροντας. — κωλῆς : Τοῦ μηροῦ (Θ.), τοῦ ἐντέρου. *LB.* κωληναρίου· κῶλα τὰ ἐμπρόσθια μέρη τῶν ἱερείων. τὰς ἀγγύλας, αἳ ὀστώδεις εἰσί. διαβάλλει οὖν ὡς ὀστέα τοῖς θεοῖς προσφέροντα. P. κατήσθιον : Ἔτρωγον. *LB. Dv.*

1129. ἀσκωλίαζ' ἐνταῦθα : Ἑορτὴν οἱ Ἀθηναῖοι ἦγον τὰ Ἀσκώλια, ἐν ᾗ ἐνήλλοντο τοῖς ἀσκοῖς εἰς τιμὴν τοῦ Διονύσου. δοκεῖ δὲ ἐχθρὸν εἶναι τῇ ἀμπέλῳ τὸ ζῶον. ἀμέλει οὖν καὶ ἐπίγραμμα [Eveni in Anth. Palat. 9, 75] φέρεται τῆς ἀμπέλου πρὸς τὴν αἶγα οὕτως ἔχον,

κἢν με φάγῃς ἐπὶ ῥίζαν, ὅμως δέ τι καρποφορήσω,
ὅσσον ἐπιλεῖψαι σοί, τράγε, θυομένῳ.

(ἀσκωλίαζε δὲ ἀντὶ τοῦ ἄλλου· κυρίως δὲ ἀσκωλιάζειν ἔλεγον τὸ ἐπὶ τῶν ἀσκῶν ἅλλεσθαι ἕνεκα τοῦ γελωτοποιεῖν. ἐν μέσῳ δὲ τοῦ θεάτρου ἐτίθεντο ἀσκοὺς πεφυσημένους καὶ ἀληλιμμένους, εἰς οὓς ἐναλλόμενοι ὠλίσθανον, καθάπερ Εὔβουλος ἐν Δαμαλείᾳ φησὶν οὕτως,

καὶ πρός γε τούτοις ἀσκὸν εἰς μέσον
καταθέντες εἰσάλλεσθε καὶ καχάζετε
ἐπὶ τοῖς καταρρέουσιν ἀπὸ κελεύσματος.)

[οὕτω καὶ Δίδυμος. Ἄλλως. ἀσκωλιάζειν ἔλεγον τὸ ἐνάλλεσθαι τοῖς ἀσκοῖς ἢ τὸ ἐπὶ ἑνὸς ποδὸς ἅλλεσθαι. Ἄλλως. Ἀσκώλια ἑορτὴ Διονύσου· ἀσκὸν γὰρ οἴνου πληροῦντες ἑνὶ ποδὶ τοῦτον ἐπήδων· καὶ ὁ πηδήσας ἆθλον εἶχε τὸν οἶνον.] — ἀσκωλίαζ' : Πήδα. *LB.* πήδα· Ἀσκόλια ἑορτὴ τοῦ Διονύσου. *Dv.* ἀσκολίαζ' ἐνταῦθα : Ἀσκολία ἦν ἑορτὴ τοῦ Διονύσου, ἐν ᾗ ἀσκοὺς διαφυσῶντες καὶ ὀγκοῦντες, ἐρρίπτουν καὶ ἄνωθεν ἥλλοντο ἐπάνω αὐτῶν ἑνὶ ποδί, ἐκίνουν δὲ γέλωτα καταπίπτοντες· ὁ μέντοι μὴ καταπεσὼν ἐλάμβανεν αὐτὸν οἴνου πλήρη. LB. ἐνταῦθα : Αὐτοῦ. πρὸς τὴν αἰθρίαν : Ἐν τῇ εὐδίᾳ. *LB.* εἰς τὸν ἀσκεπῆ τόπον. *P.* αἰθρίαν : Εὐδίαν. *Dv.*

1130. σπλάγχνων : Οἶμοι ἀπὸ κοινοῦ. τῶν ἐγκάτων τῶν ζώων. ἡνίκα γὰρ ἐξῆγον ταῦτα τοῦ ἱερείου, παραυτίκα αὐτοῦ ἔθυον. Θ. καὶ οἶμοι ἕνεκεν. *LB.* οἶμοι ἀπὸ κοινοῦ. *Dv.* θερμῶν : Τῶν ζώντων. *LB.*

1131. ὀδύνη σε πρὸς τὰ σπλάγχνα : Ἀντιστρόφως· ἐπὰν γὰρ πνεῦμα δι' ἑντέρων ὑποδύῃ, [τὸ τοιοῦτον γίνεται]. δέον οὖν εἰπεῖν πνεῦμα, ὀδύνη εἶπεν. [πρὸς τὰ σπλάγχνα δὲ ἀντὶ τοῦ, ἐπὶ κωλῇ καὶ τοῖς σπλάγχνοις.] — ὀδύνη : Πόνος, διὰ τὸ κενοὺς εἶναι ὑπὸ τοῦ μὴ ἐσθίειν. Θ. ἤγουν πόνος. *Dv.* πρὸς : Κατά. *LB.* ἐπιστρέφειν : Ἔχειν. *Dv.* ἔχειν, κινεῖν. *LB.* κινεῖν, ἐνοχλεῖν. Θ.

1132. ἴσον ἴσῳ κεκραμένης : (Οἴνου καὶ ὕδατος· ζωρότερον γὰρ τὸ τοιοῦτο κρᾶμα. παίζει δὲ πρὸς τοὺς καπήλους.) ζητεῖται διὰ τί τοῖς μὲν ἄλλοις θεοῖς δίδοται ἄκρατος σπονδή, τῷ δὲ Ἑρμῇ κεκραμένη· [καὶ φαμὲν] ὅτι καὶ τῶν ζώντων καὶ τῶν τετελευτηκότων ἄρχει καὶ παρ' ἀμφοτέρων τιμὰς δέχεται. — ἴσον ἴσῳ : Ὕδωρ οἴνῳ. Θ. *Dv.*

1133. [ταύτην ἐπιπιὼν, ἀποτρέχων οὐκ ἂν φθάνοις : Οὐκ ἂν πέρας σχοίης τῶν κακῶν· οὐκ ἂν ἀναβάλοιο.] — ταύτην : Παίζει· αὐτίκα γὰρ τῷ Ἑρμοῦ λόγῳ ἀπέπαρδε. Θ. ἦν ἔπαρδον. *LB.* ἐπιπιὼν : Δι' ὅλου πιών. *Paris.*

1134. [τὸν σαυτοῦ φίλον : Τοῦτο λέγει, ἢ διότι καὶ αὐτὸς διάκονος καὶ ὑπηρέτης ἦν τῶν θεῶν, ὥσπερ οὗτος Χρεμύλου· ἢ διὰ τὰς βοηθείας, ἃς προϊὼν ἐρεῖ. εἰώθαμεν γὰρ οἱ ἄνθρωποι, ὅταν εἰς ἀνάγκην ἐμπέσωμεν, εὔνοιαν πρὸς τοῦτον πλάττεσθαι, ἀφ' οὗ ἂν ἡμῖν ἔσται ὠφέλεια. — τὸν σαυτοῦ φίλον : Πολλαὶ τέχναι ἀνάκεινται τῷ Ἑρμῇ, ὧν ἐστὶ καὶ ἡ τῶν κλεπτῶν· ἐπεὶ δὲ καὶ οἱ θεράποντες κλέπται, τούτου ἕνεκα φίλον ἑαυτὸν Καρίωνι λέγει. LB. τ. σ. φ. : Τουτέστιν ἐμέ. *P.*]

1135. εἴ του : Τινός (Θ). δέει : Χρήζεις. ὧν : Ἀφ' ὧν. *Dv.* δέῃ : Τινὸς χρείαν ἔχεις. *LB.*

1136. πορίσας : Δούς. Θ. εὖ πεπεμμένον : Καλῶς κατεσκευασμένον. *LB.* πεπεμμένον : Ἐζυμωμένον. Θ. ζημωμένον. *Dv.*

1137. καταφαγεῖν νεανικὸν : Νέον. *Dv.* νεανίᾳ πρέπον. *P.* ἀντὶ τοῦ δυνάμενον χορτάσαι νεώτερον. R. πολὺ, δυνάμενον χορτάζειν νεανίαν. V. ἱκανὸν νεανίαν κορέσαι. Θ. νεανικὸν κρέας λέγει ἐνταῦθα τὸ ἀρκοῦν νεανίᾳ εἰς τὸ χορτάσαι αὐτόν. P.

1138. ὠφελήσαις δηλ. Θ. *Dv. P.* (ἀλλ' οὐκ ἔκφορα : Ὡς ἐν ἐνίαις θυσίαις λεγομένου τούτου. καὶ χρῶνται αὐτῷ οὐ κατ' οὐδέτερον πληθυντικὸν, ἀλλ' ἐνικῶς κατὰ θηλυκόν· ὡς Θεόπομπος,

εἶσω δραμὼν αἴτησον, ἀλλ' οὐκ ἐκφορά.

καὶ εἰ μὲν οὐδέτερον εἴη πληθυντικὸν, προπαροξύνουσιν· εἰ δὲ θηλυκὸν, ὀξύνουσιν.) — ὧν : Ἀφ' ὧν. ἔνδον : Ἐντός. *LB. Dv.* οὐκ ἔκφορα : Οὐκ ἔξω φερόμενα. Θ. εἰσὶ τὰ κρέατα, ὥστε φέρεσθαι ἔξω. *LB.* ἀλλὰ οὐκ εἰσὶ τὰ κρέατα ἔκφορα, ἤγουν ἔξω διδόμενα· ἐκέλευσε γὰρ ὁ Πλοῦτος μηδὲν διδόναι ἔξω. LB. ἤγουν ἄξια ἐκβληθῆναι. *Dv.* ἀλλ' οὐ καλὸν ἐκφέρεσθαι ταῦτα. *P.*

1139. ὁπότε : Ἡνίκα. τι σκευάριον : Ἀγγεῖόν τι. *LB.*

1140. ὑφείλου : Ἔκλεπτες (Θ.). λανθάνειν : Τὸν σὸν δεσπότην. *LB.* σε λανθάνειν ἐποίουν : Ὑπέβαλον γὰρ πονηρίας τῷ σῷ νῷ. Θ. *Dv.*

1141. διὰ τοῦτό σε λανθάνειν ἐποίουν, ἵνα καὶ αὐτὸς μετὰ σοῦ τοῦ κλέμματος ἔχω. V. ἵνα λάβῃς καὶ αὐτὸς τὸ μέρος σου. R. ἐφ' ᾧτε : Ἐπὶ τῷ. Θ. *LB.* μετέχειν : Τοῦ κλέμματος. *Dv.* τοιχωρύχε : Ὦ κλέπτη. *LB.* κλέπτα. *Dv.* κλέπτα, κατ' ἀστεϊσμόν. Θ.

1142. ἦκεν : Ἦλθεν. *LB.* ναστὸς εὖ πεπεμμένος : [πλακοῦς ἡ] θερμὸς ἄρτος μετὰ ἐλαίου. R.V. ἄρτος καλῶς κατεσκευασμένος. *LB.* ἄρτος καλῶς ἐζυμωμένος. Θ. *Dv.* δύο εἰσὶ ναστὸς καὶ κοῖλος. καὶ ναστὸς μὲν λέγεται, ὅντινα καλοῦσιν οἱ κοινοὶ ὁλόβολον· κοῖλος δὲ ὁ ἔχων ἔσω κοιλότητα. P. δύο εἰσὶν αἱ τῆς ἐπιπέδου ἐπιφάνειαι κατ' ἐναντιότητα θεωρούμεναι ἄκραν, ἥ τε κοίλη καὶ ἡ κυρτή. τὴν γοῦν κυρτήν φασι καὶ ναστήν. ἐπεὶ οὖν καὶ ὁ ἄρτος κυρτός ἐστι τὴν ἐπιφάνειαν, διὰ τοῦτο ναστὸν ἐνταῦθα τοῦτον προσηγόρευσεν. Viet.

1143. ἦσθιον γὰρ καὶ αὐτὴ ἐξ ὧν προσέφερον τοῖς θεοῖς. Θ.

1144. οὐ γὰρ μετεῖχες τὰς ἴσας πληγὰς : Ἀντὶ τοῦ ἴσον. ἀρχαῖον καὶ Ἀττικὸν τὸ σχῆμα. V. [οὐ μόνον μετέχω τοῦδε, ἀλλὰ καὶ μετέχω τόδε φαμέν· καὶ εὕροις ἂν τοῦτο οὐ μόνον παρὰ ποιηταῖς, ἀλλὰ καὶ λογοποιοῖς.] — μετεῖχες : Ἐλάμβανες. *LB.* ὅμοιον τῷ [226] « ἡμῖν μετάσχῃ τοῦδε τοῦ Πλούτου μέρος· » ἀντὶ τοῦ ἁπλῶς ἐλάμβανες, ἢ μετ' ἐμοῦ ἐλάμβανες. LB. ἴσας : Ὁμοίας. *LB.*

1145. ληφθείην : Κρατηθείην. πανουργήσας : Κλέψας. *LB. Dv.* ἀντὶ τοῦ κλέψας. R. V.

1146. Ἀντὶ τοῦ εἰ καὶ ἐπλούτησας, μὴ ἐπαρθῇς, μὴ μέγα φρονήσῃς. R. (εἰ σὺ Φυλὴν κατέλαβες : Ὅτι μετὰ τὸ κατελθεῖν τοὺς μετὰ Θρασυβούλου Φυλὴν καταλαβόντας καὶ νικήσαντας ἐν Πειραιεῖ τοὺς τριάκοντα ψηφίσασθαι ἔδοξε μὴ μνησικακῆσαι καθάπαξ ἀλλήλοις μηδὲν τοὺς πολίτας. ἀλλὰ ταῦτά γε οὔπω ἐπέπρακτο οὐδὲ τὰ ἐπὶ τῶν τριάκοντα ἤδη ἦν, ἀλλὰ καὶ, ὡς Φιλόχορός φησιν, πέμπτῳ ἔτει ὕστερον τῆς Θρασυβούλου γενομένης Κριτίας ἐν Πειραιεῖ τελευτᾷ. τοῦτο οὖν ἔοικέ τις ἐκ τοῦ δευτέρου Πλούτου μετενεγκὼν ἐνθάδε ὀλιγωρῆσαι τῆς ἀλογίας ταύτης, ἢ καὶ αὐτὸς ὁ ποιητὴς ὕστερον ἐνθεῖναι. ἀπὸ τῶν συνθηκῶν τῶν Ἀθήνησι γενομένων πρὸς τοὺς καταλαβόντας. Φυλὴν δὲ, τὸν δῆμον, ἀφ' οὗ Φυλάσιοι. — συνέθεντο γὰρ μετὰ τὸ μεταγαγεῖν μὴ μνησικακῆσαι. Φυλὴ δὲ τόπος οὕτω καλούμενος. V. Ἄλλως. Θρασύβουλος βουλόμενος καταλῦσαι τοὺς λ' καταλαβὼν Φυλὴν, τόπον τινὰ, κἀκεῖσε συμμάχους λαβὼν, κατέλυσε. καὶ ἐπεὶ ἀλαζονικὸν ἐφθέγξατο, ἤκουσε, μὴ μνησικακήσῃς, καὶ ἐγένετο παροιμιακόν. Φυλὴ δὲ, δῆμος τῆς Ἀττικῆς, καὶ οἱ ἐνοικοῦντες Φυλάσιοι. τὸ δὲ, εἰ σὺ Φυλὴν κατέλαβες, ἀντὶ τοῦ, εἰ ἐπλούτησας, εἰ μέγας γέγονας, Φυλὴν καταλαβόμενος, καὶ τοὺς λ' τυράννους μεταχειρισάμενος. Φυλὴ γὰρ τόπος οὕτω καλούμενος. περὶ δὲ Θρασυβούλου εἴρηται διὰ τὸ ἐπαινεῖσθαι, ὅτι ἐκεῖ ἐφόνευσε τοὺς λ' τυράννους.)

[Φυλὴν κατέλαβες : Προεγράφη ὅπισθεν [ad v. 550] ἡ ἱστορία, ὅπως Λακεδαιμόνιοι Ἀθηναίοις τριάκοντα τυράννους κατέστησαν, Ἀθηναίους ὄντας καὶ αὐτούς· οἳ τοὺς Ἀθηναίους κακῶς ἐποίουν τοὺς ὁμοφύλους καὶ συμπολίτας. ἀλλὰ Θρασύβουλός τις Ἀθηναῖος φιλόπατρις καὶ μισοτύραννος Φυλὴν κατέλαβε χωρίον τῆς Ἀττικῆς μετὰ ὀκτακοσίων ἀνδρῶν, καὶ συμβαλὼν τοῖς τριάκοντα καὶ τοῖς μετ' αὐτῶν νικᾷ τε αὐτοὺς καὶ τὴν πόλιν τῆς τυραννίδος ἠλευθέρωσεν. ἐπεὶ δὲ ἦσαν τινὲς ἐν τῇ πόλει, πρὸς οὓς ἐφέροντο καλῶς οἱ τύραννοι, ὅτε ἦρχον, οὗτοι τοὺς ἀναιρέτας τῶν τυράννων δεδιότες, ἡνίκα τινὶ αὐτῶν συναντήσειαν, ἔλεγον, μὴ μνησικακήσῃς, εἰ σὺ Φυλὴν κατέλαβες· ὅθεν καὶ ψήφισμα ἔθεντο ἀλλήλους μὴ μνησικακεῖν Εὐκλείδου δημαγωγήσαντος. φησὶ δὲ Ἑρμῆς, ὦ Καρίων, μὴ μνησικακήσῃς ἐμὲ ἕνεκεν τῶν ὄπισθεν· ὡς οὐδὲ οἱ μετὰ Θρασυβούλου τοὺς μετὰ τῶν τυράννων, εἰ κατέλαβες τὴν Φυλὴν, ὡς ὁ Θρασύβουλος· τουτέστιν, ἐὰν ἐπλούτησας. LB. μὴ : Ὅρα ἵνα. μνησικακήσῃς : Ὀργισθῇς. Φυλὴν : Τὴν. τὸ χωρίον. κατέλαβες : Εὗρες. *LB.* φιλὴν : Ὄνομα τόπου. *Dv.* εἰ σὺ φ. κ. : Τουτέστι εἰ ἐπλούτισας. *P.*]

1147. σύνοικον : Μεθ' ὑμῶν. πρὸς θεῶν : Ἕνεκεν τῶν. *LB.*

1148. ἀπολιπὼν : Ἀφεὶς (*Dv.*). ἐνθάδε μενεῖς : Ἐνταῦθα προσκαρτερήσεις. *LB.*

1149. τὰ γὰρ : Ναί (Θ. *Dv*). τὰ παρ' ὑμῖν : Τὰ ἐνταῦθα. βελτίω πολύ : Κρείττονα κατὰ πολύ. *LB.* κρείττονα τῶν ἐν θεοῖς. Θ. *Dv.*

1150. [ταὐτομολεῖν : Αὐτόμολός ἐστιν ὁ οἰκείᾳ θελήσει λιπὼν ἐκείνους, μεθ' ὧν ἦν, καὶ πρὸς ἄλλους ἐλθών. τὸ ἐξέρχεσθαι ἀπὸ τῶν οἰκείων, καὶ εἰσέρχεσθαι πρὸς τοὺς ἀλλοτρίους, ἀστεῖόν ἐστιν. Br. αὐτομολεῖν : Τὸ ἐνταῦθα ἐλθεῖν καὶ διατρίβειν. ἀστεῖον : Πεπαιδευμένον. *P.* φρόνιμον, καλόν. *LB.* καλὸν, χάριεν. Θ. χαρίεν. *Dv.*

1151. πατρὶς γὰρ : παρὰ τὴν παροιμίαν· ὅπου γὰρ ἀγαθόν ἐστιν, ἐκεῖ μοι πατρίς. V. ναί. πᾶσ' : Ὅλοις τοῖς ἀνθρώποις. *LB.* ἵν' : Ὅπου. *Dv.* ἵν' ἂν : Ὅπου εὐτυχῇ. *P.* πράττῃ τις εὖ : Εὐτυχῇ. *LB.* εὐημερῇ. *Dv.* πᾶσι. ὅπου. πάσχῃ. Θ.

1152. ὄφελος : Ἤγουν ὠφέλεια. *Dv.*

1153. στροφαῖον : [Ἐπὶ ἀποτροπῇ τῶν ἄλλων κλεπτῶν. στροφαῖος, παρὰ τὸ στρέφεσθαι καὶ πανουργεῖν. λέγεται δὲ ὁ Ἑρμῆς, στροφαῖος, ἐμπολαῖος, κερδῷος, δόλιος, ἡγεμόνιος, ἐναγώνιος, διάκονος. Ἄλλως.] (στροφὸν, ἐπεὶ στροφοὶ λέγονται οἱ συμπεπλεγμένοι λόγοι καὶ δολεροί. Ἄλλως.) στροφαῖον ἐκάλουν ἱδρυμένον παρὰ τῇ θύρᾳ [τὸν] δαίμονα· ἅμα δὲ παρὰ τὸ στρέφειν τὰ πράγματα· οἱ δὲ τοῦτο ποιοῦντες πανοῦργοι λέγονται. ἔστι δὲ ἐπωνυμία Ἑρμοῦ, παρὰ τὸ ταῖς θύραις ἱδρύσθαι ἐπὶ φυλακῇ τῶν ἄλλων κλεπτῶν· (οὗτοι γὰρ ὀπίσω τῶν θυρῶν εἰώθασι καὶ ἀναδύεσθαι καὶ ὅλως πανουργεύεσθαι.) — στροφαῖον : Πυλωρὸν, ἔνθα καὶ ἔνθα στρεφόμενον. Θ. *Dv.* στρεφόμενον. ἱδρύσασθε : Ποιήσατε. *LB.* πυλωρόν. *P.* ἐπωνυμία ἐστὶ τοῦτο τοῦ θεοῦ· παρὰ τὸ ταῖς θύραις ἱδρύσθαι ἐπὶ φυλακῇ τῶν ἄλλων κλεπτῶν. στροφαῖον οὖν περὶ τὴν θύραν ἀντὶ τοῦ φύλακα τῆς θύρας ἀπὸ τῆς στρόφιγγος. ὁ δὲ θεράπων τὸ στροφαῖον ἐπὶ τῶν δολίων καὶ συμπεπλεγμένων λόγων ἐκλαμβάνει· ἐπεὶ σημαίνει καὶ τοῦτο ἡ λέξις· στροφαῖον γὰρ φαμὲν ἄνθρωπον, τὸν εἰδότα συμπλέκειν καὶ στρέφειν λόγους καὶ μηχανάς. P.

1154. στροφαῖον : Πανοῦργον. *P.* στροφαῖον ; Ποιήσομέν σε ; *LB.* ἀλλ' οὐκ ... στροφῶν : ἀντὶ τοῦ οὐ χρεία ἐστὶ πανουργεῖν. R. V. χρεία ὑπάρχει οὐδαμῶς ἡμῖν κινήσεων. *LB.* ἀλλ' οὐδεμία ἐργασία ἐστὶ δολιοτήτων. *P.* στροφῶν : Πανουργιῶν καὶ ποικιλίας καὶ στροφῶν λόγων. Θ.

(1155.) ἀλλ' ἐμπολαῖον : Πραγματευτὴν, ἢ ἀντὶ τοῦ ἀγοραῖον, καὶ τῆς καπηλείας προεστῶτα. παλιγκάπηλοι δὲ λέγονται οἱ τὰ αὐτὰ πωλοῦντες καὶ ἀγοράζοντες. Ἄλλως. πέντε εἰσὶν αἱ διαφοραὶ τῶν πωλούντων, αὐτοπώλης, κάπηλος, ἔμπορος, παλιγκάπηλος, μεταβολεύς. καὶ ἔστιν αὐτοπώλης μὲν ὁ ἐν τῇ ἰδίᾳ χώρᾳ πωλῶν τὴν ἑαυτοῦ πρόσοδον· κάπηλος δὲ ὁ ἀγοράζων ἀπὸ τοῦ αὐτοπώλου καὶ πωλῶν ἐν τῇ χώρᾳ ἐν ᾗ ἠγόρασεν· ἔμπορος δὲ ὁ ἀγοράζων καὶ ἐπὶ ξένης πωλῶν· [ἢ ἀπὸ τοῦ αὐτοπώλου ἢ ἀπὸ τοῦ καπήλου.] παλιγκάπηλος δὲ ὁ ἀπὸ τοῦ ἐμπόρου ἀγοράζων καὶ πωλῶν. μεταβολεὺς δὲ ὁ κατὰ τὴν κοτύλην πωλῶν, ὥσπερ οἱ νῦν λεγόμενοι κάπηλοι· εἴρηται δὲ παρὰ τὸ συνεχῶς μεταβάλλειν. καὶ αὗται μέν εἰσιν αἱ σημασίαι κυρίως τῶν πωλούντων· καταχρηστικῶς δὲ πᾶς πωλῶν κάπηλος λέγεται. — ἀλλ' ἐμπολαῖον : Ποιήσατε πράτην. *LB.* πραγματευτήν. *Dv.* πραγματευτικόν. *P.*

1156. Ἑρμῆν : Τόν. παλιγκάπηλον : Τὸν μεταπράτην. *LB.* καπηλεύοντα τὰ πωλούμενα. Θ. *Dv.* δεῖ : Ἀπόκειται. ἢ πρέπον ἐστί. *LB.*

1157. δόλιον : Ἔφορον τοῦ δόλου ποιήσατε. ἥκιστά γε : Ποιήσομέν σε οὐδαμῶς. *LB.* οὐδαμῶς. Θ.

1158. Ἔργον : Χρεία ἐστὶν ἡμῖν. ἁπλῶν τρόπων : Ἀβολιεύτων ἠθῶν. *LB.*

1159. ἀλλ' ἡγεμόνιον : Κατὰ χρησμὸν οἱ Ἀθηναῖοι ἡγεμόνιον Ἑρμῆν ἱδρύσαντο. παρὰ δὲ τὸ τοῖς τυφλοῖς τοὺς βλέποντας ἡγεῖσθαι, ἐπήνεγκε δὲ ἐπὶ τοῦ Πλούτου, φάσκων αὐτὸν ἤδη βλέπειν, καὶ μὴ δεῖσθαι ὁδηγοῦ. — ἡγεμόνιον : Προοδοποιόν. Θ. *Dv.* προοδοποιὸν ποιήσατε. *LB.* ὁδηγόν. *P.* ὅτι ὁ Ἑρμῆς καὶ ὁ λόγος καὶ τὸ λογικὸν ἡγεμονεύει τεχνῶν καὶ πρακτικῶν, ὑποτιθεὶς ἑκάστῳ καὶ ἐφευρήσεις καὶ πανουργίας καὶ ἀφορμάς. ἡγεμόνιος δὲ λέγεται καὶ ὁ ὁδηγὸς τῶν τυφλῶν· διὸ φησὶ, Ἀλλ' ὁ θεὸς ἤδη βλέπει. LB. ὁ θεὸς : Ὁ Πλοῦτος. *LB.* ἤδη : Ἀπὸ τοῦ νῦν. *Dv.* ἀντὶ τοῦ ὁ Πλοῦτος. ὥστε μὴ δεῖσθαι ἡγεμόνος καὶ ὁδηγοῦ. R.

1160. ἡγεμόνος : Τινὸς ὁδηγοῦ (*Dv.*). οὐδὲν : Οὐδαμῶς (*Dv.*). δεησόμεθ' ἔτι : Χρείαν ἕξομεν εἰς τὸ ἑξῆς. *LB.* εἰς χρείαν ἐλθωμεν. *Dv.*

1161. ἐναγώνιος : Ἐπιστάτης τῶν ἀγώνων καὶ πανηγύρεων. *LB.* ἀγῶνας καὶ πανηγύρεις ἐργαζόμενος. εἰς ἀνατροπὴν τούτου. Θ. *Dv.* μοῖραν γὰρ ἐν τοῖς ἀγῶσιν ἔχει ὁ Ἑρμῆς. R. V. P. ἐρεῖς : Λέξεις. *LB.* λέγεις. *Dv.*

1162. συμφορώτατον : Λίαν συμφέρον. *LB.* ἁρμοδιώτατον. *Dv.* ἀντὶ τοῦ ἁρμόδιον. *R. V.* Θ.

1163. μουσικοὺς : Λογικούς. *P.* μουσικὰς : Χορούς. *Dv.* γυμνικούς : Παλαίστρας, δρόμους καὶ τὰ τούτοις ὅμοια. Θ. παλαίστρας. *Dv.* χοροὺς, ὀρχήσεις, παλαίστρας, δρόμους καὶ τὰ τοιαῦτα. *P.* χοροὺς καὶ ὀρχήσεις. Θ.

1164. ὡς : Λίαν, ὄντως. Θ. *Dv.* ὡς ἀγαθὸν : Λίαν συμφέρον. *LB.* ἐπωνυμίας : ὡσανεὶ ἔλεγε πολλὰ ὀνόματα ἔχειν. R. ὀνομασίας (*LB.*). ἔχειν : Κρατεῖν. *Dv.*

1165. ἐξεύρηκεν : Διὰ τῶν πολλῶν ἐπωνυμιῶν. Θ. *Dv.* βιότιον : βίον, ὑποκοριστικῶς. R. V. μικρὰν ζωήν. Θ. *LB. Dv.*

1166. οὐκ ἐτὸς ἅπαντες : Ὡσανεὶ ἔλεγεν, οὐ ματαίως ἄρα σπεύδουσι πολλὰ ὀνόματα ἔχειν, ἵνα, ἐὰν ἀποτύχωσιν ἑνὸς, εἰς ἄλλο δικάσωσι δικαστήριον. (ὁ τούτων νοῦς ἐκ τῶν προειρημένων [ad v. 277] περὶ τῆς κληρώσεως τῶν γραμμάτων καὶ τῶν δικαστηρίων δῆλος. ἐποίουν δὲ τοῦτο οἱ δικάζοντες, ἵνα, ἐὰν ἀπολειφθῶσιν ἑνὸς, ἐν τῷ ἄλλῳ δικάσωσι, τὸν πεσσὸν καὶ εἰς τόδε καὶ εἰς τόδε ἐμβάλλοντες τῶν δικαστηρίων.) — οὐκ ἐτὸς : Οὐ ματαίως. *LB.* οὐ μάτην, οὐ ψεκτῶς. *P.* — ἐτὸς : Μάτην. Θ. *Dv.* πάντες : Ὅλοι. οἱ δικάζοντες : Οἱ κριταί (*Dv.*). θαμὰ : Συνεχῶς (Θ.). *LB.* οὐκ ἐτὸς ἅπαντες : Οὐ ματαίως ἄρα οἱ ἐν ταῖς Ἀθήναις, φησὶ, δικάζοντες σπεύδουσιν ἐν πολλοῖς γεγράφθαι γράμμασιν ἐν τοῖς δικαστηρίοις. περὶ δὲ τῶν γραμμάτων καὶ δικαστηρίων Ἀθηναίων ἔφημεν ὄπισθεν, πῶς ἐν ἑκάστῳ ἦν γεγραμμένον στοιχεῖον· ἐν μὲν τῷ τοῦ Ἀρεοπάγου δικαστηρίῳ πρὸ τῶν θυρῶν ἐπεγέγραπτο α'· ἐν δὲ τῇ Ἡλιαίᾳ η'· ἐν δὲ τῷ ἐν Φρεαττοῖ δ', καὶ ἐν τοῖς λοιποῖς ὡσαύτως· διὰ τοῦτο ἔφη, σπεύδουσιν ἐν πολλοῖς γεγράφθαι γράμμασιν. LB.

